λήνην, ἅπας ἀνήλωτο νικηθεὶς ὑπὸ τῆς τοῦ ὕδατος φορᾶς καὶ βίας, ὅπερ
ἀνὰ κράτος τὴν ἐκείνου χώραν ἐπέσχε. τότε δὴ τότε εὐθὺς ἐφθείρετο 45
ὅσα σπαρτὰ καὶ δένδρα — φθείρει γὰρ ὡς ἔνδεια καὶ πλῆθος ἄμετρον —,
ἔθνησκον δ᾽ αἱ μυρίαι τῶν ζῴων ἀγέλαι ἡμέρων ὁμοῦ καὶ ἀγρίων· ἦν
γὰρ εἰκός, τοῦ κρατίστου γένους ἀνθρώπων ἀφανιζομένου, μηδὲν ὑπολει-
φθῆναι τῶν χειρόνων, ἐπεὶ καὶ πρὸς τὰς ἐκείνου χρείας ἐγένετο δοῦλα
p. 8 M. τρόπον τινὰ δεσποτικαῖς προστάξεσιν ὑπηρετήσοντα. τοσούτων | δὴ καὶ 46
τηλικούτων ἐπιρραξάντων κακῶν, ἅπερ ἐκεῖνος ὁ καιρὸς ἤνεγκε —
πάντα γὰρ τὰ τοῦ κόσμου μέρη, δίχα τῶν κατὰ τὸν οὐρανόν, ἐκινήθη
παρὰ φύσιν, ὡς ἂν βαρεῖαν καὶ θανατώδη νόσον νοσήσαντα —, μόνος
δὲ εἷς οἶκος ὁ τοῦ λεχθέντος ἀνδρὸς δικαίου καὶ θεοφιλοῦς διασῴζεται
δύο λαβόντος τὰς ἀνωτάτω δωρεάς, μίαν μέν, ἣν εἶπον, τὸ μὴ πᾶσι
τούτοις συναπολέσθαι, ἑτέραν δὲ τὸ πάλιν ἀρχηγέτην αὐτὸν ὑπάρξαι νέας
ἀνθρώπων σπορᾶς· ἠξίωσε γὰρ αὐτὸν ὁ θεὸς καὶ τέλος τοῦ γένους ἡμῶν
καὶ ἀρχὴν γενέσθαι, τέλος μὲν τῶν πρὸ τοῦ κατακλυσμοῦ, τῶν δὲ μετὰ
τὸν κατακλυσμὸν ἀρχήν.

(9.) Τοιοῦτος μὲν ὁ τῶν καθ᾽ αὑτὸν ἄριστος, τοιαῦτα δὲ καὶ τὰ 47
τεθειμένα ἆθλα αὐτῷ, ὁποῖα δεδήλωκεν ὁ ἱερὸς λόγος. τῶν δ᾽ εἰρη-
μένων τριῶν εἴτε ἀνδρῶν εἴτε ψυχῆς τρόπων ἐναρμόνιος ἡ τάξις· ὁ μὲν
γὰρ τέλειος ὁλόκληρος ἐξ ἀρχῆς, ὁ δὲ μετατεθειμένος ἡμίεργος, τοῦ βίου
τὸν μὲν πρότερον χρόνον ἀναθεὶς κακίᾳ, τὸν δ᾽ ὕστερον ἀρετῇ, πρὸς ἣν
μετανέστη καὶ μετῳκίσατο, ὁ δὲ ἐλπίζων, ὡς αὐτὸ δηλοῖ τοὔνομα,

2 ἅπασαν ἥλω (sic) BE ἀνήλωται F, ἠλλοιώθη Arm νικηθεὶς] τῷ νενικῆσθαι BK, τῷ νικῆσθαι E φορᾶς καὶ βίας BEK: βίας καὶ φορᾶς ceteri. φορᾶς καὶ om. Arm 3 τότε δὴ τότε BEK: alt. τότε om. ceteri 5 δὲ BEK 8 πράξεσιν FG ὑπηρετήσοντα CBEH²: ὑπηρετήσαντα ceteri 9 ἐπηρραξάντων E; καταρραξάντων coni. Mang. 10 κατὰ τὸν οὐρανὸν BEK Arm: κατ᾽ οὐρανόν ceteri 12 δὲ om. Arm ὁ om. BE 13 μέν om. BE 13. 14 πᾶσι τούτοις] πᾶσιν οὗτος A 14 ἀρχηγέτην αὐτὸν BEK: αὐτὸν ἀρχηγέτην ceteri ὑπάρξειν KH² νέας] γενεᾶς CFGA, τοῦ γένους τῆς νέας BE 15 τοῦ γένους ἡμῶν BEK Arm: ἡμῶν τοῦ γένους ceteri 18 καθ᾽ αὑτῶν G 19 τιθέμενα CFG 19. 20 τῶν— τάξις om. CFG 20 εἴτε ἀνδρῶν om. HP¹ (Turn.), add. mg. P² ψυχῆς scripsi (sic Arm ut vid.): ψυχῶν codd. ante τρόπων add. εἴτε H² (Turn.) τρόπων corr. ex τρόπον K, τρόπον BE 21 ὁλόκληρον F μετατιθέμενος CFG ἡμιεργὸς M τοῦ βίου om. C, post χρόνον (22) transp. Arm 22 πρῶτον K ἀναθεὶς BEK: ἀνατιθεὶς ceteri δὲ BEK 23 μετῳκήσατο M, μετῳκήσατο BAFP δ᾽ BEK τοὔνομα om. BE

ἐλλιπής, ἐφιέμενος μὲν ἀεὶ τοῦ καλοῦ, μήπω δ' ἐφικέσθαι τούτου δεδυνημένος, ἀλλ' ἐοικὼς τοῖς πλέουσιν, οἳ σπεύδοντες εἰς λιμένας καταίρειν θαλαττεύουσιν ἐνορμίσασθαι μὴ δυνάμενοι.

48 (10.) Ἡ μὲν οὖν προτέρα τριὰς τῶν ἀρετὴν ἐπιποθησάντων δεδήλωται. μείζων δέ ἐστιν ἡ ἑτέρα, περὶ ἧς νυνὶ λεκτέον. ἐκείνη μὲν γὰρ τοῖς ἐν ἡλικίᾳ παιδικῇ μαθήμασιν ἔοικεν, αὕτη δὲ τοῖς ἀνδρῶν ἀθλητικῶν γυμνάσμασιν ἐπὶ τοὺς ἱεροὺς ὄντως ἀλειφομένων ἀγῶνας, οἳ σωμασκίας καταφρονοῦντες τὴν ἐν τῇ ψυχῇ κατασκευάζουσιν εὐεξίαν
49 ἐφιέμενοι τῆς κατὰ τῶν ἀντιπάλων παθῶν νίκης. οἷς μὲν οὖν διενήνοχεν ἕκαστος ἐφ' ἓν καὶ τὸ αὐτὸ τέλος ἐπειγόμενος, αὖθις ἀκριβέστερον ἐροῦμεν· ἃ δὲ χρὴ περὶ τῶν τριῶν συλλήβδην προειπεῖν, ἀναγκαῖον
50 μὴ παρασιωπῆσαι. τούτους τοίνυν συμβέβηκε μιᾶς οἰκίας καὶ ἑνὸς γένους εἶναι — ὁ γὰρ τελευταῖος υἱός μέν ἐστι τοῦ μέσου, υἱωνὸς δὲ τοῦ πρώτου — καὶ πάντας φιλοθέους ὁμοῦ καὶ θεοφιλεῖς, ἀγαπήσαντας τὸν ἀληθῆ θεὸν καὶ ἀνταγαπηθέντας πρὸς αὐτοῦ, ὃς ἠξίωσε, καθάπερ δηλοῦσιν οἱ χρησμοί, διὰ τὰς ὑπερβολὰς τῶν ἀρετῶν αἷς συνεβίουν
51 κοινωνῆσαι τῆς προσρήσεως αὐτοῦ. τὸ γὰρ ἴδιον ὄνομα τοῖς ἐκείνων ἐναρμοσάμενος ἥνωσε, τὴν ἐκ τῶν τριῶν σύνθετον κλῆσιν ἐπιφημίσας ἑαυτῷ· „τοῦτο γάρ μου" φησίν „ὄνομά ἐστιν αἰώνιον, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ" (cf. Exod. 3,15) — ἀντὶ τοῦ | καθάπαξ p. 9 M.
τὸ πρός τι· καὶ μήποτ' εἰκότως· ὀνόματος γὰρ ὁ θεὸς οὐ δεῖται, μὴ δεόμενος δ' ὅμως ἐχαρίζετο τῷ γένει τῶν ἀνθρώπων κλῆσιν οἰκείαν, ἵν' ἔχοντες καταφυγὴν πρὸς ἱκεσίας καὶ λιτὰς μὴ ἀμοιρῶσιν ἐλπίδος
52 χρηστῆς. (11.) ταῦτα μὲν οὖν ἐπ' ἀνδρῶν ὁσίων εἰρῆσθαι δοκεῖ,

1 ἐλλειπής BECGM μὲν om. CFG μήπω BEK: οὔπω ceteri τούτου om. Arm 2 λιμένας BEK: λιμένα ceteri 2. 3 κατέρρειν A καταίρειν θαλαττεύουσιν om. Arm 3 ante θαλαττεύουσιν add. ἔτι MAHP θαλαττεύουσιν BEK: ἐνθαλαττεύουσιν ceteri 4 ἐπινοησάντων CFG, ἐπιπονησάντων coni. Mang. 4. 5 ἐκδεδήλωται K 5 δ' F ἡ ἑτέρα BE Arm: ἡ om. ceteri 6 παιδικοῖς CFGA 7 ἀθλητῶν C 8 σῶμα σκιᾶς M, σώματος σκιὰν A 9 τῶν] τὴν F οὖν om. CFG post οὖν add. καὶ KH¹P, del. H² 10 τέλος] γένος F 11 προειπεῖν CFH²: προσειπεῖν ceteri 12 τούτοις CFGMA 14 πάντα FG φιλοθέους] θεοφιλοὺς C, θεοφιλοῦς FG ante ὁμοῦ add. καὶ G θεοφιλῶς F ἀγαπήσαντος in ras. F 16 αἷς corr. ex οἷς B, οἷς E 17 ⟨αὐτοὺς⟩ κοινωνῆσαι (vel κοινωνῆσαι τῆς ⟨ἑαυτοῦ⟩ προσρήσεως αὐτούς) conicio αὐτοῦ BEK: αὐτούς G Arm, αὐτῆς A, αὐτοῖς ceteri (probat Wendl.) 18 ἁρμοσάμενος BE 19 αὐτῷ BEK 20 καὶ utrumque om. BE καθάπαξ] ἅπαξ CFG, καθ' ἅπαν Mang. 21 τὸ] τὰ Arm 22 τῷ om. F 23 ἵν' BEK: ἵνα ceteri ἱκεσίαν G ἄμοιροι ὦσιν BEK 24 post οὖν add. ὡς Arm ἐπ' ἀνδρῶν om. BE ὁσίων] vel delendum vel scribendum τριῶν censuit Mang.

μηνύματα δ' ἐστὶ φύσεως ἀδηλοτέρας καὶ πολὺ βελτίονος τῆς ἐν αἰσθητοῖς.
τρόπους γὰρ ψυχῆς ἔοικεν ὁ ἱερὸς διερευνᾶσθαι λόγος, ἀστείους ἅπαντας,
τὸν μὲν ἐκ διδασκαλίας, τὸν δ' ἐκ φύσεως, τὸν δ' ἐξ ἀσκήσεως ἐφιέ-
μενον τοῦ καλοῦ. ὁ μὲν γὰρ πρῶτος, ἐπίκλησιν Ἀβραάμ, σύμβολον
διδασκαλικῆς ἀρετῆς ἐστιν, ὁ δὲ μέσος, Ἰσαάκ, φυσικῆς, ὁ δὲ τρίτος,
Ἰακώβ, ἀσκητικῆς. ἀλλὰ γὰρ οὐκ ἀγνοητέον, ὅτι μετεποιεῖτο τῶν 53
τριῶν ἕκαστος δυνάμεων, ὠνομάσθη δὲ ἀπὸ τῆς πλεοναζούσης κατ'
ἐπικράτειαν· οὔτε γὰρ διδασκαλίαν ἄνευ φύσεως ἢ ἀσκήσεως τελειωθῆναι
δυνατὸν οὔτε φύσις ἐπὶ πέρας ἐστὶν ἐλθεῖν ἱκανὴ δίχα τοῦ μαθεῖν καὶ
ἀσκῆσαι οὔτε ἄσκησις, εἰ μὴ προθεμελιωθείη φύσει τε καὶ διδασκαλίᾳ.
προσηκόντως οὖν καὶ τὴν τῶν τριῶν λόγῳ μὲν ἀνδρῶν ἔργῳ δ' ὡς εἶ- 54
πον ἀρετῶν οἰκειότητα συνῆψε, φύσεως, μαθήσεως, ἀσκήσεως, ἃς ἑτέρῳ
ὀνόματι Χάριτας ἰσαρίθμους ἄνθρωποι καλοῦσιν, ἢ τῷ κεχαρίσθαι τὸν
θεὸν τῷ ἡμετέρῳ γένει τὰς τρεῖς δυνάμεις πρὸς τελειότητα τοῦ βίου ἢ
παρόσον αὗται δεδώρηνται ψυχῇ λογικῇ ἑαυτάς, δώρημα τέλειον καὶ
κάλλιστον, ἵνα καὶ τὸ αἰώνιον ὄνομα τὸ δηλούμενον ἐν τοῖς χρησμοῖς
ἐπὶ τριῶν μὴ ἐπ' ἀνθρώπων μᾶλλον ἢ τῶν εἰρημένων δυνάμεων
λέγηται. ἀνθρώπων μὲν γὰρ φθαρτὴ φύσις, ἄφθαρτος δ' ἡ τῶν ἀρετῶν· 55
εὐλογώτερον δὲ ἐπιφημίζεσθαι τὸ αἴδιον ἀφθάρτοις πρὸ θνητῶν, ἐπεὶ
συγγενὲς μὲν αἰδιότητος ἀφθαρσία, ἐχθρὸν δὲ θάνατος. (12.) χρὴ 56
μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι τὸν μὲν πρῶτον ἄνθρωπον τὸν γηγενῆ
πατέρα τῶν ἄχρι τοῦ κατακλυσμοῦ φύντων εἰσήγαγε, τὸν δὲ μόνον ἐκ
τῆς τοσαύτης φθορᾶς ὑπολειφθέντα πανοίκιον ἕνεκα δικαιοσύνης καὶ τῆς
ἄλλης καλοκἀγαθίας τοῦ νεάσοντος αὖθις καινοῦ γένους ἀνθρώπων, τὴν
δὲ περίσεμνον τριάδα καὶ περιμάχητον ἑνὸς εἴδους ἐπιλεγομένου „βασίλειον

1 δ' om. BE ante φύσεως add. καὶ BE 2 ὁ ἱερὸς λόγος ἀστεῖος διερευνᾶσθαι ἅπαντας BE διερμηνεύεσθαι coni. Mang. 3 δ' pr.] δὲ BE 6 ἀσκητῆς coni. Mang. 7 ἕκαστος om. CFG ὠνομάσθαι F δ' BEK 9 φύσιν CFM ἱκανὴν CM, ἱκανὸν F 10 ἄσκησιν C ante φύσει add. καὶ F 12 οἰκειοτάτη G φύσεως, μαθήσεως, ἀσκήσεως Wendl.: φύσις, μάθησις, ἄσκησις codd.; φύσιν, μάθησιν, ἄσκησιν Mang. 14 τοῦ βίου BEK: τοῦ om. ceteri 15 αὐτὰ δεδώρηται FG ψυχικῇ (sic) K τέλειον καὶ BEK: om. ceteri 17 ἐπὶ τριῶν μὴ ἐπ'] μὴ ἐπὶ τριῶν C(v) ἐπ' fort. delendum 17. 18 δυνάμεων λέγηται BEK: λέγηται δυνάμεων ceteri 19 δ' BEK, om. Arm τὸ αἴδιον Mang.: τὸν αἴδιον codd. 20 συγγενὴς H αἰδιότητος BEK: αἰδιότης ceteri (v) ἀφθαρσίᾳ v 21 τὸν alt. om. BE 22 τοῦ om. BE 23 πανοίκιον scripsi: πανοίκειον BEHP, πανοικεί· ὃν CG, πανοικί· ὃν MAF, πανοικὶ K; πανοικὶ Νῶε voluit Mang. 24 νεάσαντος BEP ⟨καὶ⟩ καινοῦ coni. Mang. (cf. § 252)

καὶ ἱεράτευμα καὶ ἔθνος ἅγιον“ (Exod. 19, 6) οἱ χρησμοὶ καλοῦσι.
57 μηνύει δὲ τοὔνομα τὴν δύναμιν αὐτοῦ· προσονομάζεται γὰρ Ἑβραίων γλώττῃ τὸ ἔθνος Ἰσραήλ, ὅπερ ἑρμηνευθέν ἐστιν „ὁρῶν θεόν.“ ὅρασις δ' ἡ μὲν δι' ὀφθαλμῶν ἐν ἁπάσαις καλλιστεύει ταῖς αἰσθήσεσιν, ἐπεὶ καὶ διὰ μόνης καταλαμβάνεται τὰ κάλλιστα τῶν ὄντων, ἥλιος καὶ σελήνη καὶ ὁ σύμπας οὐρανός τε καὶ κόσμος, ἡ δὲ διὰ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ προφέρει τὰς ἄλλας ὅσαι περὶ αὐτὸ δυνάμεις· αὕτη | δέ ἐστι p. 10 M.
58 φρόνησις ὄψις οὖσα διανοίας. ὅτῳ δὲ μὴ μόνον ἐξεγένετο τἄλλα ὅσα ἐν τῇ φύσει δι' ἐπιστήμης καταλαμβάνειν, ἀλλὰ καὶ τὸν πατέρα καὶ ποιητὴν τῶν συμπάντων ὁρᾶν, ἐπ' ἄκρον εὐδαιμονίας ἴστω προεληλυθώς· οὐδὲν γὰρ ἀνωτέρω θεοῦ, πρὸς ὃν εἴ τις τὸ τῆς ψυχῆς ὄμμα τείνας
59 ἔφθακε, μονὴν εὐχέσθω καὶ στάσιν. αἱ μὲν γὰρ ἀνάντεις ὁδοὶ καματηραὶ καὶ βραδεῖαι, ἡ δὲ κατὰ πρανοῦς φορά, συρμὸν ἔχουσα τὸ πλέον ἢ κάθοδον, ταχεῖα καὶ ῥᾴστη. πολλὰ δὲ τὰ κάτω βιαζόμενα, ὧν οὐδὲν ὄφελος, ὅταν ἐκ τῶν αὐτοῦ δυνάμεων ἀνακρεμάσας τὴν ψυχὴν ὁ θεὸς ὁλκῇ δυνατωτέρᾳ πρὸς ἑαυτὸν ἐπισπάσηται.

60 (13.) Ταῦτα μὲν οὖν κοινῇ περὶ τῶν τριῶν ἀναγκαίως προειρήσθω. λεκτέον δ' ἑξῆς, ἐν οἷς ἕκαστος ἰδίᾳ προήνεγκεν, ἀπὸ τοῦ πρώτου τὴν ἀρχὴν λαβόντας. ἐκεῖνος τοίνυν εὐσεβείας, ἀρετῆς τῆς ἀνωτάτω καὶ μεγίστης, ζηλωτὴς γενόμενος ἐσπούδασεν ἕπεσθαι θεῷ καὶ κατατειθὴς εἶναι τοῖς προσταττομένοις ὑπ' αὐτοῦ, προστάξεις ὑπολαμβάνων οὐ τὰς διὰ φωνῆς καὶ γραμμάτων μηνυομένας αὐτὸ μόνον, ἀλλὰ καὶ τὰς διὰ τῆς φύσεως

1 καὶ pr. om. H(v) 3 ἑρμηνευθέν ἐστιν K, ἑρμηνευθὲν (om. ἐστὶν) BE: ἑρμηνεύεται ceteri 4 δὲ BEK ἡ μὲν] ἡμῖν CFG 5 καταλαμβάνεσθαι A 6 σύμπας ὁ οὐρανός transp. K 7 ὅσαι BEK: ὡς αἱ CFG, ὅσαι αἱ MAHP αὐτὸ KMAHP: αὐτὸν BE, αὐτὰ CFG, αὐτὴν voluit Mang. δ' ἐστὶ BEKF 8 δ' H ἐξεγένετο μὴ μόνον transp. HP(v) $\overset{\omega}{\text{ἐξεγένετο}}$ (sic) A τἄλλα EK, τἄλλα B: τὰ ἄλλα ceteri 9 ἐν τῇ φύσει om. BE 10 ἐπ' ἄκρων A ἐπ' ἄκραν εὐδαιμονίαν BEK ἴσθω A 11 τῆς om. E ὄμμα τείνας BEK Arm: τείνας ὄμμα ceteri 12 πέφθακε MA ἐχέσθω BEM, ἐχέτω AK στάσιν] κατάστασιν CFGM ἀνάντεις] αὐτῆς C ὁδοὶ om. Arm 13 φορά om. Arm 14 καθ' ὁδὸν FG 15 αὐτοῦ scripsi: αὐτῶν K, αὐτοῦ ceteri (v) δυνάμεων corr. ex δυναμένων C ἀνακράσας L (Turn.) 16 ἑαυτὸν BEK: αὑτὸν M, αὐτὸν ceteri ἐπισπάσηται BEK: ἐπισπάσαιτο ceteri (v) 17 οὖν BEK: om. ceteri εἰρήσθω F 18 προήνεγκεν] διήνεγκεν BEK τὴν ἀρχὴν om. CFG 19 λαβόντος C ante ἀρετῆς add. καὶ C (Turn.) ἀρετῆς] ἐραστὴς BEKHP 22 γραμμάτων Arm (coni. Mang.): πραγμάτων codd. αὐτὸ Arm (coni. Mang.): αὐτῷ codd.

8 cf. ad vol. II 66,9

τρανοτέροις σημείοις δηλουμένας, ἃς ἡ ἀληθεστάτη τῶν αἰσθήσεων πρὸ
ἀκοῆς τῆς ἀπίστου καὶ ἀβεβαίου καταλαμβάνει. θεώμενος γάρ τις τὴν 61
ἐν τῇ φύσει τάξιν καὶ τὴν παντὸς λόγου κρείττονα πολιτείαν, ᾗ χρῆται
ὁ κόσμος, ἀναδιδάσκεται, φθεγγομένου μηδενός, εὔνομον καὶ εἰρηνικὸν
βίον ἐπιτηδεύειν εἰς τὴν τῶν καλῶν ἐξομοίωσιν ἀποβλέποντα. ἐναργέσ-
ταται δὲ τῆς εὐσεβείας ἀποδείξεις εἰσίν, ἃς περιέχουσιν αἱ ἱεραὶ γραφαί·
πρώτην δὲ λεκτέον, ἣ καὶ πρώτη τέτακται. (14.) λογίῳ πληχθεὶς περὶ 62
τοῦ πατρίδα καὶ συγγένειαν καὶ πατρῷον οἶκον καταλιπεῖν καὶ μεταναστῆναι,
καθάπερ ἀπὸ τῆς ξένης εἰς τὴν οἰκείαν ἐπανιὼν ἀλλ᾽ οὐκ ἀπὸ τῆς οἰκείας
εἰς τὴν ξένην μέλλων ἀπαίρειν, ἐπέσπευδε συντείνων, νομίζων ἰσότιμον εἶναι
τῷ τελειῶσαι τὸ ταχέως τὸ προσταχθὲν ἀνύσαι. καίτοι τίνα ἕτερον εἰκὸς 63
οὕτως ἀκλινῆ καὶ ἄτρεπτον γενέσθαι, ὡς μὴ φίλτροις ὑπαχθῆναι καὶ ὑπεν-
δοῦναι συγγενῶν καὶ πατρίδος, ὧν ὁ πόθος ἑκάστῳ τρόπον τινὰ συγγεγέ-
νηται καὶ συνηύξηται καὶ μᾶλλον ἢ οὐχ ἧττον τῶν ἡνωμένων μερῶν συμπέ-
φυκε; μάρτυρες δὲ οἱ νομοθέται τὴν δευτερεύουσαν θανάτου τιμωρίαν κατὰ 64
τῶν ἐπὶ τοῖς μεγίστοις ἑαλωκότων ὁρίσαντες φυγήν, οὐ δευτερεύουσαν,
ὥς γ᾽ ἐμοὶ δοκεῖ, παρ᾽ ἀληθείᾳ δικαζούσῃ, πολὺ δὲ ἀργαλεωτέραν, εἴ γε
πέρας μὲν κακοπραγιῶν ὁ θάνατος, ἀρχὴ δ᾽, οὐ πέρας, ἡ φυγὴ καινοτέρων
συμφορῶν, ἀνθ᾽ ἑνὸς τοῦ χωρὶς ἀλγηδόνων μυρίους ἐπάγουσα θανάτους
p. 11 M. τοὺς σὺν αἰσθήσει. | κατ᾽ ἐμπορίαν ἔνιοι πόθῳ χρηματισμοῦ πλέοντες ἢ 65
κατὰ πρεσβείαν ἢ κατὰ θέαν τῶν ἐπὶ τῆς ἀλλοδαπῆς δι᾽ ἔρωτα παιδείας,
ὁλκοὺς ἔχοντες δυνάμεις τῆς ἔξω μονῆς οἱ μὲν τὰς ἐπικερδείας, οἱ δὲ τὸ τὴν

1 ἡ om. BE 4 ἀναδιδάσκεται] ἅμα διδάσκεται HP (Turn.) ἔννομον A
6 ἱεραὶ BEK Arm: om. ceteri 7 ἣ] ἢ M πληχθεὶς] πεισθεὶς Arm (coni.
εἰ
Mang.) 8 καὶ μεταναστῆναι om. F μεταστῆναι G 9 οἰκίαν K
10 ἐπέσπευδε BEK: ἔσπευδε ceteri 11 τῷ] τὸ F εἰκὸς] εἰκότως H¹P
12 ante ἀκλινῆ add. καὶ sed rursus del. H φίλτρω BEK ὑπαχθῆναι τὲ
καὶ BEK 12. 13 ἐνδοῦναι BE 13 ὧν] ὃν F τρόπον corr. ex τρόπων F
συγγεγέννηται BEAP² 14 οὐχ om. Arm ἧττον] εἰς A ἡνωμένων]
ἰδιωμένων CFGA μελῶν Arm 15 δ᾽ BEK 16 ὁρίζοντες BEK
οὐ δευτερεύουσαν om. H¹, add. mg. H² 17 ὥς γέ μοι BEKMA παρ᾽
CBEK: παρὰ ceteri παρὰ τοῖς ἀληθείᾳ δικάζουσι Arm δ᾽ BEK
18 κακοπραγίας ὧν CFG, κακοπραγίας ὧν A δ᾽] δὲ F, τε CG οὐ πέρας om.
CFG (fort. recte) 19 ἀνθ᾽ ἑνὸς om. F τοῦ om. M τοῦ χωρὶς
ἀλγηδόνων om. C ἀλγεινῶν BEK post ἀλγηδόνων add. ἡδονῶν FG
20 τοὺς σὺν αἰσθήσει Arm: οὓς συναισθήσει BE, οὐ σὺν αἰσθήσει KFGMAH¹P, σὺν αἰσθήσει
(οὐ eras.) H²L(v), ἐν συναισθήσει C πόθου CF¹GA 21 δι᾽ ἔρωτα BE:
ἢ δι᾽ ἔρωτα ceteri 22 ἐπικερδίας BECFG

πόλιν ἐπὶ καιρῶν ἐν τοῖς ἀναγκαιοτάτοις καὶ μεγίστοις ὀνῆσαι, οἱ δὲ
ἱστορίαν ὧν πρότερον ἠγνόουν τέρψιν ἅμα καὶ ὠφέλειαν τῇ ψυχῇ παρα-
σκευάζουσαν — τυφλοὶ γὰρ παρ᾿ ὀξὺ βλέποντας ἀναποδήμητοι παρ᾿ ἐκδεδη-
μηκότας —, ὅμως ἐπείγονται τὸ πατρῷον ἔδαφος ἰδεῖν καὶ προσκυνῆσαι
καὶ συνήθεις ἀσπάσασθαι συγγενῶν τε καὶ φίλων ἡδίστης καὶ ποθεινο-
τάτης ὄψεως ἀπολαῦσαι καὶ πολλάκις τὰς πράξεις, ὧν ἕνεκα ἐξεδήμησαν,
μηκυνομένας ὁρῶντες κατέλιπον ἱμέρῳ τῶν προσηκόντων ἑλχθέντες
66 βιαιοτάτῳ. μετ᾿ ὀλίγων δὲ οὗτος ᾗ καὶ μόνος ἅμα τῷ κελευσθῆναι
μετανίστατο καὶ τῇ ψυχῇ πρὸ τοῦ σώματος τὴν ἀποικίαν ἐστέλλετο, τὸν
67 ἐπὶ τοῖς θνητοῖς ἵμερον παρευημεροῦντος ἔρωτος οὐρανίου. οὐδενὸς
οὖν φροντίσας, οὐ φυλετῶν, οὐ δημοτῶν, οὐ συμφοιτητῶν, οὐχ ἑταίρων,
οὐ τῶν ἀφ᾿ αἵματος ὅσοι πρὸς πατρὸς ἢ μητρὸς ἦσαν, οὐ πατρίδος, οὐκ
ἀρχαίων ἐθῶν, οὐ συντροφίας, οὐ συνδιαιτήσεως, ὧν ἕκαστον ἀγωγόν τε
καὶ δυσαπόσπαστον ὁλκὸν ἔχον δύναμιν, ἐλευθέραις καὶ ἀφέτοις ὁρμαῖς
ᾗ τάχιστα μετανίσταται. τὸ μὲν πρῶτον ἀπὸ τῆς Χαλδαίων γῆς, εὐ-
δαίμονος χώρας καὶ κατ᾿ ἐκεῖνον ἀκμαζούσης τὸν χρόνον, εἰς τὴν
Χαρραίων γῆν (Gen. 12, 5). ἔπειτα οὐ μακρὰν ὕστερον καὶ ἀπὸ ταύτης
εἰς ἕτερον τόπον, περὶ οὗ λέξομεν ἐκεῖνο πρότερον εἰπόντες.
68 (15.) Αἱ δηλωθεῖσαι ἀποικίαι τῷ μὲν ῥητῷ τῆς γραφῆς ὑπ᾿ ἀνδρὸς
σοφοῦ γεγόνασι, κατὰ δὲ τοὺς ἐν ἀλληγορίᾳ νόμους ὑπὸ φιλαρέτου ψυχῆς
69 τὸν ἀληθῆ ζητούσης θεόν. Χαλδαῖοι γὰρ ἐν τοῖς μάλιστα διαπονήσαντες

1 καὶ μεγίστοις om. Arm ὀνῆσαι] οἰκῆσαι M, κατανοῆσαι CFG δ᾿ BE
2 ὧν] ἣν A 3 παρ᾿ ὀξὺ βλέποντας BEF: παροξὺ βλέποντας G, παρ᾿ ὀξὺ βλέποντες A, παροξὺ βλέποντες C, παρ᾿ ὀξυβλεποῦντας KMP, πρὸς ὀξυβλεποῦντας H, πρὸς ὀξὺ βλέποντας v ἀναποδήμητοι παρ᾿ ἐκδεδημηκότας om. CFG ἀποδήμητοι BE παρ᾿ ἐκδεδημηκότας KM: παρεκδεδημηκότας BEP, παρεκδεδυκότας A, πρὸς ἐκδεδημηκότας H(v) 4 ἠπείγοντο G ante τὸ add. καὶ CFA πατρῷον] πρῶτον P καὶ προσκυνῆσαι om. Arm 5 ἡδίστης καὶ om. Arm 6 τὰς om. BEK 7 ἑλχθέντες C Arm: ἐλεχθέντες F, ἐλεγχθέντες ceteri 8 βεβαιοτάτω H (Turn.) ὀλίγον (alt. o in ras.) B ᾗ καὶ] ἧκε BE 11 οὖν] γοῦν BE οὐ φυλετῶν] ὀφειλετῶν A οὐχ ἑταίρων om. H ἑτέρων A Arm 12 ὅσοι—ἦσαν om. Arm πρὸς om. C πατρίδος] πατρός CFG 12. 13 οὐκ ἀρχαίων ἐθῶν om. Arm 13 οὐ συνδιαιτήσεως om. Arm 14 ⟨καὶ⟩ ὁλκὸν coni. Mang. ἔχων A post ἔχον ss. καὶ B (Richt.) ἐλευθέραις E: ἐλευθέροις ceteri (v) 15 ἡ H, ἢ BMA τάχιστον K μὲν om. CFG 16 ἀκμαζούσης BEK Arm: ἁρμοζούσης ceteri 17 Χαρραίων γῆν] Μεσοποταμίαν Arm γῆν om. BE ἔπειτ᾿ BEK ἔπειτα—ὕστερον om. Arm 18 τόπον—εἰπόντες om. BE 19 Αἱ] αἱ δὲ BE ῥητῷ BEK: ῥήματι ceteri 20 κατὰ δὲ ἀλληγορίαν νόμων Arm ἐν ἀλληγορίᾳ BEK: ἀλληγορίας ceteri 21 ἐν τοῖς] ἑαυτοῖς G διαποιήσαντες BE (alt. ι corr. ex ν E)

21 sqq. *Ambros. De Abraham II 3,9* .... unde liquet eo referendum quia, quamdiu

ἀστρονομίαν καὶ πάντα ταῖς κινήσεσι τῶν ἀστέρων ἀναθέντες ὑπέλαβον οἰκονομεῖσθαι τὰ ἐν κόσμῳ δυνάμεσιν, ἃς περιέχουσιν ἀριθμοὶ καὶ ἀριθμῶν ἀναλογίαι, ⟨καὶ⟩ τὴν ὁρατὴν οὐσίαν ἐσέμνυνον τῆς ἀοράτου καὶ νοητῆς οὐ λαβόντες ἔννοιαν, ἀλλὰ τὴν ἐν ἐκείνοις τάξιν διερευνώμενοι κατά τε τὰς ἡλίου καὶ σελήνης καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν περιόδους καὶ κατὰ τὰς τῶν ἐτησίων ὡρῶν μεταβολὰς καὶ κατὰ τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια συμπάθειαν τὸν κόσμον αὐτὸν ὑπέλαβον εἶναι θεόν, οὐκ εὐαγῶς τὸ γενόμενον ἐξομοιώσαντες τῷ πεποιηκότι. ταύτῃ τοι τῇ δόξῃ 70
συντραφεὶς καὶ χαλδαΐσας μακρόν τινα χρόνον. ὥσπερ ἐκ βαθέος
p. 12 M. ὕπνου | διοίξας τὸ τῆς ψυχῆς ὄμμα καὶ καθαρὰν αὐγὴν ἀντὶ σκότους βαθέος βλέπειν ἀρξάμενος ἠκολούθησε τῷ φέγγει καὶ κατεῖδεν. ὃ μὴ πρότερον ἐθεάσατο. τοῦ κόσμου τινὰ ἡνίοχον καὶ κυβερνήτην ἐφεστῶτα καὶ σωτηρίως εὐθύνοντα τὸ οἰκεῖον ἔργον, ἐπιμέλειάν τε καὶ προστασίαν καὶ τῶν ἐν αὐτῷ μερῶν ὅσα θείας ἐπάξια φροντίδος ποιούμενον. ὅπως 71
οὖν βεβαιώσηται τὴν φανεῖσαν ὄψιν ἐν τῇ διανοίᾳ παγιώτερον, αὖθίς φησιν ὁ ἱερὸς λόγος αὐτῷ· „τὰ μεγάλα, ὦ οὗτος, ὑποτυπώσει βραχυτέρων

1 καὶ τὰ πάντα F, καὶ πάντα om. G ὑπέλαβον CFGK: οἷς ὑπέλαβον BE, αἷς ὑπέλαβον ceteri 2—8 ἀριθμοὶ — πεποιηκότι in K ab alt. manu suppleta 2. 3 ἃς— ἀναλογίαι om. Arm 2 ἅσπερ ἔχουσιν BE 3 καὶ addidi ἐσέμνυνον CFGK: ἐσέμνυναν ceteri 5 σελήνης καὶ ἡλίου transp. BE Arm quart. καὶ BEM: ἢ ceteri 6 κατὰ] καὶ F τὰς om. H¹P¹ ὁρῶν C τῶν om. G 7 συμ=θει· (sic) C 8 ἐξομοιώσαντες codd. (Turn.): ἐφομοιώσαντες Mang. τῷ om. H¹P τοι K (coni. Mang.): τις ceteri δόξει G 10 διανοίξας CA(v), διανοίας FG 12 τινὰ om. H¹P 13. 14 ἐπιμέλειαν — ποιούμενον om. Arm 14 ante καὶ add. αὐτοῦ vel τοῦ παντὸς Mang. post ὅπως add. δ' H(v) 15 γοῦν coni. Mang. βεβαιώσηται codd.: βεβαιώσῃ v 15. 16 αὖθίς φησιν BE: αὖ φησιν KAHP, φησιν CFGM 16 ὁ ἱερὸς λόγος αὐτῷ BEK: αὐτῷ ὁ ἱερὸς λόγος ceteri

Chaldaeus fuit, hoc est non solum in regione, sed etiam in opinione Chaldaeorum, non poterat deum videre, quem intra mundum quaerebat. Chaldaei enim mundum superiorem deum dicunt, ut etiam . . . stellarum cursu ferri adserunt ea quae terrena sunt et quodam coerceri vinculo. unde et deos stellas appellaverunt, eo quod eas dominatum quendam habere supernum credant, quia quaedam stellis ad terrena compassio est. . . . ergo quamdiu mens Chaldaicis erroribus flectitur, non videt deum, quem in his quaerit quae videntur, non in his quae non videntur. . . . unde nec Abraham primum videbat. quomodo autem poterat videre eum, supra quem alterum esse arbitrabatur? ubi vero ad aliam demigravit non regionem, sed veram religionem paratam humilitati — hoc enim significat Chanaan —, tunc deum videre coepit et eum cognoscere esse deum, cuius invisibili virtute advertit omnia regi et gubernari. hoc ergo scriptura docet, quia Abraham stellarum observatione demigrans deum vidit.

πολλάκις γνωρίζεται, πρὸς ἃ τις ἀπιδὼν ηὔξησε τὴν φαντασίαν ἀπεριγράφοις
μεγέθεσι. παραπεμψάμενος οὖν τούς τε κατ᾽ οὐρανὸν περιπολοῦντας καὶ
τὴν Χαλδαϊκὴν ἐπιστήμην μετανάστηθι πρὸς ὀλίγον χρόνον ἀπὸ τῆς
μεγίστης πόλεως, τοῦδε τοῦ κόσμου, πρὸς βραχυτέραν, δι᾽ ἧς δυνήσῃ μᾶλλον
72 καταλαβεῖν τὸν ἔφορον τοῦ παντός.“ διὰ τοῦτο τὴν πρώτην ἀποικίαν
ἀπὸ τῆς Χαλδαίων γῆς εἰς τὴν Χαρραίων λέγεται ποιήσασθαι. (16.)
Χαρρὰν δὲ Ἑλληνιστὶ „τρῶγλαι“ λέγονται, κατὰ σύμβολον αἱ τῶν ἡμετέ-
ρων αἰσθήσεων χῶραι, δι᾽ ὧν ὥσπερ ὀπῶν ἑκάστη διακύπτειν πέφυκε πρὸς
73 τὴν τῶν οἰκείων ἀντίληψιν. ἀλλὰ τί τούτων, εἴποι τις ἄν, ὄφελος ἦν, εἰ
μὴ νοῦς ἀόρατος καθάπερ θαυματοποιὸς ἔνδοθεν ὑπήχει ταῖς ἑαυτοῦ
δυνάμεσιν, ἃς τοτὲ μὲν ἀνιεὶς καὶ ἐπιχαλῶν τοτὲ δὲ ἀντισπῶν καὶ ἀνθέλκων
βίᾳ κίνησιν ἐμμελῆ καὶ πάλιν ἡσυχίαν ἐμπαρεῖχε τοῖς θαυμασίοις;
τοῦτο ἔχων παρὰ σεαυτῷ τὸ παράδειγμα ῥᾳδίως οὐ σφόδρα ποθεῖς λαβεῖν
74 τὴν ἐπιστήμην κατανοήσεις. οὐ γὰρ ἐν σοὶ μὲν νοῦς ἐστιν ἡγεμὼν
ἐπιτεταγμένος, ᾧ καὶ τοῦ σώματος ἅπασα κοινωνία πειθαρχεῖ καὶ ἑκάστη
τῶν αἰσθήσεων ἕπεται, ὁ δὲ κόσμος, τὸ κάλλιστον καὶ μέγιστον καὶ
τελεώτατον ἔργον, οὗ πάντα τὰ ἄλλα συμβέβηκεν εἶναι μέρη, βασιλέως
ἀμοιρεῖ τοῦ συνέχοντος καὶ ἐνδίκως ἐπιτροπεύοντος. εἰ δ᾽ ἀόρατος
75 ὁ βασιλεύς, μὴ θαυμάσῃς· οὐδὲ γὰρ ὁ ἐν σοὶ νοῦς ὁρατός. ταῦτά τις
ἐπιλογιζόμενος καὶ οὐ πόρρωθεν ἀλλ᾽ ἐγγύθεν ἀναδιδασκόμενος ἔκ τε
ἑαυτοῦ καὶ τῶν περὶ αὑτὸν εἴσεται σαφῶς, ὅτι ὁ κόσμος οὐκ ἔστιν ὁ
πρῶτος θεός, ἀλλ᾽ ἔργον τοῦ πρώτου θεοῦ καὶ τοῦ συμπάντων πατρός,
ὃς ἀειδὴς ὢν πάντα φαίνει μικρῶν τε αὖ καὶ μεγάλων διαδεικνὺς τὰς

1 ηὔξησε] ἦγξε CFG (Turn.) 2 παραπεμψάμενος] ἱλασάμενος BE περιπολοῦντας ἀστέρας Arm 3 χρόνον om. Turn. 4 δι᾽ ἧς δυνήσῃ BEK Arm: δυνήσῃ γὰρ ceteri (v) 5 post παντός add. ὅτι μὴ σεαυτοῦ BE 6 τὴν τῶν χαρραίων A ποιεῖσθαι HP(v) 7 χαρρὰ F δ᾽ BEK 8 διακύπτειν πέφυκε BEK: πέφυκε διακύπτειν ceteri 9 ἦν om. MHP(v) 10 ἀοράτως coni. Mang. θαυμαστοποιὸς G, θαυματοποιοὺς A ἔνδον BEK ὑπηχεῖ B, ὑφηχεῖ C, ὑφήχει G, ἠπείχει F 11 δ᾽ BEK 12 πάλιν BEK Arm: πολλὴν ceteri (v); κατὰ πολλὴν coni. Mang. ἐμπαρεῖχε τοῖς θαυμασίοις BEK: ἐμπαρείχετο τοῖς θαύμασι ceteri τοῖς θαυμασίοις om. Arm 13 τὸ om. BEF 14 κατανοήσῃς C οὐ] εἰ A μὲν] γε BA ὁ νοῦς CFG(v) 15 ᾧ] οὗ F 16 καὶ μέγιστον om. BK Arm 17 τελεώτατον BEK: τελειότατον ceteri οὗ—μέρη om. Arm τὰ ἄλλα πάντα transp. F 18 συνέχοντος Mang.: συνεξόντος codd. ἐπιτροπεύσαντος BE, ἐπιτροπεύσοντος KHP ἀοράτως C 19 ὁ βασιλεύς BEK Arm: om. ceteri (v) μὴ—ὁρατός om. CFG 20 ἀλλ᾽ ἐγγύθεν om. BE 21 ἑαυτοῦ BE: αὐτοῦ MH^2, τῶν ἑαυτοῦ K, αὐτοῦ CFH^{1}P, αὖ (sic) G, αὐτὰς A αὐτὸν codd. εἴσεται] εἰ ἔσται G 23 ἀϊδὴς BE αὖ om. K δεικνὺς CFGMA

φύσεις. σώματος γὰρ ὀφθαλμοῖς οὐκ ἠξίωσε καταλαμβάνεσθαι, τάχα μὲν 76
ἐπειδὴ θνητὸν ἀιδίου ψαύειν οὐχ ὅσιον ἦν, τάχα δὲ καὶ δι' ἀσθένειαν τῆς
ἡμετέρας ὄψεως· οὐ γὰρ ἂν ἐχώρησε τὰς ἀπὸ τοῦ ὄντος ἐκχεομένας αὐ-
13 M. γάς, ὁπότε οὐδὲ ταῖς ἀφ' ἡλίου προσβλέπειν ἀκτῖσιν οἷα τέ ἐστι. (17.)
τεκμήριον δὲ ἐναργέστατον τῆς ἀποικίας, ἣν ἀπ' ἀστρονομίας καὶ τῆς 77
χαλδαΐζούσης δόξης ἡ διάνοια ἐστείλατο· λέγεται γὰρ εὐθὺς ἅμα τῇ
μεταναστάσει τοῦ σοφοῦ· „ὤφθη δὲ ὁ θεὸς τῷ Ἀβραάμ“ (Gen. 12, 7)·
ᾧ δῆλον ὅτι πρότερον οὐκ ἦν ἐμφανής, ὅτε χαλδαΐζων τῇ τῶν ἀστέρων
χορείᾳ προσεῖχεν ἔξω τοῦ κόσμου καὶ τῆς αἰσθητῆς οὐσίας εὐάρμοστον
καὶ νοητὴν φύσιν οὐδεμίαν ἁπλῶς καταλαμβάνων. ἐπεὶ δὲ μετεχώ- 78
ρησε καὶ μεθωρμίσατο, κατὰ τἀναγκαῖον ἔγνω τὸν κόσμον ὑπήκοον ἀλλ'
οὐκ αὐτοκράτορα, οὐ πρυτανεύοντα ἀλλὰ πρυτανευόμενον ὑπ' αἰτίου τοῦ
πεποιηκότος, ὅπερ ἡ διάνοια τότε πρῶτον ἀναβλέψασα εἶδε. πολλὴ γὰρ 79
αὐτῆς πρότερον ἀχλὺς ὑπὸ τῶν αἰσθητῶν κατεκέχυτο, ἣν ἐνθέρμοις καὶ
διαπύροις δόγμασιν ἀνασκεδάσασα μόλις ἴσχυσεν ὡς ἐν αἰθρίᾳ καθαρᾷ τοῦ
πάλαι κρυπτομένου καὶ ἀειδοῦς φαντασίαν λαβεῖν· ὃς ἕνεκα φιλανθρωπίας
ἀφικνουμένην τὴν ψυχὴν ὡς ἑαυτὸν οὐκ ἀπεστράφη, προϋπαντήσας δὲ
τὴν ἑαυτοῦ φύσιν ἔδειξε, καθ' ὅσον οἷόν τε ἦν ἰδεῖν τὸν βλέποντα. διὸ 80
λέγεται, οὐχ ὅτι ὁ σοφὸς εἶδε θεόν, ἀλλ' ὅτι „ὁ θεὸς ὤφθη“ τῷ σοφῷ·
καὶ γὰρ ἦν ἀδύνατον καταλαβεῖν τινα δι' αὐτοῦ τὸ πρὸς ἀλήθειαν ὄν,
μὴ παραφήναντος ἐκείνου ἑαυτὸν καὶ ἐπιδείξαντος. (18.) μαρτυρεῖ δὲ 81

1 ὀφθαλμοὺς G 3 ἐκχεομένας BEK Arm: χεομένας ceteri 4 ὁπόταν A οἷα KM: οἷα ceteri (v) 5 δὲ om. BEK ἐναργέστατον τῆς ἀποικίας BEK Arm: τῆς ἀποικίας ἐναργέστατον ceteri ἣν] ἦν AG ἀστρονομικῆς Arm 6 ἡ διάνοια] ἢ διανοίας BE 6. 7 εὐθὺς ἅμα τῇ μεταναστάσει BEK Arm: εὐθὺς post μεταναστάσει transp. ceteri 7 μεταστάσει FG 8 ᾧι B, ὁ (pro ᾧ) Arm δῆλον ὅτι CBEK: δηλονότι ceteri ἦν om. Arm. ἄστρων BEK 9 πορεία CMAH²P² 9. 10 ἔξω—καταλαμβάνων om. Arm 9 ἀνάρμοστον BE 10. 11 μετεχώρησε καὶ μεθωρμίσατο BEK Arm: μεθωρμ. καὶ μετεχ. ceteri 11 μεθωρμήσατο BEAP κατ' ἀναγκαῖον MH¹P 12 οὐ πρυτανεύοντα ἀλλὰ om. BEK Arm (fort. recte) 13 ἀναβλέψασα BEK Arm (coni. Mang.): ἀντιβλέψασα ceteri πολὺ F 14 αὐτῇ A ἐνθέρμοις MAHP: ἐν θερμοῖς ceteri 15 διαπόροις P 15. 16 ἀνασκεδάσασα—κρυπτομένου] ἀνασκεπτομένου (cet. om.) BE 16 ἀΐδοῦς BE ἕνεκα BEK: ἕνεκεν ceteri 17 ἀφικνουμένου τῆς ψυχῆς F ἑαυτὸν BEK: αὑτὸν M, αὐτὸν ceteri 18 αὐτοῦ F τ' MH² ἦν om. BK 18. 19 τὸν—θεόν om. A 19 ὅτι οὐχ transp. K ὤφθη ὁ θεὸς transp. BK 20 δι' om. CFG αὑτοῦ EKH: αὐτοῦ ceteri ὄν] ἀγαθόν Arm 21 ἑαυτὸν codd: ἑαυτὸ v ἐπιδείξαντος BEK: παραδείξαντος ceteri; προφήναντος et προδείξαντος coni. Mang.

τοῖς εἰρημένοις καὶ ἡ τοῦ ὀνόματος ὑπαλλαγὴ καὶ μετάθεσις. ἐκαλεῖτο
γὰρ Ἄβραμ τὸ ἀρχαῖον ὄνομα, προσερρήθη δ' ὕστερον Ἀβραάμ, φωνῇ μὲν
ἑνὸς στοιχείου τοῦ ἄλφα διπλασιασθέντος, δυνάμει δὲ μεγάλου πράγματος
82 καὶ δόγματος ἐνδειξαμένου τὴν μεταβολήν. Ἄβραμ μὲν γὰρ ἑρμηνευθέν
ἐστι „πατὴρ μετέωρος", Ἀβραὰμ δὲ „πατὴρ ἐκλεκτὸς ἠχοῦς", τὸ
μὲν πρότερον ἐμφαῖνον τὸν ἀστρολογικὸν καὶ μετεωρολογικὸν ἐπικαλούμενον,
οὕτως τῶν Χαλδαϊκῶν δογμάτων ἐπιμελούμενον, ὡς ἄν τις πατὴρ ἐγγόνων
83 ἐπιμεληθείη, τὸ δ' ὕστερον τὸν σοφόν. διὰ μὲν γὰρ τῆς ἠχοῦς τὸν
προφορικὸν λόγον αἰνίττεται, διὰ τοῦ πατρὸς δὲ τὸν ἡγεμόνα νοῦν — πατὴρ
γὰρ ὁ ἐνδιάθετος φύσει τοῦ γεγωνοῦ πρεσβύτερός γε ὢν καὶ τὰ λεκτέα
ὑποσπείρων —, διὰ δὲ τοῦ ἐπιλέκτου τὸν ἀστεῖον· εἰκαῖος μὲν γὰρ καὶ
πεφυρμένος ὁ φαῦλος τρόπος, ἐκλεκτὸς δὲ ὁ ἀγαθός, ἐπικριθεὶς ἐξ ἁπάντων
84 ἀριστίνδην. τῷ μὲν οὖν μετεωρολογικῷ μεῖζον οὐδὲν τοῦ κόσμου τὸ
παράπαν εἶναι δοκεῖ, ᾧ καὶ τὰς τῶν γινομένων αἰτίας ἀνατίθησιν· ὁ δὲ
σοφὸς ἀκριβεστέροις ὄμμασιν ἰδών τι τελεώτερον νοητὸν ἄρχον τε καὶ
ἡγεμονεῦον, ὑφ' οὗ τἄλλα | δεσπόζεται καὶ κυβερνᾶται, πολλὰ κατεμέμψατο p. 14 M.
τῆς προτέρας ζωῆς ἑαυτὸν ὡς τυφλὸν βίον διεξεληλυθότα, σκηριπτόμενον
85 ἐπὶ τοῖς αἰσθητοῖς, ἀβεβαίῳ καὶ ἀνιδρύτῳ φύσει πράγματι. δευτέραν δ'
ἀποικίαν στέλλεται λογίῳ πάλιν πεισθεὶς ὁ ἀστεῖος οὐκέτ' ἐκ πόλεως
εἰς πόλιν, ἀλλ' εἰς χώραν ἐρήμην (Gen. 12, 9), ἐν ᾗ πλαζόμενος διετέλει
86 μὴ δυσαρεστῶν τῇ πλάνῃ καὶ τῷ δι' αὐτὴν ἀνιδρύτῳ. καίτοι τίς ἕτερος
οὐκ ἂν ἠχθέσθη μὴ μόνον τῆς οἰκείας ἀπανιστάμενος, ἀλλὰ καὶ ἐξ

1 τοῖς ὁρωμένοις K 2 ἄβραμ MA: ἄβραμ ceteri, ἀβραάμ v τῷ ἀρχαίῳ ὀνόματι K προσερήθη EK δὲ BEK 3 ἄλφα om. A 3.4 πράγματος καὶ om. Arm 4 καὶ δόγματος om. BE ἐνδεξαμένου BE μὲν om. K 4.5 ἐστιν ἑρμηνευθὲν transp. HP 5 ἤχους FG 6 καὶ μετεωρολογικὸν om. FG ἐπικαλούμενον om. Arm 7 οὕτως BE, οὕτωξ K: οὕτω ceteri χαλδαϊκῶν BEK: χαλδαίων ceteri δογμάτων om. H[1]P ἐπιμελόμενον CMHP(v), ἐπιμελομένου G τις om. Arm 9 διὰ τοῦ πατρὸς δὲ BEK: διὰ δὲ τοῦ πατρὸς ceteri 10 ὁ ἐνδιάθετος om. Arm φύσει] πέφυκε Arm γεγωνοῦ E Arm, γεγονοῦ B: λεγομένου ceteri πρεσβύτερος—καὶ om. Arm γε BE: τε ceteri (Turn.), om. Mang. 11 ἐπιλέκτου K (ἐκλεκτοῦ Arm): ἐπιλελεγμένου AP, ἐπιλεγομένου ceteri; ἐξειλεγμένου coni. Mang. γὰρ om. BE 13 τοῦ BEK: om. ceteri 14 παράπαν] πᾶν CFGA καὶ om. G 15 ἀκριβέστερον BE τι Arm: ὅτι BEK, τὸ ceteri (v) 16 ἀφ' οὗ BEK τἄλλα EK, τἄλλα B: τὰ ἄλλα ceteri σπουδάζεται F πολλὰ BEK Arm: πολλάκι C, πολλάκις ceteri (v) 17 βίου BK σκ μενον A, lac. expl. man. rec. 18 φύσιν C, φύσεως A 19 στέλλεται BEK Arm: πάλιν στέλλεται (ut πάλιν bis legatur) ceteri οὐκέτ' BEK: οὐκέτι ceteri 21 τῇ om. F 22 οὐκ om. CG ἠχέσθη A μὴ BEK: οὐ ceteri οἰκίας BCFGM post καὶ eras. τὸν HP

ἁπάσης πόλεως ἐλαυνόμενος εἰς δυσβάτους καὶ δυσπορεύτους ἀνοδίας;
τίς δ' οὐκ ἂν μετατραπόμενος ἐπαλινδρόμησεν οἴκαδε, βραχέα μὲν
φροντίσας τῶν μελλουσῶν ἐλπίδων, τὴν δὲ παροῦσαν ἀπορίαν σπεύδων
ἐκφυγεῖν, συνήθειαν ὑπολαβὼν ἀδήλων χάριν ἀγαθῶν ὁμολογούμενα
αἱρεῖσθαι κακά; μόνος δ' οὑτοσὶ τοὐναντίον πεπονθέναι φαίνεται, βίον 87
ἥδιστον νομίζων τὸν ἄνευ συνδιαιτήσεως τῆς τῶν πολλῶν. καὶ πέφυκεν
οὕτως ἔχειν· οἱ γὰρ ζητοῦντες καὶ ἐπιποθοῦντες θεὸν ἀνευρεῖν τὴν φίλην
αὐτῷ μόνωσιν ἀγαπῶσι, κατ' αὐτὸ τοῦτο σπεύδοντες πρῶτον ἐξομοιοῦσθαι
τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει. ἑκατέραν οὖν ἀπόδοσιν πεποιημένοι, 88
τήν τε ῥητὴν ὡς ἐπ' ἀνδρὸς καὶ τὴν δι' ὑπονοιῶν ὡς ἐπὶ ψυχῆς, ἀξιέραστον καὶ τὸν ἄνδρα καὶ τὸν νοῦν ἀπεφήναμεν, τὸν μὲν πεισθέντα λογίοις
ἐκ δυσαποσπάστων ἀφελκυσθέντα, τὸν δὲ νοῦν, ὅτι οὐ μέχρι παντὸς
ἀπατηθεὶς ἐπὶ τῆς αἰσθητῆς οὐσίας ἔστη τὸν ὁρατὸν κόσμον ὑπολαβὼν
μέγιστον καὶ πρῶτον εἶναι θεόν, ἀλλὰ ἀναδραμὼν τῷ λογισμῷ φύσιν ἑτέραν
ἀμείνω τῆς ὁρατῆς νοητὴν ἐθεάσατο καὶ τὸν ἀμφοῖν ποιητὴν ὁμοῦ καὶ
ἡγεμόνα.

(19.) Ταῦτα τοῦ θεοφιλοῦς τὰ προτέλεια, οἷς ἕπονται πράξεις οὐκ 89
εὐκαταφρόνητοι. τὸ δὲ μέγεθος αὐτῶν οὐ παντί τῳ δῆλον, ἀλλὰ μόνον
τοῖς γευσαμένοις ἀρετῆς, οἳ τὰ θαυμαζόμενα παρὰ τοῖς πολλοῖς εἰώθασι
χλευάζειν ἕνεκα μεγέθους τῶν περὶ ψυχὴν ἀγαθῶν. ἀποδεξάμενος οὖν 90
ὁ θεὸς τὴν εἰρημένην πρᾶξιν αὐτίκα τὸν ἀστεῖον ἀμείβεται μεγάλῃ δωρεᾷ,
τὸν γάμον αὐτῷ κινδυνεύσαντα πρὸς δυνατοῦ καὶ ἀκρατοῦς ἀνδρὸς ἐπιβουλευθῆναι διατηρήσας ἄψαυστόν τε καὶ σῷον. ἡ δ' αἰτία τῆς ἐπιθέσεως 91
ἀρχὴν ἔλαβε τοιάνδε. καρπῶν ἀφορίας ἐπὶ συχνὸν χρόνον γενομένης,

2 μετατραπόμενος BEK: μετατρεπόμενος ceteri οἴκαδε] ἀποστελλόμενος H 4 ἀγαθῶν om. C 5 οὑτοσὶ BEK: οὗτος ceteri τοὐναντίον codd: τοῦτο Arm 6 συνδιαιτήσεως τῆς τῶν πολλῶν BEK: τῆς τ. π. συνδ. ceteri 7 εὑρεῖν CFG; ἀνευρεῖν fort. secludendum 8 καθ' αὑτὸ BE σπεύδοντες πρῶτον BEK Arm: πρῶτον σπεύδοντες ceteri 10 ἐπ' BEKH[2] Arm: ὑπ' ceteri 11 καὶ τὸν ἄνδρα om. K 12 δυσαποσπασθέντων K τὸν] τὸ C 13 ἀπαιτηθεὶς K ὁρατὸν CF[2]MH[2], ὁρατὸν corr. ex ἀόρατον B: ἀόρατον ceteri 13. 14 τὸν—θεόν om. Arm 14 ἀλλ' KHP 15 ἐθεᾶτο BEK ποιητὴν ὁμοῦ BEK Arm: ὁμοῦ ποιητὴν ceteri 17 τοῦ] τοὺσ (sed σ eras.) C 17. 18 οὐκεκαταφρόνητοι (sic) C 18 παντί τῳ BEK: τῳ om. ceteri πάντῃ FG 19 οἳ τὰ] οἷα CFG παρὰ om. H (Turn.) 20 περὶ ψυχὴν K: περὶ ψυχῆς BE, τῆς ψυχῆς (om. περὶ) ceteri 21 ὁ θεὸς om. BE μεγάλῃ om. Arm 22 ἀκρατοῦς] αὐτοκράτορος male coni. Mang. 23 σῷον] θεῖον BK 24 καρπὸν A ἀφορίας BEK Arm (coni. Mang.): ἀπορίας ceteri

24 sqq. Gen. 12,10 sqq.

τοτὲ μὲν διὰ πολλὴν καὶ ἄμετρον ἐπομβρίαν τοτὲ δὲ δι᾽ αὐχμὸν καὶ ζάλην,
αἱ κατὰ Συρίαν πόλεις συνεχεῖ λιμῷ πιεσθεῖσαι κεναὶ τῶν οἰκητόρων ἦσαν,
ἄλλων ἀλλαχόσε σκιδναμένων κατὰ ζήτησιν τροφῆς καὶ πορισμὸν τῶν ἀναγ-
92 καίων. πυθόμενος οὖν Ἀβραὰμ ἄφθονον εὐθηνίαν καὶ εὐετηρίαν ἐν Αἰ-
γύπτῳ, τοῦ μὲν ποταμοῦ ταῖς πλημμύραις λιμνάσαντος ἐν καιρῷ τὰ πεδία,
τῶν δὲ τὸν σπόρον εὔσταχυν ἐνεγκόντων καὶ ἀναθρεψαμένων | εὐκρασίαις p. 15 M.
93 πνευμάτων, ἀπαίρει πᾶσαν τὴν οἰκίαν ἐπαγόμενος. ἦν δ᾽ αὐτῷ γυνὴ
τήν τε ψυχὴν ἀρίστη καὶ τὸ σῶμα τῶν καθ᾽ αὑτὴν περικαλλεστάτη·
ταύτην ἰδόντες τῶν Αἰγυπτίων οἱ ἐν τέλει καὶ τῆς εὐμορφίας ἀγάμενοι
94 — λανθάνει γὰρ τοὺς ἐν ἐξοχαῖς οὐδέν — μηνύουσι τῷ βασιλεῖ. με-
ταπεμψάμενος δὲ τὴν ἄνθρωπον καὶ θεασάμενος ἐκπρεπεστάτην ὄψιν,
βραχὺ φροντίσας αἰδοῦς καὶ νόμων τῶν ἐπὶ τιμῇ ξένων ὁρισθέντων,
ἐνδοὺς ἀκρασίᾳ διενοεῖτο λόγῳ μὲν αὐτὴν ἀγαγέσθαι πρὸς γάμον, τὸ δ᾽
95 ἀληθὲς αἰσχύνειν. ἡ δ᾽ ἅτε ἐν ἀλλοτρίᾳ γῇ παρ᾽ ἀκρατεῖ τε καὶ ὠμοθύμῳ
δυνάστῃ τοῦ βοηθήσοντος ἀποροῦσα — οὐδὲ γὰρ ὁ ἀνὴρ ἔσθενεν ἀρήγειν
τὸν ἐπικρεμάμενον ἐκ τῶν δυνατωτέρων φόβον δεδιώς — ἐπὶ τὴν τελευ-
96 ταίαν ἅμ᾽ ἐκείνῳ καταφεύγει συμμαχίαν τὴν ἐκ θεοῦ. λαβὼν δὲ τῶν
ξένων οἶκτον ὁ εὐμενὴς καὶ ἵλεως καὶ ὑπέρμαχος τῶν ἀδικουμένων
ἀλγηδόνας δυσκαρτερήτους καὶ χαλεπὰς τιμωρίας ἐπάγει τῷ βασιλεῖ,
παντοίων κακῶν ἀναπλήσας αὐτοῦ σῶμα καὶ ψυχὴν δυσιάτων, ὡς τὰς
μὲν ἐφ᾽ ἡδονὴν ἀγούσας ὀρέξεις ἁπάσας ἐκκεκόφθαι, τὰς δ᾽ ἐναντίας
παρεισεληλυθέναι φροντίδας περὶ ἀπαλλαγῆς ἀνηνύτων βασάνων, ὑφ᾽ ὧν

η ϊ
2 λιμῷ πιεσθεῖσαι BEK Arm: πιεσθεῖσαι λιμῷ (λογισμῷ A) ceteri 4 εὐθένειαν B, εὐθένειαν E, εὐσθένειαν K 4. 5 καὶ εὐετηρίαν ἐν αἰγύπτω BEK Arm: ἐν αἰγύπτω καὶ εὐετηρίαν transp. ceteri 5 ταῖς πλημμύραις ante λιμνάσαντος BEK Arm.: ταῖς πλημμύραις post πεδία transp. ceteri πλημμυρίαις G λιμνάσαντος (λιμνά-
σαντος
ζοντος K) ἐν καιρῷ BEK Arm: ἐν καιρῷ λιμνάσαντος ceteri πεδία] ἐπιτήδεια BE 7 πνευμάτων] σπερμάτων K 8 τῶν καθ᾽ αὑτὴν om. Arm καταυτὴν C, κατ᾽ αὐτὴν FG 9 τῶν αἰγυπτίων BEK Arm: τῶν om. ceteri 10 post μηνύουσι add. δὴ H(v), δὲ (rursus del.) P 11 εὐπρεπεστάτην BK post ὄψιν add. αὐτῆς Arm 12 ὁρισθέντων ἢ καὶ ὁρισθέντα A 14 αἰσχύνειν BEFG: αἰσχυνεῖν ceteri ἢ M δὲ BEK ἅτ᾽ E παρακρατεῖται CGA ὠμοθύμω A 15 ἔστενεν A 16 δυνατοτέρων BE, ἀδυνατωτέρων H[1]P[1] 17 ἅμ᾽ BEK: ἅμα ceteri 18 ἀδικουμένων BEK Arm: ἅμα post ἀδικ. add. ceteri 19 ἀλγηδόνας] ὀδύνας C, ἡδονὰς F[1]G, ὀδίνας F[2] 20 κακῶν παντοίων transp. HP σῶμα BEK: τὸ σῶμα ceteri τὴν ψυχὴν CHP δυσίατον FG 21 ἐφ᾽ ἡδονὴν BEK Arm: ἐφ᾽ ἡδονὰς ceteri; ἐφηδυνούσας coni. Mang.

γυμναζόμενος μεθ' ἡμέραν καὶ νύκτωρ ἐξετραχηλίζετο. παραπέλαυσε δὲ 97
τῆς τιμωρίας καὶ σύμπας ὁ οἶκος αὐτῷ, μηδενὸς ἐπὶ τῇ παρανομίᾳ
δυσχεράναντος, ἀλλὰ πάντων ἕνεκα τοῦ συναινεῖν μόνον οὐ συγχειρουργη-
σάντων τὸ ἀδίκημα. τοῦτον τὸν τρόπον ἡ μὲν ἁγνεία τῆς γυναικὸς 98
διασῴζεται, τοῦ δὲ ἀνδρὸς τὴν καλοκἀγαθίαν καὶ εὐσέβειαν ὁ θεὸς ἠξίωσεν
ἐπιδείξασθαι γέρας αὐτῷ μέγιστον παρασχών, ἀσινῆ καὶ ἀνύβριστον ὅσον
οὔπω κινδυνεύσαντα διαφθαρῆναι τὸν γάμον, ὃς οὐκ ἔμελλεν ὀλίγων
ἀριθμὸν υἱῶν ἢ θυγατέρων γεννᾶν, ἀλλ' ὅλον ἔθνος καὶ ἐθνῶν τὸ
θεοφιλέστατον, ὅ μοι δοκεῖ τὴν ὑπὲρ παντὸς ἀνθρώπων γένους ἱερωσύνην
καὶ προφητείαν λαχεῖν.

(20.) Ἤκουσα μέντοι καὶ φυσικῶν ἀνδρῶν οὐκ ἀπὸ σκοποῦ τὰ 99
περὶ τὸν τόπον ἀλληγορούντων, οἳ τὸν μὲν ἄνδρα συμβολικῶς ἔφασκον
σπουδαῖον εἶναι νοῦν ἐκ τῆς περὶ τοὔνομα ἑρμηνευθείσης δυνάμεως
τεκμαιρόμενοι τρόπον ἀστεῖον ἐν ψυχῇ. τὴν δὲ τούτου γυναῖκα ἀρετήν,
ἧς τοὔνομά ἐστι Χαλδαϊστὶ μὲν Σάρρα, Ἑλληνιστὶ δὲ „ἄρχουσα", διὰ
τὸ μηδὲν ἀρετῆς ἀρχικώτερον εἶναι καὶ ἡγεμονικώτερον. γάμος δέ, ὃν 100
μὲν ἁρμόζεται ἡδονή, σωμάτων κοινωνίαν ἔλαχεν. ὃν δὲ σοφία, λογισμῶν
καθάρσεως ἐφιεμένων καὶ τελείων ἀρετῶν. ἐναντιώτατοι δὲ ἀλλήλοις
εἰσὶν οἱ λεχθέντες γάμοι. κατὰ μὲν γὰρ τὸν τῶν σωμάτων σπείρει μὲν 101
p. 16 M. τὸ ἄρρεν, γονὴν δ' ὑποδέχεται τὸ θῆλυ, κατὰ δὲ τὴν | ἐν ψυχαῖς σύνοδον
ἔμπαλιν ἡ μὲν ἀρετὴ τάξιν γυναικὸς ἔχειν δοκοῦσα σπείρειν πέφυκε βουλὰς
ἀγαθὰς καὶ λόγους σπουδαίους καὶ βιωφελεστάτων εἰσηγήσεις δογμάτων,
ὁ δὲ λογισμὸς εἰς τὴν ἀνδρὸς χώραν τάττεσθαι νομισθεὶς τὰς ἱεροπρεπεῖς
καὶ θείας ὑποδέχεται σποράς· ἢ μήποτε τὸ λεχθὲν ἔψευσται δι' ἀπάτην

1 μεθ' ἡμέρας A καὶ νύκτωρ om. A νύκτας C παραπέλαυσε BKMA, παραπέλευσε E: παραπήλαυσε ceteri 2 καὶ σύμπας BEK: καὶ om. ceteri συμπάσας C ὁ οἶκος αὐτῷ BEK Arm: αὐτῷ ὁ οἶκος ceteri; αὐτοῦ coni. Mang. προνομία F 3 αἰνεῖν CFG οὐχὶ BE 4 ἁγνία M 5 διασώζεται BEK Arm: διεσώζετο ceteri δ' BEK καὶ εὐσέβειαν ὁ θεὸς BEK Arm: ὁ θεὸς καὶ εὐσέβειαν transp. ceteri 6 ἐπιδείξασθαι BEK: ἐπιδείκνυσθαι ceteri ἀνύβριστον] ἀκίνδυνον F 7 οὔπω BEK: οὐδέπω ceteri διαφθαρῆναι τὸν γάμον BEK Arm: τὸν γάμον διαφθαρῆναι transp. ceteri γάμον ⟨τηρήσας⟩ coni. Wendl. coll. 21,23 ὃς om. Turn. ὀλίγων BEK Arm: om. ceteri 9 παντὸς BEK: ἅπαντος ceteri τὴν ἱερωσύνην P 11 post καὶ add. ἀπὸ P 12 τόπον] τύπον H^{2}L (Turn.) συμβουλικῶς E 16 εἶναι καὶ ἡγεμονικώτερον om. CFG ὃν] ὧν A 17 ἡδονῇ A ἔλαβεν Arm ὃν] ὧν A 18 ἐναντιότατοι EKF δ' BEK 20 γονὴν δ' ὑποδέχεται BEK Arm: γονήν, ὑποδέχεται δὲ ceteri 21 ἔχειν γυναικὸς transp. HP συμβουλὰς BK 22 καὶ λόγους σπουδαίους om. Arm 23 ἀνδρῶν K 24 καὶ θείας om. Arm ἢ] ἡ BP

ὀνομάτων. ἐπειδήπερ ὁ μὲν νοῦς ἄρρενος ἡ δ' ἀρετὴ θήλεος μετέχει
102 χαρακτῆρος ἐν φωναῖς. εἰ δέ τις τὰς ἐπισκιαζούσας κλήσεις ἀπαμφιάσας γυμνὰ τὰ πράγματα βουληθείη καθαρῶς ἰδεῖν, εἴσεται διότι ἄρρεν μέν ἐστιν ἡ ἀρετὴ φύσει, παρόσον κινεῖ καὶ διατίθησι καὶ καλὰς ἐννοίας καλῶν πράξεων καὶ λόγων ὑπηχεῖ, θῆλυ δὲ ὁ λογισμὸς κινούμενος καὶ παιδευόμενος καὶ ὠφελούμενος καὶ συνόλως ἐν τῷ πάσχειν ἐξεταζόμενος, καὶ τὸ πάθος
103 αὐτῷ τοῦτο μόνον ἐστὶ σωτήριον. (21.) ἅπαντες μὲν οὖν καὶ οἱ φαυλότατοι τῷ λόγῳ τιμῶσι καὶ θαυμάζουσιν ἀρετὴν ὅσα τῷ δοκεῖν, χρῶνται δ' αὐτῆς τοῖς παραγγέλμασιν οἱ ἀστεῖοι μόνοι. διὸ καὶ ὁ τῆς Αἰγύπτου βασιλεύς, ὅπερ ἐστὶ συμβολικῶς νοῦς φιλοσώματος, καθυποκρινόμενος ὡς ἐν θεάτρῳ προσποίητον ἐπιμορφάζει κοινωνίαν, πρὸς ἐγκράτειαν ὁ ἀκρατὴς καὶ πρὸς σωφροσύνην ὁ ἀκόλαστος καὶ πρὸς δικαιοσύνην ὁ ἄδικος, καὶ καλεῖ τὴν ἀρετὴν ὡς ἑαυτὸν τῆς παρὰ τοῖς πολλοῖς εὐφημίας γλιχό-
104 μενος. ὅπερ κατιδὼν ὁ ἔφορος — μόνῳ γὰρ ἔξεστι θεῷ ψυχὴν ἰδεῖν — ἐμίσησε καὶ προὐβάλετο καὶ βασάνοις ἤλεγξεν ἀργαλεωτάταις ἦθος κατεψευσμένον. αἱ δὲ βάσανοι διὰ τίνων ὀργάνων; ἢ πάντως διὰ τῶν τῆς ἀρετῆς μερῶν, ἅπερ ἐπεισιόντα χαλεπῶς αἰκίζεται καὶ τιτρώσκει· βάσανος μὲν γάρ ἐστιν ἀπληστίας ὀλιγοδεΐα, βάσανος δὲ λαγνείας ἐγκράτεια· στρεβλοῦται δὲ καὶ ὁ φιλόδοξος ἀτυφίας εὐημερούσης καὶ ὁ
105 ἄδικος δικαιοσύνης ἐπαινουμένης. μίαν γὰρ ἀμήχανον ψυχὴν κατοικεῖν δύο τὰς ἐχθρὰς φύσεις, κακίαν καὶ ἀρετήν· οὗ χάριν, ἐπειδὰν συνενεχθῶσιν, ἀσύμβατοι καὶ ἀκατάλλακτοι στάσεις καὶ πόλεμοι συγκροτοῦνται, καίτοι τῆς ἀρετῆς εἰρηνικωτάτην φύσιν ἐχούσης, ᾗ φασιν ἐπιμελὲς εἶναι, ὅταν εἰς χειρῶν ἅμιλλαν ἰέναι μέλλῃ, τῆς ἰδίας δυνάμεως ἀποπειρᾶσθαι

1 ἐπειδήπερ BEK: ἐπείπερ ceteri 2 τι F ἐπισκευαζούσας CG ἀπαμφιάσας H: ἀναπαμφιάσας A, ἀπαμφιέσας (ε corr. ex α) E, ἀπαμφιέσας BKP, ἐναπαμφιέσας CFGM 3 διότι] ὅτι vel δὴ ὅτι conicio 4. 5 καὶ καλὰς—ὑπηχεῖ om. Arm 5 ὑφηχεῖ E, ὑφηγεῖται (γεῖται in ras.) B δὲ BEK: δ' ceteri καὶ παιδευόμενος om. Arm 7 αὐτῶ τοῦτο μόνον ἐστὶ BEK, τοῦτο αὐτῷ μόνον ἐστὶ Arm: ἐστὶν post πάθος (6) transp. ceteri 9 αὐτῆς] αὐτοῖς AH^{1}P πράγμασιν K 10 συμβουλικῶς E νοῦς φιλοσώματος BEK Arm: ὁ νοῦς ὁ φιλοσώματος ceteri καθυποκρινάμενος C 11 ἐπιμορφάζειν K 12 ἀκροατὴς H^{1}P^1 13 καὶ om. K 14 θεῷ BEK: τῷ θεῷ ceteri 15 ἐμίσησε BEK: ἐμίσησέ τε ceteri ἀπεβάλετο BE, ἀπεβάλλετο K 16 διά τινων MA ἢ codd.: ἡ v 17 ἐπεξιόντα coni. Mang. τιτρώσκει BEK Arm: πικρῶς ceteri 18 ὀλιγοδέειά BEMP, ὀλιγόδεια v 19 δὲ om. BE 20 μίαν . . . ψυχὴν ABE Arm: μιᾷ . . . ψυχῇ ceteri 21 φύσει CFG 21. 22 συναχθῶσιν K 23 ᾗ] ἢ A 24 ὅταν BEK: ἐπὰν ceteri χειρῶν K (Mang.): χεῖρον BE, χείρονα ceteri ἅμιλλα BE τὰς ἰδίας δυνάμεις BE

πρότερον, ἵν', εἰ μὲν ἰσχύοι καταγωνίσασθαι, συνιστῆται, εἰ δ' ἀσθε-
νεστέρᾳ χρῷτο τῇ δυνάμει, μηδὲ συγκαταβῆναι τὴν ἀρχὴν εἰς τὸν ἀγῶνα
θαρρήσῃ· κακίαν μὲν γὰρ ἡττᾶσθαι οὐκ αἰσχρόν, ᾗ συγγενὲς ἀδοξία, 106
ἀρετὴν δὲ ὄνειδος, ᾗ πάντων οἰκειότατον εὔκλεια, δι' ἣν πέφυκε νικᾶν ἢ
διατηρεῖν αὐτὴν ἀήττητον.

(22.) Τὸ μὲν οὖν Αἰγυπτίων ἄξενον καὶ ἀκόλαστον εἴρηται. τοῦ δὲ 107
τοιαῦτα πεπονθότος ἄξιον θαυμάσαι τὴν φιλανθρωπίαν, ὃς μεσημβρίας
p. 17 M. | θεασάμενος τρεῖς ὡς ἄνδρας ὁδοιποροῦντας — οἱ δὲ θειοτέρας ὄντες
φύσεως ἐλελήθεσαν — προσδραμὼν ἱκέτευε λιπαρῶς μὴ παρελθεῖν αὐτοῦ
τὴν σκηνήν, ἀλλ' ὡς πρέπον εἰσεληλυθότας ξενίων μετασχεῖν· οἱ δ' οὐκ
ἐκ τῶν λεγομένων μᾶλλον ἢ τῆς διανοίας εἰδότες ἀληθεύοντα μηδὲν ἐν-
δοιάσαντες ἐπινεύουσι. πληρωθεὶς δὲ τὴν ψυχὴν χαρᾶς πάντ' ἐσπούδαζεν 108
εἰς τὸ ἀνυπέρθετον τῆς ὑποδοχῆς καὶ τῇ μὲν γυναικί φησι „σπεῦσον
καὶ τρία μέτρα ποίησον ἐγκρυφιῶν," αὐτὸς δὲ εἰς τὰ βουκόλια συντείνας,
ἁπαλὸν καὶ εὔσαρκον ἀγαγὼν μόσχον, οἰκέτῃ παραδίδωσιν. ὁ δὲ καταθύσας 109
σκευάζει τάχιστα· βραδὺς γὰρ οὐδεὶς πρὸς φιλανθρωπίαν ἐν οἴκῳ σοφοῦ,
ἀλλὰ καὶ γυναῖκες καὶ ἄνδρες καὶ δοῦλοι καὶ ἐλεύθεροι προθυμότατοι
πρὸς τὰς τῶν ξενιζομένων ὑπηρεσίας. ἑστιαθέντες δ' οὐ τοῖς εὐτρεπισθεῖσι 110
μᾶλλον ἢ τῇ τοῦ ξενοδόχου γνώμῃ καὶ πολλῇ τινι καὶ ἀπεράντῳ φιλοτιμίᾳ
παρέχουσιν ἆθλον ἐλπίδος μεῖζον αὐτῷ, υἱοῦ γνησίου γένεσιν εἰς νέωτα
βεβαιωθησομένην ὑποσχόμενοι δι' ἑνὸς τοῦ τῶν τριῶν ἀρίστου — λέγειν

1 ἵνα BEK ἰσχύει AK συνίστηται MFG, συνίσταται CA εἰ alt.] ἢ A δὲ BE 2 χρῶντο A μηδὲν P 3 θαρρήσει F, θαρσήσῃ K, θαρσῆσαι BE κακίαν BK: κακία ceteri (κακίᾳ v) ᾗ] ἢ A 4 ἀρετὴν BEK: ἀρετῇ ceteri (v) δ' BEK ᾗ] ἢ A εὔκλειαν A πέφυκε νικᾶν BEK: πέφυκεν ἢ νικᾶν ceteri 5 αὐτὴν F: αὐτὴν αὐτὴν P, αὐτὴν αὐτὴν H[1], αὐτὴ αὐτὴν H[2](v), αὐτὴν ceteri 7 θαυμάσασθαι L (Turn.) ante μεσημβρίας add. τῷ καιρῷ A μεσημβρίαν BE 8 ὄντας E 9 ἐλελήθεσαν BEK: ἐλελήθεισαν CFGMP, ἐληλύθεισαν AH προσλαβὼν BE αὐτοῦ codd. (v) 10 εἰσεληλυθότας BEK: εἰσελθόντας ceteri οἳ BM 11 εἰδότες] ἰδόντες BE 12 πάντες C ἐσπούδαζεν BEK: ἔσπευδεν ceteri 13 ὑποδοχῆς BEK: ἀποδοχῆς ceteri 14 ἐγκρυφίων codd. (v) δ' BEK 17 καὶ δοῦλοι καὶ ἐλεύθεροι BEK Arm: καὶ ἐλεύθεροι καὶ δοῦλοι transp. ceteri 18 δ' om. A οὐ τοῖς] οὕτως C 19 καὶ πολλῇ—φιλοτιμίᾳ om. Arm καὶ alt. om. K 20 ἐλπίδος om. BE υἱοῦ τοῦ γνησίου H(v) ἐς K 21 τὸ βεβαιωθησόμενον BE, βεβαιωθησομένην om. Arm. ὑποσχομένου (om. δι') Arm τοῦ et ἀρίστου om. Arm τοῦ τῶν] τούτων A

7 sqq. Gen. 18,1 sqq. 16 *Origenes Homil. in Genes. IV 1 (t. VIII p. 163 Lomm.)* „Puer, inquit, festinavit facere eum." ipse currit, uxor festinat, puer accelerat: nullus piger est in domo sapientis.

γὰρ ἐν ταὐτῷ πάντας ἀθρόους ἦν ἀφιλόσοφον, ἑνὶ δὲ λέγοντι τοὺς ἄλλους
111 συνεπινεύειν ἐμπρεπές —. ἀλλὰ γὰρ οὐδ᾽ ὑπισχνουμένοις ἕνεκα τοῦ περὶ
τὸ πρᾶγμα ἀπίστου βεβαίως προσεῖχον· ἤδη γὰρ ὑπερήλικες γεγονότες
112 διὰ μακρὸν γῆρας ἀπεγνώκεσαν παιδὸς σποράν. ἀκούσασαν οὖν τὴν
γυναῖκα ἐν ἀρχῇ φησι γελάσαι καὶ μετὰ ταῦτα, εἰπόντων „μὴ ἀδυνατεῖ
παρὰ τῷ θεῷ πᾶν ῥῆμα;“ καταιδεσθεῖσαν ἠρνῆσθαι τὸν γέλωτα· πάντα
γὰρ ᾔδει θεῷ δυνατὰ σχεδὸν ἐξ ἔτι σπαργάνων τουτὶ τὸ δόγμα προμαθοῦσα.
113 τότε μοι δοκεῖ πρῶτον οὐκέθ᾽ ὁμοίαν τῶν ὁρωμένων λαβεῖν φαντασίαν,
ἀλλὰ σεμνοτέραν ἢ προφητῶν ἢ ἀγγέλων μεταβαλόντων ἀπὸ πνευματικῆς
114 καὶ ψυχοειδοῦς οὐσίας εἰς ἀνθρωπόμορφον ἰδέαν. (23.) τὸ μὲν οὖν
φιλόξενον τοῦ ἀνδρὸς εἴρηται, πάρεργον ὂν ἀρετῆς μείζονος· ἡ δ᾽ ἀρετὴ
θεοσέβεια, περὶ ἧς καὶ πρότερον εἴπομεν, ἧς δεῖγμα σαφέστατον τὰ νῦν
115 λεχθέντα ἐστὶν ὡς ἐπὶ ξένων ἀνδρῶν. εἰ δ᾽ εὐδαίμονα καὶ μακάριον
οἶκον ὑπέλαβον εἶναί τινες, ἐν ᾧ συνέβη καταχθῆναι καὶ ἐνδιατρῖψαι
σοφούς, οὐκ ἂν ἀξιώσαντας ἀλλ᾽ οὐδ᾽ ὅσον διακῦψαι μόνον, εἴ τι πάθος
ἐνεώρων ταῖς ψυχαῖς τῶν ἔνδον ὄντων ἀνίατον, ἐγὼ δὲ οὐκ οἶδα, τίνα
ὑπερβολὴν εὐδαιμονίας καὶ μακαριότητος εἶναι φῶ περὶ τὴν οἰκίαν, ἐν
ᾗ καταχθῆναι καὶ ξενίων λαχεῖν ὑπέμειναν ἄγγελοι πρὸς ἀνθρώπους,
ἱεραὶ καὶ θεῖαι φύσεις, ὑποδιάκονοι καὶ ὕπαρχοι τοῦ πρώτου θεοῦ,
| δι᾽ ὧν οἷα πρεσβευτῶν ὅσα ἂν θελήσῃ τῷ γένει ἡμῶν προθεσπίσαι p. 18 M.
116 διαγγέλλει. πῶς γὰρ ἂν τὴν ἀρχὴν εἰσελθεῖν ὑπέμειναν, εἰ μὴ καθάπερ
νεὼς εὖ συντεταγμένον πλήρωμα τοὺς ἔνδον ἅπαντας ᾔδεσαν ἑνὶ πειθαρ-

1 ταὐτῷ BEK: τῷ αὐτῷ ceteri 2 ἐμπρεπές BEMA: εὐπρεπές ceteri οὐδ᾽ codd.: οὐχ Turn. Mang. ὑπισχνουμένους HP, ὑπισχνουμένης A 4 ἀπεγνώκεσαν BEK: ἀπέγνωσαν ceteri παίδων coni. Mang. οὖν BEK: γοῦν ceteri 4. 5 τὴν γυναῖκα ἐν ἀρχῇ BEK: ἐν ἀρχῇ τὴν γυναῖκα transp. ceteri 5 γελάσαι φησὶ transp. K φησὶ BEK: φασὶ ceteri ταῦτ᾽ CFGMA 6 τῷ θεῷ BEK: θεῷ MAH[2], θεοῦ CFGH[1]P πᾶν ῥῆμα BEK: πᾶν om. ceteri ἠρνῆσθαι K, ἠρνεῖσθαι BE: ἀρνήσασθαι ceteri 8 πρῶτον om. Arm ὁμοίαν CBEK: ὅμοιον ceteri, ὁμοίως Arm 9 προφητῶν BEK: προφητῶν τινων ceteri μεταβαλλόντων MFG(v) 10 ἰδέαν] οὐσίαν P 11 ὂν] ἦν A ἀρετῆς μείζονος BEK Arm: μείζονος ἀρετῆς ceteri 12 εἴπομεν] εἴρηται BEK ἧς] εἰς F σαφέστερον BE 13 εἰ δ᾽] ἧς BE, εἰς Arm 13. 14 μακάριον οἶκον BEK, Arm: οἶκον post τινες transp. ceteri 14 καταταχθῆναι A, καταχθῆναι om. CFG διατρῖψαι CFG 15 ἀξιώσαντας] ἀνακύψαντας BE οὐδ᾽ BEK: οὐδὲ ceteri 16 ἐνεώρων BEK: ἑώρων ceteri ὄντων BEK Arm: om. ceteri post ἀνίατον add. ὄν BE δ᾽ BEK 17 φῶ] ἐφ᾽ ᾧ BE 18 καταταχθῆναι A ἀγγέλων K ἀνθρώπων C 20 ἡμῶν om. BE 21 διαστέλλει CFG ἂν om. BEK 22 συντεταγμένης Arm τοὺς] τῆς C πάντας HP

χοῦντας κελεύσματι τῷ τοῦ προεστηκότος ὡσανεὶ κυβερνήτου; πῶς δ'
ἂν ἑστιωμένων καὶ ξενιζομένων παρέσχον ὑπόληψιν, εἰ μὴ τὸν ἑστιάτορα
συγγενῆ καὶ ὁμόδουλον ἡγοῦντο τῷ αὐτῶν προσπεφευγότα δεσπότῃ;
νομιστέον μέντοι καὶ κατὰ τὴν εἴσοδον αὐτῶν ἔτι μᾶλλον ἐπιδοῦναι πάντα
τὰ μέρη τῆς οἰκίας πρὸς τὸ βέλτιον αὔρᾳ τινὶ τελειοτάτης ἀρετῆς ἐπιπνευ-
σθέντα. τὸ δὲ συμπόσιον οἷον εἰκὸς γενέσθαι, τὴν ἐν εὐωχίαις ἀφέλειαν 117
ἐπιδεικνυμένων πρὸς τὸν ἑστιάτορα τῶν ἑστιωμένων καὶ γυμνοῖς ἤθεσι
προσαγορευόντων καὶ ὁμιλίας τὰς ἁρμοττούσας τῷ καιρῷ ποιουμένων.
τεράστιον δὲ καὶ τὸ μὴ πίνοντας πινόντων καὶ τὸ μὴ ἐσθίοντας ἐσθιόντων 118
παρέχειν φαντασίαν. ἀλλὰ ταυτί γε ὡς ἀκόλουθα· τὸ δὲ πρῶτον ἐκεῖνο
τερατωδέστατον, ἀσωμάτους ὄντας [τοῦδε σώματος] εἰς ἰδέαν ἀνθρώπων
μεμορφῶσθαι χάριτι τῇ πρὸς τὸν ἀστεῖον· τίνος γὰρ ἕνεκα ταῦτα ἐθαυ-
ματουργεῖτο ἢ τοῦ παρασχεῖν αἴσθησιν τῷ σοφῷ διὰ τρανοτέρας ὄψεως,
ὅτι οὐ λέληθε τὸν πατέρα τοιοῦτος ὤν;

(24.) Τὰ μὲν οὖν τῆς ῥητῆς ἀποδόσεως ὡδὶ λελέχθω· τῆς δὲ 119
δι' ὑπονοιῶν ἀρκτέον. σύμβολα τὰ ἐν φωναῖς τῶν διανοίᾳ μόνῃ κατα-
λαμβανομένων ἐστίν· ἐπειδὰν οὖν ἡ ψυχὴ καθάπερ ἐν μεσημβρίᾳ θεῷ
περιλαμφθῇ καὶ ὅλη δι' ὅλων νοητοῦ φωτὸς ἀναπλησθεῖσα ταῖς ἐν κύκλῳ
κεχυμέναις αὐγαῖς ἄσκιος γένηται, τριττὴν φαντασίαν ἑνὸς ὑποκειμένου
καταλαμβάνει, τοῦ μὲν ὡς ὄντος, τῶν δ' ἄλλων δυοῖν ὡς ἂν ἀπαυγαζο-
μένων ἀπὸ τούτου σκιῶν· ὁποῖόν τι συμβαίνει καὶ τοῖς ἐν αἰσθητῷ
φωτὶ διατρίβουσιν· ἢ γὰρ ἑστώτων ἢ κινουμένων διτταὶ σκιαὶ πολλάκις
συνεμπίπτουσι. μὴ μέντοι νομισάτω τις ἐπὶ θεοῦ τὰς σκιὰς κυριολογεῖ- 120

3 αὐτῶν CBEK: αὐτῷ ceteri (Mang.) προσπεφευγότα BEK Arm: προσπεφευγέντα (sic) M, προσπεφευγέναι AP, προσπεφυκέναι CFGH(v) 4 καὶ om. F 5 τὸ om. P 6 ἐν om. BEG ὠφέλειαν CFGHP 9 τὸ pr.] τῷ A
ϊ ό
πίνοντας CFGK Arm: πεινῶντας MAHP, om. BE πινόντων CFGK Arm: πεινώντων B, πεινώντων ceteri τὸ μὴ BEK Arm: τὸ om. ceteri 10 ταυτί BEK: ταῦτά ceteri 11 τερατωδέστερον A τοῦδε E Arm, τοῦ δὲ B: τούσδε CKM, τοὺς δὲ AFG, τούτους HP(v) τοῦδε σώματος seclusi 12 τῆς BE ἕνεκεν BK, ἕνεκε E 13 ἢ om. BE 15 ἀποδόσεως BEK Arm: ὑποθέσεως ceteri ὡδὶ] ὡς δεῖ BE; ὧδε Mang. λελέχθω BE Arm: λέλεκται ceteri 16 διανοίᾳ BEK: ἐν διανοίᾳ ceteri μόνοι A 17 ἡ ψυχὴ BEK Arm: ἡ om. ceteri 18 περιλειφθῇ P 18. 19 ταῖς . . . κεχυμέναις αὐγαῖς H²(v): τὰς . . . κεχυμένας αὐγὰς ceteri Arm; τὰς . . . κεχυμένας αὐγὰς ⟨ἀναλαβοῦσα⟩ conicio vel τὰς . . . κεχυμένας αὐγὰς ἀσκίους δέχηται (αὐγὰς ἀσπάσηται Wendl.) 19 ἄσκιος γένηται om. Arm 20 τῶν δ' ἄλλων BEK: τοῖν δ' ἄλλοιν ceteri 21 τῶν σκιῶν ABE ὁποῖον] ὅμοιον BE 22 ἑστώτων] ἔστω τῶν MA διτταῖς καὶ CG post σκιαὶ add. καὶ A 23 συνεμπίπτουσι BEK: συμπίπτουσι ceteri

σθαι· κατάχρησις ὀνόματός ἐστι μόνον πρὸς ἐναργεστέραν ἔμφασιν τοῦ
121 δηλουμένου πράγματος, ἐπεὶ τό γε ἀληθὲς οὐχ ὧδε ἔχει· ἀλλ' ἔστιν,
ὡς ἄν τις ἐγγύτατα τῆς ἀληθείας ἱστάμενος εἴποι, πατὴρ μὲν τῶν ὅλων
ὁ μέσος, ὃς ἐν ταῖς | ἱεραῖς γραφαῖς κυρίῳ ὀνόματι καλεῖται ὁ ὤν, αἱ p. 19 M.
δὲ παρ' ἑκάτερα αἱ πρεσβύταται καὶ ἐγγυτάτω τοῦ ὄντος δυνάμεις, ἡ μὲν
ποιητική, ἡ δ' αὖ βασιλική· προσαγορεύεται δὲ ἡ μὲν ποιητικὴ θεός,
ταύτῃ γὰρ ἔθηκέ τε καὶ διεκόσμησε τὸ πᾶν, ἡ δὲ βασιλικὴ κύριος, θέμις
122 γὰρ ἄρχειν καὶ κρατεῖν τὸ πεποιηκὸς τοῦ γενομένου. δορυφορούμενος οὖν
ὁ μέσος ὑφ' ἑκατέρας τῶν δυνάμεων παρέχει τῇ ὁρατικῇ διανοίᾳ τοτὲ
μὲν ἑνὸς τοτὲ δὲ τριῶν φαντασίαν, ἑνὸς μὲν ὅταν ἄκρως τύχῃ καθαρθεῖσα
καὶ μὴ μόνον τὰ πλήθη τῶν ἀριθμῶν ἀλλὰ καὶ τὴν γείτονα μονάδος
δυάδα ὑπερβᾶσα πρὸς τὴν ἀμιγῆ καὶ ἀσύμπλοκον καὶ καθ' αὑτὴν οὐδενὸς
ἐπιδεᾶ τὸ παράπαν ἰδέαν ἐπείγηται, τριῶν δὲ ὅταν μήπω τὰς μεγάλας
τελεσθεῖσα τελετὰς ἔτι ἐν ταῖς βραχυτέραις ὀργιάζηται καὶ μὴ δύνηται
τὸ ὂν ἄνευ ἑτέρου τινὸς ἐξ αὐτοῦ μόνου καταλαβεῖν, ἀλλὰ διὰ τῶν
123 δρωμένων, ἢ κτίζον ἢ ἄρχον. δεύτερος μὲν οὖν, ὥς φασι, πλοῦς οὗτος.
μετέχει δ' οὐδὲν ἧττον δόξης θεοφιλοῦς· ὁ δὲ πρότερος τρόπος οὐ
μετέχει, ἀλλ' αὐτός ἐστι θεοφιλὴς δόξα, μᾶλλον δὲ καὶ δόξης πρεσβυτέρα
καὶ παντὸς τιμιωτέρα τοῦ δοκεῖν ἀλήθεια. γνωριμώτερον δὲ τὸ δηλού-
124 μενον παραστατέον. (25.) τρεῖς εἰσιν ἠθῶν ἀνθρωπίνων τάξεις, ὧν ἑκάστη
διακεκλήρωται μίαν τῶν εἰρημένων φαντασιῶν, ἡ μὲν ἀρίστη τὴν μέσην
τοῦ ὄντως ὄντος, ἡ δὲ μετ' ἐκείνην τὴν ἐπὶ δεξιά, τὴν εὐεργέτιν, ᾗ
θεὸς ὄνομα, ἡ δὲ τρίτη τὴν ἐπὶ θάτερα, τὴν ἀρχικήν, ᾗ καλεῖται κύριος.

---

1 ἐστὶ μόνον BEK: αὐτὸ (αὐτῷ A) μόνον ἐστὶ ceteri   ἐστὶν αὐτὸ μόνον ὀνόματος Arm   ἐνεργεστέραν BEK   2 πράγματος] γράμματος Arm   ὧδε K, ὧδ' BE: οὕτως ceteri   3 ἐγγύτατα τῆς ἀληθείας BEK Arm: τῆς ἀληθείας ἐγγύτατα transp. ceteri   εἴποιεν BE   4 ὃς om. Arm   αἱ] οἱ Mang.   5 αἱ πρεσβύταται BEK Arm: αἱ om. ceteri   ἐγγυτάτω BEK: ἐγγύταται ceteri   ἡ μὲν BEK Arm: ὧν ἡ μὲν ceteri   6 δ' αὖ] δὲ (om. αὖ) HP   βασιλική· προσαγορεύεται δὲ BEK Arm: βασιλικὴ προσαγορεύεται (ὀνομάζεται F)· καὶ ceteri   θεός] κύριος A   7 αὕτη BEK   τε om. BEK   διεκόσμη (i. e. διεκόσμει) C   κύριος] θεός G   8 γοῦν BEK   9 παρεῖχε BEK   9. 10 τοτὲ] ποτὲ (bis) K, τὸ (bis) CFG   10 τύχῃ καθαρθεῖσα BEK Arm: καθαρθεῖσα ψυχὴ (ἡ ψυχὴ H²) ceteri   13 ἰδέαν om. CFG   ἐπείγεται AK   14 ἔτι om. K   15 ante ἐξ add. ἢ BEMAP²   16 δρωμένων] ὁρωμένων coni. Mang.: cf. § 188   18 ἐστι θεοφιλὴς BEK Arm: ἐστιν ἡ θεοφιλὴς ceteri   μᾶλλον δὲ καὶ MAK: μᾶλλον δὴ καὶ BE Arm, μᾶλλον δὲ HP, ἢ δὴ C, εἰ δὴ F, εἴδη G   19 τοῦ] τῷ K   20 ἠθῶν om. CFG   ἀνθρώπων CFG, ἀνθρωπίνων om. A   21 μιᾷ CFGM   22 ὄντος ὄντως transp. CABE   δεξιᾷ MF   ᾗ] ἡ A   23 ὁ θεὸς BEK

τὰ μὲν οὖν ἄριστα τῶν ἠθῶν τὸν καθ᾿ αὑτὸν ἄνευ τινὸς ὄντα θεραπεύει 125
πρὸς μηδενὸς ἑτέρου μεθελκόμενα, τῷ τετάσθαι μοναδικῶς πρὸς τὴν
ἑνὸς τιμήν· τῶν δ᾿ ἄλλων τὰ μὲν διὰ τῆς εὐεργέτιδος συνίσταται καὶ
γνωρίζεται δυνάμεως τῷ πατρί, τὰ δὲ διὰ τῆς βασιλικῆς. ὃ δὲ λέγω, 126
τοιοῦτόν ἐστιν. ἄνθρωποι μὲν ἐπειδὰν αἴσθωνται κατὰ πρόφασιν ἑταιρείας
προσιόντας αὐτοῖς τινας ἐπὶ θήρᾳ πλεονεξιῶν, ὑποβλέπονταί τε καὶ ἀπο-
στρέφονται τὴν προσποίητον κολακείαν καὶ τιθασείαν αὐτῶν δεδιότες ὡς
σφόδρα ἐπιζήμιον· ὁ δὲ θεὸς ἅτε βλάβην οὐκ ἐπιδεχόμενος ἅπαντας 127
τοὺς καθ᾿ ἡντινοῦν ἰδέαν προαιρουμένους τιμᾶν αὐτὸν ἄσμενος προσ-
καλεῖται, μηδένα σκορακίζειν ἀξιῶν τὸ παράπαν, ἀλλὰ μόνον οὐκ ἄντικρυς
τοῖς ἀκοὰς ἔχουσιν ἐν τῇ ψυχῇ θεσπίζει τάδε· „τὰ μὲν πρῶτα τῶν 128
ἄθλων κείσεται τοῖς ἐμὲ θεραπεύουσι δι᾿ ἐμὲ αὐτόν, τὰ δὲ δεύτερα τοῖς
δι᾿ ἑαυτούς, ἢ τυχεῖν ἀγαθῶν ἐλπίζουσιν ἢ τιμωριῶν ἀπαλλαγὴν εὑρήσε-
σθαι προσδοκῶσι· καὶ γὰρ εἰ ἔμμισθος ἡ τῶνδε θεραπεία καὶ μὴ ἀδέκα-
στος, ἀλλ᾿ οὐδὲν ἧττον ἐντὸς εἰλεῖται θείων περιβόλων καὶ οὐκ ἔξω
p. 20 M. πλάζεται. τὰ δὲ ἆθλα τοῖς | μὲν ἐμὲ τιμῶσι δι᾿ ἐμὲ κείσεται φίλια, 129
τοῖς δὲ διὰ τὰς χρείας φίλια μὲν οὔ, τὸ δὲ μὴ ἀλλοτρίοις νομίζεσθαι·
δέχομαι γὰρ καὶ τὸν τῆς εὐεργέτιδός μου δυνάμεως βουλόμενον μεταλαχεῖν
εἰς μετουσίαν ἀγαθῶν καὶ τὸν φόβῳ τὴν ἡγεμονικὴν καὶ δεσποτικὴν
ἱλασκόμενον ἐξουσίαν εἰς ἀποτροπὴν κολάσεως· οὐ γὰρ ἀγνοῶ, διότι
πρὸς τῷ χείρους μὴ γίγνεσθαι καὶ βελτίους ἔσονται τῷ συνεχεῖ τῆς
θεραπείας εἰλικρινῆ καὶ καθαρὰν εὐσέβειαν ἀσκήσαντες. εἰ γὰρ καὶ 130

1 τὸν BEKH[2] Arm: τῶν ceteri κατ᾿ αὐτὸν CFMAP ὄντα om. FG
4 δὲ alt. om. H[1]P 5 ἑταιρίας CFG 6 προσιέντας BE 6. 7 ὑπο-
στρέφονται F 7 προσποιητὴν MA τιθασίαν ABE, τιθασσείαν KF, ἀτιθα-
σείαν G ὡς om. BE 8 ἐνδεχόμενος BE 9 ἡντιναοῦν BEKAG
ἰδέαν] αἰτίαν coni. Mang. 9. 10 προσκαλεῖται C Arm: προκαλεῖται ceteri
10 μονονοὺ A, μονονοὺ καὶ K 11 τοῖς] τὰς BE θεσπίζει ἐν τῇ ψυχῇ
transp. BEK τάδε om. Arm 12 ἐμαυτόν BE δὲ om. BE
13 ἑαυτοὺς BEK: αὑτοὺς H[2], αὐτοῦ C, αὐτοὺς ceteri ἢ τυχεῖν BEK Arm: ἢ om.
ceteri ἀγαθῶν om. BE 13. 14 εὑρήσεσθαι BEK: εὑρέσθαι CFG, εὕρασθαι
MA, εὑρεῖν HP 14 εἰ ἔμμισθος] ἔσται μισθὸς CFGA ἡ] ἢ Mang.
τῶνδε] τούτων BEK 14. 15 καὶ μὴ ἀδέκαστος BEK Arm: καὶ μηδὲν ἀδέκαστον
MAHP, κἂν μηδὲν ἀδέκαστον C, καὶ μηδένα δ᾿ ἕκαστον FG 16 δ᾿ BEK
μὲν BEK: om. ceteri 16. 17 φιλία (bis) CFABEK 17 οὔ] οὐδαμοῦ K
τὸ] τῷ BE ἀλλοτρίοις (ἀλλοτριοῖς C) codd.: ἀλλοτρίους v 18 βουλόμενος A
μετασχεῖν CFG 19 φόβον A 20 διότι] ὅτι CFG (fort. recte) 21 τῷ]
τὸ ABEF μὴ] μου P γίνεσθαι AP, γενέσθαι BEK 22 ἀσκήσαντες] κτησά-
μενοι Arm εἰ γὰρ καὶ] καὶ γὰρ A

μάλιστα οἱ τρόποι διαφέρουσιν, ἀφ' ὧν ποιοῦνται τὰς πρὸς τὴν ἀρέσκειαν
ὁρμάς, οὐκ αἰτιατέον, ὅτι σκοπὸς εἷς καὶ τέλος ἕν ἐστιν αὐτοῖς, τὸ
131 θεραπεύειν ἐμέ." ὅτι δ' ἡ τριττὴ φαντασία δυνάμει ἑνός ἐστιν ὑποκει-
μένου, φανερὸν οὐ μόνον ἐκ τῆς ἐν ἀλληγορίᾳ θεωρίας, ἀλλὰ καὶ τῆς
ῥητῆς γραφῆς τάδε περιεχούσης· ἡνίκα μὲν γὰρ ὁ σοφὸς ἱκετεύει τοὺς
ἐοικότας ὁδοιπόροις τρεῖς ξενισθῆναι παρ' αὐτῷ, διαλέγεται τούτοις οὐχ
ὡς τρισίν, ἀλλ' ὡς ἑνί, καί φησι· „κύριε, εἰ ἄρα εὗρον χάριν παρὰ
σοί, μὴ παρέλθῃς τὸν παῖδά σου" (Gen. 18, 3)· τὸ γὰρ „κύριε" καὶ
τὸ „παρὰ σοὶ" καὶ τὸ „μὴ παρέλθῃς" καὶ ὅσα τοιαῦτα πρὸς ἕνα
132 πέφυκεν ἀλλ' οὐ πρὸς πλείους λέγεσθαι· ἡνίκα δὲ ξενιζόμενοι φιλο-
φρονοῦνται τὸν ξενοδόχον, πάλιν εἷς ὑπισχνεῖται ὡς μόνος αὐτὸς παρὼν
γνησίου παιδὸς σπορὰν διὰ τῶνδε· „ἐπανιὼν ἥξω πρὸς σὲ κατὰ τὸν
καιρὸν τοῦτον εἰς νέωτα, καὶ ἕξει υἱὸν Σάρρα ἡ γυνή σου" (Gen. 18, 10). —
133 (26.) Φανερώτατα μέντοι καὶ διαπονητότατα μηνύει διὰ τῶν ἑξῆς
τὸ δηλούμενον. ἡ Σοδομιτῶν χώρα, μοῖρα τῆς Χανανίτιδος γῆς, ἣν
ὕστερον ὠνόμασαν Συρίαν Παλαιστίνην, ἀδικημάτων μυρίων ὅσων γεμι-
σθεῖσα καὶ μάλιστα τῶν ἐκ γαστριμαργίας καὶ λαγνείας ὅσα τε μεγέθη
καὶ πλήθη τῶν ἄλλων ἡδονῶν ἐπιτειχίσασα ἤδη παρὰ τῷ δικαστῇ τῶν
134 ὅλων κατέγνωστο. αἴτιον δὲ τῆς περὶ τὸ ἀκολασταίνειν ἀμετρίας
ἐγένετο τοῖς οἰκήτορσιν ἡ τῶν χορηγιῶν ἐπάλληλος ἀφθονία· βαθύγειος

1 ὑφ' BEK   ποιῶνται BE   τὰς om. F   τὴν BEK: om. ceteri   2 τέλος ἔνεστιν A   3 δ' ἡ] δὴ G   δύναμις Arm   δυνάμει suspectum; cf. 27,19   6 ὁδοιπόρους BEK   τρεῖς BEK: τρισὶ ceteri   αὐτῶ codd. (v)   7 εἰ ἄρα BEK Arm: ἄρα om. ceteri   8. 9 τὸ γὰρ — παρέλθῃς om. Arm   8 κύριος CG   9 ἐν H¹P   10 λέγεσθαι] πλέκεσθαι M   11 τὸν ξενοδόχον BEK Arm: τὸν μὲν ξενοδόχον MAFGH, τὸ μὲν ξενοδόχον CP; τῷ μὲν ξενοδότῳ (sic) Turn.   εἷς] οἷς A   12 σπορὰς CFG   ἐπανιὼν om. BE   13 ἐς K   εἰς νέωτα] εἰς ὥρας Arm καὶ ἔσται υἱὸς Σάρρᾳ τῇ γυναικί σου Arm   14 διαπονητότατα MGH(v), ἀδιαπονητότατα AP (prob. Mang.), ἀδιαπόνητα BEK, διαπορώξτατα (ω corr. ex η) F, om. in lac. C, καὶ διαπ. om. Arm; ἀδιαπορητότατα conicio   μηνύει BEK: μηνύεται ceteri   15 μοῖρα om. CFG   χαναναιώτιδος BE   post γῆς add. ἣν BEK   16 συρίαν BE: σύροι ceteri; Συρίας coni. Mang.   ὅσων om. BEKF Arm   17 ἐν γαστριμαργίαις καὶ λαγνείαις C, ἐν etiam G   17. 18 μεγέθει καὶ πλήθει KG   18 ἐπιτειχίσας G, ἐπιτυ^{η}χίσασα F

15 sqq. *Clem. Alex. Paedag. III 8 p. 280 P.* οἱ Σοδομῖται ὑπὸ πολλῆς τρυφῆς ἐξοκείλαντες εἰς ἀσέλγειαν, μοιχεύοντες μὲν ἀδεῶς, περὶ τὰ παιδικὰ ἐκμανῶς ἐπτοημένοι, ἐπειδὴν αὐτοὺς ὁ παντεπόπτης λόγος . . . καταφλεγῆναι προσέταξε τὰ Σόδομα . . . γέγονεν τοίνυν ἡ Σοδομιτῶν δικαία τιμωρία τῆς εὐλογίστου τοῖς ἀνθρώποις σωτηρίας εἰκών.

γὰρ καὶ εὔυδρος οὖσα ἡ χώρα παντοίων ἀνὰ πᾶν ἔτος εὐφορίᾳ καρπῶν ἐχρῆτο· „μεγίστη δ' ἀρχὴ κακῶν" ὥς εἶπέ τις οὐκ ἀπὸ σκοποῦ „τὰ λίαν ἀγαθά." ὧν ἀδυνατοῦντες φέρειν τὸν κόρον ὥσπερ τὰ θρέμματα 135 σκιρτῶντες ἀπαυχενίζουσι τὸν τῆς φύσεως νόμον, ἄκρατον πολὺν καὶ ὀψοφαγίας καὶ ὀχείας ἐκθέσμους μεταδιώκοντες· οὐ γὰρ μόνον θηλυμανοῦντες ἀλλοτρίους γάμους διέφθειρον, ἀλλὰ καὶ ἄνδρες ὄντες ἄρρεσιν ἐπιβαίνοντες, τὴν κοινὴν πρὸς τοὺς πάσχοντας οἱ δρῶντες φύσιν οὐκ αἰδούμενοι, παιδοσποροῦντες ἠλέγχοντο μὲν ἀτελῆ γονὴν σπείροντες, ὁ δ' ἔλεγχος πρὸς οὐδὲν ἦν ὄφελος, ὑπὸ βιαιοτέρας νικωμένων ἐπι-
p. 21 M. θυμίας. εἶτ' ἐκ τοῦ κατ' | ὀλίγον ἐθίζοντες τὰ γυναικῶν ὑπομένειν 136 τοὺς ἄνδρας γεννηθέντας θήλειαν κατεσκεύασαν αὐτοῖς νόσον, κακὸν δύσμαχον. οὐ μόνον τὰ σώματα μαλακότητι καὶ θρύψει γυναικοῦντες, ἀλλὰ καὶ τὰς ψυχὰς ἀγεννεστέρας ἀπεργαζόμενοι, καὶ τό γε ἐπ' αὐτοὺς ἧκον μέρος τὸ σύμπαν ἀνθρώπων γένος διέφθειρον· εἰ γοῦν Ἕλληνες ὁμοῦ καὶ βάρβαροι συμφωνήσαντες ἐζήλωσαν τὰς τοιαύτας ὁμιλίας, ἠρήμωντο ἂν ἑξῆς αἱ πόλεις ὥσπερ λοιμώδει νόσῳ κενωθεῖσαι.

(27.) λαβὼν δὲ ὁ θεὸς οἶκτον ἅτε σωτὴρ καὶ φιλάνθρωπος τὰς μὲν 137 κατὰ φύσιν ἀνδρῶν καὶ γυναικῶν συνόδους γινομένας ἕνεκα παίδων σπορᾶς ηὔξησεν ὡς ἔνι μάλιστα, τὰς δ' ἐκφύλους καὶ ἐκθέσμους διαμισήσας ἔσβεσε καὶ τοὺς ὀργῶντας ἐπὶ ταύτας προβαλόμενος οὐχὶ τὰς ἐν ἔθει καινουργήσας δ' ἐκτόπους καὶ παρηλλαγμένας τιμωρίας ἐτιμωρήσατο.

---

1 εὔυδρος EMHP: ἄυδρος A, ἔνυδρος BKCFG εὐφορίᾳ καρπῶν BEK: καρπῶν εὐφορίᾳ ceteri 2 εἶπεν ἂν F 4 τὸν τ. φ. νόμον C: τῶν τ. φ. νόμων ceteri 5 ὀψοφαγείας HP 6 ὄντες om. Arm 9 ἦν om. BE βεβαιοτέρας BE νικώμενος coni. Mang. 10 ἐθίζοντας K; ἐθίζειν coni. Mang. 11 γεννηθέντας om. BEK (fort. recte) κατεσκεύασαν BEK Arm: κατεσκεύαζον ceteri αὐτοῖς H²(v) κακῶν BEAHP 12 οὐ μόνον BEK Arm: οὐ μόνον γὰρ ceteri γυναικοῦντος M 13 ἀγεννεστέρας BEK: ἀγεννεστάτας CMP, ἀγενεστάτας AFH, ἀγεννεστάτως G ἀπεργασάμενοι H καὶ alt. BEK Arm: om. ceteri γε BEKM: γ' ceteri 13. 14 ἐπ' αὐτοὺς scripsi: ἐφ' αὐτοῖς BE Arm, ἐφ' ἑαυτοῖς K, ἐπ' αὐτοῖς ceteri 14 γένος ἀνθρώπων transp. H εἰ] οἱ A οὖν BEK 16 ἠρήμωντο] ἤρθησαν K, ἤριαν (sic) BE ἂν om. K λοιμώδη EF, λιμώδει KP 17 οἶκτον δὲ λαβὼν ὁ θεὸς Arm 18. 19 ἕνεκα παίδων σπορᾶς om. BEK (fort. recte), σπορᾶς om. Arm 19 ὡς ἔνι μάλιστα om. Arm καὶ om. C ἀθέσμους BEK 20 ἐπὶ ταῦτα BEHP(v) προβαλόμενος CM: προβαλλόμενος ceteri τὰς KH²: ταῖς ceteri (v) 21 καινουργήσας] καινουργίαις CFG(v) δὲ M ἐκτόπους BEKAH: ἐκτόποις ceteri (v) παρηλλαγμένας τιμωρίας BEKH: —αις—αις ceteri (v) ἐτιμωρήσατο BEK: ἐπετιμωρήσατο ceteri

2 Menand. frg. 724 Kock: ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν, ὠγαθέ, τὰ λίαν ἀγαθά.

138 κελεύει γὰρ ἐξαίφνης τὸν ἀέρα νεφωθέντα πολὺν ὄμβρον οὐχ ὕδατος
ἀλλὰ πυρὸς ὕειν· ἀθρόας δὲ νιφούσης ἀδιαστάτῳ καὶ ἀπαύστῳ ῥύμῃ
φλογός, ἐκαίοντο μὲν ἀγροὶ καὶ λειμῶνες καὶ λάσια ἄλση καὶ ἕλη
δασύτατα καὶ δρυμοὶ βαθεῖς, ἐκαίετο δ' ἡ πεδιὰς καὶ ὁ τοῦ σίτου καὶ
τῶν ἄλλων σπαρτῶν ἅπας καρπός. ἐκαίετο δὲ καὶ τῆς ὀρεινῆς ἡ δεν-
139 δροφόρος, στελεχῶν ῥίζαις αὐταῖς ἐμπιπραμένων· ἐπαύλεις δὲ καὶ οἰκίαι
καὶ τείχη καὶ ὅσα ἐν οἰκοδομαῖς ἰδιωτικὰ καὶ δημόσια πάντα συγκατε-
πίμπραντο καὶ ἡμέρᾳ μιᾷ αἱ μὲν εὐανδροῦσαι πόλεις τάφος τῶν οἰκητόρων
ἐγεγένηντο, αἱ δ' ἐκ λίθων καὶ ξύλων κατασκευαὶ τέφρα καὶ λεπτὴ κό-
140 νις. ἐπεὶ δὲ τὰ ἐν φανερῷ καὶ ὑπὲρ γῆς ἅπαντα κατανάλωσεν ἡ φλόξ,
ἤδη καὶ τὴν γῆν αὐτὴν ἔκαιε κατωτάτω διαδῦσα καὶ τὴν ἐνυπάρχουσαν
ζωτικὴν δύναμιν ἔφθειρεν εἰς ἀγονίαν παντελῆ, ὑπὲρ τοῦ μηδ' αὖθίς
ποτε καρπὸν ἐνεγκεῖν ἢ χλοηφορῆσαι τὸ παράπαν δυνηθῆναι· καὶ μέχρι
νῦν καίεται, τὸ γὰρ κεραύνιον πῦρ ἥκιστα σβεννύμενον ἢ νέμεται ἢ
141 ἐντύφεται. πίστις δὲ σαφεστάτη τὰ ὁρώμενα· τοῦ γὰρ συμβεβηκότος
πάθους μνημεῖόν ἐστιν ὅ τε ἀναδιδόμενος ἀεὶ καπνὸς καὶ ὃ μεταλλεύουσι

2 νηφούσης ABE, νειφούσης FHP   ἀδιαστάτως καὶ ἀπαύστως C   ῥύμης C   3 φλογὸς BEKHP: πυρὸς CFGMA   4 καὶ δρυμοὶ BEK: δρυμοί τε ceteri   δ' ἡ] δὴ HP   5 ante τῶν add. ὁ BEKA   δὲ] δὴ BEK   τῆς ὀρεινῆς ἡ δενδροφόρος BEK: ὁ τῆς ὀρεινῆς δενδροφόρος ceteri (v)   6 στελέχων MHP, στελέγχων F   αὐτῶν K   7 καὶ ὅσα — δημόσια om. Arm   ἰδιωτικαῖς καὶ δημοσίαις F   7. 8 συγκατεπίμπραντο A, συγκατεπίπραντο BEK: συγκατεπίμπρατο ceteri   9 κατασκευασταὶ H   10 κατηνάλωσεν C   11 ἔκαιεν αὐτὴν transp. K   καὶ alt. ante κατωτάτω transp. BEK Arm   ἐνυπάρχουσαν om. Arm   12 ἀγονία παντελεῖ (om. εἰς) CFG   ἀγωνίαν M   παντελῶς K   13 δυνηθῆναι om. Arm   14 πῦρ om. CFG   σβέννυται G, σβέννυται μόνον CF, σβέννυται μὲν HP   ἢ pr. et ἢ ἐντύφεται om. Arm   15 τοῦ] ταῦτα CFG   16 μνημεῖον BEK Arm: σημεῖον ceteri   post ἐστι repet. τὰ ὁρώμενα BEK   ἀεὶ om. Arm

1 sqq. Gen. 19,24   11 sqq. *Ioseph. Ant. Iud. I 194* ὑπὸ δὴ τοῦτον τὸν καιρὸν οἱ Σοδομῖται πλήθει καὶ μεγέθει χρημάτων ὑπερφρονοῦντες εἴς τε ἀνθρώπους ἦσαν ὑβρισταὶ καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς . . . (195) χαλεπήνας οὖν ἐπὶ τούτοις ὁ θεὸς ἔγνω τιμωρήσασθαι τῆς ὑπερηφανίας αὐτοὺς καὶ τήν τε πόλιν αὐτὴν κατασκάψασθαι καὶ τὴν χώραν οὕτως ἀφανίσαι, ὡς μήτε φυτὸν ἔτι μήτε καρπὸν ἕτερον ἐξ αὐτῆς ἀναδοθῆναι.   14 sqq. *Sap. Salom. 10,6* αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο φυγόντα καταβάσιον πῦρ πενταπόλεως· (7) ἧς ἔτι μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα φυτά. *Ioseph. Bell. Iud. IV 483* γειτνιᾷ δ' ἡ Σοδομῖτις αὐτῇ (scil. τῇ Ἀσφαλτίτιδι λίμνῃ), πάλαι μὲν εὐδαίμων γῆ καρπῶν θ' ἕνεκα καὶ τῆς κατὰ πόλεις περιουσίας, νῦν δὲ κεκαυμένη πᾶσα. (484) φασὶ δ' ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς καταφλέγη· ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρὸς καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιάς, ἔτι δὲ κἀν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις ὁμοίαν, δρεψαμένων δὲ χερσὶν εἰς καπνὸν ἀναλύονται καὶ τέφραν.

θεῖον· τῆς δὲ περὶ τὴν χώραν παλαιᾶς εὐδαιμονίας ἐναργέστατον ὑπο-
λείπεται δεῖγμα πόλις μία τῶν ὁμόρων καὶ ἡ ἐν κύκλῳ γῆ, πολυάν-
θρωπος μὲν ἡ πόλις, εὔχορτος δὲ καὶ εὔσταχυς καὶ συνόλως καρποφόρος
ἡ γῆ, πρὸς ἔλεγχον δίκης γνώμῃ θείᾳ δικασθείσης. (28.) ἀλλὰ γὰρ 142
οὐχ ἕνεκα τοῦ δηλῶσαί με τὰς μεγαλουργηθείσας συμφορὰς καινὰς ταῦτα
διεξῆλθον, ἀλλ' ἐκεῖνο βουλόμενος παραστῆσαι, ὅτι τῶν τριῶν ὡς ἀνδρῶν
p. 22 M. ἐπιφανέντων τῷ σοφῷ δύο μόνους εἰς τὴν | ἀφανισθεῖσαν χώραν τὰ
λόγιά φησιν ἐλθεῖν ἐπ' ὀλέθρῳ τῶν οἰκητόρων, τοῦ τρίτου μὴ δικαιώσαντος
ἥκειν· ὃς κατά γε τὴν ἐμὴν ἔννοιαν ἦν ὁ πρὸς ἀλήθειαν ὤν, ἁρμόττον 143
ὑπολαβὼν εἶναι τὰ μὲν ἀγαθὰ παρὼν δι' αὑτοῦ χαρίζεσθαι, μόναις δ'
ἐπιτρέπειν ταῖς δυνάμεσι καθ' ὑπηρεσίαν τὰ ἐναντία χειρουργεῖν, ἵνα
μόνων ἀγαθῶν αἴτιος, κακοῦ δὲ μηδενὸς προηγουμένως νομίζηται. τοῦτό 144
μοι δοκοῦσι καὶ τῶν βασιλέων οἱ μιμούμενοι τὴν θείαν φύσιν πράττειν,
τὰς μὲν χάριτας δι' ἑαυτῶν προτείνοντες, τὰς δὲ τιμωρίας δι' ἑτέρων
βεβαιοῦντες. ἀλλ' ἐπειδὴ τῶν δυεῖν δυνάμεων ἡ μὲν εὐεργέτις ἐστίν, 145
ἡ δὲ κολαστήριος, ἑκατέρα κατὰ τὸ εἰκὸς ἐπιφαίνεται τῇ Σοδομιτῶν γῇ,
διότι τῶν ἀρίστων ἐν αὐτῇ πέντε πόλεων τέτταρες μὲν ἔμελλον ἐμπί-
πρασθαι, μία δὲ ἀπαθὴς παντὸς κακοῦ σῷος ὑπολείπεσθαι· ἐχρῆν γὰρ
διὰ μὲν τῆς κολαστηρίου γίνεσθαι τὴν φθοράν, σῴζεσθαι δὲ διὰ τῆς
εὐεργέτιδος. ἀλλ' ἐπειδὴ καὶ τὸ σῳζόμενον μέρος οὐχ ὁλοκλήρους καὶ 146
παντελεῖς εἶχεν ἀρετάς, δυνάμει μὲν τοῦ ὄντος εὐεργετεῖτο, προηγου-
μένως δὲ τῆς ἐκείνου φαντασίας ἀνάξιον ἐνομίσθη τυχεῖν.

(29.) Ἡ μὲν οὖν ἐν φανερῷ καὶ πρὸς τοὺς πολλοὺς ἀπόδοσις ἥδ' 147

1 δ' BEK ἐπὶ τὴν χώραν BE, ἐπὶ τῇ χώρᾳ K, τῆς χώρας Arm 1. 2 ὑπολεί-πεται BEK: ὑπολέλειπται ceteri 2 τῶν ὁμόρων BEK (τῶν ὁμοίων Arm): om. ceteri ἡ om. BE 3 μὲν BEKH²: om. ceteri 4 θείᾳ om. C δικασθεῖσα CFG 5 κενὰς A, κοινὰς CBE ταῦτα BEK: ταυτὶ ceteri 8 φασιν KHP ἐλθεῖν ἐπ' ὀλέθρῳ BEK Arm: ἐπ' ὀλέθρῳ ἐλθεῖν ceteri 9 ὅς κατά γε BEK: ὅς γε κατὰ ceteri ἦν om. C ἁρμόττον post ἦν transp. BE ἁρμόττων A 10 ὑπέλαβεν CG, ὑπελάμβανεν F παρὼν BEK (παριὼν Arm): om. ceteri αὑτοῦ F¹HP, ἑαυτοῦ F²: αὐτοῦ ceteri 10. 11 μόναις δ' ἐπιτρέπειν ταῖς δυνάμεσι καθυπηρεσίαν τὰ ἐναντία χειρουργεῖν C: μ. δ' ἐ. τ. δ. καθ' ὑπ. τῶν δυνάμεων τὰ ἐναντία χειρουργεῖν FGMAHP, μ. δ' ἐ. τ. δ. κ. ὑ. τῶν χειρουργεῖν δυναμένων τὰ ἐναντία K, τὰ δ' ἐναντία καθ' ὑπηρεσίαν τῶν δυνάμεων χειρουργεῖν BE, τὰ δ' ἐναντία καθ' ὑπηρεσίαν ταῖς δυνάμεσι μόναις ἐπιτρέπειν χειρουργεῖν Arm 12 μόνον BE αἰτίας G δὲ BEKF²H²: om. ceteri προηγουμένου C 15 δυοῖν FHP 17 πέντε om. F Arm τέσσαρες BEK 17. 18 ἐμπίμπρασθαι Mang. 18 δ' BEK post ἀπαθὴς add. καὶ H²(v) σῷος om. Arm χρῆν BE
ἥδ'
19 τὴν om. F 21 εὐηργετεῖτο AFGK 23 αὕτη K

ἐστίν· ἡ δ' ἐν ἀποκρύφῳ καὶ πρὸς ὀλίγους, ὅσοι τρόπους ψυχῆς ἐρευ-
νῶσιν ἀλλ' οὐ σωμάτων μορφάς, αὐτίκα λεχθήσεται. συμβολικῶς ἡ
πεντάπολις αἱ ἐν ἡμῖν πέντε αἰσθήσεις εἰσί, τὰ τῶν ἡδονῶν ὄργανα,
148 δι' ὧν ἅπασαι μικραί τε αὖ καὶ μεγάλαι τελεσιουργοῦνται. ἢ γὰρ ὁρῶν-
τες χρωμάτων καὶ σχημάτων ποικιλίας ἔν τε ἀψύχοις καὶ ψυχὴν ἔχουσιν
ἡδόμεθα ἢ φωνῶν ἐμμελεστάτων ἀκούοντες ἢ κατὰ γεῦσιν ἐν τοῖς περὶ
ἐδωδὴν καὶ πόσιν ἢ κατ' ὄσφρησιν ἐν εὐωδίαις ἀτμῶν ἢ ἐν μαλακοῖς καὶ
149 θερμοῖς ἔτι δὲ λείοις κατὰ τὴν ἁφήν. ζῳωδέσταται μὲν οὖν καὶ ἀνδρα-
ποδωδέσταται τῶν πέντε τρεῖς εἰσιν αἰσθήσεις, γεῦσις, ὄσφρησις, ἁφή,
περὶ ἃς τῶν θρεμμάτων καὶ τῶν θηρίων τὰ γαστριμαργότατα καὶ συνου-
σιαστικώτατα μάλιστα ἐπτόηται· δι' ὅλης γὰρ ἡμέρας καὶ νυκτὸς ἢ
150 τροφῶν ἀπλήστως ἐμφορεῖται ἢ πρὸς τὰς ὀχείας ὁρμᾷ. δύο δ' εἰσὶν
ἐμφιλόσοφοι καὶ ἡγεμονίδες, ἀκοὴ καὶ ὅρασις· βραδύτερα δέ πως καὶ
θηλύτερα ὦτα ὀφθαλμῶν ἐπὶ τὰ ὁρατὰ φθανόντων ὑπὸ εὐτολμίας καὶ
οὐκ ἀναμενόντων, ἄχρις ἂν ἐκεῖνα κινήσῃ, προϋπαντιαζόντων δὲ καὶ
ἀντικινῆσαι γλιχομένων. ἀκοὴ μὲν οὖν, διότι βραδεῖα καὶ θηλυτέρα,
δευτερεύουσαν τάξιν τετάχθω, | προνομία δ' ἔστω τις ἐξαίρετος ὁράσει· p. 23 M.
ταύτην γὰρ ὁ θεὸς βασιλίδα τῶν ἄλλων ἀπέφηνεν ἐπάνω θεὶς ἁπασῶν
καὶ ὥσπερ ἐπ' ἀκροπόλεως ἱδρυσάμενος οἰκειοτάτην ἀπειργάσατο ψυχῇ.

1 ψυχῶν H^2(v) 2 συμβολικῶς om. BEK, cum λεχθήσεται coniungit Arm
3 πέντε om. Arm 4 μικραί—μεγάλαι om. Arm τε αὖ BEK: αὖ om. ceteri
ἢ] ὃ G 5 χρημάτων AFGHP τ' BEK 6 ἐντελεστάτων C 8 ἔτι δὲ
λείοις BEKA: ἔτι τε λείοις F^{2}HP^2, ἔτι τελείοις MF^{1}GP^1, ἔν τε λείοις C ζῳωδέστα-
ται BE μὲν—ἀνδραποδωδέσταται om. G, μὲν—πέντε om. F οὖν om. BE
δ
8. 9 ἀντραποδωδέσταται E, ἀντραποδωδέσταται B, ἀνδραπωδέσταται AP 9 τῶν πέντε
om. BEK 10 τῶν θηρίων BEK: τῶν om. ceteri γαστριμαργότατα BEK
Arm: γαστριμαργοῦντα ceteri (v) 11 ἐπτόηται C: πεπόνηται ceteri (et Arm)
12 εὐπορεῖται H^{1}P τὰς ὀχείας BEK: τὰς om. ceteri ὀργᾷ coni. Mang.
δ
δὲ BEK 13 αἱ φιλόσοφοι HP ἡγεμόνες BEK βραχύτερα C, βραχύτερα F
πως om. BEK 14 ὑπὸ] ἀπὸ A 15 μέχρις HP(v) κινήσει A
16 οὖν om. BE διότι corr. ex ὅτι K 17 τάξιν τετάχθω BEK Arm: ἐχέτω
τάξιν ceteri; τετάχθω τάξιν coni. Mang. 18 ταύτην] τούτων G ἄλλων] ὅλων K
ἀναπέφηνεν F 18. 19 ἐπάνω—καὶ om. Flor. Laur. τιθεὶς HP πασῶν P,
ἁπάντων BE 19 ἐπ'] ἐξ F ἱδρυσάμενος, τεκμήριον οἰκειότατον ψυχῆς·
συμμεταβάλλει γὰρ ταῖς Flor. Laur. ψυχήν AF

18—35,14 Flor. Laur. Nr. 25: τὴν ὅρασιν ὁ θεὸς—ἐχούσης.

τεκμηριώσαιτο δ' ἄν τις ἐκ τοῦ συμμεταβάλλειν ταῖς ἐκείνης τροπαῖς· 151 λύπης μὲν γὰρ ἐγγινομένης, ὀφθαλμοὶ συννοίας γέμουσι καὶ κατηφείας, χαρᾶς δ' ἔμπαλιν, ὑπομειδιῶσι καὶ γεγήθασι, φόβου δὲ κρατήσαντος, ταραχώδους γέμουσιν ἀταξίας, κινήσεις καὶ παλμοὺς καὶ περιστροφὰς ἀτάκτους ἐνδεχόμενοι· εἰ δ' ὀργὴ κατάσχοι, τραχυτέρα πως καὶ ὕφαι- 152 μος ἡ ὄψις, καὶ ἐν μὲν τῷ λογίζεσθαι καὶ φροντίζειν τινὸς ἠρεμεῖ καὶ ἐκνένευκε, μόνον οὐ συνεκτείνουσα τῇ διανοίᾳ ἑαυτήν, ἐν δὲ ταῖς ἀναψύξεσι καὶ ἀνέσεσι συνανίεται καὶ χαλᾶται· καὶ προσιόντι μὲν φίλῳ 153 προευαγγελίζεται τὸ τῆς εὐνοίας πάθος εὐδίῳ καὶ γαληνῷ βλέμματι, εἰ δ' ἐχθρὸς τύχοι, τὸ δυσάρεστον τῆς ψυχῆς πάθος προμηνύει· καὶ θρασύτητι μὲν προπηδῶσι καὶ προεκτρέχουσιν ὀφθαλμοί, αἰδοῖ δὲ πράως ἠρεμοῦσι· [καὶ] ὡς συνελόντι φράσαι ψυχῆς εἰκόνα δεδημιουργῆσθαι τὴν ὅρασιν ἀκρότητι τέχνης εὖ μεμιμημένης ἐναργὲς ἐμφαίνουσαν εἴδωλον οἷα διὰ κατόπτρου τὴν φύσιν ὁρατὴν ἐξ αὑτῆς οὐκ ἐχούσης. ἀλλὰ γὰρ οὐ ταύτῃ μόνον τὰς ἄλλας αἰσθήσεις ὑπερβάλλει τὸ κάλλος 154 ὀφθαλμῶν, ἀλλὰ καὶ διότι τῶν ἄλλων ἐν ταῖς ἐγρηγόρσεσι — τὴν γὰρ καθ' ὕπνον ἀπραξίαν οὐ παραληπτέον — ἐπιλείπουσιν αἱ χρήσεις· ὁπότε γὰρ μὴ κινήσειέ τι τῶν ἐκτός, ἡσυχάζουσιν, αἱ δὲ τῶν ὀφθαλμῶν ἀναπεπταμένων ἐνέργειαι συνεχεῖς καὶ ἀδιάστατοι μηδέποτε πληρουμένων εἰσὶ καὶ ταύτῃ παριστάντων, ἣν ἔχουσι πρὸς ψυχὴν συγγένειαν. ἀλλ' ἐκείνη μὲν ἀεικίνητος οὖσα μεθ' ἡμέραν καὶ νύκτωρ διανίσταται, 155

1 δὲ BEK ἄν om. BEK συμμεταβαλεῖν H(v) ῥοπαῖς K 2 ἐγγενομένης BE Flor. 4 κινήσεις BEKH² Flor.: καὶ κινήσεις ceteri παραστροφὰς (om. ἀτάκτους) Flor. 5 ἐνδεικνύμενοι coni. Mang. ὄργιον Flor.
ζεσθαι
6 λογίζειν K τινὸς BEK Flor.: om. ceteri 7 ἐννένευκε K 9 προευαγγελίζεται BEKMH² Flor.: προσευαγγελίζεται ceteri τῆς om. BEK εὐδίωΞ (σ eras.) C βλέμματι] θελήματι H 9. 10 εἰ δ' ἐχθρὸς τύχοι om. CFG 10 post τύχοι (post βλέμματι) add. καὶ πάλιν CFGMA, πάλιν HP, omisi cum BEK Arm Flor. 10. 11 προπηδῶσι μὲν θρασύτητι Flor. 11 πράως] πράξεως F 12 καὶ seclusi (om. Arm Flor.) ὡς συνελόντι BE Arm Flor.: ὡς om. ceteri δεδημιουργεῖσθαι CF¹E 13 ἀκρότητι BEMA Flor.: ἀκροτάτην ceteri 14 ὁρᾶν Flor. αὐτῆς CFH²: αὑτῆς ceteri οὐκ om. BEMA Arm Flor. οὐκ ἐχούσης] παρεχούσης F in ras. 15 ὑποβάλλει CFGMP 16 post ἐγρηγόρσεσι add. διαφέρει Arm 17 παραλειπτέον H¹P post ἐπιλείπουσι add. γὰρ BEMHP Arm 18 γὰρ] γοῦν F μὴ BEK: οὐ ceteri κινήσει ἔτι A, κινήσειε ἔτι F 18. 19 ἀναπεπταμένων ὀφθαλμῶν transp. H 19 μηδέπω A 19. 20 πεπληρουμένων (sic) G 20 ταυτὶ BE παραστάντων H¹P, παρ' ἡ πάντων (sic) FG, π et lac. 10 litt. C ψυχῆς M 21 μένει ἀκίνητος A, μὲν ἀκίνητος CFG

τοῖς δ' ἅτε σαρκὸς πλεῖστον μετέχουσιν αὐτάρκης ἐδόθη δωρεά, μέρος
ἥμισυ τοῦ παντὸς χρόνου καὶ βίου διατελεῖν ἐνεργοῦντας τὰς ἁρμοτ-
156 τούσας ἐνεργείας. (30.) ὃ δ' ἐστὶν ἀναγκαιότατον τῆς ἀπὸ τῶν ὀμμά-
των ὠφελείας, ἤδη λεκτέον. μόνῃ γὰρ ὁράσει τῶν αἰσθήσεων ὁ θεὸς
ἀνέτειλε φῶς, ὃ καὶ τῶν ὄντων ἐστὶ κάλλιστον καὶ πρῶτον ἐν ἱεραῖς
157 βίβλοις ὠνομάσθη καλόν (Gen. 1, 4). διττὴ δὲ φωτὸς φύσις· τὸ μὲν
γὰρ ἀπὸ τοῦ χρειώδους πυρός, φθαρτοῦ φθαρτόν, ἐκλάμπει σβέσιν ἐνδεχό-
μενον, τὸ δὲ ἄσβεστον καὶ ἀδιάφθορόν ἐστιν, ἄνωθεν ἀπὸ τοῦ οὐρανοῦ
πρὸς ἡμᾶς φερόμενον, ὥσπερ ἀπ' ἀενάων πηγῶν ἑκάστου τῶν ἀστέρων
αὐγὰς ἐκχέοντος· ἑκατέρῳ δ' ἡ ὄψις ἐνομιλεῖ καὶ δι' ἀμφοτέρων
158 προσβάλλει τοῖς ὁρατοῖς εἰς ἀκριβεστάτην ἀντίληψιν. ἔτι τοίνυν ἐπιχει-
ρῶμεν ὀφθαλμοὺς λόγοις ἐγκωμιάζειν, τοῦ θεοῦ τοὺς ἀληθεῖς ἐπαίνους
αὐτῶν | στηλιτεύσαντος ἐν οὐρανῷ, τοὺς ἀστέρας; ἡλίου γὰρ αὐγαὶ καὶ p. 24 M.
σελήνης καὶ τῶν ἄλλων πλανήτων καὶ ἀπλανῶν τοῦ χάριν γεγόνασιν
159 ὅτι μὴ τῆς ὀφθαλμῶν ἐνεργείας εἰς τὴν τοῦ ὁρᾶν ὑπηρεσίαν; διὸ καὶ
προσχρώμενοι τῇ πασῶν ἀρίστῃ δωρεᾷ φωτὶ καταθεῶνται τὰ ἐν κόσμῳ,
γῆν, φυτά, ζῷα, καρπούς, πελαγῶν ἀναχύσεις, ποταμοὺς αὐθιγενεῖς τε
καὶ χειμάρρους πηγῶν τε διαφοράς, ὧν αἱ μὲν ψυχρὸν αἱ δὲ θερμὸν
νᾶμα προχέουσι, πάντων τῶν κατὰ τὸν ἀέρα συνισταμένων τὰς φύσεις —
ἀμύθητοι δέ εἰσιν ἰδέαι καὶ ἀπερίληπτοι λόγῳ —, καὶ ἐπὶ πᾶσι τὸν
οὐρανόν, ὃς ἀληθείᾳ κόσμος ἐν κόσμῳ δεδημιούργηται, καὶ τὰ κατ'
οὐρανὸν κάλλη καὶ θεῖα ἀγάλματα. τίς οὖν τῶν ἄλλων αἰσθήσεων
160 ἐπαυχήσει διαβῆναί ποτε τοσοῦτον; (31.) ἀλλ' ἐάσαντες τὰς ἐπὶ ταῖς

2 χρόνου καὶ βίου BEK Arm: βίου χρόνου (om. καὶ) ceteri τελεῖν BEK ἐνεργοῦντας BEK: ἐνεργοῦσι ceteri 5 πρῶτον om. Arm 7 χρειώδους] στοιχειώδους coni. Mang. ἐκλάμπον MA 7. 8 δεχόμενον F 8 δ' BEK καὶ ἀδιάφθορόν ἐστιν BEK Arm: καὶ ἄφθαρτόν ἐστιν CGMA, καὶ ἄφθαρτον (om. ἐστιν) F, ἐστι καὶ ἄφθαρτον HP ἀπὸ τοῦ οὐρανοῦ BEK: ἀπ' οὐρανοῦ ceteri 9 ἀενάων C: ἀεννάων ceteri 10 ἐκχέοντος] ἔχοντος CFG ἑκατέρου CFG δ' ἡ] δὴ BE, om. CFG ἐνομιλεῖ BEK: ὁμιλεῖ ceteri 11. 12 ἐπιχειρῶμεν BEK Arm: ἐπιχειροῦμεν ceteri; τί δὲ νῦν (ἐπιχειροῦμεν) coni. Mang. 12 λόγοις BEK Arm: λόγῳ ceteri τοῦ θεοῦ om. Arm 13 τῶν ἀστέρων Arm 15 τῆς] τοὺς C ὀφθαλμῶν CABEK: τῶν ὀφθαλμῶν ceteri τοῦ om. BE 16 φωτὶ om. CFG 17 πελαγῶν (ἀναχύσεις) BEK Arm: πελάγη(, ἀναχύσεις) ceteri ἀνασχίσεις MF[1]GHP[1] 17. 18 ποταμοὺς αὐθιγενεῖς τε καὶ χειμάρρους BEK Arm: ποταμῶν αὐθιγενῶν τε καὶ χειμάρρων ceteri 19 νάματα C, ἅμα A, νᾶμα om. Arm τῶν om. BE τὸν ἀέρα C: τὸν om. ceteri 20. 21 τοῦ οὐρανοῦ BE 23 ὑπαυχήσει BE διαβῆναι] ἐπιβῆναι coni. Mang. τὰς CFG: om. ceteri ἐπὶ om. HP[1]

φάτναις τὸ σύμφυτον ἡμῖν θρέμμα πιαινούσας, τὴν ἐπιθυμίαν, ἐξετάσω-
μεν τὴν λόγου μεταποιουμένην ἀκοήν· ἧς ὁ σύντονος καὶ τελειότατος
δρόμος ἵσταται κατὰ ἀέρα τὸν περίγειον, ὅταν βία πνευμάτων καὶ κτύποι
βροντῶν συρμὸν πολὺν καὶ χαλεπὸν πάταγον ἐξηχῶσιν. ὀφθαλμοὶ δὲ 161
ἀπὸ γῆς ἐν ἀκαρεῖ φθάνουσιν εἰς οὐρανὸν καὶ τὰ πέρατα τοῦ παντός,
ἐπ' ἀνατολὰς ὁμοῦ καὶ δύσεις ἄρκτον τε καὶ μεσημβρίαν. ⟨καὶ⟩ ἀφικνού-
μενοι πρὸς τὸ θεωρεῖν ἕλκουσιν ἐπὶ τὰ φανέντα τὴν διάνοιαν. ἡ δὲ τὸ 162
παραπλήσιον ἐνδεξαμένη πάθος οὐκ ἠρεμεῖ, ἀλλ' ἅτε ἀκοίμητος καὶ
ἀεικίνητος οὖσα, παρὰ τῆς ὄψεως τοῦ δύνασθαι τὰ νοητὰ θεωρεῖν τὰς
ἀφορμὰς λαβοῦσα, εἰς σκέψιν ἦλθε, πότερον τὰ φανέντα ταῦτ' ἐστὶν
ἀγένητα ἢ γενέσεως ἔλαβεν ἀρχὴν καὶ πότερον ἄπειρα ἢ πεπερασμένα
καὶ πότερον εἷς ἢ πλείονές εἰσι κόσμοι καὶ πότερον τὰ τέτταρα στοιχεῖα
τῶν ἁπάντων ἐστὶν ἢ φύσιν ἐξαίρετον οὐρανὸς καὶ τὰ ἐν αὐτῷ κεκλή-
ρωται θειοτέρας καὶ οὐχὶ τοῖς ἄλλοις τῆς αὐτῆς οὐσίας ἐπιλαχόντα·
εἰ δὲ δὴ καὶ γέγονεν ὁ κόσμος, ὑπὸ τίνος γέγονε καὶ τίς ὁ δημιουργὸς 163
κατ' οὐσίαν ἢ ποιότητα καὶ τί διανοηθεὶς ἐποίει καὶ τί νῦν πράττει
καὶ τίς αὐτῷ διαγωγὴ καὶ βίος καὶ ὅσα ἄλλα περιττὸς νοῦς φρονήσει
συμβιῶν εἴωθε διερευνᾶσθαι. ταῦτα δὲ καὶ τὰ τοιαῦτα ἀνάκειται τῷ 164
φιλοσοφεῖν· ἐξ οὗ δῆλόν ἐστιν, ὅτι σοφία καὶ φιλοσοφία τὴν ἀρχὴν ἀπ'
οὐδενὸς εἴληφεν ἑτέρου τῶν ἐν ἡμῖν ἢ τῆς ἡγεμονίδος τῶν αἰσθήσεων
ὁράσεως, ἣν καὶ μόνην ἐκ τῆς σωματικῆς χώρας διέσωσεν ὁ θεὸς τὰς

1 φάτναις] φαντασίαις Arm   τὸ σύμφυτον] ἀπὸ συμφύτων FG, ἀπὸ τῶν συμφύτων C
ῶν
ἡμῖν K   θρέμμα] θρεμμάτων C, σῶμα BEK   πιαινούσας CFG: πιαῖνον ceteri
τὴν ἐπιθυμίαν om. F   2 τὴν λόγου om. K   λόγῳ A, τοῦ ὅλου BE
τὴν τοῦ ὅλου μεταποιουμένην ἀρετὴν mg. A   ἀκοήν BEK: ἀρετήν ceteri; αἴσθησιν
coni. Mang.   ἡ CAHP   3 βίαι H²(v)   4 συρμὸν] συριγμὸν Arm
χαλεπὸν om. CFG   ἐξηχῶσιν] ἐμποιοῦσιν BE   δ' BEK   5 γῆς] τῆς G
ἐνακαρεὶ CFMHP, ἐνακαρὶ G   φθάνωσιν Turn.   6 καὶ add. Arm: om. codd.
7 πρὸς τὸ BEK Arm: πρὸς τῷ ceteri   ἐπὶ τὴν ἀφανεστάτην διάνοιαν CFG
8 ἐνδειξαμένη BE   πάθος BEKA Arm: δέος ceteri; εἶδος coni. Mang.
8. 9 ἀκοίμητος καὶ ἀεικίνητος BEMF: ἀκοίμητος καὶ ἀκίνητος CGAK, ἀεικίνητος καὶ
ἀκοίμητος HP, καὶ ἀεικίνητος om. Arm   9 τὰ νοηθέντα F, τῶν νοητῶν BE
9. 10 τὰς ἀφορμὰς λαβοῦσα K Arm: λαβοῦσα om. BE, λαβοῦσα τὰς ἀφορμάς ceteri
10 σκῆψιν CFG   11 ἀγέννητα AKGHP   ἔλαχεν K   12 πλείονες
οῖς οις
BEK: πλείους ceteri   τέσσαρα BEKP   14 τῆς ἄλλης A, τῆς ἄλλης K
οὐσίας om. Arm   ἐπιλαχών H²   16 πράττει BEK: πράσσει ceteri
17 τίς BEK: τίς ἐστιν ceteri   νοῦς] βιοὺς F   19 σοφία om. Arm
20 εἴληφεν BEK: ἔλαβεν ceteri   post ἢ add. ὅτι BE

τέσσαρας φθείρας, ὅτι αἱ μὲν σαρκὶ καὶ τοῖς σαρκὸς πάθεσιν ἐδούλευσαν, ἡ δὲ ἴσχυσεν ἀνατεῖναι τὸν αὐχένα καὶ βλέψαι καὶ | τέρψεις ἑτέρας p. 25 M. ἀνευρεῖν πολὺ βελτίους τῶν σωματικῶν ἡδονῶν ἐκ τῆς περὶ τὸν
165 κόσμον θεωρίας καὶ τῶν ἐν αὐτῷ. μίαν οὖν ὥσπερ ἐκ πενταπόλεως τῶν πέντε αἰσθήσεων τὴν ὅρασιν ἐξαιρέτου γέρως τυχεῖν ἁρμόττον ἦν καὶ φθειρομένων τῶν ἄλλων διαμένειν, ὅτι οὐ περὶ τὰ θνητὰ εἱλεῖται μόνον ὡς ἐκεῖναι, μετανίστασθαι δὲ πρὸς τὰς ἀφθάρτους φύσεις ἀξιοῖ
166 χαίρουσα τῇ θέᾳ τούτων. διὸ καὶ παγκάλως „μικράν“ τε καὶ „οὐ μικρὰν“ (cf. Gen. 19, 20) τὴν πόλιν ταύτην οἱ χρησμοὶ διασυνιστᾶσιν αἰνιττόμενοι τὴν ὅρασιν· μικρὰ μὲν γὰρ λέγεται εἶναι, διότι βραχὺ μέρος τῶν ἐν ἡμῖν ἐστι, μεγάλη δέ, διότι μεγάλων ἐφίεται τὸν σύμπαντα οὐρανὸν καὶ κόσμον γλιχομένη καταθεάσασθαι.

167 (32.) Περὶ μὲν οὖν τῆς ἐπιφανείσης ὄψεως καὶ τῶν ἀοιδίμων καὶ παγκάλων ξενίων, ἐν οἷς δοκῶν ἑστιᾶν ὁ ξενοδόχος εἱστιᾶτο, καθ' ὅσον ἐφικτὸν ἦν, ἀκριβοῦσιν ἡμῖν τὰ περὶ τὸν τόπον δεδήλωται. μεγίστην δὲ πρᾶξιν ἀξίαν ἀκοῆς οὐχ ἡσυχαστέον· ὀλίγου γὰρ δέω φάναι πάσας
168 ὅσαι θεοφιλεῖς ὑπερβάλλει. λεκτέον δὲ τὰ καίρια περὶ αὐτῆς. υἱὸς ἐκ τῆς γαμετῆς γίνεται τῷ σοφῷ γνήσιος, ἀγαπητὸς καὶ μόνος, τό τε σῶμα κάλλιστος καὶ τὴν ψυχὴν ἄριστος· ἤδη γὰρ τελειοτέρας τῆς ἡλικίας ἐξέφαινεν ἀρετάς, ὡς τὸν πατέρα μὴ πάθει μόνον εὐνοίας φυσικῆς ἀλλὰ καὶ γνώμῃ καθάπερ ἠθῶν δικαστὴν ἰσχυρᾷ τινι κεχρῆσθαι φιλοστοργίᾳ.
169 διακειμένῳ δ' οὕτως ἐξαπιναίως θεσπίζεται λόγιον οὔποτ' ἐλπισθέν,

οἷς
1 σαρκὶ] σαρκικαὶ BEK τῆς K, τῆς F πάθεσιν] φίλοις BEK ἐδουλώθησαν G
2 δ' BEK ἀναβλέψαι Arm (fort. recte) ἑτέρας om. HP 4 τῶν] τὰ coni. Wendl.
5 πέντε] ἑπτὰ Turn., om. Arm ἁρμόττον ἦν om. HP[1], add. mg. P[2] 6 διαμένειν (ει in ras.) B, διαμένων E εἰλεῖται EMFH 7 μόνον] μόνως H[2] (Turn.)
8 post χαίρουσα add. τούτοις καὶ BEK τούτων θέα transp. K διὸ καὶ BEK Arm: καὶ om. ceteri 9 διασυνιστῶσιν HP, διανίστασιν BE, παριστῶσιν K 10 μικρὰν μὲν λέγεσθαι (om. γὰρ) BEK 11 μεγάλην BEK διότι] ὅτι HP(v), om. BEK post μεγάλων add. γὰρ BEK 12 καταθεάσασθαι BEK: θεάσασθαι ceteri
13 οὖν CBEK: om. ceteri 14 ἑστιᾶν] ἐστιν F εἱστιᾶτο KHP: ἑστιᾶτο ceteri καθόσον codd. 15 ἡμῖν om. BE 16 γὰρ om. CFG Arm δέω φάναι om. BE
19. 20 ἐξέφενεν H[1], ἐξέφανεν A 20 τὰς ἀρετὰς K ὡς] ὧν BE παθεῖν G, ποθεῖν BE, πόθον παθεῖν Arm μὴ post ποθεῖν transp. BE ἐξ εὐνοίας BE Arm
στοργία
21 γνώμῃ Mang.: γνώμης codd. φιλοσοφία C, φιλοσοφία BEK 22 διακειμένων CA οὔποτ' BEK: οὔποτε ceteri

17 sqq. Gen. cap. 22

σφαγιάσαι τὸν υἱὸν ἐπί τινος ὑψηλοτάτου κολωνοῦ πορρωτάτω πόλεως ἀποστάντα τριῶν ὁδὸν ἡμερῶν. ὁ δὲ καίτοι ἀλέκτῳ πόθῳ τοῦ παιδὸς 170 ἐκκρεμάμενος οὔτε τὴν χρόαν μετέβαλεν οὔτε τὴν ψυχὴν ἐγνάμφθη, γνώμῃ δ' ἀνενδότῳ καὶ ἀρρεπεῖ διέμεινεν ἀκλινής, οἷος καὶ πρόσθεν ἦν· ἔρωτι δὲ θείῳ δεδαμασμένος ἀνὰ κράτος ἐνίκα πάντα ὅσα συγγενείας ὀνόματα καὶ φίλτρα καὶ μηδενὶ τῶν ἔνδον ἐξειπὼν τὸ λόγιον, ἐκ πολυανθρώπου θεραπείας οἰκετῶν δύο μόνους τοὺς πρεσβυτάτους καὶ μάλιστα φιλοδεσπότους παραλαβών, ὡς ἕνεκά τινος ἱερουργίας τῶν ἐν ἔθει τέταρτος ἐξῄει σὺν τῷ παιδί. τὸν δὲ προσταχθέντα χῶρον ὥσπερ ἀπὸ 171 σκοπιᾶς ἰδὼν ἐκ μακροῦ τοῖς μὲν θεράπουσι κελεύει καταμένειν, τῷ δὲ παιδὶ πῦρ καὶ ξύλα δίδωσι κομίζειν, αὐτὸ δικαιώσας τὸ ἱερεῖον τὰ πρὸς τὴν θυσίαν ἐπηχθίσθαι, κουφότατον βάρος· οὐδὲν γὰρ εὐσεβείας ἀπονώτερον. βαδίζοντες δ' ἰσοταχῶς οὐ τοῖς σώμασι μᾶλλον ἢ ταῖς 172 p. 26 M. διανοίαις ὁδὸν τὴν ἐπίτομον, ἧς ὁσιότης τὸ τέλος, ἐπὶ τὸν | προσταχθέντα τόπον ἀφικνοῦνται. κἄπειθ' ὁ μὲν πατὴρ συνεκόμιζε λίθους, 173 ἵνα δείμαιτο βωμόν, ὁ δὲ υἱὸς τὰ μὲν ἄλλα ὁρῶν ὅσα πρὸς ἱερουργίαν εὐτρεπῆ, ζῷον δὲ μηδέν, ἀπιδὼν εἰς τὸν πατέρα „ἰδοὺ τὸ πῦρ" ἔφη „καὶ τὰ ξύλα, πάτερ, ποῦ τὸ ἱερεῖον"; ἕτερος μὲν οὖν ἃ δρᾶν ἔμελλεν 174 εἰδὼς καὶ τῇ ψυχῇ συσκιάζων ὑπὸ τοῦ λεχθέντος κἂν συνεχύθη καὶ δακρύων πληρωθεὶς ἔμφασιν τοῦ γενησομένου παρέσχεν ἐκ τῆς περιπαθήσεως ἡσυχάζων. ὁ δ' οὐδεμίαν ἐνδεξάμενος τροπὴν οὔτε κατὰ 175

1 σφαγιάσαι] ἐναγίσαι F κολοφωνίου BE πορρωτάτου A 2 ὁδῶν F πόθῳ ἀλέκτῳ transp. HP 3 ἐγνάμφθη CFG: ἠγνάμφθη A, ἐκνάμφθη BE, ἐκάμφθη MKHP(v) 4 δὲ BEK ἀνενδοιάστῳ BEK διέμενεν HP ἀκλινής] ἀρρεπής K πρόσθεν ἦν] πρότερον K, πρότερος BE 5 δὲ BEKH²: om. ceteri post κράτος add. δ' C, ὃς Arm 6 καὶ alt. om. BE τὸ λόγιον ἐξειπὼν transp. K 7 μόνους BEK: om. ceteri 9 τέταρτος] *tertius* Ambros. 10 σκοπιῆς BEK θεραπεύουσι BEKAG κάτω καταμένειν Arm 11 δίδωσιν ἐπιφέρειν BEK δικαιώσας] δίκαιον νομίσας BEKMA ἱερὸν FGH¹P 12 τὴν om. H ἐπηχθῆσθαι C, ἐπηχθεῖσθαι BE, ἐπειχθῆσθαι A 13 δ' ἰσοταχῶς M: δ' ἴσοι ταχέως CFGHP, διό σοι ταχέως A, διὸ ταχέως Arm, εἰς ὃ τάχος BE, οὖν ὡς τάχος K 14 ἢ C, καὶ ἢ FG τὸ om. CFG Arm 15 κἄπειθ' BEK Arm: καὶ ceteri 16 δείμοιτο C, δειμαίνῃ FG, ἐπὶ τῷ δεῖμαι (pro ἵνα δείμαιτο) A τὸν βωμὸν AFG δ' BEK εἰς ὁρῶν post ἱερουργίαν transp. H(v) 17 πρὸς K 18 ἃ] ἂν G 19 κἂν] καὶ F 21 ἡσυχάζων post ὁ δ' transp. BEK ἐνδεξάμενος BE: ἐνδειξάμενος ceteri (v)

6 *Ambros. De Abrah. I 8,68* senex Abraham et dives pecoris atque abundans servitiorum non quaesivit comitatus sui agmina: ipse quoque ligna concidit et obsequia maiora viribus suis non intermisit ... et cum duobus ipse tertius proficiscitur hostiam suam ducens et die tertio ad locum sacrificii venit.

τὸ σῶμα οὔτε κατὰ τὴν διάνοιαν σταθερῷ μὲν τῷ βλέμματι σταθερῷ δὲ τῷ λογισμῷ φησι πρὸς τὴν πεῦσιν ἀποκρινόμενος· „ὦ τέκνον, ὁ θεὸς ὄψεται ἱερεῖον ἑαυτῷ καὶ ἐν ἐρημίᾳ πολλῇ, δι' ἣν ἴσως ἀπογινώσκεις εὑρεθήσεσθαι· πάντα δ' ἴσθι θεῷ δυνατὰ καὶ ὅσα ἐν ἀμηχάνῳ καὶ ἀπόρῳ
176 κεῖται παρ' ἀνθρώποις“. καὶ ταῦθ' ἅμα λέγων ᾗ τάχιστα τὸν υἱὸν ἐξαρπάσας ἐπιτίθησι τῷ βωμῷ καὶ σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος ἐπέφερεν ὡς ἀναιρήσων· φθάνει δ' ὁ σωτὴρ θεὸς ἀπ' ἀέρος φωνῇ μεσολαβήσας τὸ ἔργον, ᾗ προσέταττεν ἀνέχειν καὶ μὴ ψαῦσαι τοῦ παιδός, ὀνομαστὶ καλέσας δὶς τὸν πατέρα, ἵν' ἐπιστρέψας καὶ ἀντισπάσας διακω-
177 λύσῃ τὴν σφαγὴν ἐργάσασθαι. (33.) καὶ ὁ μὲν διασῴζεται, τὸ δῶρον ἀντιχαρισαμένου τοῦ θεοῦ καὶ τὸν φέροντα ἐν οἷς εὐσεβεῖτο ἀντιτιμήσαντος· τῷ δ' ἤδη καὶ ἡ πρᾶξις, εἰ καὶ μὴ τὸ τέλος ἐπηκολούθησεν, ὁλόκληρος καὶ παντελὴς οὐ μόνον ἐν ταῖς ἱεραῖς βίβλοις ἀλλὰ καὶ ἐν
178 ταῖς τῶν ἀναγινωσκόντων διανοίαις ἀνάγραπτος ἐστηλίτευται. ἀλλὰ τοῖς φιλαπεχθήμοσι καὶ πάντα διαβάλλουσιν, οἳ ψόγον πρὸ ἐπαίνου τιμᾶν ἐθίζονται, τὸ πραχθὲν ἔργον οὐ δοκεῖ μέγα καὶ θαυμαστόν, ὡς ἡμεῖς
179 ὑπολαμβάνομεν εἶναι. πολλοὺς γὰρ καὶ ἄλλους φασὶ τῶν πάνυ φιλοικείων καὶ φιλοτέκνων ἐπιδοῦναι τοὺς ἑαυτῶν παῖδας, τοὺς μὲν ὑπὲρ πατρίδων σφαγιασθησομένους, λυτήρια ἢ πολέμων ἢ αὐχμῶν ἢ ἐπομβρίας ἢ νοσημάτων λοιμικῶν γενησομένους, τοὺς δ' ὑπὲρ νενομισμένης εὐσεβείας,
180 εἰ καὶ μὴ πρὸς ἀλήθειαν οὔσης· Ἑλλήνων μέν γε τοὺς δοκιμωτάτους, οὐκ ἰδιώτας μόνον ἀλλὰ καὶ βασιλεῖς, ὀλίγα φροντίσαντας ὧν ἐγέννησαν διὰ τῆς τούτων ἀναιρέσεως δυνάμεις στρατευμάτων μεγάλας καὶ

1 τὸ om. C σταθερῷ—βλέμματι om. CFG μὲν] μέντοι H²(v) alt. σταθερῷ BEKCFG Arm: σταθερωτέρῳ MAHP(v) 2 δὲ τῷ BKH², τῷ (om. δὲ) E: μέντοι ceteri φησι om. H(v) post τέκνον add. ἔφη H²(v) 3 αὐτῷ F καὶ εἰ ἐρημία πολλή H² (Turn.) 4 εὑρεθήσεται C (fort. recte) ἴσθι BEK Arm: εἰσὶ ceteri 5 παρ' BEK: παρὰ ceteri ᾗ ABEP, ἢ M, ᾗ om. CFG 6 ἐξοστίσας coni. Mang. 7 ἀπ' BEMA Arm: ἐπ' K, ἐν ceteri (Turn. Mang.) 8 ᾗ FHP: ἢ CBEKM, ἣ AG ἀνέχειν] ἄρχειν K μὴ BEK: μηδὲ ceteri 9 ἵν' BEK: ἵνα ceteri ἐπιστρέψασα καὶ ἀντισπάσασα BE 10 ἐργάσασθαι om. Arm 11 εὐσεβεῖ τὸ A 12 τῷ] τὸ A ἤδη καὶ BEK: om. ceteri ἡ πρᾶξις] εἰ πράξεις A πρᾶξις] χάρις mg. C εἰ μὴ καὶ transp. K 14 τῶν om. F post ἀναγινωσκόντων add. ἀναγκαιοτάτων G ἀνάγραπτος] ἀνεξάλειπτος Arm 15 οἷς ψόγοι CH² (Turn.), οἱ ψόγοι FG, ψόγον om. H¹P 16 πραχθὲν BEKH²: προσταχθὲν ceteri δοκεῖ BEK: δόξει ceteri 16. 17 ὡς—εἶναι om. Arm 17 φήσουσι Arm (coni. Mang.) 18 ἑαυτῶν BEK: αὐτῶν ceteri 19 λυτήρια] λύτρα coni. Mang. 20 δὲ BEK 22 βασιλεῖς om. F φροντίσαντες H¹P

πολυανθρώπους ἐν μὲν τῇ συμμαχίᾳ τεταγμένας διασῶσαι, ἐν δὲ τῇ μερίδι τῶν ἐχθρῶν αὐτοβοεὶ διαφθεῖραι· βαρβαρικὰ δὲ ἔθνη μέχρι 181
πολλοῦ παιδοκτονίαν ὡς ὅσιον ἔργον καὶ θεοφιλὲς προσέσθαι. ὧν μεμνῆσθαι τοῦ ἄγους καὶ τὸν ἱερώτατον Μωυσῆν· αἰτιώμενος γὰρ αὐτοὺς τοῦ μιάσματος φάσκει, ὅτι „τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας κατα-
p. 27 M. καίουσι τοῖς θεοῖς αὐτῶν“ (Deut. 12, 31)· Ἰνδῶν δὲ | τοὺς γυμνο- 182
σοφιστὰς ἄχρι νῦν, ἐπειδὰν ἄρχηται καταλαμβάνειν ἡ μακρὰ καὶ ἀνίατος νόσος, τὸ γῆρας, πρὶν βεβαίως κρατηθῆναι, πυρὰν νήσαντας ἑαυτοὺς ἐμπιπράναι, δυναμένους ἔτι πρὸς πολυετίαν ἴσως ἀντισχεῖν· ἤδη δὲ καὶ γύναια προαποθανόντων ἀνδρῶν ὁρμῆσαι γεγηθότα πρὸς τὴν αὐτὴν πυρὰν καὶ ζῶντα τοῖς ἐκείνων σώμασιν ὑπομεῖναι συγκαταφλεχθῆναι·
ταῦτα μὲν εἰκότως ἄν τις τῆς εὐτολμίας θαυμάσειεν ἐκ πολλοῦ τοῦ 183
περιόντος καταφρονητικῶς ἔχοντα θανάτου καὶ ὡς ἐπ᾽ ἀθανασίαν αὐτὸν ἱέμενα καὶ ἀπνευστὶ θέοντα· (34.) τὸν δὲ τί προσῆκεν ἐπαινεῖν ὡς ἐγχειρητὴν κεκαινουργημένης πράξεως, ἣν καὶ ἰδιῶται καὶ βασιλεῖς
καὶ ὅλα ἔθνη δρῶσιν ἐν καιροῖς; ἐγὼ δὲ πρὸς τὴν τούτων βασκανίαν 184
καὶ πικρίαν ἐκεῖνα λέξω· τῶν καταθυόντων παῖδας οἱ μὲν ἔθει τοῦτο δρῶσιν, ὥσπερ ἐνίους ἔφασκον τῶν βαρβάρων, οἱ δὲ δι᾽ ἀβουλήτους καὶ μεγάλας ὑποθέσεις πόλεών τε καὶ χωρῶν ἑτέρως κατορθοῦσθαι μὴ δυναμένων. ὧν οἱ μὲν ἀνάγκῃ τοὺς αὑτῶν ἐπιδιδόασιν ὑπὸ δυνατωτέρων βιασθέντες, οἱ δὲ δόξης καὶ τιμῆς ἐφιέμενοι καὶ εὐκλείας μὲν τῆς

1 τεταγμένας BE: τεταγμένους KHP, τεταγμένη ceteri   2 αὐτοβοὶ E   δ᾽ BEK   3 παιδοκτονεῖν F   ὅσιον] θεῖον BEK   προσέσθαι v (Arm): προέσθαι codd.   ὧν] ὡς Arm   4 τοῦ ἄγους BEKHP: τοῦ μύσους C, τοὺς αὐτοὺς AFG, om. M   μωσῆν BEK, μωσέα ceteri   5 μιάσματος] μύσους coni. Mang.   φάσκειν K   υἱοὺς αὐτῶν BEK: αὐτῶν om. ceteri   τὰς om. BEK   6 Ἰνδῶν] ἰδὼν CA   7 νῦν BEK: τοῦ νῦν ceteri   ἡ] ἣ A   μακρὰ] μιαρὰ coni. Mang.   8 πυρὰν νήσαντας scripsi (sic Arm): πυρὰν ἀνήσαντας K, πυρὰ νήσαντας corr. ex πῦρ ἀνήσαντας B, πῦρ ἀνήσαντας E, πῦρ ἅψαντες C, πῦρ ἅψαντας ceteri (v)   ἑαυτοὺς BEK: αὑτοὺς H², αὐτοὺς ceteri   9 ἐμπιμπράναι CM   πρὸς πολυετίαν ἴσως BEK Arm: πρὸς πολὺ ἴσον H¹P, πρὸς πολὺ ἴσως ceteri (Turn. Mang.)   10 προάποθανάτων (sic) E   11 συγκαταφλεχθῆναι C: συναναφλεχθῆναι ceteri   12 τῆς εὐτολμίας θαυμάσειεν BEK: θαυμάσειε τῆς εὐτολμίας ceteri   14 αὐτὸν] αὐτὴν FH (Turn. Mang.), om. Arm   ἱέμενα H²: ἰέμενα KM, ἱέμενον (α supra ο) F, ἱέμενον C, ἱέμενον ceteri   δὲ τί H²: δέ τι M, δ᾽ ἔτι ceteri   15 ἐγχειρητὴν] ἐγχειρεῖ τῆς MF, ἐγχειριτῆς A, ἐγχειρεῖν τῆς BE Arm   17 πικρίαν] φιλοπονηρίαν coni. Mang.   18 ἔφασκον BEK Arm: om. F, φασὶ ceteri   τῶν βαρβάρων BEK: τῶν om. ceteri   διαβουλήτους MA   19 πόλεων BEKH²: πολέμων ceteri   χορῶν A   20 ὧν om. CFG   αὑτῶν B: αὐτῶν ceteri   ὑποδιδόασιν A   21 post βιασθέντες add. Turn. Mang. οἱ δὲ φόβῳ τῷ ἀπ᾽ ἀνθρώπων (e C: cf. ad 42,15)   21—42,15 οἱ δὲ—καὶ μὴν om. CFG   21 τιμῆς] ἀτιμίας H¹P

185 ἐν τῷ παρόντι, εὐφημίας δὲ τῆς εἰς ὕστερον. οἱ μὲν οὖν ἔθει σφαγιά-
ζοντες οὐδὲν ὡς ἔοικε μέγα δρῶσιν· ἐγχρονίζον γὰρ ἔθος ἐξισοῦται
φύσει πολλάκις, ὡς καὶ τὰ δυσυπομόνητα καὶ δυσκαρτέρητα ῥᾳδίως
186 ἐπελαφρίζειν, τὰς ὑπερβολὰς τῶν φοβερῶν ἐξευμαρίζον. τῶν δ' ἕνεκα
δέους ἐπιδιδόντων ἔπαινος οὐδείς· ὁ γὰρ ἔπαινος ἐν ἑκουσίοις κατορθώ-
μασι γράφεται, τὰ δ' ἀβούλητα ἑτέροις ἀνάκειται πράγμασιν, ἢ καιροῖς
187 ἢ τύχαις ἢ ταῖς ἀπ' ἀνθρώπων ἀνάγκαις. εἰ δέ τις δόξης ὀρεγόμενος
υἱὸν ἢ θυγατέρα προΐεται, ψέγοιτ' ἂν ἐνδίκως μᾶλλον ἢ ἐπαινοῖτο,
θανάτῳ τῶν φιλτάτων ὠνούμενος τιμήν, ἣν καὶ κεκτημένος ὤφειλεν
188 ὑπὲρ σωτηρίας τῶν τέκνων ἀπορρίπτειν. ἐρευνητέον οὖν, εἰ ὑπό τινος
τῶν λεχθέντων ἡττηθεὶς ἐκεῖνος ἔμελλε σφαγιάζειν τὸν υἱόν, ἔθους ἢ
τιμῆς ἢ δέους. ἔθος μὲν οὖν τὸ ἐπὶ παιδοκτονίᾳ Βαβυλὼν καὶ Μεσο-
ποταμία καὶ τὸ Χαλδαίων ἔθνος οὐ παραδέχεται, ἐν οἷς ἐτράφη καὶ
ἐπεβίωσε τὸν πλείονα χρόνον, ὡς τῇ συνεχείᾳ τῶν δρωμένων ἀμβλυτέ-
189 ραις ταῖς τῶν δεινῶν φαντασίαις κεκρατῆσθαι δοκεῖν. καὶ μὴν οὐδὲ
φόβος τις ἦν ἀπ' ἀνθρώπων — οὐδὲ γὰρ τὸ χρησθὲν αὐτῷ μόνῳ λόγιον
ᾔδει τις —, οὐδέ τις συμφορὰ κοινὴ κατειλήφειν, ἧς ἔδει τὴν θεραπείαν
190 ἀναιρέσει γενέσθαι τοῦ δοκιμωτάτου παιδός. ἀλλὰ θηρώμενος | ἔπαινον p. 28 M.
τῶν πολλῶν ἐπὶ τὴν πρᾶξιν ὥρμησε; καὶ τίς ἔπαινος ἐν ἐρημίᾳ, μηδενὸς
τοῦ μέλλοντος ἐπευφημήσειν παρόντος, ἀλλὰ καὶ τῶν δυεῖν οἰκετῶν
μακρὰν ἐπίτηδες ἀπολειφθέντων, ἵνα μὴ ἐγκαλλωπίζεσθαι καὶ ἐνεπιδείκνυ-
191 σθαι δοκῇ μάρτυρας ἐπαγόμενος ὧν εὐσέβει; (35.) στόμασιν οὖν
ἀχαλίνοις καὶ κακηγόροις θύρας ἐπιθέντες μετριαζέτωσαν τὸν ἐν αὐτοῖς

1 εἰς τὸ παρὸν A   εἰς om. AHP (Turn. Mang.)   3 καὶ δυσκαρτέρητα om. Arm
4 ἐξευμαρίζον Mang: ἐξευμαριζόντων codd. (ἐξευμενιζόντων K), ἐξευμαρίζεσθαι Arm; ⟨καὶ⟩
τὰς ὑπ. τῶν φοβ. ἐξευμαρίζειν conicio   5 δέος A   ὁ] οὐ K   ἀκουσίοις K
7 ἀπ' ἀνθρώπων] ἀπ' om. BEKA, ἁπάντων H (Turn. Mang.)   8 μᾶλλον om. A
9 θανάτου ME (fort. recte)   καὶ om. KL(v)   10 σωτηρίας τῶν τέκνων BEKA:
τῆς τεκνων σωτηρίας M, τῆς τῶν τέκνων σωτηρίας HP   ἐρεύνησον ABE
εἰ om. A   13 ἔθνος] ἔθος H P   14 ἐπεβίωσε BKA, ἐβεβίωσε E: ἐβίωσε ceteri
ὡς] ἐν K   δρωμένων] ὁρωμένων coni. Mang.; cf. 28,16   15 κεκρατῆσθαι] κεχρῆ-
σθαι coni. Mang. (sic Arm)   15. 16 οὐδὲ—ἀνθρώπων] οἱ δὲ φόβῳ τῷ ἀπ' ἀνθρώπων.
οὗτος δὲ οὔτε φόβῳ τῷ ἀπ' ἀνθρώπων C   16 ἦν om. FG   οὐδὲ γὰρ] οὔτε
CFG   αὐτῶν G   μόνως λόγιον HP, ὁμολόγιον FG   17 ἤδη F[1]
κοινὴ κατείληφεν BEK: κατεῖχε κοινή ceteri   ἣν FG   18 τοῦ BEK Arm:
om. ceteri   ἔπαινον BEK: τὸν παρὰ add. ceteri   19 ἐπὶ τὴν πρᾶξιν ὥρμησε
BEK Arm: ὥρμησεν ἐπὶ τὴν πρᾶξιν transp. ceteri   ἐν ἐρημίᾳ BEK Arm: ἐπ' ἐρημία
ceteri   20 ἐπευφημίσειν F[1]H   δυοῖν CBKHP   21 ἀπολειφθέντων BEK
Arm: ὑπολειφθέντων ceteri   καὶ ἐνεπιδείκνυσθαι om. BEK   ἐπιδείκνυσθαι F
22 εὐσέβει BEK: εὐσεβεῖ ceteri   23 ἀχαλίνοις] καὶ χαλινοῖς G; καὶ ἀχαλίνοις
Mang.   ἐν BEK: ἐπ' ceteri   αὐτοῖς codd.

μισόκαλον φθόνον καὶ ἀρετὰς ἀνδρῶν εὖ βεβιωκότων μὴ σινέσθωσαν, ἃς ἁρμόττον ἦν εὐφημίᾳ συνεπικοσμεῖν. ὅτι δὲ τῷ ὄντι ἐπαινετὴ καὶ ἀξιέραστος ἡ πρᾶξις, ἐκ πολλῶν εὐμαρὲς ἰδεῖν. πρῶτον μὲν τοίνυν τὸ 192
πείθεσθαι θεῷ παρὰ πᾶσι τοῖς εὖ φρονοῦσι σεμνὸν καὶ περιμάχητον εἶναι νομιζόμενον ἐν τοῖς μάλιστα ἐπετήδευεν, ὡς μηδενὸς πώποτε τῶν προστεταγμένων ἀλογῆσαι, ἄνευ δυσκολίας καὶ ἀηδίας, κἂν πόνων τε καὶ ἀλγηδόνων μεστὸν ᾖ· παρὸ καὶ τὸ χρησθὲν ἐπὶ τῷ υἱῷ γενναιότατα καὶ στερρότατα ἤνεγκεν. ἔπειτ᾿ οὐκ ὄντος ἔθους ἐν τῇ χώρᾳ, καθάπερ 193
ἴσως παρ᾿ ἐνίοις ἐστίν, ἀνθρωποθυτεῖν, ὃ τῇ συνεχείᾳ τὰς τῶν δεινῶν φαντασίας εἴωθεν ἐκλύειν, αὐτὸς ἔμελλε πρῶτος ἄρχεσθαι καινοτάτου καὶ παρηλλαγμένου πράγματος, ὃ μοι δοκεῖ μηδεὶς ἂν ὑπομεῖναι, καὶ εἰ σιδήρου τὴν ψυχὴν ἢ ἀδάμαντος κατεσκεύαστο· „φύσει" γὰρ ὥς εἶπέ τις „ἔργον μάχεσθαι." γνήσιόν τε υἱὸν πεποιημένος μόνον τοῦτον 194
εὐθὺς εἶχε καὶ τὸ πάθος ἐπ᾿ αὐτῷ τῆς εὐνοίας γνήσιον, ὑπερβάλλον τοὺς σώφρονας ἔρωτας καὶ τὰς φιλίας, ὅσαι δι᾿ ὀνόματος γεγόνασι. προσῆν δέ τι καὶ βιαστικώτατον φίλτρον, τὸ μὴ καθ᾿ ἡλικίαν ἀλλ᾿ ἐν 195
γήρᾳ γεγεννηκέναι τὸν παῖδα· τοῖς γὰρ ὀψιγόνοις ἐπιμεμήνασί πως οἱ τοκεῖς, ἢ τῷ μακρὸν ἐπιποθῆσαι χρόνον τὴν γένεσιν αὐτῶν ἢ τῷ μηκέθ᾿ ἑτέρους ἐλπίζειν ἔσεσθαι, τῆς φύσεως ἐνταῦθα ἱσταμένης ὡς ἐπὶ τελευταῖον καὶ ὕστατον ὅρον. ἐκ πολυπαιδίας μὲν οὖν ἕνα προέσθαι θεῷ καθάπερ 196
ἀπαρχήν τινα τέκνων παράδοξον οὐδέν, ἔχοντα τὰς ἐπὶ τοῖς ζῶσιν ἡδονὰς

1 ἀνδρῶν ἀρετὰς transp. BK σινέσθωσαν om. in lac. C, συνέσθωσαν K, γινέσθωσαν G 2 εὐφημίᾳ BEK Arm: εὐφημίαις CFGMA, εὐφημεῖν HP 5 νομιζόμενον BEK Arm: νομίζομεν ὃν G, νομίζομεν ὃ ceteri ἐπετήδευσεν A ὡς om. Arm πώποτε τῶν BEK Arm: τῶν πώποτε ceteri 6 ἀλογῆσαι BEK Arm: ἀμελῆσαι ceteri ἄνευ δυσκολίας καὶ ἀηδίας BE Arm: κἂν δυσκλείας καὶ ἀηδίας K, κἂν ἀηδίας καὶ δυσκλείας ceteri (v) κἂν] καὶ FHP τε om. HP 7 ᾖ scripsi: εἴη codd. παρὸ K, παρ᾿ ὃ BE: ὅθεν ceteri, om. Arm τῷ χρησθέντι H 8 στερρότατ᾿ ἀνήνεγκεν FG ἔπειτα HP, ἐπεί τοι C, ἐπὶ τοῦ FG 9 παρὰ ἐνίοις KHP, σπανίοις BE ἀνθρωποκτονεῖν P τὴν συνέχειαν CFG τὰς] τῆς C 11 πράγματος BEK Arm: παραδείγματος ceteri 12 ἐπεσκεύαστο CFG φύσιν CFG 12. 13 γὰρ—μάχεσθαι om. in lac. C 12 γὰρ] ἄρ᾿ FG ὡς om. BE 13 ἔργον om. F πεποιημένος] κεκτημένος Arm 14 εὐθὺς] ἴσως coni. Mang. 15 σωφροσύνας B, σώφρο[illegible]νας E ὅσαι] αἳ BE 16 δ᾿ ἔτι A τὸ] τῶ BE 17 γεγενηκέναι MF, γεγενημέναι A παῖδα] υἱόν K ἐπιμεμήνασι corr. ex ἐπιμείνασι C, ἐπιμείνασι AG 18 τοκεῖς BEK: τοκῆες ceteri (v) 18. 19 μὴ καθ᾿ ἑτέρους CAG, μὴ καὶ (in ras.) ἑτέρους F 19 ἐλπίσειν CM, ἐλπίσιν AF ἔσεσθαι] εἰσαῦθις coni. Mang. ἐνταῦθα ἱσταμένης BEK: ἐν τούτῳ πεπαυμένης ceteri 19. 20 ἐπὶ τελευταίου καὶ ὑστάτου ὅρου conicio 20 ἕνα προέσθαι] ἐναποθέσθαι CFG 21 τοῖς ζῶσιν om. M

οὐ μικρὰ παραμύθια καὶ μειλίγματα τῆς ἐπὶ τῷ σφαγιασθέντι λύπης·
ὃν δὲ μόνον τις ἔσχεν ἀγαπητὸν διδοὺς λόγου παντὸς μεῖζον ἔργον
διαπράττεται, μηδὲν οἰκειότητι χαριζόμενος, ἀλλ᾽ ὅλῃ τῇ ῥοπῇ πρὸς τὸ
197 θεοφιλὲς ταλαντεύων. ἐκεῖνο μὲν δὴ ἐξαίρετον καὶ μόνῳ σχεδόν τι
τούτῳ πεπραγμένον· οἱ μὲν γὰρ ἄλλοι, κἂν ὑπὲρ σωτηρίας πατρίδων
ἢ στρατευμάτων ἐπιδιδῶσι σφαγιασθησομένους τοὺς ἑαυτῶν, ἢ οἴκοι κατα-
μένουσιν ἢ μακρὰν ἀφίστανται τῶν βωμῶν ἤ, κἂν παρατυγχάνωσι, τὰς
ὄψεις ἀποστρέφονται θεάσασθαι μὴ ὑπομένοντες, ἄλλων ἀναιρούντων·
198 ὁ δ᾽ ὥσπερ ἱερεὺς | αὐτὸς κατήρχετο τῆς ἱερουργίας, ἐφ᾽ υἱῷ τὰ πάντα p. 29 M.
ἀρίστῳ φιλοστοργότατος πατήρ· ἐμέλισε δ᾽ ἂν ἴσως καὶ νόμῳ τῶν
ὁλοκαυτωμάτων (cf. Lev. 1, 6 al.) κατὰ μέλη τὸν υἱὸν ἱερουργῶν.
οὕτως οὐ τὸ μέν τι μέρος ἀπέκλινε πρὸς τὸν παῖδα, τὸ δέ τι πρὸς
εὐσέβειαν, ἀλλ᾽ ὅλην τὴν ψυχὴν δι᾽ ὅλων ὁσιότητι προσεκλήρωσεν ὀλίγα
199 φροντίσας συγγενικοῦ αἵματος. τί δὴ τῶν εἰρημένων πρὸς ἑτέρους
κοινόν; τί δ᾽ οὐκ ἐξαίρετον καὶ παντὸς λόγου κρεῖττον; ὡς τόν γε μὴ
φύσει βάσκανον καὶ φιλοπόνηρον καταπλαγῆναι καὶ θαυμάσαι τῆς περιττῆς
ἄγαν εὐσεβείας, οὐχ ἅπαντα ὅσα εἶπον ἀθρόα εἰς νοῦν βαλλόμενον, ἀλλὰ
κἂν ἕν τι τῶν πάντων· ἱκανὴ γὰρ καὶ ἡ ἑνὸς φαντασία τύπῳ τινὶ βραχεῖ
— βραχὺ δ᾽ οὐδὲν ἔργον σοφοῦ — μέγεθος ψυχῆς καὶ ὕψος ἐμφῆναι.
200 (36.) Ἀλλὰ γὰρ οὐκ ἐπὶ τῆς ῥητῆς καὶ φανερᾶς ἀποδόσεως
ἵσταται τὰ λεχθέντα, φύσιν δὲ τοῖς πολλοῖς ἀδηλοτέραν ἔοικε παρεμ-
φαίνειν, ἣν οἱ τὰ νοητὰ πρὸ τῶν αἰσθητῶν ἀποδεχόμενοι καὶ ὁρᾶν
201 δυνάμενοι γνωρίζουσιν. ἔστι δὲ τοιάδε· ὁ μελλήσας σφαγιάζεσθαι

1 οὐ om. C, eras. F, τοῦ G μειλίγματα om. M, μὴ λεῖμμα CF[1]G 2 εἶχεν CFG λόγου παντὸς K: ὃ παντὸς (om. λόγου) BE, παντὸς λόγου ceteri 3 οἰκειότατον KH ὅλῃ τῇ ῥοπῇ MAGHP (ὅλῃ ῥοπῇ v): ὅλην τὴν ῥοπὴν CFBEK 4 ταλαντεῦον CFMA ἐκείνω MHP(v) μὲν δὴ] δὴ om. BE, μέντοι K μόνον (ον supra) A τι om. Mang. 5 τοῦτο MAHP(v) πεπραγμένω (ον supra) K 6 ἢ BEK: καὶ ceteri ἢ στρατευμάτων om. HP ἐπιδιδόασι BE ἑαυτῶν BEK: αὐτῶν ceteri 7 παρατυγχάνωσι BEK: παρατύχωσι ceteri 8 ἀποστρέψονται H 10 φιλοστοργώτατος A ἐμέλισε BEK: ἐμέλησε MA, ἐμέλλησε ceteri (v) νόμων AFG 11 κατὰ μέλη BEK: διανέμων κατὰ μέλη ceteri (v) ἱερουργῶν BEK: ἱερουργεῖν ceteri (v) 12 μέν τι] μέντοι AH δ᾽ ἔτι A 13 ὅλην τὴν ψυχὴν BEK Arm: ὅλῃ τῇ ψυχῇ ceteri ὁσιώτατα H προσκεκλήρωκεν K post ὀλίγα add. γὰρ FG, eras. C 15 μὴ] μὴν BE (ν in ras. E) 17 βαλόμενον CK 18 κἂν] καὶ HP ἕν τι] ἔτι G, ἕν τινι H[1]P 19 ψυχῇ A, ψυχὴ CF ἐμφαίνειν C, ἐμφαίνει FG 20 ἀποδόσεως Mang. (cf. 27,15): ὑποθέσεως codd. Arm 21. 22 παραφαίνειν BEK 23 γνωρίσουσιν coni. Mang. μελήσας AF, μέλλων K

καλεῖται Χαλδαϊστὶ μὲν Ἰσαάκ, Ἑλληνιστὶ δὲ μεταληφθέντος τοῦ ὀνό-
ματος „γέλως“· γέλως δ' οὐχ ὁ κατὰ παιδιὰν ἐγγινόμενος σώματι
παραλαμβάνεται τὰ νῦν, ἀλλ' ἡ κατὰ διάνοιαν εὐπάθεια καὶ χαρά. ταύτην 202
ὁ σοφὸς ἱερουργεῖν λέγεται δεόντως θεῷ διὰ συμβόλου παριστάς, ὅτι
τὸ χαίρειν μόνῳ θεῷ οἰκειότατόν ἐστιν· ἐπίλυπον μὲν γὰρ τὸ ἀνθρώπινον
γένος καὶ περιδεές, ἢ παρόντων κακῶν ἢ προσδοκωμένων, ὡς ἢ ἐπὶ
τοῖς ἐν χερσὶν ἀβουλήτοις ἀνιᾶσθαι ἢ ἐπὶ τοῖς μέλλουσι ταραχῇ καὶ
φόβῳ κραδαίνεσθαι· ἄλυπος δὲ καὶ ἄφοβος καὶ παντὸς πάθους
ἀμέτοχος ἡ τοῦ θεοῦ φύσις εὐδαιμονίας καὶ μακαριότητος παντελοῦς
μόνη μετέχουσα. τῷ δὴ τὴν ἀληθῆ ταύτην ὁμολογίαν ὡμολογηκότι 203
τρόπῳ χρηστὸς ὢν καὶ φιλάνθρωπος ὁ θεός, φθόνον ἐληλακὼς ἀφ'
ἑαυτοῦ, προσηκόντως ἀντιχαρίζεται τὸ δῶρον, καθ' ὅσον ἔχει δυνάμεως
ὁ ληψόμενος, καὶ μόνον οὐ ταῦτα θεσπίζει λέγων· „τὸ μὲν τῆς χαρᾶς 204
γένος καὶ τὸ χαίρειν ὅτι οὐκ ἔστιν ἑτέρου πλὴν ἐμοῦ τοῦ πατρὸς τῶν
ὅλων κτῆμα, σαφῶς οἶδα, κεκτημένος δ' ὅμως οὐ φθονῶ τοῖς ἀξίοις
χρῆσθαι· ἄξιος δὲ τίς ἂν εἴη, πλὴν εἴ τις ἐμοὶ καὶ τοῖς ἐμοῖς βουλή-
μασιν ἕποιτο; τούτῳ γὰρ ἥκιστα μὲν ἀνιᾶσθαι ἥκιστα δὲ φοβεῖσθαι
συμβήσεται πορευομένῳ ταύτην τὴν ὁδόν, ᾗ πάθεσι μὲν καὶ κακίαις
ἐστὶν ἄβατος, εὐπαθείαις δὲ καὶ ἀρεταῖς ἐμπεριπατεῖται.“ μηδεὶς δ' 205
ὑπολαβέτω τὴν ἄκρατον καὶ ἀμιγῆ λύπης χαρὰν ἀπ' οὐρανοῦ καταβαίνειν
p. 30 M. ἐπὶ τὴν γῆν, ἀλλὰ | κέκραται ἐξ ἀμφοῖν, περιττεύοντος τοῦ κρείττονος·
ὅνπερ τρόπον καὶ τὸ φῶς ἐν οὐρανῷ μὲν ἄκρατον καὶ ἀμιγὲς σκότους
ἐστίν, ἐν δὲ τοῖς ὑπὸ σελήνην ἀέρι ζοφερῷ κεκραμένον φαίνεται. ταύτης 206
ἕνεκα τῆς αἰτίας δοκεῖ μοι καὶ πρότερον γελάσασα ἡ ἀρετῆς ἐπώνυμος

1 μὲν om. CFGMA   μεταληφθέντος τοῦ ὀνόματος om. Arm.   2 δὲ HP   ἐγγιγνόμενος CFGMA   3 καταλαμβάνεται CA   τανῦν (vel τὰ νῦν) codd.:
π
νῦν v   εὐστάθεια K, εὐστάθεια BE   4 συμβούλου G   5 τὸ pr.] τῷ F   ἀνθρώπινον BEK: ἀνθρώπων CGMA, τῶν ἀνθρώπων FHP   6 ἢ pr. om. CFG   7 ἐν χερσὶν om. CFG   post ἀβουλήτοις add. χωρεῖν C   8. 9 παντὸς πάθους ἀμέτοχος BEK Arm: ἀμέτοχος παντὸς πάθους transp. ceteri   10 μόνη om. Arm   post ὁμολογίαν add. ἔχειν ABE   11. 12 ἀπ' αὐτοῦ BEK   12 καθόσον codd.   13 μόνον οὐ BE, μονονοὺ K: μόνον οὐχὶ ceteri   16 χρῆσθαι om. Arm   17 τοῦτον F   ἀνίεσθαι CF[1]   18 ᾗ] καὶ F   κακίαις] μαλακίαις FG, μαλακείαις C   21 τὴν om. BE   ἀλλὰ κέκραται scripsi: ἀλλ' ἐγκέκραται KHP, ἀλλὰ κράματος CFGA, ἀλλὰ κρέμαται BE, ἀλλ' ἐκκρέμαται M; κρᾶμά τι coni. Mang.   κρείττονος] χείρονος voluit Mang.   23 ζοφερῷ om. BE   κεκραμμένον HP   φαίνει CF   24 καὶ πρότερον γελάσασα BEK: γελάσασα καὶ πρότερον transp. ceteri   ἡ (τῆς add. K) ἀρετῆς ἐπώνυμος codd.: ἀρετῆς ἡ ἐπώνυμος Mang.   ἀρετῆς] ἀρχῆς vel ἀρχούσης ἀρετῆς coni. Mang.

Σάρρα πρὸς τὸν πυνθανόμενον ἀρνήσασθαι τὸν γέλωτα (Gen. 18, 15),
καταδείσασα μή ποτε ἄρα τὸ χαίρειν οὐδενὸς ὂν γενητοῦ, μόνου δὲ
τοῦ θεοῦ, σφετερίζηται· διόπερ θαρσύνων αὐτὴν ὁ ἱερὸς λόγος φησί·
207 μηδὲν εὐλαβηθῇς, ὄντως ἐγέλασας καὶ μέτεστί σοι χαρᾶς. οὐ γὰρ
εἴασεν ὁ πατὴρ τῶν ἀνθρώπων τὸ γένος λύπαις καὶ ὀδύναις καὶ ἄχθεσιν
ἀνιάτοις ἐμφέρεσθαι, παρέμιξε δὲ καὶ τῆς ἀμείνονος φύσεως, εὐδιάσαι
καὶ γαληνιάσαι ποτὲ τὴν ψυχὴν δικαιώσας· τὴν δὲ τῶν σοφῶν καὶ
τὸν πλείω χρόνον τοῦ βίου γήθειν καὶ εὐφραίνεσθαι τοῖς τοῦ κόσμου
θεωρήμασιν ἐβουλήθη.
208 (37.) Τοσαῦτα μὲν περὶ τῆς τοῦ ἀνδρὸς εὐσεβείας, εἰ καὶ πολλῶν
ἄλλων ἐστὶν ἀφθονία, λελέχθω. διερευνητέον δὲ καὶ τὴν πρὸς ἀνθρώπους
αὐτοῦ δεξιότητα· τῆς γὰρ αὐτῆς φύσεώς ἐστιν εὐσεβῆ τε εἶναι καὶ
φιλάνθρωπον, καὶ περὶ τὸν αὐτὸν ἑκάτερον, ὁσιότης μὲν πρὸς θεόν,
δικαιοσύνη δὲ πρὸς ἀνθρώπους, θεωρεῖται. πάντα μὲν οὖν τὰ πεπραγ-
μένα μακρὸν ἂν εἴη διεξιέναι, δυεῖν δὲ ἢ τριῶν οὐκ ἄτοπον ἐπιμνησθῆναι.
209 πολυάργυρος καὶ πολύχρυσος ἐν τοῖς μάλιστα ὢν καὶ θρεμμάτων πολυ-
ζῴους ἔχων ἀγέλας καὶ τῶν ἐγχωρίων καὶ αὐτοχθόνων τοῖς ἱκανὰ
κεκτημένοις ἐν τῷ περιουσιάζειν ἁμιλλώμενος καὶ πλουσιώτερος γεγονὼς
ἢ κατὰ μέτοικον ὑπ' οὐδενὸς ἐμέμφθη τῶν ὑποδεξαμένων, ἀλλ' ὑπὸ
210 πάντων τῶν εἰς πεῖραν ἐλθόντων ἐπαινούμενος διετέλεσεν. εἰ δὲ καί
τις, οἷα φιλεῖ πολλάκις, ἐκ θεραπόντων καὶ τῶν συνδιατριβόντων ἅμιλλα
καὶ διαφορὰ πρὸς ἑτέρους ἐγένετο, ταύτην ἐπειρᾶτο διαλύειν ἡσυχῇ
βαρυτέρῳ ἤθει τὰ φιλόνεικα καὶ ταραχώδη καὶ στασιαστικὰ πάντα
211 προβεβλημένος καὶ τῆς ψυχῆς ἀπεληλακώς. καὶ θαυμαστὸν οὐδέν, εἰ
πρὸς τοὺς ἀλλοτρίους τοιοῦτος ἦν, οἳ βαρυτέρᾳ καὶ δυνατωτέρᾳ χειρὶ
συμφωνήσαντες ἠμύναντο ἂν ἄρχοντα χειρῶν ἀδίκων, ὁπότε καὶ πρὸς

2 καταδύσασα F[1] ὃν A γεννητοῦ KAHP 3 σφετερίζηται H[2]: σφετερίζεται ceteri αὐτοῖς C φασὶ A 4 μηδὲν] μὴ Arm εὐλαβηθεὶς A 5 τῶν ἀνθρώπων τὸ γένος BEK: τὸ ἀνθρώπων γένος ceteri ὠδίναις G 5. 6 ἄχεσιν ἀκράτοις coni Mang. 6 ἐμφύρεσθαι coni. Mang. 7 καὶ γαληνιάσαι ποτὲ BEK: ποτὲ καὶ γαληνιάσαι transp. ceteri τὴν alt.] εἰς CFG 8 πλείονα HP γηθεῖν conicio 10 εἰ om. G 11 ἄλλων om. P ἄφθονα G, ἀφθονία om. in lac. C λεγέσθω F 12 βεβαιότητα F αὐτῆς] αὐτοῦ K 13 τῶν αὐτῶν (ῶ ex ὸ corr.) A; τὸ αὐτὸ coni. Mang. (sic Arm) ἑκάτερα P 15 μακρὰν H[1] δυοῖν KHP δ' CFGMA 16 πολύχρυσος καὶ πολυάργυρος transp. HP 17 ἔχων ἀγέλας BEK Arm: ἀγέλας ἔχων ceteri 19 ὑπ' οὐδενὸς CKH[2]: ὑπ' om. ceteri 20 τῶν om. BEFG 23 βαρυτέρῳ] πρᾳοτέρῳ coni. Mang. (πρᾳότητι τὰ βαρύτερα Arm) πάντ' C 24 ἀποβεβλημένος C, ἀποπροβεβλημένος H[1]P (προ eras. H[2]), προαποβεβλημένος BEK εἰ] ἢ A 25 οἳ] ἢ A 26 ἀνάρχοντα MA

τοὺς γένει μὲν οἰκείους, γνώμῃ δ' ἠλλοτριωμένους, ἐρήμους καὶ μόνους
καὶ πολλῷ καταδεέστερα κεκτημένους ἐμετρίαζεν, ἐλαττούμενος ἑκὼν ἐν
οἷς πλεονεκτεῖν ἐδύνατο. ἦν γὰρ ἀδελφιδοῦς αὐτῷ, τῆς πατρίδος ὅτε μετα- 212
νίστατο, συνεξεληλυθώς, ἀβέβαιος, ὑπαμφίβολος, ἀντιρρέπων ὧδε κἀκεῖσε,
p. 31 M. τοτὲ μὲν προσσαίνων | φιλικοῖς ἀσπάσμασι, τοτὲ δὲ ἀφηνιάζων καὶ ἀπαυ-
χενίζων διὰ τὴν τῶν τρόπων ἀνωμαλίαν. ὅθεν καὶ τὸ οἰκετικὸν αὐτῷ δύσερι 213
καὶ ταραχῶδες ἦν σωφρονιστὴν οὐκ ἔχον καὶ μάλιστα τὸ ποιμενικὸν
μακρὰν τοῦ δεσπότου διεζευγμένον· ἀπελευθεριάζοντες γοῦν ὑπ' αὐθαδείας
ἀεὶ διεφέροντο τοῖς προεστηκόσι τῶν θρεμμάτων τοῦ σοφοῦ τὰ πολλὰ
εἴκουσι διὰ τὴν τοῦ δεσπότου πραϋπάθειαν· ὑφ' οὗ πρὸς ἀπόνοιαν ἐπιδόντες
καὶ θράσος ἀναίσχυντον ὤργων. μηνιῶντες ἤδη καὶ τὸ ἀκατάλλακτον ἐν αὑ-
τοῖς ζωπυροῦντες, ἕως ἀπηνάγκασαν τοὺς ἀδικουμένους εἰς ἄμυναν ὁρμῆσαι.
μάχης δὲ ἐμβριθεστάτης γενομένης, ἀκούσας ὁ ἀστεῖος τὴν ἀντεφόρμησιν, 214
εἰδὼς ἐπικυδεστέραν οὖσαν τὴν αὑτοῦ μερίδα πλήθει τε καὶ δυνάμει, τὴν
διαφορὰν οὐκ εἴασεν ἄχρι νίκης ἐλθεῖν, ὑπὲρ τοῦ μὴ ἀνιᾶσαι τὸν ἀδελ-
φιδοῦν ἐφ' ἥττῃ τῶν ἰδίων, ἀλλ' ἐν μεθορίῳ στὰς συμβατηρίοις λόγοις τοὺς
διαφερομένους κατήλλαξεν, οὐ πρὸς τὸ παρὸν μόνον ἀλλὰ καὶ τὸν μέλλοντα
χρόνον. εἰδὼς γὰρ ὅτι συνοικοῦντες μὲν καὶ ἐν ταὐτῷ διαιτώμενοι 215
γνωσιμαχοῦντες φιλονεικήσουσι στάσεις ἀεὶ καὶ πολέμους κατ' ἀλλήλων
ἐγείροντες, ἵνα μὴ τοῦτο γένοιτο, συμφέρον ὑπέλαβεν εἶναι παραιτήσασθαι
τὸ ὁμοδίαιτον καὶ τὴν οἴκησιν διαζεῦξαι· καὶ μεταπεμψάμενος τὸν ἀδελ-
φιδοῦν αἵρεσιν αὐτῷ δίδωσι τῆς ἀμείνονος χώρας, ἄσμενος ὁμολογῶν
ἣν ἂν ἐπιλέξηται μερίδα λήψεσθαι· κερδανεῖν γὰρ κέρδος μέγιστον, τὴν

1 ἀλλοτριουμένους BE post ἐρήμους add. δὲ HP(v) 2 πολλῶν KP ἐκμετριάζειν FG 2. 3 ἐν οἷς] ἐνίοις οἷς F, ἐνίοις εἰς G 3 ἠδύνατο E ὅτε BEK Arm: ὁπότε ceteri 4 ἀντιρέπων MG ὧδε BEK: τῇδε ceteri 5 τοτὲ BEK: καὶ τοτὲ ceteri προσαίνων BEK, προσήνων A, πρός τινων FG, προσπίπτων C 6 ἀνομαλίαν CFG (Mang.) αὐτοῦ BE 7 φροντιστὴν CFG 8 ante μακρὰν add. καὶ C ὑπὸ BE 10 εἴκουσι] οἰκοῦσι A πραότητα BEK (fort. recte) ἀφ' οὗ conicio ἐπιδιδόντες CFG(v) 11 ὤργουν G μηνιόντες G 11. 12 αὐτοῖς codd. 12 ἐπηνάγκασαν conicio 13 δ' BEK ἐμβριθεστάτης BEK: ἐμβριθεστέρας ceteri 14 ἐπικυδεστέραν οὖσαν BEK Arm: om. et eorum loco post δυνάμει add. ὑπερέχουσαν ceteri (v) αὑτοῦ H: αὐτοῦ ceteri 15 διαφορὰν] φθορὰν G μὴ om. A 16 ἰδίων] δούλων Arm ἀλλ' ὡς Arm συμβατηρίοις λόγοις BEK Arm: λόγοις συμβατηρίοις ceteri 17. 18 τὸν χρόνον τὸν μέλλοντα H 18 διαιτῶνται F 20 ἵν' οὖν C γένηται BK 21 οἴκησιν] συνοίκησιν Arm; οἰκείωσιν coni. Mang. 22 χώρας] χαρᾶς P 23 τὴν BEK: om. ceteri

3 sqq. Gen. 13,5—11

216 εἰρήνην. καίτοι τίς ἂν ἕτερος ἀσθενεστέρῳ παραχωρήσειεν οὑτινοσοῦν ἰσχυρότερος ὤν; τίς δὲ νικᾶν δυνάμενος βούλοιτ' ἂν ἡττᾶσθαι, μὴ συγχρώμενος τῷ δύνασθαι; μόνος δὲ οὗτος τὸ ἄριστον οὐκ ἐν ῥώμῃ καὶ πλεονεξίᾳ τιθέμενος ἀλλ' ἐν ἀστασιάστῳ βίῳ καὶ τό γε ἐπ' αὐτὸν ἧκον μέρος ἡσυχάζοντι πάντων ἔδοξεν εἶναι θαυμασιώτατος.

217 (38.) Ἐπειδὴ τοίνυν ὡς ἐπ' ἀνθρώπου ἡ λέξις ἐγκωμιαστικὴ λέλεκται, μηνύονται δὲ καὶ τρόποι ψυχῆς κατὰ τοὺς ἀπὸ τῶν ῥητῶν ἐπὶ τὰ νοητὰ μετιόντας, ἁρμόττον ἂν εἴη καὶ τούτους ἀνερευνῆσαι.
218 μυρίοι μὲν οὖν εἰσιν ἀπὸ μυρίων ἀφορμῶν κατὰ παντοδαπὰς ἰδέας πραγμάτων συνιστάμενοι, δύο δ' οἱ νυνὶ μέλλοντες ἐπικρίνεσθαι τρόποι, ὧν ὁ μὲν πρεσβύτερος, ὁ δὲ νεώτερος, πρεσβύτερος μὲν ὁ τὰ πρῶτα καὶ ἡγεμονικὰ τῇ φύσει τιμῶν, νεώτερος δὲ ὁ τὰ ὑπήκοα καὶ ἐν ἐσχατιαῖς
219 ἐξεταζόμενα. πρεσβύτερα μὲν οὖν καὶ ἡγεμονικὰ φρόνησις καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ἀνδρεία καὶ πᾶν ὅ τι περὶ ἀρετὴν | καὶ αἱ κατ' p. 32 M.
ἀρετὴν πράξεις· νεώτερα δὲ πλοῦτος καὶ δόξα καὶ ἀρχὴ καὶ εὐγένεια, οὐχ ἡ ἀληθής, ἀλλ' ἣν οἱ πολλοὶ νομίζουσι, καὶ ὅσα ἄλλα τὴν τρίτην μετὰ τὰ ψυχικὰ καὶ σωματικὰ τάξιν εἴληχεν, ἥτις εὐθύς ἐστι καὶ
220 τελευταία. τούτων οὖν τῶν τρόπων ἑκάτερος ἔχει καθάπερ τινὰς ποίμνας καὶ ἀγέλας, ὁ μὲν τῶν ἐκτὸς ὀρεγόμενος ἄργυρον, χρυσόν, ἐσθῆτας, πάντα ὅσα τοῦ πλουτεῖν ὗλαι καὶ παρασκευαί, καὶ πάλιν ὅπλα, μηχανήματα, τριήρεις, ἱππικὴν καὶ πεζικὴν καὶ ναυτικὴν δύναμιν, τὰς πρὸς ἡγεμονίαν ἀφορμάς, ἐξ ὧν περιγίνεται τὸ βεβαίως κρατεῖν, ὁ δὲ καλοκἀγαθίας ἐραστὴς τὰ καθ' ἑκάστην ἀρετὴν δόγματα καὶ τὰ σοφίας αὐτῆς θεωρή-

1 ἂν om. CFG ἀσθενέστερος F 2 ἰσχυρότερος ὢν BEK: ὢν ἰσχυρότερος ceteri δυνάμενος] βουλόμενος BE μὴ om. F, μὴ—δύνασθαι (3) om. BK 3 δ' BEK 4 τό γε ἐπ' αὐτὸν BEK: τὸ ἐφ' αὐτὸν ceteri 4. 5 τὸ—μέρος om. Arm 5 ἡσυχάζοντος FG θαυμασιώτερος C 7 λέγεται in textu, λέλεκται mg. B κατὰ τοὺς om. Arm τοὺς] τὴν K 8 καὶ om. Arm ἐρευνῆσαι BEK 9 μὲν οὖν om. Arm ὑπὸ BEK 10 δ' οἱ νυνὶ BEK Arm: τοίνυν ceteri ἐπικρίνεσθαι μέλλοντες transp. F 11—13 ὁ μὲν πρεσβ. — ἐξεταζόμενα om. Arm 11 alt. μὲν BEK: μέν ἐστιν H(v), μὲν οὖν ἐστιν ceteri 12 ἐσχάτοις C 13 ἐξεταζόμενα] ταττόμενα coni. Mang. coll. § 273 μὲν om. A ἡγεμονικὰ BEK: ἡγεμονικώτερα ceteri 14 ἀνδρία BEG, ἀνδρία A αἱ om. CFG; τὰς coni. Mang. 15 πρᾶξις CFG νεώτερα CGMP: νεώτερον BEK, νεώτερος AFH δόξα καὶ ἀρχὴ BEK Arm: ἀρχὴ καὶ δόξα ceteri 16 καὶ οὐχ AG ἄλλα om. BEK 17 καὶ pr.] τὰ F ἥτις—τελευταία (18) om. Arm εὐθὺς] ὑστέρα coni. Mang. 19 ποιμένας CFGA ἀγέλας] ἀπάτας FG, οἰκέτας in ras. C post ὁ μὲν add. γὰρ BEK ἀργύριον MAFG χρυσίον A 19. 20 ἄργυρον, χρυσόν, ἐσθῆτας, πάντα BEK Arm: ἄργυρον καὶ χρυσὸν καὶ πάντα (om. ἐσθῆτας) ceteri 20 παρασκευασταί A ὅπλα] οἱ τὰ CFGA 21 καὶ ναυτικὴν om. K 23 τὰ pr. om. BE σοφίας BEK: κατὰ σοφίαν ceteri (Arm) αὐτῆς om. Arm

ματα. προστάται δὲ καὶ ἐπιμεληταὶ τούτων ἑκατέρων εἰσί τινες οἷα 221
θρεμμάτων ποιμένες, τῶν μὲν ἐκτὸς οἱ φιλοχρήματοι καὶ φιλόδοξοι καὶ
στρατηγιῶντες καὶ ὅσοι τὴν ἐπὶ τοῖς πλήθεσι δυναστείαν ἀγαπῶσι, τῶν
δὲ περὶ ψυχὴν ὅσοι φιλόκαλοι καὶ φιλάρετοι, μὴ τὰ νόθα πρὸ τῶν
γνησίων ἀλλὰ τὰ γνήσια πρὸ τῶν νόθων ἀγαθὰ αἱρούμενοι. γίνεται 222
οὖν φυσική τις αὐτοῖς ἡ διαμάχη μηδὲν ἐγνωκόσι τῶν αὐτῶν, ἀλλ' ἀπᾴ-
δουσι καὶ διαφερομένοις ἀεὶ περὶ πράγματος συνεκτικωτάτου τῶν ἐν βίῳ,
τοῦτο δ' ἐστὶν ἡ κρίσις τῶν πρὸς ἀλήθειαν ἀγαθῶν. ἄχρι μὲν οὖν 223
τινος ἐπολεμεῖτο ἡ ψυχὴ καὶ τὴν στάσιν ταύτην ἐχώρει μήπω κεκαθαρ-
μένη παντελῶς, ἀλλ' ἔτι τῶν παθῶν καὶ νοσημάτων παρευημερούντων
τοὺς ὑγιαίνοντας λόγους· ἀφ' οὗ δὲ ἤρξατο δυνατωτέρα γίνεσθαι καὶ
ῥώμῃ κραταιοτέρᾳ τὸν ἐπιτειχισμὸν τῶν ἐναντίων δοξῶν καθαιρεῖν,
πτερυξαμένη καὶ φρονήματος ὑποπλησθεῖσα τὸν τὰς ἐκτὸς ὕλας τεθαυ-
μακότα τρόπον ἐν αὑτῇ διατειχίζει καὶ διαζεύγνυσι καὶ ὡς ἀνθρώπῳ
διαλεγομένη φησίν· ἀμήχανον ὁμοδίαιτον εἶναί σε καὶ ὁμόσπονδον 224
ἐραστῇ σοφίας καὶ ἀρετῆς, ἴθι δὴ καὶ μετοικισάμενος μακρὰν ἀπο-
ζεύχθητι, μηδεμίαν ἔχων κοινωνίαν, ἀλλὰ μηδὲ σχεῖν δυνάμενος· ὅσα
γὰρ ὑπολαμβάνεις εἶναι δεξιά, ταῦτ' οἴεται ἐκεῖνος εὐώνυμα, καὶ ὅσα
τοὐναντίον σκαιά, ταῦτα παρ' ἐκείνῳ νενόμισται δεξιά.
(39.) Οὐ τοίνυν εἰρηνικὸς καὶ φιλοδίκαιος αὐτὸ μόνον ἦν ὁ ἀστεῖος, 225
ἀλλὰ καὶ ἀνδρεῖος καὶ πολεμικός· οὐχ ἕνεκα τοῦ πολεμεῖν — οὐ γὰρ
δύσερις ἦν καὶ φιλόνεικος —, ἀλλ' ὑπὲρ βεβαίου τῆς πρὸς τὸ μέλλον εἰρήνης,
p. 33 M. ἣν οἱ ἀντίπαλοι καθῄρουν. | σαφεστάτη δὲ πίστις τὰ πραχθέντα. τὴν 226

1 προστάται δὲ καὶ ἐπιμεληταὶ om. BEK (fort. recte) 3 ἀγαπῶντες FH 5 ἀλλὰ—νόθων om. F 6 γοῦν BEK αὐτοῖς om. BE ἡ διαμάχη] ἰδία μάχη A μὴ διεγνωκόσι H² (Turn.) τὰ αὐτῶν H² (τὰ αὐτῶν Turn.) 6. 7 ἀλλ' ἀπᾴδουσι] ἀλλὰ σπουδάζουσι CFGA 7 διαφθειρομένοις F¹ ἀεὶ] αὐτοῖς BE περὶ] διὰ CFG 8 τοῦτο δ' ἐστὶν om. FG τοῦτο—κρίσις] ὃ κρίσις ἐστὶν C ἡ om. F 9 σύστασιν HP 11 post λόγους add. ἐταράττετο CFGA δ' BEK 12 ῥώμῃ] γνώμῃ BEK καθαίρειν MAFG
ας
13 ὕλης K 14 αὐτῇ codd. διαζεύγνυσι BEK: διαζευγνύει ceteri
ῆ
15 φασίν A σε] τε G 16 ἐραστῇ BEH² Arm: ἐραστὴν K, ἐραστὴν F², ἐραστῆς F¹G, ἐρᾷς τῆς CMAH¹P δὴ] δὲ F¹G μετοικησάμενος P 18 ὑπολαμβάνῃς C ταῦτ'—δεξιά (19) om. F ταῦτα HP οἴετ' C, οἴεται om. in lac. A, ἐκεῖνος οἴεται transp. P 19 σκαιά BEK: ἀριστερά ceteri ἐκείνων A 20 αὐτῷ H² (Turn.), ἑαυτῷ BE ὁ om. F 21 ante πολεμικὸς add. ἐνταῦθα ἦν BE, οὗπερ ἐχρῆν Arm ἕνεκεν BE 22 ἣν Mang: ὧν HP, om. ceteri

πρὸς ἀνατολὰς μοῖραν τῆς οἰκουμένης τέτταρες μεγάλοι βασιλεῖς εἰλήχε-
σαν, οἷς ὑπήκουεν ἔθνη τὰ ἑῷα, τά τε ἐκτὸς καὶ ἐντὸς Εὐφράτου. τὰ
μὲν οὖν ἄλλα διέμενεν ἀστασίαστα πειθαρχοῦντα τοῖς τῶν βασιλέων ἐπι-
τάγμασι καὶ τοὺς ἐτησίους δασμοὺς ἀπροφασίστως εἰσφέροντα· μόνη
δὲ ἡ Σοδομιτῶν χώρα, πρὶν καταφλεχθῆναι, παραλύειν ἤρξατο τὴν
227 εἰρήνην ἀπόστασιν ἐκ πολλοῦ διανοουμένη. πάνυ γὰρ οὔσης εὐδαίμονος
πέντε βασιλεῖς ἐπεκράτουν τάς τε πόλεις καὶ τὴν γῆν δασάμενοι πολλὴν
μὲν οὐκ οὖσαν, εὔσταχυν δὲ καὶ εὔδενδρον καὶ καρπῶν περίπλεων· ὃ
γὰρ ταῖς ἄλλαις τὸ μέγεθος, τοῦθ᾽ ἡ ἀρετὴ Σοδόμοις παρέσχεν, ὅθεν καὶ
228 πλείους ἐραστὰς ἔσχεν ἡγεμόνας τὸ κάλλος αὐτῆς καταπλαγέντας. οὗτοι
τὸν ἄλλον χρόνον τοὺς ἐπιταχθέντας φόρους ἀπεδίδοσαν τοῖς ἐκλογεῦσι
τῶν χρημάτων, τοὺς δυνατωτέρους ὧν ἦσαν ὕπαρχοι τιμῶντες ἅμα καὶ
δεδιότες· ἐπεὶ δὲ ἐκορέσθησαν ἀγαθῶν καί, ὅπερ φιλεῖ, κόρος ὕβριν
ἐγέννησε, πλέον τῆς δυνάμεως φρονήσαντες ἀπαυχενίζουσι τὸ πρῶτον, εἶθ᾽
οἷα κακοὶ δοῦλοι δεσπόταις τοῖς ἑαυτῶν ἐπιτίθενται στάσει πιστεύσαντες
229 ἡ ῥώμῃ. οἱ δὲ τῆς ἑαυτῶν εὐγενείας ὑπομνησθέντες καὶ φραξάμενοι
δυνατωτέρᾳ χειρὶ μάλα καταφρονητικῶς ᾔεσαν ὡς αὐτοβοεὶ περιεσόμενοι
καὶ συμπλακέντες τοὺς μὲν εὐθὺς εἰς φυγὴν ἀνεσκέδασαν, τοὺς δὲ ἐπι-
στροφάδην κτείνοντες ἡβηδὸν διαφθείρουσιν. αἰχμαλώτων δὲ πολὺν ὄχλον
ἀγαγόντες μετὰ τῆς ἄλλης λείας διενέμοντο· προσαπάγουσι μέντοι καὶ
τοῦ σοφοῦ τὸν ἀδελφιδοῦν εἰς μίαν τῆς πενταπόλεως οὐκ ἐκ πολλοῦ
230 μετῳκηκότα. (40.) τοῦτο μηνυθὲν ὑπό τινος τῶν ἐκ τῆς τροπῆς
διασωθέντων χαλεπῶς αὐτὸν ἠνίασε καὶ οὐκέτ᾽ ἠρέμει διὰ τοῦτο συγκεχυ-

1 ἀνατολὰς CABE: ἀνατολαῖς ceteri τέσσαρες BEK 2 τὰ ἑῷα BEK: τά τε ἑῷα ceteri τ᾽ K ἐντὸς καὶ ἐκτὸς transp. FGH 4 ἐκφέροντα F 5 δ᾽ BEK παραλύειν] παρέλκειν CFG 8 ἔνδενδρον HP καὶ καρπῶν CFBEK Arm: καὶ om. ceteri περίπλεων C^2EK: περίπλεω ceteri 9 παρέσχεν BEK: παρεῖχεν ceteri 10 ἔσχεν BEK: εἶχεν ceteri ἔσχεν ἐραστὰς transp. K 11 τῶν ἄλλων χρόνων ABE 12 ὕπαρχοι τιμῶντες] ὑπερτιμῶντες BE 13 δ᾽ BEK 14 ἐγέννησαν CFG πλέον BEK: πλείω ceteri 15 τοῖς om. CFG, τοῖς ἑαυτῶν om. Arm 16 οἱ δὲ] οἱ δ᾽ ἐναντίοι BEK αὐτῶν CFGMA 17 ἐπῄεσαν Arm αὐτοβοΐ E 18 εἰς σφαγὴν P ἐσκέδασαν F δ᾽ BEK 19 κτείνοντες BEK: κτείναντες ceteri αἰχμαλώτων BEK: αἰχμάλωτον ceteri 20 ἀγαγόντες BEK: ἀναγαγόντες ceteri; ἀπαγαγόντες coni. Mang. διανέμονται F, δι᾽ ἧς ἐνέμοντο BE προσάγουσι BE 21 τὸν ἀδελφιδοῦν τοῦ σοφοῦ transp. BEK τῆς πόλεως F 22 τῶν om. Arm τῆς om. CFG ῥοπῆς A 23 διασωθέντος CGMA Arm, διασωθέν$\overset{\text{των}}{\text{τος}}$ H οὐκέτι HP οὐκ ἐνηρέμει CG, οὐκ ἠρέμει F διὰ τοῦτο om. Arm 23. 51,1 συγκεχυμένως A

1 sqq. Gen. cap. 14

μένος καὶ ζῶντα πενθῶν τὸ ἀργαλεώτερον ἢ εἰ τεθνεῶτα ἐπύθετο·
τέλος μὲν γάρ, ὡς αὐτό που δηλοῖ τοὔνομα, τῶν κατὰ τὸν βίον ἁπάντων
καὶ μάλιστα κακῶν ᾔδει τὴν τελευτήν, μυρία δὲ τῶν ἀβουλήτων ἐφε-
δρεύοντα τοῖς ζῶσι. διώκειν δ' εὐτρεπιζόμενος ἐπὶ τῷ ῥύσασθαι τὸν 231
ἀδελφιδοῦν ἠπόρει συμμάχων, ἅτε ξένος ὢν καὶ μέτοικος καὶ μηδενὸς
τολμῶντος ἀμάχοις δυνάμεσι τοσούτων βασιλέων καὶ ἄρτι νενικηκότων
ἐναντιοῦσθαι. καινοτάτην δ' ἐξεῦρε συμμαχίαν — πόρος γὰρ ἐν ἀπόροις, 232
ὅταν δικαίων καὶ φιλανθρώπων ἔργων ἐφίηταί τις, εὑρίσκεται —·
συναγαγὼν γὰρ τοὺς οἰκέτας καὶ τοῖς ἀργυρωνήτοις προστάξας οἴκοι
καταμένειν — ἔδεισε γὰρ ἐξ αὐτῶν αὐτομολίαν — τοὺς οἰκότριβας κατα-
λέγει καὶ διανείμας εἰς ἑκατονταρχίας τρισὶν ἐπῄει τάξεσιν, οὐ ταύταις
πεποιθώς — πολλοστὴ γὰρ ἦν μοῖρα τῶν παρὰ τοῖς βασιλεῦσιν —, ἀλλὰ
p. 34 M. τῷ ὑπερμάχῳ καὶ προαγωνιστῇ τοῦ | δικαίου θεῷ. συντείνων οὖν 233
ἔσπευδε μηδὲν τάχους ἀνιείς, ἕως καιροφυλακήσας νυκτὸς ἐπιπίπτει
τοῖς πολεμίοις δεδειπνοποιημένοις ἤδη καὶ πρὸς ὕπνον μέλλουσι τρέπεσθαι·
καὶ τοὺς μὲν ἐν εὐναῖς ἱέρευε, τοὺς δ' ἀντιταχθέντας ἄρδην ἀνῄρει,
πάντων δ' ἐρρωμένως ἐπεκράτει τῷ θαρραλέῳ τῆς ψυχῆς μᾶλλον ἢ
ταῖς παρασκευαῖς. καὶ οὐ πρότερον ἀνῆκεν, ἕως τὴν μὲν ἀντίπαλον 234
στρατιὰν βασιλεῦσιν αὐτοῖς ἡβηδὸν ἀνελὼν πρὸ τοῦ στρατοπέδου κατε-
στόρεσε, τὸν δὲ ἀδελφιδοῦν ἀνήγαγε μετὰ λαμπρᾶς καὶ ἐπιφανεστάτης
νίκης ἅπασαν τὴν ἵππον καὶ τὴν τῶν ἄλλων πληθὺν ὑποζυγίων καὶ
λείαν ἀφθονωτάτην προσπαραλαβών. ὃν θεασάμενος ὁ μέγας ἱερεὺς τοῦ 235

1 τὸ] τὸν P; τὸ om. Arm ἀργαλεώτατον BEKHP εἰ om. A 4 τῶ CKHP: τὸ ceteri 5 post ἠπόρει add. τε BEK 7 ἐν ἀπόροις BEK Arm: καὶ ἐν ἀπόροις ceteri 8 ἐφίεται FGHP, ἐφίεται (η supra) K, ἐφίηται ceteri 9 ξυναγαγὼν K 11 διανείμας ἑκατοντάρχας (om. εἰς) P τρισὶν ἐπιτάξεσιν BE 13 τῶν δικαίων Arm 14 ἐπέσπευδε CGMA τάχος A καιροφυλακήσεως (sic) K 15 δεδειπνοποιημένοις BE: δεδειπνημένοις ceteri μέλλουσι τρέπεσθαι] τετραμμένοις Arm 16 ἱερεύεται BEK 17 τῷ om. G 19 πρὸ om. M 20 δ' BE ἀνήγαγε BEK Arm: ἀνῆγε ceteri 21 ἵππων K, ἱππικὴν BE 22 παραλαβὼν HP ἱερεὺς BEK Arm: ἀρχιερεὺς ceteri

13 sqq. *cf. Ioseph. Ant. Iud. I 176* Ἀβράμῳ δὲ ἀκούσαντι τὴν συμφορὰν αὐτῶν φόβος τε ἅμα περὶ Λώτου τοῦ συγγενοῦς εἰσῆλθε καὶ οἶκτος περὶ τῶν Σοδομιτῶν φίλων ὄντων καὶ γειτνιώντων. (177) καὶ βοηθεῖν αὐτοῖς δοκιμάσας οὐκ ἀνέμεινεν, ἀλλ' ἐπειχθεὶς καὶ κατὰ πέμπτην ἐπιπεσὼν νύκτα ... καὶ φθάσας, πρὶν ἐν ὅπλοις γενέσθαι, τοὺς μὲν ἐν ταῖς κοίταις ὄντας ἀπέκτεινε μηδ' ἐπίνοιαν τῆς συμφορᾶς ἔχοντας, οἱ δὲ μήπω πρὸς ὕπνον τετραμμένοι μάχεσθαι δ' ὑπὸ μέθης ἀδύνατοι ἔφυγον. Ἄβραμος δὲ διώκων εἵπετο ... ἐπιδείξας ὅτι τὸ νικᾶν οὐκ ἐν τῷ πλήθει καὶ τῇ πολυχειρίᾳ κεῖσθαι συμβέβηκεν, ἀλλὰ προθυμία τῶν μαχομένων καὶ τὸ γενναῖον κρατεῖ παντὸς ἀριθμοῦ ...

μεγίστου θεοῦ ἐπανιόντα καὶ τροπαιοφοροῦντα σῷον μετὰ σῴου τῆς
ἰδίας δυνάμεως — οὐδένα γὰρ τῶν συνόντων ἀπέβαλε —, καταπλαγεὶς
τὸ μέγεθος τῆς πράξεως καὶ ὅπερ εἰκὸς ἐννοηθείς, ὡς οὐκ ἄνευ θείας
ἐπιφροσύνης καὶ συμμαχίας κατωρθώθη, τὰς χεῖρας ἀνατείνας εἰς τὸν
οὐρανὸν εὐχαῖς αὐτὸν γεραίρει καὶ ἐπινίκια ἔθυε καὶ πάντας τοὺς συναρα-
μένους τῷ ἀγῶνι λαμπρῶς εἱστία, γεγηθὼς καὶ συνηδόμενος ὡς ἐπ'
οἰκείῳ κατορθώματι· καὶ ἦν τῷ ὄντι οἰκεῖον αὐτῷ· „κοινὰ“ γὰρ κατὰ
τὴν παροιμίαν „τὰ φίλων“, πολὺ δὲ πλέον τὰ τῶν ἀγαθῶν, οἷς ἓν τέλος
εὐαρεστεῖν θεῷ.
236· (41.) Ταῦτα μὲν οὖν αἱ ῥηταὶ γραφαὶ περιέχουσιν. ἀσώματα δὲ
ὅσοι καὶ γυμνὰ θεωρεῖν τὰ πράγματα δύνανται, οἱ ψυχῇ μᾶλλον ἢ
σώματι ζῶντες, φήσουσι τῶν ἐννέα βασιλέων τοὺς μὲν τέτταρας εἶναι
τὰς ἐν ἡμῖν τῶν τεττάρων παθῶν δυνάμεις, ἡδονῆς, ἐπιθυμίας, φόβου,
λύπης, τοὺς δὲ πέντε τὰς ἰσαρίθμους αἰσθήσεις, ὅρασιν, ἀκοήν, γεῦσιν,
237 ὄσφρησιν, ἁφήν. τρόπον γάρ τινα βασιλεύουσι καὶ ἄρχουσιν ἡμῶν
ἀνημμέναι τὸ κράτος, ἀλλ' οὐχ ὁμοίως· ὑπήκοοι γὰρ αἱ πέντε τῶν
τεττάρων εἰσὶ καὶ φόρους αὐταῖς καὶ δασμοὺς ἀναγκαίους φέρουσιν ὑπὸ
238 φύσεως ὁρισθέντας. ἐξ ὧν γὰρ ἂν ἴδωμεν ἢ ἀκούσωμεν ἢ ὀσφρανθῶμεν
ἢ γευσώμεθα ἢ ἁψώμεθα, λῦπαι καὶ ἡδοναὶ καὶ φόβοι καὶ ἐπιθυμίαι
συνίστανται, μηδενὸς τῶν παθῶν καθ' αὑτὸ σθένοντος, εἰ μὴ ἐχορηγεῖτο
239 ταῖς διὰ τῶν αἰσθήσεων παρασκευαῖς. αὗται γὰρ ἐκείνων δυνάμεις
εἰσίν, ἢ διὰ χρωμάτων καὶ σχημάτων ἢ διὰ φωνῆς τῆς ἐν τῷ λέγειν
ἢ ἀκούειν ἢ διὰ χυλῶν ἢ δι' ἀτμῶν ἢ τῶν ἐν ἁπτοῖς, ἃ μαλακὰ καὶ
σκληρὰ ἢ τραχέα | καὶ λεῖα ἢ θερμὰ καὶ ψυχρά· ταῦτα γὰρ πάντα p. 35 M.

1 σῴου] σώας H 4 κατορθώθη FH[1], κατορθωθείη BEK τὸν BEK: om. ceteri 5 ἐπινίκια BEK: τὰ ἐπινίκια ceteri 6 εἱστία] εἴη F συνηδόμενος] γηθόμενος F ὡς om. F ἐπὶ K, ἐπὶ τῷ F 7 οἰκειοτάτῳ BEK ante κοινὰ add. postea εἰ B 8 τὰ pr. om. F[1]HP τῶν φίλων AFHP δὲ om. BEK πλέονα C, πλείονα FG ἓν τέλος Mang.: ἐντελὲς codd., ἐπιμελὲς Arm 10 δ' BEK 11 θεωρεῖν τὰ πράγματα BEK: τὰ πράγματα θεωρεῖν transp. ceteri οἱ om. Arm 12 σώματι ζῶντες] ὄμμασιν ὁρῶντες coni. Mang. τοὺς μὲν om. BEK τέσσαρας AFGHP 13 τεσσάρων G, τεττάρων om. BEK 14 τοὺς] τὰς BEK 14. 15 γεῦσιν, ὄσφρησιν BEK Arm: ὄσφρησιν, γεῦσιν ceteri 15 ἁφήν BEK: καὶ ἁφήν ceteri ἡμῖν BE 17 τεσσάρων BEK αὐταῖς] αὖθις CFG ἀναγκαίους MAF Arm: ἀναγκαίως CGHP, om. BEK 18 ὁρισθέντας om. BEK 19 ἢ ἁψώμεθα ἢ γευσώμεθα transp. H 20 συγγίνονται K 21 δι' αὐτῶν A 23 χυλῶν] χυμῶν Mang. δι' ἀτμῶν BEK Arm: δι' om. ceteri ἢ τῶν BEK: ἢ om. ceteri τῶν om. F τῶν ἐν ἁπτοῖς om. Arm ἁπλοῖς BEK ἃ] διὰ Arm 24 λεῖα ἢ] ἀειδῆ BE ταῦτα γὰρ πάντα BEK: πάντα γὰρ ταῦτα transp. ceteri

διὰ τῶν αἰσθήσεων ἑκάστῳ τῶν παθῶν χορηγεῖται. καὶ μέχρι μὲν οἱ 240 λεχθέντες ἀποδίδονται φόροι, μένει τοῖς βασιλεῦσιν ἡ ὁμαιχμία. ὅταν δὲ μηκέθ' ὁμοίως συντελῶνται, στάσεις εὐθὺς καὶ πόλεμοι συνίστανται· τοῦτο δὲ συμβαίνειν ἔοικεν, ὅταν ἀφικνῆται τὸ ἐπώδυνον γῆρας, ἐν ᾧ τῶν μὲν παθῶν ἀσθενέστερον οὐδὲν γίνεται, τάχα δὲ καὶ τῆς παλαιᾶς δυνάμεως κραταιότερον, ἀμυδραὶ δὲ ὄψεις καὶ ὦτα δυσήκοα καὶ ἑκάστη τῶν ἄλλων αἰσθήσεων ἀμβλυτέρα, μηκέθ' ὁμοίως ἕκαστα ἀκριβοῦν καὶ δικάζειν δυναμένη μηδ' ἴσα τῷ πλήθει ὑποτελεῖν· εἰκότως οὖν ἐξασθενήσασαι πάντα τρόπον καὶ κλιθεῖσαι δι' αὑτῶν ὑπὸ τῶν ἀντιπάλων παθῶν ῥᾳδίως ἀνατρέπονται. φυσικώτατα δὲ ἐκεῖνο εἴρηται, ὅτι τῶν 241 πέντε βασιλέων δύο μὲν εἰς φρέατα ἐμπίπτουσι, τρεῖς δὲ πρὸς φυγὴν ὥρμησαν (Gen. 14, 10)· ἁφὴ μὲν γὰρ καὶ γεῦσις ἄχρι τῶν τοῦ σώματος βαθυτάτων ἀφικνοῦνται σπλάγχνοις παραπέμπουσαι τὰ οἰκεῖα πρὸς διοίκησιν, ὀφθαλμοὶ δὲ καὶ ὦτα καὶ ὄσφρησις ἔξω τὰ πολλὰ βαίνουσαι ἀποδιδράσκουσι τὴν δουλείαν τοῦ σώματος. οἷς ἅπασιν ἐφεδρεύων ὁ 242 ἀστεῖος, ἐπειδὴ κατεῖδε τὰ σύμμαχα καὶ φίλα πρὸ μικροῦ νοσοῦντα καὶ πόλεμον ἀντ' εἰρήνης ταῖς ἐννέα βασιλείαις γενόμενον, πρὸς τὰς πέντε τῶν τεττάρων περὶ κράτους ἀρχῆς ἁμιλλωμένων, ἐξαπιναίως καιροφυλακήσας ἐπιτίθεται, φιλοτιμούμενος δημοκρατίαν, τὴν ἀρίστην τῶν πολιτειῶν, ἀντὶ τυραννίδων καὶ δυναστειῶν ἐν τῇ ψυχῇ καταστήσασθαι καὶ τὸ ἔννομον καὶ τὸ δίκαιον ἀντὶ παρανομίας καὶ ἀδικίας, αἳ τέως ἐπεκράτουν. ἔστι δ' οὐ πλάσμα μύθου τὸ λεχθέν, ἀλλὰ πρᾶγμα τῶν ἀψευδεστάτων 243 ἐν ἡμῖν αὐτοῖς θεωρούμενον· πολλάκις μὲν γὰρ ὁμόνοιαν τὴν πρὸς τὰ

2 πόροι FG 3 συντελοῦνται H¹P; ἴσα τελῶνται coni. Mang. 4 ἀφίκηται BE γέρας H¹P 6 δὲ BEK: δέ τε HP² (Mang.), τε ceteri 7 ἀμβλυωτέρα MAG ἕκαστα ἀκριβοῦν BEK: ἀκριβοῦν ἕκαστα ceteri 7. 8 καὶ δικάζειν om. Arm 8 δικάζειν BEKP mg. H: εἰκάζειν ceteri μηδ' ἴσα] μηδ' εἰς ἃ CG, μηδεὶς ἃ F τῷ πλήθει] αὐτῷ πλήθη A; τῷ πάθει vel τοῖς πάθεσι coni. Mang. ὑποτελεῖν] ὑπετίθετο CFGA 8. 9 συνεξασθενήσασαι BE Arm, συνεξασθενήσασα K 9 κλιθεῖσα K, κλεισθεῖσαι CFGA αὑτῶν H: αὐτῶν ceteri ὑπὸ BE Arm: καὶ ὑπὸ ceteri 10 ἀνατρέπονται ῥᾳδίως transp. C, ῥᾳδίως om. Arm φυσικώταται BE (sed ι eras. B) τῶν—τρεῖς (11) om. BE 11 φρέατα KHP: τὰ φρέατα ceteri δὲ] δὴ BE 13 παρεμπεσοῦσαι CFG 14 βαίνουσιν HP, μένουσαι F 15 post ἀποδιδράσκουσι add. δὲ HP 16 τὸν σύμμαχον καὶ φίλον P νοσοῦντα] οὐχ ὁμονοοῦντα coni. Mang. 17 ἀντ' BEK: ἀντὶ ceteri 18 τεσσάρων BEK 19 φιλοτιμούμενος om. F τὴν—δυναστειῶν (20) om. BE 20 ἐν τῇ ψυχῇ post φιλοτιμούμενος (19) transp. K καταστήσασθαι post πολιτειῶν (19) transp. K 21 εὔνομον BE καὶ pr. om. G τὸ om. BK αἳ τέως ἐπεκράτουν] ὡς ἐπικρατοῦν FG, ἐπικρατοῦν C 22 πραγμάτων ἀψευδέστατον BE Arm 23 τὴν om. CA

πάθη διατηροῦσιν αἱ αἰσθήσεις χορηγοῦσαι τὰ αἰσθητὰ αὐτοῖς, πολλάκις
δὲ καὶ στασιάζουσι μηκέτ' ἀξιοῦσαι τὰ ἴσα τελεῖν ἢ μὴ δυνάμεναι διὰ
τὸ παρεῖναι τὸν σωφρονιστὴν λόγον· ὃς ἐπειδὰν ἀναλάβῃ τὴν αὑτοῦ
παντευχίαν, τὰς ἀρετὰς καὶ τὰ τούτων δόγματα καὶ θεωρήματα, δύναμιν
ἀνανταγώνιστον, ἐρρωμενέστατα κρατεῖ· φθαρτὰ γὰρ ἀφθάρτῳ συνοικεῖν
244 οὐ θέμις. αἱ μὲν οὖν ἐννέα δυναστεῖαι τεττάρων παθῶν καὶ πέντε
αἰσθήσεων φθαρταί τε καὶ φθορᾶς αἴτιαι, ὁ δ' ὁρμητηρίῳ χρώμενος
ταῖς ἀρεταῖς λόγος ἱερὸς καὶ θεῖος ὄντως, ἐν ἀριθμῷ ταττόμενος δεκάδι
τῇ παντελείᾳ, πρὸς ἅμιλλαν ἐλθών, ἐρρωμενεστέρᾳ δυνάμει τῇ κατὰ θεὸν
χρώμενος ἀνὰ κράτος νικᾷ τὰς εἰρημένας δυναστείας.
245 (42.) | Χρόνῳ δ' ὕστερον αὐτῷ τελευτᾷ ἡ γυνὴ θυμηρεστάτη καὶ p.36 M.
τὰ πάντα ἀρίστη, μυρία δείγματα τῆς φιλανδρίας ἐνεγκαμένη, τὴν σὺν
αὐτῷ τῶν συγγενῶν ἀπόλειψιν, τὴν ἐκ τῆς οἰκείας ἀνενδοίαστον μετά-
στασιν, τὰς ἐπὶ τῆς ἀλλοδαπῆς συνεχεῖς καὶ ἐπαλλήλους πλάνας, τὰς
246 κατὰ λιμὸν ἐνδείας, τὰς ἐν πολέμοις συστρατείας. ἀεὶ γὰρ καὶ πανταχοῦ
παρῆν οὐδένα τόπον ἢ καιρὸν ἀπολείπουσα, κοινωνὸς ὄντως βίου καὶ
τῶν κατὰ τὸν βίον πραγμάτων, ἐξ ἴσου δικαιοῦσα μετέχειν ἀγαθῶν
ὁμοῦ καὶ κακῶν· οὐ γὰρ ὥσπερ ἔνιαι τὰς μὲν κακοπραγίας ἀπεδίδρασκε,
ταῖς δ' εὐτυχίαις ἐφήδρευεν, ἀλλὰ τὸν ἐν ἀμφοτέραις κλῆρον ὡς ἐπι-
βάλλοντα καὶ ἁρμόττοντα γαμετῇ μετὰ προθυμίας πάσης ἀνεδέχετο.
247 (43.) πολλὰ δὲ ἔχων ἐγκώμια τῆς ἀνθρώπου διεξιέναι, ἑνὸς ὑπομνησθήσο-
μαι, ὃ γενήσεται καὶ τῶν ἄλλων σαφεστάτη πίστις. ἄγονος γὰρ οὖσα

2 μηκέτ' K: μηκέτι ceteri μὴ καταξιοῦσαι BE τὰ ἴσα om. BEK τελεῖα C 3 σοφιστὴν C ὃς om. BE αὑτοῦ H²: om. F, αὐτοῦ ceteri 4 ante τὰς add. καὶ CFGM καὶ τὰ om. CFG 5 ἀνταγώνιστον P 6 τεσσάρων BEK 7 φθορᾶς BEK: διαφθορᾶς ceteri αἰτίαι E 8 ἱερὸς λόγος transp. HP Arm 9 ἐρρωμενέστατα CFG 11 δὲ BEK αὐτῷ om. BE, τελευτᾷ αὐτοῦ K Arm 12 τὰ πάντα BEK: πάντα ceteri φιλανδρείας HP 13 αὐτῷ] ἀνδρὶ Arm ἀπόληψιν A οἰκείας C: οἰκίας ceteri 13. 14 μετανάστασιν coni. Mang. 14 πλάνους P 15 ἐν ἐνδείᾳ BE τὰς—συστρατείας om. Arm πολέμῳ K συστρατιάς BE, στρατείας P πανταχῇ P 16 καιρὸν CBEK Arm: κλῆρον ceteri (v) ἀπολείπουσα CBEK: ἀπολιποῦσα ceteri ante βίου add. καὶ BEK 18 καὶ om. C ὡς BE τὰς—ἀπεδίδρασκε om. CFG 19 δ' om. CFG εὐωχίαις BE ἐφίδρυεν BE, εὐήδρευεν P τὸν] τῶν A ἀμφοτέροις BEK 20 τῆς πάσης BE 21 δ' K 21. 22 ὑπομνησθήσομαι BEK: ἐπιμνησθήσομαι ceteri 22 καὶ BEK Arm: om. ceteri

22 sqq. Gen. cap. 16

καὶ στεῖρα, δείσασα μὴ κατὰ τὸ παντελὲς ἔρημος γενεᾶς ὁ θεοφιλὴς οἶκος
ἀπολειφθῇ, προσελθοῦσα τῷ ἀνδρί φησι τάδε· „πολὺν μὲν ἤδη χρόνον 248
συμβιοῦμεν ἀλλήλοις εὐαρεστοῦντες, οὗ δὲ χάριν καὶ αὐτοὶ συνεληλύθαμεν
καὶ ἡ φύσις τὴν ἀνδρὸς καὶ γυναικὸς ἡρμόσατο κοινωνίαν, τέκνων γένεσις
οὐκ ἔστιν, ἀλλ' οὐδ' εἰσαῦθις ἐξ ἐμοῦ γε ὑπερήλικος ἤδη γεγονυίας
ἐλπίζεται. μὴ δὴ παραπόλαυε τῆς ἐμῆς ἀγονίας μηδ' ἕνεκα τῆς πρὸς 249
ἐμὲ εὐνοίας αὐτὸς δυνάμενος εἶναι πατὴρ κεκώλυσο· ζηλοτυπία γὰρ
οὐκ ἂν γένοιτό μοι πρὸς ἑτέραν, ἣν οὐ δι' ἐπιθυμίαν ἄλογον ἄξῃ, νόμον
δὲ φύσεως ἐκπιμπλὰς ἀναγκαῖον. οὗ χάριν οὐχ ὑπερθήσομαι νυμφοστο- 250
λεῖν ὡς τὸ ἐνδέον ἐμοὶ μέλλουσαν ἐκπληροῦν· καὶ εἴ γε ἀπαντήσειαν
αἱ περὶ σπορᾶς τέκνων εὐχαί, σὰ μὲν ἔσται τὰ γεννώμενα γνήσια, θέσει
δὲ πάντως ἐμά. πρὸς δὲ τὸ ἀνύποπτον τῆς ζηλοτυπίας ἐμήν, εἰ βούλει, 251
θεράπαιναν ἀγαγοῦ, τὸ μὲν σῶμα δούλην, ἐλευθέραν δὲ καὶ εὐγενῆ τὴν
διάνοιαν, ἧς ἐκ πολλῶν χρόνων πεῖραν ἔλαβον καὶ βάσανον, ἀφ' ἧς
ἡμέρας τὸ πρῶτον εἰς τὴν ἐμὴν οἰκίαν ἤχθη, γένος μὲν Αἰγυπτίαν, τὴν
δὲ προαίρεσιν Ἑβραίαν. ἔστι μὲν ἡμῖν οὐσία πολλὴ καὶ ἄφθονος πλοῦτος, 252
οὐχ ὡς μετοίκοις — ἤδη γὰρ τῶν αὐτοχθόνων τοὺς ἐν εὐτυχίαις λαμ-
πραῖς ὑπερβάλλομεν —, κληρονόμος δ' οὐδεὶς ἀποδέδεικται καὶ διάδοχος,
καίτοι γε εἶναι δυνάμενος, ἂν ταῖς ἐμαῖς παραινέσεσι πεισθῇς.“ ὁ δὲ 253
θαυμάσας τῆς γυναικὸς ἔτι μᾶλλον τὴν ἀεὶ καινουμένην φιλανδρίαν καὶ
νεάζουσαν καὶ τὸ περὶ τοῦ μέλλοντος ἐξεταστικὸν καὶ προμηθὲς ἄγεται
p. 37 M. τὴν ὑπ' αὐτῆς δοκιμασθεῖσαν ἄχρι τοῦ παιδοποιήσασθαι, | ὡς δ' οἱ
σαφέστατα διηγούμενοί φασιν, ἄχρι τοῦ μόνον ἐγκύμονα γενέσθαι· γενο-
μένης δ' οὐκ εἰς μακράν, ἀποσχέσθαι διά τε φυσικὴν ἐγκράτειαν καὶ
τὴν τιμήν, ἣν ἀπένειμε τῇ γαμετῇ. γίνεται μὲν οὖν υἱὸς ἐκ τῆς 254

---

2 ἀπολειφθείη K ἤδη om. K 3 ἀλλήλοις (ἀλλήλους BE) εὐαρεστοῦντες BEK: εὐαρεστοῦντες ἀλλήλοις ceteri 4 τὴν ex τῆς corr. C 5 οὐδ' BEK: οὐδὲ ceteri γε om. A post γε add. καὶ G 6 παραπόλαβε P 8 ἄξῃ] ἔξῃ F[1], ἕξεις F[2], ἥξῃ G νόμου F[1]G 9 ἐκπιμπλὰς CFM, ἐκπιπλὰς G: ἐμπιπλὰς ceteri 10 ἐν ἐμοὶ BE Arm ἀπαντηθεῖεν BE 11 γενόμενα BEK 12 τὸ om. BEK βούλῃ E 13 ἀγαγοῦ BE: ἀγάγου ceteri 14 ἐκ πολλῶν χρόνων BEK Arm: πολλῷ χρόνῳ ceteri 15 ἤχθη BEK: εἰσήχθη ceteri γένος BEK: γένει ceteri 17 γὰρ BEK: post γὰρ add. καὶ ceteri 18 δ' CBEK: δὲ ceteri 19 γε BEK: om. ceteri ἂν BEK: ἐὰν ceteri 20 καινουμένην C: κινουμένην ceteri φιλανδρείαν HP 20. 21 καὶ νεάζουσαν om. Arm 21 τὸ om. E ἐξεταστικὸν] εἰκαστικὸν coni. Mang. τε καὶ C 22 παιδοποιήσεσθαι Mang. 23 σαφέστατα BEK: τὰ σαφέστατα ceteri; ἀσφαλέστατα vel ἀληθέστατα coni. Mang. 23. 24 γενομένης δ'] καὶ γενομένης BEK 25 τὴν om. BE ἀπένειμε BEKF: ἀπένειμε ceteri ante γίνεται add. καὶ K

θεραπαινίδος εὐθὺς τότε, γίνεται δὲ καὶ μακροῖς χρόνοις ὕστερον γνήσιος
ἀπεγνωκόσι τὴν ἐξ ἀλλήλων γένεσιν, ἆθλον καλοκἀγαθίας ἐλπίδος πάσης
τελειότερον τοῦ φιλοδώρου θεοῦ παρασχόντος.
255 (44.) Τοσαῦτα μὲν ἀπόχρη δείγματα περὶ τῆς γυναικὸς εἰρῆσθαι,
πλείω δ' ἐστὶν ἐγκώμια τοῦ σοφοῦ, ὧν ὀλίγῳ πρότερον ἔνια διεξῆλθον·
λέξω δὲ καὶ τὸ περὶ τὴν τελευτὴν τῆς γυναικὸς οὐκ ἄξιον ἔργον ἡσυχασθῆ-
256 ναι. τοιαύτην γὰρ ἀποβαλὼν κοινωνὸν τοῦ σύμπαντος βίου, οἵαν ἔδειξεν
ὁ λόγος καὶ μηνύουσιν οἱ χρησμοί, τῆς λύπης ἐπαποδυομένης ἤδη καὶ
κατὰ τῆς ψυχῆς κονιομένης ὥσπερ ἀθλητὴς ἐπεκράτησε ῥώσας καὶ
θαρσύνας εὖ μάλα τὸν ἀντίπαλον φύσει τῶν παθῶν λογισμόν, ᾧ συμ-
βούλῳ παρὰ πάντα τὸν βίον χρώμενος τότε διαφερόντως ἠξίωσε πείθεσθαι
257 τὰ βέλτιστα παραινοῦντι καὶ συμφέροντα. ἦν δὲ ταυτί· μήτε πλέον
τοῦ μετρίου σφαδάζειν ὡς ἐπὶ καινοτάτῃ καὶ ἀγενήτῳ συμφορᾷ μήτε
ἀπαθείᾳ καθάπερ μηδενὸς ὀδυνηροῦ συμβεβηκότος χρῆσθαι. τὸ δὲ μέσον
πρὸ τῶν ἄκρων ἑλόμενον μετριοπαθεῖν πειρᾶσθαι, τῇ μὲν φύσει τὸ
οἰκεῖον χρέος ἀπολαβούσῃ μὴ δυσχεραίνοντα, τὸ δὲ συμβεβηκὸς ἡσυχῇ
258 καὶ πρᾴως ἐπελαφρίζοντα. μαρτυρίαι δὲ τούτων ἐν ταῖς ἱεραῖς βίβλοις
κατάκεινται, ἃς οὐ θέμις ψευδομαρτυριῶν ἁλῶναι, μηνύουσαι ὅτι βραχέα
τῷ σώματι ἐπιδακρύσας θᾶττον ἀπανέστη τοῦ νεκροῦ, τὸ πενθεῖν ἐπὶ
πλέον, ὡς ἔοικεν, ἀλλότριον ἡγησάμενος σοφίας, ὑφ' ἧς ἀνεδιδάχθη τὸν
θάνατον νομίζειν μὴ σβέσιν ψυχῆς, ἀλλὰ χωρισμὸν καὶ διάζευξιν ἀπὸ
σώματος, ὅθεν ἦλθεν ἀπιούσης· ἦλθε δέ, ὡς ἐν τῇ κοσμοποιίᾳ
259 δεδήλωται, παρὰ θεοῦ. καθάπερ δὲ οὐδεὶς ἂν ἄχθοιτο τῶν μετρίων
χρέος ἢ παρακαταθήκην ἀποτίνων τῷ προεμένῳ, τὸν αὐτὸν τρόπον

1 θεραπαινίδος BEK: θεραπαίνης ceteri   δὲ om. C   2 ἀπογνώσει A   3 τελειότερον om. BE   6 δὲ] δὴ H (v)   τὸ] τὰ BEK   8 καὶ alt. om. H^1P   9 κονιομένης MHP: κονιουμένης ceteri   ἐπεκράτησεν ἐρρώσας BE   10. 11 συμβόλω G   11 πείθεσθαι om. HP   12 βέλτια (sic) HP   ἦν—μετρίου (13) om. in lac. F   μήτε] μηδὲν CG   πλέον CBEK: πλεῖον MAG, πλείω HP   13 ἀγεννήτω AF, ἀγεν̌νήτω K   μήτ' BEK   14 ἀπαθῆ F   15 πειρᾶσθαι BEK: πειραθῆναι ceteri   τὴν ἐν φύσει F   16 χρέως C, χρέος om. BEK   ἀπολαβοῦσαν G   δυσχεράναντα BEK   17 πραέως BE   μαρτυρία[αι] K, μαρτύρια CFG   18 κατάκειται CFG, κατάκεινται om. BE   μαρτυριῶν BE   μηνύουσαι BEK Arm: αἳ μηνύουσιν ceteri   19 τὸ] τοῦ G   21 σβέσιν] σύνεσιν P   22 ὅθεν δ' ἦλθεν BE   δ' BEKF   23 δ' BEK, δὲ om. H^1P   ἂν ἄχθοιτο BEK Arm: ἀνάσχοιτο ceteri   24 χρέος BEK Arm: ἢ χρέος ceteri   ἀποτείνων AP, ἀποτιννύων CFG   προεπομένω G

7 sqq. Gen. cap. 23   22 *de opificio mundi* § 135

οὐδὲ τῆς φύσεως ἀπολαμβανούσης τὰ οἰκεῖα χαλεπαίνειν ᾤετο δεῖν, ἀλλὰ
τοῖς ἀναγκαίοις ἀσμενίζειν. ὡς δ' ἧκον οἱ ἐν τέλει τῶν κατὰ τὴν χώραν 260
συναλγήσοντες, ἰδόντες οὐδὲν τῶν ἐν ἔθει παρ' αὐτοῖς γινομένων ἐπὶ τοῖς
πενθοῦσιν, οὐκ ὀλόφυρσιν, οὐ θρῆνον, οὐ κοπετόν, οὐκ ἀνδρῶν, οὐ γυναι-
κῶν, ἀλλὰ τῆς συμπάσης οἰκίας εὐσταθῆ καὶ νηφάλιον κατήφειαν, ἐθαύ-
μαζον οὐ μετρίως καὶ τὸν ἄλλον βίον προκαταπεπληγμένοι τοῦ ἀνδρός.
εἶτ' οὐ στέγοντες ἐν ἑαυτοῖς τὰ τῆς ἀρετῆς αὐτοῦ μεγέθη καὶ κάλλη — 261
p. 38 M. πάντα γὰρ ἦν ἐξαίρετα — προσελθόντες ἐξεφώνησαν | „βασιλεὺς παρὰ
θεοῦ εἶ σὺ ἐν ἡμῖν“ (Gen. 23, 6), ἀληθέστατα λέγοντες· αἱ μὲν γὰρ
ἄλλαι βασιλεῖαι πρὸς ἀνθρώπων καθίστανται, πολέμοις καὶ στρατείαις
καὶ κακοῖς ἀμυθήτοις, ἅπερ ἀντεπιφέρουσιν ἀλληλοκτονοῦντες οἱ δυνα-
στειῶν ἐφιέμενοι, πεζὰς καὶ ἱππικὰς καὶ ναυτικὰς δυνάμεις ἐπιτειχίζοντες·
τὴν δὲ τοῦ σοφοῦ βασιλείαν ὀρέγει θεός, ἣν παραλαβὼν ὁ σπουδαῖος
οὐδενὶ μὲν αἴτιος γίνεται κακοῦ, πᾶσι δὲ τοῖς ὑπηκόοις ἀγαθῶν κτήσεως
ὁμοῦ καὶ χρήσεως, εἰρήνην καὶ εὐνομίαν καταγγέλλων.

(45.) Ἔστι δὲ καὶ ἀνάγραπτος ἔπαινος αὐτῷ χρησμοῖς μαρτυρη- 262
θείς, οὓς Μωυσῆς ἐθεσπίσθη, δι' οὗ μηνύεται ὅτι „ἐπίστευσε τῷ θεῷ“
(Gen. 15, 6), ὅπερ λεχθῆναι μὲν βραχύτατόν ἐστιν, ἔργῳ δὲ βεβαιωθῆναι
μέγιστον. τίνι γὰρ ἄλλῳ πιστευτέον; ἆρά γε ἡγεμονίαις ἢ δόξαις καὶ 263
τιμαῖς ἢ περιουσίᾳ πλούτου καὶ εὐγενείᾳ ἢ ὑγείᾳ καὶ εὐαισθησίᾳ ἢ ῥώμῃ
καὶ κάλλει σώματος; ἀλλὰ ἀρχὴ μὲν πᾶσα σφαλερὸν μυρίους ἔχουσα
τοὺς λοχῶντας ἐφέδρους· εἰ δέ που καὶ βεβαιωθείη, μετὰ μυρίων ὅσων
κακῶν, ἃ δρῶσι καὶ πάσχουσιν οἱ ἐν ταῖς ἡγεμονίαις, βεβαιοῦται. δόξαι 264
δὲ καὶ τιμαὶ κτῆμα σφαλερώτατον, ἐν ἀκρίτοις ἤθεσι καὶ πτηνοῖς λόγοις
ἀνεξετάστων ἀνθρώπων σαλεῦον· κἂν εἰ παραμένοι, γνήσιον ἀγαθὸν ἔχειν

2 ἐνασμενίζειν coni. Mang. 3 συναλγήσαντες A 4 πενθοῦσιν] ἀποθανοῦσιν coni. Mang.; πένθεσιν conicio post γυναικῶν add. οὐ τέκνων Arm 5 εὐσταθῆ] εὐσταλῆ B, ἡσυχῆ CFG 6 τὸν ἄλλον βίον BEK Arm: βίον post ἀνδρὸς transp. ceteri καταπεπληγμένοι P 7 εἶτ'] εἴτε A, ἔτι τε CG, ἔτι F αὐτῆς K μεγέθει καὶ κάλλει A 8 βασιλεῦ G 10 πολεμίοις BEK στρατιαῖς BE 11 ἀπέραντα ἐπιφέρουσιν BE; ἅπαν (pro ἅπερ) H¹P 14 οὐδενὶ] ἑνὶ F¹G 15 ὁμοῦ καὶ χρήσεως om. Arm καὶ εὐνομίαν om. P 16 ἀνάγραπτος] ἀνεξάλειπτος Arm αὐτοῦ L (Turn.), ἐπ' αὐτῷ BK 17 οὓς] ἃς BE 18 ὅπερ] ὅθεν CFG 18. 19 μέγιστον βεβαιωθῆναι transp. K 19 γε om. F ἢ] καὶ K, ἢ καὶ F 21 κάλλη F ἀλλὰ BEKA: ἀλλ' MHP, ἅμα CFG μὲν] δὲ F 22 λαχόντας A πως CFG βεβαιωθῇ EK, βεβαιωθεῖεν CFG 23 ἃ] ὧν BE, om. K οἱ] αἱ MA, om. HP βεβαιοῦται BEKA: βεβαιοῦνται ceteri 24 δὲ om. CFG 25 κἂν] καὶ C γνησίως BE ἔχειν] εἶναι Arm

265 οὐ πέφυκε. πλοῦτοι δὲ καὶ εὐγένειαι προσορίζονται μὲν καὶ τοῖς φαυλοτάτοις· εἰ δὲ καὶ μόνοις σπουδαίοις, ἐγκώμια προγόνων καὶ τύχης
266 ἀλλ' οὐ τῶν ἐχόντων εἰσίν. ἀλλ' οὐδ' ἐπὶ τοῖς περὶ τὸ σῶμα μέγα φρονεῖν ἄξιον, ἐν οἷς τὰ ἄλογα ζῷα πλεονεκτεῖ· τίς γὰρ ἀνθρώπων ἰσχυρότερος ἢ ῥωμαλεώτερος ταύρου μὲν ἐν ἡμέροις, ἐν δ' ἀγρίοις λέοντος; τίς δ' ὀξυωπέστερος ἱέρακος ἢ ἀετοῦ; τίς δὲ περὶ ἀκοὴν εὐτυχὴς οὕτως, ὡς τῶν ζῴων τὸ νωθέστατον, ὄνος; τίς δὲ περὶ τὰς ὀσφρήσεις κυνὸς ἀκριβέστερος, ὅν φασιν οἱ κυνηγετικοὶ ῥινηλατοῦντα τοῖς μακρὰν πτώμασιν εὐσκόπως ἐπιτρέχειν οὐ προϊδόμενον; ὅπερ γὰρ
267 ὄψις ἑτέροις, τοῦτο μυκτῆρες κυσὶ θηρευτικοῖς καὶ ἰχνευτικοῖς. ὑγιεινότατά γε μὴν καὶ ὡς ἔνι μάλιστα ἄνοσα πλεῖστα τῶν ἀλόγων ζῴων ἐστίν. ἐν δὲ τῷ περὶ κάλλους ἀγῶνι καὶ τῶν ἀψύχων ἔνιά μοι δοκεῖ νικᾶν δύνασθαι τὰς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν εὐμορφίας καὶ ὑπερβάλλειν, ἀγάλματα καὶ ξόανα καὶ ζωγραφήματα καὶ συνόλως ὅσα γραφικῆς ἔργα καὶ πλαστικῆς ἐν ἑκατέρᾳ τέχνῃ κατορθούμενα, περὶ ἃ σπουδάζουσιν Ἕλληνες ὁμοῦ καὶ βάρβαροι πρὸς κόσμον τῶν πόλεων ἐν τοῖς ἐπιφανε-
268 στάτοις χωρίοις ἀνατιθέντες. (46.) μόνον οὖν ἀψευδὲς | καὶ βέβαιον p. 39 M.
ἀγαθὸν ἡ πρὸς θεὸν πίστις, παρηγόρημα βίου, πλήρωμα χρηστῶν ἐλπίδων, ἀφορία μὲν κακῶν, ἀγαθῶν δὲ φορά, κακοδαιμονίας ἀπόγνωσις, γνῶσις εὐσεβείας, κλῆρος εὐδαιμονίας, ψυχῆς ἐν ἅπασι βελτίωσις ἐπερηρεισμένης καὶ ἐφιδρυμένης τῷ πάντων αἰτίῳ καὶ δυναμένῳ μὲν πάντα,

1 πλοῦτος K   προσορίζονται scripsi: προσορμίζονται codd., γίνονται Arm   3 οὐδὲ CFG, om. Arm   ἐπὶ om. CFG Arm   4 ἐν οἷς] εἶναι A   τὰ ἄλογα BEK: τἄλλα ceteri, τἄλλα ἄλογα Arm   πλεονεκτεῖ BEK: πλέον ἔχει ceteri   5 ἐν δ' ἀγρίοις BEK: ἀγρίοις δὲ (om. ἐν) ceteri   6 δὲ BEK   αἰετοῦ K   7 εὐτυχὴς] εὔστοχος coni. Mang.   οὗτος A   νοθέστατον EF[1]   8 ὀσφρήσεις] αἰσθήσεις BE   ἀκριβέστατος BEK   9 μακροῖς K   πτώμασιν] σώμασιν coni. Mang.   εὐκόπως E, εὐκόλως BK   προϊδόμενον E: προειδόμενον K, ει ex ϊ corr. B, προειδόμενον ceteri   10 μυκτήραις A   θηρευτικοῖς BEK Arm: κυνηγετικοῖς καὶ θηρευτικοῖς ceteri   11 γε μὴν] γέμειν A, γε om. K   ἄνοσα] ἂν ὅσα A, om. Arm   πλεῖστά τε F   τῶν om. F   ζῴων om. BEK (fort. recte)   12 ἔνια] ἔνθα F   12. 13 δοκεῖ νικᾶν] δοκεῖν κἂν A, δοκεῖν ἱκανὰ BE   13 καὶ ὑπερβάλλειν BEK: om. ceteri   14 καὶ ξόανα om. Arm   15 ἐν om. A   τέχνῃ om. CFG   16 ὁμοῦ post βάρβαροι transp. K   ante πρὸς add. καὶ K   πρὸς κόσμον] προκοσμήματα coni. Mang.   τῶν] τὸν K   17 ἀνατίθενται BEK   18 post ἀγαθὸν add. πίστις HP   τὸν θεὸν MAHP   19 φορᾶ A   κακοδαιμόνων P   20 γνῶσις εὐσεβείας BEKM: εὐσεβείας γνῶσις HP, γνῶσις om. CFGA Arm   κλῆρος: desinit E   κλῆρος εὐδαιμονίας BKMA: κλῆρος, εὐδαιμονία CFG Arm, εὐδαιμονίας κλῆρος HP   ψυχῆς om. HP   20. 21 ἐπερηρεισμένη CG   21 καὶ ἐφιδρυμένης BK: om. ceteri   τῶν F

βουλομένῳ δὲ τὰ ἄριστα. καθάπερ γὰρ οἱ μὲν δι' ὀλισθηρᾶς ὁδοῦ βα- 269
δίζοντες ὑποσκελίζονται καὶ πίπτουσιν, οἱ δὲ διὰ ξηρᾶς καὶ λεωφόρου
ἀπταίστῳ χρῶνται πορείᾳ, οὕτως οἱ διὰ τῶν σωματικῶν μὲν καὶ τῶν
ἐκτὸς τὴν ψυχὴν ἄγοντες οὐδὲν ἀλλ' ἢ πίπτειν αὐτὴν ἐθίζουσιν —
ὀλισθηρὰ γὰρ ταῦτά γε καὶ πάντων ἀβεβαιότατα —, οἱ δὲ διὰ τῶν
κατὰ τὰς ἀρετὰς θεωρημάτων ἐπὶ θεὸν σπεύδοντες ἀσφαλῆ καὶ ἀκρά-
δαντον ὁδὸν εὐθύνουσιν, ὡς ἀψευδέστατα φάναι, ὅτι ὁ μὲν ἐκείνοις
πεπιστευκὼς ἀπιστεῖ θεῷ, ὁ δ' ἀπιστῶν ἐκείνοις πεπίστευκε θεῷ.
ἀλλ' οὐ μόνον τὴν πρὸς τὸ ὂν πίστιν αὐτῷ μαρτυροῦσιν οἱ χρησμοί, 270
τὴν βασιλίδα τῶν ἀρετῶν, ἀλλὰ καὶ πρῶτον αὐτὸν ἀπεφήναντο „πρεσ-
βύτερον" (Gen. 24, 1), τῶν πρὸ αὐτοῦ τριπλάσια καὶ πολλαπλάσια ἔτη
βιωσάντων. ὧν οὐδένα παρειλήφαμεν ἀξιωθέντα ταύτης τῆς προσρήσεως.
καὶ μήποτ' εἰκότως· ὁ γὰρ ἀληθείᾳ πρεσβύτερος οὐκ ἐν μήκει χρόνων 271
ἀλλ' ἐν ἐπαινετῷ καὶ τελείῳ βίῳ θεωρεῖται. τοὺς μὲν οὖν αἰῶνα πολὺν
τρίψαντας ἐν τῇ μετὰ σώματος ζωῇ δίχα καλοκἀγαθίας πολυχρονίους
παῖδας λεκτέον, μαθήματα πολιᾶς ἄξια μηδέποτε παιδευθέντας, τὸν δὲ
φρονήσεως καὶ σοφίας καὶ τῆς πρὸς θεὸν πίστεως ἐρασθέντα λέγοι τις
ἂν ἐνδίκως εἶναι πρεσβύτερον, παρωνυμοῦντα τῷ πρώτῳ. τῷ γὰρ ὄντι 272
πρῶτος ὁ σοφὸς τοῦ ἀνθρώπων γένους, ὡς κυβερνήτης μὲν ἐν νηΐ, ἄρχων
δ' ἐν πόλει, στρατηγὸς δ' ἐν πολέμῳ, καὶ ψυχὴ μὲν ἐν σώματι, νοῦς δ'

1 μὲν om. BK 1. 2 βαδίζοντες ὁδοῦ transp. H 2 τε καὶ B οἱ δὲ— τὴν (4) om. F 3 ἀπταίστωσ (sed σ eras.) C σωματικῶν μὲν BK: μὲν post οἱ transp. ceteri 4 ἄλλ' P 5 ἀβεβαίωτα A 7 ἰθύνουσιν K 9 πίστει A 10 ἀπεφήναντο BK: ἀπέφηναν ceteri 11 τριπλάσια καὶ πολλαπλάσια BK: τριπλασίονα καὶ πολλαπλασίονα (τετραπλασίονα F) ceteri 13 μήποτ' BK: μήποτε ceteri χρόνων BKD^V: χρόνου ceteri 14 ἐπαίνω CFG καὶ τελείω BKD Arm: om. ceteri βίου CFG οὖν BKD: om. ceteri 16 πολιᾶς] πολιτείας CFG 17 καὶ τῆς BK Arm: καὶ om. ceteri ἐρασθέντα post σοφίας transp. D λέγει A, φήσει K, λόγοις φήσει B 19 ὁ et τοῦ om. B, τοῦ om. D^V 20 δὲ (bis) D ἐν ante σώματι om. CFG

13—16 D^P fol. 105^r D^M fol. 105^r (Φίλωνος) D^V p. 404 Φίλωνος ἐκ τοῦ περὶ βίου σοφοῦ Mel. Aug. fol. 123^r Φίλωνος: ὁ ἀληθείᾳ πρεσβύτερος—παιδευθέντας. 13—14 D^R fol. 131^r (Φίλωνος ἐκ τοῦ βιοσόφου) Flor. Par. Nr. 24 Max. Ecl. cap. 41 Anton. Mel. II 17 Col. 1056 Φίλωνος: ὁ ἀληθείᾳ πρεσβύτερος—θεωρεῖται. 14—16 D^P fol. 36^v Φίλωνος ἐκ τοῦ περὶ βίου σοφοῦ D^{R_1} l. c. τοῦ αὐτοῦ D^{R_2} fol. 221^r D^L fol. 104^r Φίλωνος (ἐκ τοῦ add. D^L) περὶ βίου σοφῶν Ant. Mel. II 18 Col. 1057 Φίλωνος: τοὺς αἰῶνα (χρόνον D^P D^R) πολὺν τρίψαντας—παιδευθέντας. 16—18 D^R fol. 131^r τὸν γὰρ φρονήσεως—ἐνδίκως ὄντα πρεσβύτερον. 18—60,1 D^V p. 693 Φίλωνος: τῷ ὄντι—οὐρανῷ.

273 ἐν ψυχῇ, καὶ πάλιν οὐρανὸς μὲν ἐν κόσμῳ, θεὸς δ' ἐν οὐρανῷ. ὃς
τῆς πρὸς αὐτὸν πίστεως ἀγάμενος τὸν ἄνδρα πίστιν ἀντιδίδωσιν αὐτῷ,
τὴν δι' ὅρκου βεβαίωσιν ὧν ὑπέσχετο δωρεῶν, οὐκέτι μόνον ὡς ἀνθρώπῳ
θεός, ἀλλὰ καὶ ὡς φίλος γνωρίμῳ διαλεγόμενος· φησὶ γὰρ „κατ'
ἐμαυτοῦ ὤμοσα" (Gen. 22, 16), παρ' ᾧ ὁ λόγος ὅρκος ἐστίν, ἕνεκα
τοῦ τὴν διάνοιαν ἀκλινῶς καὶ παγίως ἔτι μᾶλλον ἢ πρότερον ἐρηρεῖ-
274 σθαι. πρεσβύτερος μὲν οὖν καὶ πρῶτος ἔστι τε καὶ λεγέσθω ὁ ἀστεῖος,
νεώτερος δὲ καὶ ἔσχατος πᾶς ἄφρων, τὰ νεωτεροποιὰ καὶ ἐν ἐσχατιαῖς
275 ταττόμενα μετιών. ταῦτα | μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω. τῷ δὲ p. 40 M.
πλήθει καὶ μεγέθει τῶν ἐπαίνων ἐπιτιθεὶς ὥσπερ τινὰ κεφαλὴν τοῦ
σοφοῦ φησιν, ὅτι τὸν θεῖον νόμον καὶ τὰ θεῖα προστάγματα πάντα
ἐποίησεν ὁ ἀνὴρ οὗτος (Gen. 26, 5), οὐ γράμμασιν ἀναδιδαχθείς, ἀλλ'
ἀγράφῳ τῇ φύσει σπουδάσας ὑγιαινούσαις καὶ ἀνόσοις ὁρμαῖς ἐπακολου-
θῆσαι· περὶ δὲ ὧν ὁ θεὸς ὁμολογεῖ, τί προσῆκεν ἀνθρώπους ἢ βεβαιό-
276 τατα πιστεύειν; τοιοῦτος ὁ βίος τοῦ πρώτου καὶ ἀρχηγέτου τοῦ ἔθνους
ἐστίν, ὡς μὲν ἔνιοι φήσουσι, νόμιμος, ὡς δ' ὁ παρ' ἐμοῦ λόγος ἔδειξε,
νόμος αὐτὸς ὢν καὶ θεσμὸς ἄγραφος.

---

1 οὐρανὸς] ἄνος (i. e. ἄνθρωπος) FG μὲν om. BK ὅς] ὁ δὲ Arm 3 βεβαίωσιν] περὶ βεβαιώσεως B οὐκέτι] οὐκ ἔστι G; οὐκ αὐτὸ coni. Mang. 4 φίλω CFGA 5 ὠμοσάμενος H[1], corr. H[2] ὅρκος om. CFG 6. 7 ἐνηρεῖσθαι F[1]G 7 καὶ πρῶτος om. D[V] ἔστι τε BKD[V]: ἔστω ceteri; ἔστι τε καὶ om. Arm 8 τὰ νεωτεροποιίας B 9 τοσούτων A, τοσούτω B 9. 10 τῶ δὲ πλήθει BKMH: τῶ πλῆθει δὲ C, δὲ om. AFGP 10 ἐπιθεὶς CFG κεφαλὴν] κολοφῶνα coni. Mang. 10. 11 τοῦ σοφοῦ om. K (fort. recte) 11 προστάγματα πάντα BK: πάντα post οὗτος (12) transp. ceteri 13 post σπουδάσας add. δὲ F 14 ὁμολογεῖ θεὸς (om. ὁ) transp. K 14. 15 βεβαιώτατα C, βεβαιότητα G 15. 16 τοῦ γένους (ἔθνους scripsi) ἐστίν BK: ἐστὶ τοῦ ἔθνους transp. ceteri 16 δὲ BK
Subscr. Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ περὶ νόμων ἀγράφων· ὅ ἐστι περὶ ἀβραάμ C, Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος ἢ νόμων ἀγράφων G Arm, Φίλωνος βίος σοφοῦ τοῦ κατὰ διδασκαλίαν τελειωθέντος H

7—9 pergit D[V]: πρεσβύτερος—μετιών. 8. 9 D[R] fol. 74[r] τοῦ αὐτοῦ: τῷ ὄντι νέος καὶ ἔσχατος πᾶς ἄφρων—μετιών.

ΦΙΛΩΝΟΣ

ΒΙΟΣ ΠΟΛΙΤΙΚΟΥ ΟΠΕΡ ΕΣΤΙ ΠΕΡΙ ΙΩΣΗΦ

p. 41 M. (1.) Τρεῖς μέν εἰσιν ἰδέαι, δι᾽ ὧν τὸ ἄριστον τέλος, μάθησις, 1
φύσις, ἄσκησις. τρεῖς δὲ καὶ σοφῶν οἱ πρεσβύτατοι κατὰ Μωυσῆν ἐπώ-
νυμοι τούτων· ὧν τοὺς βίους ἀναγεγραφώς, τόν τε ἐκ διδασκαλίας καὶ
τὸν αὐτομαθῆ καὶ τὸν ἀσκητικόν, τέταρτον κατὰ τὸ ἑξῆς ἀναγράψω τὸν
πολιτικόν, οὗ πάλιν ἐπώνυμον ἕνα τῶν φυλάρχων διασυνίστησιν ἐκ πρώτης
ἡλικίας συγκροτηθέντα. ἤρξατο μέντοι συγκροτεῖσθαι περὶ ἔτη γεγονὼς 2
ἑπτακαίδεκα τοῖς κατὰ ποιμενικὴν θεωρήμασιν, ἃ συνᾴδει τοῖς περὶ
πόλιν· ὅθεν οἶμαι καὶ τὸ ποιητικὸν γένος „ποιμένας λαῶν“ τοὺς βασι-
λεῖς εἴωθεν ὀνομάζειν· ὁ γὰρ τὴν ποιμενικὴν κατωρθωκὼς ἄριστος
ἂν εἴη καὶ βασιλεύς, τῆς καλλίστης ζῴων ἀγέλης, ἀνθρώπων, τὴν ἐπι-
μέλειαν ἐν ταῖς ἐλάττονος σπουδῆς ἀξίαις ἀναδιδαχθείς· καὶ καθάπερ 3
τῷ μέλλοντι πολεμαρχεῖν καὶ στρατηγεῖν ἀναγκαιότατον αἱ περὶ τὰ κυνη-
p. 42 M. γέσια μελέται, τὸν | αὐτὸν τρόπον καὶ οἷς ἐλπὶς ἐπιτροπεῦσαι πόλεως

1. 2 Φίλωνος βίος πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ C, βίος πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ VOGHP, βίος τοῦ πολιτικοῦ ὅπερ ἐστὶ περὶ ἰωσήφ BEKM, φίλωνος ἰουδαίου βίος πολιτικὸς ὅπερ ἐστὶ περὶ τοῦ ἰωσήφ A, τοῦ αὐτοῦ βίος πολιτικὸς ὅπερ ἐστὶ περὶ ἰωσήφ F   3 τὸ om. G   4 μωσῆν A   5 τε CVO: τ᾽ ceteri   7 φυλαρχῶν H   διανίστησιν BEKMO, συνίστησιν F   9 ἑπτὰ καὶ δέκα F   ante pr. τοῖς add. δι᾽ ὧν H[1]P   ποιμαντικὴν M   10 ποιητικὸν] ποιητῶν F   11 κατωρθωκὼς BEK[1]M: ἄριστος V[2]K[2]O, ἄκρος ceteri   12 καὶ om. A   ἀγέλης] ἄλλης G   ἀνθρώπων om. O   13 καὶ om. A   14 ἀναγκαιότατον BKM: ἀναγκαιόταται ceteri   15 καὶ om. F

8 sqq. Gen. 37,2 sqq.   10 Hom. Il. A 263 al.

οἰκειότατον ποιμενικὴ προάγων τις οὖσα ἐπιστασίας καὶ στρατηγίας.

4 ἐνορῶν οὖν ὁ πατὴρ αὐτῷ φρόνημα εὐγενὲς καὶ μεῖζον ἢ κατ᾽ ἰδιώτην ἐθαύμαζε καὶ περιεῖπε καὶ τῶν ἄλλων υἱῶν μᾶλλον ἔστεργεν, ἐπειδὴ ὀψίγονος ἦν, ὅπερ οὐδενὸς ἧττον ἀγωγόν ἐστιν εἰς εὔνοιαν· καὶ ἅτε φιλόκαλος ὢν ἐζωπύρει τὴν τοῦ παιδὸς φύσιν ἐξαιρέτοις καὶ περιτταῖς ἐπι-
5 μελείαις, ἵνα μὴ ἐντύφηται μόνον, ἀλλὰ καὶ θᾶττον ἐκλάμψῃ. (2.) φθόνος δὲ ὁ ἀεὶ ταῖς μεγάλαις εὐπραγίαις ἀντίπαλος καὶ τότε πᾶσι τοῖς μέρεσιν οἰκίαν κατορθοῦσαν ἐπιθέμενος διέστησε καθ᾽ ἑνὸς πολλοὺς ἀδελφοὺς ἀλείψας. οἳ τῇ πρὸς ἐκεῖνον εὐνοίᾳ τοῦ πατρὸς ἰσόρροπον δύσνοιαν ἐπεδείκνυντο μισοῦντες ὅσον ἐστέργετο· τὸ δὲ μῖσος οὐκ ἐξελάλουν, ἀλλ᾽ ἐν ἑαυτοῖς ἐταμίευον, ὅθεν εἰκότως ἀργαλεώτερον ἐφύετο· τὰ γὰρ στεγό-
6 μενα πάθη μὴ διαπνέοντα τοῖς ἐπισχοῦσι λόγοις βαρύτερα. χρώμενος οὖν ἀκάκοις τοῖς ἤθεσι καὶ τὴν ὑποικουροῦσαν ἔχθραν ἐκ τῶν ἀδελφῶν οὐ συνιείς, ὄναρ ἰδὼν αἴσιον, ὡς δὴ εὔνοις διηγεῖται· „ἔδοξα“ γάρ φησιν „ἀμήτου καιρὸν ἐφεστάναι καὶ πάντας ἡμᾶς ἀφικομένους εἰς τὸ πεδίον ἐπὶ τὴν τοῦ καρποῦ συλλογὴν δρέπανα λαβόντας θερίζειν, αἰφνίδιον δὲ τὸ μὲν ἐμὸν δράγμα ὑπανίστασθαι καὶ μετεωρισθὲν ὀρθοῦσθαι, τὰ δὲ ὑμέτερα ὥσπερ ἀπὸ συνθήματος ἐπιδραμόντα τεθηπέναι καὶ μετὰ τιμῆς
7 τῆς πάσης προσκυνεῖν“. οἱ δὲ εἰς σύνεσιν ἀκριβεῖς καὶ δεινοὶ διὰ συμβόλων ἰχνηλατῆσαι πρᾶγμ᾽ ἀδηλούμενον εἰκόσι στοχασμοῖς „μὴ νομίζεις“ ἔφασαν „ἔσεσθαι βασιλεὺς ἡμῶν καὶ κύριος; ταῦτα γὰρ διὰ τῆς κατεψευσμένης φαντασίας ὑπαινίττῃ.“ τὸ δὲ μῖσος ἔτι μᾶλλον ἐζωπυρεῖτο
8 προσλαμβάνον ἀεί τινα καινὴν πρόφασιν εἰς συναύξησιν. ὁ δὲ οὐδὲν ὑπιδόμενος ὀλίγαις ὕστερον ἡμέραις ὄναρ ἰδὼν ἕτερον καταπληκτικώτερον

1 οἰκειοτάτη A προάγων AK: προαγωγή ceteri ἐπιστασίας καὶ στρατηγίας om. BEM, ἐπιστασίας καὶ om. CVOK στρατηγίας] μαστιγίας K, δημαγωγίας VO
2 ἐφορῶν A αὐτῷ ante ὁ πατὴρ transp. G καὶ μεῖζον om. HP κατὰ CVO 4 ἦν om. F καὶ om. F 6 μόνον] μᾶλλον F θᾶττον] μᾶλλον A (Mang.) 9. 10 ἐπιδείκνυντο (sic) M 11 ἑαυτοῖς CAG: αὐτοῖς BEVOH², αὐτοῖς ceteri 11. 12 στεγόμενα] γενόμενα V¹K², γεννώμενα V²O
12 ἐπίσχουσι K, ἐπιτυχοῦσι A, ἀπιστοῦσι FGHP λόγων V²O βαρύτερον F¹
13 ἀκάκοις τοῖς BEM: ἀκάκοις (om. τοῖς) K, ἀκακώτοις ceteri οἰκουροῦσαν HP
14 εὔνοις] ἄνοις (i. e. ἀνθρώποις) A ἔδοξα—συλλογὴν (16) om. F ἔδοξε BM
15 ἀμητοῦ BEM 16 δρέπανον F post δρέπανα add. δὲ H² δὲ] μὲν H
17 μὲν om. MH ἐμοῦ Turn. δράμα (γ eras.) E, δράμα F ἐπανίστασθαι A (Mang.) δ᾽ MAFK, δὲ ss. B, om. E 18 ἀπὸ] ἐπὶ VOK² τε καὶ VO
19 τῆς om. VO εἰς] ὡς VO 20 πρᾶγμ᾽ ἀδηλούμενον H: πρᾶγμα δηλούμενον ceteri εἰκόσι στοχασμοῖς om. HP νομίζῃς F, νομίσῃς A
21 καὶ om. BEM 23 προσλαμβάνων H, προλαμβάνον P, λαμβάνον F, προσλαμβανόμενον M 24 ὑπειδόμενος codd.

τοῦ προτέρου τοῖς ἀδελφοῖς ἀνέφερεν· ᾤετο γὰρ ἥλιον καὶ σελήνην καὶ
ἕνδεκα ἀστέρας ἥκοντας προσκυνεῖν αὐτόν, ὡς τὸν πατέρα θαυμάσαντα
τὸ γεγονὸς ἐναποθέσθαι τῇ διανοίᾳ ταμιεύοντα καὶ σκοπούμενον τὸ ἐσό-
μενον. ἐμβριθῶς δ' ἐνουθέτει τὸν παῖδα κατὰ δέος τοῦ μή τι διαμαρτεῖν 9
καί φησιν· „ἆρα δυνησόμεθα ἐγὼ καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ προσ-
κυνῆσαί σε; — διὰ μὲν γὰρ ἡλίου τὸν πατέρα, διὰ δὲ σελήνης τὴν
p. 43 M. μητέρα, διὰ δὲ τῶν ἕνδεκα ἀστέρων τοὺς | ἕνδεκα ἀδελφοὺς ὑποσημαίνειν
ἔοικας —· ὃ μηδὲ εἰς νοῦν ποτε ἔλθοι τὸν σόν, ὦ παῖ, λαθοῦσα δὲ
καὶ ἡ μνήμη τῶν φανέντων ὑπεξέλθοι· τὸ γὰρ τὴν ἐπὶ τοῖς οἰκείοις
ἐλπίζειν καὶ καραδοκεῖν ἡγεμονίαν ἀπευκτὸν ἄγαν παρ' ἐμοὶ κριτῇ, νομίζω
δὲ καὶ παρὰ πᾶσιν, ὅσοις ἰσότητος μέλει καὶ συγγενικῶν δικαίων.“ εὐλα- 10
βηθεὶς δ' ὁ πατήρ, μή τις ἐκ τῆς συνδιαιτήσεως ἐπιγένηται ταραχὴ
καὶ στάσις τοῖς ἀδελφοῖς μνησικακοῦσιν ὑπὲρ τῶν ὀνειράτων τῷ θεασα-
μένῳ, τοὺς μὲν ἐκπέμπει ποιμανοῦντας, τὸν δὲ οἴκοι παρεφύλαττεν ἄχρι
καιροῦ τοῦ προσήκοντος, εἰδὼς ὅτι τῶν τῆς ψυχῆς παθῶν καὶ νοσημάτων
λέγεται εἶναι χρόνος ἰατρός, ἱκανὸς καὶ πένθος ἀνελεῖν καὶ θυμὸν σβέσαι
καὶ φόβον θεραπεῦσαι· πάντα γὰρ ἐξευμαρίζει καὶ ὅσα κατὰ τὴν φύσιν
δυσίατα. ὡς δ' ἐτόπασε μηδὲν ἔτι ταῖς διανοίαις αὐτῶν ἔχθος ὑποικου- 11
ροῦν, ἐκπέμπει τὸν υἱὸν ἅμα μὲν τοὺς ἀδελφοὺς ἀσπασόμενον, ἅμα δὲ
καὶ δηλώσοντα, πῶς ἔχουσιν αὐτοί τε καὶ αἱ τῶν θρεμμάτων ἀγέλαι.
(3.) ταύτην τὴν ὁδὸν ἀρχὴν συνέβη γενέσθαι μεγάλων κακῶν τε αὖ καὶ 12
ἀγαθῶν παρ' ἐλπίδας ἑκατέρων. ὁ μὲν γὰρ ταῖς ἐπισκήψεσι πειθαρχῶν
τοῦ πατρὸς ἥει πρὸς τοὺς ἀδελφούς, οἱ δὲ μακρόθεν ἀφικνούμενον ἰδόντες
ἄλλος ἄλλῳ διελάλουν οὐδὲν εὔφημον, ὁπότε οὐδ' ὀνομαστὶ προσαγορεύειν
ἠξίουν αὐτόν, ἀλλ' ὀνειροπλῆγα καὶ „ἐνυπνιαστὴν“ καὶ τοιαῦτα ἐπεφήμιζον

1 τοῦ om. P προτέρου mg. H, ἑτέρου in textu H ἀνέφηνεν H
2 αὐτόν codd. (v) 4 δὲ C τι om. HP 5 καί φησιν om. O
post ἀδελφοί add. σου A 7 ἕνδεκα alt. om. CAFGHP 8 μηδ' AVO, μὴ F
ποτε om. A λαθοῦσα] ἐλαθεῖσα vel λυθεῖσα coni. Mang. 9 καὶ om. FG
ἐπεξέλθοι H τὴν om. VOF 10 ἄγαν] ἅπαν F 11 ὅσοις] οἷς BEK
ἰσότητος corr. ex ἰσότης B, ἰσότης CEHP μέλλει BMV^1, μέλ^{ελ}λει K 12 δὲ
CVO τις] πως A συνδιαιτήσεως K (coni. Mang.): συναντήσεως ceteri
γένηται VO 14 δ' E 15 παθῶν καὶ om. VO 16 εἶναι om. F
ἱκανὸς om. F καὶ ante πένθος om. A 17 τὴν om. M 18 δὲ CAVO
διανοίαις om. A ἄχθος FHP 18. 19 ἐποικουροῦν O 21 ὁδὸν om. P
τε om. M 21. 22 τε κακῶν καὶ ἀγαθῶν αὖ transp. A 22 πειθαρχῶν
ταῖς ἐπισκήψεσι transp. A (Mang.) ἐπισκέψεσι BEMF^1 23 ἥκει F
24 ἄλλος] ἄλλως H διελαλοῦνθ' G ὁπότ' A οὐδὲ CVO
25 ἀλλὰ C τὰ ante τοιαῦτα add. MAFH^2 τοιαῦτ' AK

καὶ ἐπὶ τοσοῦτον προῆγον ὀργῆς, ὥστε καὶ τὸν ἐπ' αὐτῷ φόνον οὐ πάντες
ἀλλ' οἱ πλείους ἐβούλευον καὶ ὑπὲρ τοῦ μὴ καταφωραθῆναι ῥιπτεῖν
ἀνελόντες ἐγνώκεσαν εἰς ὄρυγμα γῆς βαθύτατον· πολλαὶ δέ εἰσι περὶ τὸν
13 τόπον ὕδατος ὀμβρίου δεξαμεναί. καὶ μικροῦ τὸ μέγιστον ἄγος, ἀδελ-
φοκτονίαν, εἰργάσαντο, εἰ μὴ παρηγορίαις τοῦ πρεσβυτάτου μόλις ἐπεί-
σθησαν, ὃς παρῄνει μὴ ἐφάψασθαι τοῦ μιάσματος, ἀλλ' αὐτὸ μόνον εἰς
ἓν τῶν ὀρυγμάτων ῥῖψαι, διανοούμενός τι σωτήριον, ἵνα λαβὼν μετὰ τὴν
14 ἀναχώρησιν ἀπαθῆ παντὸς κακοῦ παραπέμψῃ τῷ πατρί. συναινεσάντων
δέ, ὁ μὲν προσιὼν ἠσπάζετο, οἱ δὲ ὡς πολέμιον συλλαβόντες ἀπαμπί-
σχουσι τὴν ἐσθῆτα καὶ τὸν μὲν καθιμῶσιν εἰς βαθεῖς βόθρους, τὴν δ'
ἐρίφου αἵματι φοινίξαντες διαπέμπονται τῷ πατρὶ πρόφασιν ὡς ὑπὸ θηρίων
15 δαπανηθέντος. (4.) ἐκείνῃ δὲ τῇ ἡμέρᾳ κατά τινα συντυχίαν ἔμποροί
τινες ὡδοιπόρουν τῶν ἔθος ἐχόντων ἀπ' Ἀραβίας εἰς Αἴγυπτον κομίζειν
φόρτον· οἷς ἀνελκύσαντες τὸν ἀδελφὸν πιπράσκουσιν, ἡγησαμένου τὴν
γνώμην τοῦ καθ' ἡλικίαν τετάρτου· καὶ γὰρ οὗτός μοι δοκῶ δείσας,
μή ποθ' ὑπὸ τῶν ὀργὴν ἀμείλικτον ἐπ' αὐτῷ ζωπυρούντων δολοφονηθῇ,
συνεβούλευσεν ἀποδόσθαι δουλείαν ὑπαλλαττόμενος | θανάτου, κουφότερον p. 44 M.
16 κακὸν μείζονος. ὁ δὲ πρεσβύτατος — οὐ γὰρ παρῆν πιπρασκομένου —
διακύψας καὶ μὴ κατιδών, ὃν ἀπολελοίπει πρὸ μικροῦ, ἐβόα καὶ ἐκεκρά-
γει καὶ τὰς ἐσθῆτας περιρρηξάμενος ἄνω καὶ κάτω καθάπερ ἐμμανὴς
ἐφέρετο τὰς χεῖρας κροτῶν καὶ τὰς τρίχας τίλλων, „τί πέπονθε;" λέγων·
17 „εἴπατε. ζῇ ἢ τέθνηκεν; εἰ μὲν οὐκ ἔστι, δείξατέ μοι τὸν νεκρόν, ἵν'
ἐπιδακρύσας τῷ πτώματι λωφήσω τῆς συμφορᾶς· ἰδὼν κείμενον παρη-
γορηθήσομαι. τί καὶ νεκρῷ μνησικακοῦμεν; πρὸς τοὺς ἐκποδὼν φθόνος
οὐδεὶς φύεται. εἰ δὲ ζῇ, ποῖ γῆς ἀπελήλυθε; φυλάττεται παρὰ τίσιν;

1 προῆγον] προήχθησαν vel προῄεσαν coni. Mang. ἐπ'] ἐν F 2 ἀλλὰ C ἐπεβούλευον A 2. 3 καταφ.$^{\alpha}$ ῥίπτειν$^{\gamma}$ ἀνελόντες$^{\beta}$ ἐγνώκεσαν$^{\delta}$ V, κ. ἀνελόντες ῥίπτειν ἐ. O 2 ῥίπτειν CVO 3 ἀνελόντας A ἐγνώκασιν F τῆς γῆς VO 4 ἄγος VO 5 $^{\upsilon\,\epsilon}$παρηγορίαις H πρεσβυτέρου A, πρεσβύτου BEM 6 ἀλλὰ C αὐτὸν BMH 7 μετὰ τὴν om. CVO 9 δ' (bis) BEKM 9. 10 ante ἀπαμπίσχουσι add. ἅπασαν AFGHP 10 δὲ CVO 11 διαπέμπουσι A (fort. recte) πρόφασιν A: προφάσει ceteri 13 ὁδοιπόρουν A 14 εἰσηγησαμένου coni. Mang. 14. 15 τῆς γνώμης V²K²O 15 δοκεῖ VO 16 μή ποθ' AG, μήποτε K: μήθ' F, μὴ ceteri ὑπ' αὐτῶν K 18 οὐ] ὁ F[1] οὐδὲ γὰρ ἦν A 20 τὴν ἐσθῆτα C καθὰ A ἐκμανὴς G 21 ἐφαίνετο H τὼ χεῖρε A καὶ om. F 23 π$^{\sigma}$τώματι H, σώματι FL(v) λοφήσω C 24 καὶ om. O ἐκ ποδῶν CVOKF 25 ἀπελήλυθε om. A ante παρὰ add. καὶ A

οὐ γὰρ δὴ κἀγὼ καθάπερ ἐκεῖνος ἐν ὑποψίαις εἰμί, ὡς ἀπιστεῖσθαι."
εἰπόντων δ' ὅτι πέπραται καὶ τὴν τιμὴν ἐπιδεικνυμένων, „καλὴν ἐμπορίαν" 18
εἶπεν „ἐστείλασθε· τὰ κέρδη διανειμώμεθα· τοῖς ἀνδραποδισταῖς περὶ
κακίας ἄθλων ἁμιλλησάμενοι στεφανηφορῶμεν, προσυπερβάλλοντες αὐτοὺς
ὠμότητι σεμνυνώμεθα· κατὰ ἀλλοτρίων ἐκεῖνοι συντίθενται, κατὰ δ'
οἰκειοτάτων καὶ φιλτάτων ἡμεῖς. κεκαινούργηται μέγα ὄνειδος, περιβό- 19
ητος αἰσχύνη. μνημεῖα καλοκἀγαθίας οἱ πατέρες ἡμῶν πανταχοῦ τῆς
οἰκουμένης ἀπέλιπον, ἀπολείψομεν καὶ ἡμεῖς ἀπιστίας καὶ μισανθρωπίας
ἀθεραπεύτους διαβολάς· φθάνουσι γὰρ αἱ τῶν μεγαλουργηθέντων φῆμαι
πανταχόσε, τῶν μὲν ἐπαινετῶν θαυμαζόμεναι, τῶν δ' ὑπαιτίων ψόγου
καὶ κατηγορίας τυγχάνουσαι. τίνα ἄρα τρόπον ὁ πατὴρ ἡμῶν τὴν περὶ 20
τῶν συμβεβηκότων ἀκοὴν δέξεται; τρισμακαρίῳ καὶ τρισευδαίμονι τὸν
καθ' ἡμᾶς βίον ἀβίωτον παρέσχησθε. τὸν πραθέντα τῆς δουλείας ἢ
τοὺς πεπρακότας τῆς ὠμότητος οἰκτιεῖται; πολὺ μᾶλλον εὖ οἶδα ἡμᾶς,
ἐπεὶ καὶ τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν χαλεπώτερον· τὸ μὲν γὰρ δυσὶ
βοηθεῖται τοῖς μεγίστοις, ἐλέῳ καὶ ἐλπίδι, τὸ δ' οὐδετέρου μετέχον ἅπασιν
ἡττᾶται τοῖς κριταῖς. ἀλλὰ τί ταῦτα θρηνῶν ἀπηχῶ; βέλτιον ἡσυχάζειν, 21
μὴ καὶ αὐτὸς παραπολαύσω τινὸς ἀπευκτοῦ· τραχύτατοι γάρ ⟨ἐστε⟩ εἰς ὀργὴν
καὶ ἀπαραίτητοι καὶ πνεῖ λαμπρὸς ἔτι ὁ ἐν ἑκάστῳ θυμός." (5.) ὡς 22
δ' ἤκουσεν ὁ πατὴρ οὐ τἀληθές, ὅτι πέπραται ὁ υἱὸς αὐτοῦ, τὸ δὲ
ψεῦδος, ὅτι τέθνηκε καὶ ὡς ὑπὸ θηρίων ἐξανάλωται, πληγθεὶς τὰ μὲν ὦτα
διὰ τῶν λεγομένων, τοὺς δ' ὀφθαλμοὺς διὰ τοῦ φανέντος — ὁ γὰρ χιτὼν
p. 45 M. αὐτοῦ κατεσχισμένος | καὶ κατῃκισμένος καὶ πολλῷ αἵματι πεφοινιγμένος

2 δὲ VO πέπρακται (sic) K, πέπρα‗ται E 2. 3 καλὴν εἶπεν ἐμπορίαν transp. VO 3 ἐστείλασθε εἶπε transp. M διανειμώμεθα codd.: διανεμώμεθα v 4 ἁμιλλησόμενοι coni. Mang. στεφανηφοροῦμεν KHP προσυποβάλλοντες M, προσεπιβάλλοντες VO 5 ὠμότητι] ἀμουσότητα F σεμνονόμεθα CH[2] κατ' AVO τῶν ἀλλοτρίων P 6 μέγας H καὶ add. ante περιβόητος K 7. 8 πανταχοῦ τῆς οἰκουμένης ante οἱ πατέρες ἡμῶν transp. A 8 ἀπέλειπον HP ἀπολείψωμεν VOK καὶ pr. om. F μισανθρωπίας καὶ ἀπιστίας transp. A 9 ἀθεραπεύτου HP φῆμαι] μνῆμαι HP 10 πανταχοῦ HP, πανταχοῦ χόσε K 11 τίν' A περὶ om. A 12. 13 τὸ καθ' ὑμᾶς coni. Mang. 13 παράσχησθε K, παρεσχῆσθαι BEMV[1], παρέσχεσθε A (Mang.), παρέσχετε V[2]O 14 οἰκτιεῖ τις A 16 οὐδ' ἑτέρου FHP ⟨παρ'⟩ ἅπασιν conicio 18 ταχύτατοι FP ἐστε addidi εἰς ὀργὴν BKM: εἰς om. ceteri 19 καὶ πνεῖ] καπνεῖ E λαμπρῶς BEFH[2]; λάβρως coni. Mang. 20 δὲ C post πατὴρ add. αὐτοῦ VOK[2] 21 ἐξανήλωται CK 22 τῶν φανέντων A 23 αὐτοῦ codd.: αὐτῷ Mang. κατῃκισμένος καὶ κατεσχισμένος transp. BEKM, καὶ κατῃκισμένος om. C

ἐκεκόμιστο —, συγχυθεὶς ὑπὸ τῆς περιπαθήσεως ἀχανὴς ἐπὶ πλεῖστον
χρόνον ἔκειτο, μηδ' ὅσον τὴν κεφαλὴν ἐπᾶραι δυνάμενος, θλιβούσης καὶ
23 ἐκτραχηλιζούσης τῆς συμφορᾶς. εἶθ' ὥσπερ τινὰ πηγὴν δακρύων ἐξαίφνης
ἀνιεὶς μετ' οἰμωγῆς πικρᾶς παρειὰς καὶ γένεια καὶ στέρνα κατένιπτε
καὶ τὰς περὶ αὐτὸν ἐσθῆτας ἅμα τοιαῦτ' ἐπιλέγων· „οὐχ ὁ θάνατός
με λυπεῖ, τέκνον, ἀλλ' ὁ τούτου τρόπος· εἰ ἐπὶ γῆς ἐτάφης τῆς σῆς,
παρηγορούμην, ἐθεράπευσα, ἐνοσήλευσα πρότερον, ἀποθνήσκοντι τελευ-
ταίων ἀσπασμῶν ἐκοινώνησα, τοὺς ὀφθαλμοὺς συνέκλεισα, ἐπεδάκρυσα
κειμένῳ τῷ νεκρῷ, πολυτελῶς ἐκήδευσα, τῶν νομιζομένων οὐδὲν παρέ-
24 λιπον. ἀλλ' εἰ καὶ ἐπὶ τῆς ξένης, εἶπον ἄν· τὸ οἰκεῖον ὄφλημα τῆς
φύσεως ἀπολαβούσης, ὦ οὗτος, μὴ κατήφει· πρὸς ζῶντας αἱ πατρίδες,
ἀποθανόντων δὲ πᾶσα γῆ τάφος· ὠκύμορος οὐδεὶς ἢ πάντες ἄνθρωποι,
25 καὶ γὰρ ὁ μακροβιώτατος ὀλιγοχρόνιος ἀντεξεταζόμενος αἰῶνι. εἰ δὲ
δὴ καὶ βιαίως καὶ ἐξ ἐπιβουλῆς ἔδει θνήσκειν, ἦν ἄν μοι κουφότερον
κακόν, ὑπ' ἀνθρώπων ἀναιρεθέντος, οἳ κτείναντες νεκρὸν ἂν ἠλέησαν,
ὡς ἐπαμήσασθαι κόνιν καὶ τὸ σῶμα συγκρύψαι· εἰ δὲ καὶ πάντων ἐγε-
γένηντο ὠμότατοι, τί πλέον εἶχον ἢ ῥίψαντες ἄταφον ἀπαλλάττεσθαι;
τῶν δ' ἐν ὁδῷ παριόντων ἴσως τις ἐπιστὰς καὶ θεασάμενος, οἶκτον τῆς
κοινῆς λαβὼν φύσεως, ἐπιμελείας καὶ ταφῆς ἠξίωσε. νυνὶ δ', ὡς λόγος,
ἀτιθάσοις καὶ σαρκοβόροις θηρσὶν εὐωχία καὶ θοίνη γέγονας γευσαμένοις
26 καὶ ἑστιαθεῖσι τῶν ἐμῶν σπλάγχνων. ἀθλητής εἰμι τῶν ἀβουλή-
των, εἰκῇ γεγύμνασμαι πολλαῖς κακοπαθείαις, ἀλώμενος, ξενιτεύων,
θητεύων, ἀναγκαζόμενος, ἄχρι καὶ ψυχῆς ἐπιβουλευόμενος ὑφ' ὧν
ἥκιστ' ἐχρῆν· καὶ πολλὰ μὲν εἶδον, πολλὰ δ' ἤκουσα, μυρία δ' αὐτὸς

1 ἐπὶ om. G 3 ἐκτραχηλιζούσης AFGHP: τραχηλιζομένης ceteri 4 στέρνα καὶ γένεια transp. A κατένειψε AFGHP 5 αὑτὸν CAVOH²: αὐτὸν ceteri 6 τούτου eras. V, om. BEKMO τρόπος Markland: τάφος codd. post εἰ add. γὰρ V²K²O τῆς σῆς] τῆς ὁσίας V²K²O, τῇ ταφῇ BEM, τῆς σῆς, τῇ ταφῇ K¹, σῆς in ὁσίας corr. et τῇ ταφῇ del. K² 7 post ἐθεράπευσα add. ἂν Mang. ἐνοσίλευσα C, νοσηλευθέντα V²O ἀποθνήσκοντι BEKM: ἀποθνήσκοντα ceteri (v) 8 ἀσπασμῶν BEKMVO: ἀσπασμάτων ceteri ἐπεδάκρυσα] ἐπεκάλυψα F 9 νενομισμένων V²K²O 9. 10 παρέλειπον HP, παρέλειψα F 10 τῆς pr. om. A 11 πρὸς— τάφος (12) om. O ζῶνθ' A: ζώντων coni. Mang. πατρίδας (ες superscr.) K 12 ἀποθανόντος AHP ὠκύμορος οὐδεὶς ἢ CVOBEKM: ὠκύμοροι δ' εἰσὶ AFGHP(v) 13 ὀλιγοχρόνιος C: ὀλιγοχρονιώτατος ceteri 14 δὴ] δεῖ F μοι om. A 15 οἱ K 17 ἄταφα F 18 ἐν ὁδῷ AFGHP: ἄλλων ceteri (Mang.) 19 ταφῆς] κατηφείας A 20 ἀτιθάσσοις AFGVO καὶ θοίνη om. P 21 τῶν ἀβουλήτων εἰμί transp. G 22 εἰκῇ A: ἐκεῖθεν V²K²O, om. F, ἐκεῖ ceteri ἀλώμενος MOGH¹, ἀλόμενος F 22. 23 θητεύων, ξενιτεύων transp. A 24 ἥκιστ' ἐχρῆν corr. ex ἥκιστα χρῆν C

ἔπαθον τῶν ἀνηκέστων, ἐφ᾽ οἷς παιδευθεὶς μετριοπαθεῖν οὐκ ἐγνάμφθην· ἀλλ᾽ οὐδὲν τοῦ συμβεβηκότος ἀφορητότερον, ὅ μου τὴν ῥώμην τῆς ψυχῆς ἀνατέτροφε καὶ καθῄρηκε. τί γὰρ μεῖζον ἢ οἰκτρότερον πένθος; ἡ μὲν 27 ἐσθὴς τοῦ παιδὸς διακεκόμισταί μοι τῷ πατρί, τοῦ δὲ οὐ μέρος, οὐ μέλος, οὐ βραχὺ λείψανον· ἀλλ᾽ ὁ μὲν ὅλος δι᾽ ὅλων δεδαπάνηται μηδὲ ταφῆς δυνηθεὶς μεταλαχεῖν, ἡ δ᾽ οὐδ᾽ ἂν εἰσπεμφθῆναί μοι δοκεῖ τὸ παράπαν, εἰ μὴ πρὸς ἀνίας ὑπόμνησιν καὶ ὧν ὑπέμεινε καίνωσιν, εἰς ἀλήστους καὶ συνεχεῖς ἐμοὶ συμφοράς.“ καὶ ὁ μὲν τοιαῦτ᾽ ἀπωδύρετο. οἱ δ᾽
p. 46 M. ἔμποροι | πιπράσκουσι τὸν παῖδα ἐν Αἰγύπτῳ τῶν εὐνούχων τινὶ τοῦ βασιλέως, ὅς ἐστιν ἀρχιμάγειρος.

(6.) Ἄξιον μέντοι μετὰ τὴν ῥητὴν διήγησιν καὶ τὰ ἐν ὑπονοίαις 28 προσαποδοῦναι· σχεδὸν γὰρ τὰ πάντα ἢ τὰ πλεῖστα τῆς νομοθεσίας ἀλληγορεῖται. ὁ τοίνυν ἐπικρινόμενος τρόπος παρὰ μὲν Ἑβραίοις Ἰωσὴφ καλεῖται, παρὰ δ᾽ Ἕλλησι „κυρίου πρόσθεσις“, εὐθυβολώτατον ὄνομα καὶ τῷ δηλουμένῳ πράγματι οἰκειότατον· προσθήκη γάρ ἐστι τῆς τὸ κῦρος ἁπάντων ἀνημμένης φύσεως ἡ κατὰ δήμους πολιτεία. ἡ μὲν γὰρ μεγα- 29 λόπολις ὅδε ὁ κόσμος ἐστὶ καὶ μιᾷ χρῆται πολιτείᾳ καὶ νόμῳ ἑνί· λόγος δέ ἐστι φύσεως προστακτικὸς μὲν ὧν πρακτέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον· αἱ δὲ κατὰ τόπους αὗται πόλεις ἀπερίγραφοί τέ εἰσιν ἀριθμῷ καὶ πολιτείαις χρῶνται διαφερούσαις καὶ νόμοις οὐχὶ τοῖς αὐτοῖς. ἄλλα γὰρ παρ᾽ ἄλλοις ἔθη καὶ νόμιμα παρεξευρημένα καὶ προστεθειμένα. αἴτιον δὲ τὸ ἄμικτον καὶ ἀκοινώνητον οὐ μόνον Ἑλλήνων πρὸς βαρβάρους 30 ἢ βαρβάρων πρὸς Ἕλληνας, ἀλλὰ καὶ τὸ ἑκατέρου γένους ἰδίᾳ πρὸς τὸ

παθεῖν
1 μετριοφρονεῖν K 2 ὅ μου C²MGO: ὃ μοῦ F, ὁμου B, ὁμοῦ ceteri 3 ἀνατέτροφε CBEKM: ἀνατέτραφε ceteri καὶ om. BEM 4 alt. τοῦ] τῶ HP, τῶν V¹ 5 ὅλως G μηδὲν O 6 δυνηθεὶς corr. ex δυνηθῆς F λαχεῖν A ἤδ᾽ A οὐδ᾽ ἂν] οὐδὲν P εἰσπεμφθῆναι A: ἐκπεμφθῆναι ceteri οὐδενὸς ἕνεκα πεμφθῆναί coni. Wendl. δοκῆ G τὸ παράπαν om. A
ε καίνισιν
7 καὶ om. F ὑπεμένησε O καίνωσιν BE(V¹ ut vid.): καίνωσιν M, κένωσιν
ς
C, καίνισιν AFGHP, κακῶν V²O, κακῶν, ἵν᾽ ἧ K ἀλλήλους (sic) K 8 τοιαῦτα M, τοιαῦτα δ᾽ B ἐπωδύρετο A 9 ἐν αἰγύπτω τὸν παῖδα transp. CVO 10 ὅστις VO 12 τὰ pr. om. A ἢ] καὶ HP 14 δὲ CVO κυρίου fort. delendum censuit Mang. ὄνομα addidi 15 δηλωμένω M πράγματι F (coni. Mang.): γράμματι ceteri ἐστι AFGHP: ἐπὶ ceteri 16 φύσιν C 17 ὁ om. M μία F 18 ἐστι om. A προτρεπτικὸς V²O τῶν πρακτέων V²O ἀπαλλακτικὸς A 19 οὐ] μὴ A 21 ἤθη A παρεξηυρημένα C 23 ἑκάτερον HP γένους VO, γένοῦς K: μέρους A, γένος ceteri

ὁμόφυλον· εἶθ᾽ ὡς ἔοικε τὰ ἀναίτια αἰτιώμενοι, καιροὺς ἀβουλήτους,
ἀγονίαν καρπῶν, τὸ λυπρόγεων, τὴν θέσιν ὅτι παράλιος ἢ μεσόγειος ἢ
κατὰ νῆσον ἢ κατὰ ἤπειρον ἢ ὅσα τούτοις ὁμοιότροπα, τἀληθὲς ἡσυχά-
ζουσιν· ἔστι δ᾽ ἡ πλεονεξία καὶ ἡ πρὸς ἀλλήλους ἀπιστία, δι᾽ ἃς οὐκ
ἀρκεσθέντες τοῖς τῆς φύσεως θεσμοῖς τὰ δόξαντα συμφέρειν κοινῇ τοῖς
31 ὁμογνώμοσιν ὁμίλοις ταῦτα νόμους ἐπεφήμισαν. ὥστε εἰκότως προσθῆκαι
μᾶλλον αἱ κατὰ μέρος πολιτεῖαι μιᾶς τῆς κατὰ τὴν φύσιν· προσθῆκαι
μὲν γὰρ οἱ κατὰ πόλεις νόμοι τοῦ τῆς φύσεως ὀρθοῦ λόγου, προσθήκη
32 δέ ἐστι πολιτικὸς ἀνὴρ τοῦ βιοῦντος κατὰ φύσιν. (7.) οὐκ ἀπὸ σκοποῦ
μέντοι καὶ χιτῶνα ποικίλον ἀναλαμβάνειν λέγεται (Gen. 37, 3)· ποικίλον
γὰρ πολιτεία καὶ πολύτροπον, μυρίας ὅσας ἐνδεχομένη μεταβολάς, προσ-
ώποις, πράγμασιν, αἰτίαις, πράξεων ἰδιότησι, καιρῶν καὶ τόπων διαφοραῖς.
33 ὥσπερ γὰρ κυβερνήτης ταῖς τῶν πνευμάτων μεταβολαῖς συμμεταβάλλει
τὰς πρὸς εὔπλοιαν βοηθείας, εὐθύνων τὸ σκάφος οὐχ ἑνὶ τρόπῳ, καὶ
ἰατρὸς οὐ μιᾷ χρῆται θεραπείᾳ πρὸς ἅπαντας τοὺς κάμνοντας, ἀλλ᾽ οὐδὲ
πρὸς ἕνα, τοῦ πάθους μὴ ἐπιμένοντος, ἀλλ᾽ ἐπιτηρῶν ἀνέσεις, ἐπιτάσεις,
πληρώσεις, κενώσεις, αἰτίων μεταβολὰς ποικίλλει ταῦτα πρὸς σωτηρίαν
34 ποτὲ μὲν ταυτὶ ποτὲ δὲ ταυτὶ | προσφέρων, οὕτως, οἶμαι, καὶ τὸν πο- p. 47 M.
λιτικὸν ἀναγκαῖον εἶναί τινα πολυειδῆ καὶ πολύμορφον, ἕτερον μὲν κατ᾽
εἰρήνην, ἕτερον δ᾽ ἐν πολέμῳ, ἄλλον δὲ ἐπισυνισταμένων ὀλίγων ἢ πολλῶν,
τῶν μὲν ὀλίγων εὐτόνως κατεξανιστάμενον, μετὰ δὲ πειθοῦς τοῖς πολλοῖς
ὁμιλοῦντα, καὶ ὅπου μὲν μετὰ κινδύνου τὸ εἶναι, διὰ τὸ κοινωφελὲς φθά-
νοντα τοὺς ἄλλους αὐτουργίᾳ, ὅπου δὲ πόνων ἡ σκέψις, ἑτέροις ὑπηρετεῖν

1 τὰ ἀναίτια] τἀναντία VO 2 ἀγονίαν CVO: ἀγωνίας K, ἀγονίας ceteri τὸ λυπρόγεων CVO: τῶν λυπρογέων K, τὸ λυπρόγειον ceteri παράλειος BMH 4 ἔστι] τί F; ἔτι coni. Mang. δὲ CVOF ἡ alt. om. A 5 τοῖς om. C τῆς om. FG 6 ὁμογνωμονοῦσιν VO νόμοις BEMF ὥστ᾽ A 7 αἱ κατὰ] εἰκότως G τὴν om. GAVOP προσθῆκαι—φύσιν (9) om. A 8 πόλιν Turn. 9 δ᾽ ἐστὶ BEM φύσεως (sed εως eras.) C 11 πολιτεία om. P, add. mg. P πολύτροπος O ἐνδεχόμενον A 12 αἰτίαις om. A πράξεων K (coni. Mang.): ξένων V²O, προξένων ceteri καὶ ante καιρῶν add. A 13 γὰρ om. H συμμεταβάλλοι F 15 οὐ] οὐχὶ AFGHP οὐδὲ] οὐ BEM 16 ἐπιτάσεις om. C 17 αἰτίων CA: αἰτιῶν ceteri; σιτίων coni. Mang. ταῦτα suspectum; τὰ conicio 18 alt. ταυτὶ] ταῦτα BEKM οἶμαι om. A 19 εἶναι ἀναγκαῖον transp. HP; εἶναι καὶ ἀναγκαῖον Turn., κατ᾽ ἀναγκαῖον εἶναι Mang. 20 δὲ VO δ᾽ BEKM ἢ—ὀλίγων (21) om. BEMO 21 μὲν] δὲ F μετὰ—ὁμιλοῦντα (22) om. BEM πειθοῦς] πλήθους K 22 τοῦ εἶναι BEKM (fort. recte) μετὰ κινδύνου τι, οἷον διὰ τὸ κοινωφελές, coni. Mang. 23 ἡ σκῆψις V² ἑτέρους VO

ἐξιστάμενον. εὖ μέντοι τὸ φάναι πιπράσκεσθαι τὸν ἄνθρωπον· ὁ μὲν 35
γὰρ δημοκόπος καὶ δημηγόρος ἀναβὰς ἐπὶ τὸ βῆμα, καθάπερ τὰ πιπρασκό-
μενα τῶν ἀνδραπόδων, δοῦλος ἀντ' ἐλευθέρου γίνεται διὰ τῶν τιμῶν, ἃς
δοκεῖ λαμβάνειν, ἀπαχθεὶς ὑπὸ μυρίων δεσποτῶν. ὁ δ' αὐτὸς καὶ θη- 36
ριάλωτος εἰσάγεται· θηρίον δὲ ἀτίθασον ἡ λογῶσα κενοδοξία συναρπά-
ζουσα καὶ διαφθείρουσα τοὺς χρωμένους. οἱ δ' ὠνησάμενοι καὶ πιπρά-
σκουσιν· οὐ γὰρ εἷς δεσπότης τῶν πολιτευομένων, ἀλλ' ὄχλος, ἐξ ἑτέρων
ἕτεροι κατά τινας ἐφεδρείας καὶ διαδοχάς· οἱ δὲ τρίπρατοι κακῶν θερα-
πόντων τρόπον ἀλλάττουσι τοὺς κυρίους οὐχ ὑπομένοντες τοὺς προτέρους
διὰ τὴν ἀψίκορον καὶ φιλόκαινον τῶν ἠθῶν ἀνωμαλίαν.

(8.) Τοσαῦτα καὶ περὶ τούτων. ὁ μέντοι νεανίας εἰς Αἴγυπτον 37
ἀχθεὶς καὶ γενόμενος, ὡς ἐλέχθη, παρ' εὐνούχῳ δεσπότῃ, τῆς καλο-
κἀγαθίας καὶ εὐγενείας πεῖραν ὀλίγαις ἡμέραις δοὺς τὴν ἐπὶ τοῖς ὁμο-
δούλοις ἀρχὴν παραλαμβάνει καὶ συμπάσης τῆς οἰκίας τὴν ἐπιμέλειαν·
ἤδη γὰρ ὁ κτησάμενος ἐτεκμηριοῦτο διὰ πολλῶν, ὡς οὐκ ἄνευ θείας
ἐπιφροσύνης ἐκεῖνος ἕκαστα λέγει τε καὶ πράττει. τῷ μὲν οὖν δοκεῖν 38
ὑπὸ τοῦ πριαμένου καθίστατο τῆς οἰκίας ἐπίτροπος, ἔργῳ δὲ καὶ ταῖς
ἀληθείαις ὑπὸ φύσεως μνωμένης αὐτῷ πόλεων καὶ ἔθνους καὶ χώρας
μεγάλης ἡγεμονίαν· ἔδει γὰρ τὸν μέλλοντα ἔσεσθαι πολιτικὸν ἐγγυμ-
νάσασθαι καὶ ἐνασκηθῆναι πρότερον τοῖς κατ' οἰκονομίαν· οἰκία τε γὰρ
πόλις ἐστὶν ἐσταλμένη καὶ βραχεῖα καὶ οἰκονομία συνηγμένη τις πολιτεία,
ὡς καὶ πόλις μὲν οἶκος μέγας, πολιτεία δὲ κοινή τις οἰκονομία. δι' 39
ὧν μάλιστα παρίσταται τὸν αὐτὸν οἰκονομικόν τε εἶναι καὶ πολιτικόν,

1 τὸ om. A 5 εἰσάγεται] γίνεται A δ' A ἀτίθασον CBEHP: ἀτίθασσον ceteri ἡ] ὡς F λογῶσα AFGHP: δόξα καὶ ceteri 5. 6 συναρπάσασα BEM, καὶ μαρμάζουσα (sic) F 7 ἀλλ' ὄχλος AFGHP: ὄχλος (ὁ ὄχλος VO) post δεσπότης transp. ceteri 8 ἐφεδρίας C 9 τρόπον om. FG τοῖς προτέροις C, τοὺς προτέρους om. H 10 φιλόκενον V 11 καὶ] μὲν H (Turn.), om. Mang. 12 ἀπαχθεὶς AVO 14 συμπάσης] σὺν πᾶσι HP τῆς om. KO 15 γὰρ] δ' A οὐκ om. F 16 ἕκαστα ἐκεῖνος transp. MAF[1]GHP, ἥκιστα ἐκεῖνος F[2] τῷ corr. ex τὸ C, τῷ corr. ex τοῦ B, τοῦ E 18 πόλεως CK(v) καὶ χώρας καὶ ἔθνους transp. BEKM 19 μεγάλης AFGHP: μεγάλην ceteri 19. 20 ἐγγεγυμνάσθαι D 20 ἀσκηθῆναι D οἰκονομίαν] οἰκίαν D, οἰκίαν πράγμασιν V[2]O τε om. D 21 ἐστὶν om. BEKM ἐστὶ συνεσταλμένη D καὶ οἰκονομία AFGHPD: καὶ om. ceteri συνεσταλμένη D 22 καὶ] καὶ ἡ D τις om. D 23 παριστᾷ D οἰκονόμον F

— —

11 sqq. Gen. cap. 39 19—70,4 D[R] fol. 218[r] Φίλωνος: δεῖ τὸν μέλλοντα — ὁ αὐτός ἐστιν

κἂν τὰ πλήθη καὶ μεγέθη τῶν ὑποκειμένων διαλλάττῃ· καθάπερ ἐπὶ
ζωγραφίας ἔχει καὶ πλαστικῆς· ὁ γὰρ ἀγαθὸς ἀνδριαντοποιὸς ἢ ζωγράφος,
ἐάν τε πολλὰ καὶ κολοσσιαῖα μεγέθη κατασκευάζῃ, ἐάν τε ὀλίγα καὶ
40 βραχύτερα, τὴν αὐτὴν ἐπιδεικνύμενος τέχνην ὁ αὐτός ἐστι. (9.) σφόδρα
δὲ εὐδοκιμῶν ἐν τοῖς κατὰ τὴν οἰκουρίαν ἐπιβουλεύεται πρὸς τῆς τοῦ
δεσπότου γυναικὸς ἐπιβουλὴν τὴν ἐξ ἔρωτος ἀκολάστου. τῇ γὰρ εὐμορφίᾳ p. 48 M.
ἐπιμανεῖσα τοῦ νεανίσκου καὶ ἀκαθέκτως περὶ τὸ πάθος λυττῶσα τοὺς
περὶ μίξεως λόγους προσέφερεν ἐρρωμένως ἐναντιουμένῳ καὶ μηδ᾽ ὅλως
προσίεσθαι ὑπομένοντι διὰ τὴν ἐκ φύσεως καὶ μελέτης ἐνυπάρξασαν
41 κοσμιότητα καὶ σωφροσύνην. ἐπεὶ δὲ ζωπυροῦσα καὶ ἀναφλέγουσα τὴν
ἔκνομον ἐπιθυμίαν ἀεὶ μὲν ἀπεπειρᾶτο, ἀεὶ δ᾽ ἀπετύγχανε, βίᾳ λοιπὸν
προσπαθοῦσα ἐχρῆτο καὶ λαβομένη τῆς ἀμπεχόνης εὐτόνως ἄχρι τῆς
εὐνῆς ἐπεσπάσατο ῥώμῃ κραταιοτέρᾳ, τοῦ πάθους ἰσχὺν ἐπιδιδόντος, ὃ
42 καὶ τοὺς ἀσθενεστάτους εἴωθε νευροῦν. ὁ δὲ τῆς παρούσης ἀκαιρίας
γενόμενος δυνατώτερος τὰς ἐλευθερίους καὶ ἀξίας τοῦ γένους ἔρρηξε φωνὰς
„τί βιάζῃ;“ λέγων· „ἐξαιρέτοις ἔθεσι καὶ νομίμοις χρώμεθα ἡμεῖς οἱ
43 Ἑβραίων ἀπόγονοι. τοῖς ἄλλοις ἐφεῖται μετὰ τὴν τεσσαρεσκαιδεκάτην
ἡλικίαν πόρναις καὶ χαμαιτύπαις καὶ ταῖς ὅσαι μισθαρνοῦσιν ἐπὶ τοῖς
σώμασι μετὰ πολλῆς ἀδείας χρῆσθαι, παρ᾽ ἡμῖν δὲ οὐδ᾽ ἑταίρᾳ ζῆν
ἔξεστιν (Deut. 23, 17), ἀλλὰ κατὰ τῆς ἑταιρούσης ὥρισται δίκη θάνατος.
πρὸ δὴ συνόδων νομίμων ὁμιλίαν ἑτέρας γυναικὸς οὐκ ἴσμεν, ἀλλ᾽ ἁγνοὶ
γάμων ἁγναῖς παρθένοις προσερχόμεθα προτεθειμένοι τέλος οὐχ ἡδονὴν

2 ὁ μὲν γὰρ AV^1, μὲν expunxit V^2 3 κολασσιέα (sic) ἔργα κατασκευάσῃ D καὶ ante ὀλίγα add. A 5 δ᾽ A οἰκονομίαν C (Turn.) 6 ἀκόλαστον A τῆς γὰρ εὐμορφίας CV^1K, τὴν γὰρ εὐμορφίαν HP 7 τῷ νεανίσκῳ corr. C περὶ] ἐπὶ A, om. F τῷ πάθει F λυττῶσα περὶ τὸ πάθος transp. G 8 λόγους om. BEM ἐναντιουμένῳ om. A μηδὲ C 9 ὑπομένοντα K ἐνυπάρξασαν AFGHP: ὑπάρξασαν ceteri 10 δὲ om. A post δὲ add. καὶ AFGHP 11 δὲ CAVO 12 προσπαθοῦσα F^2HP: προπαθοῦσα AF^1G, πρὸ πάθους CV^1BEKM, πρὸς πάθος V^2O; πρὸ πειθοῦς coni. Mang. 13 ἐπεσπᾶτο VO 14 ἀσθενεστέρους FHP νευροῦν εἴωθεν transp. K εὐκαιρίας F 15 δυνατώτερος γενόμενος transp. A ἐλευθερίας HP, ἐλευθέρας CAFG ῥῆξαι BEM, ῥῆξαι λέγεται K, ῥήξας VO φωνὰς ἔρρηξε transp. A 16 λέγει V^2 νομίμοις AFGP mg. H: νόμοις ceteri χρώμεθ᾽ CVOK ὑμεῖς K 17 τοῖς δ᾽ ἄλλοις FGHP, τοῖς ἄλλοις δ᾽ A 18 καὶ pr. om. F χαμετύπαις A, χαμαιτύπ^{οις}αις H, χαμαιτύποις VOF(v) ταῖς AFGHP: om. ceteri 18. 19 τῷ σώματι K 19 κεχρῆσθαι A οὐδὲ ἑτέρα V^1, οὐδετέρα G ζῆν A: om. ceteri 20 κατὰ] καὶ AF θάνατος AFGHP: θανάτου ceteri 21 πρὸ] παρ᾽ ὃ F ἑταίρας BEM ἀλλὰ CA 22 συνερχόμεθα F

16 sqq. cf. *Ambros. Epist. I 2,20.*

ἀλλὰ γνησίων παίδων σποράν. εἰς δὴ ταύτην καθαρεύσας τὴν ἡμέραν οὐκ 44 ἄρξομαι παρανομεῖν ἀπὸ μοιχείας, τοῦ μεγίστου τῶν ἀδικημάτων, ὀφείλων, εἰ καὶ τὸν ἄλλον χρόνον ὑπῆρχον ἐκδεδιῃτημένος καὶ νεότητος ὀργαῖς ἡμμένος καὶ τὴν ἐγχώριον ἐζηλωκὼς τροφήν, ὅμως ἀλλότριον μὴ θηρᾶν γάμον· ἐφ' ᾧ τίς ἀνθρώπων οὐ φονᾷ; περὶ γὰρ τῶν ἄλλων εἰωθότες διαφέρεσθαι μόνον τοῦθ' ὁμογνωμονοῦντες πανταχοῦ πάντες ἄξιον θανάτων μυρίων ἐνόμισαν ἀκρίτους ἐκδιδόντες τοὺς ἁλόντας τοῖς πεφωρακόσι. σὺ δ' ἐπιδαψιλευομένη καὶ τριττὸν προστίθῃς μοι μίασμα 45 κελεύουσα μὴ μοιχεύειν μόνον, ἀλλὰ καὶ δέσποιναν καὶ δεσπότου γυναῖκα διαφθείρειν· εἰ μὴ ἄρα τούτου χάριν παρῆλθον εἰς τὴν ὑμετέραν οἰκίαν, ἵν' ἀποστὰς τῶν ὑπηρεσιῶν, ἃς δεῖ θεράποντα παρέχειν, μεθύω καὶ ἐμπαροινῶ ταῖς ἐλπίσι τοῦ πριαμένου νοθεύων αὐτοῦ γάμον, οἰκίαν, συγγένειαν. ἀλλὰ γὰρ οὐχ ὡς δεσπότην μόνον ἀλλὰ καὶ ὡς εὐεργέτην 46 ἤδη τιμᾶν προάγομαι· πάντ' ἐπιτέτροφέ μοι τὰ οἰκεῖα, οὐδὲν οὐ μικρὸν οὐ μέγα ὑπεξῄρηται τὸ παράπαν δίχα σοῦ τῆς γυναικός· ἀνθ' ὧν ἄξιον

p. 49 M. αὐτὸν ἐν οἷς παραινεῖς ἀμείψασθαι; καλὰς | ὡς ἔοικεν ἀντιπαρέξω δωρεὰς ταῖς προυπηργμέναις χάρισιν οἰκείας. ὁ μὲν δεσπότης αἰχμάλωτον ὄντα 47 με καὶ ξένον ταῖς εὐεργεσίαις ἐλεύθερον καὶ ἀστὸν τὸ γοῦν ἐπ' αὐτὸν ἧκον μέρος ἀπειργάσατο, ἐγὼ δ' ὁ δοῦλος ὡς ξένῳ καὶ αἰχμαλώτῳ προσενεχθήσομαι τῷ δεσπότῃ; τίνι ψυχῇ παραδεξάμενος τὸ ἀνοσιούργημα τοῦτο; προσβλέψω δὲ τίσιν ὀφθαλμοῖς ὁ σιδηροῦς ἐγώ; τὸ συνειδὸς ἐλλαμβανόμενον ὀρθοῖς ὄμμασιν οὐκ ἐάσει προσβλέπειν. κἂν δυνηθῶ λανθάνειν· λήσομαι δ' οὐδαμῶς· εἰσὶ γὰρ ἐξετασταὶ μυρίοι τῶν λάθρα δρωμένων, οἷς οὐ θέμις ἡσυχάζειν. ἐῶ λέγειν ὅτι, κἂν μηδεὶς ἕτερος 48

1 σποράν corr. ex σποράς VK, σποράς CBE, σπορᾶς M καθαρεύσω A 2 τοῦ] τῆς F[1] 3 ante νεότητος add. ταῖς τῆς A (Mang.) 4 τροφήν FP 5 post τίς add. ἂν AGHPV[1] 6 μόνον om. A ὁμογνωμονοῦντες K: ὁμογνωμονοῦσι ceteri ὁ ante πανταχοῦ add. AFGHP 7 ἄξιον] ἀξίους γὰρ V[2]O μυρίων θανάτων transp. F ἀκρίτως A ἐκδιδόντας H 8 τριττὸν Wendl.: τρίτον codd. προστίθεις P, προστιθεῖσα BEMGH, προστεθεῖσα F μοι om. H 9 κελεύεις BEKMF 11 ἵν' ἀποστὰς] ἵνα πρὸς τὰς BEM 12 τὸν γάμον VO 14 ἤδη om. M πάντες (sed ες eras.) C ἐπιτέτραφε AVOP 16 παραινεῖν A ἀμείψασθαι ἐν οἷς παραινεῖς transp. O ἀμείβεσθαι corr. ex ἀμείψασθαι K 17 οἰκείαις C[1]V[1] 18 καὶ pr. om. VO εὐεργεσίαις AFGHP: ἐργασίαις ceteri 20 ante τίνι add. καὶ HP(v) παραδέξομαι V[2]O; παραδεξόμενος coni. Mang. 22 ἐλαυνόμενον F 23 δ' CVAK: om. ceteri 24 ἐῶ γὰρ λέγειν A, ἐῶ λέγειν om. H ὅτι om. K[1], ss. K[2]

22 ὀρθοῖς ὄμμασιν: cf. Soph. Oed. Tyr. 1385. Eur. Hec. 972. Theocr. 5,36.

αἴσθηται ἢ συναισθόμενος μὴ κατείπῃ, μηνυτὴς οὐδὲν ἧττον αὐτὸς γενήσομαι κατ᾽ ἐμαυτοῦ τῷ χρώματι, τῷ βλέμματι, τῇ φωνῇ, καθάπερ μικρῷ πρότερον εἶπον, ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος· εἰ δὲ καὶ μηδεὶς
49 κατερεῖ, τὴν πάρεδρον τοῦ θεοῦ δίκην καὶ τῶν πραγμάτων ἔφορον οὔτε δέδιμεν οὔτ᾽ αἰδούμεθα;“ (10.) πολλὰ τοιαῦτα συνείροντος καὶ φιλοσοφοῦντος, ἐκεκώφητο πρὸς ἅπαντα· δειναὶ γὰρ αἱ ἐπιθυμίαι καὶ τὰς ἀκριβεστάτας τῶν αἰσθήσεων ἐπισκιάσαι· ὅπερ συνιδὼν ἀποδιδράσκει τὰ
50 ἱμάτια καταλιπὼν ἐν ταῖς χερσὶν αὐτῆς, ὧν ἐπείληπτο. τοῦτο παρέσχεν αὐτῇ τὸ ἔργον εὑρεσιλογεῖν προφάσεις σκεπτομένῃ κατὰ τοῦ νεανίσκου, αἷς αὐτὸν ἀμυνεῖται· παραγενομένῳ γὰρ ἐξ ἀγορᾶς τῷ αὐτῆς ἀνδρὶ καθυποκρινομένη τὴν σώφρονα καὶ κοσμίαν καὶ τοῖς ἀκολάστοις ἐπιτηδεύμασι πάνυ δυσχεραίνουσαν „ἤγαγες“ ἔφη „θεράποντα ἡμῖν παῖδα Ἑβραῖον, ὃς οὐ μόνον ἤδη τὴν σὴν ψυχὴν διέφθαρκεν εὐχερῶς καὶ ἀνεξετάστως ἐπιτρέψαντος αὐτῷ τὴν οἰκίαν, ἀλλὰ καὶ ἐμοῦ ἀπετόλμησεν
51 αἰσχῦναι τὸ σῶμα. ταῖς γὰρ ὁμοδούλοις οὐκ ἐξήρκεσεν αὐτῷ χρῆσθαι μόναις ἀσελγεστάτῳ καὶ λαγνιστάτῳ γενομένῳ, πειρᾶν δὲ καὶ τὴν δέσποιναν ἐπεχείρησεν ἐμὲ καὶ βιάζεσθαι. καὶ τὰ δείγματα τῆς φρενοβλαβείας ἐναργῆ καὶ δῆλά ἐστι· περιπαθήσασα γὰρ ὡς ἐξεφώνησα τοὺς ἔνδον βοηθοὺς ἐπικαλοῦσα, πτοηθεὶς διὰ τὸ ἀπερίσκεπτον τὴν ἐσθῆτα καταλιπὼν ἀποδιδράσκει φόβῳ συλλήψεως.“ ἣν καὶ ἐπιδεικνυμένη πίστιν
52 ἐδόκει προσφέρειν τῶν λεγομένων. ἅπερ ἀληθῆ νομίσας ὁ δεσπότης εἶναι κελεύει τὸν ἄνθρωπον εἰς εἱρκτὴν ἀπαγαγεῖν δυσὶ τοῖς μεγίστοις ἁμαρτών, ἑνὶ μὲν ὅτι μὴ μεταδοὺς ἀπολογίας ἀκρίτως κατέγνω τοῦ μηδὲν

1 κατείποι A, κατείποι (η supra) K 3 μικροῦ L (Turn.) δὲ om. H^1P καὶ om. F 4 τοῦ om. CVO τῶν ⟨ἀνθρωπείων⟩ coni. Wendl., cf. § 170 et sic saepius 4. 5 οὔτ᾽ ἐδέδιμεν H (Turn.); οὔτε δείδιμεν Mang. 5 οὔτε CA
6 ἐκεκώφωτο (η supra) K πρὸς ἅπαντα K: om. ceteri 6. 7 τὰς ἀκριβεστάτους A 7 συνειδὼς F 7. 8 τὰ ἱμάτια om. O καταλιπὼν τὰ ἱμάτια transp. HP 9 αὐτῆς F εὑρησιλογεῖν C σκηπτομένης K 10 ἀμύνεται V^1 αὐτῆς] ταύτης A ἀνδρὶ αὐτῆς transp. K 11 καθυποκριναμένη V κοσμίαν VO: κόσμιον ceteri alt. καὶ] κἂν H; κἀν Turn., κἂν Mang. ἀκολάστοις] καλλίστοις P, ἄλλοις CVO 12 δυσχεραίνουσαν BMA: δυσχεραίνουσα ceteri (v) 13 ἤδη om. A τὴν σὴν K: σὴν om. ceteri ψυχὴν] οὐσίαν vel κτῆσιν coni. Mang. 14 post ἐπιτρέψαντος add. σου V^2O ἀπετόλμησεν ἐμοῦ transp. A (Mang.) καὶ pr. om. VO 20 συλλήψεως] συνόψεως P ἣν AFGHP: om. ceteri (fort. recte) 21 φέρειν HP 23 μεταδιδοὺς A τοῦ] τοῦ νεανίου K

ἠδικηκότος ὡς τὰ μέγιστα παρανομήσαντος, ἑτέρῳ δὲ ὅτι ἡ ἐσθής, ἣν
προὔφερεν ἡ γυνὴ ὡς ἀπολειφθεῖσαν ὑπὸ τοῦ νεανίσκου, πίστις ἦν βίας,
οὐχ ἣν ἐκεῖνος εἰργάζετο, ἀλλὰ τὴν ὑπομονὴν ἣν ὑπέμεινεν ἐκ τῆς γυ-
ναικός· βιαζομένου μὲν γὰρ ἔργον ἦν τὴν ἀμπεχόνην τῆς δεσποίνης
p. 50 M. κατέχειν, βιασθέντος δὲ τὴν ἰδίαν ἀφαιρεθῆναι. συγγνωστὸς | δ' ἴσως 53
τῆς ἄγαν ἀπαιδευσίας, ἅτε τὴν δίαιταν ἐν μαγειρείῳ ποιούμενος αἵματος
καὶ καπνοῦ καὶ τέφρας ἀνάπλεῳ, τοῦ λογισμοῦ καιρὸν οὐκ ἔχοντος
ἐνηρεμεῖν καὶ σχολάζειν ἑαυτῷ διὰ τὸ πεφύρθαι μᾶλλον ἢ οὐχ ἧττον
τοῦ σώματος.

(11.) Τρεῖς ἤδη χαρακτῆρας τοῦ πολιτικοῦ διετύπωσε, τόν τε 54
ποιμενικὸν καὶ τὸν οἰκονομικὸν καὶ τὸν καρτερικόν. περὶ μὲν οὖν τῶν
προτέρων εἴρηται δυεῖν, ὁ δ' ἐγκρατὴς οὐχ ἧττον ἐκείνων πρὸς πολιτείαν
συντείνει. πρὸς μὲν οὖν ἅπαντα τὰ τοῦ βίου πράγματα λυσιτελὲς ἐγ- 55
κράτεια καὶ σωτήριον, πρὸς δὲ τὰ πόλεως καὶ διαφερόντως, ὡς ἀφθόνως
τοῖς βουλομένοις μανθάνειν πάρεστι καὶ προχειρότατα. τίς γὰρ ἀγνοεῖ 56
τὰς ἐξ ἀκρασίας ἔθνεσι καὶ χώραις καὶ ὅλοις κλίμασι τῆς οἰκουμένης ἐν
γῇ καὶ θαλάττῃ γινομένας συμφοράς; τῶν γὰρ πολέμων οἱ πλείους
καὶ μέγιστοι δι' ἔρωτας καὶ μοιχείας καὶ γυναικῶν ἀπάτας συνέστησαν,
ὑφ' ὧν τὸ πλεῖστον καὶ ἄριστον ἐξαναλώθη τοῦ τε Ἑλληνικοῦ καὶ βαρ-
βαρικοῦ γένους καὶ τῶν πόλεων ἡ νεότης ἐφθάρη. εἰ δὲ τὰ ἐξ ἀκρασίας 57
στάσεις ἐμφύλιοι καὶ πόλεμοι καὶ κακὰ ἐπὶ κακοῖς ἀμύθητα, δῆλον ὅτι
τὰ ἐκ σωφροσύνης εὐστάθεια καὶ εἰρήνη καὶ τελείων κτῆσις ἀγαθῶν καὶ
ἀπόλαυσις.

(12.) Ἄξιον μέντοι καὶ τὰ διὰ τούτων ἐμφαινόμενα κατὰ τὸ ἀκό- 58
λουθον παραστῆσαι. ὁ πριάμενος τὸν ἐπικρινόμενον εὐνοῦχος εἶναι λέγεται·

1 δ' CBEKM ὅτε F 2 προέφερεν H, προσέφερεν A, προύφαινεν F ὑπὸ] ἀπὸ F ἣν] ἦν F βίας ἦν transp. HP 3 τὴν ὑπομονὴν secl. Mang.; τῆς ἐπιβουλῆς coni. Wendl., cf. § 248 4 μὲν om. A 5 κατέχειν AFGHP: ἔχειν ceteri ἰδίαν] οἰκείαν A 7 ἀνάπλεῳ scripsi: ἀνάπλεων H, ἀνάπλεως ceteri (v) 8 ἠρεμεῖν AFP ἐνσχολάζειν conicio ἐν ἑαυτῷ AHP(v) ἢ οὐχ ἧττον om. HP[1] 9 τῷ σώματι HP 10 post τρεῖς add. μὲν HP(v) διετύπωσεν ὁ λόγος VO (fort. recte), διετύπωσα H(v) 11 καὶ pr. om. VO μὲν om. O γοῦν O, οὖν om. G 12 δυεῖν CVOG: δυοῖν AKF, om. BEMHP (fort. recte) δὲ CVO 13 συντείνει K[1]: συνάδει ceteri (v) λυσιτελὴς F 14 τὰ τῆς πόλεως A 15 μαθεῖν A πάρεστι μανθάνειν transp. F 16 τὰς KH[2]: om. ceteri καὶ alt. om. F κλήμασι K 17 πλεῖστοι A (fort. recte) 19 ὑφ' ὧν om. F ἐξανηλώθη CK τοῦ θ' AFHP, τε om. G 19. 20 βαρβάρου CVOBEM 21 καὶ pr. om. AVO ἐπὶ κακῶν F post κακοῖς add. διαδέχονται V[2]O δηλονότι AFGHPK 22 ἐκ τῆς σωφροσύνης A

δεόντως· ὁ γὰρ ὠνούμενος τὸν πολιτικὸν ὄχλος ἐστὶ πρὸς ἀλήθειαν εὐ-
νοῦχος, ὅσα μὲν τῷ δοκεῖν ἔχων τὰ γεννητικά, τὰς δ᾽ εἰς τὸ γεννᾶν
δυνάμεις ἀφῃρημένος. καθάπερ καὶ οἱ τὰς ὄψεις ὑποχυθέντες ὀφθαλμοὺς
ἔχοντες τῆς δι᾽ ὀφθαλμῶν ἐνεργείας στέρονται βλέπειν οὐ δυνάμενοι.
59 τίς οὖν ἡ πρὸς ὄχλον εὐνούχων ὁμοιότης; ὅτι ἄγονός ἐστι σοφίας δοκῶν
ἐπιτηδεύειν ἀρετήν· ὅταν γὰρ μιγάδων καὶ συγκλύδων πλῆθος ἀνθρώπων
εἰς ταὐτὸν συνέλθῃ, λέγει μὲν τὰ δέοντα, φρονεῖ δὲ καὶ πράττει τἀναντία,
τὰ νόθα πρὸ τῶν γνησίων ἀποδεχόμενος, ἕνεκα τοῦ δόξης μὲν ἡττᾶσθαι,
60 τὸ δ᾽ ἀληθείᾳ καλὸν μὴ ἐπιτηδεύειν. ὅθεν καὶ — τὸ παραλογώτατον —
γυνὴ τῷ εὐνούχῳ τούτῳ συνοικεῖ· μνᾶται γὰρ ὄχλος ἐπιθυμίαν, ὥσπερ
ἀνὴρ γυναῖκα, δι᾽ ἧς ἕκαστα καὶ λέγει καὶ πράττει σύμβουλον αὐτὴν
ποιούμενος ἁπάντων ῥητῶν καὶ ἀπορρήτων μικρῶν τε αὖ καὶ μεγάλων,
61 ἥκιστα προσέχειν εἰωθὼς τοῖς ἐκ λογισμοῦ. προσφυέστατα μέντοι καὶ
ἀρχιμάγειρον αὐτὸν καλεῖ· καθάπερ γὰρ οὐδὲν ἕτερον ἐπιτηδεύει μά-
γειρος ἢ τὰς ἀνηνύτους καὶ περιττὰς γαστρὸς ἡδονάς, τὸν αὐτὸν τρόπον
καὶ ὁ πολιτικὸς ὄχλος τὰς δι᾽ ἀκοῆς τέρψεις τε καὶ θρύψεις, ὑφ᾽ ὧν
οἱ τόνοι τῆς διανοίας χαλῶνται καὶ τρόπον τινὰ | τὰ νεῦρα τῆς ψυχῆς p. 51 M.
62 ἐκλύεται. τὴν δὲ πρὸς ἰατροὺς μαγείρων διαφορὰν τίς οὐκ οἶδεν; οἱ
μὲν τὰ ὑγιεινά, κἂν μὴ προσηνῆ τυγχάνῃ, μόνα διὰ σπουδῆς τῆς πάσης
εὐτρεπίζονται, οἱ δ᾽ ἔμπαλιν μόνα τὰ ἡδέα τοῦ συμφέροντος ἀλογοῦντες.
63 ἰατροῖς μὲν οὖν ἐοίκασιν ἐν δήμῳ νόμοι καὶ οἱ κατὰ νόμους ἄρχοντες
βουλευταί τε καὶ δικασταὶ φροντίζοντες τῆς τῶν κοινῶν σωτηρίας καὶ
ἀσφαλείας ἀκολάκευτοι, ὀψαρτυταῖς δὲ οἱ πολυάνθρωποι τῶν νεωτέρων
ὅμιλοι· μέλει γὰρ αὐτοῖς οὐ τὰ συνοίσοντα, ἀλλὰ πῶς τὴν ἐν τῷ παρόντι
64 καρπώσονται μόνον ἡδονήν. (13.) ἐρᾷ δ᾽ ὡς ἀκόλαστος γυνὴ καὶ ἡ
τῶν ὄχλων ἐπιθυμία τοῦ πολιτικοῦ καί φησιν αὐτῷ· „παρελθών, ὦ

---

1 τὸν] τὸ G 1. 2 εὐνοῦχος πρὸς ἀλήθειάν ἐστιν transp. O 2 ὅσα] σῶα F τῷ] τὸ C δὲ C 4 διὰ τῶν ὀφθαλμῶν A 5 ἡ] οἱ M ὄχλων P εὐνούχω K 5. 6 δοκῶν ἐπιτηδεύειν K: ἐπιτηδεύει δ᾽ H(v), ἐπιτηδεύειν (om. δοκῶν) ceteri 7 συνέλθοι AV^1 8 τοῦ] τῆς P 11 σύμβολον M 12 ἁπάντων om. HP post ῥητῶν add. τε HP 14 ἕτερον οὐδὲν transp. A 17 οἱ] οὐ F 18 ἐκλύεται AFGHP: ἐκλύονται ceteri δὲ om. CVO 19 μόνα codd.: μόνον v 23 ὀψαρτυταῖς — ὅμιλοι (24) om. G ὀψαρτύταις BEM, ὀψαρτυσταῖς H δ᾽ C νεωτέρων] ἑτέρων coni. Mang. 24 μέλλει BMVO συνοίσοντα BEM: συνοίσοντα ~~μόνον~~ (sic) K, συνοίσοντα αὐτῶ A(V^1 ut vid.), συνοίσοντα τῶ κοινῶ V^2O, συνοισοντα αὐτοῖς CFGHP 25 μόνον καρπώσονται transp. A δ᾽] δὲ καὶ VO ἀκόλαστος] ἀκολάκευτος CBEM καὶ eras. V^2, om. O 26 τοῦ ὄχλου coni. Mang. post αὐτῷ add. ὡς συνοίκω O (cf. 75,1)

οὗτος, εἰς ὄχλον, ᾧ συνοικῶ, πάντων ἐκλαθοῦ τῶν ἰδίων ἠθῶν, ἐπιτη-
δευμάτων, λόγων, ἔργων, ἐν οἷς ἐτράφης· ἐμοὶ δὲ πειθάρχει καὶ ἐμὲ
θεράπευε καὶ ὅσα δι' ἡδονῆς ἐστί μοι πρᾶττε. αὐστηρὸν γὰρ καὶ αὐθέ- 65
καστον καὶ ἀληθείας ἑταῖρον καὶ ἀκριβοδίκαιον, ὄγκῳ καὶ σεμνότητι πρὸς
ἅπαντα χρώμενον καὶ πρὸς μηδὲν εἴκοντα, μόνου περιεχόμενον ἀεὶ τοῦ
συμφέροντος ἄνευ θεραπείας τῶν ἀκροωμένων, οὐκ ἀνέχομαι. διαβολὰς 66
δ' ἐρανιῶ κατὰ σοῦ μυρίας καὶ πρὸς τὸν ἐμὸν ἄνδρα τὸν ὄχλον, τὸν
σὸν δεσπότην· ἄχρι γὰρ νῦν ἀπελευθεριάζειν δοκεῖς μοι καὶ ὅτι δοῦλος
τυραννικοῦ γέγονας δεσπότου λίαν ἀγνοεῖς. εἰ δὲ ᾔδεις, ὅτι αὐτοπραγία
μὲν οἰκειότατον ἐλευθέρῳ, οἰκέτῃ δ' ἀλλότριον, ἐπεπαίδευσο ἂν αὐθάδειαν
μεθέμενος εἰς ἐμὲ βλέπειν τὴν ἐκείνου γυναῖκα, ἐπιθυμίαν, καὶ δρᾶν τὰ
πρὸς ἀρέσκειαν τὴν ἐμήν, δι' ὧν μάλιστα εὐαρεστήσεις. (14.) ὁ δὲ 67
πολιτικὸς ὄντως οὐκ ἀγνοεῖ μέν, ὅτι δεσποτικὴν ἐξουσίαν ἔχει ὁ δῆμος,
αὐτὸν δ' οὐχ ὁμολογήσει δοῦλον ἀλλ' ἐλεύθερον καὶ * * * τὴν τῆς
ψυχῆς ἀρέσκειαν. ἀλλ' ἄντικρυς ἐρεῖ· „δημοκοπεῖν οὔτ' ἔμαθον οὔτ'
ἐπιτηδεύσω ποτέ, πόλεως δὲ προστασίαν καὶ ἐπιμέλειαν ἔχειν ἐγχειρισθείς,
ὡς ἀγαθὸς ἐπίτροπος ἢ πατὴρ εὔνους * * * ἀδόλως καὶ καθαρῶς ἄνευ
τῆς ἐχθρᾶς ὑποκρίσεως. ταῦτα φρονῶν ἐξετασθήσομαι μηδὲν ὑποστέλλων 68
μηδὲ συγκρύπτων φωρὸς τρόπον, ἀλλὰ τὸ συνειδὸς αὐγάζων ὡς ἐν ἡλίῳ
καὶ φωτί· φῶς γὰρ ἡ ἀλήθεια· φοβηθήσομαι δ' οὐδὲν ὧν ἂν ἐπανα-
τείνηται, κἂν θάνατον ἀπειλῇ· θανάτου γὰρ ἐμοὶ κακὸν ἀργαλεώτερον

ἰδίων
1 εἰς ὄχλον eras. V ᾧ συνοικῶ K: ὡς συνοίκω ceteri, hic om. O οἰκείων K
αι
ἠθῶν om. F 2 καὶ ἐπ' ἐμὲ H¹P 4 ἕτερον C 5 εἰκότα H¹P, εἶκον BEM περιεχομένου F 7 δ' ἐρανιῶ K¹: ἐρανίζω om. δ' VO, δ' ἐρανίζω K², om. in lacuna BEM, δ' ἐνίων ceteri (v) καὶ secludendum videtur 9 τυραννικὸς A post ἀγνοεῖς add. τὸν σὸν δεσπότην A δὲ] δὲ καὶ A ὅτι om. M 10 οἰκειότατον K: om. ceteri ἐλευθέρα V²O, ἐλευθέρω δ' K οἰκέτου V²O δ' FGHP, δὲ A: om. ceteri ὡς πεπαίδευσο ἂν A 11 δρᾶν τὰ K (coni. Mang.): ἄραντα C, ἔρωτα BEM, ἅπαντα VO, ἅπαντα τὰ AFGHP(v) 12 μάλιστ' A, μᾶλλον V 14 αὑτὸν O, ex αὐτὸν corr. VH: αὐτὸν ceteri δὲ AVO καὶ] κατὰ V²O καὶ ⟨πάντα δρῶντα κατὰ⟩ τὴν τ. ψ. ἀ. coni. Mang. 15 ἀρέσκειαν] εὐγένειαν V²K² δημοσκοπεῖν BEKM οὐκ ἔμαθον A (Mang.) 16 ἐπετήδευσα HP ἔχειν] ἀνέχειν F, om. BEK 17 verbum deest; δράσω vel χρηματιῶ e. gr. conicio; βραβεύσω pro καὶ καθαρῶς coni. Mang. coll. 76,15; sed fortasse haec ἀνακολούθως cum seqq. coniungenda sunt ... ὑποκρίσεως — ταῦτα φρονῶν κτλ. 18 ταὐτὰ K φρονεῖν F 19 μηδὲ] μηδὲν BE αὐγάζον ὡς V²O, αὐγάζοντος (vel αὐγάζον ὅς?) V¹ 20 post φωτί add. περιφέρων V²O, ss. K² δὲ CVO 20. 21 ὧν ἐπανατείνεται (om. ἂν) A 21 κἂν] καὶ C ἀπειλῇ] ἀπαιτῇ HP κακὸν om. K

69 ὑπόκρισις. ἣν ὑπομενῶ τοῦ χάριν; καὶ γὰρ εἰ δεσπότης ὁ δῆμος, ἀλλ'
οὐκ ἐγὼ δοῦλος, εὐπατρίδης δ' εἰ καί τις ἄλλος, ἐφιέμενος ἐγγραφῆς
70 τῆς ἐν τῷ μεγίστῳ καὶ ἀρίστῳ πολιτεύματι τοῦδε τοῦ κόσμου. ὅταν
γὰρ μὴ δῶρα, μὴ παρακλήσεις, μὴ τιμῶν ἔρως, μὴ ἀρχῆς ἐπιθυμία, p. 52 M.
μὴ ἀλαζονεία, μὴ ὁ τοῦ δοκεῖν ἵμερος, μὴ ἀκολασία, μὴ ἀνανδρία, μὴ
ἀδικία, μηδὲν ἄλλο τῶν ὅσα ἐκ πάθους ἢ κακίας ὑπάγηται. τίνος ἔτι
71 φοβηθήσομαι δεσποτείαν; ἢ δῆλον ὅτι τὴν ἀπ' ἀνθρώπων; ἀλλ' οὗτοί γε
τὴν σώματος ἐπιγράφονται κυρείαν, οὐ τὴν κατ' ἐμέ· ἐγὼ γὰρ ἀπὸ
τοῦ κρείττονος, τῆς ἐν ἐμαυτῷ διανοίας, χρηματίζω, καθ' ἣν παρε-
σκεύασμαι βιοῦν ὀλίγα φροντίζων τοῦ θνητοῦ σώματος, ὃ κἂν ὀστρέου
δίκην περιπεφυκὸς ἐπηρεάζηται πρός τινων, ἀφειμένον τῶν ἔνδον δεσποτῶν
τε χαλεπῶν καὶ δεσποινῶν, οὐκ ἀνιάσομαι τὴν βαρυτάτην ἀνάγκην ἐκπε-
72 φευγώς. ἐὰν οὖν δικάζειν δέῃ, δικάσω μήτε πλουσίῳ προσθέμενος διὰ
τὴν περιουσίαν μήτε πένητι διὰ τὸν ἐπὶ ταῖς ἀτυχίαις ἔλεον, ἀλλὰ τὰ
τῶν κρινομένων ἀξιώματα καὶ σχήματα παρακαλυψάμενος ἀδόλως βρα-
73 βεύσω τὸ φανησόμενον δίκαιον. ἐάν τε βουλεύω, γνώμας εἰσηγήσομαι
τὰς κοινωφελεῖς, κἂν μὴ πρὸς ἡδονὴν ὦσιν· ἐάν τε ἐκκλησιάζω, τοὺς
θῶπας λόγους ἑτέροις καταλιπὼν τοῖς σωτηρίοις χρήσομαι καὶ συμφέ-
ρουσιν, ἐπιτιμῶν, νουθετῶν, σωφρονίζων, οὐκ αὐθάδειαν μανιώδη καὶ
74 παράφορον ἀλλὰ νήφουσαν παρρησίαν ἐπιτετηδευκώς. εἰ δὲ μὴ χαίρει
τις ταῖς βελτιώσεσιν, ἐπιτιμάτω καὶ γονεῦσι καὶ ἐπιτρόποις καὶ διδα-
σκάλοις καὶ πᾶσι τοῖς κηδεμόσιν, ὅτι τέκνα γνήσια καὶ ὀρφανοὺς παῖδας
καὶ φοιτητὰς κακηγοροῦσιν, ἔστι δ' ὅτε καὶ τύπτουσιν, οἷς οὔτε βλασφη-

1 ὑπομένω BEM 2 οὐκ K: οὖν ceteri (v) δοῦλος] δῆμος A εὐπατρίδης δ' K: δ' om. ceteri (v) 2. 3 ἐγγραφῆς τῆς AFGHP: ἐγγραφεῖσθαι ceteri (sic Mang.) 3 τοῦδε om. BKM τῷδε τῷ κόσμῳ conicio 4 παρακλήσεις AFGHP: παράκλησις ceteri 6 κακίας ἢ πάθους transp. A ὑπάγεται A, ὑπαγάγηται V^{2}O ἔτι] ἕνεκα V^{2}O 7 φοβήσομαι GH^{1}, φοβηθήσεται A δέσποτα O ἢ—ἀνθρώπων om. HP^{1}, add. mg. P^{2} δηλονότι CAGP^{2} τὴν] τῶν BEM ὑπ' AP^{2} οὗτοι P 8 κυρίαν FL (v) οὐ τὴν κατ' ἐμέ K^{1}: οὐδὲν κατ' ἐμοῦ ceteri 11 περιπεφυκὼς P ἀφειμένων AF^{1}; ἀφειμένος coni. Mang. 12 τε om. BEK χαλεπῶν καὶ VO: καὶ χαλεπῶν ceteri. χαλεπῶν om. F οὐκ add. ante ἐκπεφευγὼς F 13 μήτε] μὴ A 13. 14 διὰ τὴν περιουσίαν om. F 14 τὰ om. FGH^{1}P 15 ἀξιώματι καὶ σχήματι F τε καὶ A 16 βουλεύσω F, δουλεύω G, βουλεύω om. M εἰσηγήσωμαι F 17 ἐκκλησιάζων F 18 ἑτέρω A, ἑτέρων F 20 παράφρονα VO post νήφουσαν add. καὶ BEM χ^{οι}αίρει A, χαίρῃ C 22 τέκνα] τε καὶ BEMVO 23 κατηγοροῦσιν C^{1}FGHP, κα^{κ}τηγοροῦσιν K

μίαν οὐθ' ὕβριν ὅσιον ἐπιφημίζειν, ἀλλὰ τοὐναντίον τὰ φιλίας καὶ εὐνοίας
ὀνόματα. πάνυ γὰρ ἀνάξιον τὸν πολιτικὸν ἐμὲ καὶ τὰ τοῦ δήμου πάντα 75
ἐπιτετραμμένον ἐν τοῖς περὶ τοῦ συμφέροντος λογισμοῖς χείρονα γενέσθαι
τινὸς τὴν ἰατρικὴν τέχνην ἐπιτηδεύοντος. ἐκεῖνος γὰρ οὐδὲν τῆς περὶ 76
τὸν θεραπευόμενον λαμπρότητος ἐν ταῖς νομιζομέναις εὐτυχίαις φρον-
τίσας, οὐθ' ὅτι εὐγενὴς ἦν ἢ πολυχρήματος οὐθ' ὅτι τῶν κατ' αὐτὸν
ἐνδοξότατος βασιλεὺς ἢ τύραννος, ἑνὸς περιέχεται μόνου τοῦ σῶσαι κατὰ
δύναμιν, κἂν δέῃ τομαῖς ἢ καύσεσι χρῆσθαι, καίει τε καὶ τέμνει τὸν
ἄρχοντα καὶ δεσπότην ὁ ὑπήκοος καὶ λεγόμενος δοῦλος. ἐγὼ δ' οὐχ 77
ἕνα ἄνδρα πόλιν δ' ὅλην κάμνουσαν παραλαβὼν ὑπ' ἀργαλεωτέρων νόσων,
ἃς κατεσκεύασαν αἱ συγγενεῖς ἐπιθυμίαι, τί πράσσειν ὀφείλω; προέμενος
τὰ συνοίσοντα πᾶσι κοινῇ τὰ τοῦ δεῖνος ἢ τοῦ δεῖνος ὦτα θεραπεύειν
ἀνελευθέρῳ καὶ σφόδρα δουλοπρεπεῖ κολακείᾳ; τεθνάναι μᾶλλον ἂν
p. 53 M. ἑλοίμην ἢ πρὸς ἡδονήν τι φθεγξάμενος | ἐπικρύψαι τὴν ἀλήθειαν καὶ
τοῦ συμφέροντος ἀμελῆσαι.

„πρὸς ταῦθ'" 78

ὡς ὁ τραγικός φησιν

„ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανον". —

„πίμπρα, κάταιθε σάρκας. ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον."

1 καὶ εὐνοίας om. BEKM, add. mg. K^2 2 ἄξιον V^1 ἐμὲ τὸν πολιτικὸν transp. G καὶ τὰ] κατὰ C^1VO, καὶ τὸ C^2, καὶ τὸν F πάντα] πᾶν CV^1, τὸ πᾶν V^2O, πάντα om. A 6 ἢ πολυχρήματος ἦν transp. G κατ' αὐτὸν KF: καθ' αὑτὸν ceteri (v) 8 ἢ] καὶ F κεχρῆσθαι A κάει τε corr. ex καὶ εἴτε B καίειν τε καὶ τέμνειν VO, τέμνει τε καὶ καίει transp. A, τε om. C 9 καὶ alt. om. K 12 θεραπεύσω K post θεραπεύειν interpung. CVOBEM 13 ἀνελεύθερον καὶ σφόδρα δουλοπρεπὲς CVOK^2BEM (γρ. ἀνελευθέρῳ καὶ δουλοπρεπεῖ mg. V) κολακείᾳ] καὶ κολακεία V^1, θεραπεία A ἂν om. BEK^1MV^1 14 φθεγγόμενος H 17 ὡς om. O 18 ἴτω μὲν πῦρ om. F μὲν] γε V^2O post φάσγανον add. τομὸν V^2K^2, τὸ μὲν O 19 πίπρα BM σαρκὸς V^2O 20 καὶ πίνων F κελαινὸν αἷμα πίνων transp. G πρόσθεν AF 21 γῆς κύκλον ἴσης ἠρμένον πρὸς αἰθέρα V^2O εἶσιν] εἴη K, ἤει C γῆ δ' ἄνεισ' FH: γῆ τ' ἄνεισ' B^2M, πηδᾶν εἴση B^1E, γῆ δ' ἄνεισιν A, γῆ δ' ἂν G, γῆ τ' ἂν P, γῆ δ' ἂν εἴη K, γῆ δ' ἀνήει C 22 θῶπα C

16. 18 Eur. Phoen. 521 19—22 Eur. frg. 687 Nauck²

79 οὕτως οὖν ἠρρενωμένον τὸ φρόνημα καὶ ἐκτὸς πάντων παθῶν ἱστάμενον,
ἡδονῆς, φόβου, λύπης, ἐπιθυμίας, ἄνδρα πολιτικὸν ὁ δεσπότης δῆμος
οὐκ ἀνέχεται, συλλαβὼν δ' ὡς ἐχθρὸν κολάζει τὸν εὔνουν καὶ φίλον,
πρὸ ἐκείνου τιμωρούμενος ἑαυτὸν τῇ μεγίστῃ τῶν τιμωριῶν, ἀπαιδευσίᾳ,
δι' ἣν οὐκ ἔμαθεν ἄρχεσθαι, τὸ κάλλιστον καὶ βιωφελέστατον, ἐξ οὗ
περιγίνεται καὶ τὸ ἄρχειν.
80 (15.) Ἀποχρώντως δὴ καὶ περὶ τούτων διειλεγμένοι τὰ ἑξῆς ἴδωμεν.
ὁ διαβληθεὶς νεανίας ὑπὸ τῆς ἐρωμένης γυναικὸς τῷ δεσπότῃ πλασαμένης
ἀντιστρόφους αἰτίας, αἷς ἦν ἔνοχος αὐτή, μηδ' ἀπολογίας τυχὼν εἰς εἱρ-
κτὴν ἀπάγεται· καὶ γενόμενος ἐν τῷ δεσμωτηρίῳ τοσοῦτον ἀρετῆς
μέγεθος ἐπεδείξατο, ὡς καὶ τοὺς πονηροτάτους τῶν ἐκεῖ τεθηπέναι καὶ
καταπλήττεσθαι καὶ παρηγόρημα τῶν συμφορῶν ὑπολαμβάνειν ἀλεξίκακον
81 εὑρηκέναι τὸν ἄνθρωπον. ὅσης δ' ἀπανθρωπίας οἱ εἱρκτοφύλακες γέ-
μουσι καὶ ὠμότητος, οὐδεὶς ἀγνοεῖ· φύσει τε γὰρ ἀνηλεεῖς εἰσι καὶ
μελέτῃ συγκροτοῦνται θηριούμενοι καθ' ἑκάστην ἡμέραν πρὸς ἀγριότητα,
χρηστὸν μὲν οὐδὲν ἀλλ' οὐδ' ἐκ τύχης ὁρῶντες ἢ λέγοντες ἢ δρῶντες,
82 ὅσα δὲ βιαιότατα καὶ χαλεπώτατα. καθάπερ γὰρ οἱ τὰ σώματα εὐπα-
γεῖς, ὅταν τὴν ἐξ ἀθλητικῆς ἄσκησιν προσλάβωσι, νευροῦνται δύναμιν
ἀνανταγώνιστον καὶ εὐεξίαν ὑπερβάλλουσαν κτώμενοι, τὸν αὐτὸν τρόπον,
ὅταν ἀτίθασος καὶ ἀμείλικτος φύσις ἄσκησιν εἰς τὸ ἀνήμερον προσλάβῃ,
διχόθεν ἄβατος καὶ ἀπρόσιτος οἴκτῳ γίνεται, χρηστῷ πάθει καὶ φιλαν-
83 θρώπῳ. ὥσπερ γὰρ οἱ τῶν ἀγαθῶν ὁμιληταὶ βελτιοῦνται τοὺς τρόπους

1 ἡρμένον AFGHP ἐκτὸς AFGHP: om. K, ἐκ ceteri (ss. K²) πάντων] πάνυ τῶν K τῶν παθῶν VO ἱστάμενος A 2 ἐπιθυμίας om. A 3 συλλαβὸν C τὸ P καὶ om. VO 4 πρὸς C¹ 5. 6 ἐξ οὗπερ γίνεται BEKM 6 καὶ om. A 7 δὴ] οὖν A 8 πλασαμένη M, πλασάμενος F 9 αὔτη A μηδὲ C 9. 10 εἰς τὴν εἱρκτὴν F 11 ἐκεῖ CAVO: ἐκεῖσε ceteri 12 ⟨καὶ⟩ ἀλεξίκακον coni. Mang. 12. 13 εὑρηκέναι ἀλεξίκακον transp. K 13 δ' om. CVO οἱ εἱρκτοφύλακες ἀπανθρωπίας transp. CVO 15 συγκροτούμενοι θηριοῦνται V²O θηριούμενοι post ἡμέραν transp. A καθ' CAKV²: καὶ ante καθ' add. ceteri 16 ἀλλ' οὐδ' ἐκ τύχης K (V¹ ut vid.) cf. § 238: ἀλλ' οὐδὲ τύχης BEM, ἀλλ' οὐδ' εὐμενὲς V²O, om. ceteri (v) λέγοντες ἢ δρῶντες ἢ ὁρῶντες transp. A; δρῶντες ἢ λέγοντες ἢ ὁρῶντες Mang. 17 βιαιότητα M, βεβαιότατα B¹E 17. 18 εὐπραγεῖς A 18 ἀθλητικῆς C: ἀσκητικῆς ceteri ἄσκησιν] ἐκτριβὴν V²K²O 20 ἀτίθασος CBEHP: ἀτίθασσος ceteri καὶ ἀμείλικτος om. A προσλάβοι A 21 γίνεται K¹: ἐνὶ ceteri; ἢ ἐνὶ Mang. πάθει χρηστῷ transp. CA 22 καὶ ὥσπερ H γὰρ om. HP¹

8 sqq. Gen. 39,21—23

χαίροντες τοῖς συνοῦσιν, οὕτω καὶ οἱ τοῖς πονηροῖς συζῶντες ἀπομάττονταί τι τῆς ἐκείνων κακίας· δεινὸν γὰρ τὸ ἔθος ἐξομοιῶσαι καὶ βιάσασθαι πρὸς φύσιν. συνδιατρίβουσιν οὖν οἱ εἱρκτοφύλακες λωποδύταις, κλέπταις, 84 τοιχωρύχοις, ὑβρισταῖς, βιαίοις, φθορεῦσιν, ἀνδροφόνοις, μοιχοῖς, ἱεροσύλοις, ὧν ἀφ' ἑκάστου σπῶνταί τι μοχθηρίας καὶ συνερανίζουσι καὶ ἐκ τῆς πολυμιγοῦς κράσεως ἓν ἀποτελοῦσι πάμφυρτον καὶ παμμίαρον κακόν.

p. 54 M. (16.) ἀλλ' ὅμως ὁ τοιοῦτος | ἡμερωθεὶς ὑπὸ τῆς τοῦ νεανίσκου καλοκἀγαθίας οὐ μόνον ἀδείας καὶ ἐκεχειρίας μετέδωκεν, ἀλλὰ καὶ ἀρχῆς 85 τῆς ἐφ' ἅπασι τοῖς δεσμώταις, ὡς λόγῳ μὲν ἕνεκα προσχήματος ἐμμένειν εἱρκτοφύλαξ, τὴν δ' ἐν ἔργοις τάξιν παρακεχωρηκέναι τῷ νεανίᾳ, δι' ἧς οὐκ ὀλίγα συνέβαινε τοὺς ἀπαχθέντας ὠφελεῖσθαι. τὸ γοῦν χωρίον οὐδ' 86 ὀνομάζειν ἔτ' ἠξίουν εἱρκτήν, ἀλλὰ σωφρονιστήριον· ἀντὶ γὰρ βασάνων καὶ τιμωριῶν, ἃς νύκτωρ καὶ μεθ' ἡμέραν ὑπέμενον τυπτόμενοι καὶ καταδούμενοι καὶ τί κακὸν οὐ πάσχοντες, λόγοις καὶ δόγμασι τοῖς φιλοσοφίας ἐνουθετοῦντο καὶ ταῖς ἀνυσιμωτέραις παντὸς λόγου πράξεσι τοῦ διδάσκοντος. τὸν γὰρ αὑτοῦ βίον σωφροσύνης καὶ πάσης ἀρετῆς οἷα γραφὴν ἀρχέτυπον 87 εὖ δεδημιουργημένην ἐν μέσῳ θεὶς ἐπέστρεφε καὶ τοὺς πάνυ δοκοῦντας ἀνιάτως ἔχειν, οἷς μακραὶ νόσοι τῆς ψυχῆς ἐλώφησαν ἤδη κακίζουσιν ἐπὶ τοῖς πεπραγμένοις αὑτοὺς καὶ μετανοοῦσι καὶ τοιαῦτ' ἐπιφθεγγομένοις· „ποῦ ποτ' ἄρ' ἦν πάλαι τοσοῦτον ἀγαθόν, οὗ τὴν ἀρχὴν ἐσφάλημεν; ἰδοὺ γὰρ ἐπιλάμψαντος αὐτοῦ, ὡς πρὸς κάτοπτρον τὴν ἀκοσμίαν ὁρῶντες αὑτῶν αἰσχυνόμεθα". (17.) τοῦτον τὸν τρόπον βελτιουμένων εἰσάγονται 88

1 post συνοῦσιν add. ἡδέσι καὶ ἀγαθοῖς HP(v) τοῖς alt. om. BEK¹ 2 τι BEM: om. ceteri τῆς] τὰς V²O 3 οὖν AFG: δ' H, om. ceteri κλέπτες C, κλέπται M 4 βιοφθορεῦσιν H ἀνδροφόνοις om. H 5 σπῶνται] σύνυῶνται (sic; ῢ ν suprascr.) H, συνυλῶνται L 6 πολυμμιγοῦς V ἓν ex ἐν corr. HP μιαρὸν VO 7 ἀπὸ A 8 ἐκκεχειρίας VAP 9 τῆς] τοῖς B¹E προσχήματος F ἔτι μένειν coni. Wendl. 10 δὲ C τάξιν] πρᾶξιν HP(v); προστασίαν coni. Mang. 11 γοῦν] γὰρ C 12 ἔτι F 13 νύκτωρ] νύκταις corr. in νύκτας C 14 κακὸν corr. ex κακῶν G, κακῶν EFHP τοῖς C, τοῖς ex τῆς corr. H: τῆς ceteri 16 αὑτοῦ V²H²: αὐτοῦ ceteri 17 εὖ] οὐ G ἐπέτρεψε BEM, ἐπέστρεφε V²O, ὑπέστρεψε F 18 ἐλόφησαν C 19 αὑτοὺς O, αὐτοὺς KF, αὑτοὺς corr. ex αὑτοῖς V: αὑτοῖς ceteri (v) τοιαῦτα A ἐπιφθεγγόμενοι VO 20 ἄρα K πάλαι om. A, post ἀγαθὸν transp. F 21 γὰρ CA: γὰρ καὶ ceteri ὡς] καὶ F κάτοπτον E 21. 22 αὑτῶν ὁρῶντες transp. CV 22 αὐτῶν CKOFH¹P, αὑτῶν om. A αἰσχυνόμεθα—ἀρχιοινοχόος (80,1) om. F βελτιουμένων] εἰσαγομένων O

2. 3 D^K fol. 249ᵛ Φίλωνος ἐκ τοῦ εἰς τὸν Ἰωσήφ: δεινὸν τὸ ἔθος—πρὸς φύσιν.
22sqq. Gen. cap. 40

δύο εὐνοῦχοι τοῦ βασιλέως, ὁ μὲν ἀρχιοινοχόος, ὁ δὲ ἀρχισιτοποιός, ἐν οἷς ἐπετράπησαν κατηγορηθέντες καὶ καταγνωσθέντες. ὁ δὲ καὶ τούτων τὴν ἐπιμέλειαν ἦν καὶ τῶν ἄλλων ἐποιεῖτο, εὐχόμενος ὅπως οἷός τε ᾖ
89 μηδὲν χείρους τῶν ἀνεπιλήπτων ἀπεργάσασθαι τοὺς ὑφ' ἑαυτῷ. χρόνου δ' οὐ μακροῦ διελθόντος, ἐπιὼν τοὺς δεσμώτας ὁρᾷ συννοίας καὶ κατηφείας γέμοντας μᾶλλον ἢ πρότερον τοὺς εὐνούχους καὶ στοχασάμενος ἐκ τῆς σφοδρᾶς λύπης προσπεπτωκέναι τι νεώτερον ἐπυνθάνετο τὴν αἰτίαν.
90 ἀποκριναμένων δέ, ὡς ὀνείρους ἰδόντες ἄσης καὶ ἀδημονίας πεπλήρωνται, μηδενὸς ὄντος τοῦ διακρινοῦντος, „θαρσεῖτε“ ἔφη „καὶ διηγεῖσθε, γνώριμοι γὰρ ἔσονται βουλομένου θεοῦ· βούλεται δὲ τὰ συνεσκιασμένα τῶν πραγμάτων ἀνακαλύπτειν τοῖς ἀλήθειαν ποθοῦσιν.“ εἶτα πρότερος ὁ ἀρχιοινο-
91 χόος φησίν· „ἔδοξα μεγάλην ἄμπελον ἐκπεφυκέναι τριῶν πυθμένων ἓν εὐερνέστατον στέλεχος, τεθηλυῖαν καὶ βοτρυηφοροῦσαν ὡς ἐν ἀκμῇ τῆς ὀπώρας, ὑποπερκαζούσης δὲ τῆς σταφυλῆς δρέψασθαι τῶν βοτρύων καὶ εἰς ἔκπωμα βασιλικὸν ἀποθλίβειν. ὅπερ ἱκανῶς ἔχον ἀκράτου προσενεγκεῖν
92 τῷ βασιλεῖ.“ ὁ δὲ μικρὸν ἐπισχὼν „εὐτυχίαν“ εἶπεν „ἡ φαντασία σοι καταγγέλλει καὶ τῆς προτέρας ἀνάληψιν ἀρχῆς· αἱ γὰρ τρεῖς ῥίζαι τῆς ἀμπέλου τρεῖς ἡμέρας ὑπογράφουσι. μεθ' ἃς ὑπομνησθήσεταί σου ὁ βασιλεὺς καὶ μεταπεμψάμενος ἐνθένδε παρέξει μὲν ἀμνηστίαν, ἐπιτρέψει δὲ τῆς αὐτῆς μεταποιεῖσθαι τάξεως, καὶ ὑπὲρ βεβαιώσεως τῆς ἀρχῆς οἰνοχοήσεις ἀναδοὺς ἔκπωμα τῷ δεσπότῃ.“ καὶ ὁ μὲν ἐγεγήθει ταῦτ'
93 ἀκούσας. (18.) ὁ δ' ἀρχισιτοποιὸς | ἀποδεξάμενος τὴν διάκρισιν, ὡς p. 55 M.
καὶ αὐτὸς εὐτυχὲς ὄναρ ἰδὼν — ἦν δ' οὐ μετρίως παλίμφημον —, ἀπατηθεὶς ταῖς ἑτέρου χρησταῖς ἐλπίσι φησίν· „ἀλλὰ κἀγὼ κανηφορεῖν

1 δὲ CA: δ' ceteri ἀρτοσιτοποιός (sic) F ἐν] ἐφ' VO 3 ἦν] ᾖ CAV²K²O οἷόν τε BEF, οἷόν τ' A, εἰ οἷόν τε CVOK ἦν A (ᾖ superscr.), ἦν F, ᾖ om. BEM 4 ἐργάσασθαι CK¹, ἀπεργάσηται VOK² ἑαυτὸν corr. ex ἑαυτῷ F 5 ἐπιὼν] ἐπὶ F 6 γέμοντας τοὺς δεσμώτας μᾶλλον ἢ πρότερον K (superscr. α, γ εὐνούχους, β) εὐνούχους corr. ex δεσμώτας O 7 σφόδρα BEKVO προπεπτωκέναι G ἐπυνθάνετο τὴν αἰτίαν om. M 8 ἀποκριναμένων CABEKM: ἀποκρινομένων ceteri καὶ ἄσης F ἄσης] πάσης VO καὶ om. VO, ἄσης καὶ om. A ἀδημονίας] ἀθυμίας A 9 διακρίνοντος A 10 βουλεύεται AF 11 πρότερον CAVO 12 ἔδοξε BEM εἰς ἓν F, ἓν om. BEMHP¹ 13 βοτρυοφοροῦσαν MAHO ὡς om. A 14 ὑπερπερκαζούσης A 15 εἰς] ὡς G καὶ ante ὅπερ add. F 15. 16 ἔχον ἱκανῶς ἀκράτου τῷ βασιλεῖ προσενεγκεῖν K 16 σοι om. A 19 ὁ βασιλεὺς om. HP¹, add. mg. P² 20 δὲ CA: δὲ καὶ ceteri 21 ταῦτα CK 22 δὲ CVO ὡς] ὃς BEMG 23 καὶ om. A εὐτυχὲς] ἔτυχεν CBEM 24 ἑταίρου A ἐλπίσι χρησταῖς transp. A

ἔδοξα καὶ τρία πλήρη κανᾶ πεμμάτων κομίζειν ἐπὶ τῆς κεφαλῆς, τὸ δ'
ἀνωτάτω πλῆρες εἶναι παντοίων γενῶν, οἷς ἔθος ἐστὶ χρῆσθαι τὸν βασιλέα
— ποικίλας δ' εἶναι τὰς πρὸς δίαιταν βασιλικὴν σιτοπόνων περιεργίας —.
ὄρνεις δὲ καθιπταμένους ἁρπάζειν ἀπὸ τῆς κεφαλῆς καὶ ἀπλήστως ἐμφορεῖ-
σθαι, μέχρις οὗ πάντ' ἀναλῶσαι καὶ μηδὲν τῶν εὐτρεπισθέντων ὑπο-
λιπέσθαι.“ ὁ δὲ „ἐβουλόμην μὲν“ εἶπε „μὴ παραστῆναί σοι τὴν φαν- 94
τασίαν ἢ φανεῖσαν ἡσυχασθῆναι ἤ, εἰ καὶ διηγεῖτό τις, μακρὰν γοῦν,
ἵνα μὴ κατακούσαιμι, τῶν ἐμῶν ὤτων γενέσθαι τὴν διήγησιν· ὀκνῶ τε
γάρ, εἰ καί τις ἄλλος, εἶναι κακῶν ἄγγελος συναλγῶ τε τοῖς ἐν συμφοραῖς,
ἕνεκα φιλανθρωπίας οὐχ ἥκιστα τῶν ὑπομενόντων ὀδυνώμενος. ἀλλ' 95
ἐπειδὴ τοῖς ὀνείρων κριταῖς ἀληθεύειν ἀναγκαῖον θεῖα λόγια διερμηνεύουσι
καὶ προφητεύουσι, λέξω μηδὲν ὑποστειλάμενος· ἀψευδεῖν γὰρ ἐπὶ μὲν
πάντων ἄριστον, ἐπὶ δὲ τῶν θείων ἀποφθεγμάτων καὶ ὁσιώτατον. τὰ 96
τρία κανᾶ σύμβολον τριῶν ἡμερῶν ἐστιν· ἐπισχὼν ταύτας ὁ βασιλεὺς
ἀνασκολοπισθῆναί σε καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύσει καὶ καταπτά-
μενα ὄρνεα τῶν σῶν εὐωχηθήσεται σαρκῶν, ἄχρις ἂν ὅλος ἐξαναλωθῇς.“
καὶ ὁ μὲν ὥσπερ εἰκὸς συγχυθεὶς ἀνατέτραπτο, καραδοκῶν τὴν ὁρι- 97
σθεῖσαν προθεσμίαν καὶ τῇ διανοίᾳ τὰς ἀνίας προσδεχόμενος. ὡς
δ' αἱ τρεῖς ἡμέραι διῆλθον, γενέθλιος ἐπέστη τοῦ βασιλέως, ἐν ᾗ πάντες
οἱ κατὰ τὴν χώραν ἐπανηγύριζον, διαφερόντως δ' οἱ περὶ τὰ βασί-
λεια. ἑστιωμένων οὖν τῶν ἐν τέλει καὶ τῆς θεραπείας εὐωχουμένης 98
ὥσπερ ἐν δημοθοινίᾳ, τῶν κατὰ τὸ δεσμωτήριον εὐνούχων ὑπομνησθεὶς
ἀχθῆναι κελεύει καὶ θεασάμενος τὰκ τῆς τῶν ὀνείρων διακρίσεως ἐπι-

1 κανᾶ πεμμάτων πλήρη transp. O 2 ἀνώτατον A εἶναι] ἦν F ἔθος ἐστὶ
εἴωθε K (ἔθος ἐστὶ scripsi): εἴωθε ceteri 3 ποικίλαι δ' αἱ πρὸς δ. β. σ. περιεργίαι conicio; δ' ⟨εἰκὸς⟩ εἶναι coni. Wendl. τὰς] τε A 4 ὄρνεις corr. ex ὄρνις K, ὄρνις BEMA ἁρπάξειν HP 5 μέχρι C οὗ] ἂν F; μέχρις τοῦ v πάντα CVO, πάντας F καὶ om. F 5. 6 ὑπολειπέσθαι HP, ὑπο- corr. in ἀπο- K 6 μὲν om. MA(v) 8 ὀκνῶ τε K[1]: ὀκνότεραι VOK[2], ὀκνοτέρα BE, ὀκνηροτέρα M, ὀκνῶ (om. τε) ceteri 9 εἰ καί τις ἄλλος K: εἴ γέ τις BEMVO, τις (cet. om.) ceteri (v) εἶναι κακῶν ἄγγελος AK: ἄγγελος εἶναι κακῶν ceteri συναλγῶ τε K: συναγωγαὶ BEMV[1], ἐπαγωγαὶ V[2]O, συναλγῶ γὰρ ceteri τοῖς] ταῖς G 10 ἥκιστα] ἧττον coni. Mang. τῶν om. VO 11 ὀνειράτων F 13 θείων A: ὁσίων ceteri ἀδικημάτων A 15 σε ante κελεύσει repet. C

15. 16 καταπτάντα A 16 ὅλος (ω supra) A, ὅλως F 17 post εἰκὸς add. ἦν HP ἀνετέτραπτο CFGP; ἀπετέτραπτο coni. Mang. 18 τὰς ἀνίας om. BEM 19 δ' αἱ] δὲ (om. αἱ) A γενέθλιον F ᾗ] ᾧ F 20 τὴν om. A δὲ C, δ' om. AFGP 21 εὐωχούσης VOK[2] 22 τὸ om. A 23 τάκ] κάκ CVO, τὰ ἐκ HP

σφραγίζεται, προστάξας τὸν μὲν ἀνασκολοπισθῆναι τὴν κεφαλὴν ἀποτμη-
θέντα, τῷ δὲ τὴν ἀρχὴν ἣν διεῖπε πρότερον ἀπονεῖμαι.
99 (19.) Καταλλαγεὶς δὲ ὁ ἀρχιοινοχόος ἐκλανθάνεται τοῦ τὰς καταλ-
λαγὰς προειπόντος καὶ ἕκαστα τῶν συμπεσόντων ἀτυχημάτων ἐπικου-
φίσαντος, ἴσως μὲν ἐπειδὴ πᾶς ἀχάριστος ἀμνήμων ἐστὶν εὐεργετῶν.
ἴσως δὲ καὶ κατὰ πρόνοιαν θεοῦ βουληθέντος τὰς εὐπραγίας τῷ νεανίᾳ
100 μὴ δι' ἀνθρώπου γενέσθαι μᾶλλον ἢ δι' ἑαυτοῦ. μετὰ γὰρ διετῆ χρόνον
τῷ βασιλεῖ τὰ μέλλοντα τῇ χώρᾳ συμβαίνειν ἀγαθὰ καὶ κακὰ διτταῖς
φαντασίαις δι' ὀνείρου θεσπίζεται ταὐτὸν ὑποσημαινούσαις ἕνεκα βεβαιο-
101 τέρας πίστεως. ἔδοξε γὰρ ἑπτὰ βόας ἀνέρπειν ἐκ τοῦ ποταμοῦ, πίονας
καὶ σφόδρα εὐσάρκους καὶ καλὰς ὀφθῆναι, καὶ παρὰ ταῖς ὄχθαις νέμεσθαι·
μεθ' ἃς ἑτέρας ἀριθμὸν ἴσας, | ἀσάρκους τρόπον τινὰ καὶ κατεσκελετευ- p. 56 M.
μένας καὶ εἰδεχθεστάτας, ἀνελθεῖν καὶ συννέμεσθαι ταῖς προτέραις· εἶτ'
ἐξαπιναίως ὑπὸ τῶν χειρόνων καταβρωθῆναι τὰς ἀμείνους καὶ μηδὲν
ἀλλὰ μηδὲ τὸ βραχύτατον ταῖς ἐμφορηθείσαις πρὸς ὄγκον ἐπιδοῦναι τὰς
102 γαστέρας, ἀλλ' ἢ μᾶλλον ἢ οὐχ ἧττον ἐστάλθαι. περιαναστὰς δὲ καὶ
κοιμηθεὶς πάλιν ἑτέρᾳ πληχθῆναι φαντασίᾳ· νομίσαι γὰρ ἑπτὰ πυροῦ
στάχυς ἐκπεφυκότας ἑνὸς πυθμένος, ἰσαιτάτους τοῖς μεγέθεσιν, αὐξο-
μένους καὶ τεθηλότας αἴρεσθαι πρὸς ὕψος μάλ' εὐρώστους· εἶθ' ἑτέρους
ἑπτὰ λεπτοὺς καὶ ἀσθενεῖς ἀναπεφυκέναι πλησίον, ὑφ' ὧν ἐπιδραμόντων
103 καταποθῆναι τὸν εὔσταχυν πυθμένα. ταύτην ἰδὼν τὴν ὄψιν, τὸ λειπό-
μενον τῆς νυκτὸς ἄυπνος διατελέσας — ἤγειρον γὰρ αἱ φροντίδες κεντοῦ-

1 προδιάξας (sic) A   1. 2 καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι BEMA   τμηθέντα F
2 τῷ] τὸν VO   ἀπονεῖμαι] ἀποδοῦναι A, ἀπολαβεῖν VOK²   3 δ' KF
πεσόντων
οἰνοχόος BEMA   4 συμβησομένων K   4. 5 ἀποκουφίσαντος A   5 εὐεργε-
τιῶν P   7 δι' μ.] δ' F   8 τῇ χώρᾳ συμβαίνειν CVO: συμβαίνειν τῇ
χώρᾳ ceteri   8. 9 διτταῖς φαντασίαις post θεσπίζεται (9) transp. CV; διτταῖς δι'
ὀνείρου φ. θ. Mang.   9 ὀνειράτων F   θεσπίζει VOK²   ὑποσημαινούσαις
AFGHP: ὑποσημαίνοντος ceteri   9. 10 βεβαιοτέρας πίστεως ἕνεκα transp. A
10 ἔδοξα BEM   ἀνέλκειν in textu H, ἀνέρπειν mg. H   11 σφόδρ' C
καὶ καλὰς A: καὶ om. ceteri   περὶ F   τὰς ὄχθας AVO   12 μεθ']
ε ε
καθ' G   ἀριθμῷ V²O   καὶ om. AFGH¹P   12. 13 κατεσκηλιτευμένας V,
κατεσκηλιτευμένας O, κατεσκ=ληιτευμένας H, κατεσταλμένας M   13 καὶ εἰδεχθε-
στάτας A: καὶ om. ceteri   15 μηδὲ om. HP¹   16 συνεστάλθαι F
17. 18 πυροῦ στάχυς AFGHPK¹: πυροὺς παχεῖς ceteri   18 ἐκπεφυκότος G
ἰσοτάτους A, ἰσωτάτους H(v)   18. 19 αὐξανομένους VO   19 μάλα VO,
μᾶλλον HP   εὐρώστως A (coni. Mang.)   εἶτα V   22 κεντροῦσαι CFHP

7 sqq. Gen. cap. 41

σαι καὶ τιτρώσκουσαι —, μεταπέμπεται τοὺς σοφιστὰς ἅμα τῇ ἕῳ καὶ
τὴν φαντασίαν διηγεῖται. μηδενὸς δὲ στοχασμοῖς εἰκόσι τἀληθὲς ἰχνη- 104
λατῆσαι δυναμένου, παρελθὼν ὁ ἀρχιοινοχόος φησίν· „ὦ δέσποτα,
τὸν ἄνδρα ὃν ζητεῖς ἐλπίς ἐστιν εὑρήσειν· ἁμαρτόντας ἐμὲ καὶ τὸν
ἀρχισιτοποιὸν ἐκέλευσας εἰς τὸ δεσμωτήριον ἀπαχθῆναι, ἐν ᾧ τοῦ ἀρχι-
μαγείρου θεράπων ἦν Ἑβραῖος, ᾧτινι διηγησάμεθα ἐγώ τε κἀκεῖνος
ὀνείρατα τὰ φανέντα ἡμῖν· ὁ δ' οὕτως εὐθυβόλως καὶ εὐσκόπως διέ-
κρινεν, ὡς ὅσα προεῖπεν ἑκατέρῳ συμβῆναι, τῷ μὲν ἣν ὑπέμεινε τιμωρίαν,
ἐμοὶ δὲ τὸ σοῦ τυχεῖν ἵλεω καὶ εὐμενοῦς.“ (20.) ὁ μὲν οὖν βασιλεὺς 105
ἀκούσας προστάττει συντείναντας ἀνακαλεῖν τὸν νεανίαν. οἱ δ' ἀποκεί-
ραντες — βαθεῖαι γὰρ ἦσαν αὐτῷ χαῖται καθειργμένῳ κεφαλῆς καὶ
γενείου — καὶ ἀντὶ ῥυπώσης λαμπρὰν ἐσθῆτα ἀντιδόντες καὶ τἄλλα
φαιδρύναντες εἰσάγουσιν αὐτὸν πρὸς τὸν βασιλέα· ὃς ἐκ τῆς ὄψεως 106
τεκμηράμενος ἄνδρα ἐλεύθερον καὶ εὐγενῆ — χαρακτῆρες γὰρ ἐπι-
φαίνονταί τινες τῷ σώματι τῶν ὁρωμένων οὐχ ὁρατοὶ πᾶσιν, ἀλλ' οἷς
τὸ τῆς διανοίας ὄμμα ὀξυδορκεῖ — „μαντεύεται“ εἶπεν „ἡ ψυχή μου
περὶ τοῦ μὴ εἰς ἅπαν ἀσαφείᾳ τοὺς ὀνείρους ἐπισκιασθήσεσθαι· δεῖγμα
γὰρ σοφίας ὁ νεανίας οὗτος ὑποφαίνει, διακαλύψει τὴν ἀλήθειαν, οἷα
φωτὶ σκότος ἐπιστήμῃ τὴν ἀμαθίαν τῶν παρ' ἡμῖν σοφιστῶν ἀποσκεδά-
σει.“ καὶ τοὺς ὀνείρους διηγεῖτο. ὁ δὲ τάξίωμα τοῦ λέγοντος οὐδὲν 107
καταπλαγεὶς ὥσπερ ὑπηκόῳ βασιλεύς, ἀλλ' οὐχ ὑπήκοος βασιλεῖ, παρρησίᾳ
σὺν αἰδοῖ χρώμενος διελέγετο καί φησιν· „ὅσα μέλλει ποιεῖν ὁ θεὸς ἐν
τῇ χώρᾳ, προμεμήνυκέ σοι. τὰς μέντοι διττὰς φαντασίας μὴ ὑπολάβῃς

2 διηγεῖται VOHP: διηγεῖτο ceteri   καὶ μηδενὸς (sed καὶ rursus del.) K   δὲ om. EK, ss. B   4 post ὃν add. αὐτὸς ἔγνων ὃ O   εὑρήσειν ⟨σε⟩ coni. Wendl.   post ἁμαρτόντας add. γὰρ V   post ἐμὲ add. τε FHP   6 ἦν Ἑβραῖος—δεσπότην (86,19) om. P et in textu H, add. mg. H   ᾧτινι CBEKM: ᾧ AVO, ᾧ καὶ FGH   διηγήσασθαι K[1]   καὶ ἐκεῖνος C   7 τὰ om. V   δὲ VO   οὗτος F   post καὶ repet. οὕτως VO   εὐσκόπως BEK: εὐκόλως M, εὐθυσκόπως ceteri   8 ὥσθ' A   τῷ] τὸν K[2]   9 ἐμὲ H   10 συντεί-νοντας M   ἀναγαγεῖν F   11 χαῖται κεφαλῆς αὐτῷ καθειργμένῳ A   12 ἀντιδιδόντες AF[1]   τἄλλα ABF, τὰ ἄλλα C   13 εἰσάγουσιν αὐτὸν VO: αὐτὸν om. ceteri   τὸν βασιλέα AVO: τὸν om. ceteri   14. 15 τινες ἐπιφαίνονται transp. VOK[2]   15 ὁρωμένων] εἰρημένων CVOEK   16 τὸ τῆς διανοίας A: τῆς om. ceteri   ὀξυδορκεῖ CH: ὀξυδερκεῖ ceteri   μου om. VO, eras. K   17 εἰσάπαν A   18 γὰρ om. A   ὁ νεανίας οὗτος^{β} σοφίας^{α} K   ὑπο-φαίνων V[2]K[2]O   ante διακαλύψει add. ἢ H (v)   διανακαλύψει V[2]O   19. 20 ἀποσκεδάσας V[2]K[2]O   20 τὸ ἀξίωμα AVO   μηδὲν A   22 σὺν αἰδῶ CGH   23 προεμήνυσέ A   φαντασίας om. CVO, ὀπτασίας mg. O

εἶναι διττοὺς ὀνείρους· εἷς ἐστι, τὴν ἀναδίπλωσιν ἔχων οὐ περιττήν,
108 ἀλλὰ πρὸς ἔλεγχον βεβαιοτέρας πίστεως. αἵ τε γὰρ πίονες ἑπτὰ βόες
καὶ οἱ εὔβλαστοι καὶ εὐθαλεῖς ἑπτὰ | στάχυες ἐνιαυτοὺς ἑπτὰ δηλοῦσιν p. 57 M.
εὐθηνίας καὶ εὐετηρίας καὶ ἑπτὰ ἑτέρους λιμοῦ αἱ ἐπανιοῦσαι ἑπτὰ βόες
λεπταὶ καὶ εἰδεχθεῖς καὶ οἱ παρεφθαρμένοι καὶ μεμυκότες ἑπτὰ στάχυες.
109 ἥξει μὲν οὖν ἑπταετία προτέρα πολλὴν καὶ ἄφθονον ἔχουσα εὐκαρπίαν,
πλημμύραις μὲν ἀνὰ πᾶν ἔτος τοῦ ποταμοῦ λιμνάζοντος τὰς ἀρούρας,
τῶν δὲ πεδίων ὡς οὔπω πρότερον εὐτοκίᾳ χρωμένων· ἥξει δὲ μετὰ
ταῦτα ἑπταετία πάλιν ἐναντία χαλεπὴν ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων
ἐπιφέρουσα, μήτ' ἀναχεομένου τοῦ ποταμοῦ μήτε τῆς γῆς λιπαινομένης,
ὡς τῆς προτέρας εὐθηνίας ἐκλαθέσθαι καὶ εἴ τι λείψανον παλαιᾶς εὐετη-
110 ρίας ἦν ἀναλωθῆναι. τὰ μὲν οὖν ἐκ τῆς διακρίσεως τοιαῦτ' ἐστίν.
ὑπηχεῖ δέ μοι καὶ ἐκλαλεῖ τὸ θεῖον ὑποβάλλον τὰ ὡς ἐν νόσῳ σωτήρια·
νόσος δὲ πόλεων καὶ χωρίων ἡ βαρυτάτη λιμός, ἣ κατασκευαστέον
111 ἀσθένειαν, ἵνα μὴ τελείως ῥωσθεῖσα τοὺς οἰκήτορας ἐκφάγῃ. πῶς οὖν
ἀσθενήσει; τοῦ καρποῦ τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς ἡ εὐφορία, τὸ πλεο-
νάζον μετὰ τὰς αὐτάρκεις τοῖς πλήθεσι τροφὰς — ἔσται δ' ἴσως μέρος
πέμπτον — θησαυριστέον ἐν πόλει καὶ κώμαις, μὴ μετακομίζοντας τὰ
θέρη μακρόθεν, ἀλλ' ἐξ ὧν ἂν ᾖ χωρίων, ἐν ἐκείνοις φυλάττοντας πρὸς
112 τὴν τῶν οἰκούντων παρηγορίαν· συγκομίζειν δὲ τὸν καρπὸν αὐτοῖς
δράγμασι μήτε ἀλοῶντας μήτε συνόλως καθαίροντας, τεττάρων ἕνεκα·
ἑνὸς μὲν τοῦ σκέπῃ χρώμενον πρὸς πλείω χρόνον διαμένειν ἀδιά-
φθορον· ἑτέρου δὲ τοῦ καθ' ἕκαστον ἐνιαυτὸν γίνεσθαι τῆς εὐθηνίας
ὑπόμνησιν, ἀλοώντων καὶ λικμώντων· ἡ γὰρ μίμησις τῶν πρὸς ἀλή-
113 θειαν ἀγαθῶν δευτέραν ἔμελλεν ἡδονὴν ἀπεργάζεσθαι· τρίτου δὲ τοῦ
μηδ' εἰς ἀριθμὸν ἐλθεῖν, ἐν στάχυσι καὶ δράγμασιν ἀδήλου καὶ ἀπερι-

1 εἶναι om. AVO 2 βεβαιότερον A 3 ἀστάχυες H 4 λιμοῦ ⟨καὶ ἀφορίας⟩ conicio ἐπιοῦσαι conicio 5 ἐφθαρμένοι A ἀστάχυες H 6 οὖν om. VO πρότερον AF 7 πλημύραις C 8 ὡς] ἢ K^1, γρ. ὡς ss. K^2 9 ἐναντία πάλιν ἑπταετία transp. VO; πάλιν ἐναντία ἑπταετία Mang. 10 μήτε C ἀνερχομένου A 12 τοιαῦτα CBEKF, ταῦτα A 13 ὑφηχεῖ C μοι transp. ante θεῖον A τὸ θεῖον VOK: τι θεῖον ceteri τὰ CK: om. ceteri σωτηρία GH, σωτηρίαν AVOF 14. 15 ἣν κατασκευαστέον ἀσθενῆ K^1 15 τελέως AVO ἐκφύγῃ F^1 16 post οἷς add. ἦν F 16. 17 τῷ πλεονάζειν V^2O 17 δ' ἴσως] διссῶς BEMVO 18 πέμπτον om. G πόλεσι V^2K 20 οἰκούντων codd.: ἐνοικούντων v συγκομίζειν codd.: συγκομιστέον v δὲ om. F 21 μήτ' A 22 post χρόνον add. φυλαττόμενον VOK^2 23 τοῦ] τούτου C 24 μίμησις] ὑπόμνησις coni. Mang. 25 μέλλει V^2O

γράφου τοῦ καρποῦ ὑπάρχοντος, ἵνα μὴ προαναπέσωσιν αἱ διάνοιαι τῶν ἐγχωρίων ἐν ταῖς ἀναλώσεσι τοῦ συλλογισθέντος, ἀλλ' εὐθυμίᾳ χρώμενοι τῇ σιτίων ἀμείνονι τροφῇ — τρέφει γὰρ ἐν τοῖς μάλιστα ἐλπίς — ἐπικουφίζωσι τὴν ἐκ τῆς ἐνδείας βαρεῖαν νόσον· τετάρτου δὲ τοῦ καὶ τοῖς θρέμμασι χιλὸν ταμιεῦσθαι, τῶν ἀχύρων καὶ ἀθέρων ἐκ τῆς τοῦ καρποῦ καθάρσεως διακρινομένων. ἐπιμελητὴν δὲ τούτων χειροτονητέον 114
ἄνδρα φρονιμώτατον καὶ συνετώτατον καὶ ἐν πᾶσι δόκιμον, ὃς γένοιτ' ἂν ἱκανὸς ἀμισῶς καὶ ἀνεπάφως εὐτρεπῆ τὰ λεχθέντα ποιεῖν μηδεμίαν αἴσθησιν τοῖς πλήθεσιν ἐνδιδοὺς περὶ τοῦ γενησομένου λιμοῦ· χαλεπὸν γὰρ τὸ προκάμνοντας ταῖς ψυχαῖς ἀναπεσεῖν δυσελπιστίᾳ. ἐὰν δέ τις 115
ἐπιζητῇ τὴν αἰτίαν, φήσει δεῖν, καθάπερ ἐν εἰρήνῃ προνοεῖν τῶν ἐν
p. 58 M. τῷ πολέμῳ παρασκευῶν, καὶ ἐν | εὐπορίαις τῶν κατ' ἔνδειαν· ἀδήλους δὲ εἶναι πολέμους καὶ λιμοὺς καὶ συνόλως τοὺς καιροὺς τῶν ἀβουλήτων, εἰς οὓς ἀναγκαῖον εἶναι παρεσκευάσθαι, ἀλλὰ μὴ γενομένων τότε τὴν θεραπείαν ζητεῖν, ὅτ' οὐδὲν ὄφελος." (21.) ἀκούσας δὲ ὁ βασιλεὺς καὶ 116
τὴν τῶν ὀνείρων διάκρισιν εὐθυβόλως καὶ εὐσκόπως στοχαζομένην τῆς ἀληθείας καὶ τὴν συμβουλίαν ὅσα τῷ δοκεῖν ὠφελιμωτάτην κατὰ τὴν τοῦ μέλλοντος ἀδήλου πρόνοιαν, τοὺς συνόντας ἐγγυτέρω προσελθεῖν κελεύσας, ἵνα μὴ κατακούοι, „ἆρ'" εἶπεν, „ἄνδρες, εὑρήσομεν τοιοῦτον ἄνθρωπον, ὃς ἔχει πνεῦμα θεῖον ἐν ἑαυτῷ" (Gen. 41, 38); συν- 117
επαινούντων δὲ καὶ συνευφημούντων, ἀπιδὼν εἰς τὸν παρεστῶτα „ἐγγὺς" εἶπεν „ἐστὶν ὃν παραινεῖς ἀναζητεῖν, οὐ μακρὰν ἀφέστηκεν ὁ φρόνιμος καὶ συνετός, ὃν ἔδει κατὰ τὰς σὰς ὑφηγήσεις σκοπεῖν, αὐτὸς ὢν τυγχάνεις· οὐ γὰρ ἄνευ θεοῦ ταῦτ' ἀποφθέγγεσθαί μοι δοκεῖς. ἴθι δὴ

---

2 συγκομισθέντος A, ἐλλογισθέντος CVO (λλογι *supra*) εὐθυμίᾳ] εὐθηνία BEMA 3 τροφῆς CFGH(v) 4 ἐπικουφίζουσι C, ἐπικουφίζουσα FHV²O καὶ om. O 5 χυλὸν (ϊ *supra*) A 8 ἀμισῶς BEMV¹: ἀμίσως CK¹G, ἄμ' ἴσως FH, ἀμέσως A, ἀμίσθως V²K²O ἀνεπάφως AFGH: ἀνεπιφάτως ceteri (v); ἀνεπαχθῶς coni. Wendl. εὐπρεπῆ GH 9 διδοὺς V²O, ἐνδοὺς L (Turn.) 10 τις] τι A 11 φήσειν δεῖ A post προνοεῖν add. δεῖ A 12 τῷ om. A καὶ] οὕτως A εὐδήλους (ὰ *supra*) K 13 δ' A 14 ἀνάγκη (γκαῖον *supra*) K παρασκευάσθαι M, παρασκευάσασθαι VO 15 ζητεῖν BEK¹M: ἐπιζητεῖν ceteri ὅτε C καὶ om. K 16 εὐστόχως AK στοχαζόμενος BEMG, στοχαζόμενον C 17 ὅσον A τῷ] τὸ C 18 ἐγγυτέρως M, ἐγγύτερον F προελθεῖν V¹G 19 κατακούῃ VOK² ἆρα BEKMVO ἄνδρα M τὸν τοιοῦτον M 20 αὐτῷ CBEM 21 ἐπιδὼν Turn. 22 παρήνεις BEKMVO οὐ—σκοπεῖν (23) om. A 24 οὐδὲ γὰρ A ταῦτα F, ταῦτα post μοι transp. M δὴ] δὲ GH, om. F

καὶ παραλάμβανε τήν τ' ἐπιμέλειαν τῆς ἐμῆς οἰκίας καὶ τὴν Αἰγύπτου
118 πάσης ἐπιτροπήν. εὐχέρειαν δ' οὐδείς μου καταγνώσεται μὴ φιλαυτίᾳ χρωμένου, πάθει δυσιάτῳ· αἵ τε γὰρ μεγάλαι τῶν φύσεων χρόνοις οὐ δοκιμάζονται μακροῖς, ὄγκῳ δυνάμεως βιαζόμεναι φθάνειν εἰς ἀποδοχὴν αὐτῶν ἀνυπέρθετον, τά τε πράγματα μέλλησιν καὶ διατριβὴν οὐκ ἀνέ-
119 χεται, τῶν καιρῶν ἐπειγόντων εἰς τὰς ἀναγκαίας παρασκευάς.“ εἶτ' αὐτὸν καθίστησι τῆς βασιλείας διάδοχον, μᾶλλον δ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, βασιλέα, τὸ μὲν ὄνομα τῆς ἀρχῆς ὑπολειπόμενος αὑτῷ, τῆς δ' ἐν ἔργοις ἡγεμονίας ἐκστὰς ἐκείνῳ καὶ τἆλλα πράττων ὅσα ἐπὶ τιμῇ
120 τοῦ νεανίου. δίδωσιν οὖν αὐτῷ σφραγῖδα βασιλικὴν καὶ ἱερὰν ἐσθῆτα καὶ κύκλον χρυσοῦν περιδέραιον καὶ ἐπὶ δευτερεῖον τῶν ἁρμάτων ἀναβιβάσας κελεύει περιελθεῖν τὴν πόλιν, προερχομένου κήρυκος καὶ δηλοῦντος
121 τοῖς ἀγνοοῦσι τὴν χειροτονίαν. μετονομάζει δ' αὐτὸν ἀπὸ τῆς ὀνειροκριτικῆς ἐγχωρίῳ γλώττῃ προσαγορεύσας καὶ ἐγγυᾷ πρὸς γάμον αὐτῷ τὴν ἐπιφανεστάτην τῶν κατ' Αἴγυπτον ἱερέως Ἡλίου θυγατέρα. ταῦτ'
122 ἐγένετο, περὶ ἔτη γεγονότος ἤδη τριάκοντα. τοιαῦτα τῶν εὐσεβῶν τὰ τέλη· κἂν γὰρ κλιθῶσιν, οὐκ εἰς ἅπαν πίπτουσιν, ἀλλὰ διαναστάντες
123 ὀρθοῦνται παγίως καὶ βεβαίως, ὡς μηκέθ' ὑποσκελισθῆναι. τίς γὰρ ἂν προσεδόκησε μιᾷ ἡμέρᾳ τὸν αὐτὸν ἀντὶ μὲν δούλου δεσπότην, ἀντὶ δὲ δεσμώτου πάντων ἀξιονικότατον, | καὶ τὸν ὑποδιάκονον εἱρκτοφύλακος p. 59 M. ὕπαρχον βασιλέως ἔσεσθαι καὶ ἀντὶ τῆς εἱρκτῆς τὰ βασίλεια οἰκήσειν, τὰ πρῶτα τῶν ἐπὶ τιμαῖς φερόμενον ἀντὶ τῶν εἰς ἀτιμίαν ἐσχάτων.
124 ἀλλ' ὅμως καὶ γέγονε ταῦτα καὶ γενήσεται πολλάκις, ὅταν δοκῇ τῷ θεῷ·

1 προλάμβανε BEM τε CVOMF, om. A 2 δὲ VO 3 χρώμενος VOK 4 ὄγκῳ δυνάμεως] ἀλλὰ δυνάμει AFGH ὑποδοχὴν AFGH 5 αὐτῶν HO: αὐτῶν ceteri μέλησιν VOM 5. 6 ἀνέχονται A 6 ante εἰς add. καὶ C 7 τῆς βασιλείας καθίστησι transp. BKM (Mang.) δὲ VO 8 ὑπολιπόμενος BEKMF αὐτῷ CMGK, αὐτῇ F[1], αὐτῆς F[2] τῆς δὲ C, δὲ τῆς transp. F 9 τἆλλα MAKVF, τὰ ἄλλα C, ἄλλα G ὅσα om. BEM 10 δίδωσιν οὖν FGH: οὖν om. ceteri; δίδωσι γοῦν conicio αὐτὸν F ἱερὰν] πορφυρᾶν coni. Mang. 11 κύκλον] κλοιὸν coni. Mang. περιδέρραιον AVFK, περιδέρεον C δευτέριον C (Mang.), δευτερείῳ V, δευτερείων O 12 προερχομένου V[2]O (coni. Mang.): περιερχομένου ceteri 13 δὲ CVO 16 γεγονὼς O 17 γὰρ eras. F εἰς ἅπαν CAEKF: εἰσάπαν ceteri πίπτωσιν F ἀλλ' ἀναστάντες VO 18 ὡς] ὥστε VO μὴ καθυποσκελισθῆναι C γὰρ om. M 19 τὸν αὐτὸν om. A ἀντὶ: rursus incip. P et text. H δὲ om. MAGHP 20 ἀξιονικώτατον C, ἀξιώτατον AFGHP τὸν om. F 21 τὰ om. A 22 τῶν alt.] τῆς K[1] 23 τοιαῦτα A

μόνον ἐντυφέσθω τι καλοκἀγαθίας ἐμπύρευμα ταῖς ψυχαῖς, ὅπερ ἀναγκαῖόν ποτε ῥιπιζόμενον ἐκλάμψαι.

(22.) Ἐπεὶ δὲ πρόκειται μετὰ τὴν ῥητὴν ἀπόδοσιν καὶ τὴν τροπι- 125
κωτέραν ἐξετάζειν, λεκτέον ἃ χρὴ καὶ περὶ αὐτῆς. ἴσως μὲν οὖν γελάσονταί τινες τῶν εἰκαιοτέρων ἀκούσαντες· ἐγὼ δ' ἐρῶ μηδὲν ὑποστειλάμενος, ὅτι ὁ πολιτικὸς πάντως ὀνειροκριτικός ἐστιν, οὐχὶ τῶν βωμολόχων οὐδὲ τῶν ἐναδολεσχούντων καὶ ἐνσοφιστευόντων ἐπὶ μισθῷ καὶ τὴν τῶν καθ' ὕπνον φαντασιῶν διάκρισιν ἀργυρισμοῦ πρόβλημα πεποιημένων. ἀλλὰ τὸν κοινὸν καὶ πάνδημον καὶ μέγαν ὄνειρον οὐ κοιμωμένων μόνον
ἀλλὰ καὶ ἐγρηγορότων εἰωθὼς ἀκριβοῦν. ὁ δὲ ὄνειρος οὗτος, ὡς ἀψευ- 126
δέστατα φάναι, ὁ τῶν ἀνθρώπων ἐστὶ βίος· ὡς γὰρ ἐν ταῖς καθ' ὕπνον φαντασίαις βλέποντες οὐ βλέπομεν καὶ ἀκούοντες οὐκ ἀκούομεν καὶ γευόμενοι ἢ ἁπτόμενοι οὔτε γευόμεθα οὔτε ἁπτόμεθα λέγοντές τε οὐ λέγομεν καὶ περιπατοῦντες οὐ περιπατοῦμεν καὶ ταῖς ἄλλαις κινήσεσι καὶ σχέσεσι χρῆσθαι δοκοῦντες οὐδεμιᾷ τὸ παράπαν χρώμεθα — κεναὶ δ' εἰσὶ τῆς διανοίας πρὸς οὐδὲν ὑποκείμενον ἀληθείᾳ μόνον ἀναζωγραφούσης καὶ ἀνειδωλοποιούσης τὰ μὴ ὄντα ὡς ὄντα —, οὕτω καὶ τῶν παρ' ἡμῖν ἐγρηγορότων αἱ φαντασίαι τοῖς ἐνυπνίοις ἐοίκασιν· ἦλθον, ἀπῆλθον,
ἐφάνησαν, ἀπεπήδησαν, πρὶν καταληφθῆναι βεβαίως ἀπέπτησαν. ἐρευνη- 127
σάτω δ' ἕκαστος αὐτὸν καὶ τὸν ἔλεγχον οἴκοθεν ἄνευ τῶν παρ' ἐμοῦ πίστεων εἴσεται, καὶ μάλιστ' εἴ τις πρεσβύτερος ἤδη γεγονὼς τυγχάνοι· οὗτος ἦν ὁ ποτὲ βρέφος καὶ μετὰ ταῦτα παῖς, εἶτ' ἔφηβος, εἶτα μει-
ράκιον, καὶ νεανίας αὖθις, εἶτ' ἀνήρ, καὶ γέρων ὕστατον. ἀλλὰ ποῦ 128

1 ἐντυφέσθω τι K: ἔν τι ὑφιστάσθω FGHP (Mang.), ἔν τι ὑφιστάτω A, ἔν τι ὑφεστάτω CVOBEM (ὑφεστάθω Turn.), γρ. ὑφεστάσθω mg. V mg. K, γρ. ἔν τι ὑφεστάτω alt. mg. K   3 ἀποδίδωσι F   4 ἃ χρὴ] ἄχρι F   5 οἰκειοτέρων M   7 ἐν ἀδολεσχούντων M, ἀδολεσχούντων F, ἐνασχούντων G   9 μέγαν καὶ πάνδημον transp. A   10 ὁ δ' A, ὡς γὰρ V²O   οὗτος V¹, οὕτως V²O   13 οὔτε (alt.) K¹FGH: οὔθ' AP, ἢ ceteri   τε om. HP   14 καὶ tert.] τε καὶ VOK²   15 τὸ παράπαν om. HP, add. mg. P²   post εἰσὶ fort. addendum δόξαι vel φαντασίαι; σκιαὶ add. Mang.   16 ante πρὸς add. καὶ AFGHPV¹   ἀληθείας A   17 εἰδωλοποιούσης H(v)   ὄντα ὡς] ὄντως H   17.18 τῶν παρ' ἡμῖν ἐγρηγορότων K (cf. § 147): ἐπὶ τῶν παρεγρηγορότων ceteri (γρ. ἐπὶ τῶν παρεγρηγορότων mg. K)   18 αἱ om. CVO   19 ἀπεπήδησαν] ἀπεδήμησαν Turn.   ἀπέπτησαν] ἀπέστησαν FG
20 δὲ A   αὑτὸν BEKMVO: αὐτὸν CF, αὐτῶν AGHP   post ἔλεγχον add. αὐτῶν HP   ante ἄνευ add. καὶ AFGHP   21 μάλιστα AVO   ἤδη om. O   γεγονὼς] ὢν O   τυγχάνει AG   22 ὁ eras. V, om. O   εἶτα HP   23 ὕστατα O   ἀλλὰ ποῦ K (coni. Mang.): ἀλλ' οὐ ceteri

10 sqq. cf. H. de Arnim, Quellenstudien zu Philo p. 94 ss.   22 sqq. cf. Plut. de εἶ ap. Delph. 18 p. 392 C. M. Anton. Imp. Comment. IX 21. Senec. Epist. 24, 20

πάντ' ἐκεῖνα; οὐκ ἐν μὲν παιδὶ τὸ βρέφος ὑπεξῆλθεν, ὁ δὲ παῖς ἐν
παρήβῳ, ὁ δ' ἔφηβος ἐν μειρακίῳ, τὸ δὲ μειράκιον ἐν νεανίᾳ, ἐν ἀνδρὶ
129 δ' ὁ νεανίας, ἀνὴρ δ' ἐν γέροντι, γήρᾳ δ' ἕπεται τελευτή; τάχα μέντοι
τάχα καὶ τῶν ἡλικιῶν ἑκάστη παραχωροῦσα τοῦ κράτους τῇ μεθ' ἑαυτὴν
προαποθνήσκει, τῆς φύσεως ἡμᾶς ἀναδιδασκούσης ἡσυχῇ μὴ δεδιέναι
τὸν ἐπὶ πᾶσι θάνατον, ἐπειδὴ τοὺς προτέρους εὐμαρῶς ἠνέγκαμεν, τὸν
βρέφους, τὸν παιδός, τὸν ἐφήβου, τὸν μειρακίου, τὸν νεανίου, τὸν
130 ἀνδρός, ὧν οὐδεὶς ἔτ' ἐστὶ γήρως ἐπιστάντος. (23.) τὰ δ' ἄλλα ὅσα
περὶ τὸ σῶμα οὐκ ἐνύπνια; οὐ κάλλος μὲν ἐφήμερον, πρὶν ἀνθῆσαι
μαραινόμενον; ὑγεία δὲ | ἀβέβαιον διὰ τὰς ἐφέδρους ἀσθενείας; ἰσχὺς p. 60 M.
δ' εὐάλωτον νόσοις ἐκ μυρίων προφάσεων; ἥ τ' ἀκρίβεια τῶν αἰσθή-
131 σεων οὐ παγία ῥεύματος ἐνστάσει βραχέος ἀνατρέπεται. τὴν δὲ τῶν
ἐκτὸς ἀσάφειαν τίς οὐκ οἶδε; μιᾷ ἡμέρᾳ πλοῦτοι μεγάλοι πολλάκις
ἀπερρύησαν· τὰ πρωτεῖα τῶν ἐν ταῖς ἀνωτάτω τιμαῖς ἐνεγκάμενοι
μυρίοι πρὸς ἠμελημένων καὶ ἀφανῶν ἀδοξίαν μετέβαλον· ἀρχαὶ βασι-
132 λέων αἱ μέγισται καθῃρέθησαν βραχείᾳ καιροῦ ῥοπῇ. ἐγγυᾶταί μου
τὸν λόγον Διονύσιος ὁ ἐν Κορίνθῳ, ὃς Σικελίας μὲν τύραννος ἦν, ἐκ-
πεσὼν δὲ τῆς ἡγεμονίας εἰς Κόρινθον καταφεύγει καὶ γραμματιστὴς ὁ
133 τοσοῦτος ἡγεμὼν γίνεται. συνεγγυᾶται καὶ Κροῖσος ὁ Λυδίας βασιλεύς,
πλουσιώτατος βασιλέων, ὃς ἐλπίσας τὴν Περσῶν καθελεῖν ἀρχὴν οὐ
μόνον τὴν οἰκείαν προσαπέβαλεν. ἀλλὰ καὶ ζωγρηθεὶς ἐμέλλησε κατα-
134 πίμπρασθαι. μάρτυρες τῶν ἐνυπνίων οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ
πόλεις, ἔθνη, χῶραι, ἡ Ἑλλάς, ἡ βάρβαρος, ἠπειρῶται, νησιῶται, ἡ

1 post πάντ' add. ὁμοῦ Mang. 3 δὲ ἐν C γήρᾳ δ' ἕπεται τελευτή K: γῆρας (γέρας C) δ' ἐπὶ τελευτῇ ceteri 4 τὸ κράτος C μεθ' ἑαυτὴν CBKMG: μεθ' αὑτὴν AEP, μετ' αὐτὴν VOFH 5 ἀποθνήσκει A, προαποθνήσκειν δοκεῖ BEKM ἀναδιδασκούσης ἡμᾶς transp. G 6 ἐν πᾶσι G, ἐπὶ πάντων A, ἐπὶ πᾶσι om. M 8 ἄλλ' C 9 οὐ κάλλος C: οὐ om. ceteri ἀνθῆσαι Mang.: ἀνθήσῃ F, ἀνθήσει ceteri 10 δὲ CAVO: δ' ceteri ἀσφαλείας (γρ. ἀσθενείας) K 11 δὲ VO 12 οὐ παγία om. C πάγιον (γία) K post ῥεύματος add. γὰρ V²O ἐνστάντος VO βραχεία A δὲ CVO: δ' ceteri 12. 13 τῶν ἐκτὸς V²O (coni. Mang.): τῶν om. ceteri 13 εἶδε F μιᾷ ἡμερῶν F πολλάκις om. O 14 ἀνερρύησαν C 15 ante ἀδοξίαν add. εἰς G ἀδοξίαν corr. ex δόξαν V μετέβαλλον F 16 βραχεῖα κ. ῥοπῇ H μου] μοι C, μὲν A 17 τῷ λόγῳ HP ὃς — βασιλέων (20) om. in textu, add. mg. F τύραννος μὲν transp. A 19 τοσοῦτος codd.: τοιοῦτος Mang. καὶ om. C Λυδῶν A 20 τὴν ἀρχὴν O 21 ἐμέλησε K 21. 22 πίμπρασθαι BEM

Εὐρώπη, ἡ Ἀσία, δύσις, ἀνατολή· μεμένηκε γὰρ οὐδὲν οὐδαμοῦ τὸ παράπαν ἐν ὁμοίῳ, τροπαῖς δὲ καὶ μεταβολαῖς ἐχρήσατο πάντα διὰ πάντων. Αἴγυπτός ποτε πολλῶν ἐθνῶν ἡγεμονίαν εἶχεν, ἀλλὰ νῦν ἐστι 135 δούλη. Μακεδόνες οὕτως ἐπὶ καιρῶν ἤκμασαν, ὡς ἁπάσης ἀνάψασθαι τῆς οἰκουμένης τὸ κράτος, ἀλλὰ νῦν τοῖς ἐκλογεῦσι τῶν χρημάτων τοὺς ἐπιταχθέντας ὑπὸ τῶν κυρίων δασμοὺς ἐτησίους εἰσφέρουσι. ποῦ δὲ 136 ἡ τῶν Πτολεμαίων οἰκία καὶ ἡ καθ' ἕκαστον τῶν διαδόχων ἐπιφάνεια μέχρι γῆς καὶ θαλάττης περάτων ἐκλάμψασα; ποῦ δ' αἱ τῶν αὐτονόμων ἐθνῶν καὶ πόλεων ἐλευθερίαι; ποῦ δ' ἔμπαλιν αἱ δουλεῖαι τῶν ὑπηκόων; οὐ Πέρσαι μὲν Παρθυαίων ἐπεκράτουν, νυνὶ δὲ Περσῶν Παρθυαῖοι διὰ τὰς τῶν ἀνθρωπείων πραγμάτων στροφὰς καὶ τὰς ἄνω καὶ κάτω πεττείας καὶ μεταθέσεις αὐτῶν; ἀναπλάττουσιν ἔνιοι μακράς τινας 137 καὶ ἀπεράτους εὐτυχίας ἑαυτοῖς, αἱ δ' ἀρχαὶ μεγάλων κακῶν εἰσι· καὶ σπεύδοντες ὡς ἐπ' ἀγαθῶν κληρονομίαν εὑρίσκουσι δεινὰς κακοπραγίας, καὶ τοὐναντίον κακὸν προσδοκήσαντες ἀγαθοῖς ἐνέτυχον. ἀθληταὶ δυνάμεσι 138 καὶ ῥώμαις καὶ εὐεξίαις σωμάτων μέγα φρονοῦντες, ἀνενδοίαστον νίκην ἐλπίσαντες, ἐξαγώνιοι πολλάκις ἐγένοντο μὴ δοκιμασθέντες ἢ καταστάντες εἰς τὸν ἀγῶνα ἡττήθησαν, οἱ δ' ἀπογνόντες καὶ δευτερείων ἀφίξεσθαι τὰ πρῶτα τῶν ἄθλων στεφανηφοροῦντες ἤραντο. θέρους ἀναχθέντες 139 τινὲς — ὁ γὰρ καιρὸς εὐπλοίας — ἐναυάγησαν, ἕτεροι δὲ χειμῶνος ἀνατραπήσεσθαι προσδοκῶντες ἀκινδύνως ἄχρι λιμένων παρεπέμφθησαν. ὡς ἐφ' ὁμολογούμενα κέρδη συντείνουσιν ἔνιοι τῶν ἐμπόρων ἀγνοοῦντες τὰς ἐφέδρους ζημίας, ἔμπαλιν λογιζόμενοι βλαβήσεσθαι μεγάλων ἀπέ-
p. 61 M. λαυσαν | ὠφελειῶν. οὕτως ἄδηλοι μὲν αἱ τύχαι πρὸς ἑκάτερα, τὰ δ' 140 ἀνθρώπεια ὡς ἐπὶ ζυγοῦ ταλαντεύεται βάρεσιν ἀνίσοις ἐπικουφιζόμενα

1 μεμένηκε] μέμνημαι H οὐδαμοῦ om. A 2 ἐχρήσατο M: ἐχρήσαντο ceteri 3 ποτε] τε FG 4 οὕτως om. A ἐπὶ καιρὸν CAVO 5 οἰκουμένης om. K[1], ss. K[2] 6 ποῦ om. C 6. 7 δ' ἡ VO, ἡ δὲ C 8 ante ποῦ spat. 18 fere litt. in C δὲ F 9 πόλεων VO: τῶν πόλεων ceteri ποῦ] πολὺ AHP 10 παρθυηνῶν CVOK[2] νῦν A 11 ἀνθρωπίων C στροφὰς] διαφορὰς A; τροπὰς coni. Mang. 12 καὶ pr. om. C διαπλάττουσιν VOK[2] μικρὰς C 13 ἀπεράτους scripsi; ἀπείρους VO, ἀπειράτους ceteri αὐτοῖς M 14 σπένδοντες F κληρονομία A et corr. K 16 εἰς ante ἀνενδοίαστον add. CVOBEM 17 ἐλπίσαντες] ἁρπάσαντες A μὴ] καὶ γὰρ V[2]K[2] ἢ] καὶ V[2]O, ἢ (corr. ex οἳ ut vid.) καὶ K 18 καὶ] κἂν V[2]O δευτερίων C, δευτερεῖα VO 19 πρωτεῖα P 20 ἐν γὰρ καιρῷ HP δὲ om. AFGHP 21 ἄχρι λιμένων ἀκινδύνως transp. HP 22 ἐφομολογούμενα MG ἔνιοι om. O 23 βλαβήσεσθαι om. in lac. G 23. 24 ἀπήλαυσαν AVO (Mang.) 25 ἀνθρώπια C, ἀνθρώπινα F ὥσπερ A ταλαντεύει coni. Wendl.

καὶ καθέλκοντα· δεινὴ δ' ἀσάφεια καὶ πολὺ σκότος κατακέχυται τῶν
πραγμάτων· ὡς δ' ἐν βαθεῖ ὕπνῳ πλαζόμεθα μηδὲν ἐμπεριελθεῖν
ἀκριβείᾳ λογισμοῦ δυνάμενοι μηδ' εὐτόνως καὶ παγίως ἐπιδράξασθαί
141 τινος, σκιαῖς γὰρ ἔοικε καὶ φάσμασι. καὶ ὥσπερ ἐν ταῖς πομπαῖς τὰ
πρῶτα παρέρχεται φεύγοντα τὰς ὄψεις κἀν τοῖς χειμάρροις τὸ φερό-
μενον ῥεῦμα φθάνει παραδραμὸν ὀξύτητι τάχους τὴν κατάληψιν, οὕτω
καὶ τὰ ἐν τῷ βίῳ πράγματα φερόμενα καὶ παρεξιόντα φαντάζεται μὲν
142 ὡς ὑπομένοντα, μένει δ' οὐδ' ἐπ' ἀκαρές, ἀλλ' ἀεὶ ὑποσύρεται. καὶ
οἱ ἐγρηγορότες, ὅσα γε πρὸς τὸ ἐν ταῖς καταλήψεσιν ἀβέβαιον οὐδὲν
τῶν κοιμωμένων διαφέροντες, ἀπατῶντες ἑαυτοὺς ἱκανοὶ νομίζουσιν
εἶναι τὰς φύσεις τῶν πραγμάτων ἀπλανέσι λογισμοῖς ὁρᾶν· οἷς ἑκάστη
τῶν αἰσθήσεων εἰς ἐπιστήμην ἐμπόδιος, δεκαζομένη θεάμασιν, ἀκούσ-
μασι, χυλῶν ποιότησιν, ἀτμῶν ἰδιότησι, πρὸς ἅπερ ἀποκλίνουσα συνε-
φέλκεται καὶ τὴν ὅλην ψυχὴν οὐκ ἐῶσα ὀρθοῦσθαι καὶ ἀπταίστως οἷα διὰ
λεωφόρων ὁδῶν προέρχεσθαι· τὸ δ' ὑψηλοτάπεινον καὶ μεγαλόμικρον
καὶ πᾶν ὅσον ἀνισότητι καὶ ἀνωμαλίᾳ συγγενὲς ἀπεργάζεται καὶ σκοτο-
143 δινιᾶν ἀναγκάζει καὶ πολὺν ἐμποιεῖ ἴλιγγον. (24.) τοσαύτης οὖν
ταραχῆς καὶ ἀταξίας ἔτι δὲ ἀσαφείας γέμοντος τοῦ βίου, παρελθόντα
δεῖ τὸν πολιτικὸν ὥσπερ τινὰ σοφὸν τὴν ὀνειροκριτικὴν τὰ μεθημερινὰ
ἐνύπνια καὶ φάσματα τῶν ἐγρηγορέναι δοκούντων διακρίνειν εἰκόσι στο-
χασμοῖς καὶ εὐλόγοις πιθανότησι περὶ ἑκάστου ἀναδιδάσκοντα, ὅτι τοῦτο

1 καθελκόμενα conicio δὲ CVO 2 μηδὲ ἓν VO περιελθεῖν VOK
4 καὶ pr. om. K φαντάσμασι VO 5 πρῶτα] τοιαῦτα A φυγόντα VO
κἀν] καὶ G 7 $\overset{\text{πράγματα}}{\text{πάντα}}$ K φαντάζει V^2 8 οὐδ'] οὐκ VOF
ἐπ' om. M ἀλλ' ἀεὶ ὑποσύρεται AFGHP: ἀλλὰ καὶ ὑποσύρει γε ceteri
9 πρὸς τὸ om. A ἐν om. VO ἀβέβαιοι A 10 διαφέρουσιν V^2K^2
ἀπαντῶντες F, ἀπατῶμεν CBEKM, ἀπατώμενοι VO ἑαυτοὺς om. F ἱκανοὺς V^2O
νομίζουσιν AFGHP: νομίζοντες ceteri 12 ἐμπόδιον VO δικαζομένη P, δε$\overset{\text{λε}}{\text{κά}}$ζομένη
H, δελεαζομένη G (v), δελεαζόμενοι F 12. 13 ἀκούσμασι (sic) K: om. ceteri
13 χ$\overset{\text{ι}}{\text{υ}}$λῶν A, χιλῶν VO, χυμῶν P ποιότησιν V^2O: om. ceteri ante ἀτμῶν
add. καὶ mg. H 14 ὀρθοῦσθαι] ὀρθῶς A 15 λεωφόρου ὁδοῦ VO
προέρχεσθαι ὁδῶν transp. G τὸ] τῷ BEKMVO ὑψηλοτάπεινον καὶ μεγα-
λόμικρον AFGHP: ὑψηλῷ ταπεινὸν καὶ μεγάλῳ μικρὸν ceteri 16 ἀνισότησι K,
ἀνισότητα F, ἰσότητι BEM καὶ tert. om. HP (v) 17 ἰλιγμόν F
18 ἀταξίας καὶ ταραχῆς transp. HP ἀταξίας] ἀταραξίας BEKM, συγχύσεως O
δὲ] δὲ καὶ AFGHP γέμοντος] γενομένης G 19 δεῖ V^2, δὴ V^1 πολιτικὸν
mg. H, ὀρειροκριτικὸν in textu H μεθημερινὰ] μεθ' ἡμέραν VOHP(v) 20 φαν-
τάσματα AE 20. 21 στοχασμοῖς] λογισμοῖς A 21 ἑκάστων conicio
διδάσκοντα L (Turn.)

καλόν, ἐκεῖνο αἰσχρόν· τοῦτο ἀγαθόν, κακὸν ἐκεῖνο· τουτὶ δίκαιον, ἄδικον τοὐναντίον, καὶ τἄλλα ταύτῃ, τὸ φρόνιμον, τὸ ἀνδρεῖον, τὸ εὐσεβές, τὸ ὅσιον, τὸ συμφέρον, τὸ ὠφέλιμον, καὶ πάλιν τὸ ἀνωφελές, τὸ ἀλόγιστον, τὸ ἀγεννές, τὸ ἀσεβές, τὸ ἀνόσιον, τὸ ἀσύμφορον, τὸ βλαβερόν, τὸ φίλαυτον. καὶ ἔτι πρὸς τούτοις ἀλλότριον τοῦτο, μὴ ἐπιθύμει· ἴδιον 144 τοῦτο, χρῶ μὴ παραχρώμενος· περιουσιάζεις, μεταδίδου· πλούτου γὰρ τὸ κάλλος οὐκ ἐν βαλαντίοις, ἀλλ' ἐν τῇ τῶν χρῃζόντων ἐπικουρίᾳ· ὀλίγα κέκτησαι, μὴ φθόνει τοῖς ἔχουσι· πένητα γὰρ βάσκανον οὐδεὶς ἂν ἐλεήσαι· εὐδοξεῖς καὶ τετίμησαι, μὴ καταλαζονεύου· ταπεινὸς εἶ ταῖς τύχαις, ἀλλὰ τὸ φρόνημα μὴ καταπιπτέτω· πάντα σοι κατὰ νοῦν χωρεῖ, μεταβολὴν εὐλαβοῦ· πταίεις πολλάκις, χρηστὰ ἔλπιζε· πρὸς γὰρ τἀναντία τῶν ἀνθρώπων αἱ τροπαί. σελήνη μὲν γὰρ καὶ ἥλιος 145 καὶ ὁ σύμπας οὐρανὸς σαφεῖς καὶ ἀριδήλους ἔχει τὰς τρανότητας, ἅτε p. 62 M. πάντων τῶν | κατ' αὐτὸν ὁμοίων μενόντων καὶ τοῖς τῆς ἀληθείας αὐτῆς μετρουμένων κανόσιν ἐν τάξεσιν ἐναρμονίοις καὶ συμφωνιῶν ταῖς ἀρίσταις, τὰ δ' ἐπίγεια πολλῆς ἀταξίας γέμοντα καὶ ταραχῆς ἀσύμφωνα καὶ ἀνάρμοστα, ὡς κυριώτατα φάναι, ὅτι ταῦτα μὲν βαθὺ σκότος κατείληφεν, ἐκεῖνα δ' ἐμφέρεται τηλαυγεστάτῳ φωτί, μᾶλλον δ' αὐτὸ φῶς ἐστιν εἰλικρινέστατον καὶ καθαρώτατον. εἰ γοῦν βουληθείη δια- 146 κύπτειν εἴσω τις τῶν πραγμάτων, εὑρήσει τὸν οὐρανὸν ἡμέραν αἰώνιον, νυκτὸς καὶ πάσης σκιᾶς ἀμέτοχον, ἅτε περιλαμπόμενον ἀσβέστοις καὶ ἀκηράτοις ἀδιαστάτως φέγγεσιν. ὅσῳ τε διαφέρουσιν οἱ παρ' ἡμῖν 147

---

1 κἀκεῖνο A τοῦτ' AVO 2 τοὐναντίον] ἐκεῖνο HP τἄλλα ABFH ταυτὶ A φρόνημα F[1] 3 καὶ—ἀνωφελές] τὸ φιλάνθρωπον, καὶ πάλιν conicio 4 τὸ ἀγεννές om. A ἀγενές CVHP τὸ ἀσύμφορον, τὸ βλαβερόν CVO: τὸ βλαβερόν, τὸ ἀσύμφορον transp. ceteri 5 ἐπιθυμεῖν C 6 περιουσίας μεταδίδου A 7 βαλλαντίοις C, βαλαντίω A 8 γὰρ K: om. ceteri 10 φρόνιμα BM νοῦν] ῥοῦν VO 11 παίεις F 12 ἀνθρωπίνων vel ἀνθρωπείων coni. Mang. ὁ ἥλιος A 14 τῶν κατ' αὐτὸν ὁμοίων BEKM: ὁμοίων (ὁμοίως V[2]O) τῶν κατ' αὐτὸν ceteri post αὐτῆς add. αὐτοῖς V[2] 16 δὲ C πολλῆς] πολλάκις A 17 ὅτι om. G 18 δ' pr.] δὲ BEKMVO αὐτὸ scripsi: αὐτὰ codd. 19 βουληθείην M, βουληθῇ H 20 τις post εἴσω om. VO, post βουληθείη (19) add. V[2]O, ante εἴσω transp. F τῶν om. F 21 σκιᾶς] κακίας A 22 ἀκηράτοις K[1]: ἀκρίτοις VOK[2], ἀκράτοις ceteri ἀδιαστάκτως O, ἀδιαστάτοις C; ⟨καὶ⟩ ἀδιαστάτοις coni. Mang. φέγγουσιν (sic) BE

6—7 D[P] fol. 180[r] et 186[v] D[V] p. 481 et 502 Mel. Barocc. fol. 17[r] Flor. Par. Nr. 2 Max. Ecl. c. 12 Anton. Mel. I 31 Col. 884 Φίλωνος D[M] fol. 173[v] Νήλου et fol. 178[v] D[R] fol. 169[r] Φίλωνος Ἑβραίου Ioann. Georgides in Laur. VII 15 fol. 82[r] (Φίλωνος): πλούτου τὸ κάλλος—ἐπικουρίᾳ.

ἐγρηγορότες τῶν κοιμωμένων, τοσούτῳ καὶ ἐν ἅπαντι τῷ κόσμῳ τὰ
οὐράνια τῶν ἐπιγείων. τὰ μὲν ἐγρηγόρσει χρώμενα ἀκοιμήτῳ διὰ τὰς
ἀπλανεῖς καὶ ἀπταίστους καὶ ἐν ἅπασι κατορθούσας ἐνεργείας, τὰ δ'
ὕπνῳ κατεχόμενα, κἂν εἰ πρὸς βραχὺ διαναστaίη, πάλιν καθελκόμενα
καὶ καταδαρθάνοντα διὰ τὸ μηδὲν εὐθυτενῶς δύνασθαι τῇ ψυχῇ
βλέπειν, ἀλλὰ πλάζεσθαι καὶ περιπταίειν· ἐπισκοτεῖται γὰρ ψευδέσι
δόξαις, ὑφ' ὧν ὀνειρώττειν ἀναγκαζόμενα καὶ τῶν πραγμάτων ὑστερί-
148 ζοντα οὐδὲν παγίως καὶ βεβαίως ἱκανὰ καταλαμβάνειν ἐστί. (25.) συμ-
βολικῶς μέντοι καὶ ἐπὶ τὸ δευτερεῖον τῶν βασιλικῶν ἁρμάτων ἀνα-
βαίνειν λέγεται δι' αἰτίαν τοιάνδε· ὁ πολιτικὸς τὰ δευτερεῖα φέρεται
βασιλέως· οὔτε γὰρ ἰδιώτης ἐστὶν οὔτε βασιλεύς, ἀλλ' ἀμφοῖν μεθόριος,
ἰδιώτου μὲν ὢν κρείττων, ἐλάττων δ' εἰς ἀρχὴν αὐτεξούσιον βασιλέως,
τῷ δήμῳ βασιλεῖ χρώμενος, ὑπὲρ οὗ πάντα πράττειν προήρηται καθαρᾷ
149 καὶ ἀδολωτάτῃ πίστει. φέρεται δὲ ὡς ἐφ' ἁρματείου δίφρου μετέωρος
ὑπό τε τῶν πραγμάτων καὶ τῶν ὄχλων εἰς ὕψος αἱρόμενος, καὶ μάλισθ'
ὅταν κατὰ νοῦν ἕκαστα μικρὰ καὶ μεγάλα χωρῇ, μηδενὸς ἀντιπνέοντος
μηδ' ἀντιστατοῦντος, ἀλλ' ὡς ἐν εὐπλοίᾳ πάντων σωτηρίως ὑπὸ θεοῦ
κυβερνωμένων. ὅν τε δίδωσιν ὁ βασιλεὺς δακτύλιον, ἐναργέστατον
δεῖγμα πίστεώς ἐστιν, ἣν πεπίστευκεν ὅ τε βασιλεὺς δῆμος τῷ πολιτικῷ
150 καὶ ὁ πολιτικὸς τῷ βασιλεύοντι δήμῳ. ὁ δὲ περὶ τὸν τράχηλον
χρυσοῦς κύκλος εὐδοξίαν ὁμοῦ καὶ κόλασιν ἔοικεν ὑποσημαίνειν· ἕως μὲν
γὰρ τὰ κατὰ τὴν πολιτείαν εὐοδεῖ πράγματα αὐτῷ, γαῦρός ἐστι καὶ σεμνὸς

1 τοσοῦτον VO ἅπασι (superscr. αντι) K 2 ἐγρηγόρσει CAVOK: ἐγρηγορῶσι F, ἐγρηγορόσι ceteri ἀκοιμήτω CK: ἀκοιμήτως ceteri 3 ἀπταίστους] ἀπαύστους L (Turn.) 5 εὐθυτενῶς K: εὐθυγενῶς CVO, εὐθυτενὲς A, εὐθυγενὲς ceteri τὴν ψυχὴν V²O 6 παραπταίειν F, παραπαίειν K 7 ἀναγκαζόμενα CV¹BEK¹M: ἀναγκαζομένη ceteri 7. 8 ὑστερίζοντα CV¹BEK¹M: ὑστερίζουσα ceteri 8 οὐδὲ BEM καὶ] οὐ A ἱκανὴ AV²K²H² 9 μέν σοι F δευτέριον C 10 λέγεται] δέχεται F δευτερία (superscr. ει) C φέρεται K, φέρει τοῦ V²O 11 βασιλείας A alt. οὔτε] ἅτε A 12 ὢν om. A αὐτεξούσιον CBEK¹M: αὐτεξουσίου ceteri 13 τῷ—χρώμενος] ἰδιώτου μὲν ὢν κρείττων repet. G πράττειν om. A προείρηται A 14 ἀδολωτάτω A δ' CAVO ἁρματείου AV²O: ἁρματίου ceteri 15 ὄχλων] ὅλων A εἰς om. F ὕψι F 16 νοῦν] ῥοῦν BEKM ἕκαστα om. O μικρά τε BEKMO καὶ om. M χωρήσῃ A 18 τε] δὲ A (Mang.) 19 δεῖγμα om. FG ἐστι AFP ἣν] καὶ AFGHP βασιλικὸς F 20 καὶ AFGHP: καὶ ἣν ceteri βασιλικῶ ὄντι VOK² περὶ] πρὸς A 21 κύκλος] κλοιὸς coni. Mang. 22 τὴν om. P εὐοδεῖ BEKMVOP: εὐοδῇ C, εὐοδεῖται FGH¹ (Mang.), εὐοδοῦται AH² (Turn.) πράγματ' F αὐτῶ O, αὐτῶν H

ὑπὸ τῶν ὄχλων τιμώμενος· ἐπειδὰν δὲ πταῖσμα συμβῇ, μὴ κατὰ προαίρεσιν — τοῦτο γὰρ ὑπαίτιον —, ἀλλὰ τυχηρόν, ὅπερ ἐστὶ συγγνωστόν, οὐδὲν ἧττον ἕλκεται κάτω διὰ τοῦ περιαυχενίου κόσμου καὶ ταπεινοῦται, μόνον οὐκ ἐπιλέγοντος τοῦ δεσπότου· „τὸν περιαυχένιον τοῦτον κύκλον ἐδωρησάμην σοι καὶ κόσμον κατορθουμένων τῶν ἐμῶν καὶ ἀγχόνην ἀποτυγχανομένων.“

63 M. (26.) | Ἤκουσα μέντοι καθ᾽ ἑτέραν ἰδέαν τροπικώτερον τὰ περὶ 151 τὸν τόπον ἀκριβούντων. ἦν δὲ τοιάδε· τὸν βασιλέα τῆς Αἰγύπτου τὸν ἡμέτερον νοῦν ἔλεγον εἶναι, τὸν τῆς καθ᾽ ἕκαστον σωματικῆς χώρας ἡγεμόνα, ὃς οἷα βασιλεὺς ἀνῆπται τὸ κράτος. ᾧ γενομένῳ φιλοσωμάτῳ 152 τρία τὰ πλείστης ἀξιούμενα σπουδῆς διαπονεῖται, σιτία καὶ ὄψα καὶ ποτά, παρὸ καὶ τρισὶ χρῆται τοῖς τῶν λεγομένων ἐπιμεληταῖς, ἀρχισιτοποιῷ καὶ ἀρχιοινοχόῳ καὶ ἀρχιμαγείρῳ· πρυτανεύει γὰρ ὁ μὲν τὰ περὶ ἐδωδήν, ὁ δὲ τὰ περὶ πόσιν, ὁ δ᾽ ἐπιτέτακται τοῖς περὶ αὐτὰ τὰ ὄψα ἡδύσμασιν. πάντες δέ εἰσιν εὐνοῦχοι, ἐπειδὴ ὁ φιλήδονος ἄγονός 153 ἐστι τῶν ἀναγκαιοτάτων, σωφροσύνης, αἰδοῦς, ἐγκρατείας, δικαιοσύνης, ἁπάσης ἀρετῆς· οὐδὲν γὰρ οὕτως ἐχθρὸν ἄλλο ἄλλῳ, ὡς ἀρετῇ ἡδονή, δι᾽ ἣν ἀλογοῦσιν οἱ πολλοὶ ὧν μόνον ἄξιον πεφροντικέναι, ταῖς ἀκαθέκτοις ἐπιθυμίαις χαριζόμενοι καὶ οἷς ἂν προστάττωσιν εἴκοντες. ὁ μὲν 154 οὖν ἀρχιμάγειρος οὔτ᾽ εἰς δεσμωτήριον ἀπάγεται οὔτε τινὶ περιπίπτει λύμῃ διὰ τὸ μὴ σφόδρα τῶν ἀναγκαίων εἶναι τὰς παραρτύσεις οὐχ ἡδονὰς οὔσας ἀλλ᾽ εὔσβεστα ἡδονῶν ὑπεκκαύματα, δύο δὲ τῶν περὶ τὴν ἄθλιον γαστέρα πραγματευομένων, ἀρχισιτοποιὸς καὶ ἀρχιοινοχόος, ἐπειδὴ τὰ

2 οὐχ ὑπαίτιον VO 3 οὐδὲ K ἧττον BEKMV²O: κρεῖττον ceteri 4 μονονοῦ (κ eras.) V, μονονοὺ GO, μονονοὺ καὶ K περιαυχένα BE, περὶ αὐχένα M κύκλον om. F 5 σοι om. BEM ἀγχόνης CV, om. O 6 ἀποτυγχανόντων BEKM 7 post μέντοι ss. καὶ H² (v) τροπικωτέραν A τὰ] τῶν A 8 τὸν τόπον V², τῶν τόπων V¹ τύπον ex τόπον corr. H 9 νοῦν] λογισμὸν A εἶναι om. A 10 ὃς] ᾧ corr. H βασιλεῖ corr. H ἀνῆπτε FG, ἀνῆπτον H ᾧ C²VOK: ὡς ceteri γενομένου A, γινομένῳ H(v) φιλοσωμάτου A 11 τρία CVOK: τρία γὰρ ceteri φιλοπονεῖται A 12 παρ᾽ ὅσον VO μεληταῖς F 13 καὶ pr. om. A τὰ om. CVO 14 δὲ CVO ἐπιτέτραπται A 15 ἐδέσμασι F δ᾽ BEMA εὐνοῦχοι β α δέ εἰσι πάντες transp. HP, εὐνοῦχοι δὲ πάντες εἰσίν K φιλόδημος CBEMA 17 πάσης BEM ἀρετὴ ἡδονὴ V¹M, ἀρετὴ ἡδονῆς C 18 post ὧν add. ἀγαθῶν VO, ss. K² μόνων AV²K²O 19 καὶ—εἴκοντες om. C προστάττωσιν AK: πράττωσιν FGHP, προστάγμασιν BEMV¹, ὦσι πράγμασι V²O εἴκοντες] εἰρηκότες BEMV¹, προστετηκότες V²O 22 ἄσβεστα AKO, αὐτὰς (sic) BEM; αὖ τὰ coni. Mang. ἀθλίαν K¹ (fort. recte) 23 ἀρχισιτοποιοῦ καὶ ἀρχιοινοχόου V²O

συνεκτικώτατα τῶν εἰς τὸ ζῆν χρησίμων ἐστὶ βρῶσις καὶ πόσις, ὧν
ἐπιμελείας μὲν ἀξιουμένων οἱ προεστῶτες εἰκότως ἐπαίνων τυγχάνουσιν,
155 ὀλιγωρουμένων δὲ ὀργῆς καὶ κολάσεως ἀξιοῦνται. διαφορὰ δὲ κἀν ταῖς
κολάσεσιν, ὅτι διάφορος ἡ χρεία, σιτίων μὲν ἀναγκαιοτάτη, οἴνου δὲ οὐ
πάνυ χρησίμη· καὶ γὰρ ἀκράτου δίχα ζῶσιν ἄνθρωποι ναματιαίῳ
156 ὕδατι ποτῷ χρώμενοι. δι᾿ ἣν αἰτίαν πρὸς μὲν τὸν ἀρχιοινοχόον γίνονται
καταλλαγαὶ καὶ συμβάσεις ὡς ἂν ἁμαρτόντα περὶ τὸ ἔλαττον μέρος, ἀσύμ-
βατα δὲ καὶ ἀκατάλλακτα τὰ πρὸς τὸν ἀρχισιτοποιόν ἐστιν ἄχρι θανάτου
λαμβάνοντα τὴν ὀργὴν ὡς ἂν περὶ τὸ μέγιστον ἀδικήσαντα· τελευτὴ
γὰρ ἕπεται σιτίων σπάνει· οὗ χάριν καὶ ὁ περὶ ταῦτ᾿ ἐξαμαρτὼν εἰκότως
θνήσκει κρεμασθείς, ὅμοιον κακὸν ᾧ διέθηκε παθών· καὶ γὰρ αὐτὸς
ἀνεκρέμασε καὶ παρέτεινε τὸν πεινῶντα λιμῷ.
157 (27.) Τοσαῦτα καὶ περὶ τούτου. ὁ μέντοι βασιλέως ὕπαρχος
κατασταθεὶς καὶ τῆς Αἰγύπτου τὴν ἐπιμέλειαν καὶ προστασίαν λαβὼν
ἐξῄει γνωρισθησόμενος ἅπασι τοῖς ἐγχωρίοις καὶ τοὺς λεγομένους νομοὺς
ἐπιὼν κατὰ πόλεις πολὺν αὑτοῦ πόθον ἐνειργάζετο τοῖς ὁρῶσιν, οὐ
μόνον ταῖς ὠφελείαις, ἃς ἑκάστοις παρεῖχεν, ἀλλὰ καὶ ταῖς περὶ τὴν
158 ὄψιν τε καὶ τὴν ἄλλην ὁμιλίαν ἀλέκτοις καὶ ἐξαιρέτοις χάρισιν. ἐπεὶ
δὲ κατὰ τὴν τῶν ὀνειράτων σύγκρισιν ἐνέστη προτέρα τῆς εὐθηνίας ἡ
ἑπταετία, τὸ πέμπτον | τῶν καρπῶν ἀνὰ πᾶν ἔτος συνάγων διά τε τῶν p. 64 M
ὑπάρχων καὶ τῶν ἄλλων, οἳ πρὸς τὰς δημοσίας χρείας ὑπηρέτουν αὐτῷ,
τοσαύτην ἤθροισε πλῆθος δραγμάτων, ὅσην οὐδείς πω πρότερον γενο-

1 χρησίμων mg. H, ἀναγκαίων in textu H, χρησίμων om. M 2 εἰκότως om. A
4 ὅτι] ὅταν HP μὲν γὰρ A 5 χρησίμη om. F 6 ποτῷ] ποταμῷ BEM
χρώμενοι] ἀρκούμενοι coni. Mang. 7 συμβάσεις B, συμβιβάσεις (βι suprascr.) KMVO
ἁμαρτάνοντα F 8 τὰ om. CAVO 9 τὸ] τὸν H[1]P ἁμαρτήσαντα (ἀδικ suprascr.) A
10 ταῦτα CVO 11 ᾧ Mang.: ὧν codd. παθὼν C 12 λιμόν M
13 μέντοι] μὲν οὖν BEK[1]M (Mang.) 14 τὴν om. A 15 νομοὺς VK: νόμους ceteri
16 πόλιν A αὑτοῦ ex αὐτοῦ corr. H: αὐτοῦ ceteri, om. P πόθεν M
ὁρῶσιν] παροῦσιν BEKM 17 ὠφελίαις M ἕκαστος P[1], ἑκάστῳ H[2]
ταῖς CAKFH[2]P[2]: om. ceteri 18 post καὶ pr. add. περὶ VO τὴν ἄλλην]
μεγάλην A ἀλήκτοις VO τε καὶ F χαρίσμασιν BEM 19 τῶν
om. A ὀνείρων K διάκρισιν conicio ἀνέστη O πρότερον F, ἡ προτέρα VO
ἡ eras. V[2], om. O 19. 20 ἡ ἑπταετία τῆς εὐθηνίας transp. HP 20 συνάγων
CK: συλλέγων AP[2], ἀγγέλλων ceteri 21 ἠπειρέτουν K 22 πραγμάτων FHP
πω] τὸ VO, om. A

13 sqq. Gen. cap. 41,46 sqq.

μένην ἐμέμνητο· πίστις δὲ σαφεστάτη τὸ μηδ᾽ ἀριθμηθῆναι δύνασθαι.
καίτοι μυρία τινῶν πονηθέντων, οἷς ἐπιμελές, περιεργίᾳ διαριθμήσασθαι.
διεξελθόντων δὲ τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς εὐφόρησεν ἡ πεδιάς, ἀρχὴν 159
ἐλάμβανεν ὁ λιμός, ὃν ἐπιβαίνοντα καὶ συναυξόμενον οὐκ ἐχώρησεν
Αἴγυπτος· ἀναχεόμενος γὰρ καὶ τὰς ἑξῆς ἀεὶ πόλεις καὶ χώρας
ἐπικαταλαμβάνων ἄχρι περάτων καὶ τῶν πρὸς ἕω καὶ τῶν πρὸς
δυσμὰς ἔφθασε τὴν οἰκουμένην ἐν κύκλῳ πᾶσαν κατασχών. λέγεται 160
γοῦν μηδέποτε κοινὴ νόσος κατασκῆψαι τοσαύτη, καθάπερ ἣν ἰατρῶν
παῖδες ὀνομάζουσιν ἑρπῆνα· καὶ γὰρ αὕτη πᾶσι τοῖς μέρεσιν ἐπιφοιτῶσα
τὴν κοινωνίαν τῶν ἡλκωμένων σωμάτων ὅλην δι᾽ ὅλων στοιχηδὸν πυρὸς
τρόπον ἐπινέμεται. τοὺς οὖν ἀφ᾽ ἑκάστης δοκιμωτάτους αἱρούμενοι 161
σιτώνας ἐξέπεμπον εἰς Αἴγυπτον· ἤδη γὰρ ἡ πρόνοια τοῦ νεανίσκου
πανταχόσε διηγγέλλετο ταμιευσαμένου τροφὰς ἀφθόνους εἰς καιρὸν
ἐνδείας. ὁ δὲ τὸ μὲν πρῶτον κελεύει ἀνοιχθῆναι τοὺς σωροὺς ἅπαντας, 162
ὑπολαμβάνων εὐθυμοτέρους παρασκευάσειν τοὺς ἰδόντας καὶ τρόπον τινὰ
τὰς ψυχὰς ἀναθρέψειν πρὸ τῶν σωμάτων ἐλπίσι χρησταῖς, ἔπειτα διὰ
τῶν ἐπιτραπέντων τὰς σιταρχίας ἐπώλει τοῖς ἔχουσιν ὠνητικῶς, στοχαζόμενος τοῦ μέλλοντος ἀεὶ καὶ τὸ ἐπιὸν ὁρῶν τοῦ παρόντος ἀκριβέστερον.
(28.) Ἐν δὲ τούτῳ καὶ ὁ πατήρ, ὑποσπανιζόντων ἤδη τῶν ἀναγ- 163
καίων, ἀγνοῶν τὴν τοῦ παιδὸς εὐτυχίαν ἐκπέμπει δέκα τῶν υἱῶν ἐπὶ

1 μηδὲ VO 2 μυρία τινῶν πονηθέντων AK¹P²: μυρία πολλῶν πονηθέντων V²K², μυριάδων πονηθέντων C, μυρίων τῶν πονηθέντων H²(v), μυρία τῶν πονηθέντων ceteri ἐπιμελὴς F 3 διελθόντων VO ἐν om. AG ηὐφόρησεν CFGHP ἀρχὴν om. F 4 συναυξανόμενον AFH(v), αὐξόμενον M 5 καὶ pr. om. F ἀεὶ om. VO 6 τῶν alt.] τὸν C 7 ὅλην τὴν οἰκουμένην (tum πᾶσαν om.) A 8 γοῦν] γὰρ AP², γὰρ οὖν FGP¹ 9 ἑρπῆνα AFHP: ἕρπητα ceteri ἑρπὴν λέγεται πάθος περσῶν adnot. G et mg. FH αὐτὴ AFGHP 10 τὴν κοινωνίαν AF¹GHP: τῇ κοινωνίᾳ ceteri ἡλωμένων B, ἠλωμένων E, εἰλωμένων VOK², ἡνωμένων CK¹ ὅλην AFGHP: ὅλη ceteri στοιχηδὸν K 11 ἀφ᾽ ἑκάστοις A δοκιμωτάτου C αἱρούμενοι AFGHPK: αἱρουμένους CBEM(v), ἀνευρομένους VO 12 ἐξέπεμπεν M 13 πανταχόθεν ἠγγέλλετο A ταμιευσομένου BEM, ταμιευσαμένη HP 14 ἀνοιχθῆναι om. A ἀνοιχθῆναι κελεύει conicio σοροὺς E¹M 15 παρασκευάσαι VO, παρασκευάζειν HP 16 ἀναθρέψαι VO θεραπεύσειν ψυχὰς (om. τὰς) in textu HP, ἀναθρέψειν ψυχὰς mg. HP; ἀναθρέψειν τὰς ψυχὰς v 17. 18 στοχαζόμενοι G 18 τοῦ μέλλοντος om. V 20 καὶ om. F 21 ἐπὶ] εἰς L(v)

20 sqq. Gen. cap. 42

σιτωνίαν τὸν νεώτατον οἴκοι κατασχών, ὃς ἦν ὁμομήτριος ἀδελφὸς τῷ
164 βασιλέως ὑπάρχῳ. καὶ οἱ μὲν εἰς Αἴγυπτον ἐλθόντες ἐντυγχάνουσιν
ὡς ἀλλοτρίῳ τἀδελφῷ καὶ τὴν περὶ αὐτὸν ἀξίωσιν καταπλαγέντες ἔθει
παλαιῷ προσκυνοῦσιν, ἤδη καὶ τῶν ὀνειράτων αὐτοῦ λαμβανόντων
165 βεβαίωσιν. ὁ δὲ τοὺς πεπρακότας θεασάμενος εὐθὺς ἐγνώρισεν ἅπαντας
ὑπὸ μηδενὸς αὐτὸς γνωρισθεὶς τὸ παράπαν, μὴ βουληθέντος πω τοῦ
θεοῦ τἀληθὲς ἀναφῆναι διά τινας ἀναγκαίας αἰτίας, ἃς τότε βέλτιον ἦν
ἡσυχάζεσθαι, ἀλλ' ἢ τὴν ὄψιν ἀλλάξαντος εἰς σεμνότερον εἶδος τοῦ τὴν
χώραν ἐπιτραπέντος ἢ παρατρέψαντος τὰς ἀκριβεῖς καταλήψεις τῆς δια-
166 νοίας τῶν ὁρώντων. εἶτ' οὐχ ὥσπερ νέος καὶ τοσαύτης ἡγεμονίας
διάδοχος ἀρχὴν τὴν μετὰ βασιλέα πρώτην ἀναψάμενος, εἰς ὃν ἀνατολαὶ
καὶ δύσεις ἀπέβλεπον, | ἡλικίας ἀκμῇ καὶ μεγέθει τῆς ἐξουσίας ἐπαρθείς, p. 65 M.
καιρὸν ἔχων ἀμύνης ἐμνησικάκησεν, ἀλλ' ἐγκρατῶς τὸ πάθος ἐνεγκὼν καὶ
ταμιευσάμενος αὐτοῦ τῇ ψυχῇ μετὰ πολλοῦ τοῦ προμηθοῦς ἐπεμόρφαζεν
ἀλλοτρίωσιν καὶ βλέμμασι καὶ φωνῇ καὶ τοῖς ἄλλοις καθυποκρινόμενος
τὸν δυσχεραίνοντα „οὐδέν" εἶπεν. „ὦ οὗτοι, φρονεῖτε εἰρηνικόν, ἀλλά τις
τῶν βασιλέως ἐχθρῶν κατασκόπους ὑμᾶς ἐξέπεμψεν, ᾧ κακὰς ὑπηρεσίας
ὁμολογήσαντες ὑπηρετήσειν λήσεσθαι μὲν ᾠήθητε, λανθάνει δ' οὐδὲν
167 τῶν δρωμένων ἐπ' ἐνέδρᾳ, κἂν βαθεῖ σκότῳ συσκιάζηται." πειρωμένων
δ' ἀπολογεῖσθαι καὶ διεξιόντων, ὡς ἐπ' ἀγενήτοις κατηγοροῦνται, μήτε
γὰρ παρὰ δυσμενῶν ἥκειν μήτ' αὐτοὶ τοῖς ἐγχωρίοις ἀπέχθεσθαι μηδ'
ἂν ὑπομεῖναί ποτε τοιαύτην διακονίαν, εἶναι γὰρ τὰς φύσεις εἰρηνικοὶ
καὶ μεμαθηκέναι σχεδὸν ἐξ ἔτι νηπίων παίδων τιμᾶν εὐστάθειαν παρ'
ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ πατρί, ᾧ δώδεκα γενομένων υἱῶν ἕνα μὲν

1 σιτωνία A ὁμομήτριος ἀδελφὸς CVO: ἀδελφὸς post ὑπάρχῳ (2) transp. ceteri 2 εἰσελθόντες εἰς Αἴγυπτον C 3 τῷ ἀδελφῷ CVOHP, ἀδελφῷ (om. τῷ) G 4 παλαιῷ] βαρβάρῳ coni. Mang. ἤδη προσκυνοῦσι transp. A 5 βεβαίωσιν] τελείωσιν P πεπρακότας] ἠγορακότας V^2K^2O 6 πω om. VO 7 τἀληθῆ F ἀναθεῖναι VO ⟨δι'⟩ ἃς coni. Wendl. τότε om. VO ἦν om. F
εἶδος
8 ἦθος K 9 περιτρέψαντος AF τὰς om. HP^1 9. 10 τῆς διανοίας CVOK: καὶ διανοίας AFGHP, om. BEM 10 εἶτα VO 11 βασιλέως F 12 ἐπέβλεπον HP 13 ἀμύναι A ἐγκρατῶς] ἐκράτησε HP 14 αὐτοῦ V^2: αὑτοῦ ceteri 15 ἀλλοτριώσεσι VO βλέμματι coni. Mang. 16 ὦ οὗτοι, εἶπε transp. HP 17 ἡμᾶς G κακὰς] καὶ τὰς G 18 ὁμολογήσαντας M λήσεσθε G μὲν om. VO 20 δὲ CVO 21 αὐτοὺς K ἀπέχθεσθε G, ἀπέχεσθαι BEKM, ὑπέχεσθαι C 22 ἂν] αὖ F ποτε om. A 23 ἐξέτι CFP παίδων om. FHP εὐπάθειαν P, εὐπείθειαν H 24 πατρὶ καὶ θεοφιλεστάτῳ transp. A θεοφίλεος (alt. ο eras.) C post δώδεκα add. μὲν HP(v) γεινομένων V, γειναμένων O μὲν om. Mang.

τὸν νεώτατον οὐκ ἔχοντά πω ἡλικίαν ἀποδημίας οἴκοι καταμεῖναι, δέκα
δὲ τοὺς ὁρωμένους ἡμᾶς ἐνταῦθα ὑπάρχειν, τὸν δὲ λοιπὸν ἐκποδὼν
γεγενῆσθαι —, (29.) ταῦτ᾽ ἀκούσας ὡς ἐπὶ τεθνεῶτι ἑαυτῷ παρὰ τῶν
ἀποδομένων τί τὴν ψυχὴν ἄρα ἐπεπόνθει; καὶ γὰρ εἰ μὴ ἐξελάλησε 168
τότε τὸ παραστὰν πάθος, ἀλλὰ τούτοις ὑποτυφομένῳ καὶ ζωπυρουμένῳ
πάντως τὰ ἐντὸς ἐκαίετο, βαθεῖ δ᾽ ὅμως ἤθει φησὶν αὐτοῖς· „εἰ τῷ
ὄντι μὴ κατασκεψόμενοι τὴν γῆν ἀφίχθε, πρὸς πίστιν τὴν ἐμὴν ὑμεῖς
μὲν ἐνταυθοῖ διατρίψατε βραχύν τινα χρόνον, ὁ δὲ νεώτατος ἀδελφὸς
ὑμῶν ἀφικέσθω μετακληθεὶς ἐπιστολιμαίοις γράμμασιν. ἐὰν δ᾽ ἕνεκα 169
τοῦ πατρὸς ἐπείγησθε ἀπιέναι φοβησομένου τάχα τὴν μακρὰν ὑμῶν
διάζευξιν, οἱ μὲν ἄλλοι πάντες ἀπάρατε, καταμεινάτω δ᾽ εἷς ὁμηρεύσων,
ἄχρις ἂν ἐπανέλθητε σὺν τῷ νεωτάτῳ· τιμωρία δὲ κατὰ τῶν μὴ πει-
θαρχούντων ἡ ἀνωτάτω προκείσεται θάνατος.“ καὶ ὁ μὲν τοιαῦτ᾽ 170
ἀπειλήσας ὑποβλεπόμενος καὶ βαρείας ὀργῆς δείγματα παρασχὼν ὅσα τῷ
δοκεῖν ἀπηλλάττετο· οἱ δὲ συννοίας καὶ κατηφείας γεμισθέντες ἐκάκιζον
ἑαυτοὺς ἕνεκα τῆς πρὸς τὸν ἀδελφὸν ἐπιβουλῆς „ἐκεῖνο“ λέγοντες
„τἀδίκημα τῶν παρόντων ἐστὶ κακῶν αἴτιον, τῆς ἐφόρου δίκης τῶν
ἀνθρωπείων πραγμάτων ἤδη τι μηχανωμένης καθ᾽ ἡμῶν· βραχὺν γὰρ
ἡσυχάσασα χρόνον διανίσταται τὴν ἀμείλικτον καὶ ἀπαραίτητον αὑτῆς
ἐπιδεικνυμένη φύσιν τοῖς ἀξίοις κολάσεως. πῶς γὰρ οὐκ ἄξιοι; οἳ δεό- 171
μενον καὶ ποτνιώμενον τὸν ἀδελφὸν οἱ ἀνηλεεῖς ὑπερείδομεν οὐδὲν μὲν
ἐξαμαρτόντα, φαντασίας δὲ τὰς καθ᾽ ὕπνον διὰ τὸ φιλοίκειον ὡς
συνήθεσιν ἀνενεγκόντα, ὑπὲρ ὧν οἱ θηριωδέστατοι καὶ πάντων ἀγριώτατοι

1 ⟨τὴν⟩ ἡλικίαν conicio 2 ἡμᾶς delendum videtur ἐνταῦθ᾽ VO ἐκποδῶν EH[1]O 3 ταῦτα CP παρὰ τῶν] πάντων VO 4 πεπόνθει MG εἰ γὰρ καὶ μὴ transp. A 5 παριστάνον F τούτω A (Mang.) ὑποτυφου[α]μένου CVO 6 πάντως] πάντα coni. Mang. 7 ἐφῖχθε C πρὸς τὴν πίστιν F 8 νεώτερος F 9 ἐφικέσθω VO δ᾽ om. BEM 10 ἐπείγεσθε BEKMF ἀπιέναι Mang.: ἀπεῖναι codd. φοβηθησομένου A (Mang.) 11 ἅπαντες VK[2] 12 ἐπαναχθῆτε AFGHP 13 ἡ AKF[2]H[2]P[2]: ὁ CVOBEM, om. F[1]GH[1]P[1] καὶ om. M τοιαῦτα CF 14 σχὼν F τῷ] τὸ P 17 τῶν— αἴτιον post ἡμῶν (18) transp. K ἐστὶν αἴτιον κακῶν transp. AO 18 ἀνθρωπίων C τι om. F βραχὺ F 19 ἐφησυχάσασα FHP(v) [σεως] αὐτῆς codd. 20 κολάζεσθαι K πῶς] πόσων VK[2] ἄξιον HP[1] οἳ C: om. ceteri 21 οἱ ἀνηλεεῖς om. A ὑπερίδομεν C, περιείδομεν V οὐδὲν μὲν] οὐ μὲν CBEM, οὖμενοῦν VK[2] 22 post ἐξαμαρτόντα add. τι, ἀλλὰ (tum δὲ om.) CVBEM τὰς] τότε C φιλοίκιον O 23 σύνθεσιν (sic) G ἀνενέγκαντα A καὶ πάντων ἀγριώτατοι om. F post πάντων add. ἀνθρώπων BEM (Mang.)

δυσχεραίνοντες ἡμεῖς οὐχ ὅσια — δεῖ γὰρ | ἀψευδεῖν — εἰργασάμεθα. p. 66 M.
172 τοιγαροῦν καὶ ταῦτα καὶ ἔτι χείρω τούτων πείσεσθαι προσδοκῶμεν,
οἵτινες μόνοι σχεδὸν ἐξ ἁπάντων ἀνθρώπων εὐπατρίδαι λεγόμενοι διὰ
τὰς πατέρων καὶ πάππων καὶ προγόνων ὑπερβαλλούσας ἀρετὰς ᾐσχύ-
173 ναμεν τὴν συγγένειαν ἐπιφανὲς ὄνειδος κτήσασθαι σπουδάσαντες.“ ὁ
δὲ πρεσβύτατος τῶν ἀδελφῶν, ὃς καὶ ἐν ἀρχῇ, συντιθεμένων τὴν ἐπι-
βουλήν, ἠναντιοῦτο, „ἐπὶ δὴ πεπραγμένοις“ εἶπεν „ἀνωφελεῖς αἱ μετα-
μέλειαι· παρεκάλουν, ἱκέτευον, ἐξετάζων ὅσον ἐστὶ τὸ ἀνοσιούργημα,
μὴ θυμῷ χαρίζεσθαι· συναινεῖν δέον, ταῖς ἀβουλίαις ἑαυτῶν εἴξατε.
174 τοιγαροῦν καρπούμεθα τῆς αὐθαδείας καὶ ἀσεβείας τἀπίχειρα· ζητεῖται
μὲν ἡ ἐπ' ἐκείνῳ τορευθεῖσα ἐπιβουλή, ὁ δὲ ζητῶν οὐκ ἔστιν ἄνθρωπος,
175 ἀλλ' ἢ θεὸς ἢ λόγος ἢ νόμος θεῖος.“ (30.) ταῦτα δ' ἤκουεν ὁ πραθεὶς
ἀδελφὸς ἡσυχῇ διαλαλούντων, ἑρμηνέως μεταξὺ ὄντος· καὶ νικηθεὶς
ὑπὸ τοῦ πάθους, μέλλων δακρύειν, ὡς μὴ γένοιτο καταφανής, ἀπο-
στρέφεται καὶ προχέας θερμὰ καὶ ἐπάλληλα δάκρυα καὶ πρὸς ὀλίγον
ἐπικουφισθείς, τὴν ὄψιν ἀπομαξάμενος, ἐπιστρέφει καὶ κελεύει τὸν
ἡλικίᾳ δεύτερον τῶν ἀδελφῶν ἐν ὄψεσι ταῖς ἁπάντων δεθῆναι, τὸν αὐτῷ

1 εἰργασάμεθα AOFHP: εἰργάσμεθα ceteri 2 χείρω τούτων KF: τούτων om. CV, τούτων χείρω transp. ceteri πείσεσθε B 4 post τὰς add. τῶν AOHP 5 συγγένειαν] εὐγένειαν K[1] (fort. recte) 6 τῶν ἀδελφῶν] ἀδελφὸς AO καὶ om. F συντεθειμένων CV 6. 7 τῇ βουλῇ AOV[2], τὴν βουλὴν V[1] 7 post ἠναντιοῦτο add. ≡παρεκάλει F ἐπὶ δὴ Mang.: ἐπὶ K, ἐπειδὴ ceteri 8 παρεκάλουν om. F παρεκάλει, ἱκέτευεν BEMGHP, ἱκέτευεν etiam F ἐξέταζον C 9 χαρίσασθαι AOF συναινῶν H[1]P δέον] δὲ O συναινεῖν δέον] δέον συναινεῖν F, παρῄνουν, ἀλλ' ὑμεῖς V[2] αὐτῶν F 10 ἀσεβείας καὶ αὐθαδείας transp. AO τὰ ἐπίχειρα CAG 12 ταῦτ' ἤκουεν (om. δ') V ἤκουσεν A 13 ἡσυχῇ—μεταξὺ] ἐν ὄψεσι—κατάλληλον (17—99,1) O κινηθεὶς MAOF 14 δακρύειν CVBEKM: ἐνδακρύειν ceteri (v) καταφανεὶς O 16 ἀπομαρξάμενος O 17 ἐν ἡλικίᾳ F ταῖς K: τῶν ceteri

16—99,8 *Procop. Gaz. comment. in Gen. 42,24* (Wendland Neu entd. Fragm. Philos p. 91[1] = Migne P. G. t. 87,1 p. 479 inf.): τὸν δὲ ἐν ἡλικίᾳ δεύτερον τὸν Συμεὼν ὁ Ἰωσὴφ δεθῆναι προσέταξεν ὡς αὐτῷ κατάλληλον· ὁ γὰρ ἐν πλείοσι δεύτερος τῷ παρεσχάτῳ κατάλληλος, ἐπεὶ καὶ τῷ τελευταίῳ ὁ πρῶτος· ἴσως μέντοι καὶ διότι τὴν πλείστην μοῖραν ἔδοξε τῶν ἁμαρτηθέντων εἰσενεγκεῖν· εἰ γὰρ δεύτερος ὢν συνετάχθη τῷ πρεσβυτάτῳ χρηστὰ συμβουλεύσαντι, ἴσως ἂν συμπνευσάντων ἀλλήλοις τῶν πρώτων καὶ διὰ τοῦτο τιμιωτάτων κεκώλυτο τὸ πλημμέλημα. *Isidor. Pelus. Epist.* III, 115 (Migne P. G. t. 78 p. 820): ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσὴφ τὸν Σιμεῶνα μόνον ἐκέλευσε δεθῆναι, ὅμηρον τῆς τῶν ἀδελφῶν ἐπανόδου γενησόμενον, φημί· ἐπειδὴ τῶν τὴν τραγῳδίαν ἐκείνην κατ' αὐτοῦ δραματουργησάντων κορυφαιότατος ἦν. εἰ γὰρ ἐφράξατο μετὰ τοῦ πρεσβυτάτου τοῦ γνώμην ἀρίστην εἰσηγησαμένου, ἴσως ἂν καὶ τὴν ἐπιβουλὴν ἀνέτρεψεν·

κατάλληλον — ὁ γὰρ ἐν πλείοσι δεύτερος τῷ παρεσχάτῳ κατάλληλος,
ἐπεὶ καὶ τῷ τελευταίῳ ὁ πρῶτος —· ἴσως μέντοι καὶ διότι τὴν πλείστην 176
μοῖραν ἔδοξε τῶν ἁμαρτηθέντων εἰσενεγκεῖν μόνον οὐ συνταγματαρχῶν
καὶ τοὺς ἄλλους ἀλείφων ἐπὶ δυσμένειαν· εἰ γὰρ συνετάχθη τῷ πρεσβυ-
τάτῳ χρηστὰ καὶ φιλάνθρωπα βουλευομένῳ, νεώτερος μὲν ἐκείνου,
τῶν δ' ἄλλων πρεσβύτερος ὤν, ἴσως ἂν ἴσως ἐπεσχέθη τἀδίκημα, τῶν
τὴν ἀνωτάτω τάξιν καὶ τιμὴν ἐχόντων συμπνεόντων καὶ ὁμογνωμονούντων
περὶ πράγματος, ὃ καὶ καθ' αὑτὸ πολλὴν ῥοπὴν συνεφείλκετο· νυνὶ δ' 177
ἀποστὰς τῆς ἡμέρου καὶ ἀμείνονος τάξεως πρὸς τὴν ἀνήμερον καὶ
χαλεπὴν ηὐτομόλησε καὶ ταύτης ἀποδειχθεὶς ἡγεμὼν οὕτως ἐθάρσυνε
τοὺς συνεφαπτομένους τοῦ παρανομήματος, ὡς ἀνενδότως τὸν ἐπίληπτον
ἆθλον διαθλῆσαι. διὰ ταῦτ' ἐξ ἁπάντων μόνος οὗτος δεθῆναί μοι δοκεῖ.
οἱ δ' ἄλλοι τὴν οἴκαδε ἐπάνοδον ἤδη παρευτρεπίζονται, κελεύσαντος 178
τοῦ τῆς χώρας ἐπιτρόπου τοῖς πυροπωλοῦσι τὰ ἀγγεῖα τῶν ἀδελφῶν
ὡς ξένων ἅπαντα πληρῶσαι καὶ ἣν ἔλαβον τιμὴν ἐπὶ τῶν στομίων
λάθρα καταθεῖναι μὴ προειπόντας οἷς ἀπεδίδοσαν καὶ τρίτον τι προσ-
επιδαψιλεύεσθαι τροφάς, αἳ γένοιντ' ἂν ἱκαναὶ κατὰ τὴν ὁδόν, ἐξαιρέτους
ὑπὲρ τοῦ παραπεμφθῆναι τὴν σιτωνίαν ἀμείωτον. ὁδοιπορούντων δὲ 179
καὶ τὸν ἐν δεσμοῖς ἀδελφὸν ὡς εἰκὸς οἰκτιζομένων, οὐχ ἧττον δ' ἐπὶ
τῷ πατρὶ κατηφούντων, εἰ πάλιν ἀκούσεται συμφορᾶς, καθ' ἑκάστην

2 τὴν om. AO 3 μοῖραν] τιμωρίαν HP ἡμαρτηθέντων H 4 δυσμένειαν V²KO: δυσμενείᾳ ceteri (v) 4. 5 πρεσβυτάτῳ mg. H, πρώτῳ in textu H 5 ἐκεῖνος HP¹ 6 ἂν] μὲν HP 8 καθ' αὑτὸ VK: καταυτὸ G, κατ' αὐτῶν ceteri συνεφείλκυστο V; ἂν ἐφείλκετο coni. Mang. δὲ G 11 ἐφαπτο- νομή μένους BEKM παραπτώματος G ἀνενδότως GVBEKM: ἀνενδοιάστως ceteri τὸν om. K ἐπίληπτον AFP²: ἀνεπίληστον GV²K², ἀνεπίληπτον ceteri 12 δια-νύσαι AO ταῦτα AO, τοῦτ' MK δεθῆναι οὗτος transp. F δοκῶ AO 13 οἴκαδ' P παρευτρεπίζονται V: παρηυτρεπίζοντο ceteri καὶ ante κελεύσαντος add. K 14 πυρροπωλοῦσι M, πυροπολοῦσι G 15 ἅπαν M 16 προειπόντας GBEKM: προειπόντος V¹, προειπόντες V², προσειπόντας ceteri οἷς] ὡς coni. Mang. τρίτον τι GVBEKM: τι om. ceteri; τρίτον ἔτι coni. Wendl. 16. 17 προσεπιδαψιλεύεσθαι K: προσδαψιλεύσασθαι V², προσδαψιλεύεσθαι ceteri 17 κατὰ GVBEKM: καὶ κατὰ ceteri ἐξαιρέτους G: om. BEKM, ἐξαρκέσαι V² ss. K², ἐξαιρέτως ceteri 18 σιτωνείαν HP, σρίαν (i. e. σωτηρίαν) K 19 δὲ V 20 ἀκούσειε P συμφοράς A

ἐκείνου μὲν γὰρ νεώτερος ἦν δεύτερος ὢν καθ' ἡλικίαν, τῶν δ' ἄλλων πρεσβύτερος, καὶ εἰκὸς ἦν καὶ τοὺς ἄλλους ἢ φοβηθέντας ἢ δυσωπηθέντας τὴν τῶν πρεσβυτάτων γνώμην σβέσαι τὴν ἐπιβουλήν, καὶ μάλιστα καὶ τοῦ τετάρτου ἀγανακτοῦντος ἐπὶ τοῖς γινομένοις καὶ αὐτοῦ τοῦ πράγματος ἔχοντος πολλὴν ῥοπὴν πρὸς τὸ μὴ πραχθῆναι.

ὁδὸν | ἐλαττουμένης καὶ ἀποκειρομένης αὐτοῦ τῆς εὐπαιδίας, καὶ λεγόν- p. 67 M.
των „ἀλλ' οὐδὲ πιστεύσει δεδέσθαι, πρόφασιν δ' εἶναι τὰ δεσμὰ τελευτῆς
ὑπολήψεται διὰ τὸ τοὺς ἅπαξ πληγέντας εἰς τὰ αὐτὰ προσπταίειν",
ἑσπέρα καταλαμβάνει καὶ τῶν ὑποζυγίων καθελόντες τὰ ἄχθη τὰ μὲν
ἐπεκούφιζον, αὐτοὶ δὲ βαρυτέρας ταῖς ψυχαῖς φροντίδας ἐδέχοντο· φιλεῖ
γὰρ ἐν ταῖς ἀναπαύλαις τῶν σωμάτων ἐναργεστέρας τῶν ἀβουλήτων ἡ διά-
νοια λαμβάνουσα φαντασίας χαλεπῶς ἄγαν θλίβεσθαι καὶ πιέζεσθαι. (31.)
180 λύσας δέ τις ἓν ἀγγεῖον ὁρᾷ παρὰ τῷ στομίῳ βαλάντιον ὑπόμεστον ἀργυρίου
καὶ διαριθμησάμενος εὗρισκεν ὅσην τοῦ σίτου καθῆκε τιμὴν ἀποδεδομένην
181 αὐτῷ καὶ καταπλαγεὶς τοῖς ἀδελφοῖς ἀνέφερεν. οἱ δ' οὐ χάριν ἀλλ'
ἐνέδραν ὑποτοπήσαντες ἠθύμουν καὶ βουλόμενοι πάντα τὰ ἀγγεῖα διερευ-
νήσασθαι φόβῳ διώξεως ἄραντες ᾗ τάχιστα συνέτεινον καὶ μόνον οὐκ
182 ἀπνευστὶ θέοντες πολυήμερον ὁδὸν ἐπιτεμόντες ἀνύουσιν. εἶτ' ἀλλα-
χόθεν ἄλλοι τὸν πατέρα οὐκ ἀδακρυτὶ περιλαβόντες ἐφίλουν ἑκάστῳ
περιπλεκόμενον καὶ περιχεόμενον ἐκθύμως, καίτοι τῆς ψυχῆς ἤδη τι
μαντευομένης ἀβούλητον· καὶ γὰρ προσιόντας καὶ δεξιουμένους κατενόει
καὶ τὸν ὑπολειφθέντα υἱὸν ὡς ὑστερηκότα τῆς βραδυτῆτος ᾐτιᾶτο καὶ
πρὸς τὰς εἰσόδους ἀπέβλεπε σπεύδων τὸν ἀριθμὸν τῶν τέκνων πλήρη
183 θεάσασθαι. μηδενὸς δ' ἔξωθεν ἔτι προσεπιφοιτῶντος, διεπτοημένον
ἰδόντες „τῶν ἀβουλήτων" ἔφασαν, „ὦ πάτερ, ἀνιαρότερος τῆς μαθήσεως ὁ
ἐνδοιασμός ἐστι· μαθὼν μὲν γάρ τις ὁδὸν εὗρεν εἰς σωτηρίαν, ἡ δ' ἀμφί-
βολος ἄγνοια δυσοδίας καὶ ἀπορίας αἴτιον· ἄκουε δὴ σφόδρα μὲν ἀνιαροῦ

t
1 αὐτῷ V²GHP (v) εὐπαιδείας K, εὐπαιδείας AOH 2 δὲ V τελευτῆς τὰ δεσμὰ transp. AHP (v) 3 αὐτὰ corr. ex αὐτοῦ V μὴ ante προσπταίειν add. F 5 βαρυτέραις M ἐδέξαντο CV 6 ἐναργεστέρως V² 6.7 ἡ διαλαμβάνουσα φαντασία CVBEM 7 πιέζεσθαι] βιάζεσθαι H 8 περὶ AO βαλλάντιον CE 9 καθῆκε om. M, κατέθηκε KF ἀποδιδομένην BEM 10 αὐτῷ codd. (v) 11 ὑποπτήσαντες O καὶ βουλόμενοι] βουλόμενοι οὖν V τἀγγεῖα HP 12 συνέτεινον M (Mang.): συνδιέτεινον ceteri μονονοὺ AOH, μόνον οὐ καὶ P, μονονουχὶ V, μονονοὺκ corr. in μονονουχὶ K 13 κἀπνευστὶ H
ε ϊ
ἀποτεμόντες AO εἶτα CV 14 παραλαβόντες A, παραλαβόντες O, περιβαλόντες BEMV 15 περιπλακόμενον BE καὶ περιχεόμενον om. M περιχεόμενον BEKAG: παραχεόμενον O, περιεχόμενον ceteri καίτοι] καί τι V²O 16 προσιόν-
ων ων
τας καὶ δεξιουμένους A; προσιόντων καὶ δεξιουμένων v 17 καὶ τὸν K: καὶ om. ceteri ἀπολειφθέντα AO ὡς K: καὶ ὡς ceteri ὡς om. V 18 τέκνων] παίδων M 19 ἔτι om. V 20 ἀνιαρώτερος CAP, ἀνιαρότερον F τῆς om. H 22 αἰτία V

διηγήματος, ἀναγκαίου δὲ λεχθῆναι. ὁ συμπεμφθεὶς ἡμῖν ἀδελφὸς ἐπὶ 184
σιτωνίαν καὶ μὴ ἐπανεληλυθὼς ζῇ μέν — δεῖ γὰρ τὸν ὡς ἐπὶ τεθνεῶτι
ἀπαλλάξαι σου μείζονα φόβον —, ζῶν δ' ἐν Αἰγύπτῳ καταμένει παρὰ
τῷ τῆς χώρας ἐπιτρόπῳ, ὃς εἴτ' ἐκ διαβολῆς εἴτε καὶ ὑποτοπήσας
αὐτὸς αἰτίαν ἡμῖν ὡς κατασκόποις ἐπέφερεν. ἀπολογουμένων δὲ ὅσα 185
ὁ καιρὸς καὶ περί τε σοῦ τοῦ πατρὸς διεξιόντων καὶ τῶν ἀπολειπομένων
ἀδελφῶν, ἑνὸς μὲν τοῦ τεθνεῶτος, ἑτέρου δὲ τοῦ παρὰ σοὶ διατρίβοντος,
ὃν ἔφαμεν ἔτι νέον ὄντα διὰ τὴν ἡλικίαν οἴκοι καταμεῖναι, πάντα
ἀπαμπίσχοντες καὶ ἀπογυμνοῦντες τὰ τῆς συγγενείας εἰς τὸ ἀνύποπτον
οὐδὲν ἠνύσαμεν, ἀλλ' ἔφη μόνην ἂν αὐτῷ πίστιν ἀψευδοῦς ὁμολογίας
γενέσθαι τὴν ὡς αὐτὸν ἄφιξιν τοῦ νεωτάτου παιδός, οὗ χάριν καὶ τὸν
δεύτερον κατεσχηκέναι ῥύσιόν τε καὶ ἐνέχυρον ἐκείνου. τὸ μὲν οὖν 186
ἐπίταγμα πάντων ἀνιαρότατον, ὁ δὲ καιρὸς αὐτὸ προστάττει μᾶλλον τοῦ
p. 68 M. κελεύοντος, ᾧ | πειστέον ἐξ ἀνάγκης διὰ τἀπιτήδεια, μόνης Αἰγύπτου
χορηγούσης αὐτὰ τοῖς λιμῷ πιεσθεῖσιν." (32.) ὁ δὲ βαρύτατον ἀναστενάξας 187
„τίνα πρῶτον" εἶπεν „ὀλοφύρωμαι; τὸν παρέσχατον, ὃς οὐ τελευταῖος
ἀλλὰ πρῶτος ἔλαχε τὴν τῶν συμφορῶν τάξιν; ἢ τὸν δεύτερον, ὃς τὰ
δευτερεῖα τῶν κακῶν ἤρατο, πρὸ θανάτου δεσμά; ἢ τὸν νεώτατον, ὃς
ἀπευκταιοτάτην ὁδὸν ἀφίξεται, ἐὰν ἄρα ἀπίῃ, ταῖς τῶν ἀδελφῶν κακο-
πραγίαις οὐ σωφρονισθείς; ἐγὼ δὲ κατὰ μέλη καὶ μέρη διαρτώμενος
— μέρη γὰρ τέκνα γονέων — εἰς ἀπαιδίαν κινδυνεύω περιελθεῖν ὁ
πολύπαις καὶ εὔπαις ἄχρι πρὸ μικροῦ νομισθείς." ὁ δὲ πρεσβύτατος 188
„εἰς ὁμηρείαν" ἔφη „σοὶ δύο υἱοὺς δίδωμι, οὓς καὶ μόνους ἐγέννησα·

---

1 μηνύματος καὶ add. ante διηγήματος F ἡμῶν AO 2 σιτωνία AO, σιτωνεία P τὸν] τῶν V, om. F ὡς om. AH 3 ἀπαλλάξαι] ἀπελάσαι coni. Mang. σου] σε V μείζονα om. V φόβων V δὲ CVA 5 ἀπολογούμενοι et διεξιόντες (6) scribendum videtur δ' BEM, δὲ καὶ AOG, καὶ F 6 ὁ om. AOFGHP καὶ om. AOFGHP 7 pr. τοῦ om. AO alt. τοῦ om. AO σοὶ] σοῦ BEM 8 ἔτι νέον ὄντα om. V οἴκοι scripsi: οἴκαδε codd. μεῖναι AO πάντ' AP 9 ἀπανίσχοντες F γυμνοῦντες BEK[1]M εὐγενείας V 10 ἂν om. AO ὁμολογίας] ἀπολογίας conicio 11 ὡς αὐτὴν O, ἕως αὐτοῦ A 12 κατασχηκέναι BE; κατέσχηκε coni. Wendl. ῥύσειον C 13 ἀνιαρότατον VF: ἀνιαρώτατον CGP, ἀνιαρώτερον AO, ἀνιαρότερον ceteri 14 πιστέον FH[1]P τὰ ἐπιτήδεια CVAO τῆς αἰγύπτου AP[2] 15 βαρύτατα AO, βαρύτερον H 16 πρότερον AO εἶπε post ὀλοφύρωμαι transp. VG (ss. K[2]), om. K[1] ὀλοφύρωμαι EVFG: ὀλοφύρομαι ceteri (v) 17 πρῶτον F συμφορῶν] συμφερόντων CBEM δευτερεῖα] βαρύτερα coni. Mang. 18 ἤρξατο F 19 ἀφίξεται om. F ἄρ' A 20 συμφορηθείς V[2]K[2] μέρη καὶ μέλη CVFG διαιτώμενος F 23 εἰς ὁμηρείαν] ἰσομοιρίαν FGHP δίδωμι οὓς om. FGHP

τούτους ἀπόκτεινον, ἐὰν μὴ σῷον ἀποδῶ τὸν ἐγχειρισθησόμενον ἀδελφόν, ὃς ἀφικόμενος εἰς Αἴγυπτον δύο περιποιήσει τὰ μέγιστα ἡμῖν, ἓν μὲν πίστιν σαφῆ τοῦ μὴ κατασκόπους μηδὲ πολεμίους εἶναι, ἕτερον δὲ τὸ τὸν
189 ἀδελφὸν τὸν ἐν δεσμοῖς ἀπολαβεῖν δυνηθῆναι.“ σφόδρα δ' ἀχθομένου τοῦ πατρὸς καὶ λέγοντος ἀγνοεῖν, ὅτι δυεῖν ὄντων ὁμομητρίων ὁ μὲν ἤδη τέθνηκεν, ὁ δ' ἔρημος καὶ μόνος ἀπολειφθεὶς εὐλαβήσεται τὴν ὁδὸν καὶ ζῶν προαποθανεῖται τῷ δέει κατὰ τὴν φοβερῶν ἐκείνων ὑπόμνησιν, ἃ συνέβη τὸν πρότερον παθεῖν, ταῦτα λέγοντος, τὸν εὐτολμότατον καὶ ἀρχικὸν φύσει καὶ δυνατὸν εἰπεῖν — ἦν δὲ καθ' ἡλικίαν ἀπὸ τοῦ πρώτου τέταρτος — προστησάμενοι διερμηνεύειν ἔπεισαν τὰ δοκοῦντα
190 πᾶσιν. ἐδόκει δὲ τῶν μὲν ἀναγκαίων ὑστεριζόντων — ὁ γὰρ κομισθεὶς πρότερος σῖτος ἐπιλελοίπει —, κρατοῦντος δὲ τοῦ λιμοῦ καὶ πιέζοντος, ὠνησομένους ἀπιέναι. μὴ βαδιεῖσθαι δὲ τοῦ νεωτάτου καταμένοντος· τὸν γὰρ τῆς χώρας ἐπίτροπον ἀπηγορευκέναι δίχα τούτου παραγενέσθαι.
191 λογισάμενος δὲ ἅτε σοφὸς ἀνήρ, ὡς ἔστιν ἄμεινον ἕνα προέσθαι τῷ τοῦ μέλλοντος ἀδήλῳ καὶ ἀμφιβόλῳ πρὸ τῆς ὁμολογουμένης τῶν τοσούτων ἀπωλείας, ἣν ὑπομενεῖ πᾶς οἶκος ἐνδείᾳ πιεσθείς, ἀνιάτῳ νόσῳ, φησὶν
192 αὐτοῖς· „ἀλλ' εἰ τῆς ἐμῆς βουλήσεως ἐπικρατέστερα τὰ τῆς ἀνάγκης ἐστίν, εἰκτέον· ἴσως γὰρ ἴσως ἡ φύσις οἰκονομεῖ τι βέλτιον, ὃ μήπω ταῖς διανοίαις
193 ἡμῶν παραφαίνειν ἀξιοῖ. λαβόντες οὖν καὶ τὸν νεώτατον, ὡς προῄρησθε, ἄπιτε, μὴ μέντοι τὸν αὐτὸν ὃν καὶ πρόσθεν τρόπον· πάλαι μὲν γὰρ ἀργυρίου μόνον ἔδει πρὸς σιτωνίαν ἀγνοουμένοις ἀνθρώποις καὶ μηδέν πω πεπονθόσιν ἀνήκεστον, νυνὶ δὲ καὶ δώρων, τριῶν ἕνεκα, τῆς τε | πρὸς τὸν ἡγεμόνα p. 69 M.

1 post ἐγχειρισθησόμενον add. μοι HP 3 τὸ] τοῦ AOFGHP 3. 4 τὸν ἐν δεσμοῖς ἀδελφὸν AO 4 δυνησόμενον G δὲ V 5 ἀγνοεῖν] ἀποκνεῖν conicio, ἀμφιγνοεῖν coni. Mang. δυοῖν MAOKFP ὄντοιν K; ὄντοιν ὁμομητρίοιν A 6 καὶ μόνος om. F εὐλαβηθήσεται VK[2] 7 φοβερῶν] φερομένων F 8 εὐτολμώτατον VHP 9 ἀρχικὸν] ἀνδρικὸν AO δυνατώτατον K 9. 10 ἀπὸ τοῦ πρώτου καθ' ἡλικίαν transp. K 10 ἔπεισαν K: εἶτε κἂν BE, εἴτε κἂν V[1]MFGHP[1], ᾔτηκαν V[2], ἤνεγκαν AOP[2], ἔλεγον C(v) 12 πρότερον VOHP(v) ἐπιλελοίπει CF: ἀπολελοίπει AO, ὑπολελοίπει ceteri 13 ὠνησομένους K: ἠνωμένους ceteri ἀπιέναι CV[2]F[2]: ἀπεῖναι ceteri 14 ἀπειρηκέναι A 15 δ' C; δὴ coni. Mang. 17 πιεσθεὶς ἀνιάτω νόσω BEKM: ἀνιάτῳ νόσῳ om. CV, πιεσθεὶς ἀνειπὼν ὅσον ceteri; ἀνιάτῳ νόσῳ πιεσθείς Mang. 18 βουλῆς AHP 19 ἰεικτέον (sic) C θεία ante φύσις add. V[2] οἰκοδομεῖ CFGHP ταῖς ἡμετέραις διανοίαις (om. ἡμῶν) CV 20 παρεμφαίνειν BEM, παραμένειν (sic) F 21 καὶ om. M πρόσθε CBEGP 22 σιτωνείαν HP μηδέπω K, μηδὲν (om. πω) AO 23 νῦν VAO

11 sqq. Gen. cap. 43

καὶ σιτάρχην ἀρεσκείας, ὑφ' οὗ γνωρίζεσθαί φατε, καὶ τοῦ τὸν ἐν
δεσμοῖς ἀπολαβεῖν θᾶττον πολλὰ καταθέντας αὐτοῦ λύτρα καὶ τοῦ τὴν
ὑπόνοιαν τῆς κατασκοπῆς ὡς ἔνι μάλιστα ἰάσασθαι. πάντων οὖν ὅσων 194
ἡ ἡμετέρα γῆ φέρει λαβόντες ὥσπερ τινὰς ἀπαρχὰς κομίζετε τῷ
ἀνθρώπῳ καὶ δισσὸν ἀργύριον, τό τε ἀποδοθὲν πρότερον, ὃ ἴσως ἀγνοίᾳ
τινὸς ἀπεδόθη, καὶ ἕτερον αὔταρκες εἰς σιτωνίαν. ἐπιφέρεσθε μέντοι 195
καὶ τὰς ἡμετέρας εὐχάς, ἃς πρὸς τὸν σωτῆρα ποιούμεθα θεόν, ἵνα καὶ
εὐάρεστοι τοῖς ἐγχωρίοις ξενιτεύοντες ἦτε καὶ ἐπανέρχησθε σῷοι τὰς
ἀναγκαίας παρακαταθήκας, υἱούς, ἀποδιδόντες πατρί, τόν τε καταλει-
φθέντα πρότερον ἐν δεσμοῖς καὶ ὃν συνεπάγεσθε νυνὶ νεώτατον καὶ
πραγμάτων ἄπειρον." ἄραντες δὲ συνέτεινον εἰς Αἴγυπτον.

(33.) Εἶτ' ὀλίγαις ὕστερον ἡμέραις ἀφικομένους ἰδὼν ὁ τῆς χώρας 196
ἐπίτροπος ἥσθη πάνυ καὶ κελεύει τῷ τῆς οἰκίας ἐπιμελουμένῳ πολυτελὲς
ἄριστον εὐτρεπίζειν καὶ τοὺς ἄνδρας εἰσάγειν ἁλῶν καὶ τραπέζης μεθέ-
ξοντας. εἰσαχθέντες δὲ καὶ ἐφ' ὅτῳ μὴ συναισθόμενοι διεπτόηντο καὶ 197
συγχυθέντες ἐτόπαζον ἐπὶ κλοπῇ μέλλειν συκοφαντεῖσθαι ὡς ὑφελόμενοι
τὴν τοῦ σίτου τιμήν, ἣν πρότερον ἐν τοῖς ἀγγείοις ἀνεῦρον· εἶτα τῷ
τῆς οἰκίας ἐπιμελητῇ προσελθόντες ἀπελογοῦντο περὶ οὗ μηδεὶς ἐτόλμα
κατηγορεῖν τὸ συνειδὸς ἰώμενοι καὶ ἅμα προφέροντες ἐπεδείκνυσαν τὸ
ἀργύριον εἰς ἀπόδοσιν. ὁ δὲ χρηστοῖς καὶ φιλανθρώποις λόγοις 198
εὐθυμοτέρους αὐτοὺς ἐποίει φάσκων· „οὐδεὶς ἀσεβής ἐστιν οὕτως, ὡς
τὰς τοῦ θεοῦ χάριτας συκοφαντεῖν, ὃς ἵλεως εἴη· θησαυροὺς γὰρ ἐν
τοῖς ὑμετέροις ὤμβρησεν ἀγγείοις οὐ μόνον τροφὰς ἀλλὰ καὶ πλοῦτον
ἐξ ἑτοίμου διδούς." οἱ δὲ παρηγορηθέντες ἐν τάξει διετίθεσαν ἃ οἴκοθεν 199
ἐπηνέγκαντο δῶρα καὶ παραγενομένῳ τῷ δεσπότῃ τῆς οἰκίας προσέφερον·
πυνθανομένῳ δέ, πῶς ἔχοιεν καὶ εἰ ὁ πατὴρ ζῇ, περὶ οὗ πρόσθεν

1 ἀφ' BMG γνωρίζεσθε MFG 2 καταθέντας—λαβόντες (4) om. K^1, suppl. K^2
3 μὲν οὖν VK^2 ὅσα OGP, ὅσον V^1 4 φέρει γῆ transp. AO, φέρει om. VK^2
5 τ' A πρότερον om. G ὃ om. CH(v) post ἴσως ss. γὰρ H^2(v)
6 σιτωνείαν HP 7 σωτῆρα] $\overline{\pi\rho\alpha}$ (i. e. πατέρα) AOP^2 8 ἐπανέρχεσθε M,
ἐπανέρχοισθε A 9 υἱοῖς BEMFHP^1, υἱούς om. K^1, ss. K^2 9. 10 κατα-
η
λειφθέντα A 10 ἐπάγεσθε HP^1 νῦν BEKM νεώτερον G
11 συνέτειναν F 12 ἡμέραις om. G 13 ἐπιμελουμένω CBKMF: ἐπιμελο-
μένω ceteri ⟨οὐ σφόδρα⟩ πολυτελὲς coni. Mang. coll. 104,23 14 εἰσάγει OH
οἱό
16 κλοπὴν V 17 ἐν om. V 19 ἰώμενοι C ἐπιφέροντες AO
ἐπεδείκνυντο O, καὶ ἐπιδεικνύντες CV, ἐδείκνυον FHP(v) 20 τοῖς λόγοις V
21 οὕτως om. K 22 ἵλεως ⟨ὑμῖν⟩ εἴη conicio (cf. Gen. 43,22) γὰρ om. BEM
23 ἡμετέροις KOP ὤμβρισεν C 26 ἔχοιε M

ἔλεγον, ἀποκρίνονται περὶ μὲν αὑτῶν οὐδέν, περὶ δὲ τοῦ πατρὸς ὅτι ζῇ
200 καὶ ὑγιαίνει. κατευξάμενος δ' ἐκείνῳ καὶ θεοφιλέστατον προσειπών,
τὸν ὁμομήτριον περιβλεψάμενος ἀδελφὸν ὡς εἶδεν, οὐ κατασχὼν ἀλλ'
ἤδη νικώμενος ὑπὸ τοῦ πάθους, πρὶν γενέσθαι καταφανής, ἐπιστρέφεται
καὶ δραμὼν πρόφασιν ἐπί τι τῶν κατεπειγόντων — ἐκλαλῆσαι γὰρ
τἀληθὲς καιρὸς οὐκ ἦν — ἐν μυχῷ τινι τῆς οἰκίας ἀνακλαυσάμενος
201 ἀποχεῖ τὴν τῶν δακρύων φοράν. (34.) εἶτ' ἀπονιψάμενος λογισμῷ
τῆς ἀνίας ἐπεκράτησε καὶ προσελθὼν εἱστία τοὺς ξένους ἀποδοὺς πρό-
τερον καὶ τὸν ἀντὶ τοῦ νεωτάτου κατασχεθέντα εἰς ὁμηρείαν· συνειστιῶντο
202 δὲ καὶ ἄλλοι τῶν παρ' Αἰγυπτίοις δοκίμων. αἱ δ' ὑποδοχαὶ κατὰ τὰ
πάτρια ἑκάστοις ἐγίνοντο, χαλεπὸν ἡγουμένου παλαιοὺς νόμους παριδεῖν,
203 καὶ ταῦτα ἐν εὐωχίᾳ τινί, ἔνθα τῶν ἀηδιῶν αἱ ἡδοναὶ πλείους. | ἑξῆς p. 70 M.
δὲ προστάξαντος κατὰ τὰς ἡλικίας καθέζεσθαι, μήπω τῶν ἀνθρώπων
ἐν ταῖς συμποτικαῖς συνουσίαις κατακλίσει χρωμένων, ἐθαύμαζον, εἰ
Αἰγύπτιοι ζηλωταὶ τῶν αὐτῶν Ἑβραίοις εἰσὶ τάξεώς τε πεφροντικότες
204 καὶ τὰς πρεσβυτέρων καὶ νεωτέρων τιμὰς διακρίνειν ἐπιστάμενοι. τάχα
μέντοι καὶ τὸν ἄλλον χρόνον, ἔφασκον, τῆς χώρας ἀμαθέστερον τὰ
περὶ δίαιταν ἀγούσης, ὁ ἀνὴρ οὗτος τοῖς κοινοῖς ἐπιστὰς οὐ μόνον τοῖς
μεγάλοις πράγμασιν ἥρμοσεν εὐταξίαν, δι' ὧν τὰ εἰρήνης καὶ πολέμου
κατορθοῦσθαι πέφυκεν, ἀλλὰ καὶ τοῖς εὐτελεστέροις εἶναι δοκοῦσιν, ὧν
τὰ πλεῖστα ἐν παιδιαῖς· ἱλαρότητα γὰρ ἐπιζητοῦσιν εὐωχίαι σεμνὸν
205 ἄγαν καὶ αὐστηρὸν συμπότην ἥκιστα παραδεχόμεναι. τοιούτους ἐπαί-
νους ἠρέμα συνειρόντων, τράπεζαι μὲν οὐ σφόδρα πολυτελεῖς εἰσκομί-

1 αὑτῶν BVAH^{2}: αὐτῶν ceteri   1. 2 ζῇ καὶ C: om. ceteri   2 ὑγιαίνοι H   θεοφιλέστατε Turn., θεοφιλέστατα Cotelier (Monum. Eccl. II 568)   3 ἀλλὰ (om. ἤδη) BEKMV   4 καταφανῆ A   ἀποστρέφεται coni. Mang. coll. 98,14. 15   5 προφάσει CVBEKM(v)   6 καιρὸς om. H   τινι om. A   8 ἑστιᾷ CVBEKM   9 ἀντὶ τοῦ νεωτάτου om. AO   κατασχὼν F   10 δοκίμων] γνωρίμων A   11 ἡγούμενοι F, ἡγημένου M   post ἡγουμένου add. παρασαλεύειν H^{2}(v)   παριδεῖν A mg. P^{2}: om. ceteri   12 ταῦτ' AO   τινί corr. in λύειν V^{2}, τινί om. K, λύειν ss. K^{2}; κοινῇ coni. Mang.   ἔνθα] ἐν αἷς F^{2} ἀηδιῶν scripsi: ἀνδρῶν GP^{1}, ἀηδῶν ceteri   ἐξ ἧς F   13 προστάξοντος G   14 συμποτικῶν A   εἰ] οἱ GHP, εἰ οἱ AO (Mang.)   15 post Αἰγύπτιοι add. ὅπως H   ζηλωταὶ om. A   τάξεων AOFGHP   τε CK: om. ceteri   πεφορτικότες M   17 τῆς χώρας om. HP^{1} 18 ἢ ἀγ ἐχούσης K, ἐχούσης AO   ἀγούσης post ἀμαθέστερον (17) transp. CV (Mang.)   κοινῆς M   20 κατορθοῦν V^{1} καὶ V: καὶ ἐν CV^{1}, κἂν ceteri (v)   21 πεδιαῖς M, παιδίαις H, παιδίοις AOFGP   ἱλαρώτατον AO   22 ἄγαν om. AO   συμπότην] δεσπότην K   23 εἰ καὶ κομίζονται F

ζονται, διὰ τὸν λιμὸν οὐκ ἀξιώσαντος τοῦ ξενοδόχου ταῖς ἑτέρων ἀτυχίαις ἐντρυφᾶν· αὐτοὶ δ' ἅτε σύνεσιν ἀκριβεῖς καὶ τοῦτ' εἰς τὰ ἐγκώμια παρελάμβανον, ὡς ἀπειροκαλίαν, πρᾶγμα ἐπίφθονον, ἀπέστραπται, λέγοντες· ὡς καὶ τὸ τοῦ συναλγοῦντος τοῖς δεομένοις καὶ τὸ τοῦ ἑστιάτορος σχῆμα διασῴζει μεθόριον ἀμφοῖν τιθεὶς αὐτὸν καὶ τὴν ἐν ἑκατέρῳ μέμψιν
ἐκφεύγων. αἱ μὲν οὖν παρασκευαὶ τὸ ἀμισὲς εἶχον πρόσφοροι τῷ 206
καιρῷ γεγονυῖαι· τὸ δ' ἐλλιπὲς ἀνεπλήρουν αἱ συνεχεῖς φιλοφροσύναι προπόσεσιν, εὐχαῖς, παραινέσεσι ταῖς εἰς ἀνάληψιν, ἃ τοῖς ἐλευθέροις καὶ μὴ ἀμούσοις τὸ ἦθος ἡδίω τῶν ὅσα περὶ ἐδωδὴν καὶ πόσιν εὐτρεπίζουσιν οἱ φιλεστιάτορες καὶ φιλόδειπνοι τὰ μηδεμιᾶς ἄξια σπουδῆς εἰς ὀλιγοφρόνων ἐπίδειξιν πομποστολοῦντες.

(35.) Τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἕῳ μεταπεμψάμενος τὸν ἐπίτροπον 207
τῆς οἰκίας κελεύει τὰ ἀγγεῖα τῶν ἀνδρῶν ὅσα ἐπηνέγκαντο γεμίσαι σίτου καὶ πάλιν ἐπὶ τῶν στομίων τὴν τιμὴν ἐν βαλαντίοις καταθεῖναι, εἰς δὲ τὸ τοῦ νεωτάτου καὶ τὸ κάλλιστον τῶν ἀργυρῶν ἔκπωμα, ᾧ πίνειν
ἔθος εἶχεν αὐτός. καὶ ὁ μὲν τὰ προσταχθέντα προθύμως ἐπετέλει 208
μηδένα μάρτυρα παραλαμβάνων, οἱ δ' οὐδὲν τῶν κρύφα γεγονότων εἰδότες ἀνεζεύγνυσαν ἐπὶ τοῖς παρ' ἐλπίδας ἀγαθοῖς ἅπασι χαίροντες.
ἃ μὲν γὰρ προσεδόκησαν, ταῦτα ἦν· ἐπὶ κλοπῇ τοῦ ἀποδοθέντος 209
ἀργυρίου συκοφαντίαν ἕξειν, ἀδελφὸν τὸν ὁμηρεύοντα μὴ ἀπολήψεσθαι, προσαποβαλεῖν καὶ τὸν νεώτατον ἴσως ὑπὸ τοῦ σπουδάσαντος αὐτὸν
ἀχθῆναι βίᾳ κατασχεθέντα. τὰ δ' ἀποβάντα αἰσίων τελειότερα εὐχῶν· 210

1 ἀξιοῦντος in ras. O 2 δὲ V ἅτ' ἐς σύνεσιν FG, ἅτ' εἰς σύνεσιν AOHP τοῦτο εἰς V, τούτοις F 3 ἀπειροκαλίας F πρᾶγμ' A 4 καὶ τὸ V²B²MFH²: τὸ (om. καὶ) K, τὸ om. ceteri τοῦ] τοὺς O alt. τὸ τοῦ] τούτοις F 5 διασῴζει C²F: διασῴζειν ceteri τιθεὶς ἀμφοῖν transp. K, ἀμφοῖν om. BEM αὐτὸν H: αὐτὸς V², αὐτὸ ceteri (fort. delendum) 6 ἀμιγὲς AOG 7 γεγονυῖαι BKMF: γενόμεναι V², γεγονέναι ceteri ἐλλειπὲς C¹ 8 εὐχαῖς mg. H, εὐωχαῖς (λῶ) in textu H ἀνάληψιν] ἀνάλωσιν K 9 pr. καὶ om. O 10 φιλεστιάτορες AOKFG: φιλοεστιάτορες ceteri (v) μηδεμιᾶς AO: μηδενὸς ceteri εἰς K (coni. Mang.): om. ceteri 11 ἐπίδειξιν] ἔκπληξιν coni. Mang. 14 ἐπὶ om. H τῶν om. M βαλλαντίοις CE, βαλεντίοις M 15 καὶ K: om. ceteri 16 προταθέντα CE 17 post παραλαμβάνων add. τῶν κρύφα γεγονότων AO δὲ V οὐδὲν post γεγονότων transp. V 18 ἀνεζεύγνυον AO ἐλπίδα V ἅπασι om. V 19 ταῦτ' V, τοιαῦτ' AO 20 ἕξιν M 21 προσαποβαλεῖν AFG²K²: προσαποκαλεῖν V, προσαπολεῖν CK¹(v), προσαπολαβεῖν ceteri δὲ καὶ A σπουδάζοντος AO 22 βίᾳ om. CVBEM κατασχεθέντα CV: κατασχεθέντας K, κατασταθέντα BEM, κρατηθέντα ceteri (v) τελεώτερα V

12 sqq. Gen. cap. 44

τὸ πρὸς | τῷ μὴ συκοφαντηθῆναι τραπέζης καὶ ἁλῶν, ἃ σύμβολα p. 71 M.
γνησίου φιλίας ἀνθρώποις ἀνεύρηται, μεταλαχεῖν, τὸ κομίσασθαι τὸν
ἀδελφὸν ἀνύβριστον, μηδενὸς ἐντυχόντος καὶ δεηθέντος, τὸ καὶ τὸν
νεώτατον ἀγαγεῖν πρὸς τὸν πατέρα σῷον. ἐκπεφευγότας μὲν τὰς ἐπὶ
κατασκόπων ὑπονοίας, ἄφθονον δὲ τροφῶν πλῆθος ἐπιφερομένους,
χρηστὰ δὲ καὶ περὶ τοῦ μέλλοντος λογιζομένους· εἰ γὰρ ἐπιλίποι
τἀπιτήδεια πολλάκις, ἔφασκον, οὐκέθ᾽ ὡς πρότερον περιδεεῖς ἀλλὰ
γεγηθότες ὡς πρὸς ἴδιον ἀλλ᾽ οὐ ξένον τὸν τῆς χώρας ἐπίτροπον
211 ἀποδημήσομεν. (36.) ἀλλὰ γὰρ οὕτω διακειμένων καὶ τοιαῦτα ταῖς
ψυχαῖς ἀναπολούντων, αἰφνίδιος καὶ ἀπροσδόκητος ταραχὴ καταλαμβάνει.
προσταχθεὶς γὰρ ὁ τῆς οἰκίας ἐπιμελητής, ἐπαγόμενος θεραπόντων
πλῆθος οὐκ ὀλίγον, κατασείων τὰς χεῖρας καὶ μένειν ὑποσημαίνων
212 ἐξονηδρόμει. καὶ συντείνας ἄσθματος πλήρης „ἐπεσφράγισθε“ εἶπε „καὶ
τὰς προτέρας καθ᾽ αὑτῶν αἰτίας· ἀγαθὰ κακοῖς ἀμειψάμενοι πάλιν
τὴν αὐτὴν ὁδὸν τῶν ἀδικημάτων ἐτράπεσθε· τὴν τοῦ σίτου τιμὴν
ὑπεξελόμενοι καὶ μεῖζον ἔτι προσεξειργάσασθε· πονηρία γὰρ τυχοῦσα
213 ἀμνηστίας ἐπιδίδωσι. τὸ κάλλιστον καὶ τιμιώτατον ἔκπωμα τοῦ δεσπότου,
ἐν ᾧ προπόσεις προὔπινεν ὑμῖν, κεκλόφατε οἱ λίαν εὐχάριστοι, οἱ λίαν
εἰρηνικοί, οἱ μηδ᾽ ὄνομα κατασκοπῆς εἰδότες, οἱ διττὸν ἀργύριον εἰς
ἀπόδοσιν τοῦ προτέρου κεκομικότες, ἐνέδραν ὡς ἔοικε καὶ δέλεαρ ἐπὶ
θήραν καὶ ἁρπαγὴν πλειόνων. ἀλλ᾽ οὐκ εἰς ἅπαν εὐοδεῖ κακία, λαν-
214 θάνειν δ᾽ ἀεὶ τεχνάζουσα καταφωρᾶται.“ ταῦτα συνείροντος, ἀχανεῖς
ἐπάγησαν, λύπης καὶ φόβου, τῶν ἀργαλεωτάτων κακῶν, ἐξαίφνης
ἐπιπεσόντων, ὡς μηδὲ διᾶραι τὸ στόμα δύνασθαι· τῶν γὰρ ἀπροσ-
δοκήτων κακῶν αἱ προσβολαὶ καὶ τοῖς δεινοῖς περὶ λόγους ἀφωνίαν
215 ἐμποιοῦσι. παρειμένοι δ᾽ ὅμως ὑπὲρ τοῦ μὴ δοκεῖν ἁλισκόμενοι τῷ

1 καὶ om. V 2 γνησίας AKP φιλίας mg. E, φιλανθρωπίας in textu E ἀνθρώποις om. AOP μεταλαβεῖν F 4 ἐπὶ om. HP(v) post ἐπὶ add. τῶν V 5 κατασκόποις K (fort. recte), ἐπισκόπων H[1]P δὲ om. FGHP 6 δὲ om. A ἐπιλείποι F 7 τὰ ἐπιτήδεια CVAO ἐπιδεεῖς V 9 ἀποδημήσωμεν F, ἐπιδημήσομεν AV[2] 11 προσταχθὲν CBEKM 12 ὀλίγων AOF μένειν] μέλεσιν G 13 βοη-δρόμει (sic) F πλήρεις F ἐπεσφράγισθε CV[1]BEKM: ἐπισφραγίσασθε H[1]P, ἐπεσφραγίσασθε ceteri 14 καθ᾽ αὑτῶν προτέρας transp. A 16 προεξειργάσασθε V, προσεξεργάσεσθε BEM 18 προπόσεις] πρὸ πότου F προὔτεινεν M ὑμεῖς V[2], ἡμῖν A 19 μηδὲ CV 21 θήρᾳ καὶ ἁρπαγῇ coni. Wendl. πλειόνων om. F εἰσάπαν AGP εὐοδεῖ
εῖ
CVBEM, εὐοδοῖ K: εὐοδοῦται ceteri (v) 22 δὲ CV, δ᾽ om. A αἰεὶ AO καταφορᾶται A 23 ἐπεπήγεισαν AO 24 τὸ om. V 25 αἱ προσβολαὶ κακῶν transp. A καὶ—λόγους om. V 26 ποιοῦσι H δὲ CK

συνειδότι καθησυχάζειν „πῶς“ ἔφασαν „ἀπολογησόμεθα καὶ πρὸς τίνα; σὺ γὰρ μέλλεις ἔσεσθαι καὶ δικαστὴς ὁ κατήγορος, ὃς ὤφειλες καὶ ἑτέρων αἰτιωμένων ἡμῖν συναγορεύειν ἐξ ὧν ἐπειράθης· ἢ τὸ μὲν ἀργύριον τὸ εὑρεθὲν ἐν τοῖς ἀγγείοις πρότερον οὐδενὸς ἐλέγχοντος ἐκομίσαμεν ἀποδώσοντες, τοσαύτῃ δ' ἐχρησάμεθα τῶν τρόπων μεταβολῇ, ὡς τὸν ξενοδόχον ἀμείψασθαι ζημίαις καὶ κλοπαῖς; ἀλλ' οὔτε γέγονε τοῦτο μήτ' εἰς νοῦν ἔλθοι ποτὲ τὸν ἡμέτερον. ὃς δ' ἂν ἔχων ἁλῷ τὸ 216 ἔκπωμα τῶν ἀδελφῶν, θνῃσκέτω· θανάτου γὰρ τἀδίκημα, εἰ γέγονεν ὄντως, τιμώμεθα διὰ πολλά· πρῶτον μὲν ὅτι πλεονεξία καὶ τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν παρανομώτατον, δεύτερον ὅτι τοὺς ὠφεληκότας βλάπτειν ἐπιχειρεῖν ἀνοσιώτατον, τρίτον δὲ ὅτι τοὺς μέγα φρονοῦντας p. 72 M. ἐπ' εὐγενείᾳ τὸ τῶν προγόνων ἀξίωμα | καθαιρεῖν ἔργοις ὑπαιτίοις τολμᾶν ὄνειδος αἴσχιστον· οἷς ἅπασιν ἔνοχος ὤν, εἴ τις ἡμῶν ὑφήρηται, θανάτων μυρίων ἄξια πεπραχὼς τελευτάτω.“ (37.) καὶ ἅμα λέγοντες 217 τὰ ἄχθη τῶν ὑποζυγίων καθαιροῦσι καὶ προτρέπονται μετὰ πάσης ἐπιμελείας ἐρευνᾶν. ὁ δὲ οὐκ ἀγνοῶν ἐν τῷ τοῦ νεωτάτου κατακείμενον ἅτε αὐτὸς λάθρα θεὶς ἐσοφίζετο καὶ τὴν ἀρχὴν ἀπὸ τοῦ πρεσβυτάτου ποιησάμενος ἑξῆς κατὰ στοῖχον ἐπακολουθῶν ταῖς ἡλικίαις ἐσκόπει, προφέροντος ἑκάστου καὶ ἐπιδεικνυμένου τὰ ἀγγεῖα, μέχρι τοῦ τελευταίου, παρ' ᾧ καὶ τὸ ζητούμενον ἀνευρέθη, ὡς ἰδόντας ἀθρόους ἀνοιμῶξαι καὶ τὰς ἐσθῆτας διαρρήξαντας ἐκδακρύειν ἐπιστένοντας καὶ ζῶντα τὸν ἀδελφὸν ἔτι προθρηνοῦντας καὶ οὐχ ἧττον αὑτοὺς καὶ τὸν πατέρα, ὃς προὔλεγε τὰς συμβησομένας τῷ υἱῷ κακοπραγίας, δι' ἃς βουλομένοις συναποδημεῖν τὸν ἀδελφὸν οὐκ ἐπέτρεπε. κατηφοῦντες δὲ 218 καὶ συγκεχυμένοι τὴν αὐτὴν ὑπέστρεφον ὁδὸν εἰς τὴν πόλιν ἐκπεπληγ-

2 ἔσεσθαι] εἶναι BK¹M (Mang.), om. E ὁ] καὶ V²H² (Turn.) ὃς] ὧν A ὤφελες M 3 συνηγορεύειν V ἐξ ὧν ἐπειράθης ante ἡμῖν συναγορεύειν transp. AO ἢ] οἳ OV²H², οἱ A 4 τὸ εὑρεθὲν om. CVBEM 5 τῶν τρόπων K: τὸ λοιπὸν H²(v), τῶν λοιπῶν ceteri 5. 6 τοὺς ξενοδόχους F 6 ζημία AO οὔτε] οὐ CVBEKM (Mang.) 7 μήτε CV 7. 8 ἁλῷ τὸ ἔκπωμα ἔχων transp. K 8 θανάτω F 9 διὰ πολλοὺς K 11 δὲ om. CVBEKM 14 πεπρακὼς FG λέγοντες CVBEKM: λύοντες ceteri (v) 17 ἀρχὴν om. A 18 ἐξ ἧς F κατὰ στοῖχον om. F στοῖχον AO: στίχον ceteri (v) ἀκολουθῶν G 19 καὶ ἐπιδεικνυμένου om. AO post μέχρι add. καὶ V 20 ἀνηυρέθη C, εὑρέθη F ἀθρόως CF, ἀθρόον VBEKM 21 ἐνδακρύειν AO, δακρύειν M 22 τὸν ἀδελφὸν ζῶντα ἔτι transp. HP; τὸν ἀδελφὸν ἔτι ζῶντα Turn. αὑτοὺς VAGH²: αὐτοῦ C (Mang.), αὐτοὺς ceteri 22. 23 καὶ τὸν πατέρα] ἢ (καὶ) τὸν πατέρα K, τὰ κατὰ τὸν πατέρα C (Mang.) 23 τὰς συμβησομένους A 25 ὁδὸν ὑπέστρεφον transp. V εἰς τὴν πόλιν] γρ. εἰς αἴγυπτον K

μένοι τῷ συμβεβηκότι καὶ τὸ πρᾶγμα ἐπιβουλὴν ἀλλ' οὐ φιλαργυρίαν ἀδελφοῦ νομίζοντες· εἶτα τῷ τῆς χώρας ἐπιτρόπῳ προσαχθέντες φιλά-
219 δελφον εὔνοιαν ἀπὸ γνησίου πάθους ἐπιδείκνυνται. προσπεσόντες γὰρ ἀθρόοι τοῖς ἐκείνου γόνασιν ὡς κλοπῇ πάντες ἔνοχοι, ὃ μηδ' εἰπεῖν θέμις ἐπ' αὐτῶν, ἐδακρυρρόουν, ἱκέτευον, ἑαυτοὺς ἐξεδίδοσαν, ἑκούσιον δουλείαν ὑπισχνοῦντο, δεσπότην προσηγόρευον ἐκεῖνον, προβλήτους, οἰκότριβας, ἀργυρωνήτους, οὐδὲν παραλείποντες τῶν οἰκετικῶν ὀνομάτων
220 ἀνεκάλουν ἑαυτούς. ὁ δ' ἔτι μᾶλλον ἀποπειρώμενος ἤθει βαρυτάτῳ φησὶν αὐτοῖς· „μηδέποτε τοῦτο ἐργασαίμην, ὡς τοσούτους ἀπάγειν ἑνὸς ἁμαρτόντος· τί γὰρ εἰς μετουσίαν ἄξιον καλεῖν τιμωριῶν τοὺς μὴ τῶν ἀδικημάτων κοινοπραγήσαντας; ἐκεῖνος μόνος, ἐπεὶ καὶ μόνος
221 ἔπραξε, κολαζέσθω. πυνθάνομαι μὲν οὖν, ὅτι πρὸ τῆς πόλεως καὶ θάνατον ὡρίζετε κατὰ τοῦ ἁλόντος· ἐγὼ δ' ἕκαστα πρὸς τὸ ἐπιεικὲς ἄγων καὶ ἡμερώτερον ἐπικουφίζω τὴν τιμωρίαν δουλείαν ὁρίσας ἀντὶ
222 θανάτου.“ (38.) χαλεπῶς δὲ τὴν ἀπειλὴν φερόντων καὶ ἐφ' οἷς ἐσυκοφαντοῦντο καταδυομένων ὁ τέταρτος καθ' ἡλικίαν — ἦν δὲ τολμητὴς μετ' αἰδοῦς καὶ θαρραλέος, παρρησίαν τὴν ἄνευ ἀναισχυντίας ἐπιτετηδευκώς — προσελθών φησι· „δέομαι, δέσποτα, μὴ θυμῷ χαρίσασθαι μηδ' ὅτι τέταξαι τὴν μετὰ βασιλέα τάξιν προκαταγνῶναι πρὸ τῆς ἀπο-
223 λογίας ἡμῶν. πυνθανομένῳ σοι κατὰ τὴν προτέραν ἐπιδημίαν περί τε ἀδελφοῦ καὶ πατρὸς ἀπεκρινάμεθα· πατὴρ μέν | ἐστι πρεσβύτης, οὐ p. 73 M. χρόνῳ μᾶλλον γεγηρακὼς ἢ ταῖς ἐπαλλήλοις δυστυχίαις, ὑφ' ὧν γυμναζόμενος ἀθλητοῦ τρόπον ἐν πόνοις καὶ δυσκαρτερήτοις κακοπαθείαις

1 τῶν συμβεβηκότων F 3 ἔννοιαν HP ἐπιδεικνύονται AO, ἐπεδείκνυντο V[2] 4 κλοπῇ VBEKM: κλοπῆς ceteri μηδὲ CV 5 ἐπ' αὐτῶν Wendl.: ἐπ' αὐτῷ (cum proximis coniunctum) codd. 6 ὑπισχνοῦνται F προβλήτους M mg. K[2], προ⁝⁝βλήτους (σ eras.) V: προσβλήτους BE, προσηλύτους ceteri 7 παραλιπόντες VBEMAO παραλιπόντες post οἰκετικῶν transp. AO post ὀνομάτων add. ὧν CVBEKM 8 ἑαυτοὺς HP: αὑτοὺς ABEKV[2], αὐτοὺς ceteri δὲ V βαθυτάτῳ coni. Mang. coll. 97,6 9 τοῦτ' A τοσούτους ἀπάγειν] τοσούτοις ἅπασιν ἐνέχειν CVK[2]BEM 10 ἁμαρτῶντος C, ἁμαρτάνοντος V τίς F 12 μὲν om. AO καὶ post ὅτι transp. AOFGHP(v) 13 ὁρίζετε GH τοῦ om. M δὲ CF 14 καὶ om. C 15 καὶ om. HP 16 δὲ om. F τολμητίας AOFGHP 17 μετὰ B μετ' αἰδοῦς om. M 18 προσελθὼν om. F χρήσασθαι AOFGHP (Turn.) 19 μηδὲ CV βασιλέως F, βασιλείαν C 21 τοῦ ἀδελφοῦ HP ἀδελφῶν F καὶ περὶ πατρὸς BEKM πρεσβύτερος C 22 ἀλλεπαλλήλαις HP 23 πόνοις] πόλοις (sic) M τληπαθείας G

προβλήτους e Soph. Ai. 830

διετέλεσεν· ἀδελφὸς δὲ κομιδῇ νέος ἐστίν, ἐκτόπως στεργόμενος ὑπὸ τοῦ πατρός, ἐπειδὴ καὶ ὀψίγονός ἐστι καὶ δυεῖν γενομένων ὁμομητρίων ἀπελείφθη μόνος, τοῦ πρεσβυτέρου βιαίως ἀποθανόντος. κελεύοντος 224 δὲ σοῦ ἐνθάδε τὸν ἀδελφὸν ἀγαγεῖν καὶ ἀπειλοῦντος, εἰ μὴ παραγένοιτο, μηδ' ἡμῖν εἰς ὄψιν ἐλθεῖν ἔτι τὴν σὴν ἐπιτραπήσεσθαι, κατηφοῦντες ἀπηλλαττόμεθα καὶ μόλις οἴκαδε ἐπανελθόντες ἐδηλοῦμεν τὰ ἀπὸ σοῦ τῷ πατρί. ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντέλεγε δεδιὼς σφόδρα περὶ τῷ 225 παιδί, τῶν δ' ἀναγκαίων ὑποσπανιζόντων καὶ μηδενὸς ἡμῶν τολμῶντος ἐπὶ σιτωνίαν ἥκειν δίχα τοῦ νεωτάτου διὰ τὰς σὰς ἐπανατάσεις, μόλις πείθεται τοῦτον συνεκπέμψαι μυρία μὲν αἰτιώμενος, ὅτι ἀδελφὸν ἄλλον ἔχειν ὡμολογήσαμεν, μυρία δ' οἰκτιζόμενος, εἰ μελλήσει διαζεύγνυσθαι· νήπιος γάρ ἐστι καὶ πραγμάτων ἄπειρος, οὐ μόνον τῶν κατὰ τὴν ἀλλοδαπήν, ἀλλὰ καὶ τῶν κατὰ τὴν πόλιν. πρὸς οὖν οὕτω διακείμενον τὸν 226 πατέρα πῶς ἂν ἀφικοίμεθα; τίσι δ' ὀφθαλμοῖς αὐτὸν θεάσασθαι δίχα τούτου δυνησόμεθα; τελευτὴν οἰκτίστην ὑπομενεῖ μόνον ἀκούσας, ὡς οὐκ ἐπανελήλυθεν· εἶθ' ἡμᾶς ἀνδροφόνους καὶ πατροκτόνους ἕκαστος ἐρεῖ τῶν φιλαπεχθημόνων καὶ ἐπὶ ταῖς τοιαύταις συμφοραῖς ἐθελοκακούντων. τὸ δὲ πλεῖστον τῆς κατηγορίας ῥυήσεται κατ' ἐμοῦ· πολλὰ 227 γὰρ ὑπεσχόμην τῷ πατρὶ πρόεσθαι παρακαταθήκην λαμβάνειν ὁμολογῶν, ἣν ἀποδώσειν, ὅταν ἀπαιτηθῶ· πῶς δ' ἄν, εἰ μὴ ἐξευμενισθείης αὐτός, ἀποδοῦναι δυναίμην; οἶκτον δέομαι τοῦ πρεσβύτου λαβεῖν καὶ εἰς ἔννοιαν ἐλθεῖν τῶν κακῶν οἷσπερ ἀνιαθήσεται μὴ κομισάμενος ὃν

1 ἐστίν BEK¹M: ἐστὶ παιδὶ (sic) C, ἐστὶ παιδίον ceteri   στεργόμενον VA   ὑπὸ] παρὰ O   2 ἐπειδὴ] ἐπεὶ HP   ἐστιν CH   alt. καὶ] καὶ γὰρ F, καὶ om. HP   δυοῖν AKHP   δυεῖν γενομένων ὁμομητρίων] ὁμομητρίων γὰρ δυοῖν γενομένων HP   3 ἀπελήφθη F¹   4 δὲ σοῦ CK: δὲ (om. σοῦ) V, δ' (om. σοῦ) ceteri (fort. recte)   ἀπειλοῦντα G   5 εἰς ὄψιν ἡμῖν transp. HP   ἔτι τὴν σὴν K: om. ceteri   6 οἴκαδ' AH   7 καταρχὰς OGP   8 δὲ C

9 ὡς ante ἐπὶ add. AO   σιτωνείαν HP   σὰς om. F   ἐπαναξάσεις K, ἐπαναστάσεις AHP   10 ἄλλον ἀδελφὸν transp. K, ἄλλον om. BEM   11 εἶχεν GH (V¹ ut vid.)   ἀνωμολογήσαμεν AO   δὲ CV   μελήσει VBEM   12 τῶν om. C   12. 13 ἀλλοδαπῇ C   13 τὴν ⟨ἰδίαν⟩ πόλιν vel τὰς πόλεις coni. Mang.; sed cf. de decal. § 13   μὲν οὖν F   14 ἂν] οὖν O, om. A   ἀφικώμεθα FG   τίσι—δυνησόμεθα (15) om. BEM   δὲ CVK   αὐτὸν θεάσασθαι δίχα τούτου δυνησόμεθα CK: θ. δ. τ. δ. (om. αὐτὸν) V, δίχα τ. δυν. αὐ. θ. AO, δ. τ. θ. αὐ. δυν. FGHP   16 ἀνδροκτόνους (pro ἀνδροφόνους) O   17 ταῖς om. A   19 γὰρ—πατρὶ om. BEM   λαμβάνων O   20 ὅταν ἀπαιτηθῶ ἀποδώσειν (β α) O   21 δέομαί ⟨σου⟩ coni. Mang.   22 οἷς F

228 ἀβουλῶν ἐνεχείρισεν. ἀλλὰ σὺ μὲν ὑπὲρ ὧν ἔδοξας ἠδικῆσθαι δίκας
λάμβανε. δώσω δ' ἐθελοντὴς ἐγώ· δοῦλον ἀπὸ ταύτης ἀνάγραφε
τῆς ἡμέρας, ἄσμενος ὑπομενῶ τὰ τῶν νεωνήτων, ἐὰν τὸ παιδίον
229 ἐθελήσῃς ἐᾶσαι. λήψεται δ' οὐκ αὐτὸς τὴν χάριν, ἐὰν ἄρα διδῷς, ἀλλ'
ὁ μὴ παρὼν ἐπικουφισθεὶς τῶν φροντίδων, ὁ τῶν τοσούτων πατὴρ
ἱκετῶν ἁπάντων· ἱκέται γάρ ἐσμεν καταπεφευγότες ἐπὶ τὴν σὴν ἱερω-
230 τάτην δεξιάν, ἧς μηδέποτε διαμάρτοιμεν. ἔλεος οὖν εἰσελθέτω σε
γήρως ἀνδρὸς τοὺς ἀρετῆς ἄθλους κατὰ πᾶσαν ἡλικίαν διαπονήσαντος·
τὰς κατὰ Συρίαν πόλεις εἰς ἀποδοχὴν αὐτοῦ καὶ τιμὴν ἐπέστρεψε, καί-
τοι ξενικωτέροις ἔθεσι καὶ νομίμοις καὶ πολὺ διεστῶσι χρώμενος, οὐ
βραχεῖ τινι τῶν ἐγχωρίων ἠλλοτριωμένος· ἀλλ' ἡ τοῦ βίου καλοκἀγα-
θία καὶ τὸ σύμφωνον καὶ ὁμολογούμενον πρὸς ἔργα λόγων καὶ πρὸς
λόγους ἔργων ἐξενίκησεν, ὡς καὶ τοὺς ἕνεκα | τῶν πατρίων μὴ εὐγνώ- p. 74 M.
231 μονας μεθαρμόσασθαι. τοιαύτην μέλλεις κατατίθεσθαι χάριν, ἧς οὐκ
ἂν δύναιτό τις μείζονα λαβεῖν· τίς γὰρ ἂν γένοιτο πατρὶ δωρεὰ μείζων
ἢ υἱὸν ἀπογνωσθέντα χαρίσασθαι;"
232 (39.) Πάντα δ' ἦσαν ἀπόπειρα καὶ ταῦτα καὶ τὰ πρότερα, πῶς
ἔχουσι τοῦ τῆς χώρας ἐπιτρόπου σκοποῦντος εὐνοίας πρὸς τὸν ὁμομή-
τριον ἀδελφόν· ἐδεδίει γάρ, μὴ φυσικῇ τινι ἀλλοτριώσει κέχρηνται, καθάπερ
οἱ ἐκ μητρυιῶν γεγονότες πρὸς τὸν ἐξ ἑτέρας ἰσοτίμου γυναικὸς οἶκον.
233 διὰ τοῦτο καὶ ὡς κατασκόπους ᾐτιᾶτο καὶ περὶ τοῦ γένους ἐπυνθάνετο
πρόφασιν τοῦ γνῶναι, εἰ περίεστιν ὁ ἀδελφός, ἀλλὰ μὴ ἐξ ἐπιβουλῆς

1 ἀβουλῶν CVBEKM: ἀβουλήτως A (prob. Mang.), ἀβούλως ceteri (v) ἐνεχεί-ρησεν AH μὲν om. A ἔδειξας C ἀδικεῖσθαι VAO δίκην A
2 δὲ C ἐθελοντὶ AO 3 νεωνήτων om. F, δούλων add. F[2]; ἀργυρωνήτων coni. Mang. coll. 108,7 4 λήψεται scripsi: λήψῃ codd. δὲ CV οὐκ] οὐδ' AO ἐὰν] ἂν K 5 τοιούτων A 6 ἱκετῶν K[1]: καὶ τῶν ceteri post ἁπάντων add. ἐκπεπτωκώς A mg. P[2] σὴν om. V
7 γοῦν AO 8 τοὺς om. F ἀρετῆς] κατ' ἀρετὴν AO 9 πόλιν (sic) E αὐτοῦ codd. ἐπέτρεψε K 9. 10 καίτοι H[2]: καὶ τοὺς V[2], καὶ τοῖς ceteri
10 χρωμένους V[2] 11 βραχύ τι BEKM τῶν] τοῖς GH[2] τῶν χωρίων F[1], τῶνδε τῶν χωρίων AOH[1]P, τῶν δ' ἐγχωρίων V ἠλλοτριωμένας CV[1]EF, ἠλλοτριωμένοις V[2]H[2] 12 post λόγων add. σοφῶν G 13. 14 εὐγνώ-μονας FHP[1]: ὁμογνώμονας ceteri 15 τις AOFGH: om. ceteri (v) γὰρ om. M 16 υἱὸν K: τὸν ceteri 17 δὲ CV ἦσαν] ἦν conicio ἀπόπειρα om. AO ante πῶς ss. τοῦ V[2]K[2] 18 εὔνοιαν G, τὰς ἐννοίας VBEM
19 ἀλλοτριώσει] ἀκολουθία paene eras. O κέχρηται M, κέκτηνται G
γεγονό ἶσο
20 μητρυιῶν VAOKGH[1]P[1]: μετρίων ceteri φόντες K ὁμοτίμου A οἶκον om. V 21 καὶ περὶ—ἐπυνθάνετο om. BEM ἐπυνθάνετο] ᾐτιᾶτο A
22 προφάσει CVBEKM ὁ om. M

ἀνήρηται, καὶ ἕνα κατέσχε τοὺς ἄλλους ἐάσας ἀπαίρειν ὁμολογήσαντας
ἀγαγεῖν τὸν νεώτατον, ὃν ἰδεῖν μάλιστ' ἐπόθει καὶ τῆς ἐπ' αὐτῷ
χαλεπῆς καὶ βαρυτάτης ἀνίας ἀπαλλαγῆναι. καὶ ἐπειδὴ παρεγένετο 234
καὶ τὸν ἀδελφὸν ἐθεάσατο, μικρὸν ὅσον ἀνεθεὶς τῆς φροντίδος, καλέσας
ἐπὶ ξενίαν καὶ ἑστιῶν πολυτελεστέραις εὐώχει τὸν ὁμομήτριον παρα-
σκευαῖς, ἀποβλέπων εἰς ἕκαστον καὶ τεκμαιρόμενος ἐκ τῆς ὄψεως, εἴ τις
αὐτοῖς ὑποικουρεῖ φθόνος. καὶ ὡς ἀσμενίζοντας ἑώρα καὶ ἀναχεομένους 235
ἐπὶ τῇ τοῦ νεωτάτου τιμῇ, δυσὶν ἤδη μαρτυρίαις σημειωσάμενος τὸ
μηδὲν ἔχθος ὑποτύφεσθαι καὶ τρίτην ἐπενόησε, τὴν τοῦ κεκλέφθαι
δοκοῦντος ἐκπώματος αἰτίαν ἀναθεὶς τῷ νεωτάτῳ· σαφέστατος γὰρ ἔμελλεν
ἔλεγχος οὑτοσὶ γενέσθαι τῆς ἑκάστου διανοίας καὶ οἰκειότητος τῆς πρὸς
τὸν συκοφαντούμενον ἀδελφόν. ἐξ ὧν ἁπάντων ἤδη συνεπείθετο περὶ 236
τοῦ μὴ καταστασιάζεσθαι μηδ' ἐπιβουλεύεσθαι τὸν μητρῷον οἶκον
λογισμόν τε εἰκότα καὶ περὶ τῶν αὐτῷ συμβεβηκότων ἐλάμβανεν, ὡς
οὐκ ἐπιβουλαῖς ἀδελφῶν αὐτὰ μᾶλλον εἴη πεπονθὼς ἢ κατὰ πρόνοιαν
θεοῦ τὰ μακρὰν ἐμβλέποντος καὶ τὰ μέλλοντα οὐχ ἧττον τῶν παρόντων
ὁρῶντος. (40.) εἶτ' ἐπὶ συμβάσεις καὶ καταλλαγὰς ἵετο νικώμενος 237
ὑπὸ φιλοικείου πάθους καὶ ὑπὲρ τοῦ μηδὲν ὄνειδος προσβαλεῖν τοῖς
ἀδελφοῖς ἕνεκα τῆς πράξεως οὐδένα τῶν Αἰγυπτίων ἐδικαίωσε παρεῖναι
κατὰ τὴν πρώτην ἀναγνώρισιν· ἀλλὰ κελεύσας ἅπασαν τὴν θεραπείαν 238
μεταστῆναι, πηγήν τινα δακρύων ἐξαίφνης ἀνεὶς καὶ τῇ δεξιᾷ προσελθεῖν
ἐγγυτέρω σημήνας, ἵνα μηδ' ἐκ τύχης ἐπακοῦσαί τις ἄλλος δυνηθῇ,
φησὶν αὐτοῖς· „ἐπεσκιασμένον πρᾶγμα καὶ χρόνῳ μακρῷ συγκεκρύφθαι
δοκοῦν μέλλων ἀνακαλύπτειν μόνος μόνοις ὑμῖν ἀπαμπίσχω· ἀδελφὸν ὃν

1 ἕνα κατέσχε τοὺς] ἐγκατασχέτους (ους) AOGH[1]P, ἀκατασχέτω F ἀπαίρειν ἐάσας transp. O 2 μάλιστα CVK 3 χαλεπωτάτης F 5 ξενία C post πολυτελεστέραις add. ἐχρῆτο καὶ HP(v) εὐώχει scripsi: εὐωχεῖ K[1]F, εὐωχεῖται AO, εὐωχεῖτο ceteri (v) 6 εἰς ἕνα ἕκαστον VK[2] 7 ἐποικουρεῖ KM ἀνεχομένους AOP[2] 9 ἄχθος M ut vid. τρίτον ὑπενόησε AO τοῦ om. G 10 ἐκπώματος K: om. ceteri 11 ὁ ἔλεγχος V οὑτωσὶ F οὗτος ἔμελλεν ἔλεγχος transp. A (Mang.) γεγενῆσθαι K οἰκειότατος BEM 12 συνεπύθετο H (Turn.) 13 πατρῷον AO οἶκον om. O 14 τ' A αὐτῷ V[2]: αὐτῶ ceteri 15 πέπονθεν (εἴη del.) C 16 pr. τὰ om. AOFGHP βλέποντος F μεταβάλλοντα BM, με=λλοντα E 17 εἶτα CV ἵετο AFG: ἵετο ceteri 18 ὑπὸ τοῦ A φιλοικίου F προβαλεῖν BEM 19 post οὐδένα add. δὲ F 21 ἐξαίφνης om. A ἀφεὶς A 22 σημείνας F μηδὲ C ἄλλος om. G 23 φασὶν V[1] 24 μέλλον F[1] ἀνακύπτειν M μόνος om. A ἐπαμπίσχω CV

17 sqq. Gen. cap. 45

ἀπέδοσθε εἰς Αἴγυπτον, ἐκεῖνος ὃν ὁρᾶτε νῦν παρεστῶτα αὐτός εἰμι
239 ἐγώ.“ καταπλαγέντων δ' αὐτῶν παρ' ἐλπίδα καὶ διεπτοημένων καὶ
ὥσπερ ὁλκῇ τινι βιαίῳ τὰς ὄψεις ἐπὶ γῆν καταβεβληκότων καὶ πεπη-
γότων ἀφώνων καὶ ἀχανῶν, „μὴ κατηφεῖτε“ | εἶπεν, „ἀμνηστίαν ἁπάν- p. 75 M.
των παρέχω τῶν εἰς ἐμὲ πεπραγμένων, μηδενὸς ἑτέρου δεῖσθε παρα-
240 κλήτου· αὐτοκελεύστῳ καὶ ἑκουσίῳ γνώμῃ πρὸς συμβάσεις ἐθελοντὴς
ἀφῖγμαι συμβούλοις χρησάμενος δυσί, τῇ τε πρὸς τὸν πατέρα εὐσεβείᾳ,
ᾧ τὸ πλεῖστον τῆς χάριτος ἀνατίθημι, καὶ τῇ φυσικῇ φιλανθρωπίᾳ, ᾗ
241 πρὸς ἅπαντας διαφερόντως δὲ πρὸς τοὺς ἀφ' αἵματος χρῶμαι. καὶ
νομίζω τῶν συμβεβηκότων οὐχ ὑμᾶς ἀλλὰ θεὸν αἴτιον γεγενῆσθαι
βουληθέντα με τῶν αὐτοῦ χαρίτων καὶ δωρεῶν, ἃς ἐν τοῖς ἀναγκαιο-
τάτοις καιροῖς ἠξίωσε τῷ γένει τῶν ἀνθρώπων παρασχεῖν, ὑπηρέτην
242 γενέσθαι καὶ διάκονον. ἐναργῆ δὲ πίστιν δύνασθε λαβεῖν ἐξ ὧν ὁρᾶτε·
πᾶσαν μὲν Αἴγυπτον ἐπιτέτραμμαι, τιμὴν δὲ ἔχω τὴν πρώτην παρὰ
τῷ βασιλεῖ καὶ με νέον ὄντα πρεσβύτερος ὢν ὡς πατέρα τιμᾷ· θεραπεύο-
μαί τε οὐχ ὑπὸ τῶν ἐγχωρίων μόνον ἀλλὰ καὶ ὑπὸ πλείστων ἄλλων
ἐθνῶν, ὅσα καὶ ὑπήκοα καὶ αὐτόνομα· χρεία γὰρ πάντα διὰ τὴν
243 ἔνδειαν προεστῶτος. ἄργυρός τε καὶ χρυσὸς καί, τὸ τούτων ἀναγκαιό-
τερον, αἱ τροφαὶ παρ' ἐμοὶ μόνῳ ταμιεύονται διανέμοντι καὶ κατακερματί-
ζοντι πρὸς τὰς ἀναγκαίας χρείας ἑκάστοις τῶν δεομένων, ὡς μήτε τι
τῶν εἰς τρυφὴν περιττεῦσαι μήτε τι τῶν εἰς ἐκπλήρωσιν ἐνδείας ἐπι-
244 λιπεῖν. ἀλλ' οὐκ ἐναβρυνόμενος καὶ σεμνυνόμενος ταυτὶ διεξῆλθον, ἀλλ'
ἵν' αἴσθησθε, ὅτι τῶν τηλικούτων οὐδεὶς ἔμελλεν ἀνθρώπων αἴτιος
ἔσεσθαι δούλῳ καὶ μετὰ ταῦτα δεσμώτῃ γενομένῳ — καὶ γὰρ ἐδέθην
ποτὲ συκοφαντηθείς —, ἀλλ' ὁ τὰς ἐσχάτας συμφοράς τε καὶ δυσπρα-
γίας μεθαρμοσάμενος εἰς τὰς ἀνωτάτω καὶ πρώτας εὐτυχίας θεὸς ἦν,

2 δὲ CV, οὖν F ⟨τῷ⟩ παρ' ἐλπίδα coni. Wendl. 3 γῆς BEMAO 4 κατηφῆτε P 5 παρέχω post πεπραγμένων transp. M δεῖσθαι BE 7 συμβούλοις Mang.: συμβόλοις codd. 8 ᾧ K: ᾗ AOFGHP, om. CVBEM 11 με AOKFB^2: μὲν ceteri αὐτοῦ H 13 ἐναργῆ] ἐν ἀρχῇ H (Turn.) λαβεῖν δύνασθε transp. AO ἀναλαβεῖν CVBEKM; δύνασθε ἂν λαβεῖν coni. Mang. 14 ἐπιτέτραμμαι αἴγυπτον transp. F δ' AF, τε CV πρώτην K: om. ceteri 15 τῷ om. VF 17 καὶ post ὅσα om. V, καὶ ὅσα transp. AO χρεῖα BM: χρήζει C(v), χρεία ceteri πάντων VFG, πᾶσι AOP^2 18 ἀργύρου τε καὶ χρυσοῦ VK^2 19 αἱ] καὶ G 19. 20 κανερματίζοντι O 20 τι] τινι F 21 τρυφὴν] τροφὴν coni. Mang. περιττεῦσαι K: om. ceteri τι] τινι F, om. CAO 22 οὐκ ἀβρυνόμενος C, οὐχ ἀβρυνόμενος VBEKM καὶ σεμνυνόμενος om. AO ἐξῆλθον G 23 ἵνα C ἄνθρωπος AOF 23. 24 ἔσεσθαι αἴτιος transp. HP 24 δεσμώτῃ] δεσπότῃ BEM 25 συμφοράς τε καὶ C: om. ceteri

ᾧ πάντα δυνατά. ταῦτα ἐμοῦ διανοουμένου, μηκέτι εὐλαβῶς ἔχετε 215
τὰς δυσφροσύνας ἐκποδὼν ποιησάμενοι καὶ πρὸς ἱλαρὰν μεταβαλόντες
εὐθυμίαν. εὖ δ' ἂν ἔχοι καὶ πρὸς τὸν πατέρα συντεῖναι καὶ πρῶτον αὐτῷ
τὰ περὶ τῆς ἐμῆς εὑρέσεως εὐαγγελίσασθαι· φθάνουσι γὰρ αἱ φῆμαι
πανταχόσε.“ (41.) οἱ δὲ κατὰ διαδοχὴν τοὺς ἐπαίνους αὐτοῦ συνεί- 246
ροντες ἀπαύστως ἀχαλίνοις στόμασιν ἐξύμνουν ἄλλος ἄλλο τι διεξιών,
ὁ μὲν τὸ ἀμνησίκακον, ὁ δὲ τὸ φιλοίκειον, ὁ δὲ τὴν σύνεσιν, ἅπαντες
δ' ἀθρόοι τὴν εὐσέβειαν ἐπὶ τὸν θεὸν ἀναφέροντος τὰ τέλη τῶν κατορ-
θουμένων καὶ μηκέτι ταῖς ἀβουλήτοις ἀρχαῖς καὶ πρώταις ἐνστάσεσι
τῶν μὴ κατὰ γνώμην δυσχεράναντος καὶ τὴν ὑπερβάλλουσαν μετ' αἰδοῦς
καρτερίαν· ὃς ἐν τοσαύταις γεγονὼς ἀνωμαλίαις οὔτε δουλεύων βλάσ- 247
φημον οὐδὲν εἶπε κατὰ τῶν ἀδελφῶν ὡς πεπρακότων οὔτ' εἰς εἱρκτὴν
ἀπαγόμενος ὑπ' ἀθυμίας ἐξελάλησέ τι τῶν ἀπορρήτων οὔτε πολὺν
p. 76 M. χρόνον ἐκεῖ καταμένων, οἷα | φιλεῖ, τοῖς δεσμώταις ἔθους ὄντος τὰς
ἰδίας ἀτυχίας ἀναμετρεῖσθαι, ἀπεγύμνωσεν· ἀλλ' ὡς μηδὲν εἰδὼς τῶν 248
αὐτῷ συμβεβηκότων, ἀλλ' οὐδ' ὅτε τὰ ὀνείρατα διέκρινεν ἢ τοῖς εὐνού-
χοις ἢ τῷ βασιλεῖ, καιρὸν ἔχων εἰς μήνυσιν ἐπιτήδειον, ἐφθέγξατό τι
περὶ τῆς ἰδίας εὐγενείας, οὐδ' ὅτε βασιλέως ὕπαρχος ἐχειροτονεῖτο
καὶ τῆς Αἰγύπτου πάσης τὴν ἐπιμέλειαν καὶ προστασίαν παρελάμβανεν,
ἵνα μὴ δόξῃ τις εἶναι τῶν ἠμελημένων καὶ ἀφανῶν, ἀλλὰ τῷ ὄντι
εὐπατρίδης, οὐ φύσει δοῦλος, ἀλλ' ἐπιβουλὰς ὑφ' ὧν ἥκιστ' ἐχρῆν
ἀνηκέστους ὑπομεμενηκὼς καὶ συμφοράς. ἔτι δὲ πρὸς τούτοις ἐρρύη 249
πολὺς ἔπαινος ἰσότητος αὐτοῦ καὶ δεξιότητος· τὰς γὰρ τῶν ἄλλων ἀλα-
ζονείας καὶ ἀπαιδευσίας ἡγεμόνων εἰδότες ἐθαύμαζον τὸ ἀνεπίφαντον
καὶ ἀτραγῴδητον καὶ ὡς εὐθὺς ἰδὼν κατὰ τὴν προτέραν ὁδὸν ἀπο-

1 ταῦτ' A μηκέτ' AF ἔχητε V 5 πανταχόσε] πανταχόθεν κατὰ πολὺ HP(v) κατὰ] μετὰ M 6 ἀπαύστως AOFGHP: ἀδιαστάτως CVBEKM; fort. scribendum ἀπαύστως καὶ ἀδιαστάτως 8 δὲ CV τὸν om. C ἀναφέροντος KV², corr. ex ἀναφέροντες E: ἀναφέροντες ceteri 8. 9 τῶν κατορθουμένων τὰ τέλη transp. A 9 ἀρχαῖς om. H¹P 10 μὴ K: om. ceteri δυσχεράναντος VBEM, δυσχεραίναντος (sic) K: δυσχεράναντας C, δυσχεράναντες GHP, δυσχεραίνοντες AOF 11 ἀνομαλίαις C 11. 12 οὐδὲν εἶπε βλάσφημον transp. AO 12 οὔτε C 13 ὑπὸ C ἐξελάλησέ τι om. O ἀπορρήτων] ἀβουλήτων AO 15 ἀτυχίας] τύχας AO ἀναμετρεῖσθαι corr. ex —εῖται K ἀπεγύμνου AO ἀλλ' ὡς] ἄλλως AOGH¹P, ἄλλοις τε F, ἀλόγως H² μηδὲν εἰδὼς om. AOFGHP 16 ἀλλὰ FG οὐδὲ V συνέκρινεν V 17 ἐφθέγξατό τι CK: τι φυλάξασθαι F, τι φθέγξασθαι ceteri 18 ἀλλ' οὐδ' BKM οὐδὲ C τοῦ βασιλέως F 20 εἶναι om. A 21 ἥκιστα C 22 ὑπομεμενηκὼς ἀνηκέστους transp. AO 23 αὐτῆς F 24 εἰδότες ἡγεμόνων transp. BEKM ἀνέπαφον AOFGHP 25 ὡς om. O

κτεῖναι δυνάμενος ἢ τὸ γοῦν τελευταῖον λιμώττουσι τροφὰς μὴ παρα-
σχεῖν πρὸς τῷ μὴ τιμωρήσασθαι καὶ ὡς χάριτος ἀξίοις δωρεὰν ἔδωκε
250 τἀπιτήδεια τὴν τιμὴν αὐτῶν ἀποδοθῆναι κελεύσας. οὕτω μέντοι τὰ
τῆς ἐπιβουλῆς καὶ πράσεως εἰς ἅπαν ἠγνοήθη καὶ διέλαθεν, ὥσθ' οἱ
ἐν τέλει τῶν Αἰγυπτίων συνήδοντο, ὡς πρῶτον ἄρτι τῶν ἀδελφῶν τοῦ
προεστῶτος ἡκόντων. καὶ ἐπὶ ξενίαν ἐκάλουν καὶ φθάνοντες εὐηγγελίζοντο
τῷ βασιλεῖ, καὶ πάντα διὰ πάντων ἔγεμε χαρᾶς οὐκ ἔλαττον ἢ εἴπερ
251 εὐφόρησεν ἡ πεδιὰς καὶ ὁ λιμὸς εἰς εὐθηνίαν μετέβαλε. (42.) γνοὺς
δ' ὁ βασιλεύς, ὅτι καὶ πατήρ ἐστιν αὐτῷ καὶ ἡ γενεὰ πολυάνθρωπος,
προτρέπει μεταναστῆναι πανοικὶ τὴν βαθυγειοτάτην Αἰγύπτου μοῖραν
ὁμολογήσας δεδωρῆσθαι τοῖς ἀφιξομένοις. ἀπήνας οὖν καὶ ἁμα-
μάξας καὶ πλῆθος ὑποζυγίων ἐπηχθισμένων τἀπιτήδεια δίδωσι τοῖς
ἀδελφοῖς καὶ θεραπείαν ἱκανήν, ἵνα μετ' ἀσφαλείας ἀγάγωσι τὸν
252 πατέρα. παραγενομένων δὲ καὶ τὰ περὶ τὸν ἀδελφὸν ἄπιστα καὶ
μείζονα ἐλπίδων διηγουμένων, οὐ πάνυ προσεῖχε· κἂν γὰρ οἱ λέγοντες
ἀξιοπιστότατοι, ἀλλ' ἥ γε τοῦ πράγματος ὑπερβολὴ ῥᾳδίως συναινεῖν
253 οὐκ ἐπέτρεπεν. ἰδὼν δὲ ὁ πρεσβύτης τὰς ἐν τοιούτῳ καιρῷ παρα-
σκευὰς καὶ χορηγίας τῶν ἀναγκαίων ἀφθόνους τοῖς περὶ τούτου λεγομένοις
εὐτυχήμασι συνᾳδούσας ὕμνει τὸν θεόν, ὅτι τὸ δοκοῦν ἐκλελοιπέναι
254 μέρος τῆς οἰκίας ἀπεπλήρωσεν. ἡ δὲ χαρὰ καὶ φόβον εὐθὺς ἐγέννησε
τῇ ψυχῇ περὶ τῆς τῶν πατρίων ἐκδιαιτήσεως· ᾔδει γὰρ καὶ νεότητα
εὐόλισθον φύσει καὶ ξενιτείας τὴν εἰς τὸ ἁμαρτάνειν ἐκεχειρίαν καὶ

1 μὴ om. P^1, ss. P^2 2 τῷ] τὸ GHP δωρεᾶς O 3 τὰ ἐπιτήδεια CV αὐτοῖς V παραδοθῆναι VBEM 4 πράξεως A εἰσάπαν AK ὥστ' HP, ὡς δ' F 5 πρώτων V τῶν om. CVBEKM 6 εὐηγγελίζοντο] ἐδήλουν HP(v) 8 εὐφόρησεν CVBKMH^2: ηὐφόρησεν ceteri εὐθηνίαν] εὐπορίαν K μετέβαλεν CG 9 δὲ CV pr. καὶ om. K ἡ om. CBEKMA γενεὰ] συγγένεια coni. Mang. 10 μεταστῆναι CVGHP^1 πανοικὶ (—εὶ C) μεταστῆναι transp. CV πανοικεὶ CHP(v) 11 ἀπήνας] ἀπήγαγον (γον in ras.) F 11. 12 ἁμάξας M, ἀμάξας P 12 τὰ ἐπιτήδεια CVBEM 13 μετὰ CVHP 15 μείζω AO κἂν VMK^{2}F^2: καὶ corr. ex κἂν B, καὶ ceteri 16 ἥ γε CM, ἥ τε E, ἥ τε (sed τε del.) B: ἡ (om. γε) ceteri συνιδεῖν O 16. 17 συναινεῖν οὐκ ἐπέτρεπεν CV: οὐκ ἐπέτρεπε συναινεῖν ceteri 17 ἐπέτρεψε A δ' A τῶ τοιούτω A 19 ὕμνει VBEKM: ὑμνεῖ ceteri ἐλλελοιπέναι CVBEKM 20 καὶ om. AOFHP 21 ἐκδιαιτήσεως VK: ἐπιζητήσεως A, ἐκζητήσεως ceteri 21. 22 καὶ — φύσει] τὸ τῆς νεωτάτης εὐόλισθον φύσεως C; τὸ τῆς νεότητος εὐόλισθον φύσει conicio 22 ξενιτείαν V^{2}K^2 τῆς A ἐκεχειρίαν CBEKMO: ἐκκεχειρίαν ceteri

6 *Thom. Mag. Ecl.* 252,11 *R.* . . . καὶ ξένισις ἡ ξενοδοχία . . . καὶ ξενία τὸ αὐτό, ὡς Φίλων ἐν τῷ περὶ Ἰωσήφ: τῶν εἰς τὴν ξενίαν ἡκόντων ἀδελφῶν.

μάλιστα τῆς ἐν Αἰγύπτῳ χώρας τυφλωττούσης περὶ τὸν ἀληθῆ θεὸν
p. 77 M. ἕνεκα | τοῦ γενητὰ καὶ θνητὰ θεοπλαστεῖν καὶ προσέτι πλούτου καὶ
δόξης ἐπιθέσεις ὀλιγόφροσι διανοίαις ἐπιτίθενται καὶ διότι ἀπολειφθείς,
μηδενὸς τῶν ἐκ τῆς πατρῴας οἰκίας συνεξεληλυθότος σωφρονιστοῦ,
μόνος ὢν καὶ ἔρημος διδασκάλων ἀγαθῶν ἕτοιμος ἔσται πρὸς τὴν τῶν
ὀθνείων μεταβολήν. οὕτως οὖν διακείμενον ἰδὼν ᾧ μόνῳ δυνατὸν ἀόρα- 255
τον ψυχὴν ὁρᾶν ἔλεον λαμβάνει καὶ κοιμωμένῳ νύκτωρ ἐπιφανείς φησι·
„μηδὲν εὐλαβοῦ περὶ τῆς εἰς Αἴγυπτον ἀφίξεως· αὐτὸς ἡγεμονεύσω
τῆς ὁδοῦ παρέχων τὴν ἀποδημίαν ἀσφαλῆ καὶ εὐάρεστον· ἀποδώσω
μέντοι καὶ τὸν τριπόθητον υἱόν, ὅς ποτε τεθνάναι νομισθεὶς ἐκ πολυετίας
οὐ ζῶν μόνον ἀλλὰ καὶ χώρας τοσαύτης ἡγεμὼν ἀναφαίνεται.“ πλη-
ρωθεὶς δ' εὐελπιστίας ἅμα τῇ ἕῳ γεγηθὼς ἐπέσπευδεν. ὁ δ' υἱὸς 256
ἀκούσας — σκοποὶ γὰρ καὶ φραστῆρες τῆς ὁδοῦ πάντ' ἐδήλουν — οὐ
μακρὰν τῶν ὁρίων ἀπέχοντα διὰ ταχέων ἀπήντα τῷ πατρί· καὶ κατὰ
τὴν καλουμένην Ἡρώων πόλιν ἐντυχόντες ἐπιπίπτουσιν ἀλλήλοις τὰς
κεφαλὰς ἐπὶ τῶν αὐχένων ἐρείσαντες καὶ τὰς ἐσθῆτας δάκρυσι φύροντες
πολυχρονίων ἀσπασμάτων ἀπλήστως ἐνεφοροῦντο καὶ μόλις παυσάμενοι
συνέτεινον ἄχρι τῶν βασιλείων. θεασάμενος δὲ ὁ βασιλεὺς καὶ τὴν 257
ὄψιν καταπλαγεὶς τῆς σεμνότητος ὡς οὐχ ὑπάρχου πατέρα ἀλλ' ἑαυτοῦ
μετὰ πάσης αἰδοῦς καὶ τιμῆς ἐδεξιοῦτο· καὶ μετὰ τὰς ἐν ἔθει καὶ
ἐξαιρέτους φιλοφροσύνας δίδωσιν αὐτῷ γῆς ἀποτομὴν ἀρετῶσαν καὶ
σφόδρα εὔκαρπον, τούς τε υἱοὺς αὐτοῦ πυνθανόμενος εἶναι κτηνοτρόφους
τὴν πολλὴν οὐσίαν ἔχοντας ἐν θρέμμασι καθίστησιν ἐπιμελητὰς τῶν

1 τῆς] τοῖς P, τὴν V χώραν τυφλώττουσαν V 2 γεννητὰ VKOF θνητὰ] τυφλὰ HP post προσέτι add. ὅτι V^{2}K^{2} 3 ἐπιθέσεις V: ἐπίθεσις ceteri ἐπιτίθενται CVBEM: ἐπιτίθε(ε)νται K, ἐπιτίθεται ceteri ἐπιτίθενται secludendum puto 4 συνεξεληλυθότος scripsi: ἐξεληλυθότος K(v), συνεξεληλυθότων V, om. H, ἐξεληλυθότων ceteri 5 καὶ om. AO 6 ὀθνίων C μεταβολήν] ἀποδοχήν coni. Mang. μόνον O δυνατῶ FG 7 ὁρᾶν K^{1}: ἰδεῖν ceteri κοιμωμένων OFP 8 μηδὲν] μὴ F 10 μέντοι] μέν σοι BK περιπόθητον VA 12 δὲ CVA ἐπέσπενδεν M, ἔσπευδεν VAO δὲ CV 13 φρατῆρες A 14 ὁρίων CKV^{2}H^{2}: ὁρίων corr. ex ὀρέων E, ἱερέων F, ὀρέων ceteri ἀπέχοντι V^{2}H^{2} (Turn.) διαταχέως G ἀπήν (sic) M 15 πόλιν ἡρώων transp. F 16 τοὺς αὐχένας VK^{2} φύροντες CVBEKM: φύραντες ceteri 18 δ' A 19 οὐχ ὡς transp. AO (Mang.) 20 πάσης om. F αἰδοῦς καὶ om. AO τιμῆς καὶ αἰδοῦς transp. F ἐδεξιοῦτο VK: ἐδόξει τοῦτον CBE, ἔδοξε τοῦτον M, ἐδεξιοῦτο τοῦτον ceteri (v) ἐν om. BEM 22 θ' A 23 ἔχοντας om. AO

6—11 Gen. 46,2—4 12—18 Gen. 46,28. 29 18—116,2 Gen. 47,1—10

ἰδίων αἰπόλια καὶ βουκόλια καὶ ποίμνας καὶ μυρίας ὅσας ἀγέλας ἐγχει-
ρίσας αὐτοῖς.

258 (43.) Ὁ δὲ νεανίας τοσαύτῃ πίστεως ἐχρήσατο ὑπερβολῇ, ὥστε
τῶν καιρῶν καὶ τῶν πραγμάτων εἰς ἀργυρισμὸν παρεχόντων πλείστας
ὅσας ἀφορμάς, δυνηθεὶς δι' ὀλίγου πλουσιώτατος τῶν κατ' αὐτὸν
γενέσθαι, τὸν γνήσιον ὡς ἀληθῶς πρὸ τοῦ νόθου πλοῦτον καὶ τὸν
βλέποντα πρὸ τοῦ τυφλοῦ θαυμάσας ἅπαντα τὸν ἄργυρον καὶ χρυσόν,
ὅσον ἐκ τῆς τιμῆς ἤθροισε τοῦ σίτου, ἐν τοῖς βασιλέως ἐθησαυρίζετο
ταμιείοις οὐδεμίαν δραχμὴν νοσφισάμενος, ἀλλὰ μόναις ἀρκεσθεὶς ταῖς
259 δωρεαῖς, αἷς ἀμειβόμενος ἐκεῖνος ἀντεχαρίζετο. καθάπερ τε οἰκίαν μίαν
Αἴγυπτον καὶ σὺν αὐτῇ χώρας ἑτέρας καὶ ἔθνη πιεσθέντα τῷ λιμῷ
παντὸς λόγου κρεῖττον ἐπετρόπευσεν ὁ ἀνὴρ οὗτος κατὰ τὸ πρέπον
διανέμων τὰς τροφὰς καὶ ἀφορῶν οὐκ εἰς τὸ παρὸν μόνον λυσιτελὲς
260 ἀλλὰ καὶ τὴν πρὸς τὸ μέλλον ὠφέλειαν. ἡνίκα γοῦν ὁ ἕβδομος ἐνιαυτὸς
τῆς ἐνδείας ἐνέστη, μεταπεμψάμενος τοὺς γεωργοὺς — ἤδη γὰρ | τῆς p. 78 M.
εὐφορίας καὶ εὐθηνίας ἐλπὶς ἦν — ἐδίδου κριθάς τε καὶ πυροὺς εἰς σπέρ-
ματα φροντίσας τοῦ μηδένα νοσφίσασθαι καταθεῖναί τε εἰς τὰς ἀρούρας
ἃ ἔλαβεν, ὀπτῆρας καὶ ἐφόρους ἐπιλέξας ἀριστίνδην, οἳ τὴν σπορὰν
παραφυλάξουσι.

261 Μετὰ δὲ τὸν λιμὸν χρόνοις μακροῖς ὕστερον τελευτήσαντος τοῦ
πατρός, ὑπονοίᾳ πληχθέντες οἱ ἀδελφοὶ καὶ δείσαντες, μή τι χαλεπὸν
πάθωσι μνησικακίᾳ, προσελθόντες ἐδέοντο λιπαρῶς ἐπαγόμενοι γυναῖκας
262 καὶ γενεάν. ὁ δ' ἐπιδακρύσας φησίν· „ὁ μὲν καιρὸς ἱκανὸς ὑπόνοιαν

1 ποίμνια VA 3 τοσαύτης CBEKM 4 alt. τῶν om. AOK 4. 5 ὅσας πλείστας transp. M 5 ἀφορμὰς ὅσας transp. A, ἀφορμὰς ὅσα O δυνηθῆναι AOFGHP δι'] δ' BEM ὀλίγου] ὅλου AF πλουσιώτατον AO κατ' αὐτῶν G, καθ' ἑαυτὸν K 6 ἀληθῆ A 8 βασιλικοῖς A 9 ταμείοις CVHP οὐδὲ μίαν BEM 10 ἀντεχαρίζετο CVEKM: ἀπεχαρίζετο corr. ex ἀντεχαρίζετο B, ἀντεχαρίσατο ceteri τ' A οἰκίαν μίαν K: om. ceteri 11 τῷ om. G 12 πρέπον] πρικὸν (i. e. πατρικὸν) VAOGH, πνικὸν (i. e. πνευματικὸν) F 13 τροφὰς] τιμὰς O μόνον post ἀφορῶν transp. M 14 εἰς τὴν V γοῦν] οὖν M, γὰρ V 15 ἐπέστη AO ante τῆς add. ταῖς A 16 εὐφορίας καὶ om. BEKM εὐπορίας AO εὐθηνίας καὶ εὐφορίας (εὐπορίας) transp. CA ἐλπὶς ἦν] ἐλπίσιν O, ἐλπίσιν ἐνησμένιζεν A πυρροὺς M 17 τε] δὲ coni. Mang. 18 ἃ AV[2], ἃ corr. ex ἃς E: ἃς ceteri ἔλαβον KV[2] τε καὶ F 22 μνησικακίᾳ scripsi: μνησικακίας codd.; ⟨ἐκ⟩ vel ⟨ὑπὸ⟩ μνησικακίας coni. Mang. ἐπαγόμενοι post γενεάν (23) transp. V γυναῖκας] γύναια CV 23 δὲ CV 23. 117,1 ὑπόνοιαν κατασκευάσαι ἱκανὸς transp. BEKM

3 sqq. Gen. 47,13 sqq. 20 sqq. Gen. 50,15 sqq.

κατασκευάσαι τοῖς ἀφόρητα ἐργασαμένοις καὶ μὴ δι' ἑτέρου μᾶλλον ἢ τοῦ συνειδότος ἐλεγχομένοις· ἡ γὰρ τελευτὴ τοῦ πατρὸς τὸν ἀρχαῖον φόβον, ὃν πρὸ τῶν καταλλαγῶν εἴχετε, κεκαίνωκεν, ὡς τοῦ μὴ λυπῆσαι τὸν πατέρα χάριν τὴν ἀμνηστίαν ἐμοῦ παρασχόντος. ἐγὼ 263 δὲ τὸν τρόπον οὐ χρόνοις μεταβάλλομαι οὐδ' ὁμολογήσας ἔνσπονδος εἶναι δράσω ποτὲ τὰ ἄσπονδα· οὐ γὰρ ὑπερθέσεις ἀμύνης ἐκαιροφυλάκουν, ἀλλὰ τὴν εἰς ἅπαν ἀπαλλαγὴν τῆς κολάσεως ἐχαριζόμην ἐπινέμων τὸ μέν τι τιμῇ τοῦ πατρός — δεῖ γὰρ ἀψευδεῖν —, τὸ δέ τι εὐνοίᾳ τῇ πρὸς ὑμᾶς ἀναγκαίᾳ. εἰ δὲ καὶ πατρὸς ἕνεκα πάντ' ἐποίουν 264 τὰ χρηστὰ καὶ φιλάνθρωπα, φυλάξω ταῦτα καὶ πατρὸς τετελευτηκότος· τέθνηκε δ' οὐδεὶς παρ' ἐμοὶ κριτῇ τῶν ἀγαθῶν ἀνδρῶν, ἀλλὰ καὶ ζήσεται τὸν ἀεὶ χρόνον ἀγήρως ἀθανάτῳ φύσει, ψυχῇ μηκέτι ταῖς σώματος ἀνάγκαις ἐνδεδεμένῃ. τί δὲ δεῖ μόνου μεμνῆσθαι τοῦ γενητοῦ 265 πατρός; ἔχομεν τὸν ἀγένητον, τὸν ἄφθαρτον, τὸν ἀίδιον, „ὃς ἐφορᾷ πάντα καὶ πάντων ἐπακούει“ καὶ τῶν ἡσυχαζόντων, τὸν ἀεὶ βλέποντα καὶ τὰ ἐν μυχοῖς τῆς διανοίας, ὃν μάρτυρα καλῶ τοῦ συνειδότος ἐπ' ἀψευδέσι καταλλαγαῖς. ἐγὼ γάρ, καὶ μὴ θαυμάσητέ μου τὸν λόγον, 266 τοῦ θεοῦ εἰμι (Gen. 50, 19) τοῦ τὰ πονηρὰ βουλεύματα ὑμῶν εἰς ἀγαθῶν περιουσίαν μεθαρμοσαμένου. γίνεσθε οὖν ἄφοβοι καὶ πρὸς τὸ μέλλον χρησιμωτέρων μεθέξοντες ἢ ζῶντος ἔτι τοῦ πατρὸς ἐκαρποῦσθε.“

---

1 post ἀφόρητα 3—4 litt. eras. V δι' ἑτέρου CV²: δι' ἑτέρων K, δι' ἕτερον ceteri (δ' F) 2 τοῦ συνειδότος CVK: χάριν add. ceteri (v) 3 κεκαίνωκεν Mang.: κεκαίνικεν BM, κεκαίνικεν e κεκένωκεν corr. K, κεκένωκεν ceteri ὡς τοῦ] ὥστ' οὐ C τοῦ om. M μὴ om. Turn. 4 λυπῆσαι μου M, λυπῆσαι μοῦ (corr. ex με vel μι) B, λυπῆσαιμι (sic) E, λυπῆσαι (μϊ supra) K, λυπήσαιμι C χάριν τὸν πατέρα transp. AO ἐμοῦ] ὑμῖν BEM 5 οὐδὲ C ἔνσπονδον C 6 ὑπερθέσις C, ὑπερθέσει VBEM, ὑποθέσεις O 7 εἰσάπαν VAK 8 pr. τι corr. in τῇ F, om. CVBEM δ' BEKM alt. τι] τῇ V, om. BEKM 9 καὶ om. F πάντεσ (sed εσ eras.) C 10 φυλάσσω VBEKM πατρὸς τετελευτηκότος Mang.: προστετελευτηκότος V¹AOH, τετελευτηκότος V², πρὸς τετελευτηκότα ceteri 11 δὲ C 12 φύσεως K ψυχῆς FH(v) 13 σωματικαῖς V ἐνδεδεμένην (η supra) K τί δὲ δεῖ scripsi: τί δὲ (om. δεῖ) CVOGHP, τί δαὶ (ε supra) A, τί δεῖ BEKMF, post μόνου add. δεῖ AOP² μέμνησθε CVFGHP γενητοῦ CBEFG: γεννητοῦ ceteri 14 ἔχομεν om. CVBEM ἀγένητον CABEFP: ἀγέννητον ceteri 16 τὰ] τοῖς (sed. οῖς eras.) C ὃν] τοῦτον BEM καλῶ μάρτυρα transp. K 17 ἐγὼ—εἰμι (18) om. BEM μου om. CVK 18 alt. τοῦ] ὃς BEK¹M ὑμῶν βουλεύματα transp. AO ἡμῶν G 19 μεθηρμόσατο BEK¹M γοῦν A 20 χρησιμώτερα F ἐκαρποῦσθαι M

---

14. 15 Hom. Od. λ 109. μ 323 Ἠελίου, ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει. Il. Γ 277.

267 (41.) τοιούτοις θαρσύνας τοὺς ἀδελφοὺς λόγοις, ἔργοις τὰς ὑποσχέσεις
ἐβεβαίου μᾶλλον οὐδὲν παραλιπὼν τῶν εἰς ἐπιμέλειαν. μετὰ δὲ τὸν
λιμὸν ἐπ' εὐθηνίᾳ καὶ εὐετηρίᾳ τῆς χώρας ἤδη γεγηθότων τῶν οἰκητόρων,
ἐτιμᾶτο πρὸς ἁπάντων ἀμοιβὰς ἀντεκτινόντων ὑπὲρ ὧν εὖ πεπόνθεσαν ἐν
268 καιροῖς ἀβουλήτοις. ἡ δὲ φήμη ῥυεῖσα τὰς ἑξῆς πόλεις κατέπλησε τῆς ἐπὶ
τῷδε τῷ ἀνδρὶ εὐκλείας. ἔτη δὲ βιώσας δέκα πρὸς τοῖς ἑκατὸν ἐτελεύτησεν
εὔγηρως ἐπ' ἄκρον ἐλθὼν εὐμορφίας καὶ φρονήσεως καὶ λόγων δυνάμεως.
269 μαρτυρεῖ δὲ τὸ μὲν κάλλος τοῦ σώματος ἔρως ὃς ἐξέμηνεν | ἐπ' αὐτῷ p. 79 M.
γυναῖκα, τὴν δὲ σύνεσιν ἡ ἐν ταῖς ἀμυθήτοις τῶν κατὰ τὸν βίον ἀνωμαλίαις ὁμαλότης εὐαρμοστίαν τοῖς ἀναρμόστοις καὶ συμφωνίαν τοῖς ἐξ αὑτῶν ἀσυμφώνοις ἐργασαμένη, τὴν δὲ τῶν λόγων δύναμιν ἥ τε τῶν ὀνειράτων διάκρισις καὶ ἡ ἐν ταῖς ὁμιλίαις εὐέπεια καὶ ἡ παρακολουθήσασα πειθώ, δι' ἣν οὐδεὶς τῶν ἀρχομένων ἀνάγκῃ μᾶλλον ἢ ἑκὼν ὑπή-
270 κουε. τούτων δὲ τῶν ἐνιαυτῶν ἑπτακαίδεκα μὲν ἄχρι μειρακίου διέτριβεν
ἐν τῇ πατρῴᾳ οἰκίᾳ, τρισκαίδεκα δ' ἐν ταῖς ἀβουλήτοις συντυχίαις, ἐπιβουλευόμενος, πιπρασκόμενος, δουλεύων, συκοφαντούμενος, ἐν δεσμωτηρίῳ καταδούμενος, τοὺς δ' ἄλλους ὀγδοήκοντα ἐν ἡγεμονίᾳ καὶ εὐπραγίᾳ τῇ πάσῃ, λιμοῦ καὶ εὐθηνίας ἔφορος καὶ βραβευτὴς ἄριστος, τὰ πρὸς ἑκάτερον καιρὸν πρυτανεύειν ἱκανώτατος.

1 τούτοις CVBEKM θρασύνας F λόγοις om. CVBEKM 4 ἀνεκτεινόντων M, ἀντεκτιννύντων AO πεπόνθασιν VAOK[2] 5 ἐξ ἧς F 6 τῷδε om. F δέκα βιώσας transp. F 7 καὶ λόγων δυνάμεως om. F. 8 σώματος κάλλος (om. τοῦ) transp. AO 9 γυναῖκας CVAO τῶν om. V 9. 10 ἀνομαλίαις C 10. 11 ἐξ αὐτῶν om. HP (Turn.) 11 αὐτῶν codd. (Mang.) ἀφώνοις CV[1] ἐργασαμένω^{η} K 12 ὁμιλίαις] ὁμαλίαις G, ἀνωμαλίαις HP 13 δι' ἣν AO: διὸ M, δι' ὧν ceteri 14 μὲν om. C διέτριψεν CVBEKM 15 δὲ CV δυστυχίαις K 16 ἐν τῷ δεσμωτηρίῳ V 17 δὲ CA ἡγεμονεία H 18 λιμῶν CVBEM εὐθηνίας] εὐθηνοφορίας C, εὐθηνωρίας BEM 19 ἱκανότατος C † φίλωνος βίος σοφοῦ (sic) ὅπέρ ἐστιν ἰωσήφ † subscr. C

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΜΩΥΣΕΩΣ ΛΟΓΟΣ ΠΡΩΤΟΣ

II p. 80 M. (1.) Μωυσέως τοῦ κατὰ μέν τινας νομοθέτου τῶν Ἰουδαίων, κατὰ 1
δέ τινας ἑρμηνέως νόμων ἱερῶν, τὸν βίον ἀναγράψαι διενοήθην, ἀνδρὸς
τὰ πάντα μεγίστου καὶ τελειοτάτου, καὶ γνώριμον τοῖς ἀξίοις μὴ ἀγνοεῖν
αὐτὸν ἀποφῆναι. τῶν μὲν γὰρ νόμων τὸ κλέος, οὓς ἀπολέλοιπε, διὰ 2
πάσης τῆς οἰκουμένης πεφοιτηκὸς ἄχρι καὶ τῶν τῆς γῆς τερμάτων ἔφθακεν,
αὐτὸν δὲ ὅστις ἦν ἐπ' ἀληθείας ἴσασιν οὐ πολλοί, διὰ φθόνον ἴσως καὶ
ἐν οὐκ ὀλίγοις τῶν διατεταγμένων ὑπὸ τῶν κατὰ πόλεις νομοθετῶν
ἐναντίωσιν οὐκ ἐθελησάντων αὐτὸν μνήμης ἀξιῶσαι τῶν παρ' Ἕλλησι
λογίων· ὧν οἱ πλείους τὰς δυνάμεις ἃς ἔσχον διὰ παιδείας ὕβρισαν ἔν 3
p. 81 M. τε ποιήμασι καὶ τοῖς καταλογάδην | συγγράμμασι κωμῳδίας καὶ συβαριτικὰς ἀσελγείας συνθέντες, περιβόητον αἰσχύνην, οὓς ἔδει ταῖς φύσεσι καταχρήσασθαι πρὸς τὴν τῶν ἀγαθῶν ἀνδρῶν τε καὶ βίων ὑφήγησιν,

---

1. 2 Φίλωνος περὶ τοῦ βίου μωυσέως λόγος α' VK, φίλωνος περὶ τοῦ βίου μωσέως α' CM, περὶ βίου μωυσέως λόγος α' G, τοῦ αὐτοῦ περὶ τοῦ βίου μωυσέως λόγος α' P, φίλωνος περὶ τοῦ βίου μωσέως BEO, φίλωνος ἰουδαίου περὶ τοῦ βίου μωσέως A, φίλωνος περὶ τοῦ βίου μωσέως λόγος πρῶτος: θεολόγου καὶ προφήτου H, περὶ βίου μωυσέως λόγος πρῶτος: θεολογίας καὶ προφητείας L, φίλωνος ἰουδαίου περὶ βίου μωυσέως, ὅπερ ἐστὶ περὶ θεολογίας καὶ προφητείας, λόγος α' F² (= Turn.), tit. om. Z   3 μωυσέως KZ: μωσέος G, μωσέως ceteri   4 νόμων ἱερῶν ἑρμηνέως transp. VO   ἀναγράψασθαι Z, διαγράψαι BM   5 τὰ] τοῦ AG   ἀξίοις] ἀξιοῦσι coni. Mang.   6 ἀπολέλειπαν G   7 πεφοιτητικὸς K   alt. τῆς om. CEVOHP   πέφθακεν HP, ἔφθασεν KZ   8 δ' AG   ὥστις G   8. 9 καὶ ἐν K¹Z: ἢ τὴν ἐν HP(v), om. ceteri   9 ὀλίγοις] ὀλίγοι δὲ καὶ διὰ τὴν V²OK²   κατὰ τὰς πόλεις HP(v), κατὰ πόλιν KZ   10 καὶ add. ante ἐναντίωσιν BEMAG   11 λογίων] λόγων C   παιδιὰς G   12. 13 συβαριτικῆς AGHP

4 *Clem. Alex. Strom.* I 22 p. 411 P. οὗτος ὁ Μωυσῆς θεολόγος καὶ προφήτης, ὡς δέ τινες, νόμων ἱερῶν ἑρμηνεύς ἦν.

ἵνα μήτε τι καλὸν ἡσυχίᾳ παραδοθὲν ἀρχαῖον ἢ νέον ἀφανισθῇ λάμψαι
δυνάμενον μήτ' αὖ τὰς ἀμείνους ὑποθέσεις παρελθόντες τὰς ἀναξίους
ἀκοῆς προκρῖναι δοκῶσι σπουδάζοντες τὰ κακὰ καλῶς ἀπαγγέλλειν εἰς
4 ὀνειδῶν ἐπιφάνειαν. ἀλλ' ἔγωγε τὴν τούτων βασκανίαν ὑπερβὰς τὰ περὶ
τὸν ἄνδρα μηνύσω μαθὼν αὐτὰ κἀκ βίβλων τῶν ἱερῶν, ἃς θαυμάσια
μνημεῖα τῆς αὑτοῦ σοφίας ἀπολέλοιπε, καὶ παρά τινων ἀπὸ τοῦ ἔθνους
πρεσβυτέρων· τὰ γὰρ λεγόμενα τοῖς ἀναγινωσκομένοις ἀεὶ συνύφαινον καὶ
διὰ τοῦτ' ἔδοξα μᾶλλον ἑτέρων τὰ περὶ τὸν βίον ἀκριβῶσαι.

5 (2.) Ἄρξομαι δ' ἀφ' οὗπερ ἀναγκαῖον ἄρξασθαι. Μωυσῆς γένος
μέν ἐστι Χαλδαῖος, ἐγεννήθη δ' ἐν Αἰγύπτῳ καὶ ἐτράφη, τῶν προγόνων
αὐτοῦ διὰ πολυχρόνιον λιμόν, ὃς Βαβυλῶνα καὶ τοὺς πλησιοχώρους
ἐπίεζε, κατὰ ζήτησιν τροφῆς εἰς Αἴγυπτον πανοικὶ μεταναστάντων, γῆν
πεδιάδα καὶ βαθεῖαν καὶ πρὸς πάντα γονιμωτάτην, ὧν ἡ ἀνθρωπίνη
6 φύσις δεῖται, καὶ μάλιστα τὸν τοῦ σίτου καρπόν. ὁ γὰρ ταύτης ποταμὸς
θέρους ἀκμάζοντος, ἡνίκα τοὺς ἄλλους φασὶ μειοῦσθαι χειμάρρους τε
καὶ αὐθιγενεῖς, ἐπιβαίνων τε καὶ ἀναχεόμενος πλημμυρεῖ καὶ λιμνάζει
τὰς ἀρούρας, αἳ ὑετοῦ μὴ δεόμεναι φορᾶς ἀφθονίαν παντοίων ἀγαθῶν

1 τι] τὸ C τῇ ἡσυχίᾳ VO 2 δυνάμενον om. H^1P^1, ss. H^2P^2 αὖ τὰς] αὐτὰς EZ ἀναξίας CVO 3 δοκῶσι] δικαιῶσι coni. Mang. καλῶν C ἐπαγγέλλειν KZ εἰς] ὡς BEMAG 5 κἀκ] καὶ AG, ἐκ (om. καὶ) O βίβλον G 6 αὑτοῦ BE: αὐτοῦ ceteri ἀπολέλειπε G τινος G
ὕφαινον
7 ἀεὶ om. G συνεισέφαινον K 8 ἔδοξε C, ἔδειξα H^1 περὶ] πρὸς P 9 ἄρξασθαι ἀναγκαῖον transp. AG μωυσῆς M: μωσῆς ceteri γένος] γενόμενος P 10 ἐστιν ἑβραῖος AGHP(v), γρ. καὶ χαλδαῖος mg. A 11 βαβυλῶνος G τοὺς] τὰς Lyd. 12 ἐπίεζε K^1ZHP: ἐπίεσε ceteri μετανιστάντων H, μεταστάντων BMKZ γῆν] εἰς γῆν AG, εἰς τὴν CEVOK^2, εἰς τὴν corr. in γῆν B 13 παιδιάδα G ὧν] ὅσων HP(v) ἀνθρωπεία K^1Z 14 τῶν . . . καρπῶν VO 15 φασὶ τοὺς ἄλλους transp. CVOZ 16 ἐπιβαίνων τε καὶ ἀναχεόμενος om. BEMAG γυμνάζει G 17 αἳ] αἱ δ' HP(v) ὑετοῦ post φορᾶς transp. VO φορὰν ἀφθονίαν BEM, φόρον ἄφθονον KZ

9 *Clem. Alex. Strom.* I 23 p. 411 P. Μωυσῆς ἄνωθεν τὸ γένος Χαλδαῖος ὢν ἐν Αἰγύπτῳ γεννᾶται, τῶν προγόνων αὐτοῦ διὰ πολυχρόνιον λιμὸν ἐκ Βαβυλῶνος εἰς Αἴγυπτον μεταναστάντων. *Ps.-Iustin. Coh. ad gent.* 10 . . . οὗτοι (Φίλων τε καὶ Ἰώσηπος) γὰρ τὰς Ἰουδαίων ἱστοροῦντες πράξεις ἀπὸ μὲν τοῦ Χαλδαίων γένους γεγενῆσθαί φασι· τῶν δὲ προγόνων αὐτοῦ διὰ λιμοῦ πρόφασιν ἀπὸ τῆς Φοινίκης ἐπὶ τὴν Αἴγυπτον μεταναστάντων, ἐκεῖ τὸν ἄνδρα τετέχθαι φασίν. *Ioann. Lyd. de mens.* IV 47 (p. 103,17 Wuensch) . . . καὶ γὰρ ὁ Φίλων τὸν Μωυσέως βίον ἀναγράφων Χαλδαῖον εἶναι αὐτὸν λέγει, γεγενῆσθαι δὲ ἐν Αἰγύπτῳ, ὡς τῶν προγόνων αὐτοῦ ἐκεῖσε κατελθόντων διὰ λιμὸν κατασχόντα Βαβυλῶνα καὶ τὰς πλησιοχώρους.

ἀνὰ πᾶν ἔτος χορηγοῦσιν, εἰ μή που μεσολαβήσειεν ὀργὴ θεοῦ δι' ἐπι-
πολάζουσαν ἀσέβειαν τῶν οἰκητόρων. πατρὸς δὲ καὶ μητρὸς ἔλαχε τῶν 7
καθ' ἑαυτοὺς ἀρίστων, οὓς φυλέτας ὄντας ἡ ὁμοφροσύνη μᾶλλον
ᾠκείωσεν ἢ τὸ γένος. ἑβδόμη γενεὰ ⟨δ'⟩ οὗτός ἐστιν ἀπὸ τοῦ πρώτου,
ὃς ἐπηλύτης ὢν τοῦ σύμπαντος Ἰουδαίων ἔθνους ἀρχηγέτης ἐγένετο.
(3.) τροφῆς δ' ἠξιώθη βασιλικῆς ἀπ' αἰτίας τοιᾶσδε· τῆς χώρας ὁ 8
βασιλεύς, εἰς πολυανθρωπίαν ἐπιδιδόντος ἀεὶ τοῦ ἔθνους, δείσας μὴ οἱ
ἔποικοι πλείους γενόμενοι δυνατωτέρᾳ χειρὶ τοῖς αὐτόχθοσι περὶ κράτους
ἀρχῆς ἁμιλλῶνται, τὴν ἰσχὺν αὐτῶν ἀφαιρεῖν ἐπινοίαις ἀνοσιουργοῖς
p. 82 M. ἐμηχανᾶτο | καὶ κελεύει τῶν γεννωμένων τὰ μὲν θήλεα τρέφειν — ἐπεὶ
γυνὴ διὰ φύσεως ἀσθένειαν ὀκνηρὸν εἰς πόλεμον —, τὰ δ' ἄρρενα δια-
φθείρειν, ἵνα μὴ αὐξηθῇ κατὰ πόλεις· εὐανδροῦσα γὰρ δύναμις δυσάλωτον
καὶ δυσκαθαίρετον ἐπιτείχισμα. γεννηθεὶς οὖν ὁ παῖς εὐθὺς ὄψιν 9
ἐνέφαινεν ἀστειοτέραν ἢ κατ' ἰδιώτην, ὡς καὶ τῶν τοῦ τυράννου κηρυγ-
μάτων, ἐφ' ὅσον οἷόν τε ἦν, τοὺς γονεῖς ἀλογῆσαι· τρεῖς γοῦν φασι
μῆνας ἐφεξῆς οἴκοι γαλακτοτροφηθῆναι λανθάνοντα τοὺς πολλούς. ἐπεὶ 10
δ', οἷα ἐν μοναρχίαις φιλεῖ, καὶ τὰ ἐν μυχοῖς ἔνιοι διηρεύνων σπεύδοντες
ἀεί τι καινὸν ἄκουσμα προσφέρειν τῷ βασιλεῖ, φοβηθέντες μὴ σωτηρίαν
ἑνὶ μνώμενοι πλείους ὄντες αὐτοὶ σὺν ἐκείνῳ παραπόλωνται, δεδακρυμένοι

1 μή που CEAGHP: μήπω ceteri μεσολαβήση ἐν ὀργῇ L (Turn.) 2 ἔλαχε] ἔτυχε V²OKZ 4 ἑβδόμοις Z¹ δ' addidi 5 ἐπηλυτὴς C ἀρχηγενέτης (γέτης superscr.) K 8 ἔποικοι K¹ZHP: ἄποικοι ceteri τοῖς αὐτόχθοσι δυνατωτέρα χειρὶ transp. KZ 9 ὑφαιρεῖν KZ (fort. recte) 10 post τῶν add. μὲν AG γενομένων L (Turn.) 12 εὐανδροῦσα γὰρ] ἐπεὶ εὐανδροῦσα HP(v) 13 εὐθὺς om. BEMAG 14 ἐνέφηνεν HP(v) τοῦ τυράννου MAGK: τοῦ om. ceteri 15 ἀλγῆσαι P γοῦν HP: οὖν ceteri 16 ἐφεξῆς HP Clem.: ἑξῆς ceteri λανθάνον K, λανθάνων Z 17 ἔνιοι διηρεύνων HP: ἕτεροι διερευνᾶν ceteri 18 κοινὸν L (Turn.) 19 πλείονες HP παραπόλλωνται P, παραπόλλυνται H, προσαπόλωνται A(v), προσαπόλλωνται G

4 sqq. pergit *Clem. Alex. l. l.*: ἑβδόμῃ γενεᾷ γεννηθεὶς καὶ τραφεὶς βασιλικῶς περιστάσει κέχρηται τοιαύτῃ· εἰς πολυανθρωπίαν ἐπιδεδωκότων ἐν Αἰγύπτῳ τῶν Ἑβραίων, δείσας ὁ βασιλεὺς τῆς χώρας τὴν ἐκ τοῦ πλήθους ἐπιβουλὴν τῶν γεννωμένων ἐκ τῶν Ἑβραίων κελεύει τὰ μὲν θήλεα τρέφειν αὐτούς — ἀσθενὲς γὰρ εἰς πόλεμον γυνή —, διαφθείρειν δὲ τὰ ἄρρενα, εὐαλκῆ νεότητα ὑφορώμενος. εὐπατρίδην δὲ τὸν παῖδα ὄντα τρεῖς ἐφεξῆς κρύπτοντες ἔτρεφον μῆνας οἱ γονεῖς, νικώσης τῆς φυσικῆς εὐνοίας τὴν τυραννικὴν ὠμότητα· δείσαντες δὲ ὕστερον μὴ συναπόλωνται τῷ παιδί, ἐκ βύβλου τῆς ἐπιχωρίου σκεῦός τι ποιησάμενοι τὸν παῖδα ἐνθέμενοι ἐκτιθέασι παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ἑλώδους ὄντος· ἐπετήρει δὲ τὸ ἀποβησόμενον ἄπωθεν ἑστῶσα τοῦ παιδὸς ἡ ἀδελφή. 6 sqq. Exod. cap. 1. 2.

τὸν παῖδα ἐκτιθέασι παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ καὶ στένοντες ἀπῄεσαν,
οἰκτιζόμενοι μὲν αὑτοὺς τῆς ἀνάγκης αὐτόχειράς τε καὶ τεκνοκτόνους
ἀποκαλοῦντες, οἰκτιζόμενοι δὲ καὶ τὸν παῖδα τῆς παραλογωτάτης ἀπω-
11 λείας. εἶθ', ὡς εἰκὸς ἐν ἀλλοκότῳ πράγματι, κατηγόρουν αὑτῶν ὡς
μείζονος αἰτίων συμφορᾶς· „τί γὰρ“ ἔφασκον „εὐθὺς γεννώμενον οὐκ
ἐξεθήκαμεν; τὸν μὴ φθάσαντα τροφῆς ἡμέρου μεταλαχεῖν οὐδ' ἄνθρωπον
οἱ πολλοὶ νομίζουσιν· ἡμεῖς δ' οἱ περιττοὶ καὶ τρεῖς μῆνας ὅλους
ἀνεθρέψαμεν, δαψιλεστέρας μὲν ἑαυτοῖς ἀνίας, τῷ δὲ τιμωρίας ἐκπορί-
ζοντες, ἵν' ἡδονῶν καὶ ἀλγηδόνων ἐπὶ πλεῖστον ἀντιλαμβάνεσθαι δυνά-
12 μενος ἐν αἰσθήσει κακῶν ἀργαλεωτέρων διαφθείρηται.“ (4.) καὶ οἱ μὲν
ἀγνοίᾳ τοῦ μέλλοντος ἀπῄεσαν οἰκτρῷ κατεσχημένοι πένθει, ἀδελφὴ δὲ
τοῦ ἐκτεθέντος βρέφους ἔτι παρθένος ὑπὸ φιλοικείου πάθους μικρὸν ἄποθεν
ἐκαραδόκει τὸ ἀποβησόμενον· ἅ μοι δοκεῖ πάντα συμβῆναι κατὰ θεὸν
13 προμηθούμενον τοῦ παιδός. θυγάτηρ ἦν τῷ βασιλεῖ τῆς χώρας ἀγαπητὴ καὶ
μόνη· ταύτην φασὶ γεγαμημένην ἐκ πολλοῦ χρόνου μὴ κυΐσκειν τέκνων ὡς
εἰκὸς ἐπιθυμοῦσαν καὶ μάλιστα γενεᾶς ἄρρενος, ἣ τὸν εὐδαίμονα κλῆρον
τῆς πατρῴας ἡγεμονίας διαδέξεται κινδυνεύοντα ἐρημίᾳ θυγατριδῶν ἀλλο-
14 τριωθῆναι. κατηφοῦσαν δὲ ἀεὶ καὶ στένουσαν ὡς μάλιστα ἐκείνῃ τῇ

1 περὶ H (Turn.) 2 αὐτοὺς COMK[1]Z 4 εἰκὸς GHP: om. ceteri ἐν ἄλλω πράγματι ἀλλοκότω HP κατηγορούντων VO αὐτῶν CMK 5 ἔλεγον Z, ἔλεγον corr. in ἔφασκον K γεννώμενον VOKZAG[2]: γενόμενον ceteri 6 τὸν] τὰ M τὸν γὰρ μὴ AG ἡμέρου] ἡμετέρας corr. ex ἡμετέρου Z 7 ὅλους μῆνας transp. CVO, ὅλους om. A 8 ἀνεθρέψαμεν GH[2], ἀνεθρέψομεν (sic) H[1]P: ἐθρέψαμεν ceteri ἑαυτοῖς KZ: αὐτοῖς CMGH[1]P, αὐτοῖς ceteri 9 ἡδονῶν] ὀδυνῶν coni. Mang. 11 κατισχημένοι VOMA, κατησχημένοι G
εν
πάθει K, πάθει HP 12 ἔτι παρθένος GHP: om. ceteri φιλοικίου O, φιλονεικίου M ἀπῶθεν C, ἄποθεν (ο corr. ex ω) Z, ἄπωθεν (ω corr. ex ο) K, ἄπωθεν E 14 προμυθούμενον G post θυγάτηρ add. δὲ BMKZ, γὰρ CEVO 15 τοῦ χρόνου VOK[2] τέκνων GHP Clem.: om. ceteri 17 ἡγεμονίας GHP: εὐδαιμονίας καὶ ἡγεμονίας A(v), κληρονομίας καὶ ἡγεμονίας ceteri post κινδυνεύοντα add. ἤδη V[2]O 18 ἀεὶ K[1]ZH[2]: om. A, δὴ ceteri ὡς om. CVO

14 sqq. pergit *Clem. Alex.*: ἐνταῦθα ἡ θυγάτηρ τοῦ βασιλέως, συχνῷ χρόνῳ μὴ κυΐσκουσα, τέκνων δὲ ἐπιθυμοῦσα, ἐκείνης ἀφικνεῖται τῆς ἡμέρας ἐπὶ τὸν ποταμὸν λουτροῖς καὶ περιρραντηρίοις χρησομένη· ἐπακούσασα δὲ κλαυθμυριζομένου τοῦ παιδὸς κελεύει προσενεχθῆναι αὐτῇ καὶ κατοικτείρασα ζητεῖ τροφόν. ἐνταῦθα προσδραμοῦσα ἡ ἀδελφὴ τοῦ παιδὸς ἔχειν ἔφασκεν Ἑβραίαν γυναῖκα μὴ πρὸ πολλοῦ τετοκυῖαν, ἣν παραστήσειν αὐτῇ τροφόν, εἰ βούλοιτο· τῆς δὲ συνθεμένης καὶ δεηθείσης παρήνεγκε τὴν μητέρα τὴν τοῦ παιδὸς τροφὸν ἐσομένην ὥς τινα ἄλλην οὖσαν ἐπὶ ῥητῷ μισθῷ. εἶτα τίθεται τῷ παιδίῳ ὄνομα ἡ βασιλὶς Μωυσῆν ἐτύμως διὰ τὸ ἐξ ὕδατος ἀνελέσθαι αὐτό· τὸ γὰρ ὕδωρ μῶυ ὀνομάζουσιν Αἰγύπτιοι.

ἡμέρᾳ τῷ βάρει τῶν φροντίδων ἀπαγορεῦσαι καὶ δι' ἔθους ἔχουσαν οἴκοι καταμένειν καὶ μηδὲ τὰς κλισιάδας ὑπερβαίνειν ἐξορμῆσαι μετὰ θεραπαινίδων ἐπὶ τὸν ποταμόν, ἔνθα ὁ παῖς ἐξέκειτο· κἄπειτα λουτροῖς καὶ
p. 83 M. περιρραντηρίοις χρῆσθαι μέλλουσαν ἐν τῷ δασυτάτῳ τῶν ἑλῶν | αὐτὸν θεάσασθαι καὶ κελεῦσαι προσφέρειν. εἶτα ἀπὸ κεφαλῆς ἄχρι ποδῶν 15
καταθεωμένην τήν τε εὐμορφίαν καὶ εὐεξίαν ἀποδέχεσθαι καὶ δεδακρυμένον ὁρῶσαν ἐλεεῖν, ἤδη τῆς ψυχῆς τετραμμένης αὐτῇ πρὸς μητρῷον πάθος ὡς ἐπὶ γνησίῳ παιδί· γνοῦσαν δ' ὅτι τῶν Ἑβραίων ἐστὶ καταδεισάντων τοῦ βασιλέως τὸ πρόσταγμα βουλεύεσθαι περὶ τῆς τροφῆς αὐτοῦ· μὴ γὰρ ἀσφαλὲς εὐθὺς εἶναι νομίζειν εἰς τὰ βασίλεια ἄγειν. διαπορούσης δ' 16
ἔτι, τὴν ἀδελφὴν τοῦ παιδὸς καθάπερ ἀπὸ σκοπῆς τὸν ἐνδοιασμὸν στοχασαμένην πυνθάνεσθαι προσδραμοῦσαν, εἰ βουλήσεται γαλακτοτροφηθῆναι τοῦτον παρά γυναίῳ τῶν Ἑβραϊκῶν οὐ πρὸ πολλοῦ κυήσαντι· τῆς δὲ 17
βούλεσθαι φαμένης, τὴν αὑτῆς καὶ τοῦ βρέφους μητέρα παραγαγεῖν ὡς ἀλλοτρίαν, ἣν ἑτοιμότερον ἀσμένην ὑπισχνεῖσθαι πρόφασιν ὡς ἐπὶ μισθῷ τροφεύσειν, ἐπινοίᾳ θεοῦ τοῦ τὰς πρώτας τροφὰς τῷ παιδὶ γνησίας εὐτρεπίζοντος· εἶτα δίδωσιν ὄνομα θεμένη Μωυσῆν ἐτύμως διὰ τὸ ἐκ τοῦ ὕδατος αὐτὸν ἀνελέσθαι· τὸ γὰρ ὕδωρ μῶυ ὀνομάζουσιν Αἰγύπτιοι.

(5.) Ἐπεὶ δ' ἀθρόας ἐπιδόσεις καὶ παραυξήσεις λαμβάνων οὐ σὺν 18

2. 3 μετὰ τῶν θεραπαινίδων VO 4 μέλλουσαν — θεάσασθαι (5) om. H^{1}P, add. mg. H^2 αὐτὸ KZH^2 5 εἶτ' A 6 τ' A εὐμορφίαν καὶ εὐεξίαν GHP: εὐεξίαν καὶ εὐμορφίαν ceteri ἀποδέξασθαι K^{1}Z 8 γνοῦσαν GHP: γνοῦσα ceteri 9 τὸ τοῦ βασιλέως πρόσταγμα VO βουλεύεται KZ 10 εὐθὺς] αὐτῇ V, αὐτῇ OK^2 11 σκοπιῆς VOK^2, σκοπιᾶς G, σκοποῦ K^{1}ZH^2 τοῦ ἐνδοιασμοῦ coni. Mang.; sed cf. e. gr. I 19,9 13 τοῦτον scripsi: τοῦτο codd. (v) περὶ Z γυναίῳ τῶν ἑβραϊκῶν H^{1}P: γυναίῳ ἑβραϊκῷ K^{1}ZH^2, γυναίων ἑβραϊκῶν V^{2}OK^2, γυναικῶν ἑβραϊκῶν ceteri οὐ—κυήσαντι om. BEA κυήσαντι GHP: κυησάσῃ K^{1}Z, κυησασῶν C, κυησάντων ceteri 14 αὐτῆς EVOGH^2: αὑτῆς ceteri προσαγαγεῖν VO, παρα in προσ corr. K 15 ἣν GHPKZ: τὴν δ' V^{2}O, ὡς ceteri ἀσμένως KZH^2 ὑπισχνεῖται K^{1}Z πρόφασιν ὡς BEMA: πρόφασιν (om. ὡς) CVOK^2, προφάσει τοῦ GHPK^{1}Z 16 τροφεῦσιν C^{1}Z τοῦ K^{1}ZH^2: καὶ CVOK^{2}H^{1}P, om. BEMAG; fort. scribendum τοῦ καὶ 17 θεμένην V^{1}A μωσῆν codd. ἑτοίμως VG 18 ἀνελέσθαι] γενέσθαι A μῶυ Clem. Al.: μῶς codd. (v)

17 *Ioseph. Ant. Iud. II 228* . . . κἀπ' αὐτῶν τὴν ἐπίκλησιν ταύτην τῶν συμβεβηκότων ἔθετο εἰς τὸν ποταμὸν ἐμπεσόντι· τὸ γὰρ ὕδωρ μῶυ Αἰγύπτιοι καλοῦσιν, σῆς (ἐσῆς Niese) δὲ τοὺς [ἐξ ὕδατος] σωθέντας. cf. *c. Ap. I 286.* Hesych. μῶυ· τὸ ὕδωρ. Suid. μῶυ· τὸ ὕδωρ παρ' Αἰγυπτίοις, ἐξ οὗ καὶ Μωυσῆς.

λόγῳ τῷ κατὰ χρόνον θᾶττον δ' ἀπότιτθος γίνεται, παρῆν ἡ μήτηρ ἅμα καὶ τροφὸς κομίζουσα τῇ δούσῃ μηκέτι γαλακτοτροφίας δεόμενον.
19 εὐγενῆ καὶ ἀστεῖον ὀφθῆναι. τελειότερον δὲ τῆς ἡλικίας ἰδοῦσα κἀκ τῆς ὄψεως ἔτι μᾶλλον ἢ πρότερον σπάσασα εὐνοίας υἱὸν ποιεῖται τὰ περὶ τὸν ὄγκον τῆς γαστρὸς τεχνάσασα πρότερον, ἵνα γνήσιος ἀλλὰ μὴ ὑποβολιμαῖος νομισθῇ· πάντα δ' ἐξευμαρίζει θεὸς ἃ ἂν ἐθελήσῃ καὶ τὰ
20 δυσκατόρθωτα. τροφῆς οὖν ἤδη βασιλικῆς καὶ θεραπείας ἀξιούμενος οὐχ οἷα κομιδῇ νήπιος ἥδετο τωθασμοῖς καὶ γέλωσι καὶ παιδιαῖς, καίτοι τῶν τὴν ἐπιμέλειαν αὐτοῦ παρειληφότων ἀνέσεις ἔχειν ἐπιτρεπόντων καὶ μηδὲν ἐπιδεικνυμένων σκυθρωπόν, ἀλλ' αἰδῶ καὶ σεμνότητα παραφαίνων ἀκούσμασι καὶ θεάμασιν, ἃ τὴν ψυχὴν ἔμελλεν ὠφελήσειν, προσεῖχε.
21 διδάσκαλοι δ' εὐθὺς ἀλλαχόθεν ἄλλοι παρῆσαν, οἱ μὲν ἀπὸ τῶν πλησιοχώρων καὶ τῶν κατ' Αἴγυπτον νομῶν αὐτοκέλευστοι, οἱ δ' ἀπὸ τῆς Ἑλλάδος ἐπὶ μεγάλαις δωρεαῖς μεταπεμφθέντες· ὧν | ἐν οὐ μακρῷ p. 84 M.
χρόνῳ τὰς δυνάμεις ὑπερέβαλεν εὐμοιρίᾳ φύσεως φθάνων τὰς ὑφηγήσεις, ὡς ἀνάμνησιν εἶναι δοκεῖν, οὐ μάθησιν, ἔτι καὶ προσεπινοῶν αὐτὸς τὰ
22 δυσθεώρητα. πολλὰ γὰρ αἱ μεγάλαι φύσεις καινοτομοῦσι τῶν εἰς ἐπιστήμην· καὶ καθάπερ τὰ εὐεκτικὰ τῶν σωμάτων καὶ πᾶσι τοῖς μέρεσιν εὐκίνητα φροντίδων ἀπαλλάττει τοὺς ἀλείπτας οὐδὲν ἢ βραχέα παρέχοντας

1 δὲ KZH², δ' om. GH¹P 3 εὐγενῆ] εὐμεγέθη coni. Mang. κἀκ] καὶ A 4 ἔτι om. VO, post πρότερον transp. BEMA(V¹ ut vid.) σπάσασα εὐνοίας GHP (V¹ ut vid.): ἁπάσης εὐνοίας C, ἁπάσαις εὐνοίαις BEMA, ἁπάσαις ἐννοίαις KZ, πάσης ἀξιώσασα εὐνοίας V²O 6 εὐμαρίζει BMGK¹Z, ἐξευμαρίζει mg. BM ἃ om. H¹P ἐὰν VO, ἐὰν ex ἂν corr. K θελήσῃ VO, ἐθελήσει Z, ἐθελήσοι A 8 καὶ παιδιαῖς GHP: om. ceteri 9 τὴν om. AZ παρειληφότων] μεταλαχόντων A 10 ἐπιδεικνύμενον G παραφαῖνον G 11 προσῆχε G 13 τῶν om. BEMA νόμων CVOK¹Z, νομῶν om. BEMAG 15 ὑπερέβαλλεν KZ Barb., παρέβαλεν G 16 οὐ] ἢ BEMAKZ μάθησιν ex μαθήμασιν corr. K ἔτι GHP Barb.: ἀλλὰ ceteri αὐτοῖς K¹Z 17 κενοτομοῦσι P 17. 18 τῶν εἰς ἐπιστήμην GHP Barb.: om. ceteri

6 D^C fol. 126^v D^R fol. 120^r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Μωυσέως βίου: πάντα ἐξευμαρίζει θεὸς ἃ ἂν ἐθελήσῃ (θελήσῃ D^R) καὶ τὰ δυσκατόρθωτα. 7—127,1 Catena Barber. IV 56 fol. 104^r τοῦ αὐτοῦ ἐκ πρώτου λόγου τοῦ περὶ μωσέως βίου: φιλοσοφίας μὲν οὖν οὕτω κατακώχιμος γέγονε· τροφῆς γὰρ ἤδη — συνηχοῦντες. 7 sqq. *Ambros. Hexam. I 2,6* Moyses utique ille eruditus in omni sapientia Aegyptiorum, quem de flumine collectum filia Pharao ut filium dilexit et subsidiis regalibus fultum omnibus saecularis prudentiae disciplinis informari atque instrui desideravit. 17 *Clem. Alex. Strom. II 19 p. 482 P.* . . . αἱ γὰρ μεγάλαι φύσεις καὶ γυμναὶ παθῶν εὐστοχοῦσί πως περὶ τὴν ἀλήθειαν, ᾗ φησιν ὁ Πυθαγόρειος Φίλων τὰ Μωυσέως ἐξηγούμενος.

τῶν εἰς ἐπιμέλειαν, ὥσπερ καὶ γεωργοὺς τὰ εὔβλαστα καὶ εὐγενῆ δένδρα βελτιούμενα δι' ἑαυτῶν, τὸν αὐτὸν τρόπον εὐφυὴς ψυχὴ προαπαντῶσα τοῖς λεγομένοις ὑφ' αὑτῆς μᾶλλον ἢ τῶν διδασκόντων ὠφελεῖται καὶ λαβομένη τινὸς ἐπιστημονικῆς ἀρχῆς κατὰ τὴν παροιμίαν „ἵππος εἰς πεδίον“ ὁρμᾷ. ἀριθμοὺς μὲν οὖν καὶ γεωμετρίαν τήν τε ῥυθμικὴν καὶ 23 ἁρμονικὴν καὶ μετρικὴν θεωρίαν καὶ μουσικὴν τὴν σύμπασαν διά τε χρήσεως ὀργάνων καὶ λόγων τῶν ἐν ταῖς τέχναις καὶ διεξόδοις τοπικωτέραις Αἰγυπτίων οἱ λόγιοι παρεδίδοσαν καὶ προσέτι τὴν διὰ συμβόλων φιλοσοφίαν, ἣν ἐν τοῖς λεγομένοις ἱεροῖς γράμμασιν ἐπιδείκνυνται καὶ διὰ τῆς τῶν ζῴων ἀποδοχῆς, ἃ καὶ θεῶν τιμαῖς γεραίρουσι· τὴν δ' ἄλλην ἐγκύκλιον παιδείαν Ἕλληνες ἐδίδασκον, οἱ δ' ἐκ τῶν πλησιοχώρων τά τε Ἀσσύρια γράμματα καὶ τὴν τῶν οὐρανίων Χαλδαϊκὴν ἐπιστήμην. ταύτην καὶ παρ' Αἰγυπτίων ἀνελάμβανε μαθη- 24 ματικὴν ἐν τοῖς μάλιστα ἐπιτηδευόντων· καὶ τὰ παρ' ἀμφοτέροις ἀκριβῶς ἐν οἷς τε συμφωνοῦσι καὶ διαφέρονται καταμαθών, ἀφιλονείκως τὰς ἔριδας ὑπερβάς, τὴν ἀλήθειαν ἐζήτει, μηδὲν ψεῦδος τῆς διανοίας αὐτοῦ παραδέχεσθαι δυναμένης, ὡς ἔθος τοῖς αἱρεσιομάχοις, οἳ τοῖς προτεθεῖσι δόγμασιν ὁποῖα ἂν τύχῃ βοηθοῦσιν οὐκ ἐξετάζοντες, εἰ δόκιμα, τὸ δ' αὐτὸ δρῶντες τοῖς ἐπὶ μισθῷ συναγορεύουσι καὶ μηδὲν τοῦ δικαίου πεφροντικόσιν. (6.) ἤδη δὲ τοὺς ὅρους τῆς παιδικῆς ἡλικίας ὑπερβαίνων 25

---

1 καὶ pr. om. BEMA εὔπλαστα GHP εὐγενῆ GHPO: τὰ εὐγενῆ ceteri 2 δι' αὐτῶν C προαπαντῶσα GHP Barb.: προσυπαντῶσα VOK², προϋπαντῶσα ceteri 5 οὖν om. Barb. τήν τε GHPK¹Z Barb.: καὶ τήν τε ceteri 6 μερικὴν A, ἰατρικὴν Clem. Al., μετρικὴν om. P καὶ μουσικὴν καὶ θεωρίαν P 7. 8 τροπικωτέραις Barb., τροπηκοτέραις G 8 αἰγύπτιοι Barb. λόγοι MGHP παρέδοσαν HP(v) 9 φιλοσοφίαν] σοφίαν BMK¹Z, περιουσίαν VOK² ἐπιδείκνυται C 10 pr. καὶ] καὶ τὸν (τὴν?) coni. Mang. alt. καὶ GHP Barb.: om. ceteri 11 ἐδιδάσκαλον (sic) M οἱ] ὁ C 12 τ' KZ 13 ἐλάμβανε A(v), παρελάμβανε Z 15 διαφερόντως Z 15. 16 τὰς ἔριδας om. G 16 ἐπεζήτει BEMAKZ(v) 17 αἱρεσιάρχαις GHP Barb. προστεθεῖσι Z 18 τύχῃ AG Barb.: τύχοι ceteri 18. 19 ταυτὸ (om. δ') C 20 δὲ καὶ G παιδικῆς] βρεφικῆς A(v)

---

5 seqq. *Clem. Alex. Strom. I 23 p. 413 P.* . . . ἐν δὲ ἡλικίᾳ γενόμενος ἀριθμητικήν τε καὶ γεωμετρίαν, ῥυθμικήν τε καὶ ἁρμονικήν, ἔτι τε ἰατρικὴν ἅμα καὶ μουσικὴν παρὰ τοῖς διαπρέπουσιν Αἰγυπτίων ἐδιδάσκετο, καὶ προσέτι τὴν διὰ συμβόλων φιλοσοφίαν, ἣν ἐν τοῖς ἱερογλυφικοῖς γράμμασιν ἐπιδείκνυ⟨ν⟩ται, τὴν δὲ ἄλλην ἐγκύκλιον παιδείαν Ἕλληνες ἐδίδασκον ἐν Αἰγύπτῳ ὡς ἂν βασιλικὸν παιδίον, ᾗ φησι Φίλων ἐν τῷ Μωυσέως βίῳ. προσεμάνθανε δὲ τὰ Αἰγυπτίων (leg. Ἀσσυρίων) γράμματα καὶ τὴν τῶν οὐρανίων ἐπιστήμην παρά τε Χαλδαίων παρά τε Αἰγυπτίων.

ἐπέτεινε τὴν φρόνησιν, οὐχ ὡς ἔνιοι τὰς μειρακιώδεις ἐπιθυμίας ἀχα-
λινώτους ἐῶν καίτοι μυρία ἐχούσας ὑπεκκαύματα διὰ παρασκευὰς
ἀφθόνους, ἃς αἱ βασιλεῖαι χορηγοῦσιν. ἀλλὰ σωφροσύνῃ καὶ καρτερίᾳ
ὥσπερ τισὶν ἡνίαις ἐνδησάμενος αὐτὰς τὴν εἰς τὸ πρόσω φορὰν ἀνεχαίτιζε
26 βίᾳ. καὶ τῶν ἄλλων μέντοι παθῶν ἕκαστον ἐξ ἑαυτοῦ μεμηνὸς καὶ
λελυττηκὸς φύσει τιθασεύων κἀξημερῶν ἐπράυνεν· εἰ δέ που διακινηθείη
μόνον ἡσυχῇ καὶ πτερύξαιτο, κολάσεις ἐμβριθεστέρας παρείχετο ἢ διὰ
λόγων | ἐπιπλήξεις· καὶ συνόλως τὰς πρώτας τῆς ψυχῆς ἐπιβολάς τε καὶ p. 85 M.
ὁρμὰς ὡς ἀφηνιαστὴν ἵππον ἐπετήρει δεδιώς, μὴ προεκδραμοῦσαι τοῦ
ἡνιοχεῖν ὀφείλοντος λογισμοῦ πάντα διὰ πάντων συγχέωσιν· αὗται γάρ
εἰσιν αἱ ἀγαθῶν αἴτιαι καὶ κακῶν, ἀγαθῶν μέν, ὅταν ἡγεμόνι λόγῳ
27 πειθαρχῶσι, τῶν δ' ἐναντίων, ὅταν εἰς ἀναρχίαν ἐκδιαιτῶνται. κατὰ τὸ
εἰκὸς οὖν οἵ τε συνδιατρίβοντες καὶ οἱ ἄλλοι πάντες ἐτεθήπεσαν, ὡς
ἐπὶ καινῷ θεάματι καταπληττόμενοι καὶ τίς ἄρα ὁ ἐνοικῶν αὐτοῦ τῷ
σώματι καὶ ἀγαλματοφορούμενος νοῦς ἐστι, πότερον ἀνθρώπειος ἢ θεῖος
ἢ μικτὸς ἐξ ἀμφοῖν, διερευνώμενοι, τῷ μηδὲν ἔχειν τοῖς πολλοῖς
28 ὅμοιον, ἀλλ' ὑπερκύπτειν καὶ πρὸς τὸ μεγαλειότερον ἐξῆρθαι. γαστρί
τε γὰρ ἔξω τῶν ἀναγκαίων δασμῶν, οὓς ἡ φύσις ἔταξεν, οὐδὲν πλέον
ἐχορήγει, τῶν τε ὑπογαστρίων ἡδονῶν εἰ μὴ μέχρι σπορᾶς παίδων
29 γνησίων οὐδὲ ἐμέμνητο. γενόμενός τε διαφερόντως ἀσκητὴς ὀλιγοδεείας
καὶ τὸν ἁβροδίαιτον βίον ὡς οὐδεὶς ἕτερος χλευάσας — ψυχῇ γὰρ
ἐπόθει μόνῃ ζῆν, οὐ σώματι — τὰ φιλοσοφίας δόγματα διὰ τῶν καθ'
ἑκάστην ἡμέραν ἔργων ἐπεδείκνυτο, λέγων μὲν οἷα ἐφρόνει, πράττων
δὲ ἀκόλουθα τοῖς λεγομένοις εἰς ἁρμονίαν λόγου καὶ βίου, ἵν' οἷος ὁ
λόγος τοιοῦτος ὁ βίος καὶ οἷος ὁ βίος τοιοῦτος ὁ λόγος ἐξετάζωνται

1 post ἐπέτεινε add. καὶ GHP 2 ἐχούσης A (Turn.) 4 ἐνδυσάμενος P Barb. αὐταῖς Z 5 μέν τι G μεμηνὼς G 6 τιθασεύων CG: τιθασσεύων ceteri καὶ ἐξημερῶν GPKZ Barb. δέ ⟨τι⟩ coni. Mang. διακινηθῇ H¹P 7 ἐκβριθεστέρας G 7. 8 ἢ . . . ἐπιπλήξεις GHP Barb.: ἡ . . . ἐπίπληξις ceteri 8 τῆς ψυχῆς om. KZ ἐπιβουλὰς P 9 προεκδραμοῦσι H 10 συγχύσωσιν BEMA 11 αἴτιαι BMK¹ZHP: αἰτίαι ceteri 14 ἄρα] ἂν P 15 ἀνθρώπιος CMG (ἀνθρώπινος Barb.) 17 ἐξῆρθαι AGHPK¹Z Barb.: ἐξῆλθε BEM, ἐξελθεῖν CVOK² 18 πλέον GHP Barb.: om. ceteri 19. 20 γνησίων σπορᾶς παίδων transp. CVO Barb. 20 γνησίων om. A οὐδ' A, οὐδὲν HPKZ τε] δὲ BEMA ὀλιγοδείας CAHP, ὀλιγοδείας MO 21 βί^{ον}οτον K οὐδεὶς] οὐδ' εἴ τις Barb. 22 ἐπεπόθει GHP Barb. μόνον ζῆν BEM, ζῆν μόνον A 23 ἔργων ἡμέραν transp. BEMAVO ἔργον Z ἐπεδείκνυτο ἔργων transp. C 24 βίου καὶ λόγου transp. G 25 βίος et λόγος tum λόγος et βίος transp. KZ ἐξετάζωνται AHV²O Barb.: ἐξετάζων τὲ ceteri

καθάπερ ἐν ὀργάνῳ μουσικῷ συνηχοῦντες. οἱ μὲν οὖν πολλοί, κἂν 30
αὐτὸ μόνον αὔρα βραχεῖά τινος εὐτυχίας προσπέσῃ, φυσῶσι καὶ πνέουσι
μεγάλα καὶ καταλαζονευόμενοι τῶν ἀφανεστέρων καθάρματα καὶ παρεν-
οχλήματα καὶ γῆς ἄχθη καὶ ὅσα τοιαῦτα ἀποκαλοῦσιν, ὥσπερ τὸ ἀκλινὲς
τῆς εὐπραγίας ἐν βεβαίῳ παρ' ἑαυτοῖς εὖ μάλα σφραγισάμενοι μηδὲ
μέχρι τῆς ὑστεραίας ἴσως διαμενοῦντες ἐν ὁμοίῳ. τύχης γὰρ ἀσταθ- 31
μητότερον οὐδὲν ἄνω καὶ κάτω τὰ ἀνθρώπεια πεττευούσης, ἣ μιᾷ πολ-
λάκις ἡμέρᾳ τὸν μὲν ὑψηλὸν καθαιρεῖ, τὸν δὲ ταπεινὸν μετέωρον
ἐξαίρει· καὶ ταῦτα ὁρῶντες ἀεὶ γινόμενα καὶ σαφῶς εἰδότες ὅμως ὑπερ-
όπται μὲν οἰκείων καὶ φίλων εἰσί, νόμους δὲ παραβαίνουσι, καθ' οὓς
ἐγενήθησαν καὶ ἐτράφησαν, ἔθη δὲ πάτρια, οἷς μέμψις οὐδεμία πρόσεστι
δικαία, κινοῦσιν ἐκδεδιῃτημένοι καὶ διὰ τὴν τῶν παρόντων ἀποδοχὴν
οὐδενὸς ἔτι τῶν ἀρχαίων μνήμην λαμβάνουσιν. (7.) ὁ δὲ ἐπ' αὐτὸν 32
φθάσας τὸν ὅρον τῆς ἀνθρωπίνης εὐτυχίας καὶ θυγατριδοῦς μὲν τοῦ
τοσούτου βασιλέως νομισθείς, τῆς δὲ παππῴας ἀρχῆς ὅσον οὐδέπω
p. 86 M. γεγονὼς ἐλπίσι | ταῖς ἁπάντων διάδοχος καὶ τί γὰρ ἄλλ' ἢ ὁ νέος
βασιλεὺς προσαγορευόμενος, τὴν συγγενικὴν καὶ προγονικὴν ἐζήλωσε
παιδείαν, τὰ μὲν τῶν εἰσποιησαμένων ἀγαθά, καὶ εἰ λαμπρότερα
καιροῖς, νόθα εἶναι ὑπολαβών, τὰ δὲ τῶν φύσει γονέων, εἰ καὶ πρὸς
ὀλίγον ἀφανέστερα, οἰκεῖα γοῦν καὶ γνήσια· καθάπερ τε κριτὴς ἀδέκαστος 33
τῶν γεννησάντων καὶ τῶν εἰσποιησαμένων τοὺς μὲν εὐνοίᾳ καὶ τῷ
φιλεῖν ἐκθύμως τοὺς δ' εὐχαριστίαις ἀνθ' ὧν εὖ ἔπαθεν ἠμείβετο καὶ
μέχρι παντὸς ἠμείψατ' ἄν, εἰ μὴ κατεῖδεν ἐν τῇ χώρᾳ μέγα καινουρ-
γηθὲν ὑπὸ τοῦ βασιλέως ἀσέβημα. ξένοι γὰρ ἦσαν, ὡς ἔφην πρότερον, 34
οἱ Ἰουδαῖοι, τῶν τοῦ ἔθνους ἀρχηγετῶν διὰ λιμὸν ἀπορίᾳ τροφῆς ἐκ

---

1 συνηχοῦντες AHPV²O Barb.: συνηχοῦντας ceteri 2 αὐτῷ Z μόνῳ G βραχείας A (prob. Mang.) τινος] τις K¹Z 3 pr. καὶ G (coni. Mang.): om. ceteri alt. καὶ GHP: τε καὶ ceteri 4 ἄχθη GHP: ἄχθος ceteri (prob. Mang.) 5 ἑαυτοῖς KZ: αὐτοῖς VOH, αὑτοῖς ceteri οἱ μηδὲ Z (fort. recte) 7 οὐδὲ ἓν CVOK² τἀνθρώπια O, τὰ ἀνθρώπια CG, τὰ ἀνθρώπινα A ἢ μιᾷ C, ἡ μία GH(v prob. Wendl., v. Test.) 8 ὑψηλότερον VOK² ταπεινότερον VOK² 9 pr. καὶ om. KZ 10 οἰκείων] ἐκείνων Turn. 11 ἤθη Turn. πατρῷα M 13 δ' CGHPKZ 15 πατρῴας HP (Turn.) 15. 16 γεγονὼς ὅσον οὐδέπω transp. G 16 ὁ om. M 18 καὶ] κἂν coni. Mang. 20 καὶ καθάπερ KZ τε GHP: τις ceteri 21 τῷ] τὸ G 22 ἐκθύμως] προθύμως BEMA (Mang.) δὲ VO ἀνθῶν CZ 23 ἠμείψαιτ' Z, ἠμείβετ' M

---

4 „ἄχθος ἀρούρης" Hom. Il. Σ 104. Od. υ 379 7—9 Eur. frg. 420 N. cf. ad vol. III 237,21

Βαβυλῶνος καὶ τῶν ἄνω σατραπειῶν εἰς Αἴγυπτον μεταναστάντων, καὶ
τρόπον τινὰ ἱκέται καταπεφευγότες ὡς ἐπ' ἄσυλον ἱερὸν τήν τε βασι-
35 λέως πίστιν καὶ τὸν ἀπὸ τῶν οἰκητόρων ἔλεον. οἱ γὰρ ξένοι παρ' ἐμοὶ
κριτῇ τῶν ὑποδεξαμένων ἱκέται γραφέσθωσαν, μέτοικοι δὲ πρὸς ἱκέταις
καὶ φίλοι, σπεύδοντες εἰς ἀστῶν ἰσοτιμίαν καὶ γειτνιῶντες ἤδη πολίταις,
36 ὀλίγῳ τῶν αὐτοχθόνων διαφέροντες. τούτους οὖν, οἳ τὴν μὲν οἰκείαν
ἀπέλιπον, εἰς δ' Αἴγυπτον ἧκον ὡς ἐν δευτέρᾳ πατρίδι μετ' ἀσφαλείας
οἰκήσοντες, ὁ τῆς χώρας ἡγεμὼν ἠνδραποδίζετο καὶ ὡς πολέμου νόμῳ
λαβὼν αἰχμαλώτους ἢ πριάμενος παρὰ δεσποτῶν, οἷς ἦσαν οἰκότριβες,
ὑπήγετο καὶ δούλους ἀπέφαινε τοὺς οὐκ ἐλευθέρους μόνον ἀλλὰ καὶ
ξένους καὶ ἱκέτας καὶ μετοίκους οὔτε αἰδεσθεὶς οὔτε δείσας τὸν ἐλευ-
θέριον καὶ ξένιον καὶ ἱκέσιον καὶ ἐφέστιον θεόν, ὃς τῶν τοιούτων ἐστὶν
37 ἔφορος. εἶτ' ἐπιτάγματα ἐπέταττε βαρύτερα τῆς δυνάμεως ἄλλους
ἐπ' ἄλλοις πόνους προστιθείς, καὶ τοῖς ἀπαγορεύουσιν ὑπ' ἀσθενείας
ὁ σίδηρος εἵπετο· ἐπιστάτας ⟨γὰρ⟩ τῶν ἔργων ἀνηλεεστάτους καὶ ὠμοθύμους
οὐδενὶ συγγνώμης μεταδιδόντας ᾑρεῖτο, οὓς „ἐργοδιώκτας“ (Exod. 3,7 al.)
38 ἀπὸ τοῦ συμβεβηκότος ὠνόμαζον. εἰργάζοντο δ' οἱ μὲν πηλὸν εἰς πλίνθον
σχηματίζοντες, οἱ δὲ πανταχόθεν ἄχυρα συγκομίζοντες — πλίνθου γὰρ
ἄχυρα δεσμός —, οἱ δ' ἦσαν ἀποτεταγμένοι πρὸς οἰκιῶν καὶ τειχῶν καὶ
πόλεων κατασκευὰς καὶ διωρύχων ἀνατομάς, ὑλοφοροῦντες αὐτοὶ μεθ'
ἡμέραν καὶ νύκτωρ ἄνευ διαδοχῆς, οὐδεμίαν ἔχοντες ἀνάπαυλαν, ἀλλ'
οὐδ' ὅσον καταδαρθεῖν αὐτὸ μόνον ἐώμενοι. | πάντα καὶ τὰ τῶν δημιουργῶν p. 87 M.
καὶ τὰ τῶν ὑπουργῶν δρᾶν ἀναγκαζόμενοι, ὡς ἐν βραχεῖ τὰ σώματα αὐτοῖς

1 μεταστάντες A 2 καταπεφευκότες M, καταπεφευγότων C τε GHP: om. ceteri 3 τὸν] τῶν G 4 ὑποδεχομένων K[1]Z ἱκέται] δεσπόται D[R] ἱκέταις AKZ: οἰκέταις HP, οἰκέτας V[2]O, ἱκέτας ceteri 5 φίλοις HP 6 ὀλίγον M οὖν om. BEMA τὴν] γῆν coni. Mang. οἰκίαν L (Turn.) 7 ἀπέλειπον K ἦλθον in textu O, γρ. ἧκον mg. O μετὰ BEMAKZ 8 ὡς] ὡσεὶ G, ὡς ἢ HP(v) 10 καὶ τοὺς G 11 οἰκέτας E οὔτ' KZ 12 καὶ ξένιον om. HP καὶ ἐφέστιον om. HP 13 ἐπιτάγματ' C 14 ἄλλους M πόνοις GO 15 ὁ σίδηρος εἵπετο GHP: om. ceteri γὰρ add. Mang. ἀνηλεῶς ἔχοντας HP καὶ ὠμοθύμους om. HP 16 συγγνώμην Z 17 δὲ A πλίνθον G[2], πλῆθος G[1] 18 οἱ — συγκομίζοντες om. M 19 ἔνδεσμος HP τοιχῶν B, τοίχων MZ, τοίχων corr. in τειχῶν K 20 διωρύγων O 20. 21 καθ' ἡμέραν G 21 ἄνευ G[2], ἄνω G[1] 22 μόνον αὐτὸ transp. H[1]P καὶ om. M 23 pr. τὰ om. O δρᾶν om. HP, post ἀναγκαζόμενοι ss. P[2] αὐτῶν K[1]Z

3. 4 D[P] fol. 246[r] D[M] fol. 250[v] Φίλωνος ἐκ τοῦ περὶ Μωυσέως βίου D[R] fol. 217[v] Φίλωνος: οἱ ξένοι παρ' ἐμοὶ κριτῇ τῶν ὑποδεξαμένων ἱκέται γραφέσθωσαν.

ἀπαγορεύειν, ἅτε καὶ τῆς ψυχῆς προαναπιπτούσης. ἄλλοι γοῦν ἐπ' 39
ἄλλοις ἐξέθνῃσκον ὡς ὑπὸ λοιμώδους φθορᾶς. οὓς ἀτάφους ἔξω τῶν
ὁρίων ἀπερρίπτουν οὐδὲ κόνιν ἐπαμήσασθαι τοῖς σώμασιν ἐῶντες ἀλλ'
οὐδὲ δακρῦσαι συγγενεῖς ἢ φίλους οὕτως οἰκτρῶς διαφθαρέντας· ἀλλὰ
καὶ τοῖς ἀδουλώτοις πάθεσι τῆς ψυχῆς, ἃ μόνα σχεδὸν ἐξ ἁπάντων
ἐλεύθερα ἡ φύσις ἀνῆκε, δεσποτείαν ἐπηπείλουν οἱ ἀσεβεῖς ἀνάγκης
ἀνυποίστῳ βάρει δυνατωτέρας πιέζοντες. (8.) ἐπὶ δὴ τούτοις ἀθυμῶν 40
καὶ δυσχεραίνων διετέλει μήτ' ἀμύνασθαι τοὺς ἀδικοῦντας μήτε βοηθεῖν
τοῖς ἀδικουμένοις ἱκανὸς ὤν· ἃ δ' οἷός τε ἦν, διὰ λόγων ὠφέλει
παραινῶν τοῖς μὲν ἐφεστῶσι μετριάζειν καὶ τὸ σφοδρὸν τῶν ἐπιταγμάτων
ὑπανιέναι καὶ χαλᾶν, τοῖς δ' ἐργαζομένοις φέρειν τὰ παρόντα γενναίως
ἄνδρας τε εἶναι τὰ φρονήματα καὶ μὴ συγκάμνειν τὰς ψυχὰς τοῖς
σώμασιν, ἀλλὰ χρηστὰ προσδοκᾶν ἐκ πονηρῶν· πάντα γὰρ μεταβάλλειν 41
τὰ ἐν κόσμῳ πρὸς τἀναντία, νέφωσιν εἰς αἰθρίαν, πνευμάτων βίας εἰς
ἀέρα νήνεμον, κλύδωνα θαλάττης εἰς ἡσυχίαν καὶ γαλήνην, τὰ δ' ἀνθρώ-
πεια καὶ μᾶλλον, ὅσῳ καὶ ἀσταθμητότερα. τοιούτοις κατεπᾴδων ὥσπερ 42
ἀγαθὸς ἰατρὸς ᾤετο τὰς νόσους καίτοι βαρυτάτας οὔσας ἐπικουφιεῖν· αἱ
δ' ὁπότε λωφήσειαν, αὖθις ἐκ περιτροπῆς ἐπετίθεντο φέρουσαί τι πάντως
ἐκ τοῦ διαπνεῦσαι καινὸν κακὸν ἀργαλεώτερον τῶν προτέρων. ἦσαν γάρ 43
τινες τῶν ἐφεστηκότων ἀτίθασοι σφόδρα καὶ λελυττηκότες, μηδὲν εἰς
ἀγριότητα τῶν ἰοβόλων καὶ σαρκοβόρων διαφέροντες, ἀνθρωποειδῆ θηρία,
τὴν τοῦ σώματος μορφὴν εἰς δόκησιν ἡμερότητος ἐπὶ θήρᾳ καὶ ἀπάτῃ
προβεβλημένοι, σιδήρου καὶ ἀδάμαντος ἀπειθέστεροι. τούτων ἕνα τὸν 44
βιαιότατον, ἐπειδὴ πρὸς τῷ μηδὲν ἐνδιδόναι καὶ ταῖς παρακλήσεσιν ἔτι

1 ἅτε om. CVO, ἅτε καὶ om. BEMA προσαναπιπτούσης Z 1. 2 ὑπ' ἄλλοις Z 2 ἀπέθνησκον BEMAK¹Z, ἐπέθνησκον O 3 ὁρίων GHP: ὅρων ceteri ἀπέρριπτον MA, ἐρρίπτουν K¹Z 5 τοῖς ψυχῆς A, τοῖς ψυχοῖς (sic) P μόνον VG 6 δεσποτίαν G 7 δυνατωτέρως O πιαίζοντες P ἐπὶ δὴ corr. in ἐπειδὴ K, ἐπειδὴ BEM, ἐπὶ δὴ om. in textu VO, γρ. ἐπειδὴ τούτοις mg. VO 8 τοὺς ἀδικοῦντας μήτε βοηθεῖν om. BEMAVO 9 γρ. τὰ ἀδικούμενα mg. VOK δὲ A, δ' om. BEMKZ τ' CAHP 12 συγκάμνειν ⟨ἐᾶν⟩ conicio 13 μεταβάλλει BEMA 14 ἐν κόσμω GHP: ἐν τῶ κόσμω ceteri νέφωσις BEA βία BEA, βίαν K¹Z 15 κλύδων BEA εἰς om. H¹P 15. 16 ἀνθρώπια C 16 ὅσω καὶ GHP: ὅσωπερ ceteri τοιούτοις GHP: τούτοις ceteri 17 ᾤετο GHPKZ: ἰᾶτο ceteri ἐπικουφίζειν HP 18 ὁπότε] εἴ ποτε coni. Mang. παρατροπῆς VO ἐπιτίθεντο M 19 post ἀργαλεώτερον add. τῶν πόνων HP(v) γάρ om. M 20 ἀτίθασοι CHP: ἀτίθασσοι ceteri 22 θήραν καὶ ἀπάτην M 23 περιβεβλημένοι coni. Mang. τὸν] τῶν G 24 τῷ] τὸ CBEMAG ἔτι om. BMVOKZ

μᾶλλον ἐξετραχύνετο, τοὺς τὸ προσταχθὲν μὴ ἀπνευστὶ καὶ ὀξυχειρίᾳ
δρῶντας τύπτων, προπηλακίζων ἄχρι θανάτου, πάσας αἰκιζόμενος αἰκίας,
ἀναιρεῖ δικαιώσας εὐαγὲς εἶναι τὸ ἔργον· καὶ ἦν εὐαγὲς τὸν ἐπ' ὀλέθρῳ
45 ζῶντα ἀνθρώπων ἀπόλλυσθαι. ταῦτ' ἀκούσας ὁ βασιλεὺς ἠγανάκτει
δεινὸν ἡγούμενος, οὐκ εἴ τις τέθνηκεν ἢ ἀνῄρηκεν ἀδίκως ἢ δικαίως,
ἀλλ' εἰ ὁ θυγατριδοῦς αὐτῷ μὴ συμφρονεῖ μηδὲ τοὺς αὐτοὺς ἐχθροὺς
καὶ φίλους ὑπείληφεν, ἀλλὰ μισεῖ μὲν οὓς αὐτὸς στέργει, φιλεῖ δὲ οὓς
προβέβληται καὶ ἐλεεῖ πρὸς οὓς ἀτρέπτως καὶ ἀπαραιτήτως ἔχει.
46 (9.) | λαβόμενοι δ' ἅπαξ ἀφορμῆς οἱ ἐν τέλει καὶ τὸν νεανίαν ὑφορώ- p. 88 M.
μενοι — ᾔδεσαν γὰρ μνησικακήσοντα τῶν ἀνοσιουργημάτων αὐτοῖς καὶ
ἐπὶ καιρῶν ἀμυνούμενον — ἀναπεπταμένοις ὠσὶ τοῦ πάππου μυρίας
διαβολὰς ἐπήντλουν, οἱ μὲν ἔνθεν, οἱ δ' ἔνθεν, ὡς καὶ περὶ ἀφαιρέσεως
τῆς ἀρχῆς ἐμποιῆσαι δέος, „ἐπιθήσεται“ λέγοντες, „οὐδὲν φρονεῖ μικρόν,
ἀεί τι προσπεριεργάζεται, πρὸ καιροῦ βασιλείας ἐρᾷ, θωπεύει τινάς, ἑτέροις
ἀπειλεῖ, κτείνει χωρὶς δίκης, τοὺς μάλιστ' εὔνους σοι προβέβληται. τί
δὴ μέλλεις, ἀλλ' οὐχ ἃ διανοεῖται δρᾶν ὑποτέμνεις; μέγα τοῖς ἐπι-
47 θεμένοις αἱ τῶν ἐπιβουλευομένων ἀναβολαί.“ τοιαῦτα διεξιόντων, ὑπαν-

1 ἐξετραχύνετο GHP: ἐτραχύνετο ceteri   πραχθὲν B^1, προσταχθὲν corr. m. rec.
2 πάσας . . . αἰκίας codd.: πάσαις . . . αἰκίαις v   αἰτίας G   3 ἀνήρει H
δικαιώσας scripsi: δικάσας codd.   pr. εὐαγὲς] εὐγενὲς G   4 ἄνθρωπον G
ταῦτα CM, καὶ τοῦτο Cat.   5 ἀνήρηται VO   6 συμφρονῇ AVO, συμφωνεῖ P
μηδὲ] μὴ A   αὐτοὺς om. H^1P   7 αὐτὸς om. CVOG Cat.   8 ἀποβέβληται
Cat.   post ἐλεεῖ add. τοὺς Cat. codd. nonnulli   ἀστόργως καὶ ἀπαρακλήτως
V^2OK^3 9 δὲ Cat.   νεανίσκον H(v)   10 ᾔδεσαν—πάππου (11) om. Cat.
ᾔδεισαν codd. (ᾔδεσαν scripsi): ἔδεισαν Mang.   μνησικακήσαντα AHP   11 ἐπὶ
καιρῶν CVOHP: ἐπὶ καιρὸν ceteri   ἀμυνούμενοι M, ἀμυνόμενον CVO
12 δὲ Cat.   ἀφηρήσεως H^1P   13 ἐπιθήσονται (ε supra ο) G   15 μάλιστα VO
16 μέλλῃς C, μέλεις KZ   ὑποτέμνεις BM (τεμ in ras. B): ὑπομένεις EA, ὑπομένειν
G, ὑπομένει VOHPKZ, ὑποφέρῃς C   16. 17 ἐπιτιθεμένοις V^2OK^2 17 αἱ τῶν
GHPKZ: om. ceteri   βεβουλευμένων G   ταῦτα C   17. 131.1 ὑπανεχώρησεν
GHP Cat.: ἀνεχώρησεν ceteri

3—17 Catena in Exod. 2,12 (cf. Caten. Lips. I p. 565. 567) Φίλωνος ἑβραίου: τὸν ἀναιρεθέντα Αἰγύπτιον ἐπιστάτην φημὶ (φησὶ codd. nonnulli) τῶν ἔργων ὑπάρχειν ὠμότατον. ἦν γὰρ εὐαγὲς — οἱ δὲ ἔνθεν (12)· καὶ τοιαῦτα διεξιόντων ὑπανεχώρησεν (17).
3—12 *Procop. Gaz. Comment. in Exod. 2,12* (Migne t. 87,1 Col. 519. 520. Wendland Neu entd. Fragm. Philos p. 93): ζηλώσας ἀπέκτεινε τὸν Αἰγύπτιον, ὥς φασί τινες, ὠμότατον ἐργοδιώκτην ὑπάρχοντα· οὐ γὰρ ἦν ἄξιον ἁπλῶς φόνου τὸ μάχεσθαι, ἀλλ' ἐνόμισε δίκαιον τὸν ἐπ' ὀλέθρῳ ζῶντα τῶν ἀνθρώπων ἀπόλλυσθαι. ὅθεν καὶ μᾶλλον ὁ βασιλεὺς ἠγανάκτησε δεινὸν ἡγούμενος, οὐχ εἴ τις τέθνηκεν ἢ ἀνῄρηκε δικαίως ἢ ἀδίκως, ἀλλ' εἰ ὁ θυγατριδοῦς αὐτῷ μὴ συμφρονεῖ μηδὲ τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ἡγούμενος. ἣν δὴ λαβόντες ἀφορμὴν οἱ ἐν τέλει μυρίαις, φασί, διαβολαῖς τὸν βασιλέα κατ' αὐτοῦ διεγείρουσιν.

ἐχώρησεν εἰς τὴν ὅμορον Ἀραβίαν, ἔνθα διατρίβειν ἦν ἀσφαλές, ἅμα καὶ τὸν θεὸν ποτνιώμενος, ἵνα τοὺς μὲν ἐξ ἀμηχάνων ῥύσηται συμφορῶν, τοὺς δὲ μηδὲν παραλιπόντας τῶν εἰς ἐπήρειαν ἀξίως τίσηται, παράσχῃ δ᾽ αὐτῷ ταῦτ᾽ ἐπιδεῖν ἀμφότερα διπλασιάσας τὴν χάριν. ὁ δὲ ἐπακούει τῶν εὐχῶν ἀγάμενος αὐτοῦ τὸ φιλόκαλον ἦθος καὶ μισοπόνηρον, οὐκ εἰς μακρὰν τὰ κατὰ τὴν χώραν, ὡς θεῷ πρέπον, δικάσας. ἐν ᾧ δὲ ἔμελλε 48
δικάζειν, τοὺς ἀρετῆς ἄθλους Μωυσῆς διήθλει τὸν ἀλείπτην ἔχων ἐν ἑαυτῷ λογισμὸν ἀστεῖον, ὑφ᾽ οὗ γυμναζόμενος πρὸς τοὺς ἀρίστους βίους, τόν τε θεωρητικὸν καὶ πρακτικόν. ἐπονεῖτο φιλοσοφίας ἀνελίττων ἀεὶ δόγματα καὶ τῇ ψυχῇ διαγινώσκων εὐτρόχως καὶ μνήμῃ παρακατατιθέμενος εἰς τὸ ἄληστον αὐτὰ καὶ τὰς οἰκείας αὐτίκα πράξεις ἐφαρμόττων ἐπαινετὰς πάσας, ἐφιέμενος οὐ τοῦ δοκεῖν ἀλλὰ τῆς ἀληθείας, διὰ τὸ προκεῖσθαι σκοπὸν ἕνα τὸν ὀρθὸν τῆς φύσεως λόγον, ὅς μόνος ἐστὶν ἀρετῶν ἀρχή τε καὶ πηγή.
ἕτερος μὲν οὖν ὀργὴν ἀμείλικτον βασιλέως ἀποδιδράσκων καὶ ἄρτι πρῶτον 49
εἰς ἀλλοδαπὴν ἀφιγμένος, μήπω τοῖς τῶν ἐπιχωρίων ἔθεσιν ἐνωμιληκὼς μηδὲ ἀκριβῶς ἐπιστάμενος οἷς χαίρουσιν ἢ ἀλλοτριοῦνται, κἂν ἐσπούδασεν ἡσυχίᾳ χρώμενος ἀφανέστερον ζῆν τοὺς πολλοὺς λανθάνων ἢ βουληθεὶς εἰς μέσον παρέρχεσθαι τοὺς γοῦν δυνατοὺς καὶ τοὺς πλεῖστον ἰσχύοντας λιπαρέσι θεραπείαις ἐξευμενίζεσθαι, παρ᾽ ὧν τις ὠφέλεια προσεδοκᾶτο καὶ βοήθεια, εἴ τινες ἐπελθόντες ἀπάγειν πρὸς βίαν ἐπειρῶντο. ὁ δὲ 50
τὴν ἐναντίαν τοῦ εἰκότος ἀτραπὸν ἤλαυνε ταῖς τῆς ψυχῆς ὑγιαινούσαις ὁρμαῖς ἑπόμενος καὶ μηδεμίαν ἐῶν ὑποσκελίζεσθαι· διὸ καὶ τῆς ὑπούσης

---

1 τὴν om. M ἀρραβίαν HPZ 1. 2 ἅμα καὶ GHP: τὰ πρὸς KZ, καὶ (om. ἅμα) CBEMA, ἅμα καὶ om. VO (fort. recte) 2 ῥύσεται M συμφορῶν om. VO 3 ἐπήρειαν GHP: ἀδικίαν V^2OK^2, σωτηρίαν ceteri τίσεται M παράσχοι MA 4 ταῦτα CM χάριν] χαρὰν GHP(v) δ᾽ CGHP ὑπακούει M 5 ἀγάμενος] ἀποδεχόμενος coni. Mang. 6 δ᾽ AVO post δὲ add. καὶ HP(v) 7 τῆς ἀρετῆς KZ μωσῆς codd. 9 ἐπονεῖτο GHP: διεπονεῖτο K^1Z, προσεποιεῖτο C, μετεποιεῖτο VOK^2, om. BEMA καὶ ante φιλοσοφίας add. BEMAKZ ἀεὶ] τὰ θεῖα coni. Mang. 10 τὴν ψυχὴν G εὐστόχως V^2OK^2 11 καὶ ante εἰς add. KZ αὐτὰ] αὐτῷ VK^2, αὐτῶ O ἐφαρμόζων K^1Z 11. 12 ἐπαινετὰς πάσας V^1HPK^1Z, ἐπαινετὰς ἁπάσας G: ἐπαινετῶς πᾶσιν V^2OK^2, ἐπαρετὰς (i. e. ἐπ᾽ ἀρετὰς) πάσας C, ἐπαινέτας πάντας BEMA (Mang.) 12 post πάσας (πάντας) add. εἶχεν A (Mang.) τοῦ] τὸ G 13 ἕνα om. HP λόγον ἢ νόμον VOK^2GP 14 ὀργὴν] ἀρχὴν H 15 ἀλλοδαπῇ C ἀφιέμενος A ἐπιχωρίων GHP: ἐγχωρίων ceteri ἤθεσιν A 16 μηδ᾽ AVO 18 πλεῖον M 19 λιπαραῖσι A, λιπαραῖς KZ, λιπαρεῖν καὶ V^2O τίς BA 20 εἴ τινες GHP: εἰ δή τινες ceteri (Mang.) ἀπελθόντες G ἐπάγειν MP 21 εἰκότος] εἰωθότος coni. Mang. 22 μηδὲ μίαν CAVO ὑπούσης] εἰπούσης G

δυνάμεως ἔστιν ὅτε πλέον ἐνεανιεύετο | δύναμιν ἀκαθαίρετον τὸ δίκαιον p. 89 M.
ἡγούμενος, ὑφ᾽ οὗ προτραπεὶς αὐτοκέλευστος ἐπὶ τὴν τῶν ἀσθενεστέρων
συμμαχίαν ἵετο.
51 (10.) Λέξω δὲ καὶ τὸ κατ᾽ ἐκεῖνον αὐτῷ τὸν χρόνον πραχθέν, εἰ
καὶ μικρὸν ὅσα γε τῷ δοκεῖν, ἀλλ᾽ οὐκ ἀπὸ φρονήματος μικροῦ. κτηνο-
τροφοῦσιν Ἄραβες καὶ νέμουσι τὰ θρέμματα οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ
γυναῖκες νέοι τε καὶ παρθένοι παρ᾽ αὐτοῖς, οὐχὶ τῶν ἠμελημένων καὶ ἀδόξων
52 μόνον ἀλλὰ καὶ τῶν ἄγαν ἐπιφανῶν. ἑπτὰ δὴ κόραι πατρὸς ἱερέως ποίμνην
ἄγουσαι παρῆσαν ἐπί τινα πηγὴν καὶ τῶν ἱμονιῶν ἐκδησάμεναι τοὺς καδί-
σκους ἄλλη διαδεχομένη παρ᾽ ἄλλης ὑπὲρ τῆς ἐν τῷ πονεῖν ἰσομοιρίας μάλα
53 προθύμως τὰς δεξαμενάς, αἳ πλησίον ἔκειντο, πληροῦσιν. ἐπιφοιτήσαντες
δ᾽ ἕτεροι ποιμένες καὶ τῆς τῶν παρθένων ἀσθενείας ὑπεριδόντες τὰς
μὲν ἐπεχείρουν μετὰ τῆς ποίμνης ἐλαύνειν, τὰ δ᾽ οἰκεῖα θρέμματα
προσῆγον ἐπὶ τὸ εὐτρεπισθὲν ποτὸν ἀλλότριον καρπωσόμενοι πόνον.
54 ἰδὼν δὲ Μωυσῆς τὸ γενόμενον — οὐ γὰρ ἦν πόρρω — συντείνας ἔθει
καὶ πλησίον στὰς „οὐ παύσεσθε“ εἶπεν „ἀδικοῦντες, τὴν ἐρημίαν νομί-
ζοντες εἶναι πλεονεξίαν; βραχίονας καὶ πήχεις ἀργοὺς τρέφοντες οὐκ
ἐρυθριᾶτε; χαῖται βαθεῖαι καὶ σάρκες ὑμεῖς ἐστε, οὐκ ἄνδρες· αἱ μὲν
κόραι νεανιεύονται μηδὲν ὀκνοῦσαι τῶν πρακτέων, οἱ δὲ νεανίαι κορικῶς
55 ἤδη τρυφᾶτε. οὐ βαδιεῖσθε; οὐχ ὑπεκστήσεσθε ταῖς πρότερον ἡκούσαις.
ὧν καὶ τὸ ποτόν ἐστι; δικαίως ἂν αὐταῖς ἐπαντλήσαντες, ἵν᾽ ἀφθονώτερον
ὕδωρ εἴη, καὶ τὸ εὐτρεπισθὲν ἀφελέσθαι σπεύδετε; ἀλλὰ μὰ τὸν οὐράνιον
τῆς δίκης ὀφθαλμὸν οὐκ ἀφελεῖσθε βλέποντα καὶ τὰ ἐν τοῖς ἐρημοτάτοις.
56 ἐμὲ γοῦν ἐχειροτόνησε βοηθὸν οὐ προσδοκηθέντα· καὶ γάρ εἰμι σύμ-
μαχος ταῖς ἀδικουμέναις μετὰ μεγάλης χειρός, ἣν οὐ θέμις πλεονέκταις
ὁρᾶν· αἰσθήσεσθε δὲ αὐτῆς ἐκ τοῦ ἀφανοῦς τιτρωσκούσης, εἰ μὴ μετα-
57 βάλοιτε.“ ταῦτα διεξιόντος, φοβηθέντες, ἐπεὶ καὶ λέγων ἅμα ἐνεθουσία

1 ἀκαθαίρετον Mang.: αὐθαίρετον codd. 3 ἵετο AKHP: ἵετο ceteri 4 τὸν χρόνον om. O 5 γε GHP: om. ceteri τῷ] τὸ G 6 ἄρραβες PZ νέμουσι GHPKZ: τρέφουσι ceteri 9. 10 καδδίσκους A 10 διαχεομένη G ὑπὲρ τῆς ἐν τῷ] εἰς τὸ περὶ τὸ G 12 δὲ G 14 καρπωσάμενοι MAP πόνον] κέρδος M 15 μωσῆς KZ συντείνων ἤθει G 16 πλησίων G παύσεσθαι MG, παύεσθε O, παύσασθε Z εἶπεν] ἔφη A 16. 17 εἶναι νομίζοντες transp. A 18 βαθεῖαι] βαρεῖαι M ἔσται G καὶ οὐκ O 20 προτέραις Z 21 ὑπαντλήσαντες A 22 εἴη ὕδωρ transp. HP(v) ἀφελέσθαι AGHP: ὑφελέσθαι ceteri 23 ἀφελεῖσθαι G 24 προσδοκηθέντα V²OK² (coni. Mang.): προσδοκήσαντα ceteri 25 πλεονέκτες G 26 αἰσθήσεσθαι G ἐκ τἀφανοῦς O
σθε
26. 27 μεταβάλοισθε VO, μεταβάλλοιτε K 27 ἐπεὶ καὶ] καὶ γὰρ M ἐνουθεσία M

μεταμορφούμενος εἰς προφήτην, μὴ χρησμοὺς καὶ λόγια θεσπίζει, κατα-
πεισθεῖς τε γίνονται καὶ τὴν ποίμνην τῶν παρθένων ἐπὶ τὰς δεξαμενὰς
ἄγονται πρότερον μεταστησάμενοι τὰς ἑαυτῶν. (11.) αἱ δ' ἐπανήεσαν 58
οἴκαδε σφόδρα γεγηθυῖαι καὶ τὰ συμβάντα παρ' ἐλπίδας ἐκδιηγοῦντο,
ὡς πολὺν ἵμερον ἐνεργάσασθαι τοῦ ξένου τῷ πατρί. κατεμέμφετο γοῦν
αὐτὰς ἐπ' ἀχαριστίᾳ τοιαῦτα λέγων· „τί παθοῦσαι μεθίετε, δέον ἄγειν
εὐθὺς καὶ εἴπερ ἀνεδύετο λιπαρεῖν; ἤ τινα μισανθρωπίαν μου κατέγνωτε;
p. 90 M. ἢ δεύτερον περιπεσεῖν ἀδίκοις οὐ | προσδοκᾶτε; βοηθῶν ἀπορεῖν ἀνάγκη
τοὺς ἐπιλήσμονας χαρίτων. ἀλλ' ὅμως ἀναδραμοῦσαι (τὸ γὰρ ἁμάρτημα
μέχρι νῦν ἐστιν ἰάσιμον) ἴτε μετὰ σπουδῆς καὶ καλεῖτε ξενίων μὲν
πρότερον αὖθις δὲ καὶ ἀμοιβῆς (ὀφείλεται γὰρ αὐτῷ χάρις) μεθέξοντα."
συντείνασαι δὲ καταλαμβάνουσιν αὐτὸν οὐ πόρρω τῆς πηγῆς καὶ δηλώσασαι 59
τὰ ἀπὸ τοῦ πατρὸς οἴκαδε συμπείθουσιν ἥκειν. ὁ δὲ πατὴρ τὴν μὲν
ὄψιν εὐθὺς τὸ δὲ βούλημα ὀλίγον ὕστερον καταπλαγεὶς — ἀρίδηλοι
γὰρ αἱ μεγάλαι φύσεις καὶ οὐ μήκει χρόνου γνωριζόμεναι — δίδωσι τὴν
καλλιστεύουσαν αὐτῷ τῶν θυγατέρων γυναῖκα, δι' ἑνὸς ἔργου πάνθ' ὅσα
τῶν εἰς καλοκἀγαθίαν μαρτυρήσας καὶ ὡς ἀξιέραστον μόνον τὸ καλόν
ἐστι τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δεόμενον, ἀλλ' ἐν ἑαυτῷ περιφέρον
τὰ γνωρίσματα. μετὰ δὲ τὸν γάμον παραλαβὼν τὰς ἀγέλας ἐποίμαινε 60
προδιδασκόμενος εἰς ἡγεμονίαν· ποιμενικὴ γὰρ μελέτη καὶ προγυμνασία

1 post μὴ add. καὶ BEMAKZ, καὶ eras. K θεσπίζει C: θεσπίζοι A, θεσπίζῃ ceteri (v) 1. 2 καταπιθεῖν G 2 τε om. G 3 ἄγουσι conicio, ἄγοντες ⟨ποτίζουσι⟩ προτέραν coni. Wendl. πρότερον KZ: προτέρας ceteri (v) αὐτῶν GHP αἵδ' KZ, αἱ δὲ VO ἐπανήκασιν O 4 σφόδρα οἴκαδε transp. Z ἐκδιηγοῦνται V^2O 5 ἐνεργάσασθαι VOGHP: ἐργάσασθαι ceteri τῷ πατρὶ τοῦ ξένου transp. KZ 6 ἐπ' ἀχαριστίας M, ἐπ' ἀχαριστίᾳ om. in textu G 7 μου om. P 9 γὰρ post μέχρι (10) transp. GHP 10 ξενίων—ἀμοιβῆς (11) om. A 11 μεθέξοντι V^2O 12 οὐ πόρρω αὐτὸν transp. A 14 ὀλίγον AK: ὀλίγω ceteri ἀρίδηλαι M 15 γνωρίζονται D 17 καὶ ὡς ἀξιέραστον GHP: καὶ ἀξιέραστον V^1 ut vid., ἀξιέραστον γὰρ καὶ C, καὶ γὰρ ἀξιέραστον ceteri 18 οὐ] μὴ O περιφέρων MA 19 τὰ ἄριστα γνωρίσματα D δὲ] δὴ HP (Turn.) 20 εἰς ἡγεμονίαν codd.: εἰς τὴν ἡγεμονίαν v ἡγεμονίαν ⟨ποιμενικῇ⟩ coni. Mang. προγυμνασία AG Clem.: προγύμνασμα ceteri

14. 15 D^H fol. 254^r Φίλωνος D^R fol. 141^r Φίλωνος ἐκ τοῦ περὶ Μωυσέος βίου: ἀρίδηλοι αἱ μεγάλαι φύσεις καὶ οὐ μήκει χρόνου γνωρίζονται. 17—19 ibid. καὶ ἀξιέραστον καλόν ἐστι τὸ τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δεόμενον, ἀλλ' ἐν ἑαυτῷ (ἑτέρῳ D^R) περιφέρον τὰ ἄριστα γνωρίσματα. 19—134,2 *Clem. Alex. Strom. I 23 p. 415 P.* . . . φεύγει δὴ ἐντεῦθεν καὶ ποιμαίνει πρόβατα προδιδασκόμενος εἰς ἡγεμονίαν· προγυμνασία γὰρ βασιλείας τῷ μέλλοντι τῆς ἡμερωτάτης τῶν ἀνθρώπων ἐπιστατεῖν ἀγέλης ἡ ποιμενική, καθάπερ καὶ τοῖς πολεμικοῖς τῇ φύσει ἡ θηρευτική. ἄγει δὲ αὐτὸν ἐντεῦθεν ὁ θεὸς ἐπὶ τὴν τῶν Ἑβραίων στρατηγίαν.

βασιλείας τῷ μέλλοντι τῆς ἡμερωτάτης τῶν ἀνθρώπων ἐπιστατεῖν
ἀγέλης. καθάπερ καὶ τοῖς πολεμικοῖς τὰς φύσεις τὰ κυνηγέσια· θήραις
γὰρ ἐμπρομελετῶσιν οἱ πρὸς τὰς στρατarχίας ἀλειφόμενοι, τῶν ἀλόγων
οἷά τινος ὕλης ὑποβεβλημένων πρὸς ἄσκησιν τῆς καθ' ἑκάτερον καιρὸν
61 ἀρχῆς, τόν τε πολέμου καὶ τὸν εἰρήνης. ἡ μὲν γὰρ τῶν ἀγρίων θήρα
στρατηγικὸν κατ' ἐχθρῶν ἐστι γύμνασμα, ἡ δὲ τῶν ἡμέρων ἐπιμέλεια
καὶ προστασία βασιλικὸν πρὸς ὑπηκόους ἀγώνισμα· διὸ καὶ „ποιμένες
λαῶν“ οἱ βασιλεῖς, οὐχ ὡς ὄνειδος ἀλλ' ὡς ὑπερβάλλουσα τιμή, προσ-
62 αγορεύονται. καί μοι δοκεῖ μὴ πρὸς δόξας τῶν πολλῶν ἀλλὰ πρὸς
ἀλήθειαν ἐρευνωμένῳ τὸ πρᾶγμα — γελάτω δ' ὁ βουλόμενος — μόνος
ἂν γενέσθαι βασιλεὺς τέλειος ὁ τὴν ποιμενικὴν ἐπιστήμην ἀγαθός, ἐν
ἐλάττοσι ζῴοις παιδευθεὶς τὰ τῶν κρειττόνων· ἀμήχανον γὰρ τὰ μεγάλα
πρὸ τῶν μικρῶν τελεσθῆναι.
63 (12.) Γενόμενος οὖν τῶν καθ' αὑτὸν ἀγελαρχῶν ἄριστος καὶ
ποριστὴς ⟨τῶν⟩ ὅσα πρὸς τὴν τῶν θρεμμάτων συνέτεινεν ὠφέλειαν
ἱκανὸς ἐκ τοῦ μηδὲν ἀποκνεῖν ἀλλ' ἐθελουργῷ καὶ αὐτοκελεύστῳ προ-
θυμίᾳ εἰς δέον τῇ προστασίᾳ χρῆσθαι μετὰ | καθαρᾶς καὶ ἀδόλου p. 91 M.
64 πίστεως ηὔξησε τὰς ἀγέλας· ὡς ὑπὸ τῶν ἄλλων νομέων ἤδη καὶ
φθονεῖσθαι μηδὲν ὁμοιότροπον ἐν ταῖς ἰδίαις ποίμναις ὁρώντων. αἷς
εὐτυχὲς εἶναι ἐδόκει ἡ ἐν ὁμοίῳ μονή, ταῖς δὲ τὸ μὴ βελτιοῦσθαι καθ'
ἑκάστην ἡμέραν ἐλάττωσις διὰ τὸ μεγάλας εἰωθέναι λαμβάνειν ἐπιδόσεις
ἐκ μὲν εὐσαρκίας καὶ πιότητος εἰς κάλλος, εἰς δὲ πλῆθος ἐξ εὐτοκίας

2 τὰς φύσεις om. VO θήραις corr. ex θῆρας A, θήρας CV, θήραν O 3 τὰς om. VOGHP στραταρχίαν O 4 τῶν προβεβλημέμων G τῆς Mang.: τὸν G, τῶν ceteri γρ. καθ' ἕτερον mg. VO καιρῶν AHPKZ 5 pr. τὸν] $\overset{ὁ}{\text{τῶν}}$ Z, τῶν V^2O alt. τὸν] τῶν Z, τῆς GHP, om. VO 6 στρατηγικῶν G ἐστι κατ' ἐχθρῶν transp. M γύμνασμα VOGHP: προγύμνασμα ceteri 7 διὸ] δι' ὧν A 10 ἐρευνωμένω GHP: om. A, ἐρευνώμενον ceteri δὲ A 11 ποιμανικὴν MO 12 pr. τὰ] τὸ Z γὰρ] δὲ A 13 τελεσθῆναι] παιδευθῆναι D 14 καθ' αὑτῶν MP^1 15 τῶν addidi post ὅσα add. τε V^2O 16 ἱκανὸς corr. ex ἱκανῶς B, ἱκανῶς E 16. 17 προθυμίᾳ Mang.: προστασία codd. 17 εἰς δέον fort. delenda προστασία A (Mang.): προθυμία ceteri καθαρᾶς Mang.: χαρᾶς codd. 18 καὶ om. VO 19 αἷς] εἰς A; οἷς conicio 20 ἡ] εἰ BEMA μονή GHP: μόνον μονή CVOZ, μόνω μονή K, μόνον εἶεν BEMA ταῖς] τῷ conicio τὸ om. CBEMA 22 ποιότητος MAK

7 cf. *De Iosepho* § 2 12. 13 D^P fol. 76^r D^M fol. 77^v ἐκ τοῦ περὶ Μωυσέως βίου D^K fol. 248^v ἐκ τοῦ περὶ Μωσέως βίου D^R fol. 74^r τοῦ αὐτοῦ ἐκ τοῦ περὶ Μωσέως βίου D^L fol. 144^v Φίλωνος D^V p. 363 Flor. Par. Nr. 12 Max. Ecl. cap. 17 Anton. Mel. I 50 Col. 933 Φίλωνος: ἀμήχανον τὰ μεγάλα πρὸ τῶν μικρῶν παιδευθῆναι. 14 sqq. Exod. cap. 3

καὶ τῶν περὶ δίαιταν ὑγιεινῶν. ἄγων δὲ τὴν ποίμνην εἰς τόπον εὔυδρόν 65
τε καὶ εὔχορτον, ἔνθα συνέβαινε καὶ πολλὴν πόαν προβατεύσιμον ἀνα-
δίδοσθαι, γενόμενος πρός τινι νάπει θέαμα ἐκπληκτικώτατον ὁρᾷ. βάτος
ἦν, ἀκανθῶδές τι φυτὸν καὶ ἀσθενέστατον· οὗτος, οὐδενὸς πῦρ προσενεγ-
κόντος, ἐξαίφνης ἀνακαίεται καὶ περισχεθεὶς ὅλος ἐκ ῥίζης εἰς ἀκρέμονα
πολλῇ φλογὶ καθάπερ ἀπό τινος πηγῆς ἀνομβρούσης διέμενε σῶος. οὐ
κατακαιόμενος, οἷά τις ἀπαθὴς οὐσία καὶ οὐχ ὕλη πυρὸς αὐτὸς ὤν,
ἀλλὰ τροφῇ χρώμενος τῷ πυρί. κατὰ δὲ μέσην τὴν φλόγα μορφή τις 66
ἦν περικαλλεστάτη, τῶν ὁρατῶν ἐμφερὴς οὐδενί, θεοειδέστατον ἄγαλμα,
φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑπετόπησεν
εἰκόνα τοῦ ὄντος εἶναι· καλείσθω δὲ ἄγγελος, ὅτι σχεδὸν τὰ μέλλοντα
γενήσεσθαι διήγγελλε τρανοτέρᾳ φωνῆς ἡσυχίᾳ διὰ τῆς μεγαλουργηθείσης
ὄψεως. σύμβολον γὰρ ὁ μὲν καιόμενος βάτος τῶν ἀδικουμένων, τὸ δὲ 67
φλέγον πῦρ τῶν ἀδικούντων, τὸ δὲ μὴ κατακαίεσθαι τὸ καιόμενον τοῦ
μὴ πρὸς τῶν ἐπιτιθεμένων φθαρήσεσθαι τοὺς ἀδικουμένους, ἀλλὰ τοῖς
μὲν ἄπρακτον καὶ ἀνωφελῆ γενέσθαι τὴν ἐπίθεσιν, τοῖς δὲ τὴν ἐπιβουλὴν
ἀζήμιον, ὁ δὲ ἄγγελος προνοίας τῆς ἐκ θεοῦ τὰ λίαν φοβερὰ παρὰ τὰς
ἁπάντων ἐλπίδας κατὰ πολλὴν ἡσυχίαν ἐξευμαρίζοντος. (13.) τὴν δὲ 68
εἰκασίαν ἀκριβῶς ἐπισκεπτέον. ὁ βάτος, ὡς ἐλέχθη, φυτὸν ἀσθενέστατον

1 ἐξάγων KZ δὲ Mang.: τε codd. ἔνυδρον VO 2 προβαστεύσιμον A 2. 3 ἀναδίδοσθαι προβατεύσιμον transp. CVO 3 γενόμενος πρός τινι νάπει GHP: γενόμενος οὖν πρός τινα νάπην ceteri ἐκπληκτικώτατον GHP: πληκτηκότερον A, πληκτικώτατον ceteri 4 τι GHP: om. ceteri οὕτως A πυρὸς A 4. 5 προσενέγκαντος K¹Z 5 ὅλῶς A ἀκρέμονας VOH², ἀκρόμενα M 6 πηγῆς] καμίνου VOK² ἀνομβρυούσης V¹, ἀναβρυούση V²OK²; ἀνόμβρούση (scil. φλογί) coni. Mang. 7 οὐσία] οὖσα H¹P 8. 9 τις ἦν GHP (Isidor.): om. ceteri 10 αὐγοειδέστατον G ὑπετόπασεν KZ (Isidor.) 11 δ' A σχεδὸν] σχέδην coni. Mang. 12 γενήσεσθε Z διήγγειλε P, διηγγέλλετο (sic) H, διηγγέλλετο v 13 ὄψεως] φύσεως A 15 φθαρήσεσθαι ἐπιτιθεμένων transp. L (Turn. Mang.) φθερεῖσθαι A 16 ἀνωφελεῖ G γενέσθαι codd.: γενήσεσθαι v ἐπιβολὴν voluit Mang. 17 δ' VO 18 ἐξευμαρίσοντος voluit Mang. δ' VO 19 ὡς om. A

3 sqq. *Clem. Alex. Paedag. II 8 p. 215 P.* . . . ἐπεὶ γὰρ ὁ παγκρατὴς κύριος τῶν ὅλων, ὁπηνίκα νομοθετεῖν ἤρχετο, τῷ λόγῳ τῷ Μωυσεῖ καταφανῆ ἐβούλετο γενέσθαι τὴν αὐτοῦ δύναμιν, ὄψις αὐτῷ δείκνυται θεοειδὴς φωτὸς μεμορφωμένου ἐπὶ φλεγομένῳ βάτῳ· τὸ δὲ ἀκανθῶδες φυτόν ἐστιν ὁ βάτος. 3—11 *Isidor. Pelus. Epist. II 143* . . . καὶ πάλιν ὁ Φίλων περὶ τοῦ θεάματος οὗ εἶδε Μωυσῆς ἐκφράζων φησί· „θέαμα πληκτικώτατον ὁρᾷ". εἶτα μετ' ὀλίγα· „κατὰ μέσην δὲ τὴν φλόγα μορφή τις ἦν περικαλλεστάτη, τῶν ὁρατῶν ἐμφερὴς οὐδενί, θεοειδέστατον ἄγαλμα, φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑπετόπασεν εἰκόνα τοῦ ὄντος εἶναι".

ἀλλ' οὐδὲ ἄκεντρον, ὡς εἰ καὶ μόνον ἐπιψαύσειέ τις τιτρώσκειν, οὔτ'
ἐξανηλώθη τῷ φύσει δαπανηρῷ πυρί, τοὐναντίον δὲ ἐφυλάχθη πρὸς
αὐτοῦ καὶ διαμένων ὁποῖος ἦν πρὶν ἀνακαίεσθαι μηδὲν ἀποβαλὼν τὸ
69 παράπαν αὐγὴν προσέλαβε. | τοῦθ' ἅπαν ὑπογραφή τίς ἐστι τῆς ἐθνικῆς p. 92 M.
ὑποθέσεως, ἣ κατ' ἐκεῖνον τὸν χρόνον ἐπεῖχε, μόνον οὐ βοῶσα τοῖς ἐν
συμφοραῖς· „μὴ ἀναπίπτετε, τὸ ἀσθενὲς ὑμῶν δύναμίς ἐστιν, ἣ καὶ
κεντεῖ καὶ κατατρώσει μυρίους. ὑπὸ τῶν ἐξαναλῶσαι γλιχομένων τὸ
γένος ἀκόντων διασωθήσεσθε μᾶλλον ἢ ἀπολεῖσθε, τοῖς κακοῖς οὐ κακωθήσεσθε. ἀλλ' ὅταν μάλιστα πορθεῖν νομίσῃ τις ὑμᾶς, τότε μάλιστα
70 πρὸς εὔκλειαν ἐκλάμψετε.“ πάλιν τὸ πῦρ φθοροποιὸς οὐσία διελέγχουσα
τοὺς ὠμοθύμους· „μὴ ταῖς ἰδίαις ἀλκαῖς ἐπαίρεσθε, τὰς ἀμάχους ῥώμας
ἰδόντες καθαιρουμένας σωφρονίσθητε· ἡ μὲν καυστικὴ δύναμις τῆς
φλογὸς ὡς ξύλον καίεται, τὸ δὲ φύσει καυστὸν ξύλον οἷα πῦρ ἐμφανῶς
καίει.“

71 (14.) Τὸ τεράστιον τοῦτο καὶ τεθαυματουργημένον δείξας ὁ θεὸς
τῷ Μωυσεῖ, παραίνεσιν ἐναργεστάτην τῶν μελλόντων ἀποτελεῖσθαι, καὶ
διὰ χρησμῶν ἄρχεται προτρέπειν αὐτὸν ἐπὶ τὴν τοῦ ἔθνους σπεύδειν
ἐπιμέλειαν, ὡς οὐ μόνον ἐλευθερίας παραίτιον ἀλλὰ καὶ ἡγεμόνα τῆς
ἐνθένδε ἀποικίας οὐκ εἰς μακρὰν γενησόμενον, ὁμολογῶν ἐν ἅπασι
72 συλλήψεσθαι. „κακουμένων γὰρ ἐκ πολλοῦ καὶ δυσανασχέτους ὕβρεις
ὑπομενόντων, οὐδενὸς ἀνθρώπων οὔτ' ἐπικουφίζοντος οὔτ' ἐλεοῦντος τὰς
συμφοράς, οἶκτον“ φησίν „αὐτὸς ἔλαβον· καὶ γὰρ ⟨οἶδ'⟩ ἰδίᾳ ἕκαστον
καὶ πάντας ὁμοθυμαδὸν ἐφ' ἱκετείας καὶ λιτὰς τραπομένους ἐλπίζειν
τὴν ἐξ ἐμοῦ βοήθειαν· εἰμὶ δὲ τὴν φύσιν ἤπιος καὶ γνησίοις ἱκέταις

1 οὐδ' AP, οὔτε CVO μόνου K τις H (coni. Mang.): om. ceteri
2 ἐξανηλώθη C δ' A διεφυλάχθη VO 3 πρὶν GHPK^1Z: πρὸς τῷ μὴ CBEMA, πρὸς τῷ VO, προσ- K^2 ἀποβάλλων O 4 αὐγὴν CHP: αὐτὴν B E V^1AGK^1Z, αὐτὴν M, αὐτὸ V^2OK^2 5 ὑποθέσεως] διαθέσεως conicio ἐπεῖχε] ἐπήχει coni. Mang. μονονουχὶ VOG 6 ἡμῶν A 7 κατατρώσει GHP: κατατρώγει CVOK^2, κατατρύχει ceteri; κατατιτρώσκει v ὑπὸ eras. V, om. O ἐξαλῶσαι P 8 καὶ ἀκόντων V^2O διασωθήσεσθαι AG^1 μᾶλλον—κακωθήσεσθε om. A ἀπολεῖσθαι M S. 9 κακωθήσεσθαι M 9 μάλιστα om. K^1Z ἡμᾶς G 10 ἀνεκλάμψετε A 11 ὁμοθύμους Z ἐπαίρεσθε C^2VGK: ἐπαίρεσθαι ceteri ῥώμας om. G 12 καθαιρομένας VOKZ 13 καυστὸν AG: καιόμενον V^2O, καυστικὸν ceteri 16 μωϋσεῖ C: μωϋσῆ A, μωσεῖ ceteri ἀποτελεῖν V^2O 18 αἴτιον GHP(v) 19 ἐντεῦθεν G 21 οὔτ' ἐπικουφίζεσθαι ἰσχύοντος οὔτ' ἐλεεῖν HP 22 συμφοράς σου A αὐτὸς om. M οἶδ' addidi ἰδίους V^1, ἰδίως V^2OK^2 24 γνήσιος H^1P οἰκέταις HP

ἵλεως. ἴθι δὴ πρὸς τὸν βασιλέα τῆς χώρας μηδὲν εὐλαβηθεὶς τὸ παράπαν 73
— ὁ μὲν γὰρ πρότερος τέθνηκεν, ὃν ἀπεδίδρασκες διὰ φόβον ἐπιβουλῆς,
ἕτερος δὲ τὴν χώραν ἐπιτέτραπται μηδενὸς τῶν πραγμάτων σοι μνησι-
κακῶν — καὶ τὴν τοῦ ἔθνους γερουσίαν προσπαραλαβὼν εἰπὲ χρησμῷ
προσκεκλῆσθαι ὑπ' ἐμοῦ τὸ ἔθνος, ἵνα κατὰ τὰ πάτρια θύσῃ τριῶν
ἡμερῶν ὁδὸν ἔξω τῶν ὅρων τῆς χώρας προελθόν." ὁ δὲ οὐκ ἀγνοῶν 74
ἐπὶ τοῖς λεγομένοις ἀπιστήσοντας τούς τε ὁμοφύλους καὶ τοὺς ἄλλους
ἅπαντας „ἐὰν οὖν" φησί „πυνθάνωνται, τί τὸ ὄνομα τῷ πέμψαντι, μηδ'
αὐτὸς εἰπεῖν ἔχων ἆρ' οὐ δόξω διαπατᾶν"; ὁ δὲ „τὸ μὲν πρῶτον λέγε" 75
φησίν „αὐτοῖς, ὅτι ἐγώ εἰμι ὁ ὤν, ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ
μὴ ὄντος προσαναδιδαχθῶσιν, ὡς οὐδὲν ὄνομα τὸ παράπαν ἐπ' ἐμοῦ
κυριολογεῖται, ᾧ μόνῳ πρόσεστι τὸ εἶναι. ἐὰν δ' ἀσθενέστεροι τὰς 76
φύσεις ὄντες ἐπιζητῶσι πρόσρησιν, δήλωσον αὐτοῖς μὴ μόνον τοῦθ' ὅτι
p. 93 M. θεός εἰμι, ἀλλ' ὅτι καὶ τριῶν τῶν ἐπωνύμων ἀνδρῶν ἀρετῆς, θεὸς
Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ, ὧν ὁ μὲν τῆς διδακτῆς, ὁ δὲ τῆς
φυσικῆς, ὁ δὲ τῆς ἀσκητικῆς σοφίας κανών ἐστιν. ἐὰν δὲ ἔτι ἀπιστῶσι, τρισὶ
σημείοις ἀναδιδαχθέντες μεταβαλοῦσιν, ἃ πρότερον οὔτε τις εἶδεν οὔτε
ἤκουσεν ἀνθρώπων." ἦν δὲ τὰ σημεῖα τοιάδε· ῥάβδον, ἣν εἶχεν, εἰς τοὔ- 77
δαφος ῥῖψαι κελεύει· ἡ δ' αὐτίκα ψυχωθεῖσα εἷρπε καὶ τῶν ἀπόδων τὸ
ἡγεμονικώτατον ὑπερμεγέθης δράκων γίνεται τελειότατος· ταχέως δ' ἀπο-

1 ἵλεος G πρὸς] παρὰ A(v) εὐλαβηθεὶς GHP: φοβηθεὶς ceteri 3 πραγμάτων] πραχθέντων coni. Mang. 4 παραλαβὼν CBEMA(v) 5 προκεκλῆσθαι coni. Mang. post ἵνα add. μοι HP(v) 6 ὁδὸν GHP: om. ceteri ἔξω τῶν ὅρων GHP (mg. VO): τῶν ὅρων om. ceteri προελθών VOGK², ἐπελθόν Z 8 τοῦ πέμψαντος A(v) 9 αὐτὸ G ἔχων GHP: ἔχω ceteri (v) 10 ὅτι ἐγώ codd.: ὅτι om. v 11 τὸ παράπαν ἐπ' ἐμοῦ VO, τὸ παράπαν ἐπ ἐμοὶ KZ: ἐπ' ἐμοῦ τὸ παράπαν transp. ceteri 12 δὲ VO 13 πρόρρησιν GHP 14 τριῶν ἀνδρῶν τῶν ἐπωνύμων ἀρετῆς ⟨θεός⟩ coni. Mang. 15 διδακτικῆς H 16 ἀσκητῆς voluit Mang. σοφίας VOK²GHP: om. ceteri δὲ] δὲ καὶ HP(v) 17 οὔτ' AG 18 ῥάβδον μὲν Z 19 ἥδ' KZ 20 δράκων γίνεται ὑπερμεγέθης transp. KZ τελειότατος· ταχέως δ' ἀποχωρήσας GHP (mg. VO): τελειότατος ταχέως· ἀποχωρήσας δ' ceteri (v) 20. 138,1 ὑποχωρήσας K¹Z

6 sqq. Exod. cap. 4 10—12 D^C fol. 223^v Φίλωνος: λέγε, φησίν, αὐτοῖς πυθομένοις, τίς ὁ ἀποστείλας, ὁ ὢν ἀπέσταλκέν με, ἵνα μαθόντες διαφορὰν ὄντος τε καὶ μὴ ὄντος πρὸς ἀλήθειαν διδαχθῶσιν, ὡς οὐδὲν ὄνομα ἐπ' ἐμοῦ τὸ παράπαν κυριολογεῖται, ᾧ μόνῳ τὸ εἶναι πρόσεστιν. cf. *Ps.-Iustin. Cohort. ad gentes 21:* οὐδὲν γὰρ ὄνομα ἐπὶ θεοῦ κυριολογεῖσθαι δυνατόν. ... „ἐγὼ" γάρ φησιν „εἰμὶ ὁ ὤν", ἀντιδιαστέλλων ἑαυτὸν δηλονότι ὁ ὢν τοῖς μὴ οὖσιν, ἵνα γνῶσιν οἱ πρότερον ἀπατηθέντες, ὅτι οὐχὶ τοῖς οὖσιν ἀλλὰ τοῖς μὴ οὖσιν προσέσχον. ... διὰ τοῦτο πρὸς τὸν Μωυσέα ἔφη „ἐγώ εἰμι ὁ ὤν". ἵνα διὰ τῆς μετοχῆς ὄντος τοῦ θεοῦ [ὄντος] καὶ μὴ ὄντων διαφορὰν διδάξῃ.

χωρήσας ἀπὸ τοῦ ζῴου καὶ διὰ δέος ἤδη πρὸς φυγὴν ὁρμῶν μετακαλεῖται καὶ θεοῦ προστάξαντος ἅμα τε θάρσος ἐμποιήσαντος ἐπιδράττεται τῆς
78 οὐρᾶς. ὁ δὲ ἰλυσπώμενος ἔτι κατὰ τὴν ἐπαφὴν ἵσταται καὶ πρὸς μῆκος εὖ μάλα ταθεὶς εὐθὺς εἰς βακτηρίαν μετεστοιχειοῦτο τὴν αὐτήν, ὡς θαυμάζειν μὲν τὰς μεταβολὰς ἀμφοτέρας, ποτέρα δὲ καταπληκτικωτέρα, μὴ δύνασθαι διακρίνειν, τῆς ψυχῆς ἰσορρόπῳ πληχθείσης φαντασίᾳ.
79 τοῦτο μὲν δὴ πρῶτον, ἕτερον δ' οὐκ εἰς μακρὰν ἐθαυματουργεῖτο· τῶν χειρῶν τὴν ἑτέραν προστάττει τοῖς κόλποις ἐπικρύψαντα μικρὸν ὕστερον προενεγκεῖν· δράσαντος δὲ τὸ κελευσθέν, ἡ χεὶρ λευκοτέρα χιόνος ἐξαπιναίως ἀναφαίνεται· πάλιν δὲ καθέντος εἰς τοὺς κόλπους καὶ ἀνενεγκόντος,
80 εἰς τὴν αὐτὴν χρόαν τρέπεται τὸ οἰκεῖον ἀπολαβοῦσα εἶδος. ταῦτα μὲν οὖν ὑπὸ μόνου μόνος ἐπαιδεύετο, ὡς παρὰ διδασκάλῳ γνώριμος, ἔχων παρ' ἑαυτῷ τὰ τῶν τεράτων ὄργανα, τήν τε χεῖρα καὶ τὴν βακτηρίαν, οἷς
81 προεφωδιάσθη. τρίτον δ' ἐπιφέρεσθαι μὲν οὐκ ἦν οὐδὲ προδιδάσκεσθαι, ἔμελλε δ' ἐκπλήττειν οὐκ ἔλαττον τὴν ἀρχὴν τοῦ γίνεσθαι λαβὸν ἐν Αἰγύπτῳ. ἦν δὲ τοιοῦτο· „τοῦ ποταμίου" φησίν „ὕδατος ὅσον ἂν ἀρυσάμενος ἐπὶ τὴν γῆν ἐκχέῃς, αἷμα ξανθότατον ἔσται πρὸς τῇ χρόᾳ
82 καὶ τὴν δύναμιν ἑτεροιωθὲν εἰς ἀλλαγὴν παντελῆ." πιστὸν δ' ὡς ἔοικε καὶ τοῦτ' ἀνεφαίνετο, οὐ μόνον διὰ τὸ τοῦ λέγοντος ἀψευδές, ἀλλὰ καὶ διὰ τὰ ἤδη προεπιδειχθέντα ἐπί τε τῆς χειρὸς καὶ τῆς βακτηρίας
83 θαυματουργήματα. πιστεύων δ' ὅμως παρῃτεῖτο τὴν χειροτονίαν

1 ἤδη GHP: om. ceteri 2 τε om. M 4 μετεστοιχειοῦτο G: ἀνεστοιχειοῦτο ceteri (v) 5 ἀμφοτέρας τὰς μεταβολὰς transp. CVO 6 διακρῖναι VO πληχθείσης CVOGHP: πληγείσης ceteri 11 χροιὰν K^{1}Z ἀποβαλοῦσα G 12 διδασκάλου HPV^{2}O(v) γνώριμα V^{2}O 13 alt. τὴν GHP: om. ceteri 14 προεφοδιάσθη GP, προσεφωδιάσθη A ἐπιφαίνεσθαι P 15 δὲ A οὐκ ἔλαττον om. O τὴν om. VOHPKZ τὴν τοῦ γενέσθαι ἀρχὴν transp. A γενέσθαι BEMA(v) λαβὼν V^{1}GP^{1}KZ 16 τοιοῦτον GHO ἂν] ἐὰν GHP, om. ceteri 17 τῆς γῆς P ἐκχέεις AVO χροιᾶ K^{1}Z
πανάληθες δὲ ὡς ἔπρεπεν
18 παντελῆ. πιστὸν GHP: παντέλπιστον CVOBEMZ, παντέλπιστον K, παντάπιστον A δὲ MA 19 τοῦτο A 20 προεπιδειχθέντα GHP: ἐπιδειχθέντα ceteri 21 θαυμασιουργήματα BEMVKZ

21 sqq. *Origenes in Exod. Homil. III 1 (t. IX p. 22 Lomm.)*: ubi coepit audire vocem dei et eloquia divina suscipere, tunc sensit exilem et gracilem vocem suam tardamque et impeditam esse suam intellegit linguam; tunc se pronuntiat mutum, cum coepit agnoscere verum illud verbum . . . at si ipsum quis contempletur divinum verbum, . . . ipse apud deum mutum se animal profitebitur . . . omnes enim homines ad comparationem verbi divini non solum ineloquentes, sed et muti putandi sunt.

ἰσχνόφωνον καὶ βραδύγλωσσον, οὐκ εὔλογον, αὐτὸν εἶναι φάσκων καὶ μάλιστ' ἀφ' οὗ λέγοντος ἤκουε θεοῦ· νομίσας γὰρ τὴν ἀνθρωπίνην λογιότητα κατὰ σύγκρισιν τῆς θείας ἀφωνίαν εἶναι καὶ ἅμα τὴν φύσιν p. 94 M. εὐλαβὴς ὢν ὑπεστέλλετο | τοῖς ὑπερόγκοις, τὰ λίαν μεγάλα κρίνων οὐ καθ' αὐτόν, καὶ παρεκάλει ἕτερον ἑλέσθαι τὸν εὐμαρῶς ἕκαστα τῶν ἐπισταλέντων διαπράξασθαι δυνησόμενον. ὁ δ' ἀποδεξάμενος αὐτὸν 84 τῆς αἰδοῦς „ἆρά γε ἀγνοεῖς" εἶπε „τὸν δόντα ἀνθρώπῳ στόμα καὶ κατασκευάσαντα γλῶτταν καὶ ἀρτηρίαν καὶ τὴν ἅπασαν λογικῆς φωνῆς ὀργανοποιίαν; αὐτός εἰμι ἐγώ. μηδὲν οὖν δείσῃς· ἐμοῦ γὰρ ἐπινεύσαντος ἀρθρωθήσεται πάντα καὶ μεταβαλεῖ πρὸς τὸ μέτριον, ὡς μηδενὸς ἔτι ἐμποδίζοντος ῥεῖν εὔτροχον καὶ λεῖον ἀπὸ καθαρᾶς πηγῆς τὸ τῶν λόγων νᾶμα. χρεία δ' εἰ γένοιτο ἑρμηνέως, ὑποδιακονικὸν στόμα τὸν ἀδελφὸν ἕξεις, ἵν' ὁ μὲν τῷ πλήθει ἀπαγγέλλῃ τὰ ἀπὸ σοῦ, σὺ δ' ἐκείνῳ τὰ θεῖα."

(15.) Ταῦτ' ἀκούσας — οὐ γὰρ ἦν εἰς ἅπαν ἀντιλέγειν ἀσφαλὲς 85 οὐδ' ἀκίνδυνον — ἄρας ἐβάδιζε μετὰ γυναικὸς καὶ τέκνων ὁδὸν τὴν ἐπ' Αἴγυπτον, καθ' ἣν ὑπαντήσαντα τὸν ἀδελφὸν πείθει συνακολουθεῖν ὑπειπὼν τὰ θεῖα λόγια· τῷ δ' ἄρα προϋπείργαστο ἡ ψυχὴ κατ' ἐπιφροσύνην θεοῦ πρὸς πειθαρχίαν, ὡς ἀνενδοιάστως συναινεῖν καὶ ἑτοίμως ἕπεσθαι. παραγενόμενοι δ' εἰς Αἴγυπτον γνώμῃ καὶ ψυχῇ μιᾷ τὸ μὲν 86 πρῶτον τοὺς δημογέροντας τοῦ ἔθνους συναγαγόντες ἐν ἀπορρήτῳ μηνύουσι τοὺς χρησμοὺς καὶ ὡς ἔλεον καὶ οἶκτον λαβὼν αὐτῶν ὁ θεὸς ἐλευθερίαν καὶ τὴν ἐνθένδε μετανάστασιν εἰς ἀμείνω χώραν ὁμολογῶν

---

1 pr. καὶ GHP: om. ceteri   εὔλογον] εὔγλωττον GH², εὔλαλον V²OK²   αὐτὸν CBMGPKZ   2 μάλιστα MA   ἤκουσε V²   νομίσαι HPO   3 λογιότητα GHP: νηπιότητα ceteri   θείας Mang.: ἀληθείας codd.   καὶ ἅμα om. Z   4 ὑπεστέλλετο GHPV²O: ὑπέστελλε ceteri   τὰ corr. in ταῦτα V, ταῦτα O   οὐ CV¹GHP: om. O, ἢ ceteri   5 καθ' αὐτόν GHP: κατ' αὐτόν ceteri (v)   6 ἐπιταγέντων V²O   δυνησόμενον GHP: δυνάμενον ceteri   7 ἆρ' A   γε KZ: om. ceteri   εἶπεν CBE   9 ἐγώ om. M   ἐπιπνεύσαντος vel ἐμπνεύσαντος coni. Mang.   10 μέτριον GHP: βέλτιον ceteri (v)   ὡς GHP: om. ceteri   ἔτι om. M   11 ῥεῖν] ῥεύσειν coni. Mang.   12 λόγων] λογισμῶν GHP   13 ἀπαγγέλλει G, ἀπαγγέλλοι A   ἀπὸ GHP: ὑπὸ ceteri   σὺ] σοὶ G   δὲ C   15 ταῦτα C, τοῦτ' HP   εἰσάπαν AKZ   ἀσφαλὲς ἀντιλέγειν transp. A(v)   16 οὐδὲ C   ἄρας] ὁρᾶς C   τῆς γυναικὸς K   ἐπ' GHP: κατ' ceteri (v)   17 ἀπαντήσαντα VOK²   18 ὑπὸ τῶν (sic) K (γρ. ὑπειπὼν)   18. 19 κατ' ἐπὶ σωφροσύνην V¹   19 θεοῦ GHP: θείαν ceteri   συναινεῖν] συνιέναι V²OK²   22 ὡς] εἰς M   αὐτῶν λαβὼν transp. G   23 τὴν] τῶν HP   μετάστασιν MG

87 αὐτὸς ἔσεσθαι τῆς ὁδοῦ ἡγεμὼν ὑπισχνεῖται. μετὰ δὲ ταῦτα καὶ τῷ
βασιλεῖ θαρροῦσιν ἤδη διαλέγεσθαι περὶ τοῦ τὸν λεὼν ἱερουργήσοντα
ἐκπέμψαι τῶν ὅρων· δεῖν γὰρ ἔφασκον ἐν ἐρήμῳ τὰς πατρίους θυσίας
ἐπιτελεσθῆναι, μὴ κατὰ τὰ αὐτὰ ταῖς τῶν ἄλλων ἀνθρώπων γινομένας,
ἀλλὰ τρόπῳ καὶ νόμῳ διαφεύγοντι τὴν κοινότητα διὰ τὰς τῶν ἐθῶν
88 ἐξαιρέτους ἰδιότητας. ὁ δ' ἐξ ἔτι σπαργάνων προγονικῷ τύφῳ τὴν
ψυχὴν πεπιεσμένος καὶ μηδένα τὸ παράπαν νοητὸν θεὸν ἔξω τῶν ὁρατῶν
νομίζων ἀποκρίνεται πρὸς ὕβριν εἰπών· „τίς ἐστιν οὗ χρή με ὑπακούειν;
οὐκ οἶδα τὸν λεγόμενον τοῦτον καινὸν κύριον· οὐκ ἐξαποστέλλω τὸ ἔθνος ἐπὶ
89 προφάσει ἑορτῆς καὶ θυσιῶν ἀφηνιάσον“ (cf. Exod. 5, 2). εἶθ' ἅτε χαλεπὸς
καὶ βαρύμηνις καὶ ἀπαραίτητος τὴν ὀργὴν κελεύει τοὺς τοῖς ἔργοις ἐφεστῶτας
προπηλακίζεσθαι ὡς ἀνέσεις καὶ σχολὴν ἐνδιδόντας, ἀνέσεως καὶ σχολῆς
εἶναι λέγων τὸ βουλεύεσθαι περὶ θυσιῶν καὶ ἑορτῶν· τοὺς γὰρ ἐν ἀνάγκαις
τούτων οὐδὲ μεμνῆσθαι, ἀλλ' οἷς ὁ βίος ἐν εὐπαθείᾳ πολλῇ καὶ τρυφῇ.
90 βαρυτέρας οὖν ἢ πρότερον συμφορὰς ὑπομενόντων καὶ ἐπὶ τοῖς ἀμφὶ
Μωυσῆν δυσχεραινόντων ὡς | ἀπατεῶσι καὶ τὰ μὲν λάθρα τὰ δὲ φανερῶς p. 95 M.
κακηγορούντων καὶ ἀσεβείας αἰτιωμένων ἐπὶ τῷ δοκεῖν θεοῦ καταψεῦσθαι,
δεικνύειν ἄρχεται Μωυσῆς ἃ προὐδιδάχθη τέρατα, νομίσας τοὺς θεασο-
μένους ἐκ τῆς ἐπεχούσης ἀπιστίας εἰς πίστιν τῶν λεγομένων μεταβαλεῖν.
91 ἡ δὲ τῶν τεράτων ἐπίδειξις ἐγένετο καὶ τῷ βασιλεῖ διὰ σπουδῆς καὶ
τοῖς ἐν τέλει τῶν Αἰγυπτίων. (16.) πάντων οὖν τῶν δυνατῶν συρρυ-
έντων εἰς τὰ βασίλεια. λαβὼν τὴν βακτηρίαν ὁ Μωυσέως ἀδελφὸς καὶ
κατασείσας μάλα ἐπιδεικτικῶς εἰς τοὔδαφος ῥίπτει· καὶ ἡ μὲν δράκων

---

1 αὐτὸς VO: αὐτῆς Z, αὐτοῖς ceteri 2 λαὸν P ἱερουργήσαντα V^{1}H^{1}P 3 ἐν ἐρημίᾳ VOK^{2} 4 γινομένας GV^{2}O: γινομέναις ceteri (γενομέναις v) 5 νόμῳ καὶ τρόπῳ transp. Z διαφέροντι VO τῆς κοινότητος V^{2}O ἐθνῶν BKZVOH 6 ἰδιότας (sic) C ὅδ' Z προγονικῶ CG: προγονικῶν ceteri 7 ἔξω τῶν ὁρατῶν νοητὸν θεὸν transp. KZ 9 ἐξαποστέλλω V^{1}GHP: ἐξαποστελῶ CV^{2}O, ἀποστέλλω ceteri 10 ἑορτῶν Z ἀφηνιάσοντα BEM, ἀφηνιάσοντας C 11 τὴν] εἰς GHP, om. CVO 12 post ὡς add. εἰς G^{2}HP 13 τοὺς] τοῖς BEMA 14 οὐδὲν KZ πολλῇ om. A 15 ἐπὶ om. M 16 post δὲ add. καὶ HP 17 κατηγορούντων VOG^{1} ἀσεβείας Mang.: ἀσέβειαν codd. τῷ] τὸ C καταψεῦσθαι GHP: καταψεύδεσθαι ceteri 18 δεικνύειν GHP: διακονεῖν ceteri 18. 19 θεασομένους VOGHP θεασαμένους ceteri 19 εἰς τὴν πίστιν H 20 post βασιλεῖ add. αὐτῶ GHP 21 δυναστῶν coni. Mang. 21. 22 συρρεόντων G 22 μωυσέως VG: μωϋσοῦ C, μωσέως ceteri 23 ῥιπτεῖ BEMA, ῥόπτει G

---

1 sqq. Exod. cap. 5 20 sqq. Exod. 7, 10 sqq.

αὐτίκα γίνεται, οἱ δ᾽ ἐν κύκλῳ κατεθεῶντο καὶ ἅμα θαυμαστικῶς ἔχοντες
ὑπὸ δέους ἐξαναχωροῦντες ἀπέφευγον. σοφισταὶ δ᾽ ὅσοι καὶ μάγοι παρε- 92
τύγχανον „τί καταπλήττεσθε;“ εἶπον· „οὐδ᾽ ἡμεῖς τῶν τοιούτων ἀμελε-
τήτως ἔχομεν, ἀλλὰ χρώμεθα τέχνῃ δημιουργῷ τῶν ὁμοίων.“ εἶθ᾽
ἑκάστου βακτηρίαν ἣν εἶχε ῥίψαντος, δρακόντων πλῆθος ἦν καὶ περὶ ἕνα
τὸν πρῶτον εἱλοῦντο. ὁ δ᾽ ἐκ πολλοῦ τοῦ περιόντος διαναστὰς πρὸς 93
ὕψος τὰ μὲν στέρνα εὐρύνει, τὸ δὲ στόμα διοίξας ὁλκοῦ πνεύματος ῥύμῃ
βιαιοτάτῃ καθάπερ βόλον ἰχθύων πάντας ἐν κύκλῳ σαγηνεύσας ἐπισπᾶται
καὶ καταπιὼν εἰς τὴν ἀρχαίαν φύσιν τῆς βακτηρίας μετέβαλεν. ἤδη 94
μὲν οὖν ἐν ἑκάστου τῇ ψυχῇ τῶν ἐθελοκακούντων τὸ ὕποπτον διήλεγξεν
ἡ μεγαλουργηθεῖσα ὄψις, ὡς μηκέτι νομίζειν ἀνθρώπων σοφίσματα καὶ
τέχνας εἶναι τὰ γινόμενα πεπλασμένας πρὸς ἀπάτην, ἀλλὰ δύναμιν θειο-
τέραν τὴν τούτων αἰτίαν, ᾗ πάντα δρᾶν εὐμαρές. ἐπεὶ δὲ καὶ ὁμολογεῖν 95
ἀναγκασθέντες ὑπὸ τῆς τῶν γινομένων ἐμφανοῦς ἐναργείας οὐδὲν ἧττον
ἐθρασύνοντο, τῆς αὐτῆς ἀπανθρωπίας καὶ ἀσεβείας ὥσπερ ἀγαθοῦ τινος
ἐπειλημμένοι βεβαιοτάτου, μήτε τοὺς καταδουλωθέντας ἀδίκως ἐλεοῦντες
μήτε τὰ διὰ τῶν λόγων προσταττόμενα δρῶντες, ἅτε δὴ τοῦ θεοῦ
τρανοτέραις χρησμῶν ἀποδείξεσι ταῖς διὰ σημείων καὶ τεράτων τὸ βούλημα
δεδηλωκότος, ἐμβριθεστέρας ἐπανατάσεως ἐδέησε καὶ πληγῶν ἑσμοῦ,
αἷς οἱ ἄφρονες νουθετοῦνται, οὓς λόγος οὐκ ἐπαίδευσε.

1 καταθεῶντο C ἔχοντες] ἄγοντες A 2 ἔξω χωροῦντες BEMAKZ, ἐξανεχώρουν HP ἀπέφυγον CVO, ἔφευγον G, om. HP 3 καταπλήττεσθαι G 5 ἣν om. G καὶ] οἳ coni. Mang. 6 εἰλοῦντο BEV δὲ VO 7 διανοίξας VO Cat. 8 βιαιοτάτου K βόλος vel βόλους Cat., ἀμφιβόλῳ V²O 9 τῆς] τὰς V²O μετέβαλλεν H 9. 10 οὕτως μὲν οὖν ἑκάστου τοῦτο τεθεαμένου τῶν ἐθελοκακούντων Cat. 12 τέχνας] τεχνάσματα Cat. codd. nonnulli πεπλασμένα Cat. 12. 13 θειοτάτην A (Turn.) 13 ἐπεὶ GHP: ἐπειδὴ ceteri καὶ CVOHP: om. ceteri 14 ἐναργείας C² (coni. Mang.): ἐνεργείας ceteri 16 ἐνειλημμένοι C (et V¹ ut vid.), ἀντειλημμένοι V²OK²G, ἀντιλαμβανόμενοι mg. O βεβαιότητος K, βεβαιότητα Z, βιαιοτάτου BEMA 17 λόγων] λογίων coni. Mang. προσταττόμενοι A 18 ἐπιδείξεσι A(v) τὸ βούλημα] βούλημα in fine pag. om. B, τὸ in τοῦτο corr. m. alt., τοῦτο M 19 ἐπανατάσεως Mang.: ἐπαναστάσεως codd. ἐδέησεν CB 19. 20 ἑσμοῦ, αἷς Cat.: αἷς μόναις GHP, αἷς μόνον KZ, ἑσμοῦ (om. αἷς) ceteri 20 οἱ om. Cat. ἐπαίδευσεν CB Cat.

6—13 Catena in Exod. 7,12 (Cat. Lips. I p. 629) Φίλωνος ἑβραίου: ἐκ πολλοῦ τοῦ περιόντος διαναστὰς πρὸς ὕψος ὁ ἐκ τῆς ῥάβδου Μωυσέως γενόμενος δράκων τὰ μὲν στέρνα εὐρύνει — δρᾶν εὐμαρές. 10—13 *Procop. Gaz. Comment. in Exod. 7,12* (Migne t. 87,1 Col. 543 Wendland Neu entd. Fragm. Philos p. 93): ταῦτα διήλεγξε τὰ σοφίσματα καὶ τὰς πεπλασμένας τέχνας πρὸς ἀπάτην ἡ καταπιοῦσα ῥάβδος τοῦ Ἀαρὼν τὰς τῶν μάγων ὡς ἀπὸ θειοτέρας ποιήσασα τοῦτο δυνάμεως. 17—20 Catena in Exod. 7,13 (Cat. Lips. I p. 630) Φίλωνος ἑβραίου: ἅτε δὴ—ἐπαίδευσεν.

96 Δέκα δὲ ἐπάγονται τῇ χώρᾳ τιμωρίαι. κατὰ τῶν τέλεια ἡμαρτηκότων
τέλειος ἀριθμὸς κολάσεως· ἦν δὲ κόλασις παρηλλαγυῖα τὰς ἐν ἔθει.
(17.) τὰ γὰρ στοιχεῖα τοῦ παντός. γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ, ἐπι-
τίθενται, | δικαιώσαντος θεοῦ, οἷς ἀπετελέσθη ὁ κόσμος, τὴν ἀσεβῶν p. 96 M.
χώραν φθαρῆναι, πρὸς ἔνδειξιν κράτους ἀρχῆς ᾗ κέχρηται, τὰ αὐτὰ καὶ
σωτηρίως ἐπὶ γενέσει τῶν ὅλων σχηματίζοντος καὶ τρέποντος ὁπότε
97 βουληθείη πρὸς τὴν κατὰ τῶν ἀσεβῶν ἀπώλειαν. διανέμει δὲ τὰς κολάσεις,
τρεῖς μὲν τὰς ἐκ τῶν παχυμερεστέρων στοιχείων γῆς καὶ ὕδατος, ἐξ ὧν
ἀπετελέσθησαν αἱ σωματικαὶ ποιότητες, ἐφεὶς τῷ Μωυσέως ἀδελφῷ,
τὰς δ' ἴσας ἐξ ἀέρος καὶ πυρὸς τῶν ψυχογονιμωτάτων μόνῳ Μωυσεῖ,
μίαν δὲ κοινὴν ἀμφοτέροις ἑβδόμην ἐπιτρέπει, τρεῖς δὲ τὰς ἄλλας εἰς
98 συμπλήρωσιν δεκάδος ἀνατίθησιν αὑτῷ. καὶ πρώτας ἐπιφέρειν ἄρχεται
τὰς ἀφ' ὕδατος· ἐπειδὴ γὰρ τὸ ὕδωρ Αἰγύπτιοι διαφερόντως ἐκτετιμήκασιν
ἀρχὴν τῆς τῶν ὅλων γενέσεως τοῦτ' εἶναι νομίζοντες, αὐτὸ πρῶτον
ἠξίωσε καλέσαι πρὸς τὴν τῶν ἀποδεχομένων ἐπίπληξίν τε καὶ νουθεσίαν.

1 δ' AGHP, om. Cat. τελείως Cat. codd. nonnulli ἡμαρτημένων HP 2 κολάσεως om. Cat.; vel delendum vel scrib. κολάσεων censuit Mang. ἦν scripsi: ἡ codd. αἱ δὲ κολάσεις παρηλλαγυῖαι coni. Mang. ἔθνει (ἔθει) K 3 πῦρ καὶ ἀὴρ transp. KZ 4 τοῦ θεοῦ K 6 γενέσει corr. ex γεννήσει K 7 βουληθῇ A τῶν om. AGHP 8 τὰς om. VOG τῶν om. V^1, ss. V^2 9 αἱ σωματικαὶ] καὶ σώματι καὶ A πιότητες Z μωϋσέος M, μωσέως AKZ ἀδελφῶ mg. P, ἀνῶ (i. e. ἀνθρώπω) in textu P 10 ἀέρων G μωϋσεῖ CV^1OHP: μωϋσῇ ceteri 11 κοινὴν $CGHPK^1Z$: κοινωνεῖν ceteri ἀμφοτέραις O ἑβδόμην GHP: ἑπτὰ VO, om. ceteri 12 αὐτῶ codd. 13 ἀφ'] ἐφ' A (ἐξ v) 14 τοῦτο A 15 ἠξίωσεν Z, ἠξίωσαι K καλέσαι] κολάσαι A (prob. Mang.) ἔκπληξιν C

1. 2 ibid. Φίλωνος ἑβραίου: δέκα ἐπάγονται τῇ χώρᾳ πληγαί, κατὰ τῶν τελείως (τέλεια Monac. 9) ἡμαρτηκότων τέλειος ἀριθμός. προλέγει ὁ Μωσῆς τὰς πληγὰς καὶ τὸν καιρόν, ἵνα μὴ δόξῃ τοῖς πολλοῖς αὐτομάτως γίνεσθαι. 1—14 *Procop. Gaz. Comment. in Exod. 7,12* (Migne t. 87,1 Col. 545. 546 Wendland l. l.): δέκα δὲ ἐπάγονται τῇ χώρᾳ τιμωρίαι, κατὰ τῶν τέλεια ἡμαρτηκότων τέλειος ἀριθμὸς κολάσεως. ἡ δὲ κόλασις παραλλάττει τὰς ἐν ἔθει, δικαιώσαντος θεοῦ διὰ στοιχείων, οἷς ὁ κόσμος συνέστη, τὴν ἀσεβῶν φθείρεσθαι χώραν, πρὸς ἔνδειξιν κράτους ἀρχῆς. τρεῖς μὲν οὖν πληγὰς τὰς ἐκ τῶν παχυτάτων στοιχείων, γῆς καὶ ὕδατος, ὁ Μωυσέως ἀδελφὸς ἐπιτρέπεται, τὰς δὲ ἴσας ἐξ ἀέρος καὶ πυρὸς μόνος ὁ Μωυσῆς, μίαν δὲ κοινὴν ἄμφω τὴν ἑβδόμην, τὰς δὲ τρεῖς τὰς ἄλλας εἰς συμπλήρωσιν δεκάδος ἑαυτῷ θεὸς ἀνατίθησι. καὶ πρώτας ἐπιφέρειν ἄρχεται τὰς ἐξ ὕδατος· ἐπεὶ γὰρ ὕδωρ Αἰγύπτιοι διαφερόντως ἐτίμησαν ἀρχὴν τῆς τῶν ὅλων γενέσεως εἶναι τοῦτο νομίσαντες . . . 7 *Origenes in Exod. Homil. IV 3 (t. IX p. 37 Lomm.)* Sed et illa non minus mihi intuenda videtur observatio, cum quaedam verbera Aaron inferre dicitur Pharaoni vel Aegypto, quaedam Moses, quaedam vero ipse Dominus.

τί οὖν οὐκ εἰς μακρὰν συνέβη; τοῦ Μωυσέως ἀδελφοῦ προστάξει θείᾳ 99
κατενεγκόντος τὴν βακτηρίαν ἐπὶ τὸν ποταμόν, ὁ μὲν εὐθὺς ἀπ' Αἰθιοπίας
ἄχρι θαλάσσης εἰς αἷμα τρέπεται, συνεξαιματοῦνται δ' αὐτῷ λίμναι,
διώρυχες, κρῆναι, φρέατα, πηγαί, σύμπασα ἡ κατ' Αἴγυπτον οὐσία
ὕδατος, ὡς ἀπορίᾳ ποτοῦ τὰ παρὰ ταῖς ὄχθαις ἀναστέλλειν, τὰς δ'
ἀνατεμνομένας φλέβας καθάπερ ἐν ταῖς αἱμορραγίαις κρουνηδὸν αὐλοὺς
ἀκοντίζειν αἵματος, μηδεμιᾶς ἐνορωμένης διαυγοῦς λιβάδος. ἐναπέθνησκε 100
δὲ καὶ τὰ γένη τῶν ἰχθύων ἅπαντα, ἅτε τῆς ζωτικῆς δυνάμεως εἰς
φθοροποιὸν μεταβαλούσης, ὡς δυσωδίας πάντα διὰ πάντων ἀναπεπλῆσθαι
τοσούτων σηπομένων ἀθρόον σωμάτων· πολὺς δὲ καὶ ἀνθρώπων ὄχλος
ὑπὸ δίψους διαφθαρεὶς ἔκειτο σωρηδὸν ἐπὶ τῶν τριόδων, οὐ σθενόντων
ἐπὶ τὰ μνήματα τῶν οἰκείων τοὺς τετελευτηκότας ἐκκομίζειν. ἐπὶ γὰρ 101
ἡμέρας ἑπτὰ τὸ δεινὸν ἐκράτησεν, ἕως οἱ μὲν Αἰγύπτιοι τοὺς ἀμφὶ
Μωυσῆν, οὗτοι δὲ τὸν θεὸν ἱκέτευσαν, οἶκτον λαβεῖν τῶν ἀπολλυμένων·
ὁ δὲ τὴν φύσιν ἵλεως μεταβάλλει τὸ αἷμα εἰς ὕδωρ πότιμον ἀποδοὺς
τῷ ποταμῷ καθαρὰ τὰ ἀρχαῖα ῥεῖθρα καὶ σωτήρια. (18.) μικρὸν δὲ 102
ὅσον ἀνεθέντες ἐπὶ τὴν αὐτὴν ὠμότητα καὶ παρανομίαν ἵεντο, ὡς ἢ
τοῦ δικαίου παντάπασιν ἐξ ἀνθρώπων ἀφανισθέντος ἢ τῶν ὑπομεινάντων
μίαν τιμωρίαν δεύτερον οὐκ εἰωθότων ἐπιπλήττεσθαι· παθόντες δ' ἀνε-
διδάσκοντο νηπίων παίδων τρόπον μὴ καταφρονεῖν· ἡ γὰρ κόλασις
ἑπομένη κατ' ἴχνος μελλόντων μὲν ἐβράδυνε, πρὸς δὲ τὰ ἀδικήματα
p. 97 M. θέοντας ἐπιδραμοῦσα κατελάμβανε. πάλιν γὰρ ὁ Μωυσέως | ἀδελφὸς 103
κελευσθεὶς διώρυξι καὶ λίμναις καὶ ἕλεσι τὴν ῥάβδον ἐκτείνας ἐπιφέρει·
πρὸς δὲ τὴν ἔκτασιν βατράχων πληθὺς ἀνέρπει τοσαύτη, ὡς μὴ μόνον

1 τί] τοῦτο coni. Mang. μωσέως codd. 2 ἀπὸ AG 3 δὲ CVO
4 διώρυγες VO, διώρυχες K πηγαὶ om. BEMA 5 τὰ παρὰ ταῖς ὄχθαις CV^{1}GHPK^{1}Z: τὰς παρ' αὐταῖς ὄχθας V^{2}O, ταῖς (sic) παρ' αὐταῖς ὄχθας K^{2}, τὰς ὄχθας BEMA δὲ C 6 αὐλοὺς eras. V, om. O 7 διαυγὴς C^{1}, ἐναυγοῦς V^{1} ut vid., ἐν αὐτοῖς V^{2}OK^{2} 8 καὶ om. G πάντα CVO 9 μεταβαλλούσης BEMAHZ δι' ἁπάντων M 10 ἀθρόων HPKZ 14 ἱκέτευσαν GHP: ἱκέτευον ceteri 15 πότιμον] ποτάμιον BEMA 16 δ' AGHP 17 ὠμότατα M ἵεντο AK: ἴεντο ceteri 19 καὶ ante δεύτερον add. V^{2}O δευτέραν GK^{1}Z, δευτέρᾳ coni. Mang. οὐκ εἰωθότων] ἐθελόντων V^{2}OK^{2} ἐπιπλήττεσθαι GHP: πλήττεσθαι ceteri παθόντες] πάντες VO 19. 20 ἂν ἐδιδάσκοντο A 21 μελόντων KZ 22 καταλαμβάνει HP μωσέως codd. 24 ἀνέρπει GHP: ἀνεῖρπε ceteri

1 sqq. Exod. 7, 19—25 22 sqq. Exod. 8,1—15

ἀγορὰς καὶ πᾶσαν τὴν ὕπαιθρον. ἀλλὰ πρὸς τούτοις ἐπαύλεις, οἰκίας, ἱερά, πάντα ἰδιωτικὸν καὶ δημόσιον τόπον πεπληρῶσθαι, καθάπερ εἰς ἀποικίαν ἓν γένος τῶν ἐνύδρων τῆς φύσεως ἐκπέμψαι διανοηθείσης πρὸς

104 τὴν ἐναντίαν χώραν· ἐναντία γὰρ χέρσος ὕδατι. μήτ' οὖν ἔξω προελθεῖν ἕνεκα τοῦ προκατέχεσθαι τοὺς στενωποὺς μήτ' ἔνδον δυνάμενοι μένειν — καὶ γὰρ τὰ ἐν μυχοῖς ἤδη προκατειλήφεσαν ἄχρι καὶ τῶν ὑψηλοτάτων ἀνέρποντες — ἐν ἐσχάταις ἦσαν συμφοραῖς καὶ σωτηρίας ἀπογνώσει.

105 πάλιν οὖν καταφεύγουσιν ἐπὶ τοὺς αὐτούς, ὑποσχομένου τοῦ βασιλέως ἐπιτρέψαι τὴν ἔξοδον Ἑβραίοις· οἱ δὲ λιταῖς τὸν θεὸν ἐξευμενίζονται· καὶ ἐπινεύσαντος, τῶν φρύνων οἱ μὲν εἰς τὸν ποταμὸν ἀναχωροῦσι, τῶν δ' εὐθὺς διαφθαρέντων κατὰ τὰς τριόδους θημῶνες ἦσαν. σωρηδὸν ἐπιφερόντων καὶ τοὺς οἴκοθεν διὰ τὰς ἀνυποίστους ὀσμάς, αἳ ἐκ νεκρῶν σωμάτων καὶ τοιούτων ἀνεφέροντο, ἃ καὶ ἔμψυχα ὄντα πολλὴν ἀηδίαν

106 παρέχεται ταῖς αἰσθήσεσι. (19.) διαπνεύσαντες δὲ τῆς τιμωρίας ἐπ' ὀλίγον ὥσπερ ἐν τοῖς ἀγῶσιν ἀθληταὶ συλλεξάμενοι δύναμιν, ἵν' ἀπ' ἐρρωμενεστέρας ἰσχύος ἀδικῶσι, πάλιν εἰς τὴν συνήθη κακίαν ἀνέδραμον

107 ἐκλαθόμενοι ὧν τέως ὑπέμειναν κακῶν. ἐπισχὼν δὲ τὰς ἐκ τοῦ ὕδατος τιμωρίας ὁ θεὸς τὰς ἐκ γῆς ἐπέφερε τὸν αὐτὸν ἐπιστήσας κολαστήν, οὗ πάλιν κατὰ τὸ προσταχθὲν τῇ βακτηρίᾳ τοὔδαφος παίσαντος φορὰ σκνιπῶν

108 ἐχύθη καὶ ταθεῖσα καθάπερ νέφος ἅπασαν ἐπέσχεν Αἴγυπτον. τὸ δὲ ζῷον, εἰ καὶ βραχύτατον, ὅμως ἀργαλεώτατον· οὐ γὰρ μόνον λυμαίνεται τὴν ἐπιφάνειαν κνησμοὺς ἐμποιοῦν ἀηδεῖς καὶ βλαβερωτάτους, ἀλλὰ καὶ εἰς τἀντὸς βιάζεται διὰ μυκτήρων καὶ ὤτων· σίνεται δὲ καὶ κόρας

1 ἀγορὰς] ἀγροὺς coni. Mang. τὴν GHP: om. ceteri ὑπαίθριον GHP(v) 4 ἐναντίαν] τῶν ἐναντίων HP (Turn.) μήτε GHP 5 δυνάμενοι μένειν GHP: μένειν δυνάμενοι ceteri 6 τὰ om. P προκατειλήφεισαν HP(v) ὑψηλοτέρων O 7 ἐνέρποντες A 8 ἐπὶ τοὺς] εἰς BEMA 9 ἐξευμενίζοντο CBEMAK[1]Z 10 εἰς τὸν ποταμὸν om. A τὸν GHPV[2]O: om. ceteri
δια
11 δὲ VO καταφθαρέντων G θυμῶνες C 12 ἐπιφερομένων V[2]O τοὺς] τῶν V[2]O ὀδμάς KZ 14 ἀναπνεύσαντες coni. Mang. 15 ἵν' GHPKZ: om. ceteri 16 ἀδικῶσι GHPKZ: ἀδικοῦσι ceteri 17 ἐκλαθόμενοι om. A τὲ ὡς A ὑπέμειναν GHP: ὑπέμεῖναν (sic) A, ὑπέμενον ceteri 18 ἐκ τῆς γῆς O ἐπιφέρει BEMAKZ 19 τοὔδαφος om. M σκνηπῶν H, σκνιφῶν CVOBEM 20 ἐχύθη GHP: ἐξεχύθη ceteri 21 βαρύτατον M ἀλλ' ὅμως Z post λυμαίνεται add. τῶν σωμάτων V[2]OK[2] 21. 22 τὴν ἐπιφάνειαν λυμαίνεται transp. H(v) 22 ἐμποιῶν A βλαβερωτάτας BEM 23 τἀντὸς] τ' ἀυτος (sic) C, τὰ ἐντὸς A, παντὸς G διὰ] μέχρι BEMA

17 sqq. Exod. 8,16—19 20—146,8 *Procop. Gaz. Comment. in Exod. 8,16* (Migne t. 87,1 Col. 555 Wendland Neu entd. Fragm. Philos. p. 94): οἱ δὲ λεπτότατοι σκνῖπες

ὀφθαλμῶν εἰσπετόμενον, εἰ μὴ φυλάξαιτό τις· φυλακὴ δὲ τίς ἔμελλε
πρὸς τοσαύτην ἔσεσθαι φοράν, καὶ μάλιστα θεοῦ κολάζοντος; ἴσως ἂν 109
τις ἐπιζητήσειε, διὰ τί τοῖς οὕτως ἀφανέσι καὶ ἠμελημένοις ζῴοις ἐτι-
μωρεῖτο τὴν χώραν παρεὶς ἄρκτους καὶ λέοντας καὶ παρδάλεις καὶ τὰ
ἄλλα γένη τῶν ἀτιθάσων θηρίων, ἃ σαρκῶν ἀνθρωπείων ἅπτεται, καὶ
εἰ μὴ ταῦτα, τὰς γοῦν Αἰγυπτίας ἀσπίδας, ὧν τὰ δήγματα πέφυκεν
ἀνυπερθέτως ἀναιρεῖν. εἰ δ' ὄντως ἀγνοεῖ, μαθέτω· πρῶτον μὲν ὅτι 110
τοὺς οἰκήτορας τῆς χώρας ὁ θεὸς νουθετῆσαι μᾶλλον ἐβούλετο ἢ δια-
p. 98 M. φθεῖραι· βουληθεὶς γὰρ ἀφανίζειν εἰς | ἅπαν οὐκ ἂν ζῴοις ἐχρῆτο πρὸς
τὰς ἐπιθέσεις ὥσπερ συνεργοῖς, ἀλλὰ τοῖς θεηλάτοις κακοῖς, λιμῷ τε
καὶ λοιμῷ. μετὰ δὲ ταῦτα κἀκεῖνο προσδιδασκέσθω μάθημα πρὸς 111
ἅπαντα τὸν βίον ἀναγκαῖον· τί δὲ τοῦτ' ἐστίν; ἄνθρωποι μὲν γὰρ ὅταν
πολεμῶσι, τὸ δυνατώτατον εἰς συμμαχίαν ἐπικουρικὸν ἐξετάζουσιν, ὃ
τὴν αὐτῶν ἀσθένειαν ἐκπλήσει· θεὸς δ' ἡ ἀνωτάτω καὶ μεγίστη δύναμις
ὧν οὐδενός ἐστι χρεῖος· ἐὰν δέ που βουληθῇ καθάπερ ὀργάνοις τισὶ

1 εἰσπετώμενον AZ δὲ] δὴ A 2 post ἴσως add. δ' V²OK²; ⟨οὖν⟩ ἂν coni. Wendl. 3 οὕτω A, οὕτως om. K¹Z ἀφανέσι καὶ om. A 4 ἄρκους C καὶ pr. et alt. om. VO τὰ om. BEMAKZ 4. 5 τἄλλα VO 5 ἀτιθάσων CBEKHP: ἀτιθάσσων ceteri post ἃ add. καὶ BEMAKZ ἀνθρωπίων G, ἀνθρωπίνων A 6 δείγματα GP 7 εἰ δ' ὄντως ἀγνοεῖ om. C εἰ δ'] ὅδ' K¹Z ὄντως] οὕτως V²OK² ἀγνοεῖ GHP: ἀπορεῖ VOK², ἀναιρεῖ BEMA, om. K¹Z 8 τῆς χώρας om. L (Turn.) 10. 11 λοιμῷ τε καὶ λιμῷ transp. A 11 προδιδασκέσθω BEMA 12 δὲ] δαὶ BEM τοῦτ' CGHP: τοῦτό ceteri γὰρ VOGHPD: om. ceteri 13 δυνατώτερον H¹P ὀνομάζουσιν D^R 14 ἐκπλήσσει BEAH¹P, ἐκπλήττει D, ἐκπληρώσει KZ ὁ θεὸς D δὲ VOD ἡ om. D ἀνωτάτη D 15 ὧν] ᾧ C, ὃς V²O, ὧν ὃς K² οὐδενός ἐστι χρεῖος VOK²: οὐδενὸς χρεία (corr. ex χρεῖος) ἐστίν D^C, οὐδενὸς ἐν χρεία ἐστίν D^R, οὐδενὸς χρεῖος (om. ἐστι) CGHP, ᾧ οὐδενὸς χρεία K¹Z, om. BEMA δέ D: om. codd. που] περ A

ἀφανέσι δήγμασι τοὺς Αἰγυπτίους ἀλγύνουσι· δι' ὧν δείκνυται, ὡς οὐ καταφθεῖραι θεὸς παιδεῦσαι δὲ μόνον Αἰγυπτίους ἠβούλετο. ἢ γὰρ ἂν ἑρπετὰ καὶ θηρία κατὰ τούτων ἐκίνησε, μᾶλλον δὲ λιμόν τε καὶ λοιμόν. ἀλλ' οὐδὲ τοῖς μεγάλα δυναμένοις ζῴοις χρῆται πρὸς συμμαχίαν θεός, ὡς ἂν μὴ τῆς ἐκείνων δόξῃ δυνάμεως τὰ πραττόμενα, τοῖς δὲ λεπτοῖς καὶ ἀσθενέσιν ἀμάχους δυνάμεις ἐνίησιν, ὡς ὑπ' αὐτῶν ἀπαγορεῦσαι πᾶσαν τὴν Αἴγυπτον καὶ βοᾶν ἀναγκασθῆναι, ὅτι „δάκτυλος τοῦτο θεοῦ"· χεῖρα γὰρ θεοῦ μηδὲ τὸν σύμπαντα κόσμον ὑφίστασθαι. 4 cf. *Sap. Salom. 11,17 (18)* οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων ἢ θρασεῖς λέοντας. 12—146,4 D^C fol. 126^v τοῦ αὐτοῦ (Φίλωνος) ἐκ τοῦ αὐτοῦ λόγου (περὶ Μωυσέως βίου) D^R fol. 120^r τοῦ αὐτοῦ: ἄνθρωποι μὲν γὰρ — ἐγκατασκευάσας δι' αὐτῶν ἀμύνεται μὲν τοὺς ἀδικοῦντας, βοηθεῖ δὲ τοῖς ἀδικουμένοις.

χρήσασθαι πρὸς τὰς τιμωρίας, οὐ τὰ ἐρρωμενέστατα καὶ μέγιστα αἱρεῖται, τῆς τούτων ἀλκῆς ἥκιστα φροντίζων, ἀλλὰ τοῖς εὐτελέσι καὶ μικροῖς ἀμάχους καὶ ἀηττήτους δυνάμεις ἐγκατασκευάσας ἀμύνεται δι' αὐτῶν
112 τοὺς ἀδικοῦντας, καθὰ καὶ νῦν. τί γὰρ εὐτελέστερον σκνιπός; ἀλλ' ὅμως τοσοῦτον ἴσχυσεν, ὡς ἀπαγορεῦσαι πᾶσαν Αἴγυπτον καὶ ἐκβοᾶν ἀναγκασθῆναι, ὅτι „δάκτυλος θεοῦ τοῦτ' ἐστί“ (Exod. 8,19)· χεῖρα γὰρ θεοῦ μηδὲ τὴν σύμπασαν οἰκουμένην ὑποστῆναι ἂν ἀπὸ περάτων ἐπὶ πέρατα, μᾶλλον δ' οὐδὲ τὸν σύμπαντα κόσμον.

113 (20.) Τοιαῦται μὲν αἱ διὰ τοῦ Μωυσέως ἀδελφοῦ τιμωρίαι· ἃς δὲ αὐτὸς Μωυσῆς ὑπηρέτησε καὶ ἐξ οἵων τῆς φύσεως συνέστησαν μερῶν, κατὰ τὸ ἀκόλουθον ἐπισκεπτέον. ἀὴρ μὲν οὖν καὶ οὐρανός, αἱ καθαρώταται μοῖραι τῆς τῶν ὅλων οὐσίας, παρ' ὕδατος καὶ γῆς διαδέχονται τὴν ἐπ' Αἰγύπτῳ νουθεσίαν, ἧς ἐπίτροπος ἐχειροτονήθη Μωυσῆς.
114 ἤρξατο δὲ πρότερον τὸν ἀέρα διακινεῖν· Αἴγυπτος γὰρ μόνη σχεδόν τι παρὰ τὰς ἐν τῷ νοτίῳ κλίματι χώρας τῶν ἐτησίων ὡρῶν μίαν τὴν χειμερινὴν οὐ παραδέχεται, τάχα μέν, ὡς λόγος, διὰ τὸ μὴ πόρρω ζώνης διακεκαυμένης εἶναι, ῥέοντος τοῦ πυρώδους ἐκεῖθεν ἀφανῶς καὶ τὰν κύκλῳ πάντα ἀλεαίνοντος, τάχα δὲ ἐπεὶ καὶ ταῖς θεριναῖς τροπαῖς
115 πλημμυρῶν ὁ ποταμὸς προαναλίσκει τὰς νεφώσεις — ἄρχεται μὲν γὰρ ἐπιβαίνειν θέρους ἐνισταμένου, λήγει δὲ λήγοντος, ἐν ᾧ χρόνῳ καὶ οἱ ἐτησίαι καταράττουσιν ἐξ ἐναντίας τῶν τοῦ Νείλου στομάτων. δι' ὧν ἔτι κωλυόμενος ἐκχεῖσθαι, τῆς θαλάσσης ὑπὸ βίας τῶν ἀνέμων πρὸς ὕψος αἰρομένης καὶ τὰς τρικυμίας ὥσπερ μακρὸν τεῖχος ἀποτεινούσης, ἐντὸς εἰλεῖται. κἄπειτα τῶν ῥείθρων ὑπαντιαζόντων τοῦ τε κατιόντος

1 ἐρρωμενέστερα GZD[R] 2 τῆς τῶν ἀλκῆς ἥκιστα φροντιζόντων D[C] τούτων om. D[R] εὐτελεστέροις D καὶ μικροῖς om. D 4 εὐτελέστατον (τερον) G σκνηπός G 5 ὡς GHP: ὥστ' KZ, ὥστε ceteri 6 θεοῦ τοῦτ'] αὐτοῦ τ' Z 8 δὲ VOKZ 9 τοιαῦτα (sic) Z μωϋσέος KO, μωσέως MAΠ, μωσέος P 10 μωυσῆς αὐτὸς transp. CVO 11 καὶ ante αἱ add. BEMAKZ 12 παρὰ C καὶ om. V[1], add. V[2] 13 ἐπ' αἰγύπτω GHPKZ: ἐπ' αἴγυπτον ceteri μωσῆς O 14 μετακινεῖν (δια) G 15 τῷ om. GHP ὁρῶν G 17 post ζώνης add. τῆς V[2]O (fort. recte) κεκαυμένης BEMA post ῥέοντος add. γὰρ CBEM ἐκεῖθεν τοῦ πυρώδους transp. BEMAKZ ἀφανῶς] ἀφθόνως coni. Mang. 18 ἀλεαίνοντος GHP: λεαίνοντος BEMAVO, αὐαίνοντος CKZ 19 πλημμυρῶν scripsi (cf. § 202): πλημμύρων HPKZ, πλημμύρων G, πληθύνων ceteri προσαναλίσκει A μὲν om. BEAKZ, μὲν γὰρ om. M 20 θέρους om. A 20. 21 αἱ ἐτησίαι VO, αἱ ἐτήσιοι KZ, ὑετισίαι B, ὑετίαι M 21 καταράττουσιν CGHOZ: καταρράττουσιν ceteri post καταράττουσιν add. [illegible] GHP 24 εἰλεῖται BEVOHPZ

ἄνωθεν ἀπὸ τῶν πηγῶν καὶ τοῦ θύραζε χωρεῖν ὀφείλοντος ταῖς ἀνακο-
παῖς ἀνατρέχοντος εὐρύνεσθαί τε μὴ δυναμένων (αἱ γὰρ παρ' ἑκάτερα
ἐκθλίβουσιν ὄχθαι), μετεωριζόμενος ὡς εἰκὸς ἐπιβαίνει —, τάχα δ' 116
ἐπεὶ καὶ περιττὸν ἦν ἐν Αἰγύπτῳ χειμῶνα γενέσθαι· πρὸς ὃ γὰρ αἱ
τῶν ὄμβρων φοραὶ χρήσιμοι, καὶ ὁ ποταμὸς λιμνάζων τὰς ἀρούρας εἰς
καρπῶν ἐτησίων γένεσιν. ἡ δὲ φύσις οὐ ματαιουργός, ὡς ὑετὸν χορη- 117
p. 99 M. γεῖν μὴ δεομένῃ γῇ, καὶ | ἅμα χαίρει τῷ πολυτρόπῳ καὶ πολυσχιδεῖ
τῶν ἐπιστημονικῶν ἔργων τὴν συμφωνίαν τοῦ παντὸς ἐξ ἐναντιοτήτων
ἐναρμοσαμένη· καὶ διὰ τοῦτο τοῖς μὲν ἄνωθεν ἐξ οὐρανοῦ τοῖς δὲ
κάτωθεν ἐκ πηγῶν τε καὶ ποταμῶν παρέχει τὴν ἐξ ὕδατος ὠφέλειαν.
οὕτως οὖν τῆς χώρας διακειμένης καὶ ταῖς χειμεριναῖς ἐαριζούσης 118
τροπαῖς καὶ τῶν μὲν πρὸς θαλάττῃ μόναις ψεκάσιν ἀραιαῖς λιπαινομένων,
τῶν δ' ὑπὲρ Μέμφιν, τὸ βασίλειον Αἰγύπτου, μηδὲ νιφομένων τὸ παρά-
παν, ἐξαίφνης οὕτως ἐνεωτέρισεν ὁ ἀήρ, ὥσθ' ὅσα ἐν τοῖς δυσχειμέροις
ἀθρόα κατασκῆψαι, φορὰς ὑετῶν, χάλαζαν πολλὴν καὶ βαρεῖαν, ἀνέμων
συμπιπτόντων καὶ ἀντιπαταγούντων βίας, νεφῶν ῥήξεις, ἐπαλλήλους
ἀστραπὰς καὶ βροντάς, κεραυνοὺς συνεχεῖς, οἳ τερατωδεστάτην ὄψιν
παρείχοντο· θέοντες γὰρ διὰ τῆς χαλάζης, μαχομένης οὐσίας, οὔτε
ἔτηκον αὐτὴν οὔτε ἐσβέννυντο, μένοντες δ' ἐν ὁμοίῳ καὶ δολιχεύοντες
ἄνω καὶ κάτω διετήρουν τὴν χάλαζαν. ἀλλ' οὐ μόνον ἡ ἐξαίσιος φορὰ 119
πάντων τοὺς οἰκήτορας εἰς ὑπερβαλλούσας δυσθυμίας ἤγαγεν, ἀλλὰ καὶ

---

1 τοῦ om. A   post ὀφείλοντος add. καὶ HP   1. 2 post ἀνακοπαῖς add. δ' V²O   2 εὐρύνεται καὶ μὴ δυνάμενος συστέλλεσθαι V²O   3 ἐκθλίβουσιν GHP: θλίβουσιν ceteri   4 ἐν om. Mang.   γίνεσθαι V²O   5 καὶ om. V¹, add. V²   6 καρπὸν A   7 δεομένης γῆς VO, δυναμένη γῇ K¹   τῇ γῇ G   πολυσχεδεῖ CV¹A   9 ἁρμοσαμένη VOKZ   10 παρέχων A   11 ἐαριζούσαις Z   12 πρὸς] ἐν BEMAKZ   θαλάσσῃ (ττ superscr.) Z   μόναις] μόνον Cat., μόλις K¹Z   φαικάσιν Z   13 δὲ Cat.   ἔνθα τὸ βασίλειον Cat.   νιφομένων (ει superscr.) A, νειφομένων GHP   τὸ om. A   14 ταῖς δυσχειμερίαις Cat.   15 ἀθρόας V²O   χάλαζαν GHP: καὶ χάλαζαν ceteri   βαρεῖαν] βαθεῖαν GHP Cat.   16 βίας GHP (et V¹ ut vid.): βίαν C, βία ceteri   ἀλλεπαλλήλους KZ (Cat. Monac. 9)   17 καὶ om. GHP Cat.   συνεχεῖς κεραυνούς transp. HP   τερατωδεστέραν O Cat.   18 θέοντες] αἴθοντες V²OK²   μαχομένην οὐσίαν VO   οὔτ' A   19 ἔτεκον Z, ἔτεμον Cat.   οὔτ' A   δὲ BEM Cat.   20. 21 ἁπάντων φορὰ CVO   21 ὑπερβαλούσας MG   δυσφημίας A   ἦγεν GHP   καὶ om. H¹P

---

11 sqq. Exod. 9,22 sqq.   11—20 Catena in Exod. 9,24 (Cat. Lips. I p. 652) Φίλωνος ἑβραίου: τῆς Αἰγύπτου δὲ τῆς χειμερινῆς ἐαριζούσης τροπῆς (sic), τῶν μὲν πρὸς θαλάττῃ — διετήρουν τὴν χάλαζαν.

τὸ τοῦ πράγματος ἄηθες· ὑπέλαβον γάρ, ὅπερ καὶ ἦν, ἐκ μηνιμάτων θείων κεκαινουργῆσθαι τὰ συμβάντα, νεωτερίσαντος ὡς οὔπω πρότερον τοῦ ἀέρος ἐπὶ λύμῃ καὶ φθορᾷ δένδρων τε καὶ καρπῶν, οἷς συνεφθάρη ζῷα οὐκ ὀλίγα, τὰ μὲν περιψύξεσι, τὰ δὲ βάρει τῆς ἐπιπιπτούσης χαλάζης ὥσπερ καταλευσθέντα. τὰ δ' ὑπὸ τοῦ πυρὸς ἐξαναλωθέντα· ἔνια δ' ἡμίφλεκτα διέμενε τοὺς τύπους τῶν κεραυνίων τραυμάτων εἰς
120 νουθεσίαν τῶν ὁρώντων ἐπιφερόμενα. (21.) λωφήσαντος δὲ τοῦ κακοῦ καὶ πάλιν τοῦ βασιλέως καὶ τῶν περὶ αὐτὸν θρασυνομένων, εἰς τὸν ἀέρα Μωυσῆς τὴν ῥάβδον ἐκτείνει, κελεύσαντος τοῦ θεοῦ. κἄπειτ' ἄνεμος καταράττει, νότος βιαιότατος, ὅλην τὴν ἡμέραν καὶ νύκτα προσεπιτεινόμενος καὶ σφοδρυνόμενος. αὐτὸς καθ' αὑτὸν ὢν μεγάλη ζημία· ξηρός τε γάρ ἐστι καὶ κεφαλαλγὴς καὶ βαρυήκοος, ἄσας τε καὶ ἀδημονίας ἐμποιεῖν ἱκανός, καὶ μάλιστ' ἐν Αἰγύπτῳ κειμένῃ κατὰ τὰ νότια, δι' ὧν αἱ περιπολήσεις τῶν φωσφόρων ἀστέρων, ὡς ἅμα τῷ διακινηθῆναι
121 τὸν ἀφ' ἡλίου φλογμὸν συνεπωθεῖσθαι καὶ πάντα καίειν. ἀλλὰ γὰρ ἅμ' αὐτῷ καὶ πλῆθος ἀμήχανον ζῴων ἐπεφέρετο φθοροποιὸν φυτῶν, ἀκρίδες, αἳ ῥεύματος τρόπον ἀπαύστως ἐκχεόμεναι καὶ πάντα πληρώσασαι τὸν ἀέρα διέφαγον, ὅσα οἱ κεραυνοὶ ὑπελίποντο καὶ ἡ χάλαζα, ὡς |
122 μηδὲν ἐν τῇ τοσαύτῃ χώρᾳ βλαστάνον ἔτι θεωρεῖσθαι. τότε μόλις εἰς p. 100 M.
ἀκριβεστάτην ἔννοιαν τῶν οἰκείων ἐλθόντες οἱ ἐν τέλει κακῶν προσελθόντες ἔλεγον τῷ βασιλεῖ· „μέχρι τίνος οὐκ ἐπιτρέπεις τὴν ἔξοδον τοῖς

1 καὶ om. M 2 κεκαινουργεῖσθαι EG συμβάντα] σύμπαντα GHP[1] οὔπω GHP: οὐ ceteri 3 φθορᾷ] φορᾷ G 4 παραψύξεσι VO ἐπι-[πι]πτούσης E, ἐπιπτούσης C 5 τὰ—ἐξαναλωθέντα om. O τάδ' KZ, τὰ δὲ A καταναλωθέντα KZ 6 διέμεινε AVOZ 9 μωσῆς KZ κἄπειτα O 10 καταρράττει GH²K, καράττει (sic) M, καὶ ταράττει A νότος βιαιότατος GHP: νότος om. VO, βιαιότατος νότος ceteri τὴν νύκτα G, νύκτωρ H (Turn.) 10. 11 προσεπιτεινόμενος GHPKZ: ἐπιτεινόμενος ceteri (Mang.) 11 σφοδρυνόμενος KZ: σφοδρούμενος ceteri (v) 12 τε om. A ἐστι] ἦν V²O κεφαλγῆς[αλ] E, κεφαλγῆς B, κεφαλγὸς A βαρύκοος HP, βαρύκοος[ή] V, βαρήκοος O ἄσας] αὔας K¹Z αὐδημονίας Z, εὐδαιμονίας G 13 τὰ om. C 14 διακονιθῆναι M 15 πάντα] ταῦτα A καίειν] κινεῖν BEMA 16 ἅμα M αὐτῶ O ἀμήχανον GHPKZ: ἀμηχάνων ceteri 17 ἀκρίδας HP ἀπαύστως GHPKZ: om. ceteri 17. 18 ἐκχεόμεναι καὶ πάντα πληρώσασαι τὸν ἀέρα GKZ: om. ceteri (v) 18 διέφαγον GHP: τὰ δένδρα διέφαγον ceteri (τὰ δένδρα add. etiam mg. H) ὑπελείποντο C, διελείποντο VO 19 μόγις GHP, τοίνυν (pro μόλις) O 20 ἀκριβεστάτην GHP: ἀκριβεστέραν ceteri κακῶν GHPKZ: om. ceteri

7 sqq. Exod. 10,12—20

ἀνδράσιν; ἢ οὔπω μανθάνεις ἐκ τῶν γινομένων, ὅτι ἀπόλωλεν Αἴγυπτος;"
ὁ δ' ὅσα τῷ δοκεῖν ἐφιεὶς ὡμολόγει, χαλάσαντος τοῦ δεινοῦ. πάλιν
δ' εὐξαμένου Μωυσέως, ὑπολαβὼν ἐκ τῆς θαλάττης ἄνεμος ἀποσκίδνησι
τὰς ἀκρίδας. ἀνασκεδασθεισῶν δὲ καὶ τοῦ βασιλέως περὶ τὴν τοῦ ἔθνους 123
ἄφεσιν δυσθανατοῦντος, ἐπιγίνεται τῶν πρότερον κακῶν μεῖζον· λαμπρᾶς
γὰρ ἡμέρας οὔσης, ἐξαπιναίως ἀναχεῖται σκότος, ἴσως μὲν καὶ ἡλίου
γενομένης ἐκλείψεως τῶν ἐν ἔθει τελειοτέρας, ἴσως δὲ καὶ συνεχείαις
νεφῶν καὶ πυκνότησιν ἀδιαστάτοις καὶ πιλήσει βιαιοτάτῃ τῆς τῶν ἀκτίνων
φορᾶς ἀνακοπείσης, ὡς ἀδιαφορεῖν ἡμέραν νυκτὸς καὶ τί γὰρ ἀλλ' ἢ
μίαν νύκτα νομίζεσθαι μακροτάτην τρισὶν ἡμέραις ἴσην καὶ ταῖς ἰσαρίθ-
μοις νυξί. τότε δή φασι τοὺς μὲν ἐρριμμένους ἐν ταῖς εὐναῖς μὴ τολμᾶν 124
ἐξανίστασθαι, τοὺς δ' ὁπότε κατεπείγοι τι τῶν τῆς φύσεως ἀναγκαίων
ἐπαφωμένους τοίχων ἤ τινος ἑτέρου καθάπερ τυφλοὺς μόλις προέρχεσθαι·
καὶ γὰρ τοῦ χρειώδους πυρὸς τὸ φέγγος τὸ μὲν ὑπὸ τῆς κατεχούσης
ζάλης ἐσβέννυτο, τὸ δὲ τῷ βάθει τοῦ σκότους ἀμαυρούμενον ἐνηφανί-
ζετο, ὡς τὴν ἀναγκαιοτάτην ὄψιν τῶν αἰσθήσεων ὑγιαίνουσαν πηρὸν
εἶναι μηδὲν ὁρᾶν δυναμένην, τετράφθαι δὲ καὶ τὰς ἄλλας οἷα ὑπηκόους
πεσούσης τῆς ἡγεμονίδος· οὔτε γὰρ λέγειν τις οὔτ' ἀκούειν οὔτε προσ- 125
ενέγκασθαι τροφὰς ὑπέμενεν, ἀλλ' ἡσυχίᾳ καὶ λιμῷ παρέτεινον αὑτοὺς
οὐδεμιᾷ τῶν αἰσθήσεων σχολάζοντες, ἀλλ' ὑπὸ τοῦ πάθους ὅλοι συνηρ-
πασμένοι, μέχρι πάλιν Μωυσῆς λαβὼν οἶκτον ἱκετεύει τὸν θεόν· ὁ δὲ
φῶς ἀντὶ σκότους καὶ ἡμέραν ἀντὶ νυκτὸς ἐργάζεται σὺν αἰθρίᾳ πολλῇ.

---

2 ἐφιεῖν (sic) VO, ἀφιεὶς A; ἐφήσειν conicio χαλάσαντος GHPV²O: χαλάσαντος δὲ ceteri (v) 2. 3 πάλιν δ' GHP: δ' om. ceteri (v) 3 μωϋσέος MAKHP ὑποβαλὼν VO τῆς GHP: om. ceteri ἀποσκίδνησι GHP: ἀποσκεδάννυσι ceteri 4 ἀποσκεδασθεισῶν A 5 δυσθανατῶντος CGHPZ προτέρων AK¹Z κακὸν VO 6 μὲν om. KZ 7 γινομένης BEMKZ τελεωτέρας O 8 πιλείσῃ G βεβαιοτάτῃ coni. Mang. 11 δή om. GHP; δέ Turn. 12 κατεπείγοι τι GHP: τι om. Z, τι κατεπείγοι ceteri τῶν τε G 13 τοίχων GHP: τοίχου ceteri προσέρχεσθαι C¹V¹BEM, διέρχεσθαι G 14 τὰ μὲν CV¹BEMA 14. 15 ὑπὸ τῆς κατεχούσης ζάλης GHP: τῇ κατεχούσῃ ζάλῃ (χαλάζῃ O) ceteri 15 τὰ δὲ CV¹BEMA βάθει] βάρει GHP ἀμαυρούμενα CV¹BEMA 16 τῇ ἀναγκαιοτάτῃ ὄψει V²O ὄψιν fort. delendum ὑγιαινούσῃ V²O, τ' ὑγιαίνουσαν BEM, τὴν ἡγεμονεύουσαν AP² πηρὸν] πονηρὸν VOK² 17 μηδὲν GHP: μὴδ' VO, μηδὲ ceteri δυναμένην GHP: δυναμένῃ V²O, δυναμένων ceteri τοὺς ἄλλους O οἷα codd.: οἷον Mang. 18 οὔτε ἀκούειν G 18. 19 προσενέγκαι VO 19 αὐτοὺς CMGH¹PKZ 20 οὐδὲ μιᾷ BEM κολάζοντες M, ἐνασχολούμενοι mg. O 21 μωσῆς P λαβεῖν O οἶκτον λαβὼν transp. M 22 αἰθερία M

5 sqq. Exod. 10,21—29

126 (22.) Τοιαύτας φασὶ γενέσθαι καὶ τὰς διὰ μόνου Μωυσέως ἐπι-
πλήξεις, τὴν διὰ χαλάζης καὶ κεραυνῶν, τὴν διὰ τῆς ἀκρίδος, τὴν διὰ
σκότους, ὃ πᾶσαν ἰδέαν φωτὸς οὐ παρεδέχετο· κοινῇ δ' αὐτός τε καὶ
127 ὁ ἀδελφὸς μίαν ἐπετράπησαν, ἣν αὐτίκα σημανῶ. κελεύσαντος τοῦ
θεοῦ, τέφραν ἀπὸ καμίνου λαμβάνουσι ταῖς χερσίν, ἣν Μωυσῆς κατὰ
μέρος εἰς τὸν ἀέρα διέπαττεν· ἔπειτα κονιορτὸς αἰφνίδιον ἐπενεχθεὶς
ἀνθρώποις τε καὶ ἀλόγοις ζῴοις ἀγρίαν καὶ δυσαλγῆ κατὰ τῆς δορᾶς
ἁπάσης ἕλκωσιν εἰργάζετο καὶ τὰ σώματα εὐθὺς | συνῴδει ταῖς ἐξαν- p. 101 M.
θήσεσιν ὑποπύους ἔχοντα φλυκταίνας, ἃς ἐτόπασεν ἄν τις ἀφανῶς ὑπο-
128 καιομένας ἀναζεῖν. ἀλγηδόσι τε καὶ περιωδυνίαις κατὰ τὸ εἰκὸς ἐκ
τῆς ἑλκώσεως καὶ φλογώσεως πιεζόμενοι μᾶλλον ἢ οὐχ ἧττον τῶν
σωμάτων τὰς ψυχὰς ἔκαμνον ἐκτετρυχωμένοι ταῖς ἀνίαις — ἓν γὰρ ἄν
τις ἀπὸ κεφαλῆς ἄχρι ποδῶν συνεχὲς ἕλκος ἐθεάσατο, τῶν κατὰ μέλος
καὶ μέρος διεσπαρμένων εἰς μίαν καὶ τὴν αὐτὴν ἰδέαν ἀποκριθέντων —,
ἕως πάλιν ἱκεσίαις τοῦ νομοθέτου, ἃς ὑπὲρ τῶν πασχόντων ἐποιήσατο,
129 ἡ νόσος ῥάων ἐγένετο. κοινῇ μέντοι τὴν νουθεσίαν ταύτην ἐπετρά-
πησαν δεόντως, ὁ μὲν ἀδελφὸς διὰ τὸν ἐπενεχθέντα κονιορτόν, ἐπεὶ
τῶν ἀπὸ γῆς συμβαινόντων τὴν ἐπιμέλειαν ἔλαχε, Μωυσῆς δὲ διὰ τὸν
ἀέρα μεταβαλόντα πρὸς κάκωσιν τῶν οἰκητόρων· ταῖς δ' ἀπ' ἀέρος
καὶ οὐρανοῦ πληγαῖς οὗτος ὑπηρέτει.
130 (23.) Λοιπαὶ δὲ τιμωρίαι τρεῖς εἰσιν αὐτουργηθεῖσαι δίχα τῆς
ἀνθρώπων ὑπηρεσίας, ὧν κατὰ μίαν ἑκάστην, ὡς ἂν οἷόν τε ᾖ, δηλώσω.
πρώτη δ' ἐστὶν ἡ γενομένη διὰ ζῴου τῶν ἐν τῇ φύσει πάντων θρασυ-
τάτου, κυνομυίας, ἣν ἐτύμως ἐκάλεσαν οἱ θετικοὶ τῶν ὀνομάτων —

1 τοσαύτας M μωϋσέος MKHP 2 χαλάζης GHP: χαλαζῶν ceteri δι' ἀκρίδος M (fort. recte) 3 σκότους MGHP: τοῦ σκότους ceteri ἰδέαν] ἰδίαν M τε GHP: om. ceteri 5 μωσῆς O 5. 6 κατὰ μέρος om. KZ 7 καὶ ante ζῴοις add. C δυσαλγῆ GHP: δυσανθῆ A, δυσαλθῆ ceteri (Mang.) τῆς om. G 8 ἁπάσης GHPKZ: πάσης ceteri 8. 9 ἐξανθήσεσιν GHPKZ: ὑπανθήσεσιν ceteri 9 ὑπωπύους A φλυκταίναις M 10 ἀναζῆν GH τε] δὲ conicio περιοδυνίαις Z 11 φιλογνώσεως (sic) A 11. 12 τῶν σωμάτων om. KZ 12 ἔκαμον H[1]P ἐκτρυχόμενοι A 13 ἐθεάσατο GHP: ἐθεᾶτο ceteri 13. 14 μέρος καὶ μέλος transp. CVO 14 ἐσπαρμένων GHP[1] alt. καὶ om. C αὐτὴν om. CV[1]EA, ss. B συγκριθέντων coni. Mang. 16 ῥᾶον V[1] ut vid. 16. 17 ἐτράπησαν M 18 μωσῆς G post διὰ add. τὸ HP 19 δ'] γὰρ V[2]O 20 ὑπηρέτει GHP: ὑπηρετεῖτο ceteri 22 ὡς ἂν οἷόν τε ᾖ G, ὡς οἷόν τε ᾖ HP: ὡς οἷός τε ὦ A, ὡς ἂν οἷος τε ὦ ceteri 23 δέ ἐστιν CAVO 24 ἑτοίμως K

4 sqq. Exod. 9,8—12 23 sqq. Exod. 8,24 sqq.

σοφοὶ γὰρ ἦσαν — ἐκ τῶν ἀναιδεστάτων ζῴων συνθέντες τοὔνομα,
μυίας καὶ κυνός, τοῦ μὲν τῶν χερσαίων θρασυτάτου, τῆς δὲ τῶν πτηνῶν·
ἐπιφοιτῶσι γὰρ καὶ ἐπιτρέχουσιν ἀδεῶς, κἂν ἀνείργῃ τις, εἰς τὸ ἀήττητον
ἀντιφιλονεικοῦσιν, ἄχρις ἂν αἵματος καὶ σαρκῶν κορεσθῶσιν. ἡ δὲ 131
κυνόμυια τὴν ἀφ' ἑκατέρου τόλμαν προσειληφυῖα δηκτικὸν καὶ ἐπίβουλον
ζῷόν ἐστι· καὶ γὰρ πόρρωθεν μετὰ ῥοίζου καθάπερ βέλος εἰσακοντί-
ζεται καὶ ἐπεμπίπτουσα βιαίως εὖ μάλα ἐγχρίμπτεται. τότε δὲ καὶ 132
θεήλατος ἦν ἡ προσβολή, ὡς δεδιπλασιάσθαι τὴν ἐξ αὐτῆς ἐπιβουλὴν
οὐκέτι μόνον τοῖς φυσικοῖς κεχρημένης πλεονεκτήμασιν, ἀλλὰ καὶ τοῖς
ἐκ θείας ἐπιφροσύνης, ἣ τὸ ζῷον ὥπλιζε καὶ πρὸς ἀλκὴν ἀνήγειρε κατὰ
τῶν ἐγχωρίων. μετὰ τὴν κυνόμυιαν εἵπετο τιμωρία πάλιν ἄνευ συμ- 133
πράξεως ἀνθρωπίνης, βοσκημάτων θάνατος· βουκόλια γὰρ καὶ αἰπόλια
καὶ ποίμνια μεγάλα καὶ ὅσαι ὑποζυγίων καὶ ἄλλων θρεμμάτων ἰδέαι
πᾶσαι μιᾷ ἡμέρᾳ, ὡς ἀφ' ἑνὸς συνθήματος, ἀγεληδὸν διεφθείροντο,
p. 102 M. τὴν ἀνθρώπων | ἀπώλειαν, ἣ μικρὸν ὕστερον ἔμελλε γίνεσθαι, προ-
μηνύουσαι καθάπερ ἐν ταῖς λοιμώδεσι νόσοις· λέγεται γὰρ προάγων
τις εἶναι λοιμικῶν ἀρρωστημάτων ἡ ζῴων ἀλόγων αἰφνίδιος φθορά.
(24.) μεθ' ἣν ἡ δεκάτη καὶ τελευταία δίκη πάσας ὑπερβάλλουσα τὰς 134
προτέρας ἐπεγένετο, θάνατος Αἰγυπτίων οὔτε πάντων — οὐ γὰρ ἐρη-
μῶσαι τὴν χώραν προῃρεῖτο ὁ θεὸς ἀλλὰ νουθετῆσαι μόνον — οὔτε
τῶν πλείστων ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἐξ ἁπάσης ἡλικίας, ἀλλὰ τοῖς

1 συνθέντες om. VO τὸ ὄνομα VO 2 τοῦ] τῆς A τοῦ χερσαίου C χερσαίων θρασυτάτου] θηρίων οὔσης A τῆς] τοῦ BEMGKZ 3 post ἐπιφοιτῶσι add. τε G ἀδεῶς] ἀναιδῶς coni. Mang. εἴργῃ KZ 4 ἂν GHP: om. ceteri σαρκὸς K[1]O 5 post δηκτικὸν add. γὰρ A ἐπίβολον coni. Mang. 7 ἐπεμπίπτουσα GHP: ἐπιπίπτουσα O, ἐπεισπίπτουσα ceteri εὖ μάλα om. M ἐγχρίπτεται MAOGPKZ καὶ om. M 8 προβολή HP ἐπιβουλίαν H; ἐπιβολὴν coni. Mang. 9 κεχρημένης GHP: χρωμένης KZ, χρωμένη CBEMA, χρωμένην VO χρωμένη τοῖς φυσικοῖς transp. A alt. τοῖς] τῆς L (Turn.) 10 ὥπλιζε GHP: ὥπλικε ceteri διήγειρε BEMAKZ 12 καὶ add. ante βοσκημάτων G καὶ om. G 13 ὅσα KZ ἄλλων GHP: ὅσαι ceteri ἰδέαι] ἀγέλαι VO 14 διεφθείρετο G 15 μικρὸν GHP: πρὸς μικρὸν ceteri ἔμελλε corr. ex ἤμελλε B, ἤμελλε EA 15. 16 προμηνύουσαι H[2]Z: προμηνύουσα ceteri 16 γὰρ] γοῦν CV[1]HP 16. 17 προάγων τις VOK[2], προαγών τις CBEM: προαγωγός τις A, προαγωγόν τι GHPK[1]Z 17 ἀρρωστημάτων GHP: νόσων ceteri (v) ἄλογος H[1]P αἰφνίδιος om. KZ φορά G 19 πρότερον O ἐγένετο M οὔτε πάντων om. O οὐ C: οὐδὲ BEMAKZ, οὔτε VOGHP 20 ὁ om. M

11 sqq. Exod. 9,3—6 18 sqq. Exod. 12,29 sqq.

ἄλλοις τῆς ἐφιεὶς μόνων τῶν πρωτοτόκων καταψηφίζεται θάνατον ἀρξά-
μενος ἀπὸ τοῦ πρεσβυτάτου τῶν βασιλέως παίδων καὶ λήξας εἰς τὸν
135 τῆς ἀφανεστάτης ἀλετρίδος. περὶ γὰρ μέσας νύκτας οἱ πρῶτοι πατέρας
καὶ μητέρας προσειπόντες καὶ ὑπ᾽ ἐκείνων υἱοὶ πάλιν πρῶτον ὀνομα-
σθέντες ὑγιαίνοντες καὶ τὰ σώματα ἐρρωμένοι πάντες ἀπ᾽ οὐδεμιᾶς
προφάσεως ἡβηδὸν ἐξαπιναίως ἀνῄρηντο καὶ οὐδεμίαν οἰκίαν ἀμοιρῆσαί
136 φασι τότε τῆς συμφορᾶς. ἅμα δὲ τῇ ἕῳ κατὰ τὸ εἰκὸς ἕκαστοι θεασά-
μενοι τοὺς φιλτάτους ἀπροσδοκήτως τετελευτηκότας, οἷς ὁμοδίαιτοι καὶ
ὁμοτράπεζοι μέχρι τῆς ἑσπέρας ἐγεγένηντο, βαρυτάτῳ πένθει κατα-
σχεθέντες οἰμωγῆς πάντα ἐνέπλησαν, ὥστε συνέβη καὶ διὰ τὴν κοινο-
πραγίαν τοῦ πάθους ἁπάντων ἀθρόως ὁμοθυμαδὸν ἐκβοησάντων ἕνα
θρῆνον ἀπὸ περάτων ἐπὶ πέρατα κατὰ πάσης τῆς χώρας συνηχῆσαι.
137 καὶ μέχρι μὲν ἐν ταῖς οἰκίαις διέτριβον, ἀγνοῶν ἕκαστος τὸ τοῦ πλησίον
κακὸν ἐπὶ τῷ ἑαυτοῦ μόνον ἔστενε, προελθὼν δὲ καὶ γνοὺς τὰ τῶν ἄλλων
διπλοῦν πένθος πρὸς τῷ ἰδίῳ καὶ τὸ κοινὸν εὐθὺς ἐλάμβανεν, ἐπ᾽
ἐλάττονι καὶ κουφοτέρῳ μεῖζον καὶ βαρύτερον, ἅτε καὶ τὴν ἐλπίδα τῆς
παραμυθίας ἀφῃρημένος· τίς γὰρ ἔμελλε παρηγορεῖν ἕτερον αὐτὸς ὢν
138 τοῦδε χρεῖος; ὅπερ δ᾽ ἐν τοῖς τοιούτοις φιλεῖ, τὰ παρόντα νομίσαντες
ἀρχὴν εἶναι μειζόνων καὶ περὶ τῆς τῶν ἔτι ζώντων ἀπωλείας κατα-
δείσαντες συνέδραμον εἰς τὰ βασίλεια δεδακρυμένοι καὶ τὰς ἐσθῆτας
περιερρηγμένοι κατεβόων τε τοῦ βασιλέως ὡς πάντων αἰτίου τῶν συμ-
139 βεβηκότων δεινῶν. εἰ γάρ, ἔλεγον, εὐθὺς ἐν ἀρχῇ Μωυσέως ἐντυχόντος
εἴασεν ἐξελθεῖν τὸ ἔθνος, οὐδενὸς ἂν τῶν γεγονότων πειραθῆναι τὸ
παράπαν· εἴξαντος δ᾽ αὐθαδείᾳ τῇ συνήθει, τὰ ἐπίχειρα τῆς ἀκαίρου
φιλονεικίας ἐξ ἑτοίμου λαβεῖν. εἶτ᾽ ἄλλος ἄλλον παρεκάλει τὸν λεὼν
μετὰ πάσης σπουδῆς ἐξ ἁπάσης τῆς χώρας ἐξελαύνειν, καὶ τὸ μίαν

---

1 ἐφιεὶς GHP: ἐφεὶς ceteri   μόνον OZ   2 βασιλέων V[1], βασιλείων V[2]O
3 ἀλεστρίδος O   πρῶτον BEMAP[2]KZ   4 πρῶτον om. AVOK   5 post
πάντες add. δ᾽ KZ   6 οὐδεμίαν] μίαν οὐδὲ μίαν CVO   ἀμοιρίσαι A
7 τῆς τότε transp. Mang.   9 ἄχρι O   10 καὶ GHP: om. ceteri
12 συνηχῆσαι κατὰ πάσης τῆς οἰκουμένης (sic pro χώρας) transp. A   14 τῷ] τὸ
EAPZ, τὸ τοῦ G   προσελθὼν G   15 ἐπ᾽ GHP: om. ceteri   16. 17 τῆς
παραμυθίας om. M   17 ἀφαιρούμενος BEMAKZ   ἔμελλε παρηγορεῖν ἕτερον
GHP: ἔμελλεν ἕτερον παρηγορεῖν KZ, ἔμελλε παρηγορεῖν (om. ἕτερον) ceteri   19 τῆς
VOGH[2]: om. ceteri   ἔτι GHP: om. ceteri   ἀπωλείας GHP: om. ceteri
21 τε om. BEMA   22 μωϋσέος BMAKHP   23 εἴασαν M   ὑπεξελθεῖν
CVG   24 μὴ εἴξαντος V[1]O, μὴ expunxit V[2]   25 εἶτα CVBEKZ
26 πάσης om. V   ἐξ ἁπάσης mg. O, πάσης in textu O   ἐξελαύνειν GHPO:
ἐλαύνειν ceteri

ἡμέραν μᾶλλον δὲ ὥραν αὐτὸ μόνον κατασχεῖν πρὸς ἀνήκεστον τιμωρίαν
p. 103 M. τιθέμενοι. (25.) | οἱ δ' ἐλαυνόμενοι καὶ διωκόμενοι τῆς αὐτῶν εὐγενείας 140
εἰς ἔννοιαν ἐλθόντες τόλμημα τολμῶσιν, ὁποῖον εἰκὸς ἦν τοὺς ἐλευθέρους καὶ μὴ ἀμνήμονας ὧν ἐπεβουλεύθησαν ἀδίκως. πολλὴν γὰρ λείαν 141
ἐκφορήσαντες τὴν μὲν αὐτοὶ διεκόμιζον ἐπηχθισμένοι, τὴν δὲ τοῖς ὑποζυγίοις ἐπέθεσαν, οὐ διὰ φιλοχρηματίαν ἤ, ὡς ἄν τις κατηγορῶν εἴποι, τὴν τῶν ἀλλοτρίων ἐπιθυμίαν — πόθεν; — ἀλλὰ πρῶτον μὲν ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν ἀναγκαῖον μισθὸν κομιζόμενοι, εἶτα δὲ ὑπὲρ ὧν κατεδουλώθησαν ἐν ἐλάττοσι καὶ οὐχὶ τοῖς ἴσοις ἀντιλυποῦντες· ποῦ γὰρ ἔσθ' ὅμοιον ζημία χρημάτων καὶ στέρησις ἐλευθερίας, ὑπὲρ ἧς οὐ μόνον προΐεσθαι τὰς οὐσίας οἱ νοῦν ἔχοντες ἀλλὰ καὶ ἀποθνήσκειν

1 αὐτὸν CBM αὐτὸ μόνον om. A πρὸς] εἰς conicio ἀνηκέστου τιμωρίας coni. Mang. 2 οἷδ' Z, οἱ δὲ VO ἐξελαυνόμενοι KZ αὑτῶν codd. 3 τοὺς] τέως KZ 5 ἐκφορήσαντες GHP Cat. (cf. Clem. Al.): εὐφορήσαντες BEMVOKZ, εὐφρονήσαντες A, συμφορήσαντες C 6 κακηγορῶν coni. Mang. εἴπῃ M 7 ὧν] ὃ H¹P, ὂν H² 8 ἀναγκαῖον—κατεδουλώθησαν (9) om. A κομισάμενοι K (ζό supra) εἶτα] ἔνθα Cat. δὲ GHP Cat.: δὲ καὶ ceteri 10 ἐστιν Cat. 11 προΐεσθαι] προΐασι vel πρόεισι Cat.

2—154,7 Catena in Exod. 12,36 (Cat. Lips. I p. 692) Φίλωνος ἑβραίου: μετὰ τὴν τῶν πρωτοτόκων τῶν Αἰγυπτίων ἀπώλειαν οἱ Ἑβραῖοι ἐλαυνόμενοι καὶ διωκόμενοι — ὑπερέχοντος τοῦ δικαίου. *Procop. Gaz. Comm. in Exod. 11,2* (Migne t. 87, 1 Col. 559 Wendland Neu entd. Fragm. Philos p. 94): σκυλεύουσι τοὺς Αἰγυπτίους οὐ τῶν ἀλλοτρίων ἐπιθυμοῦντες — ἄπαγε —, ἀλλ' ὧν ὑπηρέτησαν ἀναγκαῖον μισθὸν κομιζόμενοι καὶ οὐκ ἴσοις ἀντιλυποῦντες· ποῦ γὰρ ἴσον ἐλευθερία καὶ χρήματα; ἧς αὐτοὺς ἱκέτας ὄντας καὶ ξένους ἐστέρησαν· ὑπὲρ ἧς οὐ μόνον οὐσίας προΐεσθαι καὶ τὰς ψυχὰς δὲ προθύμως οἱ γενναῖοι τῶν ἀνθρώπων ἐθέλουσιν· ἧς ἀποστερήσαντες ὡς ἐν πολέμῳ τούτους αἰχμαλώτους εἰργάσαντο. ἐν ἑκατέρῳ δὴ κατώρθουν, εἴθ' ὡς ἐν εἰρήνῃ μισθὸν λαμβάνοντες παρ' ἀκόντων, ἃ (ὃν?) πολὺν χρόνον οὐκ ἀποδιδόντων ἐστέρηντο, εἴθ' ὡς ἐν πολέμῳ λάφυρα κομιζόμενοι δίχα τῆς ἐν ὅπλοις παρασκευῆς ἀμυνόμενοι, θεοῦ τὴν δίκην βραβεύσαντος. νόμος δὲ πολέμου τοῖς κεκρατηκόσιν τὰ τῶν ἡττημένων χαρίζεται· ἀλλ' οὐδὲ κατὰ πολεμίων ὁ δόλος ἀπόβλητος. 4 sqq. *Clem. Alex. Strom. I 23 p. 415 P.* . . . ὕστερόν τε ἐξιόντες οἱ Ἑβραῖοι πολλὴν λείαν τῶν Αἰγυπτίων ἐκφορήσαντες ἀπῄεσαν, οὐ διὰ φιλοχρηματίαν, ὡς οἱ κατήγοροί φασιν — οὐδὲ γὰρ ἀλλοτρίων αὐτοὺς ἀνέπειθεν ἐπιθυμεῖν ὁ θεός —, ἀλλὰ πρῶτον μὲν ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν τοῖς Αἰγυπτίοις μισθὸν ἀναγκαῖον κομιζόμενοι, ἔπειτα δὲ καὶ τρόπον τινὰ ἠμύναντο ἀντιλυποῦντες ὡς φιλαργύρους Αἰγυπτίους τῇ τῆς λείας ἐκφορήσει, καθάπερ ἐκεῖνοι τοὺς Ἑβραίους τῇ καταδουλώσει. εἴτ' οὖν, ὡς ἐν πολέμῳ φαίη τις τοῦτο γεγονέναι, τὰ τῶν ἐχθρῶν φέρειν ἠξίουν νόμῳ τῶν κεκρατηκότων ὡς κρείττονες ἡττόνων — καὶ τοῦ πολέμου ἡ αἰτία δικαία· ἱκέται διὰ λιμὸν Ἑβραῖοι ἧκον πρὸς Αἰγυπτίους, οἱ δὲ τοὺς ξένους καταδουλωσάμενοι τρόπον αἰχμαλώτων ὑπηρετεῖν ἠνάγκασαν σφίσι μηδὲ τὸν μισθὸν ἀποδιδόντες —, εἴτε ὡς ἐν εἰρήνῃ μισθὸν ἔλαβον τὴν λείαν παρὰ ἀκόντων τῶν πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀλλὰ ἀποστερούντων.

142 ἐθέλουσιν; ἐν ἑκατέρῳ δὴ κατώρθουν, εἶθ' ὡς ἐν εἰρήνῃ μισθὸν λαμ-
βάνοντες, ὃν παρ' ἀκόντων πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀπεστεροῦντο,
εἶθ' ὡς ἐν πολέμῳ τὰ τῶν ἐχθρῶν φέρειν ἀξιοῦντες νόμῳ τῶν κεκρατη-
κότων· οἱ μὲν γὰρ χειρῶν ἦρξαν ἀδίκων, ξένους καὶ ἱκέτας, ὡς ἔφην
πρότερον, καταδουλωσάμενοι τρόπον αἰχμαλώτων, οἱ δὲ καιροῦ παρα-
πεσόντος ἠμύναντο δίχα τῆς ἐν ὅπλοις παρασκευῆς, προασπίζοντος καὶ
τὴν χεῖρα ὑπερέχοντος τοῦ δικαίου.
143 (26.) Τοσαύταις μὲν δὴ πληγαῖς καὶ τιμωρίαις Αἴγυπτος ἐνουθετεῖτο,
ὧν οὐδεμία τῶν Ἑβραίων καίτοι γε ἐν ταῖς αὐταῖς πόλεσι καὶ κώμαις
καὶ οἰκίαις συνδιατριβόντων ἥψατο, γῆς ὕδατος ἀέρος πυρός, ἃ μέρη
τῆς φύσεώς ἐστιν, ἣν ἀμήχανον ἐκφυγεῖν, ἐπιθεμένων· ὃ δὴ καὶ παρα-
δοξότατον ἦν, ὑπὸ τῶν αὐτῶν κατὰ τὸν αὐτὸν τόπον καὶ χρόνον τοὺς
144 μὲν διαφθείρεσθαι, τοὺς δὲ σῴζεσθαι. ὁ ποταμὸς εἰς αἷμα μετέβαλεν,
ἀλλ' οὐχ Ἑβραίοις· ἡνίκα γὰρ βουληθεῖεν ἀρύσασθαι, τροπὴν ἐλάμβανεν
εἰς πότιμον. βάτραχος ἐκ τῶν ὑδάτων ἐπὶ τὴν χέρσον ἀνερπύσας ἀγορὰς
καὶ ἐπαύλεις καὶ οἰκίας ἐπλήρωσεν, ἀλλ' ἀπὸ τῶν Ἑβραίων ἐξανεχώρει
μόνων καθάπερ διακρίνειν ἐπιστάμενος, οὕς τε χρὴ κολάζεσθαι καὶ τοὐναν-
145 τίον. οὐ σκνίπες, οὐ κυνόμυια, οὐκ ἀκρίς, ἣ καὶ φυτὰ καὶ καρποὺς καὶ ζῷα
καὶ ἀνθρώπους μεγάλα ἔβλαψε, τούτοις προσέπτησαν· οὐχ ὑετῶν, οὐ χαλά-
ζης, οὐ κεραυνῶν αἱ γενόμεναι | συνεχεῖς φοραὶ μέχρι τούτων ἔφθασαν· p. 104 M.
ἑλκώσεως τῆς ἀργαλεωτάτης εἰς τὸ παθεῖν οὐδ' ὄναρ ἐπῄσθοντο· βαθυ-

1 ἐθέλουσιν GHP Cat.: τολμῶσιν ceteri ἐν ἑκατέρῳ GHPK^{1}Z Cat.: ἑκατέρῳ (om. ἐν) C, ἑκατέρως VOK^2, ἑκάτερον BEMA δὴ] δ' οὖν V^{2}O, δὲ Cat. κατορθοῦντες V^{2}O Cat. εἶθ' GHP: καὶ V^{2}O, εἴτε ceteri 1. 2 εἶθ'—λαμβάνοντες om. Cat. 2 ὃν παρ' ἀκόντων A, ὃν παρὰ ἀκόντων CVOBEM: ὃν παρὰ (περὶ Z) ἑκόντων KZ, ὃν παρ' ἑκόντων G, ὧνπερ ἑκόντων H^{1}P, ὧν παρ' ἑκόντων H^2, ἅπερ ἀκόντων Cat. 3 εἶθ' E, εἶτ' V^1, εἶτα καὶ V^{2}OK^2 4 γὰρ om. G ἦρξαν χειρῶν transp. HP 4. 5 ὡς ἔφην πρότερον om. O 6 δίχα] διὰ VO τῆς] τοῖς MGP προασπίζοντες G 7 δικαίου ⟨θεοῦ⟩ coni. Mang., sed cf. § 260 8 τιμωρίαις] νουθεσίαις K^{1}Z 9 καίτοι γε ἐν ταῖς αὐταῖς G: καίτοι γε ἐν ταῖς αὐτῶν HP, καίτοι γε ταῖς αὐταῖς C, καίτοι ταῖς αὐταῖς B^{2}MKZ, καίτοι γε τοσαύταις VO, καίτοι τοσαύταις B^{1}E, καὶ τοιαύταις A 10 καὶ οἰκίαις om. KZ (fort. recte) συνδιατριψάντων K 11 φύσεως] κτίσεως V^{2}O ἐστιν, ἣν] ἐστι καὶ ἦν V^{2}O post ἀμήχανον add. ἐστὶν G ὃ δὴ] ὃν νῦν G 12 καὶ om. O 13 μετέβαλλεν K 14 ἀρρύσασθαι HPZ 15 εἰς om. O ἐπὶ τὴν χέρσον om. GHP ἀγορὰς] ἀγροὺς coni. Mang.; cf. 144,1 16 ἀνεχώρει G 17 μόνον VO οὕς τε] οὔτε C^1, ὅν τε C^2, οὕσπερ G χρὴ] δὴ G (χρὴ supra lineam) 18 σκνῆπες G, σκνίφες CVBEM, κνίφες O κυνόμυιαι O ζῷα καὶ καρποὺς transp. VO 19 μεγάλα om. BEMAKZ καὶ τούτοις G 20 γενόμεναι GHP: γινόμεναι ceteri 21 ἤσθοντο G

τάτου σκότους τοῖς ἄλλοις ἀναχυθέντος, ἐν αὐγῇ καθαρᾷ διήγαγον, τοῦ ἡμερησίου φωτὸς ἐπιλάμποντος· ἀναιρουμένων τῶν παρ' Αἰγυπτίοις πρωτοτόκων, ἐτελεύτησεν Ἑβραῖος οὐδείς· οὐδὲ γὰρ εἰκὸς ἦν, ὁπότε καὶ ἡ τῶν ἀμυθήτων φθορὰ θρεμμάτων οὐδεμίαν τῶν παρὰ τούτοις ἀγέλην συνεπεσπάσατο πρὸς ἀπώλειαν. καί μοί τις δοκεῖ παρατυχὼν 146 τοῖς γενομένοις κατ' ἐκεῖνον τὸν καιρὸν μηδὲν ἂν ἄλλο νομίσαι τοὺς Ἑβραίους ἢ θεατὰς ὧν ἕτεροι κακῶν ὑπέμενον καὶ οὐ μόνον * * *, ἀλλὰ καὶ μαθημάτων τὸ κάλλιστον καὶ ὠφελιμώτατον ἀναδιδασκομένους, εὐσέβειαν· οὐ γάρ ποθ' οὕτως ἡ τῶν ἀγαθῶν καὶ κακῶν κρίσις ἐμφανῶς ἦλθε τοῖς μὲν φθορὰν τοῖς δὲ σωτηρίαν παρασχοῦσα.

(27.) Τῶν δ' ἐξιόντων καὶ μετανισταμένων οἱ μὲν ἀνδρὸς ἔχοντες 147 ἡλικίαν ὑπὲρ ἑξήκοντα μυριάδας ἦσαν, ὁ δ' ἄλλος ὅμιλος πρεσβυτῶν, παίδων, γυναικῶν οὐ ῥᾴδιος ἀριθμηθῆναι· μιγάδων δὲ καὶ συγκλύδων καὶ θεραπείας ὄχλος συνεξῆλθεν ὡσανεὶ νόθον μετὰ γνησίου πλήθους· οὗτοι δ' ἦσαν οἱ ἐκ γυναικῶν γεννηθέντες Αἰγυπτίων τοῖς Ἑβραίοις καὶ τῷ πατρῴῳ γένει προσνεμηθέντες καὶ ὅσοι τὸ θεοφιλὲς ἀγάμενοι τῶν ἀνδρῶν ἐπηλύται ἐγένοντο καὶ εἰ δή τινες τῷ μεγέθει καὶ πλήθει τῶν ἐπαλλήλων

---

1 ἐπιχυθέντος KZ διήγαγον GHP: διῆγον ceteri 1. 2 τοῦ ἡμερησίου φωτὸς codd. (praeter A): τοῦ φωτὸς ἡμερησίου v 2 φωτὸς post καθαρᾷ (1) transp. A 3 ἑβραῖος οὐδείς BEMAZ: ἑβραίων οὐδείς K, οὐδεὶς ἑβραῖος ceteri 4 alt. τῶν om. Z 5 συνεσπάσατο PKZ 6 γενομένοις VGH: γενομένοις A (λεγο supra), γινομένοις OP, λεγομένοις ceteri μηδὲν ἂν P, μηδ' ἂν H: μηδὲν (om. ἂν) ceteri 7 καὶ οὐ μόνον om. GHP lacuna e Clem. Alex. sic videtur explenda ⟨ἀκινδύνως ἐκμανθάνοντας τὴν δύναμιν τοῦ θεοῦ⟩; τοῦτο post μόνον deesse existimavit Mang. 8 pr. καὶ om. O ἀναδιδασκόμενοι VO 9 τὴν εὐσέβειαν V² ἐμφανῶς GHP: ἐμφανὴς ceteri 11 ἀνδρὸς] ἄνδρες voluit Mang. 12 μυριάδες BM πρεσβυτῶν GHP: πρεσβυτέρων ceteri (v) 13 ῥᾴδιον A ῥηθήσεται ante ἀριθμηθῆναι add. HP, rursus del. H 14 θεραπίας G post συνεξῆλθε add. πολὺς V²O νόθος V²O 15 οἱ om. C τοῖς ἑβραίοις αἰγυπτίων transp. A (v) 17 καὶ εἰ δή GHP Procop.: ἤδη δὲ καὶ V²O, καὶ ἤδη ceteri (v); καὶ γὰρ ἤδη coni. Mang. τῷ] τῶν H

7 *Clem. Alex. Strom. I 23 p. 415 P.* ἔπειτα νουθετοῦνται μὲν Αἰγύπτιοι πολλάκις οἱ πολλάκις ἀσύνετοι, θεαταὶ δὲ Ἑβραῖοι ἐγίνοντο ὧν ἕτεροι κακῶν ὑπέμενον ἀκινδύνως ἐκμανθάνοντες τὴν δύναμιν τοῦ θεοῦ. 11 sqq. Exod. 12,37. 38. 11—13 *Ioseph. Ant. Iud. II 317* τὸ μὲν οὖν πᾶν πλῆθος τῶν μετανισταμένων γυναιξὶν ἅμα καὶ τέκνοις σκοποῦσιν οὐκ εὐαρίθμητον ἦν, οἱ δὲ στρατεύσιμον ἔχοντες τὴν ἡλικίαν περὶ ἑξήκοντα μυριάδες ἦσαν. 14—156,1 *Procop. Gaz. Comm. in Exod. 12,38* (Migne t. 87,1 Col. 575 Wendland Neu entd. Fragm. Philos p. 94): οὗτοι ἦσαν οἱ ἐκ γυναικῶν γεννηθέντες Αἰγυπτίων [καὶ] τοῖς Ἑβραίοις καὶ τῷ πατρίῳ γένει προσνεμηθέντες καὶ ὅσοι τὸ θεοφιλὲς ἀγάμενοι τῶν ἀνδρῶν καὶ εἰ δή τινες τῷ μεγέθει καὶ πλήθει τῶν ἐπαλλήλων κολάσεων σωφρονισθέντες μετεβάλοντο.

148 κολάσεων μετεβάλοντο σωφρονισθέντες. τούτων ἁπάντων ἡγεμὼν ἐχειροτονεῖτο Μωυσῆς τὴν ἀρχὴν καὶ βασιλείαν λαβὼν οὐχ ὥσπερ ἔνιοι τῶν ἐπὶ τὰς δυναστείας ὠθουμένων ὅπλοις καὶ μηχανήμασιν ἱππικαῖς τε καὶ πεζικαῖς καὶ ναυτικαῖς δυνάμεσιν, ἀλλ' ἀρετῆς ἕνεκα καὶ καλοκἀγαθίας καὶ τῆς πρὸς ἅπαντας εὐνοίας, ᾗ χρώμενος ἀεὶ διετέλει, καὶ προσέτι καὶ τοῦ φιλα-
149 ρέτου καὶ φιλοκάλου θεοῦ γέρας ἄξιον αὐτῷ παρασχόντος. ἐπειδὴ γὰρ τὴν Αἰγύπτου κατέλιπεν ἡγεμονίαν, θυγατριδοῦς τοῦ τότε βασιλεύοντος ὤν, ἕνεκα τῶν κατὰ τὴν χώραν γινομένων ἀδικημάτων πολλὰ χαίρειν φράσας ταῖς ἀπὸ τῶν θεμένων ἐλπίσι διὰ ψυχῆς εὐγένειαν καὶ φρονήματος μέγεθος καὶ τὸ μισοπόνηρον φύσει, τῷ πρυτανεύοντι καὶ ἐπιμελουμένῳ τῶν ὅλων ἔδοξεν αὐτὸν ἀμείψασθαι βασιλείᾳ πολυανθρωποτέρου καὶ κρείττονος ἔθνους, ὅπερ ἔμελλεν ἐξ ἁπάντων τῶν ἄλλων ἱερᾶσθαι τὰς ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων αἰεὶ ποιησόμενον εὐχὰς ὑπέρ τε κακῶν
150 ἀποτροπῆς καὶ μετουσίας ἀγαθῶν. παραλαβὼν δὲ τὴν ἀρχὴν οὐχ ὥσπερ ἔνιοι τὸν ἴδιον αὔξειν οἶκον καὶ τοὺς υἱοὺς — δύο γὰρ ἦσαν αὐτῷ — προάγειν ἐπὶ μέγα δυνάμεως ἐσπούδασεν, ὡς ἐν μὲν τῷ παρόντι κοινωνοὺς αὖθις δὲ καὶ διαδόχους ἀποφῆναι· | γνώμῃ γὰρ ἀδόλῳ καὶ καθαρᾷ πρὸς p. 105 M.
πάντα μικρά τε αὖ καὶ μεγάλα χρώμενος τὴν φυσικὴν πρὸς τὰ τέκνα φιλοστοργίαν οἷα κριτὴς ἀγαθὸς ἐνίκα τῷ περὶ τὸν λογισμὸν ἀδεκάστῳ.
151 προὔκειτο γὰρ ἓν αὐτῷ τέλος ἀναγκαιότατον, ὀνῆσαι τοὺς ἀρχομένους καὶ πάνθ' ὑπὲρ τῆς τούτων ὠφελείας ἔργῳ καὶ λόγῳ πραγματεύεσθαι, μηδένα παραλιπόντι καιρὸν τῶν συντεινόντων εἰς κοινὴν κατόρθωσιν.
152 μόνος οὗτος τῶν πώποθ' ἡγεμονευσάντων οὐ χρυσὸν οὐκ ἄργυρον ἐθησαυρίσατο, οὐ δασμοὺς ἐξέλεξεν, οὐκ οἰκίας, οὐ κτήματα, οὐ θρέμματα, οὐ

1 μετεβάλοντο σωφρονισθέντες BEMHZ, μετεβάλλοντο σωφρονισθέντες AGPK: σωφρονισθέντες μετεβάλοντο CVO Procop. ἡγεμὼν om. HP 1. 2 ἐχειροτονήθη M 3 τὰς om. VO 3. 4 πεζαῖς GHP 5 εὐνοίας] ἀστειότητος V²O καὶ προσέτι GHP: καὶ om. ceteri 6 ἐπειδὴ GHP: ἐπεὶ ceteri 7 κατέλειπεν G ἡγεμονίαν] εὐδαιμονίαν A τότε om. A 8 γινομένων om. BEMAKZ; γενομένων v 9 θεμένων] θρεψαμένων V²O 10 ἐπιμελουμένω V¹BM Barb.: ἐπιμελομένω ceteri 11 ἀμείψασθαι (sic) M πολυανθρωποτέρα A

β′ α′

13 ἀνθρώπων GHP Barb.: ἁπάντων ἀνθρώπων C, ἁπάντων ἀνθρώπων K, ἀνθρώπων ἁπάντων ceteri (v) αἰεὶ GHP Barb.: om. ceteri ποιησάμενον V¹BEMAKZ 19 οἷα κριτὴς ἀγαθὸς ἐνίκα CVO Barb.: ἐνίκα οἷα κριτὴς ἀγαθὸς transp. ceteri (v) 20 ἓν KH²: om. M, ἐν ceteri 22 παραλιπόντι GHP (περιλιπόντι Barb.): παραλείποντι ceteri εἰς] πρὸς A(v) κοινὴν GHP Barb.: om. ceteri (v) 23 ⟨οὖν⟩ οὗτος coni. Wendl. 24 οὐ δασμοὺς — κτήματα om. O οὐ κτήματα om. Z

6—159,8 Catena Barber. IV 56 fol. 104v: ἐπεὶ δὴ τὴν Αἰγύπτου — θείᾳ προνοίᾳ.

θεραπείαν οἰκετικήν, οὐ προσόδους, οὐκ ἄλλο τῶν εἰς πολυτέλειαν καὶ
περιουσίαν οὐδὲν ἐκτήσατο, καίτοι πάντων ἔχειν ἀφθονίαν δυνάμενος·
ἀλλ' ὑπολαβὼν πενίας ψυχικῆς ἔργον εἶναι τὸν ἐν ταῖς ὕλαις ἀποδέχεσθαι 153
πλοῦτον τοῦ μὲν ὡς τυφλοῦ κατεφρόνησε, τὸν δὲ βλέποντα τῆς φύσεως
ἐξετίμησε καὶ ζηλωτὴς ὡς οὐκ οἶδ' εἴ τις ἕτερος αὐτοῦ γενόμενος ἐν
μὲν ἐσθῆσι καὶ τροφαῖς καὶ τοῖς ἄλλοις τοῖς περὶ δίαιταν οὐδὲν ἐπιτρα-
γῳδῶν πρὸς σεμνότερον ὄγκον εὐτέλειαν καὶ εὐκολίαν ἐπετήδευεν ἰδιώτου,
πολυτέλειαν δὲ τῷ ὄντι βασιλικὴν ἐν οἷς καλὸν ἦν πλεονεκτεῖν τὸν
ἄρχοντα· ταῦτα δ' ἦσαν ἐγκράτειαι, καρτερίαι, σωφροσύναι, ἀγχίνοιαι, 154
συνέσεις, ἐπιστῆμαι, πόνοι, κακοπάθειαι, ἡδονῶν ὑπεροψίαι, δικαιοσύναι,
προτροπαὶ πρὸς τὰ βέλτιστα, ψόγοι καὶ κολάσεις ἁμαρτανόντων νόμιμοι,
ἔπαινοι καὶ τιμαὶ κατορθούντων πάλιν σὺν νόμῳ. (28.) τοιγαροῦν 155
πολλὰ χαίρειν φράσαντα πολυχρηματίᾳ καὶ τῷ παρ' ἀνθρώποις μέγα
πνέοντι πλούτῳ γεραίρει θεὸς τὸν μέγιστον καὶ τελεώτατον ἀντιδοὺς
πλοῦτον αὐτῷ· οὗτος δ' ἐστὶν ὁ τῆς συμπάσης γῆς καὶ θαλάττης
καὶ ποταμῶν καὶ τῶν ἄλλων ὅσα στοιχεῖα καὶ συγκρίματα· κοινωνὸν
γὰρ ἀξιώσας ἀναφανῆναι τῆς ἑαυτοῦ λήξεως ἀνῆκε πάντα τὸν κόσμον
ὡς κληρονόμῳ κτῆσιν ἁρμόζουσαν. τοιγαροῦν ὑπήκουεν ὡς δεσπότῃ 156
τῶν στοιχείων ἕκαστον ἀλλάττον ἣν εἶχε δύναμιν καὶ ταῖς προστά-
ξεσιν ὑπεῖκον· καὶ θαυμαστὸν ἴσως οὐδέν· εἰ γὰρ κατὰ τὴν παροι-
μίαν „κοινὰ τὰ φίλων", φίλος δὲ ὁ προφήτης ἀνείρηται θεοῦ (cf. Exod.
33, 11), κατὰ τὸ ἀκόλουθον μετέχοι ἂν αὐτοῦ καὶ τῆς κτήσεως. καθ'
ὃ χρειῶδες. ὁ μὲν γὰρ θεὸς πάντα κεκτημένος οὐδενὸς δεῖται, ὁ δὲ 157

1 ἱκετικήν Z post ἄλλο add. τι KZ πολυτέλειαν] πολιτείαν BEMA 4 ὡς GHPKZ Barb.: om. ceteri post βλέποντα add. τὸν Mang. 5 οἶδ' om. Turn. 6 ἐσθῆσι GHP (ἐσθήσει Barb.): ἐσθῆτι ceteri τροφῇ KZ 6. 7 ἐπιτραγῳδῶν] ἐπιγαυριῶν V²OK² 7 post πρὸς add. τὸν V²OK² ἰδιωτῶν A 8 πλεονεκτεῖν καλὸν ἦν transp. C 9 δὲ A καρτερίαι — ἀγχίνοιαι post συνέσεις (10) transp. G, post ἐπιστῆμαι HP 11 βέλτια P νόμιμοι] ἔννομοι BEMAKZ 12 κατορθούντων πάλιν CVO Barb.: πάλιν κατορθούντων ceteri 13 πολυχρηματίᾳ VO Barb.: φιλοχρηματίᾳ ceteri (v) 14 θεὸς GHP Barb.: ὁ θεὸς ceteri τελεώτατον HP Barb., τελαιώτατον G: τελειότατον ceteri ἀντιδιδοὺς VO 15 ὁ τῆς συμπάσης GHP Barb. (ὁ τῆς coni. Mang.): ἰσότης συμπάσης CV¹, ἰσότης πάσης BEMAK¹Z, ἰσότης τῆς δεσποτείας συμπάσης V²O, τῆς δεσποτείας ss. K² θαλάσσης CAGH Barb. 16 ὅσα στοιχεῖα] στοιχείων ὅσα HP κοινῶν C¹, κοινὸν C²MA 17 ἀναφῆναι CBEMK (prob. Mang.) 18 κτίσιν G, κλῆσιν M ὑπήκουσεν BEMA 19 καὶ eras. C, om. VOGHP Barb. 19. 20 προστάξεσιν corr. ex πράξεσιν B, πράξεσιν M 20 καὶ ante ὑπεῖκον add. V² καὶ post γὰρ add. A 21 φίλων] τῶν φίλων VOAH²KZ ἀνείρηται CV¹GHP Barb.: εἴρηται ceteri 22 μετέχει Barb., μέτοχοι A κτίσεως K, φύσεως G 22. 23 καθ' ὃ GHP Barb.: κατὰ τὸ ceteri

σπουδαῖος ἄνθρωπος κέκτηται μὲν οὐδὲν κυρίως ἀλλ᾽ οὐδ᾽ ἑαυτόν, τῶν δὲ τοῦ θεοῦ κειμηλίων. καθ᾽ ὅσον ἂν οἷός τε ᾖ, μεταλαγχάνει. | καὶ p. 106 M. μήποτ᾽ εἰκότως· κοσμοπολίτης γάρ ἐστιν, ἧς χάριν αἰτίας οὐδεμιᾷ τῶν κατὰ τὴν οἰκουμένην πόλεων ἐνεγράφη, δεόντως, οὐ μέρος χώρας ἀλλ᾽
158 ὅλον τὸν κόσμον κλῆρον λαβών. τί δ᾽; οὐχὶ καὶ μείζονος τῆς πρὸς τὸν πατέρα τῶν ὅλων καὶ ποιητὴν κοινωνίας ἀπέλαυσε προσρήσεως τῆς αὐτῆς ἀξιωθείς; ὠνομάσθη γὰρ ὅλου τοῦ ἔθνους θεὸς καὶ βασιλεύς· εἴς τε τὸν γνόφον, ἔνθα ἦν ὁ θεός, εἰσελθεῖν λέγεται (Exod. 20, 21), τουτέστιν εἰς τὴν ἀειδῆ καὶ ἀόρατον καὶ ἀσώματον τῶν ὄντων παραδειγματικὴν οὐσίαν, τὰ ἀθέατα φύσει θνητῇ κατανοῶν· καθάπερ τε γραφὴν εὖ δεδημιουργημένην ἑαυτὸν καὶ τὸν ἑαυτοῦ βίον εἰς μέσον προαγαγὼν πάγκαλον καὶ θεοειδὲς ἔργον ἔστησε παράδειγμα τοῖς ἐθέλουσι
159 μιμεῖσθαι. εὐδαίμονες δ᾽ ὅσοι τὸν τύπον ταῖς ἑαυτῶν ψυχαῖς εναπεμάξαντο ἢ ἐσπούδασαν ἐναπομάξασθαι· φερέτω γὰρ ἡ διάνοια μάλιστα μὲν τὸ εἶδος τέλειον ἀρετῆς, εἰ δὲ μή, τὸν γοῦν ὑπὲρ τοῦ κτήσασθαι
160 τὸ εἶδος ἀνενδοίαστον πόθον. καὶ μὴν οὐδ᾽ ἐκεῖνό τις ἀγνοεῖ, ὅτι ζηλωταὶ τῶν ἐνδόξων οἱ ἀφανεῖς εἰσι καί, ὧν ἂν ἐκεῖνοι μάλιστ᾽ ὀρέγεσθαι δοκῶσι, πρὸς ταῦτα τὰς αὑτῶν ἀποτείνουσιν ὁρμάς· ἐπειδὰν γοῦν ἡγεμὼν ἄρξηται καθηδυπαθεῖν καὶ πρὸς τὸν ἁβροδίαιτον ἀποκλίνειν βίον, σύμπαν ὀλίγου δεῖν τὸ ὑπήκοον τὰς γαστρὸς καὶ τῶν μετὰ γαστέρα προσαναρρήγνυσιν

1 οὐδὲν] οὐδὲ ἓν VO οὐδ᾽] οὐδὲ VO ἑαυτόν codd.: αὑτόν v 2 ἂν GHP Barb.: om. ceteri ᾖ] εἴη BEMAKZ μεταλαγχάνει GHP Barb.: μεταλαμβάνει ceteri 3 γάρ] τίς V²O 5 ὅλον τὸν κόσμον] ὅλην τὴν οἰκουμένην KZ μείζονος VOGHP Barb.: μείζοσι ceteri τῆς] τοῖς A 6 καὶ ποιητὴν τῶν ὅλων transp. Barb. κοινωνίας] κληρονομίας KZ, γρ. κοινωνίας mg. Z ἀπήλαυσε CVOH² Barb. post προσρήσεως add. τε CVOEH² Barb. 7 θεὸς ὅλου τοῦ ἔθνους transp. CVO Barb. τε καὶ BEMAKZ καὶ βασιλεὺς om. Barb. βασιλέων CHP 8 γνόφον mg. M, γνόθον in textu M 9 καὶ ἀόρατον om. Barb. 10 ἀθέατα] θεατὰ BEMA, θαυμαστὰ VO θνητὰ BEMA τε GHP Barb.: γὰρ VO, om. ceteri 11 τε καὶ V ἑαυτοῦ VOKZ: αὐτοῦ C, αὑτοῦ ceteri 12 παραγαγὼν VOAGKZ πάγκαλον GHP Barb.: πᾶσι καλὸν ceteri 13 δὲ VO αὑτῶν G 14 ἢ] ὃ P ἐναπομάξασθαι GHP Barb: ἀπομάξασθαι ceteri 15 μὲν] δὲ M τῆς ἀρετῆς V²O τὸν] τὸ BEMAVO 16 οὐδὲ C 17 εἰσιν CKZ ἂν om. M 18 αὑτῶν VO: αὐτῶν ceteri οὖν BEMKZ Barb., γοῦν om. A 19 καθϋπαθεῖν (sic) M 19. 20 ὀλίγου δεῖν] ὀλεῖσθαι δεῖ D^R 20 τὰς] τῶν D προσαναρρήγνυσιν GHP Barb. (πρὸς ἀναρρήγνυσιν D^H, πρὸς ἀναρρήδοσιν D^R): ἀναρρήγνυσιν ceteri

18—159,5 D^H fol. 117^v D^R fol. 27^r Φίλωνος ἐκ τοῦ περὶ Μωσέως βίου: ἐπειδὰν ἡγεμὼν — [illegible]

ἔξω τῶν ἀναγκαίων ἐπιθυμίας, εἰ μή τινες εὐμοιρίᾳ χρήσαιντο φύσεως
ψυχὴν οὐκ ἐπίβουλον ἀλλ' εὐμενῆ καὶ ἵλεω κτησάμενοι· ἐὰν δ' αὐστη- 161
ροτέραν καὶ σεμνοτέραν ἕληται προαίρεσιν, καὶ οἱ λίαν αὐτῶν ἀκράτορες
μεταβάλλουσι πρὸς ἐγκράτειαν ἢ φόβῳ ἢ αἰδοῖ σπουδάζοντες ὑπόληψιν
ἐμποιεῖν, ὅτι ἄρα ζηλωταὶ τῶν ὁμοίων εἰσί· καὶ οὐκ ἄν ποθ' οἱ χείρους
τὰ τῶν κρειττόνων ἀλλ' οὐδὲ μανέντες ἀποδοκιμάζοιεν. τάχα δ', ἐπεὶ 162
καὶ νομοθέτης ἔμελλεν ἔσεσθαι, πολὺ πρότερον αὐτὸς ἐγίνετο νόμος
ἔμψυχός τε καὶ λογικὸς θείᾳ προνοίᾳ, ἥτις ἀγνοοῦντα αὐτὸν εἰς νομοθέτην
ἐχειροτόνησεν αὖθις.

(29.) Ἐπειδὴ τοίνυν παρ' ἑκόντων ἔλαβε τὴν ἀρχήν, βραβεύοντος 163
καὶ ἐπινεύοντος θεοῦ, τὴν ἀποικίαν ἔστελλεν εἰς Φοινίκην καὶ Συρίαν
τὴν κοίλην καὶ Παλαιστίνην, ἣ τότε προσηγορεύετο Χαναναίων, ἧς οἱ
ὅροι τριῶν ἡμερῶν ὁδὸν διειστήκεσαν ἀπ' Αἰγύπτου. εἶτ' ἦγεν αὐτοὺς 164
p. 107 M. οὐ | τὴν ἐπίτομον, ἅμα μὲν εὐλαβηθείς, μή ποθ', ὑπαντιασάντων τῶν
οἰκητόρων διὰ φόβον ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ γενομένου
πολέμου, πάλιν τὴν αὐτὴν ὁδὸν ὑποστρέψωσιν εἰς Αἴγυπτον, ἀπ' ἐχθρῶν
ἐπ' ἐχθρούς, νέων ἐπ' ἀρχαίους, γέλως καὶ χλεύη γενησόμενοι καὶ χείρω
καὶ ἀργαλεώτερα τῶν προτέρων ὑπομενοῦντες, ἅμα δὲ καὶ βουλόμενος
αὐτοὺς δι' ἐρήμης ἄγων καὶ μακρᾶς δοκιμάσαι, πῶς ἔχουσι πειθαρχίας
ἐν οὐκ ἀφθόνοις χορηγίαις ἀλλ' ἐκ τοῦ κατ' ὀλίγον ὑποσπανιζούσαις.
ἐκτραπόμενος οὖν τὴν ἐπ' εὐθείας, ἐγκάρσιον ἀτραπὸν εὑρὼν καὶ νομίσας 165

1 ἔξωθεν HP (Turn.) ἐπιθυμιῶν D ἀμοιρία Z 2 ἵλεων VOGHP κτησάμενοι] χρησόμενοι A, χρησόμενον CV[1]BEM δὲ D 3 ἀκράτορες αὐτῶν transp. A 4 αἰδῶ C τὴν ὑπόληψιν H[1]P 5 ἄρα om. D 6—9 τάχα — αὖθις om. VO, add. man. rec. mg. V 7 νόμος GHP(V) Barb.: λόγος ceteri 8 εἰς νομοθετικὴν BEMA 10 ἐπεὶ A 11 θεοῦ GHP: τοῦ θεοῦ ceteri 12 ἣ C 13 ὁδὸν om. KZ διειστήκεσαν CVO: διειστήκεισαν ceteri ἀπ' αἰγύπτου διεστήκεσαν transp. C εἶτα BEMKZ 15 ἀναστάσεως] ἀναστατώσεως G, ἐπαναστάσεως AV[2]O (Mang.) 16 ἀπ' VOGHP: ἀπὸ ceteri 17 εἰς ἐχθροὺς BEMAKZ γενησόμενον M 18 ὑπομενοῦσιν V[2]O βουλευόμενος corr. ex βουλόμενος Z 19 vel καὶ delendum vel scribendum ἀτριβοῦς καὶ μακρᾶς censuit Mang. πειθαρχίαις P 21 ἐκτρεπόμενος M τὴν GHP: τῆς ceteri (v) ἀτραπων C

7. 8 *Clem. Alex. Strom. I 26 p. 421 P.* . . . Μωυσῆς δὲ συνελόντι εἰπεῖν νόμος ἔμψυχος ἦν τῷ χρηστῷ λόγῳ κυβερνώμενος. 13 sqq. *Clem. Alex. Strom. I 24 p. 417 P.* Μωυσῆς τὸν λαὸν ἐξαγαγὼν ὑποπτεύσας ἐπιδιώξειν τοὺς Αἰγυπτίους τὴν ὀλίγην καὶ σύντομον ἀπολιπὼν ὁδὸν ἐπὶ τὴν ἔρημον ἐτρέπετο καὶ νύκτωρ τὰ πολλὰ τῇ πορείᾳ ἐκέχρητο. ἑτέρα γὰρ ἦν οἰκονομία, καθ' ἣν ἐπαιδεύοντο Ἑβραῖοι δι' ἐρημίας πολλῆς καὶ χρόνου μακροῦ, εἰς μόνον τὸ πιστεύειν τὸν θεὸν εἶναι δι' ὑπομονῆς ἐθιζόμενοι σώφρονος. 13 sqq. Exod. 13.17.

κατατείνειν ἄχρι τῆς ἐρυθρᾶς θαλάττης ὁδοιπορεῖν ἤρχετο. τεράστιον δέ φασι συμβῆναι κατ' ἐκεῖνον τὸν χρόνον μεγαλούργημα τῆς φύσεως,
166 ὃ μηδείς πω μέμνηται πάλαι γεγονός. νεφέλη γὰρ εἰς εὐμεγέθη κίονα σχηματισθεῖσα προῄει τῆς πληθύος, ἡμέρας μὲν ἡλιοειδὲς ἐκλάμπουσα φέγγος, νύκτωρ δὲ φλογοειδές, ὑπὲρ τοῦ μὴ πλάζεσθαι κατὰ τὴν πορείαν, ἀλλ' ἀπλανεστάτῳ ἕπεσθαι ἡγεμόνι ὁδοῦ. τάχα μέντοι καὶ τῶν ὑπάρχων τις ἦν τοῦ μεγάλου βασιλέως, ἀφανὴς ἄγγελος, ἐγκατειλημμένος τῇ νεφέλῃ προηγητήρ, ὃν οὐ θέμις σώματος ὀφθαλμοῖς ὁρᾶσθαι.

167 (30.) Θεασάμενος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἀνοδίᾳ χρωμένους, ὡς ᾤετο, καὶ διὰ τραχείας καὶ ἀτριβοῦς ἐρήμης βαδίζοντας ἥσθη μὲν ἐπὶ τῷ κατὰ τὴν πορείαν σφάλματι, νομίσας συγκεκλεῖσθαι διέξοδον οὐκ ἔχοντας, ἐπὶ δὲ τῷ μεθέσθαι μετανοῶν ἐπεχείρει διώκειν, ὡς ἢ φόβῳ τὴν πληθὺν ὑποστρέψων καὶ δουλωσόμενος αὖθις ἢ ἀποκτενῶν
168 ἡβηδὸν ἀφηνιάζουσαν. εἶθ' ἅπασαν τὴν ἱππικὴν δύναμιν παραλαβὼν ἀκοντιστάς τε καὶ σφενδονήτας καὶ ἱπποτοξότας καὶ τοὺς ἄλλους ὅσοι τῆς κούφης ὁπλίσεως καὶ τὰ κάλλιστα τῶν δρεπανηφόρων ἁρμάτων ἑξακόσια τοῖς ἐν τέλει δούς, ἵνα μετὰ τοῦ πρέποντος ἀξιώματος ἐπακολουθήσωσι καὶ τῆς στρατείας μετάσχωσιν, οὐδὲν τάχους ἀνεὶς ἐπεξῄει καὶ συντείνων ἔσπευδε βουλόμενος ἐξαπιναίως οὐ προϊδομένοις ἐπιστῆναι· τὸ γὰρ ἀνέλπιστον κακὸν ἀργαλεώτερον αἰεὶ τοῦ προσδοκηθέντος, ὅσῳ
169 καὶ τὸ ὀλιγωρηθὲν εὐεπιχειρητότερον τοῦ σὺν φροντίδι. καὶ ὁ μὲν ταῦτα διανοηθεὶς ἐπηκολούθει νομίζων αὐτοβοεὶ περιέσεσθαι, οἱ δ' ἔτυχον ἤδη παρὰ ταῖς ἠϊόσι τῆς θαλάττης στρατοπεδεύοντες· μελλόντων δ' ἀριστο-

---

1 θαλάσσης VOMKZ ἤρχετο GHP: ἤρξατο ceteri 2 τῆς om. H 3 γεγονώς G 4 μετασχηματισθεῖσα GP 5 φέγγος] φῶς P κατὰ om. O 6 ἀπλανεστάτη HP(v) ἡγεμονία H (Turn.) τῆς ὁδοῦ HP μέν τι G 8 προηγήτωρ GHP (v) 9 δὲ A τῆς om. H ἀνοδίᾳ] ἀνοδὶ Turn. 10 ὡς om. V[1] ut vid., ὡς ᾤετο om. CBEMA τραχείας] βαθείας coni. Mang. coll. 161,9 ἐρήμους C[1]M, ἐρήμου C[2] 11 ἐπὶ τῷ — ἔχοντας (12) om. HP, add. mg. H[2]P[2] ἐγκεκλεῖσθαι C, οὖν κεκλεῖσθαι VO, κεκλεῖσθαι BEMA 12 δὲ om. H ἐπιχειρεῖ M 14. 15 παραλαβὼν ἀκοντιστάς τε om. HP 16 τὰ om. G 17 ἑξακόσια] χ C τοῦ om. P 17. 18 ἐπακολουθῶσι GHP 18 στρατιᾶς A ἀνεὶς GHP: ἀνιεὶς ceteri ὑπεξῄει BEMAKZ 19 ἔσπουδε (sic) M, ἐπέσπευδε HP, ἔτρεχεν VO προϊδομένοις A: προειδομένοις ceteri 20 αἰεὶ GHP: ἀεὶ ceteri ὅσον M 21 εὐεπιχειρότερον O, εὐεπιχείρητον A τοῦ φροντίδι GHP: ἐν φροντίδι KZ συμφέροντος CV[1]BEMA, ἀπροσδοκήτως εἰσπίπτοντος V[2]O τοιαῦτα O 22 οἵδ' Z 23 θαλάσσης VOZ στρατοπεδεύοντες GHP: στρατοπεδεύσαντες ceteri (v)

1 sqq. Exod. 13,21. 22 9 sqq. Exod. cap. 14

ποιεῖσθαι. τὸ μὲν πρῶτον πάταγος ἐξηχεῖτο πολύς, ἅτε τοσούτων ἀνθρώπων
ὁμοῦ καὶ ὑποζυγίων μετὰ σπουδῆς ἐλαυνόντων, ὡς ἐκχυθέντας τῶν σκηνῶν
p. 108 M. περιβλέπεσθαι καὶ ὠτακουστεῖν | ἀκροβατοῦντας· εἶτ᾽ ὀλίγῳ ὕστερον ἐπὶ
λόφου μετέωρος ἡ ἀντίπαλος καταφαίνεται δύναμις ἐν τοῖς ὅπλοις ἐκτεταγ-
μένη πρὸς μάχην. (31.) ἐπὶ δὲ τῷ παραλόγῳ καὶ ἀπροσδοκήτῳ κατα- 170
πλαγέντες καὶ μήτε πρὸς ἄμυναν εὐτρεπεῖς ὄντες διὰ σπάνιν ἀμυντηρίων
— οὐ γὰρ ἐπὶ πόλεμον ἀλλ᾽ εἰς ἀποικίαν ἐξῄεσαν — μήτε φυγεῖν
δυνάμενοι — κατόπιν μὲν γὰρ πέλαγος, ἐχθροὶ δ᾽ ἀντικρύ, τὰ δὲ παρ᾽
ἑκάτερα βαθεῖα καὶ ἀτριβὴς ἐρήμη — σφαδᾴζοντες καὶ τῷ μεγέθει
τῶν κακῶν ἀπειρηκότες, οἷα παρὰ τὰς τοιαύτας φιλεῖ συμφοράς, τὸν
ἄρχοντα ᾐτιῶντο φάσκοντες· „διὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, 171
οἷς ἀποθανόντες ἐνταφησόμεθα, ἐξήγαγες ἡμᾶς, ἵν᾽ ἐνταῦθα κηδεύσῃς
ἀποκτείνας; ἢ οὐ πᾶσα δουλεία κουφότερον κακὸν θανάτου; δελεάσας
ἐλευθερίας ἐλπίδι τὸ πλῆθος τὸν χαλεπώτερον περὶ τοῦ ζῆν ἐπεκρέμασας
κίνδυνον. ἠγνόεις τὴν ἡμετέραν ἁπλότητα καὶ τὴν Αἰγυπτίων πικρίαν 172
καὶ τὸ βαρύμηνι; τὸ μέγεθος τῶν ἀφύκτων κακῶν οὐχ ὁρᾷς; τί πρακτέον;
πολεμῶμεν ἄοπλοι πρὸς ὡπλισμένους; ἀλλὰ φεύγωμεν καθάπερ ἄρκυσι
κυκλωθέντες ἀνηλεέσιν ἐχθροῖς, ἐρημίαις ἀβάτοις, ἀπλώτοις πελάγεσιν;
εἰ δὲ δὴ καὶ πλωτά, τίς εὐπορία σκαφῶν εἰς περαίωσιν;“ ὁ δὲ ταῦτα 173
ἀκούων τοῖς μὲν συνεγίνωσκε, τῶν δὲ χρησμῶν ἐμέμνητο· καὶ διανείμας
τὸν νοῦν καὶ τὸν λόγον κατὰ τὸν αὐτὸν χρόνον τῷ μὲν ἐνετύγχανεν
ἀφανῶς τῷ θεῷ, ἵν᾽ ἐξ ἀμηχάνων ῥύσηται συμφορῶν, δι᾽ οὗ δ᾽ ἐθάρσυνε
καὶ παρηγόρει τοὺς καταβοῶντας „μὴ ἀναπίπτετε“ λέγων· „οὐχ ὁμοίως
ἄνθρωπος ἀμύνεται καὶ θεός. τί μόνοις τοῖς εὐλόγοις καὶ πιθανοῖς 174
προπιστεύετε; παρασκευῆς οὐδεμιᾶς ἐστι χρεῖος ὁ θεὸς βοηθός· ἐν

1 ἐξήχητο A 2 ὁμοῦ om. A ἐκχυθέντας Mang.: ἐξεληλυθότας CKZ(v), ἐξελθόντας V², ἐκλυθέντας ceteri 3 ὀλίγον conicio 4. 5 ἐκτεταγμένη GHPKZ: ἐκτεταμένη ceteri 6 εὐπρεπεῖς ὄντες M, εὐτρεπισθέντες C 7 post πόλεμον add. ἐξῆλθον V²O ἐξῄεσαν GHPKZ: om. ceteri φυγεῖν GHP: φεύγειν ceteri 8 κατόπισθεν A πέλαγος GHP: πόλεμος ceteri; κατόπιν μὲν γὰρ πόλεμος, πέλαγος δὲ ἄντικρυς coni. Mang., ipse transponendis verbis πέλαγος et ἐχθροί locum emendari posse putaveram: κατόπιν μὲν γὰρ ἐχθροί, πέλαγος δ᾽ ἀντικρύ (cf. de vita Mos. II § 251). sed nihil mutandum δὲ VO ἀντικρύ BEMKZ: ἄντικρυς ceteri 9 βαθεῖα ex βαθέα corr. B, βαθέα CE ἐρημία M (Mang.) 12 ἀποθανοῦντες A 14 τὸν χαλεπότερον E, τὸ χαλεπότερον G 15 ἡμετέραν] ἡμέραν C τὴν τῶν αἰγυπτίων A 17 ἄνοπλοι CGHP φεύγομεν GO ἄρκυσι om. in lac. C ἄρκυσι GHP: ἐν ἄρκυσι ceteri 19 ταῦτ᾽ BEMAK 20 χρησμῶν] χρησμάτων Z 22 δι᾽ οὗ] τῷ VO δὲ M, δ᾽ om. BEA, δὲ ss. B man. rec. 24 πιθανοῖς καὶ εὐλόγοις transp. A 25 προσπιστεύετε AVO χρέος A θεὸς om. GHP ὁ βοηθός, CZ, βοηθῶν V²

ἀπόροις πόρον εὑρεῖν ἴδιον θεοῦ· τὰ ἀδύνατα παντὶ γενητῷ μόνῳ δυνατὰ
175 καὶ κατὰ χειρός.“ καὶ ταῦτα μὲν ἔτι καθεστὼς διεξῄει· μικρὸν δ' ἐπισχὼν ἔνθους γίνεται καταπνευσθεὶς ὑπὸ τοῦ εἰωθότος ἐπιφοιτᾶν αὐτῷ πνεύματος καὶ θεσπίζει προφητεύων τάδε· „ἣν ὁρᾶτε στρατιὰν εὐοπλοῦσαν, οὐκέτ' ἀντιτεταγμένην ὄψεσθε· πεσεῖται γὰρ προτροπάδην πᾶσα καὶ βύθιος ἀφανισθήσεται, ὡς μηδὲ λείψανον αὐτῆς ὑπὲρ γῆς ἔτι φανῆναι.
176 καὶ οὐ μήκει χρόνου, ἀλλὰ τῇ ἐπιούσῃ νυκτί.“ (32.) καὶ ὁ μὲν ταῦτ' ἀπεφθέγγετο. καταδύντος δ' ἡλίου, νότος εὐθὺς ἤρξατο κατασκήπτειν βιαιότατος, ὑφ' οὗ τὸ πέλαγος ἐξανεχώρησεν. εἰωθὸς μὲν ἀμπωτίζειν, τότε δὲ καὶ μᾶλλον ὠθούμενον τὸ πρὸς | αἰγιαλοῖς ὑπεσύρη καθάπερ p. 109 M.
εἰς χαράδραν ἢ χάρυβδιν· ἀστήρ τε προὐφαίνετ' οὐδείς, ἀλλὰ πυκνὸν καὶ μέλαν νέφος ἅπαντα τὸν οὐρανὸν ἐπεῖχε, γνοφώδους τῆς νυκτὸς
177 οὔσης εἰς κατάπληξιν τῶν διωκόντων. προσταχθεὶς δὲ Μωυσῆς τῇ βακτηρίᾳ παίει τὴν θάλασσαν· ἡ δὲ ῥαγεῖσα διίσταται καὶ τῶν τμημάτων τὰ μὲν πρὸς τῷ ῥαγέντι μέρει μετέωρα πρὸς ὕψος ἐξαίρεται καὶ παγέντα τρόπον τείχους κραταιῶς ἠρέμει καὶ ἡσύχαζε, τὰ δ' ὀπίσω σταλέντα καὶ χαλινωθέντα τὴν εἰς τὸ πρόσω φορὰν καθάπερ ἡνίαις ἀφανέσιν ἀνεχαίτιζε, τὸ δὲ μεσαίτατον, καθ' ὃ ἐγένετο ἡ ῥῆξις, ἀναξηρανθὲν ὁδὸς εὐρεῖα καὶ λεωφόρος γίνεται. τοῦτο ἰδὼν Μωυσῆς καὶ θαυμάσας ἐγεγήθει καὶ πληρωθεὶς χαρᾶς ἐθάρσυνε τοὺς ἰδίους καὶ ᾗ τάχιστα προὔτρεπεν
178 ἀναζευγνύναι. περαιοῦσθαι δὲ μελλόντων, σημεῖον ἐπιγίνεται τερατω-

---

1 πόρον εὑρεῖν] πόρων εὐπορεῖ GHP γεννητῷ KZ, γένει τῷ GHP 2 καθεστὼς ὢν BEMAK, καθεστῶσιν C διεξῄει VOGKZ: ἐξῄει ceteri μικρῶν H, μικροῦ Z δὲ C 3 post ἔνθους add. τε GHP, sed cf. § 201 καταπνευσθεὶς GHP: καὶ καταπνευσθεὶς ceteri ἐπιφοιτᾶν om. A 4 καὶ θεσπίζει GHP: καὶ om. ceteri 5 οὐκέτ' GHP: οὐκέτι ceteri αὐτὴν ante ὄψεσθε add. VO ὄψεσθαι G πεσεῖτε G 6 γῆν BEMA φανῆναι] ταφῆναι A 7 χρόνων V ἀλλὰ] ἀλλ' ἐν BEMAKZ ταῦτα C, ταῦθ' G 8 ἐπεφθέγγετο G δὲ VO 9 ἐξανεχώρησεν GHP: ὑπανεχώρησεν CVO, ἀνεχώρησεν BEMAKZ ἐξανεχώρησεν secludendum videtur 10 δὲ om. H[1]P τὸ om. KZ 11 πυκνόν τε O 13 προσταχθὲν CEAKZ μωσῆς P 14 θάλατταν CVO 15 alt. πρὸς] εἰς τὸ A ἐξαίρεται GHP: αἴρεται ceteri παγέντα] πάντα A 16 ἠρέμιζε A 17 καθάπερ om. A 18 ἀνεχαίτιζε scripsi (cf. 126,4): ἀνεχαιτίζετο codd. καθὸ CK, ἐν ᾧ H(v) ἡ om. A ἡ ῥῆξις ἐγένετο transp. H(v) ὁδὸς om. BEMA 19 γίγνεται C τοῦτ' VOGHP

---

1. 2 D[c] fol. 138[r] τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας et fol. 151[v] τοῦ αὐτοῦ ἐκ τῆς κατὰ Μωσέα κοσμοποιίας D[H] fol. 196[r] Φίλωνος: ἴδιον θεοῦ τὰ ἀδύνατα παντὶ γενητῷ μόνῳ δυνατὰ καὶ κατὰ χειρός.

δέστατον· ἡ γὰρ ὁδηγὸς νεφέλη πρωτοστατοῦσα τὸν ἄλλον χρόνον ἀνακάμπτει πρὸς τὰ οὐραῖα τοῦ πλήθους, ὅπως ὀπισθοφυλακῇ. καὶ ταχθεῖσα μεθόριος τῶν διωκόντων καὶ τῶν διωκομένων τοὺς μὲν ἡνιοχοῦσα σωτηρίως καὶ ἀσφαλῶς ἐπήλαυνε, τοὺς δὲ ἀνεῖργε καὶ ἀνέκρουεν ἐφορμᾶν ἐπειγομένους· ἅπερ ὁρῶντες οἱ Αἰγύπτιοι θορύβου καὶ ταραχῆς πάντ᾽ ἐπλήρουν τάς τε τάξεις ὑπὸ δέους συνέχεον ἐπεμπίπτοντες ἀλλήλοις καὶ ζητοῦντες ἤδη φυγεῖν, ὅτ᾽ οὐδὲν ἦν ὄφελος. οἱ μὲν γὰρ Ἑβραῖοι διὰ ξηρᾶς ἀτραποῦ περὶ 179
βαθὺν ὄρθρον μετὰ γυναικῶν καὶ παίδων ἔτι κομιδῇ νηπίων περαιοῦνται· τοὺς δὲ τὰ τμήματα τοῦ πελάγους ἑκατέρωθεν ἐπικυλισθέντα καὶ ἑνωθέντα αὐτοῖς ἅρμασι καὶ ἵπποις καταποντοῖ, βορείοις πνεύμασι τῆς παλιρροίας ἀναχυθείσης καὶ μετεώροις τρικυμίαις ἐπιδραμούσης, ὡς μηδὲ πυρφόρον ὑπολειφθῆναι τὸν ἀπαγγελοῦντα τοῖς ἐν Αἰγύπτῳ τὰς αἰφνιδίους συμφοράς. τὸ μέγα τοῦτο καὶ θαυμαστὸν ἔργον Ἑβραῖοι καταπλαγέντες 180
ἀναιμωτὶ νίκην οὐκ ἐλπισθεῖσαν ἤραντο καὶ κατιδόντες ἐν ἀκαρεῖ φθορὰν ἀθρόαν πολεμίων δύο χορούς, τὸν μὲν ἀνδρῶν, τὸν δὲ γυναικῶν, ἐπὶ τῆς ἠϊόνος στήσαντες εὐχαριστικοὺς ὕμνους εἰς τὸν θεὸν ᾖδον, ἐξάρχοντος Μωυσέως μὲν τοῖς ἀνδράσιν, ἀδελφῆς δὲ τούτου ταῖς γυναιξίν· ἡγεμόνες γὰρ οὗτοι τῶν χορῶν ἐγεγένηντο.

(33.) Ἄραντες δ᾽ ἀπὸ θαλάττης μέχρι μέν τινος ὡδοιπόρουν μηκέτι 181
τὸν ἀπὸ τῶν ἐχθρῶν ὀρρωδοῦντες φόβον. ἐπιλιπόντος δὲ τοῦ ποτοῦ τρισὶν ἡμέραις, αὖθις ἐν ἀθυμίαις ἦσαν ὑπὸ δίψους καὶ πάλιν ἤρξαντο μεμψιμοιρεῖν ὡς μηδὲν εὖ προπεπονθότες· ἀεὶ γὰρ ἡ τοῦ παρόντος προσβολὴ δεινοῦ τὰς ἐπὶ τοῖς προτέροις ἀγαθοῖς ἡδονὰς ἀφαιρεῖται.

---

1 προστατοῦσα coni. Mang. 5 οἱ om. HP (Turn.) πάντ᾽ GHP: πάντα ceteri 6 ἐπιπίπτοντες M, συνεμπίπτοντες VO 7 οὐδὲ A ἀτραποῦ] ἀτραπῇ (sic) τε καὶ Z 8 παίδων] τέκνων VO νηπίων κομιδῇ transp. KZ 9 ἑκατέρωθεν GHP: ἀφ᾽ ἑκατέρωθεν BEMAKZ, ἐφ᾽ ἑκατέρωθεν CVO 10 αὐτοῖς ἅρμασι καὶ ἵπποις GHP: ἵπποις αὐτοῖς καὶ ἅρμασι VOKZ, ἐπὶ τοῖς αὐτοῖς καὶ ἅρμασι C, ἐπὶ τοῖς αὐτοῖς ἅρμασι καὶ ἵπποις A, ἐπὶ τοῖς αὐτοῖς καὶ ἅρμασι καὶ ἵπποις BEM καταποντοῖ GHPKZ: καταπόντον C, κατὰ πόντον BEMA, κατεπόντο (sic) V, κατεπόντουν O καὶ ante βορείοις add. CV[1]BEMA βορέοις KZ post πνεύμασιν add. ἐκ CV[1]BEMA 11 τρικυμίας A 12 ἀπολειφθῆναι CVOGHP ἐφνιδίους C 13 ὅθεν ante τὸ add. V[2]O ἔργον GHP: om. ceteri 14 ἀναιμωτὶ GHPKZ: ἀναιμακτὶ ceteri ἀκαρεὶ codd. 16 ἰόνος C εἰς τὸν θεὸν ᾖδον GHP: ᾖδον πρὸς τὸν θεὸν M, ᾖδον εἰς τὸν θεὸν ceteri 17 μὲν μωυσέος transp. A(v) 18 ἐγεγένηντο GHP: ἐγένοντο ceteri 19 δ᾽ om. G θαλάττης GHP: τῆς θαλάττης ceteri θαλάσσης K 22 πεπονθότες A

19 sqq. Exod. 15,22—27

182 θεασάμενοι δὲ πηγὰς ἐπιτρέχουσιν | ὡς ἀρυσόμενοι χαρᾶς ὑπόπλεῳ, p. 110 M. δι' ἄγνοιαν τἀληθοῦς ἀπατηθέντες· πικραὶ γὰρ ἦσαν· εἶτα γευσάμενοι γναμφθέντες τῷ παρ' ἐλπίδα τά τε σώματα παρεῖντο καὶ τὰς ψυχὰς ἀναπεπτώκεσαν. οὐχ οὕτως ἐφ' ἑαυτοῖς ὡς ἐπὶ τοῖς νηπίοις παισὶ
183 στένοντες, οὓς ἀδακρυτὶ ποτὸν αἰτοῦντας ὁρᾶν οὐχ ὑπέμενον. ἔνιοι δὲ τῶν ὀλιγωροτέρων καὶ πρὸς εὐσέβειαν ἀβεβαίων καὶ τὰ προγεγονότα ᾐτιῶντο ὡς οὐκ ἐπ' εὐεργεσίᾳ συμβάντα μᾶλλον ἢ διὰ μετουσίαν ἀργαλεωτέρων συμφορῶν, ἄμεινον εἶναι λέγοντες τρίς, οὐχ ἅπαξ, ὑπ' ἐχθρῶν ἀποθανεῖν ἢ δίψει παραπολέσθαι· τὴν μὲν γὰρ ἄπονον καὶ ταχεῖαν τοῦ βίου μετάστασιν οὐδὲν ἀθανασίας διαφέρειν τοῖς εὖ φρονοῦσι, θάνατον δ' ὡς ἀληθῶς εἶναι τὸν βραδὺν καὶ μετ' ἀλγηδόνων, οὐκ ἐν τῷ τεθνάναι
184 τὸ φοβερὸν ἀλλ' ἐν μόνῳ τῷ ἀποθνήσκειν ἐπιδεικνύμενον. τοιαύταις χρωμένων ὀλοφύρσεσι, πάλιν ἱκετεύει τὸν θεὸν Μωυσῆς ἐπιστάμενον τὴν ζῴων καὶ μάλιστα τὴν ἀνθρώπων ἀσθένειαν καὶ τὰς τοῦ σώματος ἀνάγκας ἐκ τροφῆς ἠρτημένου καὶ δεσποίναις χαλεπαῖς συνεζευγμένου, βρώσει καὶ πόσει, συγγνῶναι μὲν τοῖς ἀθυμοῦσι, τὴν δὲ πάντων ἔνδειαν ἐκπλῆσαι, μὴ χρόνου μήκει, δωρεᾷ δ' ἀνυπερθέτῳ καὶ ταχείᾳ, διὰ τὴν τοῦ θνητοῦ φυσικὴν ὀλιγωρίαν ὀξὺν καιρὸν τῆς βοηθείας ἐπιποθοῦντος.
185 ὁ δὲ τὴν ἵλεων αὐτοῦ δύναμιν φθάνει προεκπέμψας καὶ διοίξας τὸ τοῦ ἱκέτου τῆς ψυχῆς ἀκοίμητον ὄμμα ξύλον δείκνυσιν, ὃ προσέταξεν ἀράμενον εἰς τὰς πηγὰς καθεῖναι, τάχα μὲν κατεσκευασμένον ἐκ φύσεως ποιοῦν δύναμιν, ἣ τάχα ἠγνόητο, τάχα δὲ καὶ τότε πρῶτον ποιηθὲν εἰς

1 ὑπόπλεῳ GV^{2}O: ὑπόπλεοι ceteri 2 ἀπατηθέντες] ἀποπλανηθέντες VO 3 γναφθέντες VOK^{2}, καμφθέντες K^{1}Z 4 ἐφ' αὑτοῖς AEHP, ἐπ' αὐτοῖς G (et V^{1} ut vid.) 5 οὓς] οὐκ BEMVO, ους οὐκ A (Mang.) ἀδακρυτὶ G^{2}, οὐ δακρυτὶ G^{1} post ἀδακρυτὶ add. γὰρ V^{2}O αἰτοῦντα V^{2}O 7 ἢ] ἀλλὰ VO 9 δίψη CG 10 μετάστασιν CAGH: μετάστασιν corr. ex μετανάστασιν Z, μετανάστασιν corr. ex μετάστασιν B, μετανάστασιν EMVOKP εὐθανασίας coni. Mang. τοῖς εὖ φρονοῦσι διαφέρειν transp. O 11 δ' om. A μετὰ C τῷ] τὸ G 12 τῷ] τὸ G 13 μωυσῆς GHPK^{1}Z: ὁ μωυσῆς ceteri ἐπιστάμενος BEMAVO 14 τὴν ἀνθρώπων VGHP: τὴν τῶν ἀνθρώπων O, τῶν ἀνθρώπων ceteri alt. καὶ] διὰ V^{2}O 14. 15 ταῖς . . . ἀνάγκαις A 15 ἠρτημένου et συνεζευγμένου HPKZ: ἠρτημένην et συνεζευγμένην ceteri 15. 16 βρώσει καὶ πόσει συνεζευγμένην transp. M 17 ταχεῖ (sic) Z 18 τοῦ om. K 19 τὴν ἵλεων αὐτοῦ (αὐτοῦ scripsi) δύναμιν GHP: τῇ ἵλεῳ αὐτοῦ δυνάμει ceteri (v) διανοίξας VO, διανοίξας corr. ex διοίξας K 20 οἰκέτου VOG τῆς ψυχῆς ἀκοίμητον ὄμμα KZ: ἀκοίμητον τῆς ψυχῆς ὄμμα G, ἀκοίμητον ὄμμα τῆς ψυχῆς HP(v), τῆς ψυχῆς om. CVO, τῆς ψυχῆς ἀκοίμητον om. BEMA ξύλον GHPV^{2}O: ξύλον γὰρ ceteri (γὰρ eras. V^{2}) 21 μὲν HP: μὲν καὶ ceteri (v) προκατεσκευασμένον coni. Mang. 22 ποιοῦν] ποιεῖν V^{2}O (prob. Wendl.); ⟨ὡς⟩ ποιοῦν conicio; ⟨καὶ⟩ ποιοῦν coni. Mang. ἣ] ἡ M pr. τάχα] τάχιστα H; πρόσθεν conicio, τέως coni. Wendl. ἠγνοεῖτο GHP (v) πρῶτον GHPKZ: om. ceteri

ἣν ἔμελλεν ὑπηρετεῖν χρείαν. γενομένου δὲ τοῦ κελευσθέντος, αἱ μὲν 186
πηγαὶ γλυκαίνονται μεταβαλοῦσαι πρὸς τὸ πότιμον, ὡς μηδ᾽ εἰ τὴν
ἀρχὴν ἐγένοντό ποτε πικραὶ δύνασθαι διαγνῶναι, διὰ τὸ μηδὲ ἴχνος ἢ
ζώπυρον τῆς ἀρχαίας κακίας εἰς μνήμην ὑπολελεῖφθαι. (34.) τὸ δὲ 187
δίψος ἀκεσάμενοι μεθ᾽ ἡδονῆς διπλασίας, ἐπειδὴ τῆς ἀπολαύσεως τὸ
παρ᾽ ἐλπίδα συμβεβηκὸς ἀγαθὸν εὐφραίνει μᾶλλον, ἔτι καὶ τὰς ὑδρίας
πληρώσαντες ἀνεζεύγνυσαν, ὥσπερ ἀπὸ θοίνης καὶ ἱλαρᾶς εὐωχίας ἑστια-
θέντες καὶ μεθύοντες οὐ τὴν ἐν οἴνῳ μέθην ἀλλὰ τὴν νηφάλιον, ἣν
ἠκρατίσαντο τὰς προπόσεις λαβόντες παρὰ τῆς εὐσεβείας τοῦ προεστῶτος
ἄρχοντος. ἀφικνοῦνται δ᾽ εἰς σταθμὸν δεύτερον, εὔυδρόν τε καὶ εὔδεν- 188
δρον — Αἰλεὶμ ὠνομάζετο (Exod. 15, 27) —, πηγαῖς καταρρεόμενον
δώδεκα, παρ᾽ αἷς στελέχη νέα φοινίκων εὐερνέστατα ἦν τὸν ἀριθμὸν
p. 111 M. ἑβδομήκοντα, τοῖς ὀξὺ τῇ | διανοίᾳ βλέπειν δυναμένοις ἀγαθῶν τῶν
ἐθνικῶν ἐναργῆ σημεῖα καὶ δείγματα· φυλαί τε γάρ εἰσι τοῦ ἔθνους 189
δώδεκα, ὧν ἑκάστη πηγῆς ἕξει λόγον εὐσεβοῦσα, χορηγούσης εὐσεβείας
ἀενάους καὶ ἀνελλιπεῖς καλὰς πράξεις, γενάρχαι δὲ τοῦ σύμπαντος ἔθνους
ἑβδομήκοντα γεγόνασι φοίνικι τῷ τῶν δένδρων ἀρίστῳ προσηκόντως
παρεικασθέντες, ὃ καὶ ὀφθῆναι καὶ καρπὸν ἐνεγκεῖν ἐστι κάλλιστον, ὅπερ

2 μετάβάλλουσαι VOG τὸ MGHP: om. ceteri ὡς μηδ᾽ εἰ Turn.: ὡς εἰ μηδὲ codd. (Mang.) 3 ἐγίνοντο BEMAKZ διακρῖναι KZ μηδὲ] μὴ HP 3. 4 ἢ ζώπυρον GHPKZ: ζωπυροῦν (om. ἢ) ceteri 4 ζώπυρόν ⟨τι⟩ coni. Mang. κακίας] πικρίας coni. Mang.; sed cf. Ioseph. ab ipso Mang. laud. 6 εὐφραίνει GHP: ηὔφρανε C (Mang.), εὔφρανε ceteri τὰς ὑδρίας ex τὰ ὑδρία corr. B, τὰ ὑδρία $EV^{1}AKZ$, τὰ ὑδρεῖα $CV^{2}O$ 7 ἱλαρᾶς καὶ transp. A 8 ἀλλὰ τὴν νηφάλιον GHPKZ: ἀλλ᾽ (om. τὴν νηφάλιον) ceteri 9 ἠκρατήσαντο $B^{1}E$, ηὐκρατήσαντο A πόσεις A λαμβάνοντες HP τῆς εὐσεβείας om. G 10 ἀφικνεῖται HP δὲ AVO τε om. M 11 αἰλὶμ C, αἰλὶν H^{1}, ἐλεὶμ VOG ὠνομάζεται (sic) C καταρρυόμενον P 12 παρὰ (om. αἷς) $H^{1}P$ στελέχη νέα φοινίκων $CVOGHPK^{2}$: στελέχη φοινίκων νέα BEM, φοινίκων στελέχη νέα A, στελέχη φοινίκων (om. νέα) $K^{1}Z$ ἃ add. ante εὐερνέστατα HP τὸν om. HP 13 δυναμένοις βλέπειν transp. VO 13. 14 ἀγαθῶν τῶν ἐθνικῶν GHP: τῶν ἐθνικῶν ἀγαθῶν KZ, τῶν ἀγαθῶν ἐθνικῶν ceteri 14 δείγματα] τάγματα VO τε codd.: μὲν v εἰσι] ἦσαν M τοῦ ἔθνους VO: τὸ ἔθνος ceteri 15 λόγων G εὐσεβοῦσα GHP: εὐσεβοῦς ceteri εὐσεβείας] εὐσεβεῖς O, εὐλαβείας BM 16 ἀενάους CE: ἀεννάους ceteri καλὰς om. O γεννάρχαι H ἔθνους] ἔθους P, ἀνθρωπείου γένους $V^{2}O$ 17 τῶν GHP: om. ceteri δένδρω VOM ἀρίστω δένδρω transp. O 17. 18 προσηκόντως παρεικασθέντες GHP: προσηκόντως ἀπεικασθέντες CVO, παρεικασθέντες προσηκόντως ceteri 18 ἀνενεγκεῖν ἐστι O, ἐστι προσενεγκεῖν BEMAKZ ὅπερ GHP: ὃ ceteri

4 cf. *Ioseph. Ant. Iud. III 3* ἀφικνοῦνται δὲ . . . εἰς Μὰρ τόπον οὕτως διὰ τὴν τοῦ ὕδατος κακίαν ὀνομάσαντες· μὰρ γὰρ ἡ πικρία λέγεται. § 6 . . . ἱκετεύων οὖν τρέπεται τὸν θεὸν μεταβαλεῖν τὸ ὕδωρ ἐκ τῆς παρούσης κακίας καὶ πότιμον αὐτοῖς παρασχεῖν.

καὶ τὴν ζωτικὴν ἔχει δύναμιν οὐκ ἐν ῥίζαις ὥσπερ τὰ ἄλλα κατορωρυγ-
μένην ἀλλ' ἀνώφοιτον, καρδίας τρόπον ἐν τῷ μεσαιτάτῳ τῶν ἀκρεμόνων
190 ἱδρυμένην, ὑφ' ὧν οἷα ἡγεμονὶς ὄντως ἐν κύκλῳ δορυφορεῖται. τοιαύτην
δ' ἔχει φύσιν καὶ ἡ διάνοια τῶν γευσαμένων ὁσιότητος· ἄνω γὰρ μεμά-
θηκε βλέπειν τε καὶ φοιτᾶν καὶ μετεωροπολοῦσα ἀεὶ καὶ τὰ θεῖα διερευ-
νωμένη κάλλη χλεύην τίθεται τὰ ἐπίγεια, ταῦτα μὲν παιδιάν, ἐκεῖνα
δὲ σπουδὴν ὡς ἀληθῶς νομίζουσα.
191 (35.) Μετὰ δὲ ταῦτ' οὐ πολὺς διῆλθε χρόνος καὶ ἀπορίᾳ σιτίων
ἐλίμωττον, ὥσπερ ἐκ διαδοχῆς ἀντεπιτιθεμένων τῶν ἀναγκαίων· δέσποιναι
γὰρ χαλεπαὶ καὶ βαρεῖαι, πεῖνα καὶ δίψα, διακληρωσάμεναι τὰς κακώσεις
ἐν μέρει προσέκειντο καὶ συνέβαινε κατὰ τὴν τῆς ἑτέρας ἄνεσιν ἐπι-
γίνεσθαι τὴν ἑτέραν, ὅπερ ἦν τοῖς πάσχουσιν ἀφορητότατον, εἴ γε πρὸ
μικροῦ δόξαντες ἀπαλλαγῆναι δίψους ἐφεδρεῦον κακὸν πεῖναν εὕρισκον.
192 ἦν δ' οὐ μόνον ἡ παροῦσα σπάνις χαλεπόν, ἀλλὰ καὶ ἡ πρὸς τὸν μέλλοντα
χρόνον τῶν ἐπιτηδείων ἀπόγνωσις· ὁρῶντες γὰρ βαθεῖαν καὶ πολλὴν
ἔρημον καὶ καρπῶν ἀγονωτάτην σφόδρα ἠθύμουν· πάντα γὰρ ἦσαν ἢ
τραχεῖαι καὶ ἀπορρῶγες πέτραι ἢ ἁλμυρόγεως πεδιὰς ἢ ὄρη λιθωδέστατα
ἢ ψάμμοι βαθεῖαι πρὸς ἠλίβατον ὕψος ἀνατείνουσαι, καὶ προσέτι ποταμὸς
οὐδείς, οὐκ αὐθιγενής, οὐ χειμάρρους, οὐδεμία πηγή, σπαρτὸν οὐδὲν
οὐδὲ δένδρον, οὐχ ἥμερον, οὐ τῆς ἀγρίας ὕλης, οὐ ζῷον πτηνὸν ἢ χερσαῖον,
ὅτι μὴ τῶν ἑρπετῶν τὰ ἰοβόλα πρὸς ὄλεθρον ἀνθρώπων, ὄφεις καὶ
193 σκορπίοι. εἶθ' ὑπομιμνησκόμενοι τῆς κατ' Αἴγυπτον εὐθηνίας καὶ εὐε-
τηρίας καὶ τὴν τῶν ἐκεῖ πάντων ἀφθονίαν ἀντιτιθέντες τῇ πάντων ἐνταῦθα
ἐνδείᾳ χαλεπῶς ἔφερον καὶ πρὸς ἑτέρους ἕτεροι τοιαῦτ' ἐλογοποίουν·

1 ὥσπερ VOGHP: ὥσπερ καὶ ceteri τἄλλα VOKZ 1. 2 κατορωρυγμένον BEMA 2 ἀνώφοιτον BEMHP: ἀνώφυτον ceteri τὸν τρόπον BEV[1]AKZ 3 ἱδρυμένον BEMA ἡγεμονικὸς K ὄντος Z 4 γὰρ om. GHP[1], ss. P[2] 5 μετεωροποροῦσα GH[2] 5. 6 ἐρευνωμένη M 6 τίθεσθαι CV[1]GHP ταῦτα CVO 8 ἀπορίᾳ] ἀπειρίᾳ Richt. Tauchn. 10 πεῖνα καὶ δίψα GHP: δίψα καὶ πεῖνα ceteri 11 ἑτέρας GHP: προτέρας ceteri (v) 12 ἑτέραν] προτέραν M, δευτέραν mg. M ἀφορητότερον H[1]P εἴ γε codd.: οἵ γε v 13 ἐφεδρεύοντος κακοῦ πεῖραν BEMA ηὕρισκον C 14—17 πρὸς—πέτραι ἢ om. VO, suppl. man. rec. mg. V 17 ἀπορρῶγες GHP(V): ἀπορρωγάδες ceteri ἢ ante ὄρη om. Turn. ὄροι (sic) A 18 προσέτι GHP: om. ceteri 20 οὐ δένδρον GHP ἡμέρου coni. Mang. ἢ GHP: οὐ ceteri 21 τῶν om. A 22 εἶτ' C 23 ἐκεῖ] ἐκείνων H τιθέντες A 24 post ἑτέρους add. δὴ M τοιαῦτα A

8 sqq. Exod. cap. 16

„ἐπ' ἐλευθερίας ἐλπίδι μεταναστάντες οὐδὲ τοῦ ζῆν ἄδειαν ἔχομεν οἱ
ταῖς μὲν ὑποσχέσεσι τοῦ ἡγεμόνος εὐδαίμονες, ἐν δὲ τοῖς ἔργοις ἀνθρώπων
p. 112 M. ἁπάντων κακοδαιμονέστατοι. τί τέλος ἔσται τῆς | ἀνηνύτου καὶ μακρᾶς 194
οὕτως ὁδοῦ; πᾶσι καὶ τοῖς πλέουσι καὶ τοῖς πεζεύουσιν ὅρος εἰς ὃν ἀφί-
ξονται πρόκειται, τοῖς μὲν ἐμπόρια καὶ λιμένες, τοῖς δὲ πόλις τις ἢ
χώρα, μόνοις δ' ἡμῖν ἄβατος ἐρημία καὶ δυσοδία καὶ χαλεπαὶ δυσελ-
πιστίαι· προϊόντων γάρ, ὥσπερ ἀχανὲς καὶ βαθὺ πέλαγος ἀπόρευτον
ἀναφαίνεται καθ' ἑκάστην ἡμέραν εὐρυνόμενον. μετεωρίσας καὶ φυσήσας 195
ἡμᾶς τῷ λόγῳ καὶ κενῶν ἐλπίδων τὰ ὦτα πληρώσας παρατείνει λιμῷ
τὰς γαστέρας οὐδὲ τὰς ἀναγκαίας ἐκπορίζων τροφάς· ἀποικίας ὀνόματι
τοσαύτην πληθὺν ἠπάτησεν ἐξ οἰκουμένης τὸ πρῶτον εἰς ἀοίκητον ἀγαγών,
εἶτα καὶ εἰς ᾅδου προπέμπων, τὴν τοῦ βίου τελευταίαν ὁδόν.“ (36.)
τοιαῦτ' ὀνειδιζόμενος οὐχ οὕτως ἐπὶ ταῖς εἰς αὑτὸν κακηγορίαις ἐδυσ- 196
χέραινεν, ὡς ἐπὶ τῷ τῆς γνώμης αὐτῶν ἀνιδρύτῳ· πεπειραμένοι γὰρ
μυρίων ὅσων ἐκ τοῦ παραλόγου συμβεβηκότων πραγμάτων παρὰ τὸ
καθεστὸς ἔθος ὤφειλον ὑπὸ μηδενὸς ἔτι τῶν εὐλόγων καὶ πιθανῶν
ἄγεσθαι, πεπιστευκέναι δ' αὐτῷ λαβόντες ἀποδείξεις ἐναργεστάτας τοῦ
περὶ ἁπάντων ἀψευδεῖν. πάλιν δ' ὅτε εἰς ἔννοιαν ἦλθε τῆς ἐνδείας, 197
ἧς μεῖζον οὐδὲν κακὸν ἀνθρώποις ἐστί, συνεγίνωσκεν ὄχλον εἰδὼς ἀβέ-
βαιον φύσει πρᾶγμα καὶ ὑπὸ τῶν ἐν χερσὶ διακινούμενον, ἃ λήθην μὲν
τῶν προγεγονότων ἐργάζεται, δυσελπιστίαν δ' εἰς τὰ μέλλοντα. πάντων 198
οὖν ἐν ἀσχέτοις ὄντων ἀνίαις καὶ τὰς ἀνωτάτω προσδοκώντων συμφοράς,
ἃς ἐνόμιζον ἐφεδρεύειν καὶ ἐγγυτάτω παρεῖναι, τοῦτο μὲν διὰ τὴν σύμ-
φυτον ἐπιείκειαν καὶ φιλανθρωπίαν, τοῦτο δὲ βουλόμενος ὃν ἐχειροτόνησεν
ἡγεμόνα τιμῆσαι καὶ ἔτι μᾶλλον ὡς εὐσεβείας ἔχει καὶ ὁσιότητος ἔν τε
τοῖς φανεροῖς κἀν τοῖς ἀδήλοις ἅπασι διασυστῆσαι ὁ θεὸς ἐλεήσας τὸ

1 μεταστάντες G   οἵ MGO   2 τῶν ἀνθρώπων A(v)   5 ἐμπορία H^{1}P, ἐμπορεῖα C   alt. τοῖς] τίς P   6 μόνον VO   8 καὶ ante καθ' add. A(v)   καὶ ante μετεωρίσας add. Z   μετεωρήσας B^{1}E   8. 9 ἡμᾶς καὶ φυσήσας transp. Z   11 ἀναγαγὼν BEMAK^{1}Z   13 αὑτὸν AE: αὐτὸν ceteri   κατηγορίαις VOKGHP   14 ὡς] ὅσον KZ   αὐτῶν GHP: om. ceteri   ἀϊδρύτω (ὁ supra) HP   15 ὅσων GHPKZ: οἵων ceteri   16 καθεστὸς MA: καθεστὼς K, ω ex ο corr. Z, καθεστὼς ceteri   17 λαβόντας VOGHP   18 ὅτε scripsi: ὅταν codd.   19 ἧς GHP: οὗ ceteri (v)   21 δ'] δὲ τὴν GHP   22 ἀσχέτοις CVO: ἐσχάτοις BEKZ, ἐσχάταις MAGHP (v); ἀνηκέστοις coni. Mang.   23 ἃς om. C   23. 24 ἔμφυτον HP   26 pr. τοῖς om. A   κἀν] καὶ ἐν CVO   διαστῆσαι M

199 πάθος ἰᾶται. ξένας οὖν εὐεργεσίας ἐκαινοτόμει, τρανοτέραις ὅπως ἐμ-
φάσεσι παιδευθῶσιν ἤδη μὴ δυσαν ασχετεῖν. εἴ τι μὴ κατὰ γνώμην εὐθὺς
ἀποβαίη, τλητικῶς δ' ὑπομένειν χρηστὰ περὶ τῶν μελλόντων προσ-
200 δοκῶντες. τί οὖν συνέβη; τῇ ὑστεραίᾳ περὶ τὴν ἕω δρόσος βαθεῖα
καὶ πολλὴ περὶ σύμπαν ἦν ἐν κύκλῳ τὸ στρατόπεδον, ἣν ἐπένιφεν ἡσυχῇ,
ἀήθη ὑετὸν καὶ παρηλλαγμένον, οὐχ ὕδωρ, οὐ χάλαζαν, οὐ χιόνα, οὐ
κρύσταλλον — ταῦτα γὰρ αἱ τῶν νεφῶν ἀπεργάζονται μεταβολαὶ ταῖς
χειμεριναῖς τροπαῖς —, ἀλλὰ κέγχρον βραχυτάτην καὶ λευκοτάτην, ἣ
διὰ τὴν ἐπάλληλον φορὰν σωρηδὸν προὐκέχυτο τῶν σκηνῶν. ἄπιστος
ὄψις· ἣν καταπλαγέντες ἐπυνθάνοντο τοῦ ἡγεμόνος, τίς τε ὁ ὑετὸς οὗτός
ἐστιν, ὃν οὐδείς πω πρότερον εἶδεν | ἀνθρώπων, καὶ πρὸς τί γέγονεν. p. 113 M.
201 ὁ δὲ καταπνευσθεὶς ἔνθους γίνεται καὶ θεσπίζει τάδε· „θνητοῖς μὲν ἀνεῖται
πεδιὰς ἡ βαθύγειος, ἣν ἀνατεμόντες εἰς αὔλακας ἀροῦσι καὶ σπείρουσι
καὶ τὰ ἄλλα τὰ κατὰ γεωργίαν δρῶσι καρποὺς ἐτησίους ἐκπορίζοντες εἰς
ἀφθονίαν τῶν ἀναγκαίων· θεῷ δ' οὐ μία μοῖρα τοῦ παντὸς ἀλλ' ὁ
σύμπας κόσμος ὑποβέβληται καὶ τὰ τούτου μέρη πρὸς ἅπασαν χρείαν
202 ὧν ἂν θέλῃ ὡς δεσπότῃ δοῦλα ὑπηρετήσοντα. νῦν οὖν ἔδοξεν αὐτῷ, τὸν
ἀέρα τροφὴν ἐνεγκεῖν ἀνθ' ὕδατος, ἐπεὶ καὶ γῆ πολλάκις ὑετὸν ἤνεγκεν·
ὁ γὰρ ἐν Αἰγύπτῳ ποταμὸς καθ' ἕκαστον ἐνιαυτὸν ταῖς ἐπιβάσεσι πλημ-
μυρῶν ὅταν ἄρδῃ τὰς ἀρούρας, τί ἕτερον ἢ ὑετός ἐστι κάτωθεν ἐπινίφων;“
203 παράδοξον μὲν δὴ τὸ ἔργον. εἰ καὶ ἐνταῦθα ἔστη· νυνὶ δὲ καὶ παρα-
δοξοτέροις ἄλλοις ἐθαυματουργεῖτο. ἐπενεγκάμενοι γὰρ ἄλλος ἀλλαχόθεν

1 ξένας: incipit manus vetustior codicis F (fol. 15r) εὐεργεσίας] ἐνεργείας G τρανοτέραις] καινοτέραις A 2 ἐμφάσεσι παιδευθῶσιν scripsi: (ἐμφάσεσιν) αἰδεσθῶσιν codd.; ἀναδιδαχθῶσιν coni. Mang. μὴ om. A εἴ τι BEMFH²K¹Z: ἔτι A, εἰ GH¹P(v), ἐπεὶ CV¹, ἐπὰν V²OK² τὰ ante κατὰ add. V² 3. 4 προσδοκῶντες Wendl.: προσδοκήσαντας A, προσδοκῶντας ceteri (v) 4 περὶ] παρὰ F 5 ἐν om. A ἣν] ἢ K¹Z, ἣν om. FH¹P¹, s. s. H²P ἐπένιφεν VOFKZ: ὑπένειφεν M, ἐπένειφεν ceteri 7 κρύσταλον FGH 8 post κέγχρον add. καὶ F βαθυτάτην VOK² λευκοτάτην] λεπτοτάτην BEMAKZ ἣ] ἢ C 9 ἀλλεπάλληλον C σορηδὸν GZ προὐκέχυτο AFGHP: προκέχυτο ceteri 10 τὸν ἡγεμόνα P ὁ om. A(v) 12 ἔνθους τε FHP 13 βαθύγεως AKZ ἀνατέμνοντες HP, ἀνατέμνουσιν F 14 τἄλλα VO ἐτησίως ABE εἰς om. G 15 δὲ VOFZ οὐ] οὐδὲ BMFKZ 16. 17 πρὸς ἅπασαν χρείαν ὧν ἂν θέλῃ FGHP (ἐθέλῃς F): πρὸς ἃς ἂν θέλῃ χρείας ceteri (ἐθέλοι A) 17 ὑπηρετήσονται F, ὑπηρετεῖ BEMA(v) 18 ἀνενεγκεῖν HP 19. 20 πλημυρῶν GZ 20 ἄρδῃ FHP, ἄρδει G: ἀρδεύῃ ceteri (v) κάτωθέν ἐστιν ὑετὸς transp. Z ἐπινίφων VOFKZ: ἐπινείφων ceteri 21 μὲν FGHP: μὲν γὰρ ceteri δὴ eras. K τὸ ἔργον FGHPV²O: τὸ ἕτερον ἔργον ceteri (ἕτερον eras. V²) εἰ καὶ eras. V², om. O ἔστη AF: ἐστί ceteri καὶ om. VO 21. 22 παραδοξότερον ἄλλο coni. Mang. 22 ἀλλαχόθεν ἄλλος transp. CVO

ἀγγεῖα συνεκόμιζον, οἱ μὲν ἐπὶ τῶν ὑποζυγίων, οἱ δὲ κατὰ τῶν ὤμων
ἐπηχθισμένοι, προνοίᾳ τοῦ πρὸς πλείω χρόνον ταμιεύεσθαι τὰ ἐπιτήδεια.
ἦν δ' ἄρα ἀταμίευτα καὶ ἀθησαύριστα, δωρεὰς ἀεὶ νέας ἐγνωκότος τοῦ 204
θεοῦ χαρίζεσθαι· τὰ μὲν γὰρ πρὸς τὴν τότε χρῆσιν αὐτάρκη σκευάσαντες
μεθ' ἡδονῆς προσηνέγκαντο, τῶν δ' ἀπολειφθέντων εἰς τὴν ὑστεραίαν
οὐδὲν ἔτι σῷον εὕρισκον, ἀλλὰ μεταβεβληκότα καὶ δυσώδη καὶ μεστὰ
τοιουτοτρόπων ζῴων, ἃ κατὰ σῆψιν εἴωθε γεννᾶσθαι· ταῦτα μὲν οὖν
ἀπερρίπτουν κατὰ τὸ εἰκός, ἑτέρας δ' εὐτρεπεῖς τροφὰς ἀνεύρισκον, ἃς
ἅμα τῇ δρόσῳ καθ' ἑκάστην ἡμέραν συνέβαινε νίφεσθαι. γέρας δ' ἐξαί- 205
ρετον ἡ ἱερὰ ἑβδομὰς εἶχεν· ἐπειδὴ γὰρ οὐδὲν ἐφεῖται δρᾶν ἐν αὐτῇ,
πάντων δὲ μικρῶν καὶ μεγάλων ἔργων ἀνέχειν διείρηται, συγκομίζειν
οὐ δυναμένοις τότε τὰ ἐπιτήδεια πρὸ μιᾶς ὁ θεὸς ὗει διπλᾶ καὶ κελεύει
φέρειν εἰς δύο ἡμέρας αὐτάρκη τροφὴν ἐσομένην· τὰ δὲ συγκομισθέντα
σῷα διέμενεν, οὐδενὸς ᾗ πρότερον φθαρέντος τὸ παράπαν. (37.) λέξω 206
δὲ καὶ τὸ ἔτι τούτου θαυμασιώτερον· ἐπὶ γὰρ ἔτη τεσσαράκοντα, τοσοῦτον
μῆκος αἰῶνος, ὁδοιποροῦσιν αὐτοῖς αἱ χορηγίαι τῶν ἀναγκαίων ἐν τάξεσι
ταῖς εἰρημέναις ἐγίνοντο καθάπερ ἐν σιταρχίαις μεμετρημέναις πρὸς τὰς
ἐπιβαλλούσας ἑκάστοις διανομάς. ἅμα μέντοι καὶ τὴν τριπόθητον ἡμέραν 207
ἀνεδιδάσκοντο — ζητοῦντες γὰρ ἐκ πολλοῦ, τίς ἄρ' ἐστὶν ἡ τοῦ κόσμου
γενέθλιος, ἐν ᾗ τόδε τὸ πᾶν ἀπετελέσθη, καὶ παρὰ πατέρων καὶ προ-
γόνων τὴν ζήτησιν ἄλυτον διαδεξάμενοι μόλις ἐδυνήθησαν εὑρεῖν —
p. 114 M. οὐ μόνον | χρησμοῖς ἀναδιδαχθέντες, ἀλλὰ καὶ τεκμηρίῳ πάνυ σαφεῖ·

1 ἐπὶ] ὑπὸ A κατὰ τοὺς ὤμους GHP (fort. recte) 2 ἐπηχθημένοι A πλείονα HP ταμιεύσασθαι FHP τἀπιτήδεια FHP 4 ἀνάγκην τε καὶ χρῆσιν A(v). ἀνάγκην τε καὶ omisi cum ceteris codd. σκευάσαντες FGHP: κατασκευάσαντες ceteri 5 δὲ F, δ' αὖ BEMAKZ ἀπολειφθέντων CVOFHP: ἄρα λειφθέντων G, ὑπολειφθέντων ceteri 6 ἔτι FGHP: τι ceteri (v) ηὕρισκον C μεστὰ] μετὰ BEMVO 7 οὖν om. KZ 8 ἀνηύρισκον C 9 νίφεσθαι CVO: νϊ ex νει corr. K, νείφεσθαι ceteri γέρας FGHP: τέρας ceteri δὲ C 9. 10 ἐξαίσιον A 10 οὐδὲν ἐφείθη FGH, εἶχεν οὐδὲν P 11 ἀπέχειν BEMAK^{1}Z διήρηται H^{1}P, δεῖν εἴρηται V^{2}O 12 δυναμένων BEMAK^{1}Z τἀπιτήδεια FHP πρὸ μιᾶς FGHP: προμηθείᾳ CVO, om. ceteri διπλᾶς VO 13 εἰς δύο ἡμέρας post τροφὴν transp. F ἐσομένοις P 14 διέμεινεν H^{1}P, διέμεινεν^{ε} K, διέμενον AVO ᾗ HPKZ: ἡ G, ἣ F, om. ceteri φθαρέντος] ὀφθέντος K^1 15 δὲ] δὴ FGHP ἔτη] ἔτι G τοσοῦτο C 16 αἰῶνος om. A 17 σιταρκίαις AFG πρὸς FGHPKZ: om. ceteri 17. 18 ταῖς ἐπιβαλλούσαις (ἐπιβαλούσαις FG) ἑκάστοις διανομαῖς FGHP 18 post ἐπιβαλλούσας add. χρείας V^{2}O (mg. K) ἑκάστης K^{1}Z διανομάς] διανομίας A, διανέμουσαι V^{2}OK^2 μέν τι G 19 ἄρ' FGHP: ἆρα B, ἄρα ceteri ἐστὶν om. A 20 τόδε] τότε G 21 ἄλυτον] ἄλυπον KZ ἐδυνήθησαν FHP: ἠδυνήθησαν ceteri

τοῦ γὰρ πλεονάζοντος ἐν ταῖς ἄλλαις ἡμέραις, ὡς ἐλέχθη, φθειρομένου.
τὸ πρὸ τῆς ἑβδόμης ὑόμενον οὐ μόνον οὐ μετέβαλεν, ἀλλὰ καὶ μέτρον
208 εἶχε διπλάσιον. ἡ δὲ χρῆσις ἦν τοιάδε· συλλέγοντες ἅμα τῇ ἕῳ τὸ
νιφόμενον ἤλουν ἢ ἔτριβον, εἶθ' ἕψοντες ἡδεῖαν πάνυ τροφὴν οἷα μελίπη-
209 κτον προσεφέροντο μὴ δεόμενοι σιτοπόνων περιεργίας. ἀλλὰ γὰρ καὶ
τῶν εἰς ἁβροδίαιτον βίον οὐκ εἰς μακρὰν εὐπόρουν, ὥσαπερ ἐν οἰκου-
μένῃ χώρᾳ καὶ εὐδαίμονι βουληθέντος τοῦ θεοῦ κατὰ πολλὴν περιουσίαν
ἄφθονα χορηγεῖν ἐν ἐρημίᾳ· ταῖς γὰρ ἑσπέραις ὀρτυγομητρῶν νέφος
συνεχὲς ἐκ θαλάττης ἐπιφερόμενον ἅπαν τὸ στρατόπεδον ἐπεσκίαζε τὰς
πτήσεις προσγειοτάτας ποιουμένων εἰς τὸ εὔθηρον· συλλαμβάνοντες οὖν
καὶ σκευάζοντες ὡς φίλον ἑκάστοις κρεῶν ἀπέλαυον ἡδίστων ἅμα καὶ
τὴν τροφὴν παρηγοροῦντες ἀναγκαίῳ προσοψήματι.
210 (38.) Τούτων μὲν οὖν πολλὴν ἦγον ἀφθονίαν οὐκ ἐπιλειπόντων,
ὕδατος δὲ καὶ πάλιν πιέσασα δεινὴ σπάνις ἐπιγίνεται· καὶ πρὸς ἀπό-
γνωσιν ἤδη τραπομένων σωτηρίας, λαβὼν Μωυσῆς τὴν ἱερὰν βακτηρίαν
ἐκείνην, δι' ἧς τὰ κατ' Αἴγυπτον ἀπετέλεσε σημεῖα, θεοφορηθεὶς τὴν
211 ἀκρότομον πέτραν παίει. ἡ δ', εἴτε προϋποκειμένης πηγῆς φλέβα καί-
ριον διακοπεῖσα εἴτε καὶ τότε πρῶτον ὕδατος ἀφανέσιν ὑπονόμοις

1 ὡς om. F 2 alt. οὐ om. E, ss. B μετέβαλλεν M 3 τὸ] τὸν Z 4 νιφόμενον CVO: νϊ ex νει corr. K, νειφόμενον ceteri εἶτ' K[1]Z 5 σιτοποιῶν C περιεργίας codd.: περιεργείας v 6 τῶν] τὸν FG ηὐπόρουν C ὥσαπερ ἐν FGHPKZ: ὥσαπερ (om. ἐν) C, ὅσα περὶ ceteri 7 βληθέντος M τοῦ om. VO 8 post ἄφθονα add. αὐτοῖς V[2]OK[2] 9 ἅπαν FGHPKZ: ὃ πᾶν CVOBEM, πᾶν A 10 προσγειοτάτους M ποιούμενον CFGHP(v) οὖν eras. V[2], om. O 11 ἀπέλαυνον M 11. 12 καὶ τὴν τροφὴν] κοινὴν τροφὴν καινῷ coni. Mang. 12 τῇ τροφῇ AF προσοψήματι CVOFG: προσεψήματι BEAHP, προεψήματι MKZ 13 οὖν om. Z πολλὴν om. BEMAKZ ἀφθονίαν ἦγον transp. BMKZ ἐπιλιπόντων FGH[1]P 15 σωτηρίας] βακτηρίας V[2]O οἶκτον add. ante λαβὼν BEMA λαβὼν] λαβόμενος VO, om. KZ μωσῆς GHP 15. 16 τὴν — ἧς om. BEMAVO βακτηρίαν ἐκείνην CKZ: ἐκείνην βακτηρίαν FGHP 16 ἐπετέλεσε CVOHP, ἐπετέλει G τὴν FGHP: γὰρ BEMA, om. CVOKZ 17 παίει πέτραν transp. A(v) ἡ δὲ VOF, ἥδ' KZ, ἡ δ' om. BEMA πηγὸς (sic) VOK[2] 18 ὕδασιν BEM ἀφανέσιν] ἄφεσιν C, ἀφαίρεσιν P ὑπονόμου C

10 cf. *Ioseph. Ant. Iud. III 25* καὶ μετ' ὀλίγον ὀρτύγων πλῆθος . . . ἐφίπταται τὴν μεταξὺ θάλατταν ὑπερελθὸν καὶ ὑπὸ κόπου τε ἅμα τῆς πτήσεως καὶ πρόσγαιον μᾶλλον τῶν ἄλλων ὂν καταφέρεται εἰς τοὺς Ἑβραίους. 13 sqq. Exod. 17,1—6 17 sqq. cf. *Sap. Salom. 11,4* ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ.

εἰς αὐτὴν ἀθρόου συρρυέντος καὶ σφόδρα ἐκθλιβέντος, ἀναστομωθεῖσα τῇ
βίᾳ τῆς φορᾶς κρουνηδὸν ἐκχεῖται, ὡς μὴ τότε μόνον παρασχεῖν ἄκος
δίψους ἀλλὰ καὶ πρὸς πλείω χρόνον τοσαύταις μυριάσιν ἀφθονίαν ποτοῦ·
τὰ γὰρ ὑδρία πάντ' ἐπλήρωσαν, ὡς καὶ πρότερον ἐκ τῶν πηγῶν. αἳ
πικραὶ μὲν ἦσαν φύσει, μετέβαλον δ' ἐπιφροσύνῃ θείᾳ πρὸς τὸ γλύκιον.
εἰ δέ τις τούτοις ἀπιστεῖ, θεὸν οὔτ' οἶδεν οὔτ' ἐζήτησέ ποτε· ἔγνω 212
γὰρ ἂν εὐθέως, ἔγνω παγίως καταλαβών, ὅτι τὰ παράδοξα δὴ ταῦτα
καὶ παράλογα θεοῦ παίγνιά ἐστιν, ἀπιδὼν εἰς τὰ τῷ ὄντι μεγάλα καὶ
σπουδῆς ἄξια, γένεσιν οὐρανοῦ καὶ πλανήτων καὶ ἀπλανῶν ἀστέρων
χορείας καὶ φωτὸς ἀνάλαμψιν, ἡμέρας μὲν ἡλιακοῦ, νύκτωρ δὲ τοῦ διὰ
σελήνης, καὶ γῆς ἵδρυσιν ἐν τῷ μεσαιτάτῳ τοῦ παντός, ἠπείρων τε καὶ
νήσων ὑπερβάλλοντα μεγέθη καὶ ζῴων καὶ φυτῶν ἀμυθήτους ἰδέας,
ἔτι δὲ πελαγῶν ἀναχύσεις, ποταμῶν αὐθιγενῶν καὶ χειμάρρων φοράς,
p. 115 M. ἀενάων ῥεῖθρα πηγῶν, ὧν αἱ | μὲν ψυχρὸν αἱ δὲ θερμὸν ὕδωρ ἀνομ-
βροῦσιν, ἀέρος παντοίας τροπάς, ἐτησίων ὡρῶν διακρίσεις, ἄλλα κάλλη
μυρία. ἐπιλίποι ἂν ὁ βίος τοῦ βουλομένου διηγεῖσθαι τὰ καθ' ἕκαστα, 213
μᾶλλον δ' ἕν τι τῶν ὁλοσχερεστέρων τοῦ κόσμου μερῶν, κἂν εἰ μέλλοι
πάντων ἀνθρώπων ἔσεσθαι μακροβιώτατος. ἀλλὰ ταῦτα μὲν πρὸς ἀλή-
θειαν ὄντα θαυμάσια καταπεφρόνηται τῷ συνήθει· τὰ δὲ μὴ ἐν ἔθει,
κἂν μικρὰ ᾖ, ξέναις φαντασίαις ἐνδιδόντες καταπληττόμεθα τῷ φιλοκαίνῳ.

(39.) Ἤδη δὲ πολλὴν καὶ ἀπόρευτον διεξεληλυθότων, ὅροι τινὲς 214
ἀνεφαίνοντο γῆς οἰκουμένης καὶ προάστεια χώρας, εἰς ἣν μεθωρμίζοντο·
νέμονται δ' αὐτὴν Φοίνικες. ἐλπίσαντες δὲ βίον εὔδιον καὶ γαληνὸν
αὑτοῖς ἀπαντήσεσθαι γνώμης ἐσφάλησαν. ὁ γὰρ προκαθήμενος βασιλεὺς 215

1 εἰς αὐτὴν om. FGHP ἀθρόον M συρρέοντος BEM, συρέντος F ἐκθλίβοντος CVOFGHP 2 φθορᾶς G μόνον om. VO 2. 3 δίψους ἄκος transp. G 3 δίψης F τοσαύταις om. K^1Z 4 ὑδρεῖα C πάντα FHP, πέντ' G ἐκ FGHP: ἀπὸ ceteri 5 μετέβαλλον F δὲ C γλύκειον CH 6 οὔτ' AFGHP: οὔτε ceteri οἶδεν CVOEHP: εἶδεν ceteri οὔτε CVO ποτε] πώποτε A(v) 7 ἂν εὐθέως ἔγνω om. H^1P 8 ἐστιν FGHP: εἰσιν ceteri (v) ἐπιδὼν FGHP εἰς FGHP: πρὸς ceteri 12 ἀμυθήτων K, ἀμυθήτους om. A 13 ἔτι δὲ FGHP: ἔτι δὲ καὶ ceteri 14 ἀενάων CE: ἀεννάων ceteri 14. 15 ψυχρῶν αἱ δὲ θερμῶν ὑδάτων ἀνομβροῦσι πηγάς A (Turn.) 16 ἐπιλείποι CK 17 μερῶν τοῦ κόσμου transp. BMAKZ 19 τὰ VOK^2FGHP: ἃ ceteri μὴ] δὴ C post ἔθει add. ἦν CBEMA, ᾖ KZ 21 ἀπόρευτον] ἀοίκητον coni. Mang. 23 ἐννέμονται FHP; ἐνέμοντο coni. Mang. αὐτὴν] αὐτὰ FGHP δὲ om. F εὔδειον A 24 αὑτοῖς om. A αὐτοῖς codd. ἀπαντήσασθαι K, ἀπαντᾶσθαι GHP προκαθήμενος FGHP: καθηγούμενος K^1Z, καθήμενος ceteri (K^2)

21 sqq. Exod. 17,8—16

περίθησιν εὐλαβηθείς. ἀναστήσας τὴν ἐκ τῶν πόλεων νεότητα, μάλιστα μὲν ἀνείρξων ὑπηντίαζεν, εἰ δὲ βιάζοιντο, διὰ χειρῶν ἀμυνούμενος ἀκμῆσι καὶ ἄρτι πρῶτον καθισταμένοις εἰς ἀγῶνα κεκμηκότας ὁδοιπορίαις καὶ
216 ἐνδείαις σιτίων καὶ ποτῶν, ἃ κατὰ μέρος ἀντεπετίθετο. Μωυσῆς δὲ παρὰ τῶν σκοπῶν γνοὺς οὐ μακρὰν διεστηκότα τὸν ἐχθρὸν στρατόν, καταλέξας τοὺς ἡβῶντας καὶ στρατηγὸν ἑλόμενος ἕνα τῶν ὑπάρχων Ἰησοῦν, πρὸς τὴν μείζονα συμμαχίαν αὐτὸς ἠπείγετο· περιρρανάμενος γὰρ τοῖς εἰωθόσι καθαρμοῖς ἐπὶ κολωνὸν τὸν πλησίον μετὰ σπουδῆς ἀναδραμὼν ἱκέτευε τὸν θεὸν ὑπερασπίσαι καὶ νίκην καὶ κράτος περιποιῆσαι τοῖς Ἑβραίοις, οὓς ἐκ χαλεπωτέρων πολέμων καὶ κακῶν ἄλλων ἐρρύσατο μὴ μόνον τὰς ἐξ ἀνθρώπων ἐπικρεμασθείσας συμφορὰς ἀποσκεδάσας, ἀλλὰ καὶ ὅσας ὅ τε τῶν στοιχείων νεωτερισμὸς ἐκαινούργησε
217 κατ' Αἴγυπτον καὶ ὁ ἐν ταῖς ὁδοιπορίαις ἀνήνυτος λιμός. ἤδη δὲ μελλόντων εἰς μάχην καθίστασθαι, τερατωδέστατόν τι συμβαίνει πάθος περὶ τὰς χεῖρας αὐτοῦ· κουφόταται γὰρ ἐγίνοντο ἐν μέρει καὶ βαρύταται· εἶθ' ὁπότε μὲν ἐπελαφρίζοιντο πρὸς ὕψος αἰρόμεναι, τὸ συμμαχικὸν ἐρρώννυτο καὶ ἀνδραγαθιζόμενον ἐπικυδέστερον ἐγίνετο, ὁπότε δὲ κάτω βρίσειαν, ἴσχυον οἱ ἀντίπαλοι, μηνύοντος διὰ συμβόλων τοῦ θεοῦ, ὅτι τῶν μέν ἐστι γῆ καὶ αἱ τοῦ παντὸς ἐσχατιαὶ κλῆρος οἰκεῖος, τῶν δ' αἰθὴρ ὁ ἱερώτατος, καὶ ὥσπερ ἐν τῷ παντὶ βασιλεύει καὶ κρατεῖ γῆς
218 οὐρανός, οὕτω καὶ τὸ ἔθνος περιέσται τῶν ἀντιπολεμούντων. ἄχρι μὲν οὖν τινος αἱ χεῖρες οἷα πλάστιγγες ἐν μέρει μὲν | ἐπεκουφίζοντο, ἐν p. 116 M.
μέρει δ' ἐπέρρεπον, τηνικαῦτα καὶ ὁ ἀγὼν ἀμφήριστος ἦν· ἐξαπιναίως δ' ἀβαρεῖς γενόμεναι, δακτύλοις ἀντὶ ταρσῶν χρώμεναι, μετέωροι πρὸς

2 ὑπαντίαζεν C   ἀμυνόμενος VO   ἀκμῆσι FGHPK¹Z: ἀκμητὶ ceteri
3 καὶ] πρὸς C, τοὺς BEMA   καθισταμένους BEMAKZ   κεκμηκόσιν CVO
4 καὶ ποτῶν om. BEMA   ἃ om. GHP   ἀνεπετίθετο Z   μωσῆς CKZ
5 γνοὺς παρὰ τῶν σκοπῶν transp. A   ἐχθρὸν FGHPKZ: ἐχθρῶν ceteri
7 μείζονα] ἄνωθεν O   ἠπείγετο CGHPKZ: ἡγεῖτο ceteri   8 τοῖς om. Z
9 ἱκέτευε FGHP: ἱκετεύει ceteri   10 πολέμων codd.: κινδύνων v   11 μὴ FGHP: οὐ ceteri   12 μετεωρισμὸς A   14 τερατωδέστατον FGHPK¹Z: τερατωδέστερον ceteri   15 ἐγίγνοντο F   16 ἐπελαφρίζοιντο KZ: ἐπελαφρίζοντο CMG, ἐπηλαφρίζοντο ceteri (ἐπηλαφρύνοντο O)   17 ἐρώννυτο CZ   ἐπικυδέστερον] ἐπικρατέστερον coni. Mang.   ἐφαίνετο A   17. 18 κάτω βρίσειαν FGHP: κάτω βαρήσειαν CAEVO, βαρήσειαν κάτω B, βαρύσειαν κάτω M, βαρήσειε κάτω K, βαρύσειεν κάτω Z   18 οἱ om. A   19 ἐστιν ἡ γῆ F   δὲ F   20 βασιλεύει] κελεύει O   κρατεῖ] κατακρατεῖ GH(v)   21 περιέσται FGHP: περιέστη VO, περίεστι ceteri   22 τινος] ὅσου V²O   23 δὲ F   ἐπέρρεπον] ἐπέβριθον C   τηνικαῦτα] ἡνίκα FHP   24 γινόμεναι P   καὶ ante δακτύλοις add. V²O, δ' post δακτύλοις add. G   μετέωροι om. BEMAKZ

ὕψος ἤρθησαν, καθάπερ αἱ πτηναὶ φύσεις ἀεροποροῦσαι, καὶ διέμενον
ἀνώφοιτοι μέχρι τοῦ τὴν νίκην Ἑβραίους ἀνανταγώνιστον ἄρασθαι, τῶν
ἐχθρῶν ἡβηδὸν ἀναιρεθέντων ἅπερ τε διαθεῖναι παρὰ τὸ προσῆκον ἐσπού-
δαζον παθόντων μετὰ δίκης. τότε καὶ Μωυσῆς ἱδρύεται βωμόν, ὃν 219
ἀπὸ τοῦ συμβεβηκότος ὠνόμασε „θεοῦ καταφυγήν“ (Exod. 17, 15), ἐφ'
οὗ τὰ ἐπινίκια ἔθυε χαριστηρίους εὐχὰς ἀποδιδούς.

(40.) Μετὰ τὴν μάχην ταύτην ἔγνω δεῖν τὴν χώραν, εἰς ἣν ἀπῳ- 220
κίζετο τὸ ἔθνος, κατασκέψασθαι — δεύτερον δ' ὁδοιποροῦσιν ἔτος ἐνει-
στήκει — βουλόμενος μή, οἷα φιλεῖ, γνωσιμαχεῖν οὐκ εἰδότας, ἀλλ'
ἀκοῇ προμαθόντας αὐτήν, ἐπιστήμῃ τῶν ἐκεῖ βεβαίᾳ χρωμένους, τὸ
πρακτέον ἐκλογίζεσθαι. δώδεκα δ' ἰσαρίθμους ταῖς φυλαῖς ἄνδρας, ἐξ 221
ἑκάστης ἕνα φύλαρχον, αἱρεῖται τοὺς δοκιμωτάτους ἀριστίνδην προκρίνας,
ἵνα μηδεμία μοῖρα πλέον ἢ ἔλαττον ἐνεγκαμένη διαφέρηται, πᾶσαι δ'
ἐξ ἴσου διὰ τῶν ἐν τέλει τὰ παρὰ τοῖς κατοίκοις, εἰ βουληθεῖεν οἱ
πεμφθέντες ἀψευδεῖν, ἐπιγνῶσιν. ἑλόμενος δ' αὐτούς φησι τάδε· „τῶν 222
ἀγώνων καὶ κινδύνων, οὓς ὑπέστημεν καὶ μέχρι νῦν ὑπομένομεν, ἆθλόν
εἰσιν αἱ κληρουχίαι, ὧν τῆς ἐλπίδος μὴ διαμάρτοιμεν ἔθνος πολυανθρωπό-
τατον εἰς ἀποικίαν παραπέμποντες. ἔστι δ' ὠφελιμώτατον ἡ τόπων
καὶ ἀνθρώπων καὶ πραγμάτων ἐπιστήμη, ὥσπερ ἡ ἄγνοια βλαβερόν.
ὑμᾶς οὖν ἐχειροτονήσαμεν, ἵνα ταῖς ὑμετέραις ὄψεσί τε καὶ διανοίαις 223

2 ἀνώφυτοι CVOK τοῦ om. HP ἑβραίοις A ἀνταγώνιστον M 3 διαθεῖναι] καταθεῖναι H παρὰ] περὶ KZ 3. 4 ἐσπάδαζον (sic) E 4 ἱδρύετο M ὃν] ὧν G 5 τοῦ συμβεβηκότος VOKZ: τῶν συμβεβηκότων ceteri (v) καταφυγεῖν C 6 χαριστηρίους FGHP: τὰς χαριστηρίους ceteri 7 post μετὰ add. δὲ AV 7. 8 ἀπώκιζε KZ 9 βουλόμενος FGHPK¹Z: βουλόμενος δὲ ceteri 10 αὐτῇ A ἐπιστήμῃ] γρ. ἢ διαγνώσει mg. O τῶν ἐκεῖ] τῶν κατασκοπησάντων τὰ ἐκεῖ V², τῶν τὰ ἐκεῖ κατασκοπησάντων O βεβαίᾳ FGHPV²OK²: βεβαίως ceteri τὸ] ὃ HP 11 δὲ eras. V², δ' om. AO 12 φίλαρχον FGZ 13 πλεῖον A 14 τὰ om. FGHP παρὰ τῶν ἐν τοῖς κατοίκοις HP 15 ἐπὶ γνῶσιν A, ἐπίγνωσιν P δὲ A 16 τοῦ νῦν A 17 ἁμάρτοιμεν G, διαμάρτημεν (sic) M 18 πέμποντες P 19 ἡ om. A

7 sqq. Num. cap. 13. 14 7–174,2 Catena Laur. V 14 ad Psalm. 105,24 ἐξουδένωσαν γῆν ἐπιθυμητήν: φίλωνος: ἀπεπέμψαντο γῆν ἀγαθὴν τὴν τῆς ἐπαγγελίας, ὡς εὑρήσεις ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν. ἡ δὲ ἱστορία τοιαύτη· δεύτερον μὲν ὁδοιποροῦσι τοῖς Ἑβραίοις ἔτος ἐνειστήκει, Μωυσῆς δὲ ἔγνω τὴν χώραν, εἰς ἣν ἀπῳκίζετο τὸ ἔθνος, κατασκέψασθαι. καὶ δὴ δώδεκα ἰσαρίθμους — προκρίνας. οὓς ἑλόμενος γενέσθαι φησὶ τῶν τοσούτων μυριάδων ὦτα καὶ ὀφθαλμοὺς πρὸς τὴν τῶν ἀναγκαίων εἰδέναι σαφῆ κατάληψιν.

τἀκεῖ θεασώμεθα· γίνεσθε δὴ τῶν τοσούτων μυριάδων ὦτα καὶ ὀφθαλμοὶ
221 πρὸς τὴν ὧν ἀναγκαῖον εἰδέναι σαφῆ κατάληψιν. ἃ δὲ γνῶναι ποθοῦμεν,
τρία ταῦτ᾽ ἐστίν· οἰκητόρων πλῆθός τε καὶ δύναμιν, πόλεων τὴν ἐν
εὐκαιρίᾳ θέσιν καὶ ἐν οἰκοδομίαις ἐχυρότητα ἢ τοὐναντίον, χώραν εἰ
βαθύγειός ἐστι καὶ πίων, ἀγαθὴ παντοίους καρποὺς ἐνεγκεῖν σπαρτῶν
τε καὶ δένδρων, ἢ λεπτόγεως ἔμπαλιν, ἵνα πρὸς μὲν ἰσχὺν καὶ πλῆθος
οἰκητόρων ἰσορρόποις δυνάμεσι φραξώμεθα, πρὸς δὲ τὴν ἐν τοῖς τόποις
ἐρυμνότητα μηχανήμασι καὶ ταῖς ἑλεπόλεσιν· ἀναγκαῖον δὲ καὶ τὴν χώραν
εἰδέναι, εἰ ἀρετῶσα ἢ μή· περὶ γὰρ λυπρᾶς ἑκουσίους κινδύνους ὑπο-
225 μένειν ἠλιθιότητος. τὰ δ᾽ ὅπλα καὶ μηχανήματα ἡμῶν καὶ πᾶσα ἡ
δύναμις ἐν μόνῳ τῷ πιστεύειν θεῷ κεῖται· ταύτην ἔχοντες τὴν παρα-
σκευὴν οὐδενὶ τῶν φοβερῶν εἴξομεν· ἱκανὴ γὰρ ἀμάχους ῥώμας εὐεξίαις,
τόλμαις, ἐμπειρίαις, πλήθεσιν ἐκ πολλοῦ τοῦ | περιόντος κατακρατεῖν, p. 117 M.
δι᾽ ἣν καὶ ἐν ἐρήμῃ βαθείᾳ χορηγίαι πάντων εἰσὶν ὅσα ἐν εὐετηρίᾳ
226 πόλεων. ὁ δὲ καιρός, ἐν ᾧ μάλιστα χώρας ἀρετὴν δοκιμάζεσθαι συμ-
βέβηκεν, ἔαρ ἐστίν, ὃ νῦν ἐφέστηκεν· ὥρᾳ γὰρ ἔαρος τὰ μὲν σπαρέντα
τελεσφορεῖται γένη, αἱ δὲ τῶν δένδρων φύσεις ἀρχὴν λαμβάνουσιν.
ἄμεινον δ᾽ ἂν εἴη καὶ ἐπιμεῖναι μέχρι θέρους ἀκμάζοντος καὶ διακομίσαι
227 καρποὺς οἱονεὶ δείγματα χώρας εὐδαίμονος.“ (41.) ταῦτ᾽ ἀκούσαντες
ἐπὶ τὴν κατασκοπὴν ἐξῄεσαν ὑπὸ παντὸς τοῦ πλήθους προπεμπό-
μενοι δεδιότος, μὴ συλληφθέντες ἀπόλωνται καὶ συμβῇ δύο τὰ χαλεπώτατα,

---

1 τἀκεῖθεν BKZ θεασόμεθα G γίνεσθε VOFGHP: γένεσθε ceteri δὴ] δὴ οὖν F, δὲ O 2 πρὸς CV¹FGHP: πρὸς τὸ ceteri ὧν ἀναγκαῖον GHP: τῶν ἀναγκαίων ceteri Laur. (v σαφῆ] ἀκριβῆ F post δὲ ss. δὴ K 3 τρία FGHP: om. ceteri ταῦτα CVO Laur. τε om. Laur. τὴν] τε Laur. 4 θέσεως H¹P τε καὶ A οἰκοδομίαις FGHP: οἰκοδομαῖς ceteri (v), οἰκοδομῇ Laur. ἐχυρότητα CFGHP: ὀχυρότητα ceteri 5 εὔγειος Laur. ἐστι om. Laur. ante ἀγαθὴ add. εἰ FGHP(v), καὶ Laur.

ειο
5. 6 σπαρτῶν τε καὶ δένδρων om. Laur. 6 λεπτόγεως A, λεπτόγειος BEMKZ 9 ἑκουσίως G 10 ἠλιθιώτατον coni. Mang.; ἠλιθιότητος ⟨ἔργον⟩ conicio μηχανήμαθ᾽ G 11 post δύναμις add. ἡμῶν F 12 ῥώμαις coni. Mang. 13 κρατεῖν F 14 ἐρήμῃ FGHP: ἐρημίᾳ ceteri βαθεῖαι corr. ex βαθείᾳ B, βαθεῖαι MKZ 16 ὥρᾳ — λαμβάνουσιν (17) om. Laur. γὰρ] μὲν G, om. BEMA 17 γένη, αἱ KZ: γενέσεως ceteri (v) φύσεις] ἐκφύσεις coni. Mang. 18 pr. καὶ om. Laur. alt. καὶ om. BEMA 19 ταῦτα CF 20 τὴν om. M κατασκοπεῖν C 20. 21 παραπεμπόμενοι coni. Mang. 21 δεδιότες EMAVO ἀπόλλωνται K

2—6 pergit Laur. V 14: ἃ δὲ γνῶναι — ἔμπαλιν. 15—20 pergit Laur. V 14: ὁ δὲ καιρός — ἐξῄεσαν.

ἀνδρῶν τε, οἳ φυλῆς ἑκάστης ὄψις ἦσαν, σφαγαὶ καὶ ἄγνοια τῶν παρὰ
τοῖς ἐφεδρεύουσιν ἐχθροῖς ὧν ὠφέλιμος ἡ ἐπιστήμη. παραλαβόντες 228
δ' ὀπτῆρας καὶ ἡγεμόνας τῆς ὁδοῦ προερχομένοις ἐφείποντο· καὶ γενό-
μενοι πλησίον, ἐφ' ὑψηλότατον ὄρος τῶν περὶ τὸν τόπον ἀναδραμόντες,
κατεθεῶντο τὴν χώραν, ἧς πεδιὰς μὲν ἦν πολλὴ κριθοφόρος, πυροφόρος,
εὔχορτος, ὀρεινὴ δ' οὐκ ἔλαττον ἀμπέλων καὶ στελεχῶν ἄλλων κατά-
πλεως, εὔδενδρος ἅπασα, λάσιος, ποταμοῖς καὶ πηγαῖς διεζωσμένη πρὸς
ἄφθονον ὑδρείαν, ὡς ἐκ τῶν προπόδων ἄχρι τῶν κορυφῶν ὅλα τῶν
ὀρῶν τὰ κλίματα δένδρεσι κατασκίοις συνυφάνθαι, διαφερόντως δὲ τοὺς
αὐχένας καὶ ὅσαι βαθεῖαι διαφύσεις. κατεθεῶντο δὲ καὶ τὰς πόλεις 229
ἐρυμνοτάτας διχόθεν, ἔκ τε τοπικῆς περὶ τὴν θέσιν εὐκαιρίας καὶ περι-
βόλων ἐχυρότητος. ἐξετάζοντες δὲ καὶ τοὺς οἰκήτορας ἑώρων ἀπείρους
τὸ πλῆθος, περιμηκεστάτους γίγαντας ἢ γιγαντώδεις τὰς τῶν σωμάτων
ὑπερβολὰς ἔν τε μεγέθεσι καὶ ῥώμαις. ταῦτα κατιδόντες εἰς ἀκριβεστέραν 230
κατάληψιν ἑπέμενον — ὀλισθηρὸν γὰρ αἱ πρῶται φαντασίαι χρόνῳ
μόλις ἐνσφραγιζόμεναι — καὶ ἅμα σπουδὴν ἐποιοῦντο δρεψάμενοι τῶν
ἀκροδρύων, μὴ ἄρτι πρῶτον στεριφουμένων ἀλλ' ἤδη ὑποπερκαζόντων,
ἐπιδείξασθαι παντὶ τῷ πλήθει τὰ μὴ ῥᾳδίως φθαρησόμενα. μάλιστα 231
δ' αὐτοὺς κατέπληττεν ὁ τῆς ἀμπέλου καρπός· οἱ γὰρ βότρυες ὑπερ-
μεγέθεις ἦσαν, ἀντιπαρεκτεινόμενοι ταῖς κληματίσι καὶ μοσχεύμασιν,
ἄπιστος θέα· ἕνα γοῦν ἐκτεμόντες καὶ δοκίδος ἐκ μέσων ἀπαιωρήσαντες,

1 ὄψις — καὶ om. in lac. C ὄψεις BEAKZ 3 προερχόμενοι VOF
4 τῶν — τόπον om. Laur. περὶ] παρὰ P τῶν τόπων K, τὸν ποταμὸν A
5 κριθηφόρος Laur. 6 δὲ BEMFKZ ἔλαττον BEMA: ἐλάττων ceteri
7 ἅπασι H[1], πᾶσα Laur. 7—10 πρὸς — διαφύσεις om. Laur. 8 ἄφθορον F
10 ὅσα BEMA βαθεῖα AP διὰ φύσεις AF, διὰ φύσιν GHP 12 ἐχυρό-
τητος CFGHP: ὀχυρότητος ceteri ἑώρων] εὗρον coni. Mang.
12. 13 τὸ πλῆθος[β] ἀπείρους[α] F 13 τῷ πλήθει VOK[2] Laur. γίγαντας ἢ
et τὰς — ὑπερβολὰς (14) om. Laur. 14 ἔν τε ῥώμῃ καὶ μεγέθεσιν Laur.
ἀκριβεστάτην VO 15 ὀλισθηραὶ BEMAKZ (Mang.) φαντασίαι] φῆμαι D
16 ἐκσφραγιζόμεναι D[R], ἐμφραγιζόμεναι D[P] ἐποίουν HP δρεψόμενοι Laur.
17 μὴ — στεριφουμένων om. A, μὴ — ἀλλ' om. Laur. 18 ἐπιδείξεσθαι G
19 βότρυς FGHP 19. 20 παμμεγέθεις A 20 ἀντιπαρεκτεινόμενοι — μοσχεύμασιν
om. Laur. κλιματίσι AEFGHPZ 21 οὖν Laur. τεμόντες FGHP
ἐκ μέσου A, μέσον (om. ἐκ) VO Laur.

3—176,3 pergit Laur. V 14: ὀπτῆρας δὲ καὶ ἡγεμόνας παραλαβόντες προερχομένοις — ἐκόμιζον. 15. 16 D[P] fol. 257[v] D[M] fol. 268[r] D[R] fol. 271[v] Φίλωνος ἐκ τοῦ περὶ Μωσέως βίου: ὀλισθηρὸν γὰρ αἱ πρῶται φῆμαι χρόνῳ μόλις ἐνσφραγιζόμεναι.

ἧς τὰς ἀρχὰς δυσὶ νέοις, τῷ μὲν ἔνθεν τῷ δ' ἔνθεν, ἐπετίθεσαν, ἐκ
διαδοχῆς, πιεζομένων αἰεὶ τῶν προτέρων — βαρύτατον γὰρ ἦν ἄχθος
232 —, ἐκόμιζον, περὶ τῶν ἀναγκαίων οὐχ ὁμοφρονοῦντες. (42.) ἐγένοντο
μὲν οὖν αὐτοῖς ἅμιλλαι μυρίαι καὶ πρὶν ἐπανήκειν κατὰ τὴν ὁδόν, ἀλλὰ
κουφότεραι, ὑπὲρ τοῦ μὴ γνωσιμαχούντων μηδ' | ἄλλα ἄλλων ἀπαγγελ- p. 118 M.
λόντων στάσιν ἐν τῷ πλήθει γενέσθαι, χαλεπώτεραι δὲ μετὰ τὴν
233 ἐπάνοδον. οἱ μὲν γὰρ περὶ τῆς τῶν πόλεων ἐχυρότητος καὶ ὡς ἑκάστη
πολυάνθρωπός ἐστι διεξιόντες καὶ πάντα αἴροντες τῷ λόγῳ πρὸς τὸ
μεγαλεῖον φόβον ἐνειργάζοντο τοῖς ἀκούουσιν, οἱ δὲ τὸν ἁπάντων ὧν
εἶδον ὑφαιροῦντες ὄγκον παρεκάλουν μὴ ἀναπίπτειν, ἀλλ' ἔχεσθαι τῆς
ἀποικίας ὡς αὐτοβοεὶ περιεσομένους· οὐδεμίαν γὰρ ἀνθέξειν πόλιν πρὸς
τοσαύτης δυνάμεως ἔφοδον ἀθρόως ἐπιστάσης, ἀλλὰ τῷ βάρει πιεσθεῖσαν
πίπτειν· προσετίθεσαν δὲ καὶ τὰ ἐκ τῶν ἰδίων παθῶν ἑκάτεροι ταῖς
ψυχαῖς τῶν ἀκουόντων, οἱ μὲν ἄνανδροι δειλίαν, οἱ δ' ἀκατάπληκτοι
234 θάρσος μετ' εὐελπιστίας. ἀλλ' οὗτοι μὲν πέμπτη μοῖρα τῶν ἀποδεδει-
λιακότων ἦσαν, οἱ δ' ἔμπαλιν τῶν γενναίων πενταπλάσιοι· τὸ δ' ὀλίγον
θάρσος ἀτολμίας ἐναφανίζεται περιουσίᾳ, ὃ δὴ καὶ τότε φασὶ συμβῆναι·
τῶν γὰρ τὰ βέλτιστα διεξιόντων δυοῖν οἱ τἀναντία φάσκοντες δέκα περιῆσαν
οὕτως, ὥστε καὶ σύμπασαν ὑπηγάγοντο τὴν πληθὺν ἐκείνων μὲν ἀλλο-
235 τριώσαντες, ἑαυτοῖς δ' οἰκειωσάμενοι. περὶ δὲ τῆς χώρας ταὐτὰ πάντες

1 ἧς] εἰς GP; καὶ coni. Mang. δὲ HP ἐπετίθεσαν scripsi: ἐπιθέντες codd. 2 πιεζομένων — προτέρων] ἐπετίθεσαν Laur. αἰεὶ om. BEMAK¹Z τῶν om. A 3 ἀναγκαιοτάτων KZ 4 καὶ — κουφότεραι (5) om. M πρὶν om. V¹, ss. V² 5 μὴ om. A ἄλλων ἄλλα transp. F 5. 6 ἐπαγγελλόντων FG 7 τῶν om. AF ἐχυρότητος CEFGP: ὀχυρότητος ceteri 8 ἐστι om. F 9 τοῖς om. M post οἱ δὲ add. δύο Laur. τὸν] τῶν BMV¹G, τὸν τῶν V²OF 10 ἀφαιροῦντες AGPKZ μὴ ἀναπίπτειν ἀλλ' om. Laur. ἀντιπίπτειν F ἀλλὰ F 11 ἀνθέξιν E 12 ἀθρόον KZ 13 πίπτειν FGHP: ἀπειπεῖν ceteri, ἀπερεῖν (Turn.) v 14 δὲ F 15. 16 ἀποδεδρακότων (δειλια ss.) C, ἀποδεδραμηκότων (δειλια ss.) H: ἀποδεδραμηκότων P, ἀποδεδρακότων ceteri 17 ἐναφανίζεται FHP: ἀναφανίζεται C, ἀφανίζεται B mg. E, ἐμφανίζεται ceteri φησὶ HP 18 τὰ om. H δυεῖν FO 19 ante οὕτως add. καὶ ὑπερίσχυσαν V²OK² ὥστε] ὅτι V²O; ὥστε om. Mang. καὶ om. V²O σύμπαν ὑπ. τὸ πλῆθος C ἐπηγάγοντο KZ 20 αὐτοῖς GH²K, αὑτοῖς FH¹PZ δὲ F ταὐτὰ FGHP: τὰ αὐτὰ ceteri πάντες om. A

7—11 pergit Laur. V 14: ἐπεὶ δὲ ἐπανῆλθον, οἱ μὲν δέκα περὶ τῆς — αὐτοβοεὶ περιεσομένους. 15—177,2 pergit Laur. V 14: περὶ δὲ τῆς χώρας — ἐκδιηγούμενοι (20 — 177,2). περιῆσαν δὲ τῆς πέμπτης μοίρας τῶν τὰ βέλτιστα διεξιόντων οἱ τἀναντία φάσκοντες πενταπλάσιοι, ὥστε καὶ σύμπασαν ὑπηγάγοντο τὴν πληθύν (cf. 15—19).

ἀπεφαίνοντο γνώμῃ μιᾷ τὸ κάλλος καὶ τῆς πεδιάδος καὶ τῆς ὀρεινῆς ἐκδιη-
γούμενοι· „τί δ' ὄφελος“ εὐθὺς ἀνεβόησαν „ἡμῖν ἀλλοτρίων ἀγαθῶν καὶ
ταῦτα πεφρουρημένων κραταιᾷ χειρὶ πρὸς τὸ ἀναφαίρετον;“ καὶ τοῖς δυσὶν
ἐπιδραμόντες μικροῦ καταλεύουσιν αὐτούς ἡδονὴν ἀκοῆς τοῦ συμφέροντος
καὶ ἀπάτην ἀληθείας προκρίναντες. ἐφ' οἷς ὁ ἡγεμὼν ἠγανάκτει καὶ 236
ἅμα ηὐλαβεῖτο, μή τι θεήλατον κατασκήψῃ κακὸν οὕτως ἐκθύμως ἀπι-
στοῦσι τοῖς χρησμοῖς· ὅπερ καὶ ἐγένετο· τῶν γὰρ κατασκόπων οἱ μὲν
δειλοὶ δέκα λοιμώδει νόσῳ διαφθείρονται μετὰ τῶν ἐκ τοῦ πλήθους
συναπονοηθέντων, μόνοι δ' οἱ συμβουλεύσαντες δύο μὴ ὀρρωδεῖν ἀλλ'
ἐφίεσθαι τῆς ἀποικίας ἐσώθησαν, ὅτι καταπειθεῖς ἐγένοντο τοῖς λογίοις,
γέρας ἐξαίρετον λαβόντες τὸ μὴ παραπολέσθαι.

(43.) Τοῦτ' αἴτιον ἐγένετο τοῦ μὴ θᾶττον ἥκειν εἰς ἣν ἀπῳκίζοντο 237
γῆν. δυνάμενοι γὰρ ἔτει δευτέρῳ μετὰ τὴν ἀπ' Αἰγύπτου μετανάστασιν
τὰς ἐν Συρίᾳ πόλεις καὶ τὰς κληρουχίας ἐννέμεσθαι, τὴν ἄγουσαν καὶ
ἐπίτομον ἐκτραπόμενοι ὁδὸν ἐπλάζοντο, δυσαναπορεύτους καὶ μακρὰς
ἀνοδίας ἄλλας ἐπ' ἄλλαις ἀνευρίσκοντες εἰς ἀνήνυτον ψυχῆς τε καὶ
σώματος κάματον, δίκας ἀναγκαίας τῆς ἄγαν ἀσεβείας ὑπομένοντες.
p. 119 M. ὀκτὼ γοῦν ἐνιαυτοὺς πρὸς τοῖς τριάκοντα δίχα τοῦ | παρεληλυθότος 238
χρόνου, γενεᾶς βίον ἀνθρωπίνης, ἄνω κάτω τριβόμενοι καὶ τὰς ἀβάτους
ἐρημίας ἀναμετροῦντες ἔτει τεσσαρακοστῷ μόλις ἐπὶ τοὺς τῆς χώρας
ὅρους παρεγένοντο, ἐφ' οὓς καὶ πρότερον ἦλθον. πρὸς δὲ ταῖς εἰσβολαῖς 239
ᾤκουν ἕτεροί τε καὶ δὴ καὶ συγγενεῖς αὐτῶν, οὓς ᾤοντο μάλιστα μὲν
συνεκπολεμήσειν τὸν πρὸς τοὺς ἀστυγείτονας πόλεμον καὶ πρὸς τὴν
ἀποικίαν ἅπαντα συμπράξειν, εἰ δ' ἀποκνοῖεν, μετὰ μηδετέρων γοῦν
τετάξεσθαι χεῖρας ἀνέχοντας. οἱ γὰρ ἀμφοτέρων τῶν ἐθνῶν πρόγονοι, 240

2 δὲ F ἡμῖν om. F 3 περιφρουρημένων P κραταιᾷ BMKZ: κρατερᾷ A, καρτερᾷ ceteri 4 καταλλεύουσιν C 5 προκρίνοντες HP ἐφ' οἷς] εὐθὺς A 6 ἐπισκήψῃ VOK² Laur. κακὸν] καὶ K 9 δύο om. HP; δύο συμβουλεύσαντες Mang. 10 λόγοις VK² 12 τοῦτο F 13 μετάστασιν G, ἐπανάστασιν A 14 ἐννέμεσθαι scripsi: ἐκνέμεσθαι codd. ἄγουσαν] εὐθεῖαν vel sim. expectat Wendl. 15 ἐπίτιμον E ἐπλάζοντο FGHP: ἐπορεύοντο ceteri δυσαναπορεύτους FH¹P: δυσπορεύτους ceteri 16 ἄλλας] ἄλλον VO εὑρίσκοντες C; συνείροντες coni. Mang. ἀνόνητον M 17 ἀναγκαίας] ἀξίας coni. Mang. ἄγαν om. VOFGHP 19 κάτω CV¹FGHP¹: καὶ κάτω ceteri 20 ἔτει] εἴ τι G τοὺς om. F 21 ἐμβολαῖς C 22 τε om. A alt. καὶ CVOFG²: om. ceteri 23 τοὺς om. BEMAKZ 24 ἅπαντα om. A δὲ F ἀποκνοῖντο V²O μηδ' ἑτέρων MKZ 25 τετάξασθαι K, τετάξομεν Z

3—10 pergit Laur. V 14: καὶ τοῖς δυσὶν ἐπιδραμόντες μικροῦ καταλεύουσιν αὐτοὺ (3. 4). ἐφ' οἷς Μωυσῆς ἠγανάκτει — ἐσώθησαν (5—10). 21 sqq. Num. 20, 14—21

τοῦ τε Ἑβραϊκοῦ καὶ τοῦ τὰ προάστεια κατοικοῦντος, ἀδελφοὶ δύο ἦσαν
ὁμοπάτριοι καὶ ὁμομήτριοι, πρὸς δὲ καὶ δίδυμοι, ἀφ᾽ ὧν εἰς πολυπαιδίαν
ἐπιδιδόντων καὶ τῶν ἀπογόνων εὐφορίᾳ τινὶ χρωμένων εἰς μέγα καὶ
πολυάνθρωπον ἔθνος ἑκατέρα τῶν οἰκιῶν ἀνεχύθη· ἀλλ᾽ ἡ μὲν ἐφιλο-
χώρησεν, ἡ δ᾽, ὡς ἐλέχθη πρότερον, εἰς Αἴγυπτον μεταναστᾶσα διὰ
241 λιμὸν χρόνοις ὕστερον ἐπανῄει. τὴν δ᾽ οἰκειότητα ἡ μὲν διεφύλαττε,
καίτοι πολὺν χρόνον διαζευχθεῖσα, πρὸς τοὺς μηδὲν ἔτι τῶν πατρίων
φυλάττοντας, ἀλλὰ πάντα τὰ τῆς ἀρχαίας πολιτείας ἐκδεδιῃτημένους,
ὑπολαβοῦσα τοῖς ἡμέροις τὰς φύσεις ἁρμόττον εἶναι διδόναι τι καὶ χαρί-
242 ζεσθαι συγγενείας ὀνόματι· ἡ δ᾽ ἔμπαλιν τὰ φιλικὰ πάντα ἔτρεψεν ἤθεσι
καὶ λόγοις βουλαῖς τε καὶ πράξεσιν ἀσπόνδοις καὶ ἀσυμβάτοις χρωμένη,
πατρικὴν ἔχθραν ζωπυροῦσα — ὁ γὰρ τοῦ ἔθνους ἀρχηγέτης αὐτὸς ἀπο-
δόμενος τῷ ἀδελφῷ τὰ πρεσβεῖα μικρὸν ὕστερον ὧν ἐξέστη μετεποιεῖτο
παραβαίνων τὰς ὁμολογίας καὶ ἐφόνα θάνατον ἀπειλῶν, εἰ μὴ ἀποδοίη —·
ταύτην τὴν παλαιὰν ἀνδρὸς ἑνὸς πρὸς ἕνα ἔχθραν ἔθνος τοσαύταις ὕστερον
243 γενεαῖς ἐκαίνωσεν. ὁ μὲν οὖν ἡγεμὼν τῶν Ἑβραίων Μωυσῆς, καίτοι γ᾽
αὐτοβοεὶ δυνάμενος ἑλεῖν ἐξ ἐπιδρομῆς, οὐκ ἐδικαίωσε διὰ τὴν εἰρημένην
συγγένειαν, ἀλλ᾽ ὁδῷ χρήσασθαι μόνον ἠξίου τῇ διὰ τῆς χώρας πάνθ᾽
ὑπισχνούμενος πράξειν τὰ ἔνσπονδα, μὴ τεμεῖν χωρίον, μὴ θρέμματα,
μὴ λείαν ἀπάξειν, ὕδατος, εἰ ποτοῦ γένοιτο σπάνις, τιμὴν παρέξειν καὶ
τῶν ἄλλων τοῖς ἀχορηγήτοις ὠνίων· οἱ δ᾽ εἰρηνικαῖς οὕτω προκλήσεσιν
ἀνὰ κράτος ἠναντιοῦντο πόλεμον ἀπειλοῦντες, εἰ τῶν ὅρων ἐπιβάντας

1 τε] θ᾽ A τὰ om. A δύο om. FGHP 3 ἐπιδόντων CVBEMA τῶν om. A εὐφορίᾳ] εὐμοιρίᾳ K¹Z τινὶ om. A καὶ om. G 4 οἰκιῶν] οἰκείων BEMA 5 δὲ VO διαναστᾶσα A 6 ἐπανῆσαι (sic) F
οι
εἰκειότητα G ἐφύλαττε VO 7 ἔτι] ἐπὶ F πατριῶν C¹Z 8 διαφυλάττοντας F 9 ὑπολαβούσας F ἡμέροις] ἡμετέροις G τι om. K 10 συγγενίας A δὲ πάλιν GHP ἀνέτρεψεν coni. Mang. ἤθεσι] εἴδεσι *cogitationibus* (?) coni. Mang. post ἤθεσι add. sed rursus ex-
πρεσ
punxit τε K 12 ζωπυροῦσαν M αὐτὸς] αὐτοῖς FHP 13 βραβεῖα Z μικρὸν — μετεποιεῖτο om. M ὑπέστη πεποίητο A 14 τὰς ὁμολογίας CKZ: τὰς om. ceteri ἀπολογίας BEMA (ὁμολογίας mg. M) ἐφόνα FGHP: om. ceteri ἀποδοίη VOFGHP: ἀποδώιη BE, ἀποδώη CMAKZ 15 ἀνδρὸς om. M ἑνὸς FGHP: om. ceteri 16 ἐκαίνωσεν G: ἐκένωσεν ceteri γε AKZ 18 μόνωι E πάντα A 19 μὴ τεμεῖν scripsi: μήτε μὴν codd.; χωρίον ⟨βλάψειν⟩ coni. Mang. 21 τοῖς ἀχορηγήτοις om. BEMA post τοῖς add. γε F ἀχορηγήτοις GHP: ἀχορήγοις VOK², ἀγορητοῖς FK¹Z, ἀγοραίοις C εἰρηνικαῖς FGHP: εἰρημένοι ταῖς ceteri οὕτω om. FGHP(v) προσκλήσεσιν FHP (Mang.), προσκλίσεσιν G

ἢ ψαύσαντας αὐτὸ μόνον αἴσθοιντο. (44.) χαλεπῶς δὲ τὰς ἀποκρίσεις 244
ἐνηνοχότων καὶ ἤδη πρὸς ἄμυναν ὁρμώντων, ἐν ἐπηκόῳ στὰς „ἄνδρες"
εἶπεν. „ἡ μὲν ἀγανάκτησις ὑμῶν εὔλογος καὶ δικαία· χρηστὰ γὰρ ἀφ'
ἡμέρου γνώμης προτειναμένων, πονηρὰ ἀπὸ διανοίας ἀπεκρίναντο κακο-
120 M. ήθους. ἀλλ' οὐχ ὅτι | τῆς ὠμότητος ἐκεῖνοι δίκας ἐπάξιοι τίνειν εἰσί, 245
διὰ τοῦθ' ἡμῖν ἐπὶ τὰς κατ' αὐτῶν τιμωρίας ἁρμόττον ἴεσθαι, ἕνεκα
τῆς πρὸς τὸ ἔθνος τιμῆς, ἵνα καὶ ταύτῃ μοχθηρῶν ἀγαθοὶ διαφέρωμεν,
ἐξετάζοντες οὐ μόνον, εἰ κολαστέοι τινές εἰσιν, ἀλλ' εἰ καὶ ὑφ' ἡμῶν
ἐπιτήδειοι τοῦτο πάσχειν." εἶτ' ἐκτραπόμενος ἦγε δι' ἑτέρας τὴν πληθύν, 246
ἐπειδὴ τὰς κατὰ τὴν χώραν ὁδοὺς ἁπάσας φρουραῖς διεζωσμένας εἶδεν
ὑπὸ τῶν βλάβην μὲν οὐδεμίαν ἐνδεξομένων, φθόνῳ δὲ καὶ βασκανίᾳ
τὴν ἐπίτομον οὐκ ἐώντων προέρχεσθαι. ταῦτα δὲ σαφεστάτη πίστις 247
ἦν ἀνίας, ἣν ἐπὶ τῷ τὸ ἔθνος ἐλευθερίας τυχεῖν ἠνιῶντο, δηλονότι χαί-
ροντες, ἡνίκα τὴν ἐν Αἰγύπτῳ πικρὰν δουλείαν ὑπέμενον· ἀνάγκη γὰρ
οἷς φέρει λύπην τἀγαθὰ τῶν πλησίον ἐπὶ τοῖς τούτων εὐφραίνεσθαι
κακοῖς, κἂν μὴ ὁμολογῶσιν. ἔτυχον γὰρ ὡς πρὸς ὁμογνώμονας καὶ τὰ 248
αὐτὰ βουλομένους ἀνενεγκόντες τὰ συμβάντα λυπηρά τε αὖ καὶ ὅσα καθ'
ἡδονήν, οὐκ εἰδότες ὅτι πόρρω προεληλύθασι μοχθηρίας καὶ ἐθελέχθρως
καὶ φιλαπεχθημόνως ἔχοντες στένειν μὲν ἐπὶ τοῖς ἀγαθοῖς, ἥδεσθαι δὲ
ἐπὶ τοῖς ἐναντίοις ἔμελλον. τῆς δὲ κακονοίας ἀνακαλυφθείσης ἐκείνων, 249
ἐκωλύθησαν εἰς χεῖρας ἐλθεῖν ὑπὸ τοῦ προεστῶτος ἐπιδειξαμένου δύο
τὰ κάλλιστα, φρόνησιν ἐν ταὐτῷ καὶ χρηστότητα· τὸ μὲν γὰρ μηδὲν
παθεῖν φυλάξασθαι συνέσεως, τὸ δὲ μηδ' ἀμύνασθαι συγγενεῖς ὄντας
ἐθελῆσαι φιλανθρωπίας ἔργον.

2 ὦ ἄνδρες BEMAKZ 3 εἶπον H¹P ἀγανάκτησις] παραίτησις Z
ὑ
ημῶν A, ἡμῶν BEMZ 4 ἡμῶν add. ante προτειναμένων V²O προτεινο-
μένων M; προτεινάμενοι Turn. 5 ἀλλ' om. F τείνειν CGZ 6 τοῦτο F
κατ' om. G ἴεσθαι AFPKZ: ἵεσθαι ceteri 7 ἔθνος] γένος CVO (fort. recte)
τιμῆς] αἰδοῦς CVO (fort. recte) μοχθηρῶν] πονηρῶν KZ ἀγαθοὶ om. A
8 ἀλλ' εἰ] ἀλλὰ H¹P 9 εἶτα F 10 τὴν om. G 11 ἐνδεξομένων FGHP:
προέρχεσθαι
ἐκδεξομένων O, ἐκδεξαμένων ceteri καὶ om. H¹P 12 πορεύεσθαι K
13 ἀνίας ἦν transp. A(v) ἀνίας] ἀνοίας Turn. δῆλον ὅτι CBE 14 ἐν
om. A 15 οἷς] ἧς G λύπης G τἀγαθὰ FGHP: τὰ ἀγαθὰ ceteri
16 γὰρ om. Z καὶ om. A 17 ἀνενεγκόντας A 18 πορρωτάτω HP
προσεληλύθασι H¹P 19 δ' CVO, δὲ om. A 20 ἔμελλον] ἐβούλοντο V²
τῆς] τοῖς C ἀνακαλυφείσης Turn. 21 ἐπιδεξαμένου F, ἐνδειξαμένου A
22 μηδὲν FGHP: μηδὲν μηδένα ceteri (v) 22. 23 παθεῖν μηδὲν transp. H
23 φυλάξεσθαι BEM 24 θελῆσαι AH(v)

250 (45.) Τὰς μὲν οὖν τούτων πόλεις παρημείψατο. βασιλεὺς δέ τις
τῆς ὁμόρου Χανάνης ὄνομα, τῶν σκοπῶν ἀπαγγειλάντων τὸν ὁδοιποροῦντα
στρατὸν οὐ πάνυ μακρὰν ἀφεστηκότα, νομίσας ἀσύντακτόν τε εἶναι καὶ
ῥᾳδίως εἰ προεπίθοιτο νικήσειν, ἄρας μετὰ τῆς οἰκείας νεότητος
εὐοπλούσης ἐπεξέθει καὶ τοὺς πρώτους ὑπαντιάσαντας ἅτε μὴ παρεσκευασ-
μένους εἰς μάχην τρέπεται· καὶ λαβὼν αἰχμαλώτους ἐπὶ τῷ παρ' ἐλπίδα
εὐημερήματι φυσηθεὶς πρόεισι, καὶ τοὺς ἄλλους ἅπαντας χειρώσεσθαι
251 νομίζων. οἱ δὲ — οὐ γὰρ ἐγνάμφθησαν ἥττῃ τῆς προερχομένης τάξεως
— ἀλλ' ἔτι μᾶλλον ἢ πρότερον σπάσαντες εὐτολμίας καὶ τὴν ἔνδειαν
τῶν ἑαλωκότων ἐκπλῆσαι ταῖς προθυμίαις ἐπειγόμενοι συνεκρότουν ἄλλος
ἄλλον μὴ ἀποκάμνειν „ἀνεγειρώμεθα“ λέγοντες, „ἄρτι τῆς χώρας ἐπι-
βαίνομεν· ἀκατάπληκτοι μετὰ τῆς ἐν τῷ θαρρεῖν ἐχυρότητος γινώμεθα·
τὰ τέλη ταῖς ἀρχαῖς πολλάκις κρίνεται· ἐπὶ τῶν εἰσβολῶν ὄντες κατα-
πληξώμεθα τοὺς οἰκήτορας, ὡς ἔχοντες μὲν τὴν ἐκ τῶν πόλεων εὐετη-
ρίαν, | ἀντιδεδωκότες δ' ἣν ἐκ τῆς ἐρημίας ἐπαγόμεθα σπάνιν τῶν ἀναγ- p. 121 M.
252 καίων.“ καὶ ἅμα διὰ τούτων προτρέποντες αὑτοὺς ηὔξαντο τῆς χώρας
ἀπαρχὰς ἀναθήσειν τῷ θεῷ τὰς πόλεις τοῦ βασιλέως καὶ τοὺς ἐν ἑκάστῃ
πολίτας· ὁ δ' ἐπινεύει ταῖς εὐχαῖς καὶ θάρσος ἐμπνεύσας τοῖς Ἑβραίοις
253 τὴν ἀντίπαλον στρατιὰν ἁλῶναι παρεσκεύασεν. οἱ δ' ἀνὰ κράτος ἑλόντες
τὰς χαριστηρίους ὁμολογίας ἐπετέλουν, οὐδὲν ἐκ τῆς λείας νοσφισάμενοι,
τὰς δὲ πόλεις αὐτοῖς ἀνδράσι καὶ κειμηλίοις ἀνιερώσαντες, καὶ ἀπὸ τοῦ

1 τούτων om. VO 2 ὁμόρου] ὁμοχώρου A (Turn.) χαλάνης Z
⟨Ἄραδ⟩ ὄνομα coni. Mang. τοὔνομα V²OK² σκοπὸν K 3 μακρὰν
πάνυ transp. A(v) τε om. AZ 4 εἰ ῥᾳδίως transp. V, εἰ om. O
προσεπίθοιτο V²K², προεπίθειτο G, προεπιθεῖντο F, προεπίθοιντο CA; προεπίθειντο (sic)
Turn. Mang. οἰκίας Z, οἰκείου CV¹ 5 πρώτως VOFHP ὑπαντι-
άσας A 5. 6 παρασκευασμένους BEMFPZ 6 παρ' ἐλπίδας VOKFHP, παρ-
ελπίδι Z 7 προῆσαι (sic) F χειρώσεσθαι Mang.: χειρώσασθαι codd.
8 οἱ δὲ VOK²: οἵδ' Z, οἱ δ' ceteri οὐ] οὐδὲ A(v) ἐγνάφθησαν M, ἐκνάμ-
φθησαν FH¹P ἥττῃ FGHPKZ: om. ceteri 10 ἐκπληρῶσαι BEMA
τῆς προθυμίας CV¹BEMA, τῇ προθυμίᾳ V²O 11 ἀποκαμεῖν V²O 11. 12 ἐπι-
βαίνωμεν AFH (Mang.) 12 κατάπληκτοι HP ἐχυρότητος CFGHPK: ὀχυρό-
τητος ceteri γινώμεθα VOFGHP: γενώμεθα ceteri 13. 14 καταπληξόμεθα H
14 ἔχοντας V²O 15 ἀντιδεδωκότας V²OK² δ'] δὲ ἡμῖν V²OK²
ἀπαγόμεθα F 16 αὐτοὺς ABEVOH²: αὑτοὺς ceteri 18 πολιτείας C¹
δὲ VO 19 ἀντίπαλον] τῶν ἀντιπάλων BEMAKZ (v) ἁλῶσαι H οἵδ' Z,
οἱ δὲ F ἑλόμενοι H¹P 21 ἀφιερώσαντες V²OK² alt. καὶ FGHP: om. ceteri (v)

1 sqq. Num. 21,1—3

συμβεβηκότος ὅλην τὴν βασιλείαν ὠνόμασαν „ἀνάθεμα“. καθάπερ γὰρ εἷς ἕκαστος τῶν εὐσεβούντων ἀπὸ τῶν ἐτησίων ἀπάρχεται καρπῶν, οὓς ἂν ἐκ τῶν ἰδίων συγκομίζῃ κτημάτων, τὸν αὐτὸν τρόπον καὶ ὅλον τὸ ἔθνος μεγάλης χώρας, εἰς ἣν μετανίστατο, μέγα τμῆμα, τὴν εὐθὺς αἱρεθεῖσαν βασιλείαν, ἀνέθηκεν ἀπαρχήν τινα τῆς ἀποικίας· οὐ γὰρ ἐνόμιζεν ὅσιον εἶναι διανείμασθαι γῆν ἢ πόλεις κατοικῆσαι, πρὶν καὶ τῆς χώρας καὶ τῶν πόλεων ἀπάρξασθαι. 254

(46.) Μικρὸν δ' ὕστερον καὶ πηγὴν εὔυδρον ἀνευρόντες, ἣ παντὶ τῷ πλήθει ποτὸν ἐχορήγησεν — ἐν φρέατι δ' ἦν ἡ πηγὴ καὶ ἐπὶ τῶν τῆς χώρας ὅρων —, ὥσπερ οὐχ ὕδατος ἀλλ' ἀκράτου σπάσαντες τὰς ψυχὰς ἀνεχύθησαν· ὑπό τε εὐφροσύνης καὶ χαρᾶς ᾆσμα καινὸν οἱ θεοφιλεῖς χοροὺς περὶ τὸ φρέαρ ἐν κύκλῳ στήσαντες ᾖδον εἰς τὸν κληροῦχον θεὸν καὶ τὸν ἀληθῶς ἡγεμόνα τῆς ἀποικίας, ὅτι πρῶτον ἐπιβάντες ἐξ ἐρημίας μακρᾶς τῆς οἰκουμένης καὶ ἣν ἔμελλον καθέξειν ποτὸν ἄφθονον ἀνεῦρον, ἁρμόττον ἡγησάμενοι μὴ ἀσημείωτον τὴν πηγὴν παρελθεῖν. 255
καὶ γὰρ ἔτυχεν οὐ χερσὶν ἰδιωτῶν ἀλλὰ βασιλέων ἀνατετμῆσθαι φιλοτιμηθέντων, ὡς λόγος, οὐ μόνον περὶ τὴν εὕρεσιν τοῦ ὕδατος ἀλλὰ καὶ περὶ τὴν τοῦ φρέατος κατασκευήν, ἵν' ἐκ τῆς πολυτελείας βασιλικὸν φαίνηται τὸ ἔργον καὶ ἡ τῶν κατασκευασάντων ἀρχὴ καὶ μεγαλόνοια. 256
γεγηθὼς δ' ἐπὶ τοῖς αἰεὶ συμβαίνουσιν ἀπροσδοκήτοις ἀγαθοῖς ὁ Μωυσῆς ἐχώρει προσωτέρω, τὴν μὲν νεότητα διανείμας εἴς τε πρωτοστάτας καὶ ὀπισθοφύλακας, γηραιοὺς δὲ καὶ γύναια καὶ παῖδας ἐν μέσοις τάξας, ἵνα διὰ τῶν παρ' ἑκάτερα φρουρὰν ἔχωσιν, ἐάν τε ἀντικρὺ ἐάν τε κατόπιν ἐχθρὸς ὅμιλος ἐπίῃ. 257

1 ἀνάθημα AFGHP γὰρ om. F 3 συγκομίζηται AP (v) 4 μετανίσταντο BMK τμῆμα CVOFHP: κτῆμα ceteri 5 αἱρεθεῖσαν FHP: om. A, εὑρεθεῖσαν ceteri ἀνέθηκαν O 5. 6. ἐνόμιζεν CFGP: ἐνόμισεν H (v), ἐνόμιζον ceteri 6 ὅσιος G διανείμεσθαι (sic) KZ 8 δὲ F εὔυδρον FGHP: om. ceteri ἀνευρόντες FGH: εὑρόντες ceteri 11 ᾆσμα καινὸν om. F 13 ἀληθῆ O, ἀληθῆ corr. ex ἀληθῶς K 15 προελθεῖν G 16 ἔτυχον BEM βασιλέως O ἀνατετιμῆσθαι A 17 τὴν om. VO ὕδατος om. A, suppl. man. rec. 19 φαίνηται] φρόνημα (sic) K κατασκευασμάτων G ἀρχὴ καὶ FGHP: ἀρχὴ (om. καὶ) KZ, ἐν ἀρχῇ BEMA, ἀρχῆθεν CVO (v) 20 δὲ FKZ δ' (δὲ) FGHP: δ' (δὲ) εὐθὺς ceteri (v) ταῖς F αἰεὶ FGHP: om ceteri ἀγαθοῖς om. F μωσῆς A 21 προστάτας A 22 φύλακας HP γεραιοὺς C 23 φρουρὰς O,
ῶν
φρουροὺς MV² ἄντικρυς CVO (v) 24 ἐχθρὸς A, ἐχθρῶν V²OK (v) ὅμιλον Richt. Tauchn. ἐπίοι KZ, ὀφθείη in textu O, γρ. ἐπίῃ mg. O

8 sqq. Num. 21,16—18

258 (47.) Ὀλίγαις δ' ὕστερον ἡμέραις εἰς τὴν τῶν Ἀμορραίων χώραν
ἐμβαλὼν πρέσβεις ἐξέπεμπε πρὸς τὸν βασιλέα — Σηὼν δ' ὠνομάζετο —
προτρέπων ἐφ' ἃ καὶ τὸν συγγενῆ πρότερον· ὁ δ' οὐ μόνον πρὸς ὕβριν
ἀπεκρίνατο τοῖς ἥκουσι μικροῦ καὶ ἀνελὼν αὐτούς, εἰ μὴ νόμος ὁ πρεσ-
βευτικὸς ἐμποδὼν ἐγένετο, ἀλλὰ καὶ πάντα τὸν στρατὸν συναγαγὼν
259 ἐφώρμα | νομίζων αὐτίκα τῷ πολέμῳ περιέσεσθαι. συμπλακεὶς δὲ οὐ p. 122 M.
πρὸς ἀμελετήτους καὶ ἀνασκήτους ἔγνω τὴν μάχην οὖσαν ἀλλ' ἀθλητὰς
τῷ ὄντι πολέμων ἀηττήτους, οἳ πρὸ μικροῦ πολλὰ καὶ μεγάλα ἠνδραγα-
θίσαντο σωμάτων ἀλκὴν καὶ φρόνημα διανοίας καὶ ἀρετῆς ὕψος ἐπι-
δειξάμενοι, δι' ὧν τοὺς μὲν ἐναντιωθέντας ἐκ πολλοῦ τοῦ περιόντος
εἷλον, ἔφαυσαν δὲ τῶν ἀπὸ τῆς λείας οὐδενὸς τὰ πρῶτα τῶν ἄθλων
260 ἀναθεῖναι τῷ θεῷ σπουδάσαντες· οἳ καὶ τότε φραξάμενοι καρτερῶς ἀπὸ
τῶν αὐτῶν βουλευμάτων καὶ παρασκευῶν ἀντεφώρμησαν ἅμα καὶ τῇ
ἀκαθαιρέτῳ τοῦ δικαίου χρώμενοι συμμαχίᾳ, δι' ἣν εὐτολμότεροί τε
261 ἦσαν καὶ ἀγωνισταὶ πρόθυμοι. σαφὴς δὲ πίστις· δευτέρας οὐκ ἐδέησε
μάχης, ἀλλ' ἡ πρώτη καὶ μόνη ἐγένετο, καθ' ἣν πᾶσα ἡ ἀντίπαλος
262 ἐκλίθη δύναμις καὶ ἀνατραπεῖσα ἡβηδὸν αὐτίκα ἠφανίσθη. αἱ δὲ πόλεις
ὑπὸ τὸν αὐτὸν χρόνον κεναί τε καὶ πλήρεις ἐγεγένηντο, κεναὶ μὲν τῶν
ἀρχαίων οἰκητόρων, πλήρεις δὲ τῶν κεκρατηκότων· τὸν αὐτὸν μέντοι
τρόπον καὶ αἱ κατ' ἀγροὺς ἐπαύλεις ἐρημωθεῖσαι τῶν ἐν αὐταῖς ἀντέ-
λαβον ἄνδρας βελτίους τὰ πάντα.
263 (48.) Οὗτος ὁ πόλεμος ἅπασι μὲν τοῖς Ἀσιανοῖς ἔθνεσι φοβερὸν
δέος ἐνειργάσατο, διαφερόντως δὲ τοῖς ὁμόροις, ὅσῳ καὶ τὰ δεινὰ ἐγγυ-
τέρω προσεδοκᾶτο. εἷς δὲ δὴ ἐκ τῶν ἀστυγειτόνων βασιλέων ὄνομα

1 ἀμμοραίων VO 2 πρέσβυς G ἐξέπεμψε CF πρὸς τὸν βασιλέα om. VO δ' AFGHP: δὲ ceteri ὁ τῆς χώρας βασιλεὺς ante ὠνομάζετο add. V²O 3 τοὺς συγγενῆ (sic) K ὅδ' KZ 4 μικρὸν M 4. 5 πρεσβυτικὸς AZ 5 πάντα FGHP: om. ceteri 6 ἐφόρμα E, ἐφορμᾶ FHP, ἐφορμᾶν G 7 ἀνασχήτους G ἔγνω om. O 8 τῷ ὄντι πολέμων ἀηττήτους CVOFGHP: πολέμων ἀηττήτους τῷ ὄντι BEMAKZ 8. 9 ἠνδραγαθήσαντο FGH 10 δι' ὧν] διὸ A (v) 11 εἷλον] καθεῖλον coni. Mang. pr. τῶν codd.: om. v ἄθλων] ἄλλων Z 13 ἀντεφώρμισαν F 14 τοῦ δικαίου: cf. 154,7 εὐτολμώτεροι AZ 15 πίστις codd.: ἡ πίστις v ἐδέησαν A 16 ἀλλὰ F ἡ] ἢ BEMKZ 18 ἐγεγένηντο] ἐγένοντο A (v) 19 πλήρης G μέν τι G 20 κατὰ F 22 μὲν om. BEMAKZ 23 ἀνειργάσατο G δὲ] δὴ F ὅσον Z 24 προσδοκᾶτο (sic) M ἐκ FGHP: καὶ CVOK², om. BEMAK¹Z ὄνομα FGHP: ὀνόματι ceteri (v)

1 sqq. Num. 21,21 sqq. 24 sqq. Num. cap. 22

Βαλάκης, μεγάλην καὶ πολυάνθρωπον τῆς ἑῴας μοῖραν ὑπηγμένος, πρὶν
εἰς χεῖρας ἐλθεῖν ἀπειπών, ἄντικρυς μὲν ὑπαντᾶν οὐκ ἐδοκίμαζε τὸν
ἐκπορθήσεως δι' ὅπλων ἐλεύθερον πόλεμον διαδιδράσκων, ἐπ' οἰωνοὺς
δὲ καὶ μαντείας ἐτράπετο νομίζων ἀραῖς τισι δυνήσεσθαι τὴν ἄμαχον
ῥώμην τῶν Ἑβραίων καθελεῖν. ἀνὴρ δ' ἦν κατ' ἐκεῖνον τὸν χρόνον 264
ἐπὶ μαντείᾳ περιβόητος Μεσοποταμίαν οἰκῶν, ὃς ἅπαντα μὲν ἐμεμύητο
τὰ μαντικῆς εἴδη, οἰωνοσκοπίαν δ' ἐν τοῖς μάλιστα συγκεκροτηκὼς
ἐθαυμάζετο, πολλοῖς καὶ πολλάκις ἐπιδειξάμενος ἄπιστα καὶ μεγάλα.
προεῖπε γὰρ τοῖς μὲν ἐπομβρίας θέρους ἀκμάζοντος, τοῖς δ' αὐχμόν 265
τε καὶ φλογμὸν ἐν μέσῳ χειμῶνι, τοῖς δ' ἐξ εὐετηρίας ἀφορίαν καὶ
ἔμπαλιν ἐκ λιμοῦ φοράν. ἐνίοις δὲ πλημμύρας ποταμῶν καὶ κενώσεις
καὶ θεραπείας λοιμικῶν νοσημάτων καὶ ἄλλων μυρίων, ὧν ἕκαστον ὁ
προθεσπίζειν δοκῶν ὀνομαστότατος ἦν ἐπὶ μέγα εὐκλείας προερχόμενος
διὰ τὴν ἐπιβαίνουσιν ἀεὶ καὶ φθάνουσαν πανταχόσε φήμην. ἐπὶ τοῦτον 266
ἐξέπεμπε τῶν ἑταίρων τινὰς παρακαλῶν ἥκειν καὶ δωρεὰς τὰς μὲν ἤδη
παρεῖχε, τὰς δὲ δώσειν ὡμολόγει τὴν χρείαν ἧς ἕνεκα μεταπέμποιτο
p. 123 M. δηλῶν· ὁ δ' οὐκ ἀπὸ φρονήματος εὐγενοῦς καὶ βεβαίου, | ἀλλὰ τὸ πλέον
ἀστεϊζόμενος ὡς δὴ τῶν ἐλλογίμων προφητῶν γεγονὼς καὶ μηδὲν ἄνευ
χρησμῶν εἰωθὼς πράττειν τὸ παράπαν, ὑπανεδύετο λέγων οὐκ ἐπι-
τρέπειν αὐτῷ βαδίζειν τὸ θεῖον. καὶ οἱ μὲν ἥκοντες ἐπανῄεσαν ἄπρακτοι 267
πρὸς τὸν βασιλέα, ἕτεροι δ' εὐθὺς ἐπὶ τὴν αὐτὴν χρείαν ἐχειροτονοῦντο
τῶν δοκιμωτέρων, πλείω μὲν ἐπιφερόμενοι χρήματα, περιττοτέρας δὲ
δωρεὰς ὑπισχνούμενοι. δελεασθεὶς δὲ καὶ τοῖς ἤδη προτεινομένοις καὶ 268
ταῖς μελλούσαις ἐλπίσι καὶ τὸ ἀξίωμα τῶν παρακαλούντων καταιδεσθεὶς

ος
1 ἑώου CP μοῖραν] μέρραν (sic) Z ὑπηργμένος O 2 ἀντικρὺς K[1]Z ἀπαντᾶν AF ἐδοκίμασε HP (v) 3 διαδιδράσκων FGHP: ἀποδιδράσκων ceteri 4 ἐτράπετο FGHP: ἐτρέπετο ceteri ἀραῖς] ἀρεῖν (sic) K δυνηθήσεσθαι G 5 ῥώμην] πόλιν G 6 μαντία G μὲν om. A 7 οἰωνοσκοπείαν A, οἰωνοσκοπεῖν FGHP δὲ V 8 pr. καὶ FGHP: om ceteri 9 δὲ AVO ἀχμὸν G 10 χειμῶνος HP ἐξ om. M 11 ἐκ λιμοῦ FGHP: ἐκ om. ceteri (v) φθοράν C, ἀφθονίαν F[2] πλημύρας G 12 ὁ om. KZ, eras. V 13 δοκῶν] μαθὼν CKZ, μαθὼν δοκῶν BEMAV[1] (μαθὼν eras. V[2]) ὄνομα πιστότατος A εὐκλείας FGHP: τῆς εὐκλείας ceteri (v) 14 καὶ φθάνουσαν FGHP: om. ceteri 16 εἵνεκα BV 17 δὲ F 17. 18 τὸ πλέον ἀστεϊζόμενος] τὸ θεῖον προφασιζόμενος coni. Mang. 18 ἀστιζόμενος CVO τῶν CFHP: om. ceteri; τις Mang. 20 αὐτῷ] αὐτὸ G 21 τὸν βασιλέα KZ: τὸν om. ceteri δὲ F εὐθὺς] αὖθις HP αὐτὴν FGHP: om ceteri 22 περισσοτέρας F 23 προτεινομένης M

ἐνεδίδου, πάλιν προφασιζόμενος τὸ θεῖον οὐκ ἐφ' ὑγιεῖ· τῇ γοῦν ὑστε-
ραίᾳ παρεσκευάζετο τὴν ἔξοδον ὀνείρατα διηγούμενος, ὑφ' ὧν ἔλεγε
πληχθεὶς ἐναργέσι φαντασίαις ἀναγκάζεσθαι μηκέτι μένειν, ἀλλὰ τοῖς
269 πρέσβεσιν ἀκολουθεῖν. (49.) ἤδη δὲ αὐτῷ προερχομένῳ γίνεται κατὰ
τὴν ὁδὸν σημεῖον ἀρίδηλον περὶ τοῦ τὴν χρείαν ἐφ' ἣν συνέτεινεν εἶναι
παλίμφημον· τὸ γὰρ ὑποζύγιον, ᾧ συνέβαινεν αὐτὸν ἐποχεῖσθαι, προερ-
270 χόμενον ἐπ' εὐθείας ἐξαπιναίως ἵσταται τὸ πρῶτον· εἶθ', ὥσπερ ἐξ
ἐναντίας βίᾳ τινὸς ἀνωθοῦντος ἢ ἀναχαιτίζοντος, ὑπὸ πόδας ἐχώρει καὶ
πάλιν ἐπὶ δεξιὰ καὶ εὐώνυμα ἐπιφερόμενον καὶ ὧδε κἀκεῖσε πλαζόμενον οὐκ
ἠρέμει, καθάπερ ἐν οἴνῳ καὶ μέθῃ καρηβαροῦν, καὶ πολλάκις τυπτόμενον
ἠλόγει τῶν πληγῶν, ὥστε καὶ τὸν ἐποχούμενον μικροῦ καταβαλεῖν καὶ καθε-
271 ζόμενον ὅμως ἀντιλυπῆσαι. τῶν γὰρ παρ' ἑκάτερα χωρίων ἦσαν αἱμασιαὶ
καὶ φραγμοὶ πλησίον· ὁπότ' οὖν τούτοις προσηράχθη φερόμενον, γόνυ καὶ
272 κνήμας καὶ πόδας ὁ δεσπότης θλιβόμενος καὶ πιεζόμενος ἀπεδρύπτετο. ἦν
δ', ὡς ἔοικε, θεία τις ὄψις, ἣν τὸ μὲν ζῷον ἐπιφοιτῶσαν ἐκ πολλοῦ θεασά-
μενον ὑπέπτηξεν, ὁ δ' ἄνθρωπος οὐκ εἶδεν, εἰς ἔλεγχον ἀναισθησίας· ὑπὸ
γὰρ ἀλόγου ζῴου παρευημερεῖτο τὰς ὄψεις ὁ μὴ μόνον τὸν κόσμον ἀλλὰ καὶ
273 τὸν κοσμοποιὸν αὐχῶν ὁρᾶν. μόλις γοῦν τὸν ἀνθεστηκότα ἰδὼν ἄγγελον, οὐκ
ἐπειδὴ τοιαύτης θέας ἦν ἄξιος, ἀλλ' ἵνα τὴν ἀτιμίαν καὶ οὐδένειαν ἑαυτοῦ
καταλάβῃ, πρὸς ἱκεσίας καὶ λιτὰς ἐτράπετο συγγνῶναι δεόμενος ὑπ'
274 ἀγνοίας ἀλλ' οὐ καθ' ἑκούσιον γνώμην ἁμαρτόντι. τότε μὲν οὖν ὑπο-
στρέφειν δέον, ἐπυνθάνετο τῆς φανείσης ὄψεως, εἰ ἀνακάμπτοι πάλιν
τὴν ἐπ' οἴκου· ἡ δὲ συνιδοῦσα τὴν εἰρωνείαν καὶ σχετλιάσασα — τί

1 ἐφ' ὑγιεῖ] ἐκφυγεῖν VO 3 πληχθεῖσιν A ἀναγκάζεσθαι om. P μηκέτι] οὐκ ἔτι P μένειν] μέλλειν coni. Mang. 4 ἐπιγίνεται KZ 4. 5 κατὰ τὴν ὁδὸν om. A 5 περὶ eras. V^2, om. O 7 ἵστατο V^2O 8 ἀντωθοῦντος AZ (v) ἐχώρει] ἐκχωρεῖ HP 9 φερόμενον vel περιφερόμενον conicio 10 ἐν οἴνω FGHP: ἐν om. ceteri καὶ μέθῃ om. P καρϋβαροῦν PZ πολλάκι C 11 ἠλόγει — ἐποχούμενον om. M τῶν om. VOFGHP 12 ἀντιλυπῆσαι] ἦν τι λυπῆσαι BEMA, λυπεῖν V^2O, ἀντιπεῖν λυπῆσαι K γὰρ add. Mang.; post. ἑκάτερα add. γὰρ V^2 παρὰ A χωρίον G 13 προσηρράχθη AVOGKZ (v) 14 καὶ πόδας GHP: om ceteri πιεζόμενος καὶ θλιβόμενος transp. AFHP 15 δὲ AVO μὲν τὸ transp. Z φοιτῶσαν A 16 ὑπέστηξεν P οἶδεν G 18 γοῦν] οὖν BEMAK¹Z (v) ἰδὼν] ὁρᾶν G 19 ἦν θέας transp. A (v) ἀτιμίαν] αἰτίαν F οὐδενίαν C, οὐθένειαν BMPKZ ἑαυτοῦ] αὐτοῦ BEMAKZ 20 ἱκεσίαν A ὑπ'] οὐκ G 21 ἑκούσιον FGHPZ: ἑκουσίαν ceteri ἁμαρτῶντι Z οὖν om. KZ 21. 22 ὑποστρέφειν FGHP: ἐπιστρέφειν ceteri 22 ἀνακάμπτει GZ πάλιν FGHPZ: om. ceteri 23 τὴν om. FGHP ἐπ' οἴκου CVOFHP: ἐπ' οἶκον ceteri συνειδυῖα V^2K^2

γὰρ ἔδει πυνθάνεσθαι περὶ πράγματος οὕτως ἐμφανοῦς, ὃ τὰς ἀποδείξεις p. 124 M. εἶχεν ἐξ ἑαυτοῦ μὴ δεόμενον τῆς ἐκ λόγων πίστεως, εἰ μὴ | ἄρα ὀφθαλμῶν ὦτα ἀληθέστερα καὶ πραγμάτων ῥήματα; — „βάδιζε“ εἶπεν „ἐφ’ ἣν σπεύδεις ὁδόν· ὀνήσεις γὰρ οὐδέν, ἐμοῦ τὰ λεκτέα ὑπηχοῦντος ἄνευ τῆς σῆς διανοίας καὶ τὰ φωνῆς ὄργανα τρέποντος, ᾗ δίκαιον καὶ συμφέρον· ἡνιοχήσω γὰρ ἐγὼ τὸν λόγον θεσπίζων ἕκαστα διὰ τῆς σῆς γλώττης οὐ συνιέντος.“ (50.) ἀκούσας δ’ ὁ βασιλεὺς ἐγγὺς ἤδη γεγονότα 275 μετὰ τῶν δορυφόρων ὑπαντησόμενος ἐξῄει. καὶ ἐντυχόντων, οἷα εἰκός, τὸ μὲν πρῶτον ἦσαν φιλοφροσύναι καὶ δεξιώσεις, εἶτα βραχεῖα κατάμεμψις περὶ τῆς βραδυτῆτος καὶ τοῦ μὴ ἑτοιμότερον ἥκειν· μετὰ δὲ ταῦτ’ εὐωχίαι ἦσαν καὶ πολυτελεῖς ἑστιάσεις καὶ ὅσα ἄλλα πρὸς ὑποδοχὴν ξένων ἔθος εὐτρεπίζεσθαι, φιλοτιμίαις βασιλικαῖς πάντα πρὸς τὸ μεγαλειότερον ἐπιδιδόντα καὶ σεμνότερον ὄγκον. τῇ δ’ ὑστεραίᾳ ἅμα τῇ ἕῳ τὸν μάντιν 276 ὁ Βαλάκης παραλαβὼν ἐπὶ γεώλοφον ἀνήγαγεν, ἔνθα καὶ στήλην συνέβαινεν ἱδρῦσθαι δαιμονίου τινός, ἣν οἱ ἐγχώριοι προσεκύνουν· μέρος δ’ ἐνθένδε καθεωρᾶτο τῆς τῶν Ἑβραίων στρατοπεδείας, ὃ καθάπερ ἀπὸ σκοπιᾶς ἐπεδείκνυτο τῷ μάγῳ. ὁ δὲ θεασάμενός φησι· „σὺ μέν, 277 ὦ βασιλεῦ, βωμοὺς ἑπτὰ δειμάμενος μόσχον ἐφ’ ἑκάστου καὶ κριὸν ἱέρευσον· ἐγὼ δ’ ἐκτραπόμενος πεύσομαι τοῦ θεοῦ, τί λεκτέον.“ ἔξω δὲ προελθὼν ἔνθους αὐτίκα γίνεται, προφητικοῦ πνεύματος ἐπιφοιτήσαντος, ὃ πᾶσαν αὐτοῦ τὴν ἔντεχνον μαντικὴν ὑπερόριον τῆς ψυχῆς ἤλασε·

1. 2 ἐμφανοῦς ὃ τὰς ἀποδείξεις εἶχεν FGHP: ἐμφανῶς ἀποδείξεις ἔχοντος VO, ἐμφανεῖς ἀποδείξεις ἔχοντος C, ἀποδείξεις ἐμφανεῖς ἔχοντος BEMKZ, ἀποδείξεις ἔχοντος (om. ἐμφανεῖς) A   2 μὴ δεόμενον FGHP: καὶ μὴ δεομένου ceteri   λόγου BM   ἀληθεστέρας ante πίστεως add. A (v), om. ceteri   3 ἀληθέστερα] πιστότερα A (v)   βαδίζετε HP   4 τὰ] τε C (v)   ἐκλεκτέα BEMA   ἄνευ — τρέποντος (5) om. A   7 γλώσσης C   8 τῶν om. BMK[1]Z   ὑπαντησάμενος K   ἐντυχόντας F; συντυχόντων coni. Mang.   9 κατάπεμψις G   10 μετὰ δὲ] καὶ μετὰ BEMAKZ   ταῦτα VO   11 ἦσαν om. FH (fort. recte)   ξένων FGHP: om. ceteri   12 εὐτρεπίζεσθαι ἔθος transp. G   φιλοφροσύναις P   13 ἐπιδόντα A   ἅμα τῇ ἕῳ om. P   14 βάλακος CBEMA   γεωλόφου FGHP   ἀνήγαγεν FGHP: ἀνήνεγκεν KZ, ἠνάγκασεν ceteri   ἔνθα καὶ στήλην συνέβαινεν FGHPKZ: om. ceteri (add. man. rec. mg. V)   15 ἱδρῦσθαι FGHPK: ἱδρύσασθαι ceteri   βωμὸν ante δαιμονίου add. CV[2]O, post τινὸς add. BEMA   δαίμονος C   ἣν] ὃ BM, ὃν AE   16 καθεωρᾶτο om. M   στρατοπεδίας AV[1]   17 σκοπιᾶς v (cf. 39,10): σκοπῆς A, σκοπιῆς ceteri   ἐδείκνυτο V, ἐπεδείκνυ A   18 post βασιλεῦ repet. φησι K   ἑπτὰ βωμοὺς transp. M, δειμάμενος ἑπτὰ transp. A   19 ἱέρευον G   δὲ F   τί FGHP: τὸ ceteri   20 προσελθὼν Z   21 μαντικὴν] μαγικὴν BEMAKZ   post μαντικὴν add. σοφιστείᾳ v (cf. 186,1)

17 sqq. Num. cap. 23

θέμις γὰρ οὐκ ἦν ἱερωτάτῃ κατοκωχῇ συνδιαιτᾶσθαι μαγικὴν σοφιστείαν.
εἶθ' ὑποστρέψας καὶ τάς τε θυσίας ἰδὼν καὶ τοὺς βωμοὺς φλέγοντας
278 ὥσπερ ἑρμηνεὺς ὑποβάλλοντος ἑτέρου θεσπίζει τάδε· „ἐκ Μεσοποταμίας
μετεπέμψατό με Βαλάκης μακρὰν τὴν ἀπ' ἀνατολῶν στειλάμενον ἀπο-
δημίαν, ἵνα τίσηται τοὺς Ἑβραίους ἀραῖς. ἐγὼ δὲ τίνα τρόπον ἀράσομαι
τοῖς μὴ καταράτοις ὑπὸ θεοῦ; θεάσομαι μὲν αὐτοὺς ὀφθαλμοῖς ἀφ'
ὑψηλοτάτων ὀρῶν καὶ τῇ διανοίᾳ καταλήψομαι, βλάψαι δ' οὐκ ἂν δυναίμην
λαόν, ὃς μόνος κατοικήσει, μὴ συναριθμούμενος ἑτέροις ἔθνεσιν, οὐ κατὰ
τόπων ἀποκλήρωσιν καὶ χώρας ἀποτομήν, ἀλλὰ κατὰ τὴν τῶν ἐξαιρέτων
ἐθῶν ἰδιότητα, μὴ συναναμιγνύμενος ἄλλοις εἰς τὴν τῶν πατρίων ἐκδιαί-
279 τησιν. τίς ἐπ' ἀκριβείας εὗρε τὴν πρώτην καταβολὴν τῆς τούτων γενέ-
σεως; τὰ μὲν σώματ' αὐτοῖς ἐξ ἀνθρωπίνων διεπλάσθη σπερμάτων, ἐκ
δὲ θείων ἔφυσαν αἱ ψυχαί· διὸ καὶ γεγόνασιν ἀγχίσποροι θεοῦ. ἀπο-
θάνοι μου ἡ ψυχὴ τὸν | σωματικὸν βίον, ἵν' ἐν ψυχαῖς δικαίων κατα- p. 125 M
ριθμηθῇ, οἵας εἶναι συμβέβηκε τὰς τούτων."
280 (51.) Ταῦτ' ἀκούων ὁ Βαλάκης ὤδινεν ἐν ἑαυτῷ. παυσαμένου
δέ, τὸ πάθος οὐ χωρήσας „ἐπὶ κατάραις" εἶπεν „ἐχθρῶν μετακληθεὶς
εὐχὰς τιθέμενος ἐκείνοις οὐκ ἐρυθριᾷς; ἐλελήθειν ἄρ' ἐμαυτὸν ἀπατῶν
ὡς ἐπὶ φίλῳ σοι τὴν ὑπὲρ τῶν πολεμίων ἀφανῶς τεταγμένῳ τάξιν, ἣ
νῦν γέγονε δήλη. μήποτε καὶ τὰς ὑπερθέσεις τῆς ἐνθάδε ἀφίξεως
ἐποιοῦ διὰ τὴν ὑποικουροῦσαν ἐν τῇ ψυχῇ πρὸς μὲν ἐκείνους οἰκειότητα
πρὸς δ' ἐμὲ καὶ τοὺς ἐμοὺς ἀλλοτρίωσιν· πίστις γάρ, ὡς ὁ παλαιὸς

1 ἱερωτάτῃ κατοχῇ FGHP (κατοκωχῇ scripsi): ἱερωτάτην κατοχὴν VK², ἱερωτάτην κατακωχὴν ceteri (v)   μαγικὴν σοφιστείαν FGHP: μαγικῇ σοφιστείᾳ ceteri; μαγικῇ (om. σοφιστείᾳ) v   2 τε FGHP: om. ceteri   3 ἑρμηνεὺς FGHPZ: ἑρμηνέως K, ἑρμηνέως (εὺς) ceteri   ὑποβάλλοντος VOFGHP: ὑποβαλόντος ceteri   ἑτέρου om. VO (add. man. rec. mg. V)   4 βάλακος BEMA   5 τίσηται] ἐνδήσηται coni. Mang.   καταράσομαι P   6 post μὲν add. οὖν BEMAKZ   αὐτοῖς VOK²Z   ἀφ']ἐφ' P   7 ὁρῶν GZ   8 κατοικήσειε V   9 τῶν om. A   10 ἐθῶν VEP: ἠθῶν CF, om. O, ἐθνῶν ceteri   συναναμιγνύμενος Mang: συναναμιγνυμένων codd.   ἄλλοις] ἀλλήλοις K   10. 11 ἐκδίκησιν P   12 σώματα VOFHP   σπερμάτων] σωμάτων BEMAKZ   14. 15 καταριθμηθῶ P   16 ταῦτα CBEMF   βαλάκις CG, βάλακος BEMA   17 κατακληθεὶς G   18 ἐλελήθην EZ   ἄρα A, ἄρ' CE, δ' ἄρ' VO   19 ὑπὲρ] ὑπὸ M, ἐκ G   τεταγμένων (sed ν eras.) C   20 ὑποθέσεις G ἐνταῦθα F   ἀφίξεως] ἀξιώξεως (sic) G   21 ὑποικοροῦσαν BE, ἐπικουροῦσαν AG   22 δ'] δὲ CG, δὲ καὶ HP

13 ἀγχίσποροι θεοῦ: Aeschyli frg. 162 Nauck² (ap. Plat. de rep. III p. 391 e)

λόγος, τῶν ἀδήλων τὰ ἐμφανῆ." ὁ δὲ τῆς κατοκωχῆς ἀνεθεὶς „ἀδικω- 281
τάτην" εἶπεν „αἰτίαν ὑπομένω συκοφαντούμενος· λέγω γὰρ ἴδιον οὐδέν,
ἀλλ' ἅττ' ἂν ὑπηχήσῃ τὸ θεῖον, ὅπερ οὐχὶ νῦν πρῶτον ἐγὼ μὲν εἶπον,
σὺ δ' ἤκουσας, ἀλλὰ καὶ πρόσθεν, ἡνίκα τοὺς πρέσβεις ἔπεμψας, οἷς
ἀπεκρινάμην ταυτά." νομίσας δ' ὁ βασιλεὺς ἢ τὸν μάντιν ἀπατᾶν ἢ 282
τὸ θεῖον τρέπεσθαι καὶ ταῖς τῶν τόπων μεταβολαῖς τὸ τῆς γνώμης
ἐχυρὸν ἀλλάττειν, εἰς ἕτερον ἀπαγαγὼν χωρίον ἐκ λόφου πάνυ περι-
μήκους ἐπεδείκνυτο μέρος τι τῆς ἀντιπάλου στρατιᾶς· εἶτα πάλιν ἑπτὰ
βωμοὺς ἱδρυσάμενος καὶ τὰ ἴσα τοῖς πρόσθεν ἱερεῖα καταθύσας ἐξέ-
πεμπε τὸν μάντιν ἐπ' οἰωνοὺς καὶ φήμας αἰσίους. ὁ δὲ μονωθεὶς ἐξαίφ- 283
νης θεοφορεῖται καὶ μηδὲν συνιείς, ὥσπερ μετανισταμένου τοῦ λογισμοῦ,
τὰ ὑποβαλλόμενα ἐξελάλει προφητεύων τάδε· „ἀναστὰς ἄκουε, βασιλεῦ,
τὰ ὦτα ἐπουρίσας. οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαψευσθῆναι δύναται
οὐδ' ὡς υἱὸς ἀνθρώπου μετανοεῖ καὶ ἅπαξ εἰπὼν οὐκ ἐμμένει. φθέγ-
ξεται τὸ παράπαν οὐδέν, ὃ μὴ τελειωθήσεται βεβαίως, ἐπεὶ ὁ λόγος
ἔργον ἐστὶν αὐτῷ. παρελήφθην δ' ἐπ' εὐλογίαις, οὐ κατάραις, ἐγώ.
οὐκ ἔσται πόνος ἢ μόχθος ἐν Ἑβραίοις. ὁ θεὸς αὐτῶν προασπίζει 284
περιφανῶς, ὃς καὶ τὴν τῶν Αἰγυπτιακῶν ῥώμην κακῶν ἀπεσκέδασεν ὡς
ἕνα ἄνδρα τὰς τοσαύτας μυριάδας ἀναγαγών. τοιγαροῦν οἰωνῶν ἀλογοῦσι
καὶ πάντων τῶν κατὰ μαντικὴν ἑνὶ τῷ τοῦ κόσμου ἡγεμόνι πιστεύοντες.
ὁρῶ λαὸν ὡς σκύμνον ἀνιστάμενον καὶ ὡς λέοντα γαυρούμενον.

1 ἀφανῆ F^{1}HP κατοκωχῆς scripsi: κατοχῆς VOK^{2}FGHP, κατακωχῆς ceteri 2 εἶπεν] ἔφη F αἰτίαν om. G συκοφαντίαν A ἴδιον οὐδέν CVO: οὐδὲν ἴδιον ceteri 3 ἀλλὰ F ἅττ' F, ἅτ' GHP (Mang.): ὅσα ceteri ὑφηχήσῃ C, ὑπηχήσοι A τὸ θεῖον — ἡνίκα (4) om. G ἐγὼ μὲν CFHP: μὲν ἐγὼ ceteri 4 καὶ om. O 5 ταυτά FH, ταῦτα GP: τὰ αὐτά ceteri 6 τῶν τόπων] τούτων τρόπων K τῆς γνώμης — πάνυ (7) om. HP, add. mg. H^{2}P^2 7 ἐχυρὸν CGH^2: ὀχυρὸν ceteri ἀπαλλάττειν G 7. 8 ὑπερμήκους A, ὑπὲρ μήκους P^2 9 τοῖς om. G ἱερείοις FGHP (v) 9. 10 ἐξέπεμψε C 11 θεοφορεῖται codd.: θειοφορεῖται v 12 βασιλεύων F 13 ἐπουρίσας] ἐπευρήσας (ευ ex ου corr.) F, ἐπαιωρήσας AGHP (v); ἐπορθιάσας coni. Mang. ὁ θεὸς FPD: om. ceteri τὰ αὐτὰ ante διαψευσθῆναι add. VOK^2 δύναται om. D 14 οὐδὲ D, οὐχ M 14. 15 φθέγγεται F, post φθέγξεται add. γὰρ A 16 παρελήφθην FGHP: παρειλήφειν ceteri δὲ C, δ' om. A 17 ἔστι AF μόχθος ἢ πόνος transp. C 18 περιφανῶς] προφανῶς A, φανερῶς H (v) 19 τοσαύτας om. A ἀναγαγών FGHP: ἀπαγαγών ceteri 20 τῶν om. BEMAKZ 21 ὁρῶ codd.: ὁρῶ δὲ v

13—16 D^C fol. 121^v D^R fol. 119^r Φίλωνος ἐκ τοῦ περὶ Μωυσέως βίου: οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαψευσθῆναι· οὐδὲ ὡς υἱὸς ἀνθρώπου μετανοεῖ· ἅπαξ εἰπὼν ἐμμενεῖ (ἐμμένει D^R)· φθέγξεται τὸ παράπαν οὐδέν, ὃ μὴ τελειωθήσεται βεβαίως, ἐπεὶ (ἐπειδὴ D^R) ὁ λόγος ἔργον ἐστὶν αὐτῷ.

εὐωχηθήσεται θήρας καὶ ποτῷ χρήσεται τραυματιῶν αἵματι καὶ κορεσθεὶς οὐ τρέψεται πρὸς ὕπνον, ἀλλ' | ἐγρηγορὼς τὸν ἐπινίκιον ᾄσεται ὕμνον." p. 126 M.

285 (52.) Χαλεπῶς δ' ἐνεγκὼν ἐπὶ τῷ παρ' ἐλπίδας αὐτῷ τὰ τῆς μαντικῆς ἀπαντᾶσθαι „ἄνθρωπε" εἶπε, „μήτε ἀρὰς τίθεσο μήτ' εὐχὰς ποιοῦ· βελτίων γὰρ τῶν μὴ καθ' ἡδονὴν λόγων ἡ ἀκίνδυνος ἡσυχία." καὶ ταῦτ' εἰπὼν ὥσπερ ἐκλαθόμενος ὧν εἶπε διὰ τὸ τῆς γνώμης ἀβέβαιον εἰς ἄλλον τόπον ἀπῆγε τὸν μάντιν, ἀφ' οὗ δείξας μέρος τι τῆς
286 Ἑβραϊκῆς στρατιᾶς καταρᾶσθαι παρεκάλει. ὁ δ' ἅτε χείρων ἐκείνου, καίτοι πρὸς τὰς ἐπιφερομένας κατηγορίας ἀπολογίᾳ μιᾷ χρώμενος ἀληθεῖ, ὡς οὐδὲν ἴδιον λέγοι, κατεχόμενος δὲ καὶ ἐνθουσιῶν διερμηνεύοι τὰ ἑτέρου, δέον μηκέτ' ἐπακολουθεῖν ἀλλ' οἴκαδε ἀπαίρειν, ἑτοιμότερον τοῦ παραπέμποντος προεξέτρεχεν, ἅμα μὲν οἰήσει, κακῷ μεγάλῳ, πεπιεσμένος, ἅμα δὲ καὶ τῇ διανοίᾳ καταρᾶσθαι γλιχόμενος, εἰ καὶ τῇ φωνῇ
287 διεκωλύετο. παραγενόμενος δ' εἰς ὄρος μεῖζον τῶν προτέρων ἄχρι πολλοῦ κατατεῖνον κελεύει μὲν τὴν αὐτὴν ἐπιτελεῖν θυσίαν βωμοὺς πάλιν ἑπτὰ κατασκευάσαντας καὶ ἱερεῖα τεσσαρεσκαίδεκα προσαγαγόντας ἑκάστῳ βωμῷ δύο, μόσχον τε καὶ κριόν. αὐτὸς δὲ οὐκέτι κατὰ τὸ εἰκὸς ἐπὶ κληδόνας καὶ οἰωνοὺς ἵετο πολλὰ τὴν αὑτοῦ τέχνην κακίσας ὡς χρόνῳ καθάπερ γραφὴν ἐξίτηλον γενομένην καὶ τοὺς εὐθυβόλους στοχασμοὺς ἐξαμαυρωθεῖσαν· ἄλλως δὲ καὶ μόλις ἐνενόησεν, ὅτι οὐ συνᾴδει τῷ τοῦ

1 εὐωχηθήσεται AF^{2}GHP: εὐωχήσεται ceteri θῆρας H, θήραις A 2 ἀλλ'— ὕμνον om. M ἐγρηγόρως BEVAFK 3 δὲ C 4 μαντείας Z ἀπατᾶσθαι G μήτ' A 5 ἀκίνδυνος] ἀνήδονος coni. Markland 6 ὥσπερ — εἶπεν post ἀβέβαιον transp. F 8 ὅδ' KZ. ὁ δ' om. CBEMA, ὁ δὲ ἅτε χειρων V^2 in ras., om. O ἅτε] ἅτε F, ἅτερ CBEMA χείρων FK: χειρων V^2 χειλέων A, χειρῶν ceteri 9 μιᾷ om. FGHP (Turn.) χρώμενος μιᾷ Mang. χρωμένου V^2 10 λέγει AVOGZ δὲ om. H^{1}P διερμηνεύει MA 11 ἑτέρων V post δέον add. οὖν V^{2}O μηκέτ' ἐπακολουθεῖν GHP, μηκέτι ἐπακολουθεῖν VOFK^2: μὴ κατεπακολουθεῖν ceteri οἴκαδ' ἐπαίρειν F 12 διεξέτρεχεν A κακῶν μεγάλων VOGHP 13 καταρᾶσθαι FGHP: καταράσασθαι ceteri γλιχόμενος om. A εἰ καὶ FGHP: κἂν ceteri 14 δὲ AF 15 ἐκτελεῖν A 16 τεσσαρεσκαίδεκα FGHP: τεσσαρισκαίδεκα C, τέσσαρα καὶ δέκα ceteri προσάγοντας VOG 17 δύο CFGHP: om. ceteri δ' A εἰκὸς] εἰωθὸς coni. Mang. (cf. LXX) 18 ἵετο AFHPKZ: ἴετο ceteri αὑτοῦ A: αὐτὴν KHP, om. G, αὐτοῦ ceteri ὡς FGHP: om. ceteri 19 τοῖς εὐθυβόλοις στοχασμοῖς CVOK στοχασμοὺς] πειρασμοὺς A 20 ἀμαυρωθεῖσαν BEMAKZ δὲ] τε conicio; ἄλλως τε, εἰ καὶ μόλις coni. Mang.

5 D^P fol. 358^r D^M fol. 269^r Φίλωνος ἐκ τοῦ περὶ Μωσέως βίου D^H fol. 33^r D^R fol. 36^v et 272^r Φίλωνος Io. Georgides p. 14 Boiss.: βελτίων (βέλτιον D^M D^{R2} Georg.) τῶν (τοῦ D^M) μὴ καθ' ἡδονὴν λόγων (λόγου D^M) ἡ ἀκίνδυνος ἡσυχία.
17 sqq. Num. cap. 24

θεοῦ βουλήματι ἡ τοῦ μισθωσαμένου προαίρεσις αὐτὸν βασιλέως. τραπό- 288
μενος οὖν κατὰ τὴν ἐρήμην ὁρᾷ κατὰ φυλὰς ἐστρατοπεδευκότας Ἑβραίους
καὶ τό τε πλῆθος καὶ τὴν τάξιν ὡς πόλεως ἀλλ' οὐ στρατοπέδου κατα-
πλαγεὶς ἔνθους γενόμενος ἀναφθέγγεται τάδε· „φησὶν ὁ ἄνθρωπος ὁ 289
ἀληθινῶς ὁρῶν, ὅστις καθ' ὕπνον ἐναργῆ φαντασίαν εἶδε θεοῦ τοῖς τῆς
ψυχῆς ἀκοιμήτοις ὄμμασιν. ὡς καλοί σου οἱ οἶκοι, στρατιὰ Ἑβραίων,
αἱ σκηναί σου ὡς νάπαι σκιάζουσαι, ὡς παράδεισος ἐπὶ ποταμοῦ, ὡς
κέδρος παρ' ὕδατα. ἐξελεύσεταί ποτε ἄνθρωπος ἐξ ὑμῶν καὶ ἐπικρατήσει 290
πολλῶν ἐθνῶν καὶ ἐπιβαίνουσα ἡ τοῦδε βασιλεία καθ' ἑκάστην ἡμέραν
πρὸς ὕψος ἀρθήσεται. ὁ λαὸς οὗτος ἡγεμόνι τῆς ἀπ' Αἰγύπτου πάσης
ὁδοῦ κέχρηται θεῷ καθ' ἓν κέρας ἄγοντι τὴν πληθύν. τοιγαροῦν ἔδεται 291
p. 127 M. | ἔθνη πολλὰ ἐχθρῶν καὶ ὅσον ἐν αὐτοῖς πῖον ἄχρι μυελοῦ λήψεται καὶ
ταῖς ἐκηβολίαις ἀπολεῖ τοὺς δυσμενεῖς. ἀναπαύσεται κατακλινεὶς ὡς
λέων ἢ σκύμνος λέοντος, μάλα καταφρονητικῶς δεδιὼς οὐδένα, φόβον
τοῖς ἄλλοις ἐνειργασμένος· ἄθλιος ὃς ἂν αὐτὸν παρακινήσας ἐγείρῃ. οἱ
μὲν εὐλογοῦντές σε εὐφημίας ἄξιοι, κατάρας δ' οἱ καταρώμενοι."

(53.) Σφόδρα δ' ἐπὶ τούτοις ἀγανακτήσας ὁ βασιλεὺς „ἐπ' ἀραῖς" 292
εἶπεν „ἐχθρῶν μετακληθεὶς εὐχὰς ἤδη τρεῖς τὰς ὑπὲρ ἐκείνων πεποίησαι·
φεῦγε δὴ θᾶττον — ὀξὺ πάθος ἐστὶ θυμός —, μή τι καὶ νεώτερον
ἐργάσασθαι βιασθῶ. πόσον πλῆθος χρημάτων, ἀνοητότατε, καὶ δωρεῶν, 293
πόσην δ' εὐφημίαν καὶ δόξαν ἀφήρησαι σεαυτὸν φρενοβλαβὴς ὤν·
ἐπανελεύσῃ φέρων ἀπὸ τῆς ξένης εἰς τὴν οἰκείαν ἀγαθὸν μὲν οὐδέν,

2 ἔρημον K¹Z 3 ἀλλ' οὐ] ἄλλου BEMVO; ὡς πάνυ πολλοῦ mg. M 3. 4 καταπλαγῆς C 4 ἀναφθέγγεται· τάδε φησὶν MA (v) 5 ἀληθινὸς VOF 7 σκηναί] σκιαί BEMAPZ pr. ὡς] ὡσεὶ A συσκιάζουσαι FHP (v) 8 ὕδατος KZ ἐπικρατήσῃ A 10 πρὸς] εἰς G πρὸς ὕψος om. A ἀπ' om. BEMKZ 11 ὁδοῦ om. K¹, ss. K² 12 πολλῶν A ἄχρι FGHP: μέχρι ceteri λήψεται] λάψεται coni. Mang. 13 κατακλινεὶς CBEMGP: κατακλινθεὶς F, κατακλιθεὶς AVOHKZ 15 post ἄθλιος add. δ' FGHP (v) ἐγείροι A 16 εὐφημίας] εὐλογίας KZ δὲ F 17 δὲ C
18 τρεῖς Z, τρὶς BEMK (prob. Mang.) 19 ἐστὶν ὁ θυμός F, θυμός ἐστι transp. Z μή τι καὶ FGHP: μὴ καί τι CMAVOK¹Z, μηκέτι EK², μὴ καί τι corr. ex μηκέτι B 20 post ἐργάσασθαι add. τι Barb. βιάσασθαι ἐργάσωμαι A; βιασθεὶς ἐργάσωμαι coni. Mang. ἀνοητότατε ante χρημάτων transp. F, post δωρεῶν transp. CVO Barb. 21 πόσην] πάσην G δὲ CVO, δ' om. Barb. σαυτὸν FGHP Barb. 22 ἐπανελεύσει K εἰς] ἐπὶ HP (v) οἰκείαν] οἰκίαν CV¹GHZ (Turn.)

17—190,5 Catena Barber. IV 56 fol. 147r τοῦ Φίλωνος: ἀγανακτήσας βασιλεὺς Βαλὰκ ἐπ' ἀραῖς εἶπεν — φυλάξεται τὸν ἀντίπαλον.

ὀνείδη δὲ καὶ πολλὴν ὡς ἔοικεν αἰσχύνην, οὕτως σοι τῶν κατὰ τὴν ἐπι-
294 στήμην, ἐφ' οἷς πρότερον ἐσεμνύνου, γελασθέντων." ὁ δὲ „τα μὲν πρό-
τερα" εἶπε „πάντ' ἐστὶ λόγια καὶ χρησμοί, τὰ δὲ μέλλοντα λέγεσθαι γνώμης
τῆς ἐμῆς εἰκασίαι." καὶ τῆς δεξιᾶς λαβόμενος μόνος μόνῳ συνεβούλευε,
δι' ὧν, ὡς ἂν οἷόν τε ᾖ, φυλάξεται τὸν ἀντίπαλον στρατόν, ἀσέβημα
κατηγορῶν αὐτοῦ μέγιστον· τί γάρ, εἴποι τις ἄν, ἰδιάζεις καὶ συμβου-
λεύεις τὰ ἐναντία τοῖς χρησμοῖς ὑποτιθέμενος, εἰ μὴ ἄρα τῶν λογίων
295 αἱ σαὶ βουλαὶ δυνατώτεραι; (54.) φέρε δ' οὖν καὶ τὰς καλὰς αὐτοῦ
παραινέσεις ἐξετάσωμεν, ὡς τετεχνιτευμέναι πρὸς ὁμολογουμένην ἧτταν
τῶν ἀεὶ νικᾶν δυναμένων. εἰδὼς γὰρ Ἑβραίοις μίαν ὁδὸν ἁλώσεως
παρανομίαν, διὰ λαγνείας καὶ ἀκολασίας, μεγάλου κακοῦ, πρὸς μεῖζον
296 κακόν, ἀσέβειαν, ἄγειν αὐτοὺς ἐσπούδασεν ἡδονὴν δέλεαρ προθείς. „εἰσὶ"
γὰρ εἶπεν „αἱ ἐγχώριοι γυναῖκες, ὦ βασιλεῦ, διαφέρουσαι τὴν ὄψιν ἑτέ-
ρων· ἀνὴρ δ' οὐδενὶ μᾶλλον εὐάλωτος ἢ γυναικὸς εὐμορφίᾳ. ταῖς οὖν
περικαλλεστάταις ἐὰν ἐπιτρέψῃς μισθαρνεῖν καὶ δημοσιεύειν, ἀγκιστρεύ-
297 σονται τὴν νεότητα τῶν ἀντιπάλων. ὑφηγητέον δὲ αὐταῖς, μὴ εὐθὺς
ἐμπαρέχεσθαι τοῖς ἐθέλουσι τὴν ὥραν· ὁ γὰρ ἀκκισμὸς ὑποκνίζων τὰς
ὁρμὰς ἐπεγείρει μᾶλλον καὶ τοὺς ἔρωτας ἀναφλέγει· τραχηλιζόμενοι δὲ
298 ταῖς ἐπιθυμίαις πάνθ' ὑπομενοῦσι δρᾶν τε καὶ πάσχειν. πρὸς δὲ τὸν
οὕτω διακείμενον ἐραστὴν λεγέτω | φρυαττομένη τις τῶν ἐπὶ τὴν θήραν p. 128 M.
ἀλειφομένων· „„οὐ θέμις ὁμιλίας σοι τῆς ἐμῆς ἀπολαῦσαι, πρὶν ἂν

1 ὀνείδη δὲ καὶ αἰσχύνην ὡς ἔοικεν transp. A, ὡς ἔοικε δὲ αἰσχύνην καὶ ὀνείδη transp. VO πολλὴν FGHP Barb.: om ceteri οὕτω VOMG Barb. 2 καταγελασθέντων VO 3 εἶπε πάντα F, πάντα εἶπεν transp. HP (v) 5 φυλάξεται V^{2}OK^{2}FHP Barb.: φυλάξηται CV^{1}G, φυλάξαιτο BEMAK^{1}Z (Mang.); φυλάξασθαι Turn. στρατόν] στρατηγὸν VO 5. 6 ἀσέβημα . . . μέγιστον FGHP: ἀσέβειαν . . . μεγίστην ceteri 6 αὑτοῦ V^{2}O: αὐτοῦ ceteri ἰδιάζῃς VO 6. 7 συμβουλεύῃς VO, συμβουλεύειν P, συμβασιλεύεις F 7 τἀναντία AVO 8 φέρε δ' οὖν FGHP: φέρε οὖν CVO, φέρ' οὖν BEMAKZ 9 τετεχνητευμέναι AFHP, τεχνιτευμέναι KZ 10 ἑβραῖος F 12 ἐσπούδαζεν BEMAKZ (Mang.) προσθείς CM, προτιθείς A (Mang.) 13 αἱ om. F ἐγχώριαι MKZ 15 ἐπιστρέψῃς (sed σ eras.) C, ἐπιτρέψεις G δημοσιεύειν ⟨τὸ κάλλος⟩ coni. Mang.
16 ἀφηγητέον HP δ' CVO 17 τὴν ὥραν om. F ἀκκισμὸς C^{2}F: ἀστισμὸς C^{1}VO, ἀστεϊσμὸς ceteri 18 ἐπεγερεῖ GH^{2}P^2 (v) ἀναφλέξει FGHP (v), ἀναφλέγει om. in fine paginae K 19 ὑπομένουσι C 20 φρυαττωμένη G, φραττομένη P τὴν FGHP: om ceteri 21 ὁμιλίας FGHP: τῆς ὁμιλίας ceteri σοι τῆς ὁμιλίας transp. BMKZ ἂν om. F

2 sqq. cf. *Ioseph Ant. Iud.* IV § 126 sqq.

ἐκδιαιτηθῇς μὲν τὰ πάτρια, μεταβαλὼν δὲ τιμήσῃς ἅπερ ἐγώ. πίστις δέ μοι τῆς βεβαίου μεταβολῆς γένοιτ' ἂν ἀρίδηλος, ἣν ἐθελήσῃς μετασχεῖν τῶν αὐτῶν σπονδῶν τε καὶ θυσιῶν, ἃς ἀγάλμασι καὶ ξοάνοις καὶ τοῖς λοιποῖς ἀφιδρύμασιν ἐπιτελοῦμεν.““ ὁ δ' ἅτε σαγηνευθεὶς πάγαις 299
πολυειδέσι, κάλλει καὶ στωμυλίας χειραγωγίαις, οὐδὲν ἀντειπών, ἐξηγκωνισμένος τὸν λογισμόν, ἄθλιος ὑπηρετήσει τοῖς προσταττομένοις, ἀναγραφεὶς τοῦ πάθους δοῦλος.“

(55.) Ὁ μὲν δὴ τοιαῦτα συνεβούλευεν. ὁ δ' οὐκ ἀπὸ σκοποῦ 300
νομίσας εἶναι τὰ λεχθέντα, τὸν κατὰ μοιχῶν νόμον παρακαλυψάμενος καὶ τοὺς ἐπὶ φθορᾷ καὶ πορνείᾳ κειμένους ἀνελών, ὡς εἰ μηδὲ τὴν ἀρχὴν ἐγράφησαν, ἀνέδην ἐπιτρέπει ταῖς γυναιξὶ τὰς ὁμιλίας πρὸς οὓς ἂν ἐθέλωσι ποιεῖσθαι. δοθείσης δὲ ἀδείας, τὴν πληθὺν τῶν μειρακίων 301
ἐπήγοντο πολὺ πρότερον τὴν διάνοιαν αὐτῶν ἀπατῶσαι καὶ τρέπουσαι ταῖς γοητείαις πρὸς ἀσέβειαν, ἕως υἱὸς τοῦ ἀρχιερέως Φινεὲς ἐπὶ τοῖς γινομένοις σφόδρα χαλεπήνας — δεινότατον γὰρ αὐτῷ κατεφαίνετο, εἰ ὑφ' ἕνα καιρὸν ἄμφω τά τε σώματα καὶ τὰς ψυχὰς ἐπιδεδώκασι, τὰ μὲν ἡδοναῖς, τὰς δὲ τῷ παρανομεῖν καὶ ἀνοσιουργεῖν — ἐνεανιεύσατο νεανείαν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ προσήκουσαν. ἰδὼν γάρ τινα τῶν ἀπὸ 302
τοῦ γένους θύοντα καὶ εἰσιόντα πρὸς πόρνην, μήτε κεκυφότα εἰς τοὔδαφος μήτε λανθάνειν τοὺς πολλοὺς πειρώμενον μήθ' οἷα φιλεῖ κλέπτοντα

ῆς
1 ἐκδιαιτηθῇς corr. ex — εὶς M, ἐκδιαιτηθεὶς G, ἐκδιαιτηθεὶς AF μὲν om. O τιμήσεις CFH 2 βεβαίας KZ, ἀβεβαίου P ἣν ἐθελήσεις FG 3 σποδῶν G ἃς] ὡς E, ὡς corr. in ὧν B, ὧν MA 4 ἐφιδρύμασιν Z ὅδ' KZ 5 κάλλει om. CBEMA καὶ om. FGHPK[1]Z στωμυλίαις A, στωμυλία CVOKZ χειραγωγίαις] χορηγίαις CFHPZ, καὶ πιθανότητι V[2]O, πιθανότητι
χορηγίαις K ἐξηγκωνισμένος AFGHP: ἐξηγκωνισμένος δὲ ceteri 6 τοῖς πραττομένοις AVOG 8 δὴ VOFGHP: οὖν ceteri συνεβούλευσεν CVOK[2] (v) ὅδ' KZ, ὁ δὲ F 9 τῶν μοιχῶν F 10 φθορᾷ] φωρᾷ V[1]O, φθορᾷ corr. V[2]
αι
μηδὲ] μὴ BMKZ 11 ἀνέδην A, ἀναίδην CPKZ ἐπιτρέπειν F 12 θέλωσι F καὶ δοθείσης VO δ' A, δὲ om. CVO 13 αὐτῶν τὴν διάνοιαν transp. CVO 14 ὁ υἱὸς KZ τοῦ om. A 15 γενομένοις MZ[1] Barb. αὐτὸ Barb. εἰ] εἰς Z 16 ἄμφω om. BEMAK[1]Z τε τὰ transp. FP Barb. alt. τὰ] τὰς FGHP Barb. 17 τὰς] τὰ GHPK Barb. 18 νεανίαν O, νεανεί et lac. 7 litt. (om. ἀνδρὶ) G κἀγαθῷ AO 19 θύοντα καὶ om. GHP Barb. εἰς] πρὸς AVO 20 μήτε FGHP Barb.: ὥστε ceteri
πει
θηρώμενον K, θηρώμενον (θη ex πει corr.) Z μήθ'] μήτε F

8 sqq. Num. cap. 25 14—192,16 Catena Barber. IV 56 fol. 148v: υἱὸς τοῦ ἀρχιερέως Φινεὲς — στρατιὰν ἐκηλίδου.

τὴν εἴσοδον. ἀλλὰ μετ' ἀναισχύντου θράσους τὴν ἀκοσμίαν ἐπιδεικνύμενον καὶ φρυαττόμενον ὡς ἐπὶ σεμνῷ πράγματι τῷ καταγελάστῳ, πάνυ πικρανθεὶς καὶ πληρωθεὶς ὀργῆς δικαίας ἐπεισδραμὼν ἔτι κατ' εὐνὴν κειμένους ἀμφοτέρους τόν τ' ἐραστὴν καὶ τὴν ἑταίραν ἀναιρεῖ προσανατε-
303 μὼν καὶ τὰ γεννητικά, διότι σποραῖς ὑπηρέτησαν ἐκθέσμοις. τοῦτο θεασάμενοί τινες τὸ παράδειγμα τῶν τὴν ἐγκράτειαν καὶ θεοσέβειαν ἐζηλωκότων προστάξαντος Μωυσέως ἐμιμήσαντο καὶ πάντας τοὺς τελεσθέντας τοῖς χειροποιήτοις συγγενεῖς καὶ φίλους ἡβηδὸν ἀνελόντες τὸ μὲν μίασμα τοῦ ἔθνους ἐκκαθαίρουσι διὰ τῆς τῶν προηδικηκότων ἀπαραιτήτου τιμωρίας. τοὺς δ' ἄλλους παρασχόντας ἀπολογίαν ἐναργεστάτην ὑπὲρ τῆς αὐτῶν εὐσεβείας περιεποιήσαντο. μηδένα τῶν ἀφ' αἵματος κατακρίτων οἰκτισάμενοι μηδ' ἐλέῳ τἀδικήματα αὐτῶν παρελθόντες, ἀλλὰ καθαροὺς νομίσαντες τοὺς αὐτόχειρας· ὅθεν οὐδενὶ παρεχώρησαν τὴν
304 ἐπέξοδον φέρουσαν τοῖς δρῶσιν ἀψευδέστατον ἔπαινον. τετρακισχιλίους δέ φασι πρὸς τοῖς δισμυρίοις ἀναιρεθῆναι μιᾷ ἡμέρᾳ. συναναιρεθέντος p. 129 M.
εὐθὺς τοῦ κοινοῦ μιάσματος, ὃ πᾶσαν τὴν στρατιὰν ἐκηλίδου. τῶν δὲ καθαρσίων ἐπιτελεσθέντων, ὡς ἀριστεῖ γέρας ἐπάξιον τῷ υἱῷ τοῦ ἀρχιερέως, ὃς πρῶτος ἐπὶ τὴν ἄμυναν ὥρμησεν, ἐζήτει παρασχεῖν Μωυσῆς· φθάνει δὲ χρησμοῖς δωρησάμενος ὁ θεὸς Φινεεῖ τὸ μέγιστον ἀγαθόν, εἰρήνην, ὃ μηδεὶς ἱκανὸς ἀνθρώπων παρασχεῖν, πρὸς δὲ τῇ εἰρήνῃ καὶ παγκρατησίαν ἱερωσύνης, αὐτῷ καὶ γένει κλῆρον ἀναφαίρετον.

1 μετὰ F 2 φραττόμενον H¹P ὡς om. C καταγριάστω (sic) Z πάνυ — δικαίας (3) om. O πάνυ FGHP Barb.: πάλιν C (V¹ ut vid.), πολλὰ V², om. ceteri 3 ἐπεισδραμὼν FGHP Barb.: ἐπιδραμὼν ceteri ἔτι] ἐπὶ A 4 τε VOF ἑτέραν Barb. 4. 5 προσαποτεμὼν G 5 ὑπηρέτισαν A: ὑπηρέτησεν conicio ἀθέσμοις Z 6 τὴν FGHP Barb.: om. ceteri 7 μωυσέος MAFGHP 8 ἀχειροποιήτοις Barb. 9 διηδικηκότων M 10 δὲ AF παρασχόντες Barb. 11 αὐτῶν AVOG: αὑτῶν ceteri ἐποιήσαντο H¹P τῶν] τὸν G 12 οἰκτησάμενοι Barb. μηδ' FH¹P: μήτ' ceteri (v) τἀδικήματ' GH²K, τἀδίκημα τῶν H¹P, τἀδίκημα Z, τῶν ἀδικήματ' C ἀλλὰ codd: ἀλλὰ καὶ v 13 post καθαροὺς add. μᾶλλον V²O οὐδενὶ] οὐδὲ V²OF 14 ἐπέξοδον CGHPKZ: ἐπ' ἔξοδον ceteri ἀψευδέστατον] καίτοι ἀψευδέστατα V²O ἔπαινον FGHPKZ: om. ceteri 15 δέ BEMAKZ: om. ceteri δυσμυρίοις AFH¹ ἀναιρεθεῖναι G 16 post εὐθὺς add. καὶ KZ τὴν om. HP δὲ om. Barb. 17 υἱεῖ FHP Barb. 18 μωσῆς Barb. 19 δωρησάμενος post ἀγαθὸν transp. VO Φινεεῖ om. A, post ἀγαθὸν transp. KZ 20 ἱκανῶς (sic) Barb. ἀνθρώπων ἱκανὸς transp. M 21 κλῆρον FGHP Barb.: κληρονομίαν ceteri (v)

16—21 Catena Barber. IV 56 fol. 149r Φίλωνος: τῶν καθαρσίων — κλῆρον ἀναφαίρετον.

(56.) Ἐπεὶ δὲ τῶν ἐμφυλίων οὐδὲν ἔτ' ἦν ὑπόλοιπον κακῶν, ἀλλὰ 305
καὶ ὅσοι πρὸς αὐτομολίαν ἢ προδοσίαν ὑπωπτεύοντο πάντες ἀπωλώλεσαν,
ἔδοξεν εἶναι καιρὸς ἐπιτηδειότατος τῆς ἐπὶ τὸν Βαλάκην στρατείας, ἄνδρα
μυρία καὶ βεβουλευμένον ἐργάσασθαι κακὰ καὶ δεδρακότα. βεβουλευμένον
μὲν διὰ τοῦ μάντεως, ὃν ἤλπισεν ἀραῖς τισι δυνήσεσθαι καθελεῖν τὴν
δύναμιν τῶν Ἑβραίων, δεδρακότα δὲ διὰ τῆς τῶν γυναικῶν ἀσελγείας
καὶ ἀκολασίας, αἳ τὰ μὲν σώματα λαγνείαις τὰς δὲ ψυχὰς ἀσεβείᾳ τῶν
χρωμένων διέφθειραν. παντὶ μὲν οὖν τῷ στρατῷ πολεμεῖν οὐκ ἐδοκί- 306
μαζεν, εἰδὼς τὰ ὑπέρογκα πλήθη πταίοντα περὶ αὑτοῖς καὶ ἅμα λυσιτελὲς
ἡγούμενος ἐφεδρείας εἶναι συμμάχων τοῖς προκαμοῦσι βοηθούς, ἀριστίνδην
δὲ τοὺς ἡβῶντας ἐπιλέξας, χιλίους ἐκ φυλῆς ἑκάστης, δώδεκα χιλιάδας —
τοσαῦται γὰρ ἦσαν αἱ φυλαί — καὶ στρατηγὸν ἑλόμενος τοῦ πολέμου
Φινεὲς πεῖραν ἤδη δεδωκότα στρατηγικῆς εὐτολμίας ἐπὶ καλοῖς ἱερείοις
ἐξέπεμπε τοὺς ὁπλίτας καὶ θαρσύνων τοιάδε διεξῄει· „οὐχ ὑπὲρ κρά- 307
τους ἀρχῆς ὁ παρὼν ἀγών ἐστιν οὐδ' ὑπὲρ τοῦ κτήσασθαι τὰ ἑτέρων,
περὶ ὧν ἢ μόνων ἢ μάλιστα οἱ πόλεμοι, ἀλλ' ὑπὲρ εὐσεβείας καὶ ὁσιό-
τητος, ὧν τοὺς ἡμετέρους συγγενεῖς καὶ φίλους ἠλλοτρίωσαν οἱ ἐχθροὶ
παραίτιοι γενόμενοι τοῖς ὑπαχθεῖσι χαλεπῆς ἀπωλείας. ἔστιν οὖν ἄτοπον 308
οἰκείων μὲν αὐτόχειρας γεγενῆσθαι παρανομησάντων, ἐχθρῶν δὲ χαλε-
πώτερα ἠδικηκότων ἀποσχέσθαι, καὶ τοὺς μὲν μαθόντας ἀδικεῖν ἀνη-
ρηκέναι, τοὺς δὲ βιασαμένους καὶ διδάξαντας ἀτιμωρήτους καταλιπεῖν, οὓς

---

1 ἦν ἔτ' transp. P κακόν VZ 2 ὅσα FH[1]P πάντες ἀπωλώλεσαν G, π. ἀπολώλεσαν FH[2], π. ἀπωλόλεσαν H[1]P: πάντας ἀπώλεσαν ceteri
3 ἐπιτηδειότητος M ἐπὶ] εἰς C βάλακον BEMA στρατιᾶς FH[1]P
4 μυρία om. VO post μυρία add. μὲν A βεβουλευμένον — δεδρακότα om. BEMAVO βεβουλευμένα A 5 μὲν om. A δυνήσεσθαι FGHP: om. ceteri 7 ἀσεβείαις HP 8. 9 ἐδοκίμασεν P 9 ὑπέρογκα scripsi: ὑπερόρια codd. πταίοντα] πτέοντα G, πλείω ὄντα BEMAVO mg. K
περὶ αὑτοῖς CKZ (αὐτοῖς v): παρ' ἑαυτοῖς FGHP, παρ' αὐτοὺς BEMAVO mg. K
10 ἐφεδρίας VO, ἐφεδρείαν HP συμμάχους BEMAKZ προκαμοῦσι FGHP: προκάμνουσι ceteri (Mang.) 11 χιλίους] χιλίας A δώδεκα—φυλαί (12) om. BEMA

ψ

13 ἐπὶ καλοῖς ἱερείοις om. FGHP 14 ἐξέπεμπε K, ἐξέπεμψε CZ 15 παρὸν Z
τοῦ κτήσασθαι τὰ ἑτ om. in lac. G 16 μόνον MAVO (v) post μάλιστα add. εἰσὶν A (v) πολέμιοι CBEMVO 18 τοῖς om. A χαλεπῆς om. in lac. G 19 γενέσθαι KZ παρανομισάντων H 20 παθόντας F
20. 21 ἀνηρηκέναι FGHP: ἀνελεῖν ceteri (Mang.) 21 τοὺς δὲ βιασαμένους FGHPKZ: βιασαμένους, τοὺς δὲ ceteri (v) καὶ διδάξαντας FGHP: καὶ om. ceteri

---

1 sqq. Num. 31,1—12

ἁπάντων αἰτίους εἶναι συμβέβηκεν, ὧν ἢ δεδράκασιν ἢ πεπόνθασιν ἐκεῖ-
309 νοι.“ (57.) νευρωθέντες οὖν ταῖς παραινέσεσιν ἐκεῖνοι καὶ ὅσον ἐν
ταῖς ψυχαῖς προϋπῆρχε γενναιότητος ζωπυρήσαντες ὡς ἐφ᾽ ὁμολογουμένῃ
νίκῃ πρὸς τὸν ἀγῶνα ἵεντο φρονήμασιν ἀηττήτοις· καὶ συμπλακέντες
τοσαύτῃ περιουσίᾳ ῥώμης καὶ τόλμης ἐχρήσαντο, ὡς ἱερεῦσαι μὲν τοὺς
ἀντιπάλους, αὐτοὶ δὲ πάντες σῷοι ἐπανελθεῖν, οὐδενὸς ἀποθανόντος ἀλλ᾽
310 οὐδὲ τρωθέντος. | ὑπέλαβεν ἄν τις τῶν ἀγνοούντων τὸ συμβεβηκὸς ἰδὼν p. 130 M.
αὐτοὺς ἐπανιόντας οὐκ ἀπὸ πολέμου καὶ παρατάξεως ἀφικνεῖσθαι μᾶλλον
ἢ τῶν ἐν ταῖς ὁπλοσκοπίαις ἐπιδείξεων, ἃς ἔθος ἐν εἰρήνῃ ποιεῖσθαι,
γυμνάσματα δ᾽ εἰσὶ καὶ μελέται συγκροτουμένων τὰ κατ᾽ ἐχθρῶν ἐν
311 φίλοις. τὰς μὲν οὖν πόλεις ἢ κατασκάπτοντες ἢ ἐμπιπράντες ἠφάνισαν,
ὡς μηδ᾽ εἰ τὴν ἀρχὴν ᾠκίσθησαν εἰπεῖν ἔχειν· αἰχμαλώτων δὲ σωμάτων
ἀπερίληπτον ἀριθμὸν ἀπαγαγόντες ἄνδρας μὲν καὶ γυναῖκας κτείνειν
ἐδικαίωσαν, τοὺς μὲν ὅτι βουλευμάτων καὶ χειρῶν ἦρξαν ἀδίκων, τὰς
δ᾽ ἐπεὶ κατεγοήτευσαν τὴν Ἑβραίων νεότητα, παραιτίας γενομένας
αὐτοῖς ἀκολασίας καὶ ἀσεβείας καὶ τὰ τελευταῖα θανάτου· νέοις
δὲ κομιδῇ παισὶ καὶ παρθένοις συνέγνωσαν, ἀμνηστίαν τῆς ἡλικίας
312 ἐφελκομένης. λείας δὲ πολλῆς ἄγαν εὐπορήσαντες ἔκ τε τῶν
βασιλείων κἀκ τῶν ἰδιωτικῶν οἰκιῶν, ἔτι δὲ τῶν κατ᾽ ἀγροὺς
ἐπαύλεων — ἦν γὰρ ἐν τοῖς χωρίοις οὐκ ἐλάττων τῆς ἐν τοῖς ἄστεσιν —,
ἧκον εἰς τὸ στρατόπεδον ἐπηχθισμένοι τὸν παρὰ τῶν ἐχθρῶν πάντα
313 πλοῦτον. ἐπαινέσας δὲ Μωυσῆς τόν τε στρατηγὸν Φινεὲς καὶ τοὺς

2 ἐκεῖνοι FGHP: om. ceteri 3 προϋπάρχον A ἐφομολογουμένη KZ 4 νίκῃ] δίκῃ GH ἵεντο AFHPKZ: ἵεντο ceteri 5 ὡς ῥεῦσαι BEMAVO 6 αὐτοὶ δὲ πάντες σῷοι B[1]EV[1]FGHP: αὐτοὺς δὲ πάντας σώους ceteri (v) ἐπαν-τιθεῖν G μηδενὸς Z 7 ἄν FGHP: om. ceteri τὸ συμβεβηκὼς A 8 ἀφικνεῖσθαι FGHP: αὐτοὺς ἀφικνεῖσθαι ceteri 9 ὁπλοκοπίαις Z 9. 10 ποιεῖσθαι· γυμνάσματα δ᾽ εἰσὶ VOFGHP: ποιεῖσθαι γυμνάσματα· διὸ CBEMKZ, ποιεῖσθαι γυμνάσ-
ά
ματα· δι᾽ ὧν A 10 συγκροτούντων coni. Mang. 11 ἐμπιπρῶντες K 12 μηδ᾽ εἰ A: εἰ μὴδὲ ceteri 15 δ᾽ CFGHP: δὲ ceteri τὴν τῶν ἑβραίων K
ας
γενομένης K, γεγενημένας A (Turn.) 16 αὐτοῖς] αὐτῆς G τὰ om. G 17 ἀμνηστείαν G 18 δὲ om. A ἀπορήσαντες Z 18. 19 τῶν βασιλείων FGHPK[1]Z: τῆς βασιλείας ceteri (v) 19 κἀκ VOFGHP: καὶ ceteri (v) ἰδιω-τῶν V[1]O, γρ. ἰδιωτικῶν mg. O ἔτι δὲ FGHP: ἔτι δὲ καὶ ceteri ἀγροὺς] αὐλοὺς A 20 ἐλάττων VOFGHP: ἔλαττον ceteri τῆς] τοῖς GP[1], τῶν BEMAKZ 21 ἥκων G 22 μωσῆς KZ

22—195,10 Cod. Laur. VI 4 fol. 73r Φίλωνος: ἐπαινέσας δὲ Μωυσῆς τόν τε στρατηγὸν Φινεὲς καὶ τοὺς παραταξαμένους προστάττει μὲν ἔξω τοῦ στρατοπέδου καταμεῖναι πολλὰς ἐφεξῆς ἡμέρας, τῷ δὲ μεγάλῳ ἱερεῖ — γεγενῆσθαι.

παραταξαμένους ἐπί τε τοῖς κατορθώμασι καὶ ὅτι ταῖς ὠφελείαις οὐκ
ἐπέδραμον τὴν λείαν μόνοι σφετερίσασθαι διανοηθέντες, ἀλλ' εἰς μέσον
προὔθεσαν, ἵνα καὶ οἱ καταμείναντες ἐν ταῖς σκηναῖς μετάσχωσι, προσ-
τάττει τοὺς μὲν ἔξω τοῦ στρατοπέδου καταμένειν τινὰς ἡμέρας, τῷ
δὲ μεγάλῳ ἱερεῖ καθᾶραι τοῦ φόνου τοὺς ἀπὸ τῆς παρατάξεως ἥκοντας
τῶν συμμάχων. καὶ γὰρ εἰ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαί, ἀλλ' ὅ 314
γε κτείνων ἄνθρωπον, εἰ καὶ δικαίως καὶ ἀμυνόμενος καὶ βιασθείς,
ὑπαίτιος εἶναι δοκεῖ διὰ τὴν ἀνωτάτω καὶ κοινὴν συγγένειαν· οὗ χάριν
καθαρσίων ἐδέησε τοῖς κτείνασι πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους
γεγενῆσθαι. (58.) μετ' οὐ πολὺν μέντοι χρόνον καὶ τὴν λείαν διένειμε, 315
τοῖς μὲν στρατευσαμένοις — ὀλίγος δ' ἀριθμὸς ἦσαν παρὰ τοὺς ἡσυ-
χάσαντας — διδοὺς ἥμισυ μέρος, θάτερον δὲ τοῖς καταμείνασιν ἐν τῷ
στρατοπέδῳ· δίκαιον γὰρ ὑπέλαβεν εἶναι καὶ τούτοις μεταδοῦναι τῆς
ὠφελείας, εἰ καὶ μὴ τοῖς σώμασι, ταῖς γοῦν ψυχαῖς διαγωνισαμένοις·
οἱ γὰρ ἔφεδροι τῶν ἀγωνιστῶν οὐκ ἐλαττούμενοι ταῖς προθυμίαις χρόνῳ
καὶ τῷ φθασθῆναι μόνον ὑστερίζουσι. λαβόντων δὲ τῶν μὲν ὀλίγων 316
p. 131 M. πλείω διὰ τὸ προκινδυνεῦσαι, τῶν δὲ πλειόνων ἐλάττω διὰ | τὴν ἔνδον
μονήν, ἔδοξεν ἀναγκαῖον εἶναι πάσης τῆς λείας τὰς ἀπαρχὰς καθιερῶσαι·
τὸ μὲν οὖν πεντηκοστὸν οἱ ἐφεδρεύσαντες, πεντακοσιοστὴν δὲ μοῖραν οἱ
προπολεμήσαντες εἰσήνεγκαν· τῶν δ' ἀπαρχῶν τὰς μὲν παρὰ τῶν
στρατευσαμένων τῷ μεγάλῳ ἱερεῖ προστάττει δοθῆναι, τὰς δὲ παρὰ τῶν

1 κατορθώμασιν VOG καὶ om. VO ὠφελίαἲς G 2 μόνην O σφετερίσασθαι BEMAKZ: διασφετερίσασθαι ceteri (v) 3 κάτω μείναντες BEM 3. 4 προστάττει om. BMG, post ἡμέρας (4) transp. KZ 4 τοὺς] τῶ Z καταμεῖναι Laur. 5 καθᾶραι FGHP Laur.: καθαίρειν BEMAVK, καθαίρει COZ
ει
φώνου G 6 εἰ] αἱ M αἱ om. G 8 κοινῇ V^1M συγγένειαν om. K^1, συγγένειαν καὶ κοινήν transp. Z 10 πολὺ (om. χρόνον) FGHP 12 μέρος AFGHP: μέρους ceteri 12—14 ἐν — σώμασι FGHPKZ: om. ceteri 13 ὑπέλαβεν εἶναι FGHP: ὑπέλαβε τοῦτο KZ 14 τῶν σωμάτων K δια-
οις
γωνισαμέναις K 16 τῷ om. A ὑστερίσουσι Turn. 17 ἔλαττον CVO 18 μονήν] καταμονήν A (v) ἔδοξαν M ἀναγκαῖον εἶναι om. F 19 ἐφεδρεύοντες M πεντακοσιοστὴν (sic. codd.)] πεντηκοστὴν A; πεντακοσιαστὴν v 20 δὲ CF

4 sqq. Num. 31,19 — 24 5 sqq. cf. *Procop. Gaz. Comment. in Num. 31,19* (Migne t. 87,1 Col. 882): ceterum ante communionem seu participationem praecedit purificatio; nam etsi iusta caedes fuerit, effusio tamen est fraterni sanguinis, et Deo displicet hominis internecio, eum enim ad vitam, non ad mortem condidit (Caten. Lips. I p. 1386 'Αδήλου). 10 sqq. Num. 31,25 sqq.

καταμεινάντων ἐν τῷ στρατοπέδῳ τοῖς νεωκόροις, οἷς ὄνομα Λευῖται.
317 χιλίαρχοι δὲ καὶ ἑκατόνταρχοι καὶ ὁ ἄλλος ὅμιλος λοχαγῶν καὶ ταξιαρχῶν ὑπέρ τε τῆς αὐτῶν σωτηρίας καὶ τῶν συστρατευσαμένων καὶ τῆς παντὸς λόγου κρείττονος νίκης ἐθελονταὶ κομίζουσιν ἐξαιρέτους ἀπαρχάς, κόσμον τε χρυσοῦν ὅσον ἕκαστος ἐκ τῆς λείας ἀνεῦρε καὶ σκεύη πολυτελέστατα, ὧν πάλιν ὕλη χρυσὸς ἦν· ἃ Μωυσῆς λαβὼν καὶ τὴν εὐσέβειαν τῶν φερόντων ἀγάμενος ἀνατίθησιν ἐν τῇ καθιερωμένῃ
318 σκηνῇ τῆς εὐχαριστίας τῶν ἀνδρῶν ὑπόμνημα. παγκάλη δὲ ἡ διανομὴ τῶν ἀπαρχῶν· τὰς μὲν τῶν μὴ πεπολεμηκότων, ἡμίσειαν ἀρετῆς τὴν χωρὶς ἔργου προθυμίαν αὐτὸ μόνον ἐπιδειξαμένων, τοῖς νεωκόροις ἀπένειμε, τὰς δὲ τῶν ἀγωνισαμένων, οἳ σώμασι καὶ ψυχαῖς ἐκινδύνευσαν ὁλόκληρον ἀνδραγαθίαν παρασχόμενοι, τῷ προεστηκότι τῶν νεωκόρων ἱερεῖ τῷ μεγάλῳ, τὰς δὲ τῶν ταξιαρχῶν ἅτε ἡγεμονικὰς τῷ συμπάντων ἡγεμόνι θεῷ.

319 (59.) Πάντες οὗτοι διεπολεμήθησαν οἱ πόλεμοι, μήπω διαβεβηκότων Ἰορδάνην τὸν ἐγχώριον ποταμόν. πρὸς τοὺς τῆς ἀντιπέρας γῆς οἰκήτορας εὐδαίμονος καὶ βαθείας, ἐν ᾗ πολλὴ πεδιὰς σιτοφόρος καὶ χιλὸν κτήνεσιν
320 ἐνεγκεῖν ἀγαθή. ταύτην ὡς ἐθεάσαντο τὴν χώραν αἱ κτηνοτρόφοι δύο φυλαί, μοῖρα τοῦ σύμπαντος ἕκτη στρατοῦ, Μωυσῆν ἱκέτευον ἐπιτρέψαι τὰς κληρουχίας ἐνταυθοῖ λαβεῖν αὐτὰς ἤδη ποτὲ ἱδρυθείσας· ἐπιτηδειότατον γὰρ ἔφασκον εἶναι τὸν τόπον ἐννέμεσθαί τε καὶ ἐμβόσκεσθαι θρέμμασιν εὔυδρον ὄντα καὶ εὔχορτον καὶ προβατευσίμην ἄφθονον πόαν ἀπαυτο-
321 ματίζοντα. ὁ δὲ νομίσας αὐτοὺς ἢ προεδρίᾳ τὴν διανομὴν τά τε γέρα

1 τῷ om. Z 2 χιλιάρχαι A δὲ om. O ἑκατοντάρχαι A
3 αὐτῶν VO: om. FHP, αὐτῶν ceteri συστρατευσαμένων FGHP: στρατευσαμένων ceteri (v) 4 λόγου om. F 5 ἐκ] ὁ G, om. A 6 πολυτελέστατα] πολύτιμα BEMAK^1Z 7 καθιερωμένῃ] καθ' ἱεροσύνην G 8 παγκάλως HP 9 καὶ add. ante τὴν VO 9. 10 τὴν χωρὶς om. M
10 ἔργου FGHP: ἔργων ceteri (v) ἐπιδειξαμένων FGHP: ἐπιδειξάντων ceteri
τι
11 σώματι VOG, σώμασι K ψυχῇ F 14 ἡγεμόνι FGHP: μεγάλων ἡγεμόνι A, μεγάλῳ ἡγεμόνι ceteri (v) 15 πόλεμοι corr. ex πολέμιοι B, πολέμιοι G
16 τῆς om. V^1GKZ, εἰς ss. K^2 ἀντιπέραν V^2OK^2 17 τῆς ante εὐδαίμονος add. V^2O 18 ἀνενεγκεῖν HP, ἀγαγεῖν A αἱ om. KZ 19 post ἐπιτρέψαι add. αὐτοῖς V^2O 19. 20 τὰς κληρουχίαις (sic) G 20 ἐνταυθοῖ om. BEMAVO αὐτὰς] τὰς VCF ἱδρυνθείσας G, ἱδρυνθησομένας V^2O
21 εἶναι ἔφασκον transp. A (v), ἔφασκον om. KZ τε om. A (Turn.)
22 εὔυδρόν τε Z 22. 23 ἀπαυτονομίζοντα (sic) C

18 sqq. Num. cap. 32

πρὸ καιροῦ λαμβάνειν ἀξιοῦν ἢ πρὸς τοὺς μέλλοντας πολέμους ἀποκνεῖν,
ἐφεδρευόντων ἔτι πλειόνων βασιλέων, οἳ τὴν εἴσω τοῦ ποταμοῦ χώραν
διεκεκλήρωντο, πάνυ δυσχεράνας πρὸς ὀργὴν ἀποκρίνεται καί φησιν·
„ὑμεῖς μὲν οὖν ἐνταυθοῖ καθεδεῖσθε σχολὴν ἐν οὐ δέοντι καὶ ἀργίαν 322
ἕξοντες, τοὺς δ' ὑμετέρους συγγενεῖς καὶ φίλους οἱ λειπόμενοι τραχη-
λιοῦσι πόλεμοι, καὶ τὰ μὲν ἆθλα μόνοις ὑμῖν ὡς ἐπὶ κατωρθωμένοις
p. 132 M. πᾶσι δοθήσεται, μάχαι δὲ καὶ πόνοι καὶ | ταλαιπωρίαι καὶ οἱ ἀνωτάτω
κίνδυνοι ἑτέρους ἀναμενοῦσιν; ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν εἰρήνην καὶ τὰ 323
ἐκ τῆς εἰρήνης ἀγαθὰ καρποῦσθαι, τοὺς δ' ἄλλους πολέμοις καὶ κακοῖς
ἀμυθήτοις ἐναθλεῖν, οὐδὲ προσθήκην τὸ ὅλον μέρους εἶναι· τοὐναντίον
γὰρ ἕνεκα τῶν ὅλων τὰ μέρη κληρονομίας ἀξιοῦται. πάντες ἐστὲ 324
ἰσότιμοι, γένος ἕν, οἱ αὐτοὶ πατέρες, οἰκία μία, ἔθη τὰ αὐτά, κοινωνία
νόμων, ἄλλα μυρία, ὧν ἕκαστον τὴν οἰκειότητα συνδεῖ καὶ πρὸς εὔνοιαν
ἁρμόζεται. διὰ τί δὴ τῶν ἴσων ἐν τοῖς μεγίστοις καὶ ἀναγκαιοτάτοις
ἀξιωθέντες ἐν ταῖς διανομαῖς πλεονεκτήσετε, ὡς ἢ ἄρχοντες ὑπηκόων ἢ
δεσπόται δούλων καταφρονήσαντες; ἔδει μὲν ὑμᾶς ταῖς ἑτέρων πληγαῖς 325
πεπαιδεῦσθαι· φρονίμων γὰρ ἀνδρῶν μὴ ἀναμένειν, ἄχρις ἂν ἐπ' αὐτοὺς
ἔλθῃ τὰ δεινά· νυνὶ δὲ παραδείγματ' ἔχοντες οἰκεῖα τοὺς πατέρας, οἳ
κατεσκέψαντο τήνδε τὴν χώραν, καὶ τὰς ἐκείνων συμφορὰς καὶ τῶν
συναπονοηθέντων — ἅπαντες γὰρ ἔξω δυοῖν ἀπώλοντο —, δέον μηδενὶ
τῶν ὁμοίων συνεπιγράφεσθαι, δειλίαν, ὦ κενοὶ φρενῶν, ζηλοῦτε ὡς οὐκ
εὐαλωτότεροι γενησόμενοι καὶ τὰς προθυμίας ὑποσκελίζετε τῶν ἀνδραγα-
θίζεσθαι προαιρουμένων ἐκλύοντες καὶ παριέντες αὐτῶν τὰ φρονήματα.

2 ἔσω A 3 διακεκλήρωντο KZ, διεκληρώσαντο FG, ἐκεκλήρωντο A (v) δυσχεράνας] δυσχεραίνει καὶ Z ἀποκρίνεται codd. (Turn.): ἐπικρίνεται Mang. 4 οὖν FGHP: om. ceteri ἐνταῦθα VOK^2 5 δὲ AF ἡμετέρους F
οὗ
συγγενεῖς FGHP: οἰκείους καὶ συγγενεῖς ceteri (v) 5. 6 τροαχηλιῶσι A 6 πολέμιοι GHPK^1 ἆθλα] ἔσθλα G κατορθωμένοις BEMG 7 δια-θήσεται HP 8 ἑτέροις P ἀναμένουσιν CP ἡμᾶς Z τὰ om. M 9 δὲ F post κακοῖς add. τοσούτοις A (v) 10 προσθήκην FGHPKZ: προσθήκης ceteri μέρους FH^{2}KZ: μέρος ceteri 11 ὅλων H^{2}KZ: ἄλλων ceteri μέρη H^{2}KZ: περὶ ceteri κληρονομίας] προνομίας coni. Mang. ἀξιοῦται K: ἀξιοῦνται FGHPZ, ἀξιοῦτε ceteri 14 δὴ CVOFGP: δὲ ceteri (v) 15 πλεονεκτήσετε ἐν ταῖς διανομαῖς transp. Z ἐπλεονεκτήσετε G; ἐπλεονεκτήσατε coni. Mang. 17 ἐπ' αὐτοὺς om. M 18 ἔλθοι Z παραδείγματ' CBEMKZ: παραδείγματα ceteri 19 κατεσκάψαντο G 20 ἀπονοηθέντων F
ε
γὰρ om. M δυεῖν F 21 ζηλοῦται G

326 τοιγάρτοι σπεύδοντες ἁμαρτάνειν σπεύσετε καὶ πρὸς τιμωρίας· ἡ γὰρ
δίκη μόλις μὲν εἴωθε κινεῖσθαι, κινηθεῖσα δ' ἅπαξ φθάνει προ-
327 καταλαμβάνουσα τοὺς ἀποδιδράσκοντας. ὅταν οὖν ἅπαντες μὲν οἱ
ἐχθροὶ καθαιρεθῶσιν, ἔφεδρος δὲ μηδεὶς ἔτι προσδοκᾶται πόλεμος, ἐν
δὲ ταῖς εὐθύναις ἀνεπίληπτοι δοκιμασθῶσιν οἱ σύμμαχοι, μὴ λιποτάξιον,
μὴ λιποστράτιον, μηδὲν ἄλλο τῶν ἐφ' ἥττῃ διαπεπραγμένοι, παρα-
μεμενηκότες δ' ἐξ ἀρχῆς ἄχρι τέλους φαίνωνται καὶ τοῖς σώμασι καὶ
ταῖς προθυμίαις, ἐρημωθῇ δὲ πᾶσα ἡ χώρα τῶν προενῳκηκότων,
τηνικαῦτα δοθήσεται τὰ γέρα καὶ τὰ ἀριστεῖα ταῖς φυλαῖς ἐξ ἴσου."
328 (60.) τὴν δὲ νουθεσίαν πρᾴως ἐνεγκόντες ὡς υἱοὶ γνήσιοι σφόδρα εὔνου
πατρὸς — ᾔδεσαν γὰρ αὐτὸν οὐ καταλαζονευόμενον ἀρχῆς ἐξουσίᾳ,
προκηδόμενον δὲ πάντων καὶ δικαιοσύνην καὶ ἰσότητα τιμῶντα καὶ τὸ
μισοπόνηρον οὐκ ἐπ' ὀνείδει σωφρονισμῷ δὲ τῶν βελτιοῦσθαι δυναμένων
αἰεὶ ποιούμενον — „εἰκότως μὲν" ἔφασαν „ἀγανακτεῖς, εἰ τοῦθ' ὑπεί-
ληφας, ὅτι τὴν συμμαχίαν ἀπολιπόντες πρὸ καιροῦ τὰς λήξεις λαβεῖν
329 ἐπειγόμεθα. χρὴ δὲ σαφῶς εἰδέναι, ὅτι οὐδὲν ἡμᾶς φοβεῖ τῶν σὺν
ἀρετῇ, κἂν ἐπιπονώτατον τυγχάνῃ. κρίνομεν δ' ἀρετῆς ἔργα, πειθαρχεῖν
τέ | σοι τοιῷδε ἡγεμόνι καὶ τῶν δεινῶν μὴ ὑστερίζειν καὶ ἐν ἁπάσαις p. 133 M.
ἐξετάζεσθαι ταῖς μελλούσαις στρατείαις, ἄχρις ἂν τὰ πράγματα λάβῃ
330 τέλος αἴσιον. ἡμεῖς μὲν οὖν καθὰ καὶ πρότερον συνταξάμενοι διαβησό-
μεθα τὸν Ἰορδάνην ἐν ταῖς πανοπλίαις, οὐδενὶ τῶν ὁπλιτῶν πρόφασιν
παρασχόντες μονῆς· υἱοὶ δὲ κομιδῇ νήπιοι καὶ θυγατέρες καὶ γυναῖκες
καὶ τὸ πλῆθος τῶν βοσκημάτων, ἐὰν ἐπιτρέπῃς, ὑπολελείψονται, παισὶ
μὲν καὶ γυναιξὶν οἰκίας ἐπαύλεις δὲ θρέμμασι κατασκευασάντων ἡμῶν,

---

1 τοιγαροῦν K σπεύσετε FGHP: σπεύδετε ceteri (v) 2 δὲ CBEMKZ ἅπαξ] αὖθις G 3 μὲν post ὅταν transp. BMKZ 5 εὐθύναις] ἀθήναις Z δοκιμασθῶσιν] δοκῶσιν FGHP 5. 6 λιποτάξιον — λιποστράτιον C: λοιποτάξιον — λοιποστράτιον Z, λειποτάξιον — λειποστράτιον ceteri 6 μηδὲ GKZ 7 δ' om. Z φαίνωνται FHP: φαίνονται G, φαίνοιντο ceteri 8 ἐρημωθήσεται A ἡ om. O προνενοηκότων VO (ενωκηκό ss. man. rec. V), ἐνῳκηκότων G 10 σφόδρ' FGHP 11 ᾔδεσαν scripsi: ᾔδεισαν codd. ἐξουσίᾳ ἀρχῆς transp. KZ 12 καὶ δικαιοσύνην om. G 13 οὐκ om. KZ τῶν] τοῦ Z 14 αἰεὶ FGHP: om. ceteri αἰεὶ ποιούμενον] ἀντιποιούμενον vel περιποιούμενον coni. Mang.; διαπονούμενον vel ἐπιδεικνύμενον conicio εἰ τοῦθ'] εἰ τοῦτο F, εἴθ' A 16 ἐπειγώμεθα O 17 ἐπιπονώτερον K[1]Z κρινόμενα HP 18 τέ om. CVO 19 στρατιαῖς VOFGHPK[2] τὰ πράγμα (sic) H 19. 20 τέλος αἴσιον λάβῃ transp. H 20 καθ' ἃ BEM συνετάξαμεν A 21 πανοπλίαις Z 22 μονῆς παρασχόντες transp. CVO κομιδῇ om. H post θυγατέρες add. καὶ μητέρες A (v) 23 ἐπιτρέπεις G

ἵνα μηδὲν ἐξ ἐπιδρομῆς δεινὸν πάθωσιν ἐν ἀτειχίστοις καὶ ἀφρουρήτοις
προκαταληφθέντες.“ ὁ δ' ἵλεῳ τῷ βλέμματι καὶ πρᾳοτέρᾳ τῇ φωνῇ 331
„ἀψευδοῦσιν ὑμῖν“ ἔφη „βέβαιοι μενοῦσιν ἃς ᾐτήσασθε λήξεις. ὑπολεί-
πεσθε μὲν ὡς ἀξιοῦτε γυναῖκας καὶ παῖδας καὶ βοσκήματα, κατὰ λόχους
δ' αὐτοὶ διαβαίνετε μετὰ τῶν ἄλλων ὡπλισμένοι καὶ ἐκτεταγμένοι πρὸς
μάχην ὡς αὐτίκα, ἢν δέῃ, πολεμήσοντες. αὖθις δ' ὅταν ἅπαντες οἱ 332
ἐχθροὶ καθαιρεθῶσι καὶ γενομένης εἰρήνης τὴν χώραν οἱ κεκρατηκότες
διανείμωνται, καὶ ὑμεῖς ἐπανελεύσεσθε πρὸς τοὺς οἰκείους τῶν ἐπι-
βαλλόντων ἀπολαύσοντες ἀγαθῶν καὶ καρπωσόμενοι ἣν εἵλεσθε μοῖραν.“
ταῦτ' εἰπόντος καὶ ὑποσχομένου, πληρωθέντες εὐθυμίας καὶ χαρᾶς τοὺς 333
μὲν οἰκείους μετὰ τῶν θρεμμάτων ἀσφαλῶς ἐν ἐρύμασι δυσαλώτοις,
ὧν τὰ πλεῖστα χειροποίητα ἦν, ἱδρύονται, τὰ δ' ὅπλα ἀναλαβόντες
ἐξέθεον τῶν ἄλλων συμμάχων προθυμότερον ὡς ἢ μόνοι πολεμήσοντες
ἢ προαγωνιούμενοι πάντων· ὁ γὰρ προλαβών τινα δωρεὰν προθυμότερος
εἰς συμμαχίαν, ἀποτίνειν ἀναγκαῖον ὄφλημα νομίζων, οὐ χαρίζεσθαι.
τὰ μὲν δὴ κατὰ τὴν βασιλείαν πεπραγμένα αὐτῷ μεμήνυται· λεκτέον 334
δ' ἑξῆς καὶ ὅσα διὰ τῆς ἀρχιερωσύνης καὶ νομοθετικῆς κατώρθωσε· καὶ
γὰρ ταύτας περιεποιήσατο τὰς δυνάμεις ὡς ἁρμοττούσας μάλιστα
βασιλείᾳ.

1 μηδὲν] μηδεὶς Z 2 προκαταληφθέντες (η ex ει corr.) Z, προκαταλειφθέντες (η supra ει) A, προκαταλειφθέντες P δὲ A βλέμματι] ὄμματι VO, ὄμματι (βλέμματι supra) K πραότερον FG, πρότερον BEMA 3 μένουσιν C 3. 4 ὑπολίπεσθε OKZ, ὑπολείπεσθαι MG 5 μετὰ] πρὸς G ἄλλων] ὅλων BEMAF ἐντεταγμένοι KZ 6 δέοι (η supra) A δ' om. VO 7 εἰς ante τὴν add. P post κεκρατηκότες repet. τὴν χώραν Z 8 διανείμωνται FGHP: διανεμοῦνται V²O, διανέμωνται ceteri καὶ] αὖθις (paene evan.) Z ἐπανελεύεσθε M 8. 9 ἐπιβαλόντων MKZ 9 ἀπολαύσαντες KZ, ἀποβάλλοντες G 10 pr. καὶ om. M 11 ἀσφαλῶς om. O 12 ἦν om. A ἱδρύοντο A δὲ F 13 μόνον A 14 πάντων Mang.: πάντως codd. προλαβὼν VOFGHP: λαβὼν ceteri προθυμότατος Turn. 15 εἰς συμμαχίαν codd.: εἰς τὴν συμμαχίαν v νομίζων om. BEMA 16 δὴ om. G αὐτοῦ VO μεμόνηται CK, μεμήνυται corr. ex μεμόνηται B; hic desinit C, reliqua suppl. in marg. man. rec. λεκτέα BEMKZ 17 δὲ F ἱεροσύνης G νομικῆς G κατόρθωσε MZ 18 τὰς om. A 19 βασιλεία FGHP: βασιλεῖ ceteri

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΜΩΥΣΕΩΣ ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

1 (1.) Ἡ μὲν προτέρα σύνταξίς ἐστι περὶ γενέσεως τῆς Μωυσέως II p.134 M.
καὶ τροφῆς, ἔτι δὲ παιδείας καὶ ἀρχῆς, ἣν οὐ μόνον ἀνεπιλήπτως ἀλλὰ
καὶ σφόδρα ἐπαινετῶς ἦρξε, καὶ τῶν ἔν τε Αἰγύπτῳ καὶ ταῖς ὁδοιπορίαις
ἐπί τε τῆς ἐρυθρᾶς θαλάσσης καὶ κατὰ τὴν ἐρήμην πεπραγμένων, ἃ
δύναμιν πᾶσαν λόγων ὑπερβάλλει, καὶ προσέτι πόνων οὓς κατώρθωσε
καὶ κληρουχιῶν ἃς ἐκ μέρους ἀπένειμε τοῖς στρατευσαμένοις· ἣν
2 δὲ νυνὶ συντάττομεν, περὶ τῶν ἑπομένων καὶ ἀκολούθων. φασὶ γάρ
τινες οὐκ ἀπὸ σκοποῦ, μόνως ἂν οὕτω τὰς πόλεις ἐπιδοῦναι πρὸς τὸ
βέλτιον, ἐὰν ἢ οἱ βασιλεῖς φιλοσοφήσωσιν ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν.
ὁ δ' ἐκ περιττοῦ φανεῖται μὴ μόνον ταύτας ἐπιδεδειγμένος τὰς δυνάμεις
ἐν ταὐτῷ, τήν τε βασιλικὴν καὶ φιλόσοφον, ἀλλὰ καὶ τρεῖς ἑτέρας, ὧν
ἡ μὲν πραγματεύεται περὶ νομοθεσίαν, ἡ | δὲ περὶ ἀρχιερωσύνην, ἡ δὲ p. 135 M.
3 τελευταία περὶ προφητείαν. περὶ ὧν νυνὶ λέγειν εἱλόμην ἀναγκαίως

---

1. 2 Φίλωνος περὶ τοῦ βίου μωσέως (μωυσέος G) λόγος δεύτερος BEMGH, τοῦ αὐτοῦ περὶ βίου μωσέως λόγος δεύτερος P, φίλωνος ἰουδαίου περὶ βίου μωσέως A, τοῦ αὐτοῦ περὶ τῆς τοῦ μωυσέος νομοθετικῆς F, λόγος δεύτερος VOK 3 προτέρα] πρώτη P μωυσέος HP, μωσέως BEAF 4 ἔτι δὲ VOKF: ἔτι δὲ καὶ ceteri ἣν FGHP: ἡ BEM, ἢ AVOK 5 τε FGHP: om. ceteri 6 πεπραγμένα F 7 πόνων] πολέμων F κατόρθωσε F 8 ἐπένειμε GHP 9 νῦν P καὶ τῶν ἀκολούθων HP (v) 10 μόνως] μόνος Barb., μόνον FH[1]P (Turn.), μόλις G 11 ἢ addidi ἢ οἱ φιλόσοφοι FGHP Barb.: φιλόσοφοί τε ceteri 12 ὅδ' FP, ὅδε K, μωσῆς δ' Barb. φανεῖται GHP Barb. (Turn.): φαίνεται ceteri (Mang.) ἐπιδεδεγμένος M 13 καὶ τὴν φιλόσοφον P 15 εἱλόμην FGHP Barb.: ἑλοίμην BEMAV[1], ἑλοίμην ἂν V[2]OK

9—202.4 Catena Barber. IV 56 fol. 104r Φίλωνος ἑβραίου ἐκ τοῦ περὶ τοῦ μωσέως βίου λόγου δευτέρου: φασι τινὲς — πάσας ἔχει. 11 Plat. Rep. V p. 473d (Epist. VII p. 326b)

ὑπολαβὼν τῷ αὐτῷ πάντ' ἐφαρμόττειν· ἐγένετο γὰρ προνοίᾳ θεοῦ
βασιλεύς τε καὶ νομοθέτης καὶ ἀρχιερεὺς καὶ προφήτης καὶ ἐν ἑκάστῳ
τὰ πρωτεῖα ἠνέγκατο· διὰ τί δὲ τῷ αὐτῷ πάντ' ἐφαρμόττει, δηλωτέον.
βασιλεῖ προσήκει προστάττειν ἃ χρὴ καὶ ἀπαγορεύειν ἃ μὴ χρή· πρόσ- 4
ταξις δὲ τῶν πρακτέων καὶ ἀπαγόρευσις τῶν οὐ πρακτέων ἴδιον νόμου,
ὡς εὐθὺς εἶναι τὸν μὲν βασιλέα νόμον ἔμψυχον, τὸν δὲ νόμον βασιλέα
δίκαιον. βασιλεὺς δὲ καὶ νομοθέτης ὀφείλει μὴ τἀνθρώπεια μόνον ἀλλὰ 5
καὶ τὰ θεῖα συνεπισκοπεῖν· οὐ γὰρ ἄνευ θείας ἐπιφροσύνης κατορθοῦται
τὰ βασιλέων καὶ ὑπηκόων πράγματα· δι' ἣν αἰτίαν ἐδέησε τῷ τοιούτῳ
τῆς πρώτης ἱερωσύνης, ἵν' ἐπὶ τελείοις ἱεροῖς καὶ ἐπιστήμῃ τελείᾳ
τῆς τοῦ θεοῦ θεραπείας ἀποτροπὴν μὲν κακῶν μετουσίαν δ' ἀγαθῶν
αὑτῷ τε καὶ τοῖς ἀρχομένοις αἰτῆται παρὰ τοῦ ἵλεω καὶ ταῖς εὐχαῖς
συνεπινεύοντος· πῶς γὰρ οὐ τελεσφορήσει τὰς εὐχὰς ὁ καὶ ἐκ φύσεως
εὐμενὴς καὶ τοὺς γνησίως θεραπεύοντας αὐτὸν προνομίας ἀξιῶν; ἀλλ' 6
ἐπειδὴ μυρία καὶ βασιλεῖ καὶ νομοθέτῃ καὶ ἀρχιερεῖ τῶν ἀνθρωπείων
καὶ θείων ἄδηλα — γενητὸς γὰρ οὐδὲν ἧττον καὶ θνητός ἐστιν, εἰ καὶ
τοσοῦτον καὶ οὕτως ἄφθονον περιβέβληται κλῆρον εὐπραγιῶν —, ἀναγ-
καίως καὶ προφητείας ἔτυχεν, ἵν' ὅσα μὴ λογισμῷ δύναται κατα-
λαμβάνειν, ταῦτα προνοίᾳ θεοῦ εὕροι· ὧν γὰρ ὁ νοῦς ἀπολείπεται, πρὸς
ταῦθ' ἡ προφητεία φθάνει. καλή γε ἡ συζυγία καὶ παναρμόνιος τῶν 7
τεττάρων δυνάμεων· ἐμπλεκόμεναι γὰρ καὶ ἀλλήλων ἐχόμεναι

1 ὑπολαβὼν codd.: ὑπέλαβον Barb. (v) post ὑπολαβὼν add. γὰρ GHP Barb. (v) τῷ αὐτῷ om. M ἐγένετο γὰρ] εἰ ἐγένετο GHP Barb. (v) 2 καὶ νομοθέτης om. G 3 ἠνέγκετο K δ' αὐτῷ (om. τῷ) VOK 4 προσήκει om. M 6 μὲν om. F, μὲν — τὸν δὲ νόμον om. A ἔμψυχον νόμον transp. Barb. D 7 τὰ ἀνθρώπεια GH, τὰ ἀνθρώπινα AD 8 post κατορθοῦται add. ποτὲ F 9 τὰ τῶν βασιλέων F 10 ἱερωσύνης] ἐπιφροσύνης G καὶ add. ante ἱεροῖς VOK 11 τοῦ om. BEMA δὲ VOKG 12 αὑτῷ AVOH^{2}P: αὐτῷ ceteri αἰτῆσαι M, αἰτήσαι Barb. post ἵλεω add. γένηται Barb. 13 συνεπινεύσαντος FGHP (Turn.) ἐκ φύσεως GHPBarb.: τῇ φύσει ceteri 14 προνομίας] προνοίας BEMA (prob. Mang.) ἀξιοῦντος A 16 καὶ θείων om. BEMA γεννητὸς VOKG ἐστὶ καὶ θνητὸς transp. Barb. 17 τοσούτων F καὶ eras. V, om. K οὕτως] οὗτος V^{2}OK 18 ἵνα G λογισμῷ μὴ transp. A λογισμῷ BEMA: λογισμῷ θείῳ ceteri δύναται BEMA: δύνηται ceteri 19 ταῦτα — εὕροι (εὕρῃ) BEMA: om. ceteri εὕροι A: εὕρῃ BEM ὧν γὰρ] ἃ μὲν γὰρ BEMA, καὶ ὧνπερ V^{2}OK 19. 20 πρὸς ταῦθ' ἡ] πρὸ ταύτης BEMA 20 προφητείαν A $\overset{\eta}{\text{φθάνει}}$ O, δίδωσι BEMA γε] δὲ BEMAF ἡ συζυγία] ἡσυχία M 21 ἀλλήλων ἐχόμεναι FGHP Barb.: ἀλλήλαις ἑπόμεναι ceteri

4—8 D^R fol. 114^r Φίλωνος ἐκ τοῦ περὶ μωσέως βίου: βασιλεῖ — συνεπισκοπεῖν.

συγχορεύουσι τὰς ὠφελείας ἀντιλαμβάνουσαί τε καὶ ἀντεκτίνουσαι, μιμούμεναι τὰς παρθένους Χάριτας, αἷς μὴ διαζεύγνυσθαι νόμος φύσεως ἀκίνητος· ἐφ᾽ ὧν δεόντως εἴποι τις ἄν, ὃ καὶ ἐπὶ τῶν ἀρετῶν εἴωθε λέγεσθαι, ὅτι ὁ μίαν ἔχων καὶ πάσας ἔχει.

8 (2.) Ῥητέον δὲ πρῶτον περὶ τῶν κατὰ τὴν νομοθετικὴν ἕξιν. οὐκ ἀγνοῶ μὲν οὖν, ὅτι τῷ μέλλοντι ἀρίστῳ γενήσεσθαι νομοθέτῃ προσήκει παντελέσι καὶ ὁλοκλήροις κεχρῆσθαι ταῖς ἀρεταῖς πάσαις· ἐπεὶ δὲ κἀν ταῖς οἰκίαις οἱ μὲν ἐγγυτάτω γένους εἰσίν, οἱ δὲ πόρρω, συγγενεῖς δὲ πάντες ἀλλήλων, καὶ τῶν ἀρετῶν τὰς μὲν προσπεφυκέναι

9 νομιστέον μᾶλλον ἐνίοις πράγμασι, τὰς δ᾽ ἧττον ᾠκειῶσθαι. | νομοθετικῇ δ᾽ p. 136 M. ἀδελφὰ καὶ συγγενῆ τέτταρα ταυτὶ διαφερόντως ἐστί· τὸ φιλάνθρωπον, τὸ φιλοδίκαιον, τὸ φιλάγαθον, τὸ μισοπόνηρον· ὑπὸ γὰρ τούτων ἑκάστου παρακαλεῖται πᾶς, ὅτῳ ζῆλος εἰσέρχεται τοῦ νομοθετεῖν, φιλανθρωπίας μὲν εἰς μέσον προτιθέναι τὰς κοινωφελεῖς γνώμας ἀναδιδασκούσης, δικαιοσύνης δὲ ὡς ἰσότητα τιμητέον καὶ ὡς τὸ κατ᾽ ἀξίαν ἀπονεμητέον ἑκάστοις, φιλαγαθίας δ᾽ ἀποδέχεσθαι τὰ φύσει καλὰ καὶ παρέχειν ἅπασι τοῖς ἀξίοις ἀταμίευτα πρὸς ἀφθονωτάτην χρῆσιν, μισοπονηρίας δὲ προβεβλῆσθαι τοὺς ἀτιμάζοντας ἀρετὴν καὶ ὡς κοινοὺς δυσμενεῖς τοῦ τῶν ἀνθρώπων γένους ὑποβλέπεσθαι.

10 μέγα μὲν οὖν, εἴ τῳ καὶ ἕν τι τῶν λεχθέντων λαβεῖν ἐγένετο, θαυμαστὸν δ᾽ ὡς ἔοικε τούτων ἀθρόων περιδράξασθαι δυνηθῆναι, οὗ μόνος Μωυσῆς ἐφικέσθαι δοκεῖ τρανώσας εὖ μάλα τὰς εἰρημένας ἀρετὰς ἐν οἷς διετάξατο.

1 συγχωρεύουσι M   ἀναλαμβάνουσαι Barb.   τε FGHP Barb.: om. ceteri ἀντεκτείνουσαι BMAV[1]   1. 2 μιμούμεναι FGHP Barb.: μιμούμεναί τε ceteri 2 αἷς] αἳ G   διαζεύγνυσθαι GHP Barb.: διεζεῦχθαι ceteri   3 δεόντος G εἴπῃ G   4 ὅτι] διότι VOK Barb.   6 ἀγνοῶ μὲν] ἀγνοῶμεν F, ἀγνοοῦμεν A 7 χρῆσθαι G   πάσαις FGHP Barb.: om. ceteri   8 ἐπεὶ δὲ] ἐπειδὴ FGHP Barb. (v)   κἀν BEVA Barb.: κἂν ceteri   οἰκείαις FG   9 δὲ om. H[1]P ἀλλήλοις H[1]P   10 μᾶλλον νομιστέον transp. O   ἐνίοις FGHP Barb.: ἐν τοῖς ceteri   πράγμασιν. ἃς FG Barb.   alt. δ᾽] δὲ AVOK   11 τέτταρα ταυτὶ FGHP Barb.: παρὰ ταῦτα BEMAV[1], παρὰ πάντα V[2]OK   11. 12 τὸ φιλοδίκαιον, τὸ φιλάνθρωπον transp. K   13 τοῦ νομοθετεῖν FGHP Barb.: τοῦ νομοθέτου ceteri 15 καὶ — ἑκάστοις om. A   τὸ om. BEMV[1]K, τὸ προσῆκον V[2]O ἑκάστοις ἀπονεμητέον transp. BEM   δὲ AVOK   16 πᾶσι A 18 δυσμενεῖς om. H[1]P[1]   τοῦ τῶν om. GHP[1] Barb.   ὑποβλέπεσθαι GHP Barb.: ὑποβεβλῆσθαι ceteri   19 ἓν ≡ V (ἑνὸς V[1]?)   τι FGHP Barb.: om. ceteri   20 δὲ AK   ἀθρόον GH[2], ἀθρόως VOK   τινὰ ante δυνηθῆναι add. V[2]OK   οὗ] ὧν V[2]OK   20. 21 ἐφικέσθαι μωυσῆς transp. Barb. 21 εἰρημένας GHP Barb.: προειρημένας ceteri

4 Diog. La. VII 125 .... τὰς δ᾽ ἀρετὰς λέγουσιν (Στωικοὶ) ἀντακολουθεῖν ἀλλήλαις καὶ τὸν μίαν ἔχοντα πάσας ἔχειν.   6—204,3 Catena Barber. IV 56 fol. 105[r] ἐκ τοῦ περὶ τοῦ μωσέως β΄ λόγου ὅτι ἄριστός ἐστι νομοθέτης: τῷ γὰρ μέλλοντι — ἐκτετιμηκότων.

συνίσασι δ' οἱ ταῖς ἱεραῖς βίβλοις ἐντυγχάνοντες, ἃς οὐκ ἄν, εἰ μὴ τοιοῦτος 11
ἐπεφύκει, συνέγραψεν ὑφηγησαμένου θεοῦ καὶ παρέδωκε τοῖς ἀξίοις
χρῆσθαι, κτημάτων τὸ κάλλιστον, τῶν ἀγαλματοφορουμένων ἐν τῇ ψυχῇ
παραδειγμάτων ἀπεικονίσματα καὶ μιμήματα, ἃ καὶ οἱ δηλωθέντες νόμοι
γεγόνασι σαφέστατα τὰς λεχθείσας ἐμφαίνοντες ἀρετάς.

(3.) Ὅτι δ' αὐτός τε νομοθετῶν ἄριστος τῶν πανταχοῦ πάντων, 12
ὅσοι παρ' Ἕλλησιν ἢ βαρβάροις ἐγένοντο, καὶ οἱ νόμοι κάλλιστοι καὶ
ὡς ἀληθῶς θεῖοι μηδὲν ὧν χρὴ παραλιπόντες, ἐναργεστάτη πίστις ἥδε·
τὰ μὲν τῶν ἄλλων νόμιμα εἴ τις ἐπίοι τῷ λογισμῷ, διὰ μυρίας προ- 13
φάσεις εὑρήσει κεκινημένα, πολέμοις ἢ τυραννίσιν ἤ τισιν ἄλλοις ἀβου-
λήτοις, ἃ νεωτερισμῷ τύχης κατασκήπτει· πολλάκις δὲ καὶ τρυφὴ πλεο-
νάσασα χορηγίαις καὶ περιουσίαις ἀφθόνοις καθεῖλε νόμους, „τὰ λίαν
ἀγαθὰ“ τῶν πολλῶν φέρειν οὐ δυναμένων, ἀλλὰ διὰ κόρον ἐξυβριζόντων·
ὕβρις δ' ἀντίπαλον νόμῳ. τὰ δὲ τούτου μόνου βέβαια, ἀσάλευτα, ἀκρά- 14
δαντα, καθάπερ σφραγῖσι φύσεως αὐτῆς σεσημασμένα, μένει παγίως ἀφ'
ἧς ἡμέρας ἐγράφη μέχρι νῦν καὶ πρὸς τὸν ἔπειτα πάντα διαμενεῖν ἐλπὶς
αὐτὰ αἰῶνα ὥσπερ ἀθάνατα, ἕως ἂν ἥλιος καὶ σελήνη καὶ ὁ σύμπας
οὐρανός τε καὶ κόσμος ᾖ. τοσαύταις γοῦν χρησαμένου τοῦ ἔθνους μετα- 15

1 δὲ AK ἃς] ὡς L (Turn.) 2 συνέγραψαν K ὑφηγησαμένου FGHP Barb.: ὑφηγητέον ἡγησαμένου ceteri παρέδωκε BEMAF: παραδέδωκε ceteri 4 ὧν ante ἀπεικονίσματα add. FGHP Barb. ἃ καὶ om. FGHP Barb. οἱ FGHP Barb.: om. ceteri 6 δὲ VOK 9 εἴ τις] ὅστις BEMAF
ϊ
ἐπίῃ V²OHP (v), ἐπίει K τῶν λογισμῶν K 10 εὑρήσκει (sic) G 11. 12 πλεονάσασα om. H¹P 12 τὰ λίαν om. BEMA, spat. 6 litt. BEM 13 ἀλλὰ καὶ F ὑβριζόντων BEMA, ἐνυβριζόντων O 14 δὲ VOK ἀντίπαλος K νόμω GHP Barb.: νόμου ceteri μόνον BEMVOK 15 καθάπερ — μένει om. F σεσημειωμένα BEMA 16 πάντα om BEMA διαμενεῖν BEMA: διαμένειν ceteri 17 ἂν FGHP Barb.: om. ceteri 18 γοῦν] οὖν Barb., om. A

12. 13 v. sup. p. 31,2 14 sqq. cf. *Evang. Matth. V 18* ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. *Evang. Luc. XVI 17* εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. *Ioseph. Ant. Iud. III 223* οὓς (νόμους) κρείττονας ἢ κατὰ σύνεσιν ἀνθρωπίνην ὄντας εἰς τὸν ἅπαντα βεβαίως αἰῶνα συνέβη φυλαχθῆναι δωρεὰν εἶναι δόξαντας τοῦ θεοῦ, ὡς μήτ' ἐν εἰρήνῃ ὑπὸ τρυφῆς μήτ' ἐν πολέμῳ κατ' ἀνάγκην Ἑβραίους παραβῆναί τινα τῶν νόμων. *Contra Apionen II 277* . . . οὐ μὴν καὶ παρ' ἡμῖν, ἀλλὰ κἂν πλούτου καὶ πόλεων καὶ τῶν ἄλλων ἀγαθῶν στερηθῶμεν, ὁ γοῦν νόμος ἡμῖν ἀθάνατος διαμένει· καὶ οὐδεὶς Ἰουδαίων οὔτε μακρὰν οὕτως ἂν ἀπέλθοι τῆς πατρίδος οὔτε πικρὸν φοβήσεται δεσπότην, ὡς μὴ πρὸ ἐκείνου δεδιέναι τὸν νόμον. (278) εἰ μὲν οὖν διὰ τὴν ἀρετὴν τῶν νόμων οὕτω πρὸς αὐτοὺς διακείμεθα, συγχωρησάτωσαν ὅτι κρατίστους ἔχομεν νόμους. cf. I 42.

βολαῖς κατά τε εὐπραγίας καὶ τοὐναντίον, οὐδὲν ἀλλ' οὐδὲ τὸ μικρότατον
τῶν | διατεταγμένων ἐκινήθη, πάντων ὡς ἔοικε τὸ σεμνὸν καὶ θεοπρεπὲς p. 137 M.
16 αὐτῶν ἐκτετιμηκότων. ἃ δὲ μὴ λιμὸς ἢ λοιμὸς ἢ πόλεμος ἢ βασιλεὺς
ἢ τύραννος ἢ ψυχῆς ἢ σώματος ἢ παθῶν ἢ κακιῶν ἐπανάστασις ἤ τι
ἄλλο θεήλατον ἢ ἀνθρώπειον κακὸν ἔλυσε, πῶς οὐ περιμάχητα καὶ
17 παντὸς λόγου κρείττονα καθέστηκεν; (4.) ἀλλ' οὔπω τοῦτο θαυμαστόν,
καίτοι μέγα καὶ αὐτὸ δεόντως ἂν νομισθέν, τὸ ἐξ ἅπαντος τοῦ χρόνου
πεφυλάχθαι τοὺς νόμους ἐν βεβαίῳ· ἀλλ' ἐκεῖνο θαυμασιώτερον, ὡς
ἔοικε, τὸ μὴ μόνον Ἰουδαίους ἀλλὰ καὶ τοὺς ἄλλους σχεδὸν ἅπαντας
καὶ μάλιστα οἷς ἀρετῆς πλείων λόγος πρὸς τὴν ἀποδοχὴν αὐτῶν καὶ
τιμὴν ὡσιῶσθαι· γέρας γὰρ τοῦτ' ἔλαχον ἐξαίρετον, ὃ μηδενὶ πρόσεστιν
18 ἑτέρῳ. σημεῖον δέ· τῶν κατὰ τὴν Ἑλλάδα καὶ βάρβαρον, ὡς ἔπος
εἰπεῖν, οὐδεμία πόλις ἐστίν, ἣ τὰ ἑτέρας νόμιμα τιμᾷ, μόλις δὲ καὶ τῶν
αὑτῆς εἰς ἀεὶ περιέχεται, πρὸς τὰς τῶν καιρῶν καὶ τῶν πραγμάτων
19 μεθαρμοζομένη τροπάς. Ἀθηναῖοι τὰ Λακεδαιμονίων ἔθη καὶ νόμιμα
προβέβληνται καὶ Λακεδαιμόνιοι τὰ Ἀθηναίων· ἀλλ' οὐδὲ κατὰ τὴν
βάρβαρον Αἰγύπτιοι τοὺς Σκυθῶν νόμους φυλάττουσιν ἢ Σκύθαι τοὺς
Αἰγυπτίων ἢ συνελόντι φράσαι τοὺς τῶν κατ' Εὐρώπην οἱ τὴν Ἀσίαν
οἰκοῦντες ἢ τοὺς τῶν Ἀσιανῶν ἐθνῶν οἱ ἐν Εὐρώπῃ· ἀλλὰ σχεδὸν οἱ
ἀφ' ἡλίου ἀνιόντος ἄχρι δυομένου, πᾶσα χώρα καὶ ἔθνος καὶ πόλις,
τῶν ξενικῶν νομίμων ἀλλοτριοῦνται καὶ οἴονται τὴν τῶν οἰκείων ἀπο-
20 δοχήν, εἰ τὰ παρὰ τοῖς ἄλλοις ἀτιμάζοιεν, συναυξήσειν. ἀλλ' οὐχ
ὧδ' ἔχει τὰ ἡμέτερα· πάντας γὰρ ἐπάγεται καὶ συνεπιστρέφει, βαρβάρους,

1 σμικρότατον VOK 2 πάντων] πάντως M 3 μὴ scripsi: δὴ F, μήτε ceteri (v) λιμὸς ἢ om. VOK 4 κακῶν A ἐπαναστάσεις A 5 ἢ om. GH οὐ περιμάχητα FGHP: οὐχ ὑπερμάχητα ceteri 7 καὶ ante καθ' add. F ἑαυτὸ VOK δεόντως ἂν] οὕτω BEMA, οὕτως ἂν V¹, οὕτως εἶναι V²OK 8. 9 ὡς ἔοικε θαυμασιώτερον transp. VOK Barb. 10 μάλισθ' Barb. 11 τοῦτο K ἔλαχον FGHP Barb.: ἔλαχεν ceteri 13 ἑτέρου VOK 14 αὐτῆς BEMV¹K Barb. εἰς ἀεὶ om. A alt. τῶν GHP Barb.: om ceteri 16 προβέβληται G, προβάλλονται HP οὐδὲ FHP: οὐδ' οἱ VOKG, οὐχὶ BEMA 16. 17 κατὰ τὴν βάρβαρον] καὶ τὰ τῶν βαρβάρων A, βαρβάρων etiam E 17 σκυθικῶν K φυλάσσουσιν VK alt. τοὺς] τῶν F 18 συνελόντα BEMA φάναι O, γρ. φράσαι mg. O τῶν om. GO 19 ἐθῶν A alt. οἱ] ἡ G, om. VOKF 20 ἄχρι καὶ δυομένου A 22 παρ' ἄλλοις BEMA ἀτιμάζοιε BEMHP 23 ὧδ' ἔχει τὰ ἡμέτερα G Barb.: ὧδε τὰ ἡμέτερα ἔχει HP (v), οὕτως ἔχει τὰ ἡμέτερα ceteri

6—15 pergit Barb. IV 56: καὶ μετ' ὀλίγα: ἀλλ' οὔπω — τροπάς. 22—205,3 pergit Barb. IV 56: καὶ μετὰ μικρά: ἀλλ' οὐχ — ἐκτετίμηκε. 23 sqq. *Ioseph. contra Apionem II 280* ὑφ' ἡμῶν τε διηλέγχθησαν οἱ νόμοι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις

Ἕλληνας, ἠπειρώτας, νησιώτας, ἔθνη τὰ ἑῷα, τὰ ἑσπέρια, Εὐρώπην,
Ἀσίαν, ἅπασαν τὴν οἰκουμένην ἀπὸ περάτων ἐπὶ πέρατα. τίς γὰρ τὴν 21
ἱερὰν ἐκείνην ἑβδόμην οὐκ ἐκτετίμηκεν, ἄνεσιν πόνων καὶ ῥᾳστώνην
αὑτῷ τε καὶ τοῖς πλησιάζουσιν, οὐκ ἐλευθέροις μόνον ἀλλὰ καὶ δούλοις,
μᾶλλον δὲ καὶ ὑποζυγίοις διδούς; φθάνει γὰρ ἡ ἐκεχειρία καὶ πρὸς 22
πᾶσαν ἀγέλην καὶ ὅσα πρὸς ὑπηρεσίαν γέγονεν ἀνθρώπου καθάπερ
δοῦλα θεραπεύοντα τὸν φύσει δεσπότην, φθάνει καὶ πρὸς δένδρων καὶ
φυτῶν ἅπασαν ἰδέαν· οὐ γὰρ ἔρνος, οὐ κλάδον, ἀλλ' οὐδὲ πέταλον
ἐφεῖται τεμεῖν ἢ καρπὸν ὁντινοῦν δρέψασθαι, πάντων διαφειμένων κατ'
p. 138 M. ἐκείνην | τὴν ἡμέραν καὶ ὥσπερ ἐλευθερίαν ἀγόντων, κοινῷ κηρύγματι
μηδενὸς ἐπιψαύοντος. τίς δὲ τὴν λεγομένην νηστείαν οὐ τέθηπε καὶ 23
προσκυνεῖ δι' ἔτους ἀγομένην τῆς ἱερομηνίας αὐστηρότερον καὶ σεμνότερον τρόπον; ἐν ᾗ μὲν γὰρ πολὺς ἄκρατος καὶ τράπεζαι πολυτελεῖς καὶ ὅσα περὶ ἐδωδὴν καὶ πόσιν ἄφθονα πάντα, δι' ὧν αἱ ἀκόρεστοι γαστρὸς ἡδοναὶ συναύξονται προσαναρρηγνῦσαι καὶ τὰς ὑπογαστρίους
ἐπιθυμίας· ἐν ᾗ δ' οὐ σιτίον, οὐ ποτὸν ἔξεστι προσενέγκασθαι, 24
καθαραῖς ὅπως διανοίαις, μηδενὸς ἐνοχλοῦντος μηδ' ἐμποδίζοντος σωματικοῦ πάθους, ὁποῖα φιλεῖ συμβαίνειν ἐκ πλησμονῆς, ἑορτάζωσιν ἱλασκόμενοι τὸν πατέρα τοῦ παντὸς αἰσίοις εὐχαῖς, δι' ὧν ἀμνηστίαν μὲν παλαιῶν ἁμαρτημάτων, κτῆσιν δὲ καὶ ἀπόλαυσιν νέων ἀγαθῶν εἰώθασιν αἰτεῖσθαι.

---

3 ἐκείνην GHP: om ceteri ἐκτετίμηκας K πόνων ἄνεσιν transp. VOK 4 αὐτῷ BEMFH^{1}K 5 ἐκκεχειρία VKAGH^{2} alt. καὶ GHP: om. ceteri 6 πᾶσαν om. G 7 θεραπεύοντα GHP: θεραπεύσαντα V^{2}O, θεραπεύσοντα ceteri φύσει] ἴδιον A 8 ἀλλ' om. A 9 ὀντιναοῦν V^{2}OK διαφειμένων post ἡμέραν (10) transp. VOK 10 διαγόντων VOK κοινῷ — ἐπιψαύοντος (11) om. VOK 11 νηστείαν] ἑστίαν HP, νηστείαν mg. H^{2} 12 post προσκυνεῖ add. μάλιστα G, καὶ μάλιστα FHP (v) ἀγομένης VOK 13 ᾗ GHP: ἧς F, αἷς ceteri τράπεζα πολυτελὴς HP (Turn.) 14 ἀκόραστοι M; ἀκόλαστοι coni. Mang. 15 προσαναρρηγνῦσθαι K τὰς om. M. 16 δὲ VOK 17 ὅπως] ἁπλῶς V^{2}OK μηδὲ παρεμποδίζοντος P 18 ἑορτάζουσιν VOKFH^{1}P 19 αἰσίαις MO ἀμνηστίαν codd.: ἀμνηστείαν v 21 εἰώθασιν om. F

ἀεὶ καὶ μᾶλλον αὐτῶν ζῆλον ἐμπεποιήκασι. . . . . (282) οὐ μὴν ἀλλὰ καὶ πλήθεσιν ἤδη πολὺς ζῆλος γέγονεν ἐκ μακροῦ τῆς ἡμετέρας εὐσεβείας. οὐδ' ἔστιν οὐ πόλις Ἑλλήνων οὐδ' ἡτισοῦν οὐδὲ βάρβαρος οὐδὲ ἓν ἔθνος, ἔνθα μὴ τὸ τῆς ἑβδομάδος, ἣν ἀργοῦμεν ἡμεῖς, ἔθος οὐ διαπεφοίτηκε καὶ αἱ νηστεῖαι καὶ λύχνων ἀνακαύσεις καὶ πολλὰ τῶν εἰς βρῶσιν ἡμῖν οὐ νενομισμένων παρατετήρηται.
11—13 pergit Barb. IV 56: καὶ πάλιν: τίς δὲ — τρόπον.

25 (5.) Τὸ δὲ τῆς νομοθεσίας ἱεροπρεπὲς ὡς οὐ παρ' Ἰουδαίοις μόνον
ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τεθαύμασται, δῆλον ἔκ τε τῶν εἰρη-
26 μένων ἤδη κἀκ τῶν μελλόντων λέγεσθαι. τὸ παλαιὸν ἐγράφησαν οἱ
νόμοι γλώσσῃ Χαλδαϊκῇ καὶ μέχρι πολλοῦ διέμειναν ἐν ὁμοίῳ τὴν διά-
λεκτον οὐ μεταβάλλοντες, ἕως μήπω τὸ κάλλος εἰς τοὺς ἄλλους
27 ἀνθρώπους ἀνέφηναν αὐτῶν. ἐπεὶ δὲ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν
συνεχοῦς μελέτης καὶ ἀσκήσεως τῶν χρωμένων αἴσθησις ἐγένετο καὶ
ἑτέροις καὶ τὸ κλέος ἐφοίτα πανταχόσε — τὰ γὰρ καλὰ κἂν φθόνῳ
πρὸς ὀλίγον ἐπισκιασθῇ χρόνον, ἐπὶ καιρῶν αὖθις ἀναλάμπει φύσεως
εὐμενείᾳ —, δεινὸν ἡγησάμενοί τινες, εἰ οἱ νόμοι παρὰ τῷ ἡμίσει
τμήματι τοῦ γένους ἀνθρώπων ἐξετασθήσονται μόνῳ τῷ βαρβαρικῷ, τὸ
δ' Ἑλληνικὸν εἰς ἅπαν ἀμοιρήσει, πρὸς ἑρμηνείαν τὴν τούτων ἐτράποντο.
28 τὸ δ' ἔργον ἐπεὶ καὶ μέγα ἦν καὶ κοινωφελές, οὐκ ἰδιώταις οὐδ' ἄρχουσιν,
ὧν πολὺς ἀριθμός, ἀλλὰ βασιλεῦσι καὶ βασιλέων ἀνετέθη τῷ δοκιμωτάτῳ.
29 Πτολεμαῖος ὁ Φιλάδελφος ἐπικληθεὶς τρίτος μὲν ἦν ἀπ' Ἀλεξάνδρου
τοῦ τὴν Αἴγυπτον παραλαβόντος, ἀρεταῖς δὲ ταῖς ἐν ἡγεμονίᾳ πάντων,
οὐχὶ τῶν καθ' αὑτὸν μόνον, | ἀλλὰ καὶ τῶν πάλαι πώποτε γεγενημένων p. 139 M.
ἄριστος, οὗ καὶ μέχρι νῦν τοσαύταις ὕστερον γενεαῖς ᾄδεται τὸ κλέος
πολλὰ δείγματα καὶ μνημεῖα τῆς μεγαλοφροσύνης κατὰ πόλεις καὶ χώρας
ἀπολιπόντος, ὡς ἤδη καὶ ἐν παροιμίας εἴδει τὰς ὑπερόγκους φιλοτιμίας

1 νομοθέσεως K   παρὰ VK   4 γλώττῃ Barb.   5 μεταβαλόντις V²OK   τὸ κάλλος εἰς om. Barb.   5. 6 τοῖς ἄλλοις ἀνθρώποις Barb.   6 ἀνέφηναν GHP Barb.: ἀνέφηνεν F, ἐνέφηναν ceteri   αὐτῶν AV²O: αὐτοὺς Barb., αὐτῶν ceteri δ' A Barb.   7 ἐγίνετο VOKF Barb.   9 ἐπὶ καιρῶν F Barb.: ἐπὶ καιρῷ D Max., ἐπὶ καιρὸν ceteri   ante αὖθις add. λυθεὶς D^M, λυθέντα D^P Max., λυθὲν Barocc.   10 εὐγενείᾳ BEMA Barb.   11 γένους ἀνθρώπων F Barb.: ἀνθρώπων γένους ceteri; τοῦ ἀνθρώπων γένους om. in textu H, add. mg. H   12 εἰσάπαν A   13 οὐδ'] οὐκ BEMA   14 πολὺς] ὁ πολὺς FP Barb., οὐ πολὺς GH (v)   ἀνετέθη] ἀνε-τέους K   15 ἦν BEMA: ἦν τῶν ceteri   ἀπὸ BEMAF   16 τοῦ BEMA: om. ceteri   παραλαβόντος BEMA: παραλαβόντα Barb., παραλαβόντων ceteri   17 pr. τῶν] τὸν G   ἀλλὰ om. V¹, suppl. V²   πάλαι om. Barb.   18 ἄδετε G

1—210,3 pergit Barb. IV 56: καὶ μετά τινα: τὸ δὲ — ἐπίσης δείκνυνται.
8—9 D^P fol. 354^v D^M fol. 265^v Φίλωνος ἐκ τῆς τῶν νόμων ἀλληγορίας Mel. Barocc. fol. 222^v Max. Ecl. cap. 54 Φίλωνος: τὰ καλὰ — ἀναλάμπει.   15—16 *Io. Laur. Lydus de mens. IV 47* (p. 103,22 Wuensch) λέγει δὲ ὁ αὐτὸς Φίλων καὶ περὶ τῶν συγγραμμάτων τοῦ Μωυσέως, ὅτι ὑπ' αὐτοῦ μὲν τῇ Χαλδαϊκῇ γλώττῃ ἐγράφη, ὕστερον δὲ ὑπὸ Πτολεμαίου εἰς τὴν Ἑλλάδα μετεφράσθη, ὃς τρίτος ἦν τῶν ἀπ' Ἀλεξάνδρου τὴν Αἴγυπτον παραλαβόντων, Φιλάδελφος ἐπικεκλημένος.

καὶ μεγάλας κατασκευὰς Φιλαδελφείους ἀπ' ἐκείνου καλεῖσθαι. συνόλως 30
μὲν οὖν ἡ τῶν Πτολεμαίων οἰκία διαφερόντως παρὰ τὰς ἄλλας βασιλείας
ἤκμασεν, ἐν δὲ τοῖς Πτολεμαίοις ὁ Φιλάδελφος· ὅσα γὰρ εἷς ἔδρασεν
οὗτος ἐπαινετά, μόλις ἐκεῖνοι πάντες ἀθρόοι διεπράξαντο, γενόμενος
καθάπερ ἐν ζῴῳ τὸ ἡγεμονεῦον κεφαλὴ τρόπον τινὰ τῶν βασιλέων.
(6.) ὁ δὴ τοιοῦτος ζῆλον καὶ πόθον λαβὼν τῆς νομοθεσίας ἡμῶν εἰς 31
Ἑλλάδα γλῶτταν τὴν Χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο καὶ πρέσβεις
εὐθὺς ἐξέπεμπε πρὸς τὸν τῆς Ἰουδαίας ἀρχιερέα καὶ βασιλέα — ὁ γὰρ
αὐτὸς ἦν — τό τε βούλημα δηλῶν καὶ προτρέπων ἀριστίνδην ἑλέσθαι
τοὺς τὸν νόμον διερμηνεύσοντας. ὁ δ' οἷα εἰκὸς ἡσθεὶς καὶ νομίσας 32
οὐκ ἄνευ θείας ἐπιφροσύνης περὶ τὸ τοιοῦτον ἔργον ἐσπουδακέναι τὸν
βασιλέα, σκεψάμενος τοὺς παρ' αὐτῷ δοκιμωτάτους Ἑβραίων, οἳ πρὸς
τῇ πατρίῳ καὶ τὴν Ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, ἄσμενος ἀποστέλλει.
ὡς δ' ἧκον, ἐπὶ ξενίαν κληθέντες λόγοις ἀστείοις καὶ σπουδαίοις τὸν 33
ἑστιάτορα εὐώχουν ἀντεφεστιῶντες· ὁ μὲν γὰρ ἀπεπειρᾶτο τῆς ἑκάστου
σοφίας καινὰς ἀλλ' οὐ τὰς ἐν ἔθει ζητήσεις προτείνων, οἱ δ' εὐστόχως
καὶ εὐθυβόλως, οὐκ ἐπιτρέποντος μακρηγορεῖν τοῦ καιροῦ, καθάπερ
ἀποφθεγγόμενοι τὰ προταθέντα διελύοντο. δοκιμασθέντες δ' εὐθὺς 34
ἤρξαντο τὰ τῆς καλῆς πρεσβείας ἀποτελεῖν καὶ λογισάμενοι παρ' αὐτοῖς,
ὅσον εἴη τὸ πρᾶγμα θεσπισθέντας νόμους χρησμοῖς διερμηνεύειν, μήτ'

---

1 φιλαδελφίους G Barb. 2 βασιλείας om. A 3 ὁ om. BEMA 3. 4 οὗτος ἔδρασεν transp. Barb. ἐκεῖνα A 5 τὸ] τῷ G 6 νομοθέσεως K 9 ἀριστίνδην] ἀρίστην δὴν Barb. 10 τοὺς] τὸν G διερμηνεύοντας AV[1] 12 αὐτῷ V[2]OK: αὐτῷ ceteri 13 παιδίαν G 14 ἐπὶ ξενία BEMA, ἐπὶ τὴν ξενίαν VOK ἀστίοις Barb. 15 ἀντεφεστιῶντες F Barb.: ἀνθεστιῶντες ceteri ἀπεπειρᾶτο GHP Barb.: ἐπειρᾶτο ceteri 16 δὲ Barb. 18 προτεθέντα VOKHP Barb. 19 ἤρχοντο FGH[2] Barb., εἵλοντο P (H[1] ut vid.) ἐπιτελεῖν GHP Barb. (v) καὶ GHP Barb.: om. ceteri post λογισάμενοι add. δὲ V[2]OK αὑτοῖς VOKH[2]: αὐτοῖς ceteri 20 θεσπισθέντες G νόμοις F post χρησμοῖς add. θείοις V[2]OK

1 — 5 N fol. 157[r]: συνόλως — τῶν βασιλέων. 6—13 *Nicetae Catena in Psalm.* (Migne P. G. t. 69 Col. 700) Φίλωνος καὶ Ἰουστίνου: . . . . ὅτε δὲ μετὰ Ἀλέξανδρον τὸν Μακεδόνα ὁ Φιλάδελφος Πτολεμαῖος κατ' Αἴγυπτον ἐβασίλευσε, ζῆλον λαβὼν τῆς Ἰουδαίων φιλοσοφίας εἰς Ἑλλάδα γλῶτταν τὴν Χαλδαϊκὴν μεθαρμόζεσθαι διενοεῖτο καὶ πρέσβεις εὐθὺς ἐξέπεμπε πρὸς Ἀζαρίαν τὸν τότε τῆς Ἰουδαίας ἀρχιερέα, τὸ βούλημά τε δηλῶν καὶ προτρέπων ἀριστίνδην ἑλέσθαι τὸν νόμον διερμηνεύσοντας. ὁ δὲ ἀρχιερεὺς οἷα εἰκὸς ἡσθεὶς καὶ νομίσας οὐκ ἄνευ θείας ἐπιφροσύνης περὶ τὸ τοιοῦτον ἔργον ἐσπουδακέναι τὸν βασιλέα, σκεψάμενος τοὺς παρ' αὐτῷ δοκιμωτάτους Ἑβραίων, οἳ πρὸς τῇ πατρίῳ καὶ τὴν Ἑλληνικὴν ἐπεπαίδευντο παιδείαν, καὶ ἐξ ἑκάστης τῶν δώδεκα φυλῶν ἓξ ἄνδρας ἐπιλεξάμενος ἄσμενος ἀποστέλλει. 15 ἀντεφεστιῶντες e Plat. Tim. p. 17[b].

ἀφελεῖν τι μήτε προσθεῖναι ἢ μεταθεῖναι δυναμένους, ἀλλὰ τὴν ἐξ ἀρχῆς
ἰδέαν καὶ τὸν τύπον αὐτῶν διαφυλάττοντας, ἐσκόπουν τὸ καθαρώτατον
τῶν περὶ τὸν τόπον χωρίων ἔξω πόλεως· τὰ γὰρ ἐντὸς τείχους ἅτε
παντοδαπῶν πεπληθότα ζῴων διὰ νόσους καὶ τελευτὰς καὶ τὰς ὑγιαι-
35 νόντων οὐκ εὐαγεῖς πράξεις ἦν ὕποπτα. νῆσος ἡ Φάρος πρόκειται τῆς
Ἀλεξανδρείας, ἧς αὐχὴν ὑποταίνιος τέταται πρὸς τὴν πόλιν περικλειόμενος
| οὐκ ἀγχιβαθεῖ τὰ δὲ πολλὰ τεναγώδει θαλάττῃ, ὡς καὶ τῆς τῶν p. 140 M.
κυμάτων φορᾶς τὸν πολὺν ἦχον καὶ πάταγον ἐκ πάνυ μακροῦ δια-
36 στήματος προεκλύεσθαι. τοῦτον ἐξ ἁπάντων τῶν ἐν κύκλῳ κρίναντες
ἐπιτηδειότατον εἶναι τὸν τόπον ἐνησυχάσαι καὶ ἐνηρεμῆσαι καὶ μόνῃ τῇ
ψυχῇ πρὸς μόνους ὁμιλῆσαι τοὺς νόμους, ἐνταυθοῖ κατέμειναν καὶ τὰς
ἱερὰς βίβλους λαβόντες ἀνατείνουσιν ἅμ' αὐταῖς καὶ τὰς χεῖρας εἰς
οὐρανόν, αἰτούμενοι τὸν θεὸν μὴ διαμαρτεῖν τῆς προθέσεως· ὁ δ' ἐπι-
νεύει ταῖς εὐχαῖς, ἵνα τὸ πλεῖστον ἢ καὶ τὸ σύμπαν γένος ἀνθρώπων
ὠφεληθῇ χρησόμενον εἰς ἐπανόρθωσιν βίου φιλοσόφοις καὶ παγκάλοις
37 διατάγμασι. (7.) καθίσαντες δ' ἐν ἀποκρύφῳ καὶ μηδενὸς παρόντος
ὅτι μὴ τῶν τῆς φύσεως μερῶν, γῆς ὕδατος ἀέρος οὐρανοῦ, περὶ ὧν
πρῶτον τῆς γενέσεως ἔμελλον ἱεροφαντήσειν — κοσμοποιία γὰρ ἡ τῶν
νόμων ἐστὶν ἀρχή —, καθάπερ ἐνθουσιῶντες προεφήτευον οὐκ ἄλλα
ἄλλοι, τὰ δ' αὐτὰ πάντες ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως
38 ἑκάστοις ἀοράτως ἐνηχοῦντος. καίτοι τίς οὐκ οἶδεν, ὅτι πᾶσα μὲν

1 ἢ] μήτε GHP Barb. δύνασθαι V²OK 2 διαφυλάξασθαι V²OK 3 ἔξω τῆς πόλεως V²OK Barb. 4 πεπληθότα codd.: πληρωθέντα v 6 αὐχὴν FGHP Barb.: ἀρχὴ ceteri τέταται G Barb.: τέτραπται F, τέτα[illegible]ται M, τέτακται ceteri περικλειόμενος F¹HP Barb.: περικλυζόμενος V²OK (v), περικλινόμενος ceteri 7 τεναγώδη BEM θαλάσσῃ G τῶν om. F 8 ἐκ πάνυ om. M μακροῦ FGHP Barb.: πολλοῦ ceteri 9 κρίνοντες GHP 10 τὸν FGHP Barb.: om. ceteri ἐνησυχῆσαι VK² 11 ἐνταῦθα Barb. 12. 13 εἰς τὸν οὐρανόν BEMA 13 δὲ VK 14 γένος ἀνθρώπων BEMAF: γένος τῶν ἀνθρώπων GHP, ἀνθρώπων γένος VOK Barb. 15 ὠφελήσῃ FGHP (Turn.), ὠφελήσει Barb. χρησόμενος G 18 πρώτων V²OKG Barb. ἔμελλον om. A 19 ἀρχή ἐστι transp. VOK 20 ἄλλοι FGHP Barb.: ἄλλος ceteri 21 ἑκάστοις FGHP Barb.: ἑκάστῳ ceteri οἶδεν codd.: εἶδεν v

20—21 pergit Nicetas l. l.: οἱ δὲ ἐν διαφόροις οἰκίσκοις κατὰ δύο, ὥς φησιν ὁ Ἰουδαῖος Φίλων, ... διαιρεθέντες ἐν Φάρῳ τῇ Ἀλεξανδρείας νήσῳ πᾶσαν τὴν θείαν γραφὴν καὶ αὐτοὺς τοὺς ψαλμοὺς ἡρμήνευσαν, καὶ πάντες ἐν τῇ ἑρμηνείᾳ συνεφώνησαν οὐδὲν ἀλλήλων παραλλάξαντες οὔτε κατὰ τὴν ἔννοιαν οὔτε κατὰ τὴν λέξιν, ἀλλὰ τὰ αὐτὰ ὀνόματα καὶ ῥήματα, ὥσπερ ὑποβολέως ἑκάστῳ ἀοράτως ἐνηχοῦντος, τοῖς δηλουμένοις ἐναρμοσάμενοι πράγμασιν, ὥστε θαυμάσαι τὸν Πτολεμαῖον.

διάλεκτος. ἡ δ' Ἑλληνικὴ διαφερόντως. ὀνομάτων πλουτεῖ, καὶ ταὐτὸν
ἐνθύμημα οἷόν τε μεταφράζοντα καὶ παραφράζοντα σχηματίσαι πολλαχῶς.
ἄλλοτε ἄλλας ἐφαρμόζοντα λέξεις: ὅπερ ἐπὶ ταύτης τῆς νομοθεσίας οὔ
φασι συμβῆναι, συνενεχθῆναι δ' εἰς ταὐτὸν κύρια κυρίοις ὀνόμασι, τὰ
Ἑλληνικὰ τοῖς Χαλδαϊκοῖς. ἐναρμοσθέντα εὖ μάλα τοῖς δηλουμένοις
πράγμασιν. ὃν γὰρ τρόπον. οἶμαι, ἐν γεωμετρίᾳ καὶ διαλεκτικῇ τὰ 39
σημαινόμενα ποικιλίαν ἑρμηνείας οὐκ ἀνέχεται, μένει δ' ἀμετάβλητος
ἡ ἐξ ἀρχῆς τεθεῖσα, τὸν αὐτὸν ὡς ἔοικε τρόπον καὶ οὗτοι συντρέχοντα
τοῖς πράγμασιν ὀνόματα ἐξεῦρον, ἅπερ δὴ μόνα ἢ μάλιστα τρανώσειν
ἔμελλεν ἐμφαντικῶς τὰ δηλούμενα. σαφεστάτη δὲ τοῦδε πίστις· ἐάν 40
τε Χαλδαῖοι τὴν Ἑλληνικὴν γλῶτταν ἐάν τε Ἕλληνες τὴν Χαλδαίων
ἀναδιδαχθῶσι καὶ ἀμφοτέραις ταῖς γραφαῖς ἐντύχωσι, τῇ τε Χαλδαϊκῇ
καὶ τῇ ἑρμηνευθείσῃ, καθάπερ ἀδελφὰς μᾶλλον δ' ὡς μίαν καὶ τὴν
αὐτὴν ἔν τε τοῖς πράγμασι καὶ τοῖς ὀνόμασι τεθήπασι καὶ προσκυνοῦσιν,
οὐχ ἑρμηνέας ἐκείνους ἀλλ' ἱεροφάντας καὶ προφήτας προσαγορεύοντες, οἷς
ἐξεγένετο συνδραμεῖν λογισμοῖς εἰλικρινέσι τῷ Μωυσέως καθαρωτάτῳ πνεύ-
ματι. διὸ καὶ μέχρι νῦν ἀνὰ πᾶν ἔτος ἑορτὴ καὶ πανήγυρις ἄγεται κατὰ τὴν 41
Φάρον νῆσον. εἰς ἣν οὐκ Ἰουδαῖοι μόνον ἀλλὰ καὶ παμπληθεῖς ἕτεροι
p. 141 M. διαπλέουσι τό τε | χωρίον σεμνυνοῦντες, ἐν ᾧ πρῶτον τὰ τῆς ἑρμηνείας
ἐξέλαμψε, καὶ παλαιᾶς ἕνεκεν εὐεργεσίας ἀεὶ νεαζούσης εὐχαριστήσοντες τῷ
θεῷ. μετὰ δὲ τὰς εὐχὰς καὶ τὰς εὐχαριστίας οἱ μὲν πηξάμενοι σκηνὰς ἐπὶ 42
τῶν αἰγιαλῶν οἱ δ' ἐπὶ τῆς αἰγιαλίτιδος ψάμμου κατακλινέντες ἐν

1 ὀνομάτων om. HP^1, add. mg. P^2 τὸν αὐτὸν A 2 ἐνθύμημα et τε om. A καὶ παραφράζοντα om. BEMAF 3 ἄλλοτε] ἄλλας τε FH^1 Barb. ἄλλας] ἀλλοίας VOKGH^2, ἄλλοις H^1 Barb., ἄλλαις F νομοθέσεως K 4 ταὐτὸν codd.: ταὐτὸ v 4. 5 τὰ δ' ἑλληνικὰ M 6 οἶμαι τρόπον transp. Barb. ἐν γεωμετρίᾳ καὶ διαλεκτικῇ F Barb.: γεωμετρίας καὶ διαλεκτικῆς (ἀριθμητικῆς V^{2}OK) ceteri 7 ποικιλία A 8 καὶ οὗτοι τρόπον transp. Barb. συντρέχοντα GHP Barb.: συντρέχοντα (ἐντρέχοντα BEMA) γὰρ ceteri 9 ὀνόματα om. M δὴ] ἢ coni. Mang. μόνα ἢ om. F ἢ] ἡ E, om. VOKH Barb. ἢ μάλιστα om. G 10 τοῦδε F Barb.: τούτοις BEM, τούτου ceteri 10. 11 ἐάν τε ⟨γὰρ⟩ coni. Mang. 12 καὶ] ὅσοι coni. Markland 13 διερμηνευθείσῃ GHP Barb. δὲ VOK 15 ἑρμηνεῖς FGHP Barb. ἐκείνους FGHP Barb.: om. ceteri τοὺς ante οἷς add. V^{2}OK 16 ἐξεγένετο GHP Barb.: ἐγένοντο F, ἐγένετο ceteri μωυσέος FHP, μωσέως VOKAG Barb. 17 ἄχρι G 19 σεμνυνοῦντες BEMA: σεμνύνοντες ceteri τὰ AF Barb.: τὸ ceteri; τὸ ⟨φέγγος⟩ coni. Mang. 20 ἕνεκα GHP Barb. αἰεὶ Barb.; ⟨ὡς⟩ ἀεὶ coni. Mang. νεαζούσῃ V^{2}OK 21 εὐχαριστηρίας Barb., εὐεργεσίας M τὰς σκηνὰς FG Barb. 22 τῶν αἰγιαλῶν codd.: τὸν αἰγιαλὸν Barb., τοῦ αἰγιαλοῦ v οἱ δ' K κατακλινέντες BEM: κατακλιθέντες AFG, κατακλίναντες HP Barb., κλίναντες VOK

ὑπαίθρῳ μετ' οἰκείων καὶ φίλων ἑστιῶνται, πολυτελεστέραν τῆς ἐν
43 βασιλείοις κατασκευῆς τότε τὴν ἀκτὴν νομίζοντες. οὕτω μὲν οἱ νόμοι ζηλωτοὶ καὶ περιμάχητοι πᾶσιν ἰδιώταις τε καὶ ἡγεμόσιν ἐπιδείκνυνται, καὶ ταῦτ' ἐκ πολλῶν χρόνων τοῦ ἔθνους οὐκ εὐτυχοῦντος — τὰ δὲ
44 τῶν μὴ ἐν ἀκμαῖς πέφυκέ πως ἐπισκιάζεσθαι —· εἰ δὲ γένοιτό τις ἀφορμὴ πρὸς τὸ λαμπρότερον, πόσην εἰκὸς ἐπίδοσιν γενήσεσθαι; καταλιπόντας ἂν οἶμαι τὰ ἴδια καὶ πολλὰ χαίρειν φράσαντας τοῖς πατρίοις ἑκάστους μεταβαλεῖν ἐπὶ τὴν τούτων μόνων τιμήν· εὐτυχίᾳ γὰρ τοῦ ἔθνους οἱ νόμοι συναναλάμψαντες ἀμαυρώσουσι τοὺς ἄλλους καθάπερ ἀνατείλας ἥλιος τοὺς ἀστέρας.

45 (8.) Ἀπόχρη μὲν οὖν καὶ τὰ λεχθέντα πολὺς ἔπαινος εἶναι τοῦ νομοθέτου. πλείων δ' ἐστὶν ἕτερος, ὃν αὐταὶ περιέχουσιν αἱ ἱερώταται βίβλοι, πρὸς ἃς ἤδη τρεπτέον, εἰς ἔνδειξιν τῆς τοῦ συγγράψαντος ἀρετῆς.
46 τούτων τοίνυν τὸ μέν ἐστιν ἱστορικὸν μέρος, τὸ δὲ περὶ τὰς προστάξεις καὶ ἀπαγορεύσεις, ὑπὲρ οὗ δεύτερον λέξομεν τὸ πρό-
47 τερον τῇ τάξει πρότερον ἀκριβώσαντες. ἔστιν οὖν τοῦ ἱστορικοῦ τὸ μὲν περὶ τῆς τοῦ κόσμου γενέσεως, τὸ δὲ γενεαλογικόν, τοῦ δὲ γενεαλογικοῦ τὸ μὲν περὶ κολάσεως ἀσεβῶν, τὸ δ' αὖ περὶ τιμῆς δικαίων. οὗ δὲ χάριν ἐνθένδε τῆς νομοθεσίας ἤρξατο τὰ περὶ

1 μετὰ τῶν οἰκείων A εἱστιῶντο V¹BEMAF 2 τότε] ταύτην coni. Mang. ἀκτὴν spat. 3 — 4 litt. ὁρῶντες Barb. 3 ἐπιδείκνυνται] ἐπίσης (i. e. ἐπ' ἴσης) δείκνυνται Barb. 4 ἐκ FGHP: ἐπὶ BEMA, ἐστὶ VOK 6 γενήσεσθαι FGHP: γενέσθαι ceteri 6. 7 καταλιπόντες M 8 ἑκάστοις BEMV¹K (Mang.) μεταβαλεῖν FGHP: μὲν καταβαλεῖν BEMA(V¹?), πάντως καταδραμεῖν V²OK τούτων] τῶν O μόνον F 11 οὖν FGHP Barb.: om. ceteri καὶ om. F εἶναι om. A 12 πλείων GHP: πλεῖον Barb., πλεία K, πλείω ceteri δέ ἐστιν VOK ἕτερος ὃν FGH² Barb.: ἕτερος ὧν H¹P, ἕτερα ὧν ceteri αὐταὶ Barb.: αὐτοὶ F, αὗται ceteri (v) ἱερώτατοι FGHP 13 ἔνδειξιν codd.: τὴν ἔνδειξιν v συγγράψαντος] συγγράμματος F 15 προστάξεις] πράξεις FGHP¹ 16 τῇ om. O 18 δὲ om. A 19 οὗ δὲ GHP Barb.: τοῦ δὲ BMV²OKF, τοῦδε EAV¹ τῆς ἐνθένδε νομοθεσίας transp. F, τῆς νομοθεσίας ἐνθένδε Barb. τὰ] τὰς H¹P

11 — 213,1 pergit Barb. IV 56: καὶ μεθ' ἕτερα: ἀπόχρη — ἀπολέσθαι.
14—212,17 *Procop. Gaz. Comment. in Genes. praef.* (Migne P. G. t. 87,1 Col. 24. Wendland Neu entd. Fragm. Philos p. 33 sqq.): οὗτος οὖν (Μωυσῆς) . . . . δύο μετελήλυθεν εἴδη γραφῆς, τὸ μὲν ἱστορικόν, τὸ δὲ νομοθετικόν· τοῦ δὲ νομοθετικοῦ τὸ μὲν παραινετικόν, τὸ δὲ ἀπαγορευτικόν· καὶ τοῦ ἱστορικοῦ τὸ μὲν περὶ κόσμου γενέσεως, τὸ δὲ γενεαλογικόν· τοῦ δὲ γενεαλογικοῦ τὸ μὲν περὶ κολάσεως ἀσεβῶν, τὸ δὲ περὶ τῆς τῶν δικαίων τιμῆς. τὸ δὲ ἱστορικὸν προὔταξε τοῦ νομοθετικοῦ διὰ τοιαύτην αἰτίαν· οὐ πρᾶγμα [illegible] [illegible] πραγμάτων ἡμῖν διηγήσασθαι τὴν ἱστορίαν κατεπαγγέλλεται, ἄνωθεν δὲ [καὶ] ἀπὸ (πρὸ codd.) τῆς τοῦ παντὸς γενέσεως τὴν ἀρχὴν ποιησάμενος δείκνυσι τὸν

τὰς προστάξεις καὶ ἀπαγορεύσεις ἐν δευτέρῳ θείς, λεκτέον. οὐ γὰρ 48
οἷά τις συγγραφεὺς ἐπετήδευσε παλαιῶν πράξεων καταλιπεῖν ὑπομνήματα τοῖς ἔπειτα τοῦ ψυχαγωγῆσαι χάριν ἀνωφελῶς, ἀλλ' ἠρχαιολόγησεν ἄνωθεν ἀρξάμενος ἀπὸ τῆς τοῦ παντὸς γενέσεως, ἵν' ἐπιδείξῃ δύο τὰ ἀναγκαιότατα· ἓν μὲν τὸν αὐτὸν πατέρα καὶ ποιητὴν τοῦ κόσμου καὶ ἀληθείᾳ νομοθέτην, ἕτερον δὲ τὸν χρησόμενον τοῖς νόμοις ἀκολουθίαν φύσεως ἀσπασόμενον καὶ βιωσόμενον κατὰ τὴν τοῦ ὅλου διάταξιν ἁρμονίᾳ καὶ συμφωνίᾳ πρὸς ἔργα λόγων καὶ πρὸς λόγους ἔργων.
(9.) τῶν μὲν οὖν ἄλλων νομοθετῶν οἱ μὲν εὐθὺς ἅ τε χρὴ πράττειν 49
καὶ ἃ μὴ διαταξάμενοι τιμωρίας κατὰ τῶν παραβαινόντων ὥρισαν, οἱ δ'
p. 142 M. | ἀμείνους δόξαντες εἶναι τὴν ἀρχὴν οὐκ ἐνθένδε ἐποιήσαντο, πόλιν δὲ τῷ λόγῳ κτίσαντες καὶ ἱδρυσάμενοι πρότερον ἣν ἐνόμιζον οἰκειοτάτην καὶ πρεπωδεστάτην εἶναι τῇ κτισθείσῃ πολιτείαν διὰ τῆς τῶν νόμων θέσεως ἐφήρμοζον. ὁ δὲ τὸ μὲν πρότερον ὑπολαβὼν (ὅπερ ἦν) τυραννι- 50
κόν τε καὶ δεσποτικόν, ἄνευ παραμυθίας προστάττειν ὡς οὐκ ἐλευθέροις ἀλλὰ δούλοις, τὸ δ' ὕστερον ἐμμελὲς μέν, οὐ μὴν τελείως ἐπαινετὸν ἅπασι τοῖς κριταῖς, ὡς ἔοικεν, ἐν ἑκατέρῳ τῶν λεχθέντων διήνεγκεν.
ἔν τε γὰρ ταῖς προστάξεσι καὶ ἀπογορεύσεσιν ὑποτίθεται καὶ παρηγορεῖ 51
τὸ πλέον ἢ κελεύει, μετὰ προοιμίων καὶ ἐπιλόγων τὰ πλεῖστα καὶ ἀναγκαιότατα πειρώμενος ὑφηγεῖσθαι, τοῦ προτρέψασθαι χάριν μᾶλλον ἢ

1 τὰς om. F προστάξεις] πράξεις FGH¹P 3 ἠρχολόγησεν VOK 4 τοῦ om. F δύο] βίω F 4. 5 τἀναγκαιότατα Barb. 5 αὐτὸν om. Turn. 6 ἀληθείας VOKH (v), ἀληθῆ (sic) P post τὸν add. αὐτὸν BEMAV¹, αὐτοῦ V²OK 7 ἀσπασάμενον BE, ἀνασπασάμενον A ὅλου] λόγου VOK 8 ⟨ἐν⟩ ἁρμονίᾳ coni. Wendl. συμφυίᾳ M 12 ἣν FH² Barb.: om. ceteri 13 εἶναι post οἰκειοτάτην (12) transp. A (v), θεῖναι (pro εἶναι) V²K, εἶναι om. HP post πολιτείαν add. καὶ BEMAV¹, ἣν V²OK 14 ἐφήρμοζον FGHP Barb.: πρότερον ἐφήρμοζον (ἐφήρμοσαν V²OK) ceteri (v) ὁ δὲ καὶ K 15 ὡς om. BEMA 17 ὡς F Barb.: om. ceteri (v) ἑκατέρα V¹OK 18 καὶ ταῖς ἀπαγορεύσεσιν BEMA (Mang.); καὶ ἀπαγορεύσεσιν om. Turn. παρηγορεῖ] παραινεῖ G

πατέρα τοῦ κόσμου καὶ ποιητὴν τοῦτον σὺν ἀληθείᾳ νομοθέτην ὑπάρχοντα· ἐχρῆν γὰρ ἐγνῶσθαι πρὸ τῶν νόμων τὸν νομοθέτην. . . . δείκνυσι δὲ Μωυσῆς καὶ ὅτι δεῖ τὸν τοῖς νόμοις χρησόμενον σύμφωνον τὸν βίον τῇ τοῦ παντὸς ἁρμονίᾳ καὶ τάξει παρέχεσθαι καὶ δεικνύναι συνᾴδοντα λόγοις ἔργα καὶ τοῖς ἔργοις τὰ ῥήματα. τοιγαροῦν τῶν ἄλλων νομοθετῶν τῶν μὲν εὐθὺς ὁριζόντων τὰ πρακτέα καὶ μὴ καὶ τιμωρίας ἐπιτιθέντων τοῖς παραβαίνουσι, τῶν δὲ πόλιν κτισάντων ἐν πρώτοις, εἶτα διὰ τῶν νόμων ἣν ἐνόμισαν πολιτείαν ἁρμοσάντων τῇ πόλει, ὁ Μωυσῆς τὸ μὲν πρῶτον νομίσας εἶναι τυραννικὸν καὶ μηδεμίαν ἔχον πειθὼ καὶ παραμυθίαν, τὸ δὲ ἕτερον ἐμμελὲς μέν, οὐ μὴν διὰ πάντων κατωρθωμένον, αὐτὸς ἑκατέρων διήνεγκεν· τῷ τε γὰρ νομοθετικῷ τὸ παραινετικὸν ἐγκατέμιξε ⟨τοῦ⟩

βιάσασθαι· πόλεώς τε χειροποιήτου κτίσιν ἀρχὴν ποιήσασθαι τῆς
γραφῆς ταπεινότερον ἢ κατὰ τὴν ἀξίαν τῶν νόμων ὑπολαβὼν εἶναι,
πρὸς τὸ μέγεθος καὶ κάλλος τῆς ὅλης νομοθεσίας ἀκριβεστάτῃ ὄψει τῇ
κατὰ διάνοιαν ἀπιδὼν καὶ νομίσας αὐτὴν κρείττονα καὶ θειοτέραν ἢ
ὥστε κύκλῳ τινὶ τῶν ἐπὶ γῆς ὁρισθῆναι, τῆς μεγαλοπόλεως τὴν γένεσιν
εἰσηγήσατο, τοὺς νόμους ἐμφερεστάτην εἰκόνα τῆς τοῦ κόσμου πολιτείας
52 ἡγησάμενος εἶναι. (10.) τῶν γοῦν ἐν μέρει διατεταγμένων τὰς δυνάμεις
εἴ τις ἀκριβῶς ἐξετάζειν ἐθελήσειεν, εὑρήσει τῆς τοῦ παντὸς ἁρμονίας ἐφιε-
53 μένας καὶ τῷ λόγῳ τῆς ἀιδίου φύσεως συναδούσας. διὸ καὶ τοὺς ἀφθόνων
μὲν ἀγαθῶν ἀξιωθέντας ὅσα κατ' εὐεξίαν σωμάτων καὶ τὰς περὶ πλοῦτον
καὶ δόξαν καὶ τὰ ἄλλα ἐκτὸς εὐτυχίας, ἀρετῆς δ' ἀφηνιάσαντας καὶ οὐκ
ἀνάγκῃ γνώμῃ δ' ἑκουσίῳ πανουργίαν καὶ ἀδικίαν καὶ τὰς ἄλλας κακίας,
ὡς μέγα ὄφελος τὴν μεγίστην ζημίαν, ἐπιτηδεύσαντας καθάπερ οὐκ
ἀνθρώπων ἐχθροὺς ἀλλὰ τοῦ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου τὰς ἐν
ἔθει τιμωρίας οὔ φησιν ὑπομεῖναι, ἀλλὰ καινοτάτας καὶ παρηλλαγμένας,
ἃς ἐμεγαλούργησεν ἡ πάρεδρος τῷ θεῷ μισοπόνηρος δίκη, τῶν τοῦ
παντὸς δραστικωτάτων στοιχείων ἐπιθεμένων ὕδατος καὶ πυρός, ὡς
καιρῶν περιόδοις τοὺς μὲν κατακλυσμοῖς φθαρῆναι, τοὺς δὲ κατα-

1 post κτίσιν add. καὶ FGHP Barb. (v); καὶ delendum censuit Mang. 2 κατ' ἀξίαν BEMA (v) 3 καὶ τὸ κάλλος F 4 νομίσας] νόμου Barb. κρείττονα αὐτὴν transp. Barb. 6 τοῦ κόσμου] κόσμου A, τοῦ νόμου V[1], ἐννόμου V[2]OK πολίτης K 7 οὖν Barb. 8 ἐθελήσει M 8.9 ὑφιεμένας Barb. 9 διὸ] δι' οὗ GHP (Turn.) τοὺς] τῶν Barb.; τοὺς ⟨ἀγαθοὺς⟩ vel ⟨εὐσεβεῖς⟩ coni. Mang. 10 μὲν] μὴ K τοὺς σπουδαίους add. ante ἀξιωθέντας Barb. τὰς ὅσα BEM, τὰ ὅσα AF εὐεξίας H[1]P Barb. τὰς] τὰ A 11 τἄλλα VOK Barb. ἐκτὸς] τὰ ἐκτὸς Barb., τὰ τῆς V[2]OK ἀφηνιάσοντας H[1]P 12 πανουργίας καὶ ἀδικίας H; καὶ ἀδικίαν om. Turn. 13 τὴν om. VOK 14 οὐρανοῦ] ἀνοῦ (i. e. ἀνθρώπου) BEM 16 ἃς ἐδημιούργησεν BEMA 17 post ἐπιθεμένων add. αὐτοῖς V[2]K 18 pr. τοὺς] τοῖς F

προτρέπειν μᾶλλον ἢ βιάζεσθαι λόγον ποιούμενος, καὶ τὸ πόλιν χειροποίητον ἀρχὴν ποιήσασθαι τῆς συγγραφῆς κτιζομένην τῷ λόγῳ ταπεινότερον ἢ κατὰ τὴν ἀξίαν τῶν νόμων ὑπείληφεν, ὧν ⟨πρὸς⟩ τὸ κάλλος ἀκριβεῖ τῇ θέᾳ κατὰ τὴν διάνοιαν ἀπιδὼν τῆς ἐπὶ γῆς ὑπεριδὼν κτίσεως ἐπὶ τὴν μεγίστην πόλιν, τὸν κόσμον, ἀνέδραμεν καὶ τὴν αὐτῆς ὑφηγήσατο γένεσιν, ἐμφερεστάτην εἰκόνα τοὺς νόμους τῆς τοῦ κόσμου πολιτείας ἡγούμενος· τῶν γοῦν νόμων ἡ δύναμις, εἴ τις ἀκριβῶς ἐξετάσειε, τῇ τοῦ παντὸς ἁρμονίᾳ συνᾴδει. τοιγαροῦν εἴ τινες παντελῶς ἐξεπήδησαν ἀρετῆς, ὡς οὐκ ἀνθρώπων ἐχθροὺς ἀλλ' οὐρανοῦ τε καὶ κόσμου παντὸς οὐ τὰς ἐν ἔθει τιμωρίας ὑπομεῖναί φησιν, ἀλλὰ καινὰς καὶ παρηλλαγμένας, τῶν τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιτιθεμένων αὐτοῖς ὕδατος καὶ πυρός.

φλεχθέντας ἀπολέσθαι. πελάγη μὲν ἀρθέντα καὶ ποταμοὶ μετεωρισθέντες 54
αὐθιγενεῖς τε καὶ χείμαρροι τὰς ἐν τῇ πεδιάδι πόλεις ἁπάσας ἐπέκλυσαν
καὶ κατέσυραν, τὰς δὲ κατὰ τὴν ὀρεινὴν αἱ μεθ' ἡμέραν καὶ νύκτωρ
συνεχεῖς καὶ ἀδιάστατοι ὄμβρων φοραί. χρόνῳ δ' ὕστερον ἐκ τῶν 55
ὑπολειφθέντων πάλιν τοῦ γένους συναυξηθέντος καὶ εἰς πολυανθρωπίαν
p. 143 M. ἐπιδόντος, ἐπειδὴ τὸ περὶ τοὺς προγόνους πάθος οἱ | ἀπόγονοι μάθημα
σωφροσύνης οὐκ ἐποιήσαντο, πρὸς δ' ἀκολασίας ἐτράποντο ζηλωταὶ
χαλεπωτέρων ἐπιτηδευμάτων γενόμενοι, πυρὶ τούτους ἀναλῶσαι διενοήθη.
τότ' οὖν, ὡς μηνύει τὰ λόγια, κεραυνοὶ ῥυέντες ἐξ οὐρανοῦ τούς τε 56
ἀσεβεῖς κατέπρησαν καὶ τὰς πόλεις αὐτῶν· καὶ μέχρι τοῦ νῦν μνημεῖα
τοῦ συμβεβηκότος ἀλέκτου πάθους δείκνυται κατὰ Συρίαν, ἐρείπια καὶ
τέφρα καὶ θεῖον καὶ καπνὸς καὶ ἡ ἔτι ἀναδιδομένη φλὸξ ἀμαυρὰ
καθάπερ διασμυχομένου πυρός. ἐν δὲ τούτῳ συνέβαινε τούς τε ἀσεβεῖς 57
ταῖς εἰρημέναις τιμωρίαις κολάζεσθαι καὶ τοὺς καλοκἀγαθίᾳ διενηνοχότας
εὖ πάσχειν ἀρετῆς ἐπαξίων ἄθλων τυγχάνοντας. ἐν μέν γε τῇ φορᾷ 58
τοῦ κεραυνίου πυρὸς οἰκήτορσιν αὐτοῖς ὅλης χώρας ἐμπιπραμένης, εἷς
μόνος ἀνὴρ μέτοικος ἐπιφροσύνῃ θείᾳ σῴζεται, διότι τῶν ἐγχωρίων
παρανομημάτων οὐδὲν ἠσπάσατο, τῶν μετοίκων εἰωθότων ἀσφαλείας
ἕνεκα τὰ ξενικὰ τιμᾶν, ἐπεὶ τοῖς ἀτιμάζουσι κίνδυνος ἐκ τῶν αὐτο-
χθόνων ἕπεται· καίτοι γ' οὐκ ἐπ' ἄκρον ἦλθε σοφίας, ὡς διὰ τελειότητα
τῆς ἐν αὐτῷ φύσεως τοσούτου γέρως ἀξιωθῆναι, ἀλλ' ὅτι μόνος τοῖς
πολλοῖς οὐ συνηνέχθη πρὸς τὸ ἁβροδίαιτον ἀποκλίνασι καὶ πάσας μὲν
ἡδονὰς πάσας δ' ἐπιθυμίας χορηγίαις ἀφθόνοις ἀνάψασιν ὥσπερ φλόγα
λασίῳ ὕλῃ κεχυμένῃ. (11.) κατὰ δὲ τὸν μέγαν κατακλυσμὸν ὀλίγου 59

1 μὲν ⟨γὰρ⟩ coni. Mang. 2 ἀπέκλυσαν M, κατέκλυσαν G 3 ἐπέσυραν G 4 συνεχεῖς om. A τῶν ὄμβρων VOK τῶν ὄμβρων post νύκτωρ (3) transp. O φθοραί P 5 ἐπαυξηθέντος VOK 8 χαλεπῶν HP πυρὶ] περὶ M 10 ἀσεβοῦντας F τοῦ om. F 11 ἀλήκτου V[1], ἀλήστου V[2]OK, ἀλλ' ἐκ τοῦ H[1]P ἐνδείκνυται G 13 διασμυχουμένου M, διὰ σμυχομένου K 14 καλοκαγαθίας Turn. 15 ἐπ' ἀξίων M τυγχάνοντας ἄθλων transp. GH γε] γὰρ V[2]OK 16 κεραυνείου F ⟨τῆς⟩ ὅλης voluit Mang. ἐμπιμπραμένης E 18 ἐσπάσατο coni. Mang. καὶ ταῦτα add. ante τῶν V[2]OK 20 γε VOK ἦλθε] ἧκε A (v) 21 γέρως] γένους A μόνος Mang.: μόνον codd. 21. 22 οὐ συνηνέχθη τοῖς πολλοῖς transp. F 24 λασίῳ] θείῳ F, θείῳ καὶ GHP (Turn.) ὕλῃ κεχυμένῃ BEMF: κεχυμένῃ ὕλῃ GHP, ὕλῃ κεχυμένην VOK (Mang.), ὕλῃ κεχριμένην A ὀλίγον A

1—4 Gen. cap. 7 4—24 Gen. cap. 19 10—13 cf. *de Abrah.* § *140. 141*
13—15 pergit Barb. IV 56: καὶ μετά τινα: ἐν δὲ τούτῳ — τυγχάνοντας.

δέω φάναι τοῦ σύμπαντος ἀνθρώπων γένους φθειρομένου, ἕνα οἶκον
ἀπαθῆ γενέσθαι παντὸς κακοῦ λόγος ἔχει. τὸν πρεσβύτατον καὶ ἡγεμόνα
τῆς οἰκίας ἐπειδὴ συνέβαινε μηδενὸς ἀδικήματος ἑκουσίου προσάψασθαι.
τὸν δὲ τρόπον τῆς σωτηρίας, ὡς αἱ ἱεραὶ βίβλοι περιέχουσιν, ἄξιον
60 ἱστορηθῆναι διά τε μεγαλουργίαν καὶ ἅμα βελτίωσιν ἠθῶν. νομισθεὶς
γὰρ ἐπιτήδειος εἶναι μὴ μόνον ἀμοιρῆσαι τῆς κοινῆς συμφορᾶς, ἀλλὰ
καὶ δευτέρας γενέσεως ἀνθρώπων αὐτὸς ἀρχὴ γενέσθαι, θείαις προσ-
τάξεσιν, ἃς ὑφηγοῦντο οἱ χρησμοί, ξύλινον δημιουργήσας ἔργον μέγιστον
εἰς πήχεις τριακοσίους μῆκος καὶ πεντήκοντα εὖρος καὶ τριάκοντα ὕψος
καὶ συνεχῆ κατασκευασάμενος ἔνδον οἰκήματα ἐπίπεδα καὶ ὑπερῷα,
τριώροφα καὶ τετρώροφα, καὶ τροφὰς ἑτοιμασάμενος, ἀφ' ἑκάστου γένους
ζῴων ὅσα χερσαῖα καὶ πτηνὰ εἰσήγαγεν ἄρρεν τε καὶ θῆλυ σπέρματα
ὑπολειπόμενος πρὸς καταλλαγὴν καιρῶν τῶν αὖθίς ποτε γενησομένων·
61 ᾔδει γὰρ τὴν τοῦ θεοῦ φύσιν ἵλεω, κἂν εἰ τὰ εἴδη φθείροιτο, ἀλλά τοι
τὴν ἐν τοῖς γένεσιν ἀφθαρσίαν ἕνεκα τῆς πρὸς αὐτὸν ὁμοιότητος | καὶ p. 144 M.
τοῦ μηδὲν τῶν κατὰ πρόθεσιν φύντων ποτὲ λυθῆναι διαμένουσαν·
(12.) οὗ χάριν πάντα ἐπειθάρχει καὶ τὰ τέως ἐξηγριωμένα ἡμεροῦτο
62 καὶ οἷα νομεῖ καὶ ἀγελάρχῃ τιθασευθέντα ἐπηκολούθει. μετὰ δὲ τὴν
εἴσοδον ἁπάντων εἴ τις ἐθεάσατο τὸ πλήρωμα, οὐκ ἂν διήμαρτεν εἰπών,
ἀντίμιμον εἶναι γῆς ἁπάσης ἐν ἑαυτῷ φέρον τὰ ζῴων γένη, ὧν καὶ ἡ
σύμπασα γῆ τὰ ἀμύθητα εἴδη καὶ πρότερον ἤνεγκε καὶ ἴσως αὖθις
63 οἴσει. τὰ δ' εἰκασθέντα χρόνοις ὕστερον οὐ μακροῖς ἀπέβαινε· τὸ μὲν

1 δέω] δὲ VOK ἀνθρώπων om. HP ἕνα] τὸν Νῶε A (v) 2 διὰ add. ante τὸν V²OK 4 τόνδε τὸν τρόπον BE ὡς αἱ AF: ὃν αἱ V²OK, αἱ (om. ὡς) ceteri; ὡς (om. αἱ) v 5 ἱστορῆσαι BEMA (v) ἠθῶν FGHP: ὠφέλειαν ceteri 6 εἶναι ἐπιτήδειος transp. HP (v) 7 post ἀνθρώπων add. γένους VOK 8 ὑφηγοῦνται HP 9 τριακοσίους FG: τριακοσίας ceteri 10 οἰκήματα ἔνδον transp. O 11 τετρόροφα BMF ἑκάστου] ἑκατέρου H 12 ἄρσεν BM τε om. VOK 13 ὑπολιπόμενος BEM καταλλαγὴν καιρῶν corruptum: καταγωγὴν γενῶν conicio, καταβολὴν καὶ ἑτέρων (scil. σπερμάτων) coni. Mang. 14 τοῦ θεοῦ φύσιν F: φύσιν τοῦ θεοῦ transp. ceteri ἵλεων FGHP εἰ om. VOK τοι om. VOK 15 ἀφθαρσίαν om. H¹P 16 τῶν FV²OK: om. ceteri (v) κατὰ πρόθεσιν] κατ' ἐπιφροσύνην θείαν V²OK 17 τὰ τέως FGHP: τά τε ceteri ἠγριωμένα ἐξημεροῦτο BEMA (v) 18 ἀγελάρχῃ codd. (ἀγελάρχει E): ἀγελάρχῳ v τιθασευθέντα HP: τιθασσευθέντα FG, τιθασὰ ὄντα BE, τιθασσὰ ὄντα MAVOK 20 εἶναι γῆς F: γῆς εἶναι transp. ceteri πάσης BEMA ἑαυτῷ FGHP: αὐτῷ ceteri φέρων B¹EV¹, φέροντα H¹P 21 εἴδη GHP: γένη ceteri πρότερα F ἴσως GHP: ὕστερον ceteri (v) 22 post οἴσει multa deesse putavit Mang. ἀπέβαινον VOK

4 sqq. Gen. 6,13 — 8,19

γὰρ πάθος ἐλώφα καὶ ἡ τοῦ κατακλυσμοῦ φορὰ καθ' ἑκάστην ἡμέραν ἐμειοῦτο, τῶν τε ὄμβρων ἐπισχεθέντων καὶ τοῦ κατὰ πᾶσαν γῆν ἀναχυθέντος ὕδατος τῇ μὲν ἀναλισκομένου τῷ ἀφ' ἡλίου φλογμῷ τῇ δὲ ὑπονοστοῦντος εἰς χαράδρας καὶ φάραγγας καὶ τὰς ἄλλας τῆς γῆς κοιλότητας· ὥσπερ γὰρ θεοῦ προστάξαντος, ἑκάστη φύσις ὅπερ ἔχρησεν οἷα δάνειον ἀναγκαῖον ἀπελάμβανε, θάλαττα καὶ πηγαὶ καὶ ποταμοί· πρὸς γὰρ τοὺς οἰκείους τόπους ἕκαστον ῥεῖθρον ὑπενόστει. μετὰ δὲ τὴν 64 κάθαρσιν τῶν ὑπὸ σελήνην, ἀπολουσαμένης τῆς γῆς καὶ νέας ἀναφανείσης καὶ τοιαύτης, οἵαν εἰκὸς εἶναι ὅτε τὴν ἀρχὴν μετὰ τοῦ κόσμου παντὸς ἐκτίζετο, πρόεισιν ἐκ τοῦ ξυλίνου κατασκευάσματος αὐτὸς καὶ γυνὴ καὶ υἱοὶ καὶ τούτων γυναῖκες καὶ μετὰ τῆς οἰκίας ἀγεληδὸν τὰ συνεληλυθότα τῶν ζῴων γένη πρὸς τὴν τῶν ὁμοίων σποράν τε καὶ γένεσιν. ταῦτα τῶν 65 ἀγαθῶν ἀνδρῶν ἐστιν ἀριστεῖα καὶ ἆθλα, δι' ὧν οὐ μόνον αὐτοὶ καὶ γένη σωτηρίας ἔτυχον τοὺς μεγίστους κινδύνους ἐκφυγόντες, οὓ κατὰ τὸν τῶν στοιχείων νεωτερισμὸν τοῖς πανταχοῦ πᾶσιν ἐπετειχίσθησαν, ἀλλὰ καὶ παλιγγενεσίας ἐγένοντο ἡγεμόνες καὶ δευτέρας ἀρχηγέται περιόδου, καθάπερ ἐμπυρεύματα τοῦ ζῴων ἀρίστου γένους ἀνθρώπων ὑπολειφθέντες, ὃ τὴν ἡγεμονίαν τῶν περιγείων ἅπαξ ἁπάντων ἔλαχεν ἀντίμιμον γεγονὸς θεοῦ δυνάμεως, εἰκὼν τῆς ἀοράτου φύσεως ἐμφανής, ἀιδίου γενητή.

* * *

1 γὰρ om. A   φορὰ AVOK: φθορὰ ceteri (v)   ἡμέραν om. BEMA   3 τῇ (bis) GHP: πῇ (bis) ceteri   δὲ καὶ VOK   4 φάλαγγας F   5 γὰρ om. BEMA   6 ὑπελάμβανε H   8 τῶν] τὴν O   9 τοιαύτης AGP: τοιαύτην ceteri   οἵαν GHP: ὁποίαν ceteri   τοῦ om. HP   παντὸς om. F   10 ἡ γυνὴ καὶ οἱ υἱοὶ H   11 pr. καὶ] καὶ αἱ BEMA (v)   ἀγεληδὸν om. BEMA   συνεισεληλυθότα H, συνεισελθόντα P   12 γένη om. F   14 τοῦ μεγίστου κινδύνου D   ἐκφυγόντες κινδύνους transp. A (v)   15 τὸν om. F   μετεωρισμὸν Barb.   16 ἀρχηγέται] ἀρχῆσθαι Barb.   17 ἐμπυρεύματι K   τοῦ] τῶν BEMA (v)   ἀνθρώπων om. F   18 ὑπολειφθέντος BEMA   ὃ] καὶ D, ὃ om. BEM   τῶν om. Barb.   ἔλαχον BEMK   19 ἀντίμιμος BEM   γεγονὸς AGHP Barb.: γεγονὼς ceteri   δυνάμεως codd.: δυνάμεων v   20 γεννητή VO, γεννητῇ K, γενητῆς Barb.   Φίλωνος περὶ τοῦ βίου μωυσέως λόγος β' subscr. B   lacunam statuit Massebieau

13—20 D[R] fol. 33[v] τοῦ αὐτοῦ (Φίλωνος) περὶ κοσμοποιίας (sic) D[L] fol. 38[r] τοῦ αὐτοῦ: ἀγαθῶν ἀνδρῶν ἐστιν ἀριστεῖα — ἐκφυγόντες, ἀλλὰ καὶ παλιγγενεσίας ἐγένοντο ἡγεμόνες καὶ δευτέρας ἀρχηγέται περιόδου, ἐν τῷ κατὰ τῶν στοιχείων νεωτερισμῷ τοῖς πανταχοῦ πᾶσιν ἐπιτειχισθέντι, καθάπερ ἐμπυρεύματα — ἔλαχε, κατὰ τὸν βίον γένος θεοῦ δυνάμεως καὶ εἰκὼν τῆς ἀοράτου καὶ ἀιδίου φύσεως.   12—217,10 pergit Barb. IV 56: καὶ πάλιν: ταῦτα — κατὰ τὴν ἱερωσύνην πάντα.

66 (1.) Δύο μὲν ἤδη μέρη τοῦ βίου Μωυσέως διεξεληλύθαμεν, τό p. 145 M.
τε περὶ βασιλείας καὶ νομοθετικῆς· τρίτον δὲ προσαποδοτέον τὸ περὶ
ἱερωσύνης. ὃ τοίνυν μέγιστον καὶ ἀναγκαιότατον ἀρχιερεῖ προσεῖναι δεῖ,
τὴν εὐσέβειαν, ἐν τοῖς μάλιστα οὗτος ἤσκησεν ἅμα καὶ φύσεως εὐμοιρίᾳ
χρησάμενος, ἣν ὥσπερ ἀγαθὴν ἄρουραν φιλοσοφία παραλαβοῦσα δογμάτων
θεωρίᾳ παγκάλων ἐβελτίωσε καὶ οὐ πρότερον ἀνῆκεν ἢ τελειογονηθῆναι
67 τοὺς ἀρετῆς καρποὺς διά τε λόγων καὶ πράξεων. τοιγαροῦν μετ' ὀλίγων
ἄλλων φιλόθεός τε καὶ θεοφιλὴς ἐγένετο, καταπνευσθεὶς ὑπ' ἔρωτος
οὐρανίου καὶ διαφερόντως τιμήσας τὸν ἡγεμόνα τοῦ παντὸς καὶ ἀντι-
τιμηθεὶς ὑπ' αὐτοῦ· τιμὴ δ' ἁρμόττουσα σοφῷ θεραπεύειν τὸ πρὸς ἀλή-
θειαν ὄν· ἱερωσύνη δὲ θεραπείαν ἐπιτετήδευκε θεοῦ. τούτου τοῦ γέρως,
οὗ μεῖζον ἀγαθὸν ἐν τοῖς οὖσιν οὐκ ἔστιν, ἠξιοῦτο χρησμοῖς ἕκαστα τῶν
68 εἰς τὰς λειτουργίας καὶ ἱερὰς ὑπηρεσίας ἀναδιδασκόμενος. (2.) ἔδει δὲ
πρότερον ὥσπερ τὴν ψυχὴν καὶ τὸ σῶμα καθαρεῦσαι, μηδενὸς πάθους
προσαψάμενον, ἀλλ' ἁγνεύσαντα ἀπὸ πάντων ὅσα τῆς θνητῆς ἐστι
69 φύσεως, σιτίων καὶ ποτῶν καὶ τῆς πρὸς γυναῖκας ὁμιλίας. ἀλλὰ ταύ-
της μὲν ἐκ πολλῶν χρόνων κατεφρόνησε καὶ σχεδὸν ἀφ' οὗ τὸ πρῶτον
ἤρξατο | προφητεύειν καὶ θεοφορεῖσθαι, προσῆκον ἡγούμενος ἕτοιμον p. 146 M.
ἐμπαρέχειν ἀεὶ τοῖς χρησμοῖς ἑαυτόν· σιτίων δὲ καὶ ποτῶν ἐπὶ ἡμέρας
τεσσαράκοντα ἑξῆς ἠλόγησε, δηλονότι τροφὰς ἔχων ἀμείνους τὰς διὰ
θεωρίας, αἷς ἄνωθεν ἀπ' οὐρανοῦ καταπνεόμενος τὴν μὲν διάνοιαν τὸ
πρῶτον, ἔπειτα δὲ καὶ τὸ σῶμα διὰ τῆς ψυχῆς ἐβελτιοῦτο, καθ' ἑκάτερον

1 incipit hic in codicibus et editionibus liber tertius, ego libros II et III in unum coniunxi   φίλωνος περὶ τοῦ βίου μωσέως λόγος γ' BEMG, φίλωνος ἰουδαίου περὶ βίου μωσέως A, τοῦ αὐτοῦ περὶ τοῦ βίου μωυσέος λόγος γ' P, φίλωνος περὶ τοῦ βίου μωσέως λόγος τρίτος (ss. περὶ ἱερωσύνης λόγος τρίτος) H, περὶ ἱερωσύνης λόγος γ' VO, tit. om. K, τοῦ αὐτοῦ περὶ τῆς μωσέως ἱερωσύνης F   ἤδη] εἴδη A   μέρη om. A   μωσέως BEMA Barb., μωυσέος FGHP   μωσέως τοῦ βίου transp. A (v)   διεληλύθαμεν M   2 τε om. A (v)   ἀποδοτέον Barb.   3 δεῖ corr. ex δὴ A   4 οὗτος] αὐτὸς A (Turn.)   5 παραλαμβάνουσα A   6 παγκάλως AFGHP Barb. (Turn.)   ἢ] ἡ Barb., om. A.   τελείους γενηθῆναι G   7 τοὺς τῆς ἀρετῆς G   post τοιγαροῦν add. ὁ Barb.   7. 8 ὀλίγους ἄλλους V²OK ï   8 ἐγένετο A   9 οὐρανίου om. in lac. Barb.   10 δὲ VOK   12 ἐπ' ἀγαθὸν (sic) P   ἠξιοῦται (sic) M   14 καθαρεῦσαι] θεραπεῦσαι Barb.   15 ἁγνεύσαντα VOKG: ἁγνεῦσαν BEFHP, ἁγνεῦσαι MA Barb. (v)   ἐστι om. K Barb.   16. 17 ταύτης] ὅταν Barb.   18 θεοφορεῖσθαι] ἐμφορᾶσθαι Barb.   19 αἰεὶ A, ἀεὶ om. Barb.   δὲ] τε A (v)   19. 20 τεσσαράκοντα ἡμέρας transp. A (v), τεμηφαγόντα (sic) ἡμέρας Barb.   20 δῆλον ὅτι Barb.   τροφὰς om. H¹, ss. H²   τὰς — οὐρανοῦ (21) om. in lac. Barb.   22 δὲ AF: om. ceteri   ἐβελτιοῦτο om. in lac. Barb.

πρός τε ἰσχὺν καὶ εὐεξίαν ἐπιδιδούς, ὡς τοὺς ἰδόντας ὕστερον ἀπιστεῖν.
εἰς γὰρ ὄρος ὑψηλότατον καὶ ἱερώτατον τῶν περὶ τὸν τόπον ἀνελθὼν 70
προστάξεσι θείαις, ὅπερ ἀπρόσιτον καὶ ἄβατον ἦν, εἰς ἐκεῖνον λέγεται διαμεῖναι τὸν χρόνον οὐδὲν ἐπιφερόμενος τῶν εἰς ἀναγκαίας ἀπόλαυσιν τροφῆς ⟨καὶ⟩ ἡμέραις ὕστερον, ὡς ἐλέχθη, τεσσαράκοντα κατέβαινε πολὺ καλλίων τὴν ὄψιν ἢ ὅτε ἀνῄει, ὡς τοὺς ὁρῶντας τεθηπέναι καὶ καταπεπλῆχθαι καὶ μηδ' ἐπὶ πλέον ἀντέχειν τοῖς ὀφθαλμοῖς δύνασθαι κατὰ τὴν προσβολὴν ἡλιοειδοῦς φέγγους ἀπαστράπτοντος.

(3.) Ἔτι δ' ἄνω διατρίβων ἐμυσταγωγεῖτο παιδευόμενος τὰ κατὰ 71
τὴν ἱερωσύνην πάντα καὶ πρῶτα, ἃ δὴ καὶ πρῶτα τῇ τάξει, τὰ περὶ τὴν τοῦ ἱεροῦ καὶ τῶν ἐν αὐτῷ κατασκευήν. εἰ μὲν οὖν τὴν χώραν, 72
εἰς ἣν μετανίσταντο, ἤδη παρειλήφεσαν, ἀναγκαῖον ἦν ἱδρύσασθαι περισημότατον νεὼν ἐν τῷ καθαρωτάτῳ λίθων πολυτελῶν ὕλης καὶ περὶ αὐτὸν τείχη μεγάλα δείμασθαι καὶ νεωκόροις παμπληθεῖς οἰκίας, ὀνομάσαντας ἱερόπολιν τὸν τόπον. ἐπεὶ δ' ἔτι κατὰ τὴν ἐρήμην ἐπλάζοντο, 73
τοῖς μήπω παγίως ἱδρυθεῖσιν ἥρμοττε φορητὸν ἔχειν ἱερόν, ἵν' ἐν ταῖς ὁδοιπορίαις καὶ στρατοπεδείαις ἀνάγωσι θυσίας καὶ τὰ ἄλλα ὅσα κατὰ τὰς ἱερουργίας δρῶσι μηδενὸς ἀμοιροῦντες ὧν χρὴ τοὺς ἐν πόλεσιν οἰκοῦντας. σκηνὴν οὖν, ἔργον ἱερώτατον, δημιουργεῖν ἔδοξεν, ἧς τὴν 74
κατασκευὴν θεσφάτοις λογίοις ἐπὶ τοῦ ὄρους Μωυσῆς ἀνεδιδάσκετο, τῶν

1 ἀπιστεῖν—ὑψηλότατον (2) om. in lac. Barb. 2 τῶν] τὸν Turn. ἐλθὼν BEMVOK 3 καὶ ἄβατον om. BEMVOK ἦν om. A ἐκεῖνον A: ἐκεῖνο GHP Barb., ὃ καὶ ceteri 4 τοσοῦτον add. ante χρόνον V²OK ἀναγκαίαν A (v) 5 καὶ add. Turn. τετταράκοντα A Barb. κατέβαινε] κατῄει BEMVOK 5. 6 πολὺ καλλίων τὴν ὄψιν om. in lac. Barb., πολὺ — ἀνῄει om. BEM 6 καλλίω AF 7 μηδ'] μηδὲν A (v), μὴ M 9 παιδευόμενος om. H τὰ om. A (Turn.) 10 pr. καὶ πρῶτα om. A (Turn.) δὴ] δεῖ A (Turn.) alt. καὶ πρῶτα codd.: καὶ om. Mang. 11 τὴν AHP: om. ceteri τῶν AF: τὴν ceteri ἐν αὐτῷ om. F εἰ AF: εἰς ceteri 12 μετανίστατο F ἤδη AF: ἦν δὴ ceteri ⟨ἂν⟩ ἦν coni. Mang. 12. 13 παρασημότατον V²OK 13 ἐν eras. V, om. OK ἐκ λίθων VOK 14 αὐτὸν FGHP: αὐτῶν K, αὐτῶ ceteri; αὐτὸ v νεωκόρους A πληθεῖς πανπληθεῖς πλημπληθεῖς (sic) E, πολυπληθεῖς BM 14. 15 ὀνομάσαντες BEMV¹, ὀνομάσαι τε V²OK ἱεροπολεῖν (sic) οἰκίας ὀνομάσαντας transp. A 15 ἱεράπολιν V² ἐπελάζοντο A 16 παγίοις B¹EV¹F, πλαγίως P ἱδρυνθεῖσιν VKF 17 στρατοπεδίαις H ἀνάγωσι θυσίας FGHP: ἀνάγοι θυσίας A, ἄγωσι θυσίας ceteri; θυσίας ἀνάγωσι v τἄλλα HP, τἄλλ' AG 18 τὰς] τῆς F μηδὲν FH ἀμοιροῦντας G 19 δημιουργεῖν ἔδοξεν om. G ἔδοξαν K τὴν om. AH¹P 20 λόγοις Turn.

2 Exod. 24,18. 34,28 5—8 Exod. 34,29 sqq.

μελλόντων ἀποτελεῖσθαι σωμάτων ἀσωμάτους ἰδέας τῇ ψυχῇ θεωρῶν,
πρὸς ἃς ἔδει καθάπερ ἀπ' ἀρχετύπου γραφῆς καὶ νοητῶν παραδειγμάτων
75 αἰσθητὰ μιμήματα ἀπεικονισθῆναι. προσῆκον γὰρ ἦν τῷ ὡς ἀληθῶς
ἀρχιερεῖ καὶ τὴν τοῦ ἱεροῦ κατασκευὴν ἐπιτραπῆναι, ἵν' ἐκ πολλοῦ τοῦ
περιόντος ἡρμοσμένας καὶ συμφώνους τοῖς δημιουργηθεῖσι ποιῆται τὰς
76 ἐν τῷ ἱερᾶσθαι λειτουργίας. (4.) ὁ μὲν οὖν τύπος τοῦ παραδείγματος
ἐνεσφραγίζετο τῇ διανοίᾳ τοῦ προφήτου διαζωγραφούμενος καὶ προ-
διαπλαττόμενος ἀφανῶς ἄνευ ὕλης ἀοράτοις εἴδεσι· τὸ δ' ἀποτέλεσμα
πρὸς τὸν τύπον ἐδημιουργεῖτο, ἐναποματτομένου τὰς σφραγῖδας τοῦ
77 τεχνίτου ταῖς προσφόροις ἑκάστων ὑλικαῖς οὐσίαις. ἦν δ' ἡ κατασκευὴ
τοιάδε· ὀκτὼ καὶ τεσσαράκοντα κίονες κέδρου | τῆς ἀσηπτοτάτης ἀπὸ p. 147 M.
στελεχῶν κοπέντες εὐερνεστάτων περιεβάλλοντο χρυσῷ βαθεῖ· κἄπειθ'
ἑκάστῳ δύο ἀργυραῖ βάσεις ὑπηρείδοντο καὶ κατὰ τὸ ἀκροκιόνιον ἐφηρμό-
78 ζετο χρυσῆ κεφαλίς. εἰς μὲν οὖν τὸ μῆκος τεσσαράκοντα κίονας διέ-
ταττεν ὁ τεχνίτης, ἑκατέρωθεν τοὺς ἡμίσεις εἴκοσι, μηδὲν ἐν μέσῳ
διάστημα ποιούμενος, ἀλλ' ἑξῆς ἐφαρμόζων καὶ συνάπτων, ἵν' οἷα τείχους
ὄψις μία προφαίνηται· εἰς δὲ τὸ πλάτος ἐσώτατον τοὺς λοιποὺς ὀκτώ,
ἓξ μὲν κατὰ τὴν μέσην χώραν, δύο δ' ἐν ταῖς παρ' ἑκάτερα τῆς μέσης
γωνίαις, τὸν μὲν ἐπὶ δεξιά, τὸν δ' ἐπ' εὐώνυμα· κατὰ δὲ τὴν εἴσοδον
ἄλλους τέσσαρας, τὰ μὲν ἄλλα ὁμοίους, μίαν δ' ἀντὶ δυοῖν ἔχοντας
βάσιν τῶν ἐξ ἀντικρύ, μεθ' οὓς ἐξωτάτω πέντε μόναις ταῖς βάσεσι δια-
79 φέροντας, χαλκαῖ γὰρ ἦσαν· ὥστε τῆς σκηνῆς τοὺς σύμπαντας εἶναι,
δίχα τῶν ἐν ταῖς γωνίαις δυοῖν ἀφανῶν, πέντε καὶ πεντήκοντα ἐμφανεῖς,
τὸν ἀπὸ μονάδος ἄχρι δεκάδος τῆς παντελείας συμπληρούμενον ἀριθμόν.

1 σωμάτων] σχημάτων coni. Mang. ἀσωμάτους] ἀσωμάτων K 2 ἀπ' om. BEM 3 τῷ] τῶν K ὡς om. A 5 ποιεῖται OP (Turn.) 7 ἐνεσφραγίζεται (sic) M 7. 8 διαπλαττόμενος BEMF 9 τὸν om. A 10 τεχνήτου A ἑκάστω BEMA (v) δὲ A 11 ἀσηπτοτάτου F
η
11. 12 ἀποστελέχων F 12 κἄπειτα A 13 ὑπερείδοντο A, ὑπερείδοντο MF (v) 14. 15 διέταττεν AFGHP: συνέταττεν ceteri 15 τεχνήτης A ἑκατέρωθεν δὲ BM 17 ἐσώτατον πλάτος transp. A (v) ἐσώτατον suspectum (Wendl.) 18 ταῖς]
ας
τοῖς A (Turn.) 19 γωνίαις BV²OKG: γωνίαις M, γωνίας ceteri (Turn.) δεξιᾶ K δὲ VOKHP ἐπὶ VK εὐώνυμον K 20 τέτταρας AP δυεῖν VOKF 21 ἐξ] ἓξ AVK ἄντικρυς VOKFH¹P μόναις AFGHP: μόνον ceteri 23 δυεῖν VOK 24 ἄχρι] μέχρι A (v) συμπληροῦντας V²OK

11 sqq. Exod. 26,18 sqq. — cf. *Ioseph. Ant. Iud. III § 116 sqq.*

εἰ δὲ βουληθείη τις τοὺς ἐν τῷ προπυλαίῳ πέντε τῷ ὑπαίθρῳ συνάπ- 80
τοντας, ὃ κέκληκεν αὐλήν, τιθέναι χωρίς, ἀπολειφθήσεται ὁ ἁγιώτατος
πεντηκοντάδος ἀριθμός, δύναμις ὢν τοῦ ὀρθογωνίου τριγώνου, ὅπερ ἐστὶ
τῆς τῶν ὅλων γενέσεως ἀρχή, συμπληρωθεὶς ἐκ τῶν ἐντὸς κιόνων,
τεσσαράκοντα μὲν τῶν καθ᾽ ἑκατέραν πλευρὰν εἴκοσιν, ἓξ δὲ τῶν ἐν
μέσῳ δίχα τῶν παρὰ ταῖς γωνίαις ἀποκεκρυμμένων, τεσσάρων δὲ τῶν
ἀντικρύ, ἐφ᾽ ὧν τὸ καταπέτασμα. τὴν δ᾽ αἰτίαν, ἧς ἕνεκα τοὺς πέντε 81
τοῖς πεντήκοντα συγκατατάττω καὶ χωρὶς αὐτῶν τίθημι, δηλώσω. ἡ
πεντὰς αἰσθήσεων ἀριθμός ἐστιν, αἴσθησις δ᾽ ἐν ἀνθρώπῳ τῇ μὲν
νεύει πρὸς τὰ ἐκτός, τῇ δὲ ἀνακάμπτει πρὸς νοῦν ὑπηρέτις οὖσα
φύσεως νόμοις αὐτοῦ. διὸ καὶ τὴν μεθόριον χώραν ἀπένειμε τοῖς 82
πέντε· τὰ μὲν γὰρ ἐντὸς αὐτῶν ἐκνένευκε πρὸς τὰ ἄδυτα τῆς σκηνῆς,
ἅπερ ἐστὶ συμβολικῶς νοητά, τὰ δ᾽ ἐκτὸς πρὸς τὸ ὕπαιθρον καὶ
τὴν αὐλήν, ἅπερ ἐστὶν αἰσθητά· παρὸ καὶ ταῖς βάσεσι διήνεγκαν,
χαλκαῖ γάρ εἰσιν· ἐπεὶ δὲ τῆς ἐν ἡμῖν αἰσθήσεως κεφαλὴ μὲν καὶ
ἡγεμονικὸν ὁ νοῦς, ἐσχατιὰ δὲ καὶ ὡσανεὶ βάσις τὸ αἰσθητόν, εἴκασε δὴ
τὸν μὲν νοῦν χρυσῷ, χαλκῷ δὲ τὸ αἰσθητόν. μέτρα δὲ τῶν κιόνων 83
ταῦτα· δέκα μὲν πήχεις τὸ μῆκος, εἷς δὲ καὶ ἥμισυς τὸ εὖρος, ἵν᾽ ἡ
σκηνὴ πᾶσι τοῖς μέρεσιν ἴση προφαίνηται.

p. 148 M. (5.) | Παγκάλοις δὲ καὶ ποικίλοις ὑφάσμασιν αὐτὴν περιέβαλεν, 84
ὑακίνθῳ καὶ πορφύρᾳ καὶ κοκκίνῳ καὶ βύσσῳ καταχρώμενος εἰς τὴν

---

1 τῷ ὑπαίθρῳ om. A 1. 2 συναπτοὺς V²OK 3 τριγωνίου HP 4 ἐντὸς] ἐκτὸς M, ὀκτὼ BEGHP (Turn.) 5 καθ᾽ ἑτέραν P post πλευρὰν interpung. BEM εἴκοσιν, ἓξ δὲ] εἴκοσι δ᾽ ἐκ BEM 6 παρὰ] ἐν A (v) 7 ἄντικρυς VOKFH¹P 7. 8 τοῖς πέντε τοὺς G 8 συγκατατάττων GH² (Turn.) 9 ἐν AHP: om. ceteri 9. 10 τῇ — τῇ] πῇ — πῇ A (v) 10 νεύει AGHP: νεύειν ceteri ἐκτός] ἐκ τῆς M δ᾽ VOK ἀνακάμπτει AGHP: ἀνακάμπτειν ceteri πρὸς τὸν νοῦν A (v) 11 νόμοις] ναὶ μὴν καὶ V²OK αὐτοῦ νόμοις transp. F 12 ἐντὸς] ἐκτὸς EF ἐννένευκε VOK 14 διήνεγκε HP 15 εἰσιν] ἦσαν coni. Mang. coll. 218,22 ἐπεὶ δὲ AFGH¹P: ἐπὶ δὲ BEMV¹H², ἐπειδὴ V²OK κεφαλὴ] κεφάλαιον H (v) 16 ἐσχατιὰ AFGHP: ἐσχατιαὶ ceteri βάσις AFGHP: βάσεις ceteri τὰ αἰσθητὰ V²OK ὅθεν καὶ add. ante εἴκασε V²OK εἴκασε — αἰσθητόν (17) om. BEM εἴκασον A δὴ A: δὲ FGHP, om. VOK 18 post μῆκος add. ἑκάστῳ V²OK εἷς V²OK: εἰς A, πέντε ceteri (Turn.) δὲ καὶ] δέκα A ἥμισυς V²OK: ἥμισυ ceteri (v) 19 προφέρηται A 20 δὲ om. BEM περιέβαλεν] περιεκάλεσεν F 21 κοκκίνῳ καὶ πορφύρᾳ transp. GHP καταχρούμενος V²K εἰς] αὐτῶν V²OK

18 Exod. 26,16 20 sqq. Exod. 26,1 sqq.

ὑφήν. δέκα γὰρ ἃς διὰ τῆς ἱερᾶς γραφῆς ὠνόμασεν αὐλαίας ἐκ τῶν
ἀρτίως λεχθέντων γενῶν ἐδημιούργει, μήκει μὲν ὀκτὼ καὶ εἴκοσι πηχῶν
ἑκάστην, εἰς δὲ τέσσαρας πήχεις πρὸς εὖρος ἀποτείνων, ἵνα καὶ δεκάδα
ἔχωσι τὴν παντέλειαν καὶ τετράδα τὴν δεκάδος οὐσίαν καὶ τὸν ὀκτὼ
καὶ εἴκοσιν ἀριθμὸν τέλειον ἴσον τοῖς ἑαυτοῦ μέρεσι καὶ τεσσαρακοντάδα
τὴν ζῳογονικωτάτην, ἐν ᾗ διαπλάττεσθαί φασιν ἄνθρωπον ἐν τῷ τῆς
85 φύσεως ἐργαστηρίῳ. οἱ μὲν οὖν ὀκτὼ καὶ εἴκοσι πήχεις τῶν αὐλαιῶν
τοιαύτην ἔχουσι τὴν διανομήν· δέκα μὲν κατὰ τὸν ὄροφον — τοσοῦτον
γάρ ἐστι τῆς σκηνῆς τὸ εὖρος —, οἱ δὲ λοιποὶ κατὰ τὰς πλευράς,
ἑκατέρωθεν ἐννέα, πρὸς σκέπην ἀποτείνονται τῶν κιόνων, ὑπολειπομένου
πήχεως ἀπὸ τοῦ ἐδάφους, ἵνα μὴ ἐπισύρηται ⟨τὸ⟩ πάγκαλον καὶ ἱεροπρεπὲς
86 ὕφασμα. τῶν δὲ τεσσαράκοντα, οἳ συναριθμοῦνται ἐκ τοῦ τῶν δέκα
αὐλαιῶν πλάτους, τριάκοντα μὲν ἀπολαμβάνει τὸ μῆκος — τοσοῦτον γάρ
ἐστι καὶ ⟨τὸ⟩ τῆς σκηνῆς —, ἐννέα δὲ ὁ ὀπισθόδομος, τὸν δὲ λοιπὸν τὸ
κατὰ τὸ προπύλαιον, ἵνα δεσμὸς ᾖ τοῦ ὅλου περιβλήματος· ἐπὶ δὲ τοῦ
87 προπυλαίου τὸ καταπέτασμα. σχεδὸν δὲ καὶ αἱ αὐλαῖαι κατα-
πετάσματ' εἰσίν, οὐ μόνον τῷ τὸν ὄροφον καὶ τοὺς τοίχους καλύπτειν,
ἀλλὰ καὶ τῷ συνυφάνθαι γένεσι τοῖς αὐτοῖς, ὑακίνθῳ καὶ πορφύρᾳ καὶ
κοκκίνῳ καὶ βύσσῳ. ἐκ δὲ τῶν αὐτῶν τό τε καταπέτασμα καὶ τὸ λεγόμενον
κάλυμμα κατεσκευάζετο, τὸ μὲν εἴσω κατὰ τοὺς τέσσαρας κίονας, ἵν' ἐπι-
κρύπτηται τὸ ἄδυτον, τὸ δ' ἔξω κατὰ τοὺς πέντε, ὡς μηδεὶς ἐξαπόπτου δύναιτο
88 τῶν μὴ ἱερωμένων καταθεάσασθαι τὰ ἅγια. (6.) τὰς δὲ τῶν ὑφασμάτων

1 γὰρ] δὲ A, μὲν γὰρ V²OK ἱερᾶς AGHP: om. ceteri αὐλαίας] αὐλαὶ ὡς BEMV¹ 3 πρὸς] τὸ BEMG (Mang.) ἀνατείνων A (v) δεκάδα] δέκα E 4 παντέλειον VOK 5 αὐτοῦ A καὶ τὴν τεσσαρακοντάδα A (v) 6 ζωογονωτάτην corr. ex ζωογονικωτάτην A φησιν M 7 ὀκτὼ καὶ εἴκοσι] κη' VOK, εἰκοσιοκτὼ A (v) 8 ἔχοντες P κατὰ τῶν ὀρόφων VOK, κατ' ὄροφον A 9 κατὰ] παρὰ A (v) 10 ἀποτείνονται AFGHP: ἀποτεινόντων BEMV¹, ἀποτείνοντες V²OK ὑπολειπόμενοι οὐ BEM, ὑπολειπόμενοι P 11 πήχεος BEM, πήχεως (ο supra ω) O ἀνασύρηται A (v) τὸ add. Mang. πᾶν καλὸν A 12 ἐκ τοῦ om. BEM 14 τὸ add. Mang. δ' BEMGHP ὁ ὀπισθόδομος VOKG: ὁ om. ceteri ὀπισθοδόμοις A τὸ δὲ λοιπὸν AGHP, τῶν δὲ λοιπῶν V¹ τὸ om. AVOK 15 κατὰ eras. V², om. OK πρόπυλον A 16 προπύλου AVOK καὶ om. A 16. 17 καταπετάσματα VOKF, καταπετάσμασιν A 17 τῷ] τὸ M, τῶν K τείχους A καλύπτειν] κάμπτειν KF 18 τῷ] τὸ M συνυφᾶσθαι VOK ὑακινθίνω HP 20 κατεσκευάζετο AGHP: κατασκευάζεται ceteri 22 καταθεάσασθαι AGHP: καταθεᾶσθαι ceteri (Mang.)

ὕλας ἀριστίνδην ἐπέκρινεν ἐκ μυρίων ὅσων ἑλόμενος τοῖς στοιχείοις ἰσαρίθμους, ἐξ ὧν ἀπετελέσθη ὁ κόσμος, καὶ πρὸς αὐτὰ λόγον ἐχούσας, γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ· ἡ μὲν γὰρ βύσσος ἐκ γῆς, ἐξ ὕδατος δ' ἡ πορφύρα, ἡ δ' ὑάκινθος ἀέρι ὁμοιοῦται — φύσει γὰρ μέλας οὗτος —, τὸ δὲ κόκκινον πυρί, διότι φοινικοῦν ἑκάτερον· ἦν γὰρ ἀναγκαῖον ἱερὸν χειροποίητον κατασκευάζοντας τῷ πατρὶ καὶ ἡγεμόνι p. 149 M. τοῦ παντὸς τὰς ὁμοίας | λαβεῖν οὐσίας, αἷς τὸ ὅλον ἐδημιούργει.

Ἡ μὲν οὖν σκηνή, καθάπερ νεὼς ἅγιος, τὸν εἰρημένον τρόπον 89
κατεσκευάσθη. τέμενος δ' αὐτῆς ἐν κύκλῳ περιεβάλετο πηχῶν μῆκος ἑκατὸν καὶ πλάτος πεντήκοντα, κίονας ἔχον ἀφεστῶτας ἴσον ἀλλήλων διάστημα πέντε πήχεις, ὡς τοὺς μὲν σύμπαντας ἑξήκοντα εἶναι, διανέμεσθαι δ' εἰς μὲν τὸ μῆκος τεσσαράκοντα, πρὸς δὲ τὸ εὖρος εἴκοσι,

1 ὕλας] ἰδέας A ὅσον AP 2 ἐχούσας AFGHP: ἔχοντας ceteri 3 καὶ ἀέρα om. V[1], ἀέρα ss. V[2], ἀέρα καὶ πῦρ O, καὶ πῦρ ἀέρα K 4 ἡ δ' ὑάκινθος codd.: ὁ δ' ὑάκινθος v 6 ἱερὸν] om. BEMV[1], σκηνὴν V[2]OK κατασκευάζοντας χειροποίητον transp. A (v) κατασκευάζοντας AFGHP: κατασκευάζοντα ceteri πατρὶ AGHP: πατρὶ τῶν ὅλων ceteri 7 ἐδημιουργεῖτο coni. Mang. 8 τῷ εἰρημένῳ τρόπῳ VOK 9 περιεβάλλετο AH (v) πηχέων VOK μῆκος πηχῶν transp. HP 10 ἑκατὸν] ρ' VOK, ὀκτὼ BEM ἔχων Turn. ἐφεστῶτας P 11 σύμπαντας AFGHP: πάντας ceteri 12 δὲ K τετταράκοντα AF, μ' VOK εἴκοσι] ὀκτὼ H (Turn.)

1 sqq. *Ioseph. Ant. Iud. III § 183* τά τε φάρση ἐκ τεσσάρων ὑφανθέντα τὴν τῶν στοιχείων φύσιν δηλοῖ· ἥ τε γὰρ βύσσος τὴν γῆν ἀποσημαίνειν ἔοικεν διὰ τὸ ἐξ αὐτῆς ἀνεῖσθαι τὸ λίνον, ἥ τε πορφύρα τὴν θάλασσαν τῷ πεφοινῖχθαι τῶν ἰχθύων τῷ αἵματι, τὸν δὲ ἀέρα βούλεται δηλοῦν ὁ ὑάκινθος, καὶ ὁ φοῖνιξ δ' ἂν εἴη τεκμήριον τοῦ πυρός. cf. *Bell. Iud. V § 212* πρὸ δὲ τούτων (θυρῶν τοῦ ναοῦ) ἰσόμηκες καταπέτασμα πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων. (213) ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δ' ὑακίνθῳ τὸν ἀέρα καὶ τῇ πορφύρᾳ τὴν θάλατταν, τῶν μὲν ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν ἀναδίδωσιν ἡ γῆ, τὴν δ' ἡ θάλαττα. *Clem. Alex. Strom. V 6 p. 665 P.* . . . . τό τε κάλυμμα καὶ παραπέτασμα ὑακίνθῳ καὶ πορφύρᾳ κόκκῳ τε καὶ βύσσῳ πεποίκιλτο· ᾐνίττετο δ' ἄρα ὡς ἡ τῶν στοιχείων φύσις ἐπέχει τὴν ἀποκάλυψιν τοῦ θεοῦ· ἐξ ὕδατος μὲν γὰρ ἡ πορφύρα, βύσσος δ' ἐκ γῆς, ὑάκινθός τε ὡμοίωται ἀέρι ζοφώδης ὤν, ὥσπερ ὁ κόκκος τῷ πυρί. *Origenes in Exod. homil. XIII 3 (t. IX p. 156 Lomm.)* . . . sed videamus et cetera, hyacinthum et purpuram et coccum duplicatum et byssum tortam . . . . de his dixerunt quidam ante nos . . . . ista ergo, ut et prioribus visum est, quattuor elementorum, ex quibus et mundus constat et corpus humanum, tenent figuram, id est aeris, ignis, aquae, et terrae. hyacinthus ergo ad aerem refertur — hoc enim ipse indicat color —, sicut et coccus ad ignem; purpura aquae tenet figuram, quasi quae de aquis accipiat fucum, byssus terrae, quia oritur ex terra. 9 sqq. Exod. 27,9 sqq.

90 καθ' ἑκάτερα μέρη τοὺς ἡμίσεις. ὕλη δὲ τῶν στύλων τὰ μὲν ἐντὸς κέδρος, τὰ
δ' ἐκ τῆς ἐπιφανείας ἄργυρος, ἁπάντων δ' αἱ βάσεις χαλκαῖ, καὶ τὸ ὕψος ἴσον
πέντε πηχῶν· ἔδοξε γὰρ ἁρμόττον εἶναι τῷ τεχνίτῃ συνελεῖν ὅλῳ ἡμίσει τὸ
ὕψος τῆς λεγομένης αὐλῆς, ἵν' ἡ σκηνὴ πρὸς τὸ διπλάσιον μετέωρος ἀρθεῖσα
προφαίνηται. λεπταὶ δ' ὀθόναι κατὰ τοῦ μήκους καὶ πλάτους ἦσαν ἐφαρμο-
ζόμεναι τοῖς κίοσιν ἱστίοις ἐμφερεῖς, ὑπὲρ τοῦ μηδένα τῶν μὴ καθαρῶν
91 εἰσιέναι. (7.) ἡ δὲ θέσις τοιάδε ἦν· μέση μὲν ἵδρυτο ἡ σκηνὴ μῆκος
ἔχουσα τριάκοντα πήχεις καὶ εὖρος δέκα σὺν τῷ βάθει τῶν κιόνων,
ἀφειστήκει δὲ τῆς αὐλῆς ἐκ τριῶν μερῶν ἴσῳ διαστήματι, δυοῖν μὲν
κατὰ τὰς πλευράς, ἑνὸς δὲ κατὰ τὸν ὀπισθόδομον, τὸ δὲ διάστημα ἐξ
εἴκοσι πηχῶν ἀνεμετρεῖτο· κατὰ δὲ τὸ προπύλαιον, ὡς εἰκός, ἕνεκα τοῦ
πλήθους τῶν εἰσιόντων μεῖζον ἐγίνετο διάστημα πεντήκοντα πηχῶν·
οὕτως γὰρ οἱ ἑκατὸν τῆς αὐλῆς ἔμελλον ἐκπληροῦσθαι, τῶν κατὰ τὸν
ὀπισθόδομον εἴκοσι καὶ οὓς ἀπελάμβανεν ἡ σκηνὴ τριάκοντα συντεθέντων
92 τοῖς κατὰ τὰς εἰσόδους πεντήκοντα. τὰ γὰρ προπύλαια τῆς σκηνῆς
ὡσανεὶ μέσος ὅρος ἵδρυτο διττῆς πεντηκοντάδος, τῆς μὲν κατ' ἀνατολάς,
ἔνθα αἱ εἴσοδοι, τῆς δὲ πρὸς δυσμάς, ἔνθα τό τε μῆκος τῆς σκηνῆς καὶ
93 ὁ κατόπιν περίβολος. κάλλιστον δὲ καὶ μέγιστον ἄλλο προπύλαιον ἐν
ἀρχῇ τῆς εἰς τὴν αὐλὴν εἰσόδου κατεσκευάζετο διὰ τεττάρων κιόνων,
καθ' ὧν ἐτείνετο ποικίλον ὕφασμα τὸν αὐτὸν τρόπον τοῖς εἴσω κατὰ
τὴν σκηνὴν κἀκ τῆς ὁμοίας ὕλης ἀπειργασμένον.
94 Ἅμα δὲ τούτοις ἐδημιουργεῖτο καὶ σκεύη ἱερά, κιβωτός, λυχνία,

1 ἑκάτερον μέρος HP στύλων] στήλων A ἐντὸς] ἐκτὸς A κέδρος AF: κέδρου ceteri 2 δ' αἱ A: om. HP, δὲ (om. αἱ) ceteri τὸ ὕψος AF: τὸ om. ceteri 3 ὅλων A 4 τὸ πλάσιον (sic) A 5 προφαίνηται V^{2}OK (cf. 219,19): περιφαίνοιτο G, περιφαίνηται ceteri 6 τοῖς κίοσιν] τὴν κίνησιν F μὴ om. HP^{1} 7 ἡ ante σκηνὴ om. AFG (v) 8 καὶ om. A δέκα σὺν om. in lac. A, δέκα suppl. man. rec. βάθει] πάχει V^{2}OK 10 κατὰ τὰς πλευράς A: κατὰ πλευρά BE, κατὰ πλευράν ceteri 11 πήχεων BEM, πηχέων VOK ἐνεμετρεῖτο VOK ἕνεκα] ἕνα P 12 ἐγένετο BEMG 13 οὕτως AV^{2}O: οὕτω V^{1}KGHP, οὗτοι BEMF 14 συντιθέντων A, συνθέτων H^{1}P 15 τοῖς] τῶν BEM 17 εἴσοδος (om. αἱ) A, εἴσοδοι (om. αἱ) v δυσμαῖς A (Turn.) 18 μέγιστον δὲ καὶ κάλλιστον transp. A (v) 19 τὴν om. A 20 καθ' ὧν AFGHP: καθ' ἣν ceteri ποικίλον A: τὸ ποικίλον ceteri (v) 21 ἀπειργασμένον AGHP: κατεσκευασμένον ceteri 22 ἅμα] ἄλλα F τούτοις F: τούτῳ ceteri (v)

18—21 Exod. 27,16

τράπεζα, θυμιατήριον, βωμός. ὁ μὲν οὖν βωμὸς ἱδρύετο ἐν ὑπαίθρῳ,
τῶν εἰσόδων τῆς σκηνῆς ἀντικρύ, ἀφεστὼς τοσοῦτον ὅσον ἱκανὸν λειτουρ-
γοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας.
(8.) ἡ δὲ κιβωτὸς ἐν ἀδύτῳ καὶ ἀβάτῳ τῶν καταπετασμάτων εἴσω, 95
p. 150 M. κεχρυσωμένη πολυτελῶς ἔνδοθέν | τε καὶ ἔξωθεν, ἧς ἐπίθεμα ὡσανεὶ
πῶμα τὸ λεγόμενον ἐν ἱεραῖς βίβλοις ἱλαστήριον. τούτου μῆκος μὲν 96
καὶ πλάτος μεμήνυται, βάθος δ' οὐδέν, ἐπιφανείᾳ γεωμετρικῇ μάλισθ'
ὡμοιωμένου, ὅπερ ἔοικεν εἶναι σύμβολον φυσικώτερον μὲν τῆς ἵλεω τοῦ
θεοῦ δυνάμεως, ἠθικώτερον δὲ διανοίας πάλιν, ἵλεω δ' ἑαυτῇ, τὴν πρὸς
ὕψος ἄλογον αἴρουσαν καὶ φυσῶσαν οἴησιν ἀτυφίας ἔρωτι σὺν ἐπιστήμῃ
στέλλειν καὶ καθαιρεῖν ἀξιούσης. ἀλλ' ἡ μὲν κιβωτὸς ἀγγεῖον νόμων 97
ἐστίν· εἰς γὰρ ταύτην κατατίθεται τὰ χρησθέντα λόγια· τὸ δ' ἐπίθεμα
τὸ προσαγορευόμενον ἱλαστήριον βάσις ἐστὶ πτηνῶν δυοῖν, ἃ πατρίῳ μὲν
γλώττῃ προσαγορεύεται Χερουβίμ, ὡς δ' ἂν Ἕλληνες εἴποιεν, ἐπίγνωσις
καὶ ἐπιστήμη πολλή. ταῦτα δέ τινες μέν φασιν εἶναι σύμβολα τῶν 98
ἡμισφαιρίων ἀμφοῖν κατὰ τὴν ἀντιπρόσωπον θέσιν, τοῦ τε ὑπὸ γῆν καὶ
ὑπὲρ γῆν· πτηνὸν γὰρ ὁ σύμπας οὐρανός. ἐγὼ δ' ἂν εἴποιμι δηλοῦσθαι 99
δι' ὑπονοιῶν τὰς πρεσβυτάτας καὶ ἀνωτάτω δύο τοῦ ὄντος δυνάμεις,

1 βωμός — βωμὸς] βωμὸς δὲ (cet. om.) A οὖν om. F ἱδρύετο GHP: ἵδρυτο ceteri (v) 2 ἄντικρυς VOKF ἀφεστῶτος BEM post ἱκανὸν add. ἦν HP (v) 3 ἡμέρας (sic) H τελουμένας GH 4 ἀδύτοις P καταπετάσματι F ἔσω A 5 τε FGHP: om ceteri ἔξω V[1]K ⟨καὶ⟩ ὡσανεὶ coni. Mang. 7 δὲ VOK μάλισθ' AGHP: μάλιστα ceteri 8 ὡμοιωμένου FGP: ὡμοιωμένον H, ὁμοιουμένου A, ὁμοιούμενον ceteri (v) 9 δὲ om. M πάλιν om. VOK ἵλεω δ' ἑαυτῇ FGHP: ἵλεω δ' αὐτή BEM, ἵλεω αὐτῆς A, τὴν αὐτὴν ἵλεω τοῦ θεοῦ δύναμιν V[2]OK; ἵλεω δ' ἑαυτῇ αὐτῆς v 11 συστέλλειν BEMF ἀγγεῖον] αἰτία A τῶν νόμων A (v) 12 ἐστίν om. VOK κατατίθενται AGHP 13 πτηνῶν codd.: τῶν πτηνῶν v δυεῖν VOK, δύο A πατρίῳ] πατρῶα A; πατρίᾳ v 15 μέν om. M, φασὶ μὲν transp. VOK εἶναι om. M σύμβολον P 16 ὑπὸ γῆν codd.: ὑπὸ γῆς v 17 τοῦ add. ante ὑπὲρ V[2]OK ὑπὲρ γῆς FGH πτηνῶν VOKM (Turn.) γὰρ] μὲν VOK

1—3 Exod. 27,1 sqq. 1 *Procop. Gaz. Comment. in Exod. 27,1* (Migne t. 87,1 Col. 640): θυσιαστήριον δέ, φασί, καλεῖ τὸν ἐν ὑπαίθρῳ βωμόν, τῶν εἰσόδων τῆς σκηνῆς ἄντικρυς, ἀφεστῶτα τοσοῦτον ὅσον ἱκανὸν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας. 4. 5 Exod. 25,9 sqq. 6 sqq. Exod. 25,16 sqq. 14—17 *Clem. Alex. Strom. V 6 p. 667 P.*: ναὶ μὴν καὶ τὰ χρυσᾶ ἐκεῖνα ἀγάλματα, ἑξαπτέρυγον ἑκάτερον αὐτῶν, εἴτε τὰς δύο ἄρκτους, ὡς βούλονταί τινες, ἐμφαίνει, εἴτε, ὅπερ μᾶλλον, τὰ δύο ἡμισφαίρια. ἐθέλει δὲ τὸ ὄνομα τῶν Χερουβὶμ δηλοῦν ἐπίγνωσιν πολλήν.

τήν τε ποιητικὴν καὶ βασιλικήν· ὀνομάζεται δ' ἡ μὲν ποιητικὴ δύναμις
αὐτοῦ θεός, καθ' ἣν ἔθηκε καὶ ἐποίησε καὶ διεκόσμησε τόδε τὸ πᾶν, ἡ δὲ
βασιλικὴ κύριος, ᾗ τῶν γενομένων ἄρχει καὶ σὺν δίκῃ βεβαίως ἐπικρατεῖ.
100 μόνος γὰρ πρὸς ἀλήθειαν ὢν καὶ ποιητής ἐστιν ἀψευδῶς, ἐπειδὴ τὰ μὴ ὄντα
ἤγαγεν εἰς τὸ εἶναι, καὶ βασιλεὺς φύσει, διότι τῶν γεγονότων οὐδεὶς ἂν
101 ἄρχοι δικαιότερον τοῦ πεποιηκότος. (9.) ἐν δὲ τῷ μεθορίῳ τῶν τεσσάρων
καὶ πέντε κιόνων, ὅπερ ἐστὶ κυρίως εἰπεῖν πρόναον εἰργόμενον δυσὶν
ὑφάσμασι, τῷ μὲν ἔνδον ὃ καλεῖται καταπέτασμα, τῷ δ' ἐκτὸς ὃ προσ-
αγορεύεται κάλυμμα, τὰ λοιπὰ τρία σκεύη τῶν προειρημένων ἱδρύετο·
μέσον μὲν τὸ θυμιατήριον, γῆς καὶ ὕδατος σύμβολον εὐχαριστίας,
ἣν ἕνεκα τῶν γινομένων ἀφ' ἑκατέρου προσῆκε ποιεῖσθαι· τὸν γὰρ
102 μέσον ταῦτα τοῦ κόσμου τόπον κεκλήρωται· τὴν δὲ λυχνίαν ἐν τοῖς
νοτίοις, δι' ἧς αἰνίττεται τὰς τῶν φωσφόρων κινήσεις ἀστέρων· ἥλιος

1 δὲ AVOK 1. 2 αὐτοῦ δύναμις transp. BMVOK 2 αὐτοῦ] αὔτη A ἔθηκε om. O διεκόσμησε AFGHP: ἐκόσμησε ceteri 3 ᾗ G: ἡ FP, ἣ ceteri ἄρχει] ἀρχὴ F, om. H^{1}P σὺν δίκῃ] συνδεῖ καὶ BM, δίκῃ om. in lac. E 4 ἀψευδής V^{2}OK 6 ἄρχῃ MG τεττάρων A, δ' VOK 7 ε' VOK 8 τῷ μὲν] τὸ μὲν AVOKF (v) ὃ] ὃν A (v), om. VOK τῷ δ'] τὸ δ' AVOKF (v) ὃ om. AVOK 9 τὰ λοιπὰ A: τὰ δὲ λοιπὰ ceteri τρία AFGHP: om. ceteri ἱδρύεται G, ἵδρυτο A (v) 10 μὲν AF: om. ceteri ⟨ὑπὲρ⟩ γῆς conicio (cf. *Quis rer. div. heres* § 226) 11 ἣν] ἦν B^{1}E ἐφ' ἑκατέρου H^2 (v), ἐφ' ἑκάτερον H^{1}P, ἀφ' ἑκατέρου om. BEM προσήκει A (v) 12 τοῦ κόσμου ταῦτα transp. BEM κεκλήρωκε M 13 τῶν om. V^1, add. V^2

6—9 *Procop. Gaz. l. l.* ἦν δὲ ἐν μεθορίῳ τῶν δ' καὶ ε' κιόνων, περὶ ὧν ἐρεῖ, ὅπερ ἐστὶν εἰπεῖν κυρίως πρόναον εἰργόμενον δυσὶν ὑφάσμασι, τῷ μὲν ἔνδον ὃ καλεῖται καταπέτασμα, τῷ δὲ ἐκτὸς ὃ καλεῖται κάλυμμα· ἔνθα ἦν καὶ τὸ θυμιατήριον καὶ ἡ λυχνία καὶ ἡ τράπεζα. 10 Exod. 30,1 sqq. 10—12 *Clem. Alex. Strom. V 6 p. 665 P.:* ἀνὰ μέσον δὲ τοῦ καλύμματος καὶ τοῦ παραπετάσματος, ἔνθα τοῖς ἱερεῦσιν ἐξῆν εἰσιέναι, θυμιατήριον [τε] ἔκειτο σύμβολον τῆς ἐν μέσῳ τῷ κόσμῳ τῷδε κειμένης γῆς, ἐξ ἧς αἱ ἀναθυμιάσεις. μέσος δὲ καὶ ὁ τόπος ἐκεῖνος τοῦ τε ἐντὸς τοῦ καταπετάσματος, ἔνθα μόνῳ τῷ ἀρχιερεῖ ἐπετέτραπτο ῥηταῖς εἰσιέναι ἡμέραις, καὶ τῆς ἔξωθεν περικειμένης αὐλαίας (αὐλῆς legendum videtur) τῆς πᾶσιν ἀνειμένης Ἑβραίοις· ⟨ὂν?⟩ τὸ μεσαίτατον οὐρανοῦ φασι καὶ γῆς· ἄλλοι δὲ κόσμου τοῦ νοητοῦ καὶ τοῦ αἰσθητοῦ λέγουσιν εἶναι σύμβολον.
12 Exod. 25,30 sqq. 13 sqq. *Ioseph. Ant. Iud.* III § 182 τὴν δὲ λυχνίαν ἐξ ἑβδομήκοντα μορίων ποιήσας συγκειμένην τὰς τῶν πλανητῶν δεκαμοιρίας ᾐνίξατο· καὶ λύχνους ὑπὲρ αὐτῆς ἑπτά, τῶν πλανητῶν τὴν φοράν· τοσοῦτοι γάρ εἰσι τὸν ἀριθμόν. cf. *Bell. Iud. V § 217* (de templo Hierosolymitano) ἐνέφαινον δ' οἱ μὲν ἑπτὰ λύχνοι τοὺς πλάνητας (τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διήρτηντο τῆς λυχνίας). *Clem. Alex. Strom. V 6 p. 666 P.:* ναὶ μὴν ἥ τε λυχνία ἐν τοῖς νοτίοις ἔκειτο τοῦ θυμιατηρίου, δι' ἧς αἱ τῶν ἑπτὰ φωσφόρων κινήσεις δεδήλωνται νοτίους τὰς περιπολήσεις ποιουμένων. τρεῖς γὰρ ἑκατέρωθεν τῆς λυχνίας ἐμπεφύκασι (leg. ἐκπεφύκασι) κλάδοι καὶ ἐπ' αὐτοῖς οἱ λύχνοι, ἐπεὶ καὶ ὁ ἥλιος ὥσπερ ἡ λυχνία μέσος τῶν ἄλλων πλανητῶν τεταγμένος τοῖς τε ὑπὲρ αὐτὸν τοῖς τε ὑπ' αὐτὸν κατά τινα θείαν μουσικὴν ἐνδίδωσι τοῦ φωτός.

γὰρ καὶ σελήνη καὶ οἱ ἄλλοι πολὺ τῶν βορείων ἀφεστῶτες νοτίους ποι-
οῦνται τὰς περιπολήσεις· ὅθεν ἓξ μὲν κλάδοι, τρεῖς δ' ἑκατέρωθεν, τῆς
μέσης λυχνίας ἐκπεφύκασιν εἰς ἀριθμὸν ἕβδομον· ἐπὶ δὲ πάντων λαμπά- 103
διά τε καὶ λύχνοι ἑπτά, σύμβολα τῶν λεγομένων παρὰ τοῖς φυσικοῖς
p. 151 M. ἀνδράσι πλανήτων· ὁ γὰρ ἥλιος, | ὥσπερ ἡ λυχνία, μέσος τῶν ἓξ τεταγ-
μένος ἐν τετάρτῃ χώρᾳ φωσφορεῖ τοῖς ὑπεράνω τρισὶ καὶ τοῖς ὑπ' αὐτὸν
ἴσοις, ἁρμοζόμενος τὸ μουσικὸν καὶ θεῖον ὡς ἀληθῶς ὄργανον. (10.) ἡ 104
δὲ τράπεζα τίθεται πρὸς τοῖς βορείοις, ἐφ' ἧς ἄρτοι καὶ ἅλες, ἐπειδὴ
τῶν πνευμάτων τὰ βόρεια τροφιμώτατα καὶ διότι ἐξ οὐρανοῦ καὶ γῆς
αἱ τροφαί, τοῦ μὲν ὕοντος, τῆς δὲ τὰ σπέρματα ταῖς τῶν ὑδάτων
ἐπιρροίαις τελειογονούσης. οὐρανοῦ δὲ καὶ γῆς παρίδρυται τὰ σύμβολα, 105
καθάπερ ἔδειξεν ὁ λόγος, τοῦ μὲν οὐρανοῦ ἡ λυχνία, τῶν δὲ περι-
γείων, ἐξ ὧν αἱ ἀναθυμιάσεις, τὸ ἐτύμως προσαγορευόμενον θυμιατήριον.
τὸν δ' ἐν ὑπαίθρῳ βωμὸν εἴωθε καλεῖν θυσιαστήριον, ὡσανεὶ τηρη- 106
τικὸν καὶ φυλακτικὸν ὄντα θυσιῶν τὸν ἀναλωτικὸν τούτων, αἰνιττόμενος
οὐ τὰ μέλη καὶ τὰ μέρη τῶν ἱερουργουμένων, ἅπερ δαπανᾶσθαι πυρὶ
πέφυκεν, ἀλλὰ τὴν προαίρεσιν τοῦ προσφέροντος· εἰ μὲν γὰρ ἀγνώμων 107
καὶ ἄδικος, ἄθυτοι θυσίαι καὶ ἀνίεροι ἱερουργίαι καὶ εὐχαὶ παλίμφημοι
παντελῆ φθορὰν ἐνδεχόμεναι· καὶ γὰρ ὁπότε γίνεσθαι δοκοῦσιν, οὐ
λύσιν ἁμαρτημάτων, ἀλλ' ὑπόμνησιν ἐργάζονται· εἰ δ' ὅσιος καὶ δίκαιος, 108
μένει βέβαιος ἡ θυσία, κἂν τὰ κρέα δαπανηθῇ, μᾶλλον δὲ καὶ εἰ τὸ

---

1 οἱ om. F (v) πολὺ] πολλοὶ FH[1]P, om. A 2 μὲν om. A τρεῖς δ' om. BEM, δ' om. VOK 4 σύμβολον P 5 πλανητῶν BEMVOK 6 ὑπ' αὐτὸν A Clem. Al.: ὑφ' αὑτὸν ceteri (v) 7 ἴσος BEMV[1], ἴσως V[2]OK ὡς ἀληθῶς καὶ θεῖον transp. VOK 8 ἐπειδὴ] ἐπὶ δὲ A 9 τῶν BEM Clem. Al.: om. ceteri τροφιμώτερα BEMF 10 τῆς] γῆς A ταῖς] τῆς F 11 ἐπιρροίαις codd.: ἐπιρροαῖς Turn., ἐπιρροιαῖς Mang. παρίδρυται AFGHP: παριδρύεται ceteri τὰ σύμβολα παρίδρυται transp. A 12 οὐρανοῦ FGHP: om. ceteri 13 εἰς τὸ add. ante ἐτύμως FGHP ἐτύμως F θυσιαστήριον G, γρ. θυσιαστήριον mg. H 15 καὶ φυλακτικὸν om. VOK τὸ ἀναλωτικὸν VOK (v), τῶν ἀπαλωτικῶν A, τὸν ἀναλογικὸν F τοῦτον BEMF 16 οὐ ante τὸ ἀναλωτικὸν (15) transponendum coni. Mang. alt. τὰ om. A 18 αἱ θυσίαι N 19 ἐκδεχόμεναι V[2]OK 20 λύσιν] χύσιν MGHP 21 μένει· καὶ γὰρ ὁπότε βέβαιος BEMV[1], μένει· καὶ γὰρ ἕπεται βέβαιος V[2]OK κἂν] καὶ BEM καὶ] κἂν AN

8 Exod. 25,22 sqq. 8. 9 *Clem. Alex. Strom. V 6 p. 667 P.*: πρὸς δὲ τοῖς βορείοις τοῦ θυμιατηρίου τράπεζα εἶχε τὴν θέσιν, ἐφ' ἧς ἡ παράθεσις τῶν ἄρτων, ὅτι τροφιμώτατα τῶν πνευμάτων τὰ βόρεια. 14 Exod. 27,1 17—226,4 N fol. 157r: εἰ μὲν — κόσμῳ.

παράπαν μηδὲν προσάγοιτο ἱερεῖον· ἡ γὰρ ἀληθὴς ἱερουργία τίς ἂν εἴη πλὴν
ψυχῆς θεοφιλοῦς εὐσέβεια; ἧς τὸ εὐχάριστον ἀθανατίζεται καὶ ἀνάγραπτον
στηλιτεύεται παρὰ θεῷ συνδιαιωνίζον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ παντὶ
κόσμῳ.
109 (11.) Τούτοις ἑξῆς ἱερὰν ἐσθῆτα κατεσκεύαζεν ὁ τεχνίτης τῷ
μέλλοντι ἀρχιερεῖ καθίστασθαι παγκάλην καὶ θαυμασιωτάτην ἔχουσαν ἐν
τοῖς ὑφάσμασι πλοκήν. τὰ δ' ὕφη διττὰ ἦν, τὸ μὲν ὑποδύτης, τὸ δὲ
110 προσαγορευόμενον ἐπωμίς. ὁ μὲν οὖν ὑποδύτης ἀμιγεστέρας ἰδέας·
ὅλος γὰρ ὑακίνθινος, ἔξω τῶν κατωτάτω καὶ πρὸς ἐσχατιὰς μερῶν,
ταῦτα γὰρ ἐποικίλλετο χρυσοῖς ῥοΐσκοις καὶ κώδωσι καὶ ἀνθίνοις πλέγ-
111 μασιν. ἡ δ' ἐπωμίς, ἐκπρεπέστατον ἔργον καὶ τεχνικώτατον, ἐπι-
στήμῃ τελειοτάτῃ κατεσκευάζετο τοῖς προειρημένοις γένεσιν, ὑακίνθῳ
καὶ πορφύρᾳ καὶ βύσσῳ καὶ κοκκίνῳ, συγκαταπλεκομένου χρυσοῦ·
πέταλα γὰρ εἰς λεπτὰς τρίχας κατατμηθέντα πᾶσι τοῖς νήμασι συν-
112 υφαίνετο. λίθοι δ' ἐπὶ τῶν ἀκρωμίων ἐνηρμόζοντο σμαράγδου πολυ-
τελοῦς δύο τιμαλφέστατοι, | οἷς τὰ ὀνόματα τῶν φυλάρχων ἓξ καθ' p. 152 M.
ἑκάτερον ἐνεχαράττετο, δώδεκα τὰ σύμπαντα· καὶ κατὰ τὸ στῆθος
ἄλλοι λίθοι πολυτελεῖς δώδεκα διαφέροντες ταῖς χρόαις, σφραγῖσιν
ἐοικότες, ἐκ τριῶν τετραστοιχεί· οὗτοι δ' ἐνηρμόζοντο τῷ προσαγορευο-
113 μένῳ λογείῳ. τὸ δὲ λογεῖον τετράγωνον διπλοῦν κατεσκευάζετο ὡσανεὶ
βάσις, ἵνα δύο ἀρετὰς ἀγαλματοφορῇ, δήλωσίν τε καὶ ἀλήθειαν· ὅλον
δ' ἁλυσειδίοις χρυσοῖς ἀνήρτητο πρὸς τὴν ἐπωμίδα, σφιγγόμενον ἐξ

1 προσαγάγοιτο A 2 καὶ] κἂν M (Mang.) 3 θεῷ codd.: τῷ θεῷ v συνδιαιωνίζων O τῷ om. N 5 ⟨πρὸς⟩ vel ⟨ἐπὶ⟩ τούτοις coni. Mang. ἐξ ἧς AF ἱερὰν ἑξῆς transp. GHP (Turn.) 6 ἱερεῖ A 6. 7 ἐν τοῖς ὑφάσμασιν ἔχουσα (sic) transp. G 7 ὑποδήτης P 8 ὑποδήτης P 9 post γὰρ add. ἦν V^{2}OK ὑακίνθυνος H κατωτάτων VK ἐσχατιαῖς AF (Mang.) 10 ἀνθεινοῖς VOK, ἀνθίμοις M 11 δὲ VOK εὐπρεπέστατον AVOK post ἔργον add. καὶ τελειότατον VOK 12 τελειότητι F 13 καὶ κοκκίνω καὶ βύσσω καὶ πορφύρα transp. F συγκαταπλεκομένου AFGHP: συμπλεκομένου ceteri 14 λεπτὰ M 15 λίθων H^{1}P δὲ VOK ἐνηρμόζοντο AGHP: ἡρμόζοντο ceteri 16 τὰ om. AHP (v) 17 post ἑκάτερον add. ὃν O τὰ om. G 18 δώδεκα om. H. (Turn.) χρόαις FGHP: χροιαῖς ceteri 19 τετραστοιχεί AGHP: τετραστοιχῆ F, τετραστοιχές $BEMV^{1}$, τετραστιχιῶν V^{2}OK 20 λογίω A λόγιον A 22 δὲ VK ἁλυσιδίοις F (ἁλυσιδίοις v) ἐνήρτητο G

5 sqq. Exod. cap. 28 8 Exod. 28,27 11 Exod. 28,6 20 Exod. 28,15

αὐτῆς, ὑπὲρ τοῦ μὴ χαλᾶσθαι. χρυσοῦν δὲ πέταλον ὡσανεὶ στέφανος 114
ἐδημιουργεῖτο τέτταρας ἔχον γλυφὰς ὀνόματος, ὃ μόνοις τοῖς ὦτα καὶ
γλῶτταν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν ἁγίοις, ἄλλῳ
δ' οὐδενὶ τὸ παράπαν οὐδαμοῦ. τετραγράμματον δὲ τοὔνομά φησιν ὁ 115
θεολόγος εἶναι, τάχα που σύμβολα τιθεὶς αὐτὰ τῶν πρώτων ἀριθμῶν,
μονάδος καὶ δυάδος καὶ τριάδος καὶ τετράδος, ἐπειδὴ πάντα ἐν τετράδι,
σημεῖον καὶ γραμμὴ καὶ ἐπιφάνεια καὶ στερεόν, τὰ μέτρα τῶν συμ-
πάντων, καὶ αἱ κατὰ μουσικὴν ἄρισται συμφωνίαι, ἥ τε διὰ τεσσάρων
ἐν ἐπιτρίτῳ λόγῳ καὶ ἡ διὰ πέντε ἐν ἡμιολίῳ καὶ ἡ διὰ πασῶν ἐν
διπλασίῳ καὶ ἡ δὶς διὰ πασῶν ἐν τετραπλασίῳ· ἔχει δὲ καὶ τὰς ἄλλας
ἀμυθήτους ἀρετὰς ἡ τετράς, ὧν τὰς πλείστας ἠκριβώσαμεν ἐν τῇ περὶ
ἀριθμῶν πραγματείᾳ. μίτρα δ' ἦν ὑπ' αὐτῷ, τοῦ μὴ ψαύειν τῆς 116
κεφαλῆς τὸ πέταλον. πρὸς δὲ καὶ κίδαρις κατεσκευάζετο· κιδάρει γὰρ
οἱ τῶν ἑῴων βασιλεῖς ἀντὶ διαδήματος εἰώθασι χρῆσθαι.

(12.) Τοιαύτη μὲν ἡ τοῦ ἀρχιερέως ἦν ἐσθής. ὃν δ' ἔχει λόγον 117
οὐ παρασιωπητέον αὐτή τε καὶ τὰ μέρη. ὅλη μὲν δὴ γέγονεν ἀπει-
κόνισμα καὶ μίμημα τοῦ κόσμου, τὰ δὲ μέρη τῶν καθ' ἕκαστον μερῶν.
p. 153 M. ἀρκτέον δ' ἀπὸ τοῦ ποδήρους. οὗτος ὁ | χιτὼν σύμπας ἐστὶν ὑακίν- 118
θινος, ἀέρος ἐκμαγεῖον· φύσει γὰρ ὁ ἀὴρ μέλας καὶ τρόπον τινὰ ποδήρης,
ἄνωθεν ἀπὸ τῶν μετὰ σελήνην ἄχρι τῶν γῆς ταθεὶς περάτων, πάντῃ
κεχυμένος· ὅθεν καὶ ὁ χιτὼν ἀπὸ στέρνων ἄχρι ποδῶν περὶ ὅλον τὸ
σῶμα κέχυται. ἐξ αὐτοῦ δὲ κατὰ τὰ σφυρὰ ῥοΐσκοι καὶ ἄνθινα καὶ 119
κώδωνές εἰσι· τὰ μὲν ἄνθινα σύμβολον γῆς, ἀνθεῖ γὰρ καὶ βλαστάνει

1 αὐτῶν V²OK 1. 2 ἐδημιουργεῖτο ὡσανεὶ στέφανος transp. A 2 τέσσαρας VK ⟨γραμμάτων⟩ γλυφὰς vel γράμματα coni. Mang. ὃ] ὧ F 4 δὲ VOK 5 σύμβολον V²OKP αὐτὸ V²OK; αὐτὰς (scil. τὰς γλυφὰς) coni. Mang. 6 ἐν τῇ τετράδι A (v) 7 primum καὶ om. A 8 αἱ om. O 10 καὶ—τετραπλασίῳ om. BMO ἡ om. EF 11 ἀμυθήτους om. VK 12 μίτρα] μήτρα G, μέτρα F ὑπ' αὐτὸν A (ὑπ' αὐτὸ v) τῆς om. AH¹P (v) 14 ἑῴων] αἰγυπτίων A 15 μὲν AGHP: μὲν οὖν ceteri ἦν om. A (v) 16 αὐτή] ὅλη coni. Mang. δὴ] γὰρ A γέγονεν om. A 17 καὶ μίμημα AFGHP: om. ceteri κόσμου] λόγου H (Turn.) 18 δ'] δὲ A, om. H¹P σύμπας AFGHP: ὁ σύμπας ceteri 20 ἄχρι] μέχρι A; καὶ μέχρι v τῶν γῆς BEMG: τῆς γῆς AFHP (v), τῶν τῆς γῆς VOK 21 καὶ AFGHP: om. ceteri. στέρνων AFGHP: τῶν στέρνων ceteri ἄχρι AGHP: μέχρι ceteri ποδῶν AFVOK: τῶν ποδῶν ceteri τὸ ὅλον transp. F 22 κατὰ] καὶ EM 22. 23 ἄνθινα (bis) BEM: ἀνθινὰ (bis) AFGHP, ἀνθεινὰ VOK καὶ κώδωνες — ἄνθινα om. VOK

1 Exod. 28,32 18 *Clem. Alex. Strom. V 6 p. 664 P.*: ἥ τε κατὰ τὸν ποδήρη διασκευὴ διὰ ποικίλων τῶν πρὸς τὰ φαινόμενα συμβόλων τὴν ἀπ' οὐρανοῦ μέχρι γῆς αἰνισσομένη συνθήκην.

πάντα ἐκ ταύτης· οἱ δὲ ῥοΐσκοι ὕδατος, παρὰ τὴν ῥύσιν λεχθέντες
εὐθυβόλως· οἱ δὲ κώδωνες τῆς ἁρμονίας καὶ συμφωνίας τούτων, οὔτε
γὰρ γῆ χωρὶς ὕδατος οὔθ᾽ ὕδωρ ἄνευ τῆς γεώδους οὐσίας αὔταρκες εἰς
120 γένεσιν, ἀλλ᾽ ἡ σύνοδος καὶ κρᾶσις ἀμφοῖν. μάρτυς δὲ τοῦ δηλουμένου
καὶ ὁ τόπος ἐναργέστατος· ὡς γὰρ ἐν ἐσχάτοις τοῦ ποδήρους οἱ ῥοΐσκοι
καὶ τὰ ἄνθινα καὶ οἱ κώδωνές εἰσιν, οὕτως καὶ τὰ ὧν ἐστι σύμβολα
τὴν κατωτάτω χώραν ἔλαχεν ἐν κόσμῳ, γῆ καὶ ὕδωρ, καὶ τῇ
τοῦ παντὸς ἁρμονίᾳ συνηχοῦντα τὰς οἰκείας ἐπιδείκνυται δυνάμεις
121 ἐν ὡρισμέναις χρόνων περιόδοις καὶ τοῖς προσήκουσι καιροῖς. τριῶν
μὲν δὴ στοιχείων, ἐξ ὧν τε καὶ ἐν οἷς τὰ θνητὰ καὶ φθαρτὰ γένη
πάντα, ἀέρος, ὕδατος, γῆς, ὁ ποδήρης σὺν τοῖς ἀπῃωρημένοις κατὰ τὰ
σφυρὰ σύμβολον ἐδείχθη προσηκόντως· ὡς γὰρ ὁ χιτὼν εἷς, καὶ τὰ
λεχθέντα τρία στοιχεῖα μιᾶς ἰδέας ἐστίν, ἐπειδὴ τὰ κατωτέρω σελήνης
ἅπαντα τροπὰς ἔχει καὶ μεταβολάς· καὶ καθάπερ ἐκ τοῦ χιτῶνος
ἤρτηνται οἵ τε ῥοΐσκοι καὶ τὰ ἄνθινα, καὶ ἀπ᾽ ἀέρος τρόπον τινὰ γῆ
122 καὶ ὕδωρ ἐκκρέμανται, τὸ γὰρ ὄχημα τούτων ἐστὶν ἀήρ. τὴν δ᾽ ἐπωμίδα
οὐρανοῦ σύμβολον ὁ λόγος εἰκόσι στοχασμοῖς χρώμενος παραστήσει·
πρῶτον μὲν γὰρ οἱ ἐπὶ τῶν ἀκρωμίων σμαράγδου δύο λίθοι περιφερεῖς
μηνύουσιν, ὡς μὲν οἴονταί τινες, ἀστέρων τοὺς ἡμέρας καὶ νυκτὸς
ἡγεμόνας, ἥλιον καὶ σελήνην, ὡς δ᾽ ἂν ἐγγυτέρω τις τῆς ἀληθείας
προσερχόμενος εἴποι, τῶν ἡμισφαιρίων ἑκάτερον· ἴσα τε γὰρ ὡς οἱ

1 λεχθέντος H 2 τῆς] τὰς BEM 3 οὔτε ὕδωρ AHP 4 κράσις OFP 6 ἄνθινα BEM: ἀνθινὰ AFGHP, ἀνθεινὰ VOK οὕτως AHP: οὕτω ceteri 8 οἰκείας] ἰδίας A (v) ἐπιδείκνυται HP: ἐπιδείκνυνται ceteri (v) 9 χρόνου Turn. 10 δὴ] ἤδη H^{1}P ὧν τε AGHP: ὧνπερ ceteri θνητὰ καὶ φθαρτὰ FGHP: φθαρτὰ καὶ θνητὰ BEM, αἰσθητὰ καὶ φθαρτὰ A (Mang.), om. VOK 11 ὁ om. A τὰ om. A (v) 13 τὰ om. A (Turn.) 15 τε om. BEF, ss. M pr. καὶ om. O ἄνθινα BEM: ἀνθινὰ AFGHP, ἀνθεινὰ VOK alt. καὶ] καὶ τὰ FH^{1}P ἀπὸ A 16 ὄχημα A, σχῆμα corr. in ὄχημα F: σχῆμα BEMV^{1}GHP, σύστημα V^{2}OK ὁ ἀήρ BEMA (v) 18 σμάραγδοι A (v) 19 ἡμέρας τε καὶ A (v) 20 τῆς om. AGH^{1}P (v) 21—229,5 ἴσα — ἑκάτερον om. VOK 21 οἱ om. Turn.

18 sqq. *Ioseph. Ant. Iud. III § 185* δηλοῖ δὲ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην τῶν σαρδονύχων ἑκάτερος, οἷς ἐνεπόρπωσε τὸν ἀρχιερέα. τήν τε δωδεκάδα τῶν λίθων εἴτε τοὺς μῆνάς τις θέλοι νοεῖν, εἴτε τὸν οὕτως ἀριθμὸν τῶν ἀστέρων, ὃν ζῳδιακὸν κύκλον Ἕλληνες καλοῦσι, τῆς κατ᾽ ἐκεῖνο γνώμης οὐκ ἂν ἁμάρτοι. *Clem. Alex. Strom. V 6 p. 668 P.* οἱ οὖν ἐπὶ τῆς ἐπωμίδος σμαράγδου φωτεινοὶ λίθοι ἥλιον καὶ σελήνην μηνύουσι τοὺς συνεργοὺς τῆς φύσεως· χειρὸς δὲ οἶμαι ὦμος ἀρχή. οἱ δὲ ἐπὶ τῷ στήθει τέτραχα τεταγμένοι δώδεκα τὸν ζῳδιακὸν διαγράφουσιν ἡμῖν κύκλον κατὰ τὰς τέσσαρας τοῦ ἔτους τροπάς.

λίθοι τό τε ὑπὲρ γῆν καὶ ὑπὸ γῆν καὶ οὐδέτερον πέφυκε μειοῦσθαι
καὶ συναύξεσθαι καθάπερ σελήνη. συνεπιμαρτυρεῖ δὲ καὶ ἡ χρόα· 123
σμαράγδῳ γὰρ ἔοικεν ἡ τοῦ παντὸς οὐρανοῦ φαντασία κατὰ τὴν τῆς
ὄψεως προσβολήν. ἀναγκαίως δὲ καὶ καθ' ἑκάτερον τῶν λίθων ἓξ
ὀνόματα ἐγγλύφεται, διότι καὶ τῶν ἡμισφαιρίων ἑκάτερον δίχα τέμνον
τὸν ζῳοφόρον ἓξ ἐναπολαμβάνει ζῴδια. ἔπειθ' οἱ κατὰ τὰ στέρνα 124
δώδεκα λίθοι ταῖς χρόαις οὐχ ὅμοιοι διανεμηθέντες εἰς τέσσαρας στοίχους
ἐκ τριῶν τίνος ἑτέρου δείγματ' εἰσὶν ἢ τοῦ ζῳδιακοῦ κύκλου; καὶ γὰρ
p. 154 M. οὗτος τετραχῇ διανεμηθεὶς ἐκ τριῶν ζῳδίων τὰς ἐτησίους ὥρας ἀποτελεῖ,
ἔαρ, θέρος, μετόπωρον, χειμῶνα, τροπὰς τέσσαρας, ὧν ἑκάστης ὅρος
τρία ζῴδια, γνωριζόμενος ταῖς τοῦ ἡλίου περιφοραῖς κατὰ τὸν ἐν ἀριθμοῖς
ἀσάλευτον καὶ βεβαιότατον καὶ θεῖον ὄντως λόγον. ὅθεν ἐνηρμό- 125
ζοντο καὶ τῷ προσαγορευθέντι δεόντως λογείῳ· λόγῳ γὰρ αἱ τροπαὶ
καὶ ἐτήσιοι ὧραι τεταγμένῳ καὶ παγίῳ συνίστανται, τὸ παρα-
δοξότατον, διὰ τῆς καιρίου μεταβολῆς ἐπιδεικνύμεναι τὴν διαιωνί-
ζουσαν αὐτῶν μονήν. εὖ δ' ἔχει καὶ πάνυ καλῶς τὸ τοῖς χρώ- 126
μασι τοὺς δώδεκα λίθους διαλλάττειν καὶ μηδένα ὅμοιον εἶναι μηδενί·
καὶ γὰρ τῶν ἐν τῷ ζῳοφόρῳ ἕκαστον ἀποτελεῖ τι χρῶμα οἰκεῖον κατά
τε ἀέρα καὶ γῆν καὶ ὕδωρ καὶ τὰ τούτων παθήματα καὶ ἔτι κατὰ τὰ
τῶν ζῴων καὶ φυτῶν γένη πάντα. (13.) διπλοῦν δὲ τὸ λογεῖον οὐκ 127
ἀπὸ σκοποῦ· διττὸς γὰρ ὁ λόγος ἔν τε τῷ παντὶ καὶ ἐν ἀνθρώπου

1 ὑπὲρ γῆν BEMA: ὑπὲρ γῆς FGHP   ὑπὸ γῆς καὶ ὑπὲρ γῆν v   2 καὶ συναύξεσθαι BEMGH: ἢ συναύξασθαι P, ἢ συναυξάνεσθαι F, ἢ αὔξεσθαι A   ἡ σελήνη A (v)   3 τῆς om. AG (v)   4 καὶ om. A   καθ' ἑκάτερον AGHP: ἑκατέρῳ BEMF   5 καὶ om. A   ἃ add. ante δίχα V^2OK   τεμνόμενον BEMV^1, τεμνομένου V^2OK   6 τοῦ ζωοφόρου V^2OK   ἔπειτα VOK   τὰ om. A (v)   7 δώδεκα om. BEMV^1F   χροιαῖς AVOK   τέτταρας A   στοίχους] στίχους AVOK (v)   8 δείγματά εἰσιν VOK, δεῖγμά τι ἦν A   10 χειμῶνα μετόπωρον transp. AF   τέτταρας A   ἑκάστης AFP: ἑκάστη ceteri   12 βέβαιον H   ὅθεν codd.: ὅθεν καὶ v   12. 13 ἐνηρμόζοντο AFGHP: ἡρμόζοντο ceteri   13 λογίῳ A   14 ἐτήσιαι A   15 ἐπιδεικνύμεναι AFGHP: ἐπιδεικνύουσαι ceteri   τὴν om. F   16 αὐτῶν FG: αὐτῶν ceteri   μονήν AFGHP: μορφήν ceteri   δ' AFGHP: δὲ ceteri   ante τὸ add. καὶ v   18 τῶν om. A   ἕκαστον BE, ἕκαστον (ος suprascr.) M: ἕκαστος ceteri   τι om. F   19 καὶ ἔτι — πάντα (20) om. H^1P   ἔτι AFGH^2: om. ceteri   κατὰ τὰ VOK: κατὰ (om. τὰ) BEM (Mang.), καὶ τὰ AFGH^2 (Turn.)   20 τῶν om. VOK   γένη καὶ φυτῶν transp. BE, γένη (β) καὶ φυτῶν (α) M   πάντα γένη transp. VOK   λόγιον A   21 ἐν τῇ ἀνθρώπου V^2K, ἐν τῇ τοῦ ἀνθρώπου O

φύσει· κατὰ μὲν τὸ πᾶν ὅ τε περὶ τῶν ἀσωμάτων καὶ παραδειγματικῶν ἰδεῶν, ἐξ ὧν ὁ νοητὸς ἐπάγη κόσμος, καὶ ὁ περὶ τῶν ὁρατῶν, ἃ δὴ μιμήματα καὶ ἀπεικονίσματα τῶν ἰδεῶν ἐκείνων ἐστίν, ἐξ ὧν ὁ αἰσθητὸς οὗτος ἀπετελεῖτο· ἐν ἀνθρώπῳ δ' ὁ μέν ἐστιν ἐνδιάθετος, ὁ δὲ προφορικός, καὶ ὁ μὲν οἷά τις πηγή, ὁ δὲ γεγωνὸς ἀπ' ἐκείνου ῥέων· καὶ τοῦ μέν ἐστι χώρα τὸ ἡγεμονικόν, τοῦ δὲ κατὰ προφορὰν γλῶττα καὶ
128 στόμα καὶ ἡ ἄλλη πᾶσα φωνῆς ὀργανοποιία. σχῆμα δ' ἀπένειμεν ὁ τεχνίτης τετράγωνον τῷ λογείῳ πάνυ καλῶς αἰνιττόμενος, ὡς χρὴ καὶ τὸν τῆς φύσεως λόγον καὶ τὸν τοῦ ἀνθρώπου βεβηκέναι πάντῃ καὶ κατὰ μηδ' ὁτιοῦν κραδαίνεσθαι. παρὸ καὶ τὰς εἰρημένας δύο ἀρετὰς προσεκλήρωσεν αὐτῷ, δήλωσίν τε καὶ ἀλήθειαν· ὅ τε γὰρ τῆς φύσεως λόγος ἀληθὴς καὶ δηλωτικὸς πάντων ὅ τε τοῦ σοφοῦ μιμούμενος ἐκεῖνον ὀφείλει προσηκόντως ἀψευδέστατός τε εἶναι τιμῶν ἀλήθειαν καὶ μηδὲν
129 φθόνῳ συσκιάζειν, ὧν ἡ μήνυσις ὠφελήσει τοὺς ἀναδιδαχθέντας. οὐ μὴν ἀλλὰ καὶ δυσὶ λόγοις τοῖς καθ' ἕκαστον ἡμῶν, τῷ τε προφορικῷ καὶ ἐνδιαθέτῳ, δύο ἀρετὰς ἀπένειμεν οἰκείας, τῷ μὲν προφορικῷ δήλωσιν, τῷ δὲ κατὰ διάνοιαν ἀλήθειαν· ἁρμόζει γὰρ διανοίᾳ μὲν μηδὲν παραδέχεσθαι ψεῦδος, ἑρμηνείᾳ δὲ μηδὲν ἐμποδίζειν τῶν εἰς τὴν ἀκρι-
130 βεστάτην δήλωσιν. λόγου δὲ οὐδὲν ὄφελος τὰ καλὰ καὶ σπουδαῖα σεμνηγοροῦντος, ᾧ μὴ πρόσεστιν οἰκείων ἀκολουθία πράξεων· ὅθεν τὸ λογεῖον ἤρτησεν ἐκ τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται, τὸν λόγον οὐ δικαιώσας | ἔργων ἀπεζεῦχθαι· τὸν γὰρ ὦμον ἐνεργείας καὶ πράξεως ποιεῖται p. 155 M.
131 σύμβολον. (14.) ἃ μὲν οὖν αἰνίττεται διὰ τῆς ἱερᾶς ἐσθῆτος, ἐστὶ τοιαῦτα. κίδαριν δὲ ἀντὶ διαδήματος ἐπιτίθησι τῇ κεφαλῇ δικαιῶν τὸν

2 alt. ὁ V^2OK: om. ceteri τῶν om VK 3 ἐξ — ἐστιν (4) om. HP^1, ἐξ — μέν add. mg. P^2, ὧν — ἐστιν add. mg. H^2 ἐξ AFP^2: om. ceteri 4 δὲ VOK 4. 5 ὁ δὲ προφορικός om. A 5 καὶ ὁ μὲν add. Turn.: om. codd. οἷα — γεγωνός] οἷα τινὸς πηγῆς ἀειρρόου V^2OK ὁ δὲ om. BEMF γεγωνὸς Turn: γεγονὼς codd. καὶ ῥέων A 6 ἐστι AFGHP: om. ceteri δὲ post προφορὰν transp. BEM 8 λογίω A 9 τοῦ GHP: om. ceteri 11 προσεκλήρωσαν BEM αὐτῶν K 12 ἀληθής τε BEMFN 13 τε GHP: om. ceteri 14 συσκιάζειν V^1AGHP: συσκιάζων ceteri διδαχθέντας M 15 τοῖς δυσὶ V^2OK τῷ τε — οἰκείας (16) om. P^1, add. mg. P^2 προφορικὴν (sic) K 16 τῶ ἐνδιαθέτω G (Mang.) 17 ἀλήθεια N 18 παραδέχεσθαι — μηδὲν om O τῶν AFGHPN: om. ceteri εἰς AFGHPN: πρὸς ceteri 19 δὲ] δ' ἄρα AFN (v) post ὄφελος add. τοῦ v, om. codd. 20 οἰκείων AFN: οἰκεία BEMGHP, om. VOK 21 λόγιον A 22 πράξεων A 24 δ' A, δὴ N δικαιῶν AGHP: δικαιώσας ceteri

7 — 231,22 N fol. 157r: σχῆμα — κόσμος εἶναι.

ἱερωμένον τῷ θεῷ, καθ᾿ ὃν χρόνον ἱερᾶται, προφέρειν ἁπάντων καὶ μὴ
μόνον ἰδιωτῶν ἀλλὰ καὶ βασιλέων. ὑπεράνω δὲ τὸ χρυσοῦν ἐστι 132
πέταλον, ᾧ τῶν τεττάρων αἱ γλυφαὶ γραμμάτων ἐνεσφραγίσθησαν, ἐξ
ὧν ὄνομα τοῦ ὄντος φασὶ μηνύεσθαι, ὡς οὐχ οἷόν τε ὂν ἄνευ κατα-
κλήσεως θεοῦ συστῆναί τι τῶν ὄντων· ἁρμονία γὰρ πάντων ἐστὶν ἡ
ἀγαθότης καὶ ἵλεως δύναμις αὐτοῦ. τοῦτον τὸν τρόπον ὁ ἀρχιερεὺς 133
διακοσμηθεὶς στέλλεται πρὸς τὰς ἱερουργίας, ἵν᾿, ὅταν εἰσίῃ τὰς πατρίους
εὐχάς τε καὶ θυσίας ποιησόμενος, συνεισέρχηται πᾶς ὁ κόσμος αὐτῷ δι᾿ ὧν
ἐπιφέρεται μιμήματα, ἀέρος τὸν ποδήρη, ὕδατος τὸν ῥοΐσκον, γῆς τὸ
ἄνθινον, πυρὸς τὸ κόκκινον, οὐρανοῦ τὴν ἐπωμίδα, καὶ κατ᾿ εἶδος τοῖν δυοῖν
ἡμισφαιρίοιν τοὺς ἐπὶ τῶν ἀκρωμίων σμαράγδους περιφερεῖς, ἐφ᾿ ὧν καθ᾿
ἑκάτερον γλυφαὶ ἕξ, τοῦ ζῳοφόρου τοὺς ἐπὶ τῶν στέρνων δώδεκα λίθους ἐκ
τριῶν κατὰ τέτταρας στοίχους, τοῦ συνέχοντος καὶ διοικοῦντος τὰ σύμπαντα
τὸ λογεῖον. ἀναγκαῖον γὰρ ἦν τὸν ἱερωμένον τῷ τοῦ κόσμου πατρὶ 134
παρακλήτῳ χρῆσθαι τελειοτάτῳ τὴν ἀρετὴν υἱῷ πρός τε ἀμνηστίαν
ἁμαρτημάτων καὶ χορηγίαν ἀφθονωτάτων ἀγαθῶν. ἴσως μέντοι καὶ 135
προδιδάσκει τὸν τοῦ θεοῦ θεραπευτήν, εἰ καὶ μὴ τοῦ κοσμοποιοῦ
δυνατόν, ἀλλὰ τοῦ γε κόσμου διηνεκῶς ἄξιον εἶναι πειρᾶσθαι, οὗ τὸ
μίμημα ἐνδυόμενος ὀφείλει τῇ διανοίᾳ τὸ παράδειγμα εὐθὺς ἀγαλματο-
φορῶν αὐτὸς τρόπον τινὰ πρὸς τὴν τοῦ κόσμου φύσιν ἐξ ἀνθρώπου
μεθηρμόσθαι καί, εἰ θέμις εἰπεῖν — θέμις δὲ ἀψευδεῖν περὶ ἀληθείας
λέγοντα —, βραχὺς κόσμος εἶναι.

1 τῷ om. VK 2 τὸ] τοῦ πέπλου N 3 τεσσάρων FN, om. BEM αἱ γλυφαὶ] ἐγγλυφαὶ A γραμμάτων αἱ γλυφαὶ transp. BEMFN 4 ὄντος] δέοντος H[1]P φησὶ O 4. 5 κατακλείσεως B, κατακλείσεως E κατακλήσεως — ἁρμονία (5) om. H[1]P, add. mg. H[2] 7 (εἰς τὸν νεών) εἰσίῃ coni. Mang. εἰσίοι VOK, εἰσήει E 8 τε AGHP: om. ceteri συνεισέρχεται MFN 9 μιμήματα scripsi: μιμημάτων AFGHPN (v), μίμημα BEMVOK 9. 10 τὸ ἄνθινον BEM: τὸν ἄνθινον A, τὸ ἀνθινὸν FGHP, τὸ ἀνθεινὸν VOKN 10 καὶ om. A (fort. recte) 11 τοὺς] τὰς G ἀκρωμίδων A 11. 12 καθέκαστον V[2]OK, καθεκάστην BEM 12 τοῦ ζῳοφόρου AFGHPN: om. ceteri 13 κατὰ τέσσαρας V[2]OK, καὶ τεσσάρων BEMV[1] στίχους AV[2]OK συνέχοντος AFGHPN: συνιόντος BEM, συνιέντος VOK τὰ σύμπαντα] τὸ σύμπαν FGHPN (v) 14 λόγιον A 15 χρῆσθαι FGHPN: χρήσασθαι ceteri τελειωτάτω F ἀμνηστείαν Turn. 16 χορηγίας AV[1]HP ἀφθονωτάτας AV[1] 18 ἀλλά γε τοῦ transp. A, ἀλλ᾿ οὖν τοῦ γε F 19 ἐνδυόμενος AFGHPN: ἐναυόμενος V[1], ἐναγόμενος V[2]OK, om. BEM τὸ παράδειγμα τῇ διανοίᾳ transp. BEM 21 μεθηρμόσθη P alt. θέμις AFGHP: om. ceteri δὲ ἀψευδεῖν FGHPN: δ᾿ ἀψευδεῖν A, διαψευδεῖν BEMV[1], καὶ ἀψευδεῖν V[2]OK περὶ om. Turn.

136 (15.) Τῶν δὲ προπυλαίων ἔξω παρὰ ταῖς εἰσόδοις λουτήρ ἐστι
χαλκοῦς, οὐκ ἀργὸν ὕλην λαβόντος τοῦ τεχνίτου πρὸς τὴν κατασκευήν,
ὅπερ φιλεῖ γίνεσθαι, σκεύη δ᾽ ἐπιμελῶς δημιουργηθέντα πρὸς ἑτέραν
χρείαν, ἃ μετὰ σπουδῆς καὶ φιλοτιμίας πάσης αἱ γυναῖκες εἰσήνεγκαν
ἁμιλλώμεναι τοῖς ἀνδράσι πρὸς εὐσέβειαν, ἀγώνισμα καλὸν ἄρασθαι
διανοηθεῖσαι καὶ καθ᾽ ὅσον δυνάμεως εἶχον σπουδάσασαι μὴ ἀπολειφθῆναι
137 τῆς ἐκείνων ὁσιότητος· κάτοπτρα γάρ, οἷς εὐμορφίαν εἰώθασι διακοσμεῖσθαι, p. 156 M.
μηδενὸς προστάξαντος, αὐτοκελεύστῳ προθυμίᾳ σωφροσύνης καὶ τῆς
περὶ γάμον ἁγνείας καὶ τί γὰρ ἀλλ᾽ ἢ ψυχικοῦ κάλλους ἀπαρχὴν πρε-
138 πωδεστάτην ἀπήρξαντο. ταῦτ᾽ ἔδοξε τῷ τεχνίτῃ λαβόντι χωνεῦσαι καὶ
μηδὲν ἀπ᾽ αὐτῶν ἕτερον ἢ τὸν λουτῆρα κατασκευάσασθαι, περιρραντηρίοις ὅπως οἱ μέλλοντες εἰς τὸν νεὼν εἰσιέναι ἱερεῖς ἐπὶ τῷ τὰς διατεταγμένας ὑπουργεῖν λειτουργίας χρῶνται πόδας μάλιστα καὶ χεῖρας ἀπονιπτόμενοι — σύμβολον ἀνυπαιτίου ζωῆς καὶ βίου καθαρεύοντος ἐν πράξεσιν ἐπαινεταῖς, οὐ τὴν τραχεῖαν κακίας ὁδὸν ἢ κυριώτερον εἰπεῖν
139 ἀνοδίαν ἀλλὰ τὴν δι᾽ ἀρετῆς λεωφόρον ἀπευθύνοντος —. „ὑπομιμνησκέσθω μέντοι“ φησί „καὶ ὁ μέλλων περιρραίνεσθαι, ὅτι τοῦδε τοῦ σκεύους ἡ ὕλη κάτοπτρα ἦν, ἵνα καὶ αὐτὸς οἷα πρὸς κάτοπτρον αὐγάζῃ τὸν ἴδιον νοῦν καί, εἴ τι ὑποφαίνοιτο αἶσχος ἐξ ἀλόγου πάθους ἢ παρὰ φύσιν ἐπαιρούσης καὶ μετεωριζούσης ἡδονῆς ἢ στελλούσης ἔμπαλιν λύπης καὶ καθαιρούσης ἢ ἀποστρέφοντος καὶ ἀποκλίνοντος τὴν ἐπ᾽ εὐθείας ὁρμὴν φόβου ἢ τῆς ἐπιθυμίας πρὸς τὰ μὴ παρόντα ἑλκούσης καὶ ἀποτεινούσης βίᾳ, τοῦτο θεραπεύῃ τε καὶ ἰᾶται τοῦ γνησίου καὶ ἀνόθου

1 τὰς εἰσόδους A 2 χάλκειος V¹, χάλκεος V²OK ἀργὴν B²MAVKP², ἄργυρον F 2. 3 ὃ πρὸς τὴν κατασκευὴν ὀφείλει γίνεσθαι A 3 ὅπερ FGHP: ἅπερ BEMV¹, ἥπερ V²OK 4 πάσης καὶ φιλοτιμίας transp. VOK ἁπάσης A 6 ἔσχον A σπουδάσαι V¹, σπουδάσασθαι K 7 εὐμορφίαν AFGHP: εἰς εὐμορφίαν ceteri (v) διακοσμεῖσθαι AFGHP: διακονεῖσθαι ceteri 9 ἀλλ᾽ om. AGHP (v) 11 τὸν] τοῦ H περιρραντίοις M 13 λειτουργίας ὑπουργεῖν transp. GHP (v) 14 ἀπονιττόμενοι H¹ ἀνυπαίτιον BEM 15 κακίας ὁδὸν om. BEM 16 τὴν om. BEMAV¹F δι᾽ ἀρετὴν A ἀπευθύνοντες VK, ἀπευθύνοντας O 16. 17 ὑπομιμνησκέσθω AFGHP: ὑπομιμνήσκεσθαι ceteri 17 μέντοι] μὲν A 18 κάτοπτρα AGH: κάτοπτρον ceteri 19 καί] κἂν A (v) 20 μετεωριζούσης AF: νεωτεριζούσης ceteri (Turn.) συστελλούσης BEMAG 21 καθαρευούσης A τὴν] τῆς BEM 22 τῆς eras. V², om. OK μὴ eras. V², om. OK 23 θεραπεύῃ τε Turn.: θεραπεύηται codd. (θεραπεύεται A) τοῦ AFGHP: τοὺς ceteri γνησίους BEM καὶ om. BEM

1 Exod. 30,18 7 Exod. 38,26

μεταποιούμενος κάλλους· τὸ μὲν γὰρ τοῦ σώματος ἐν συμμετρίᾳ μερῶν 140
εὐχροίᾳ τε καὶ εὐσαρκίᾳ κεῖται, βραχὺν τῆς ἀκμῆς ἔχον καιρόν, τὸ δὲ τῆς
διανοίας ἐν ἁρμονίᾳ δογμάτων καὶ ἀρετῶν συμφωνίᾳ, μὴ χρόνου μήκει
μαραινόμενον, ἀλλ᾿ ἐφ᾿ ὅσον ἐγχρονίζει καινούμενον καὶ νεάζον, χρώματι
διαπρεπεῖ κεκοσμημένον ἀληθείας καὶ ὁμολογίας ἔργων πρὸς λόγους καὶ
πρὸς ἔργα λόγων καὶ ἔτι βουλευμάτων πρὸς ἑκάτερα."

(16.) Διδαχθέντι δ᾿ αὐτῷ τὰ παραδείγματα τῆς ἱερᾶς σκηνῆς καὶ 141
ἀναδιδάξαντι τοὺς διανοίᾳ ὀξεῖς καὶ εὐφυῶς ἔχοντας πρὸς ἀνάληψιν καὶ
τελείωσιν ἔργων, ἅπερ ἀναγκαίως εἶχε δημιουργηθῆναι, κατὰ τὸ εἰκὸς
ἱεροῦ κατασκευασθέντος ἔδει καὶ ἱερεῖς τοὺς ἐπιτηδειοτάτους αἱρεθῆναί
τε καὶ προμαθεῖν, ὃν τρόπον τὰς θυσίας ἀνάγειν τε καὶ ἱερουργεῖν
προσῆκε. τὸν μὲν οὖν ἀδελφὸν ἐξ ἁπάντων ἐπικρίνας ἀριστίνδην 142
ἀρχιερέα, τοὺς δ᾿ ἐκείνου παῖδας ἱερεῖς ἐχειροτόνει, προνομίαν οὐ
τῷ οἰκείῳ γένει διδούς, ἀλλ᾿ εὐσεβείᾳ καὶ ὁσιότητι, ἃς ἐνεώρα τοῖς
ἀνδράσιν ὑπούσας. σαφὴς δὲ πίστις· οὐδέτερον υἱὸν — δύο γὰρ ἦσαν
αὐτῷ — τούτου τοῦ γέρως ἠξίωσεν, ἀναγκαίως ἂν ἀμφοτέρους ἑλόμενος,
εἴ τινα τιμὴν ἔνεμε τῷ φιλοικείῳ. καθίστη δὲ μετὰ τῆς ἅπαντος τοῦ 143
p. 157 M. ἔθνους γνώμης, ὡς τὰ λόγια ὑφηγεῖτο, καινότατον τρόπον καὶ | ἄξιον
ἱστορηθῆναι· λούει τὸ πρῶτον αὐτοὺς ὕδατι πηγῆς τῷ καθαρωτάτῳ καὶ
ζωτικωτάτῳ κἄπειτα τὰς ἱερὰς ἀναδίδωσιν ἐσθῆτας, τῷ μὲν ἀδελφῷ
τὸν ποδήρη καὶ τὴν ἐπωμίδα οἱονεὶ θώρακα, τὸ παμποίκιλον ὕφασμα
καὶ μίμημα τοῦ παντός, τοῖς δ᾿ ἀδελφιδοῖς χιτῶνας λινοῦς, ζώνας τε

1 μεταποιούμενος AFGHP: μεταποιουμένους ceteri μερῶν] μέρος F 2 τὸ] τὸ$^{\text{ῆς}}$ M 3 διανοίας] συμμετρίας A δογμάτων] σωμάτων O ἀρετῶν] ἀέρων A 4 ἀλλ᾿ — καινούμενον om. F κινούμενον AH[1] 4. 5 χρώματι δ᾿ εὐπρεπεῖ A 6 πρὸς ἔργα λόγων AF: λόγων πρὸς ἔργα ceteri (v) ἔτι βουλευμάτων] ἐπιβουλευμάτων A ἑκάτερα AG: ἑκάτερον ceteri 7 δὲ A σκηνῆς] ἐκείνης A 8 ἔχοντι F 11 pr. τε om. A alt. τε om. F, τε καὶ ἱερουργεῖν om. A 13 δ᾿ om. BEM 13. 14 οὐ τῷ] αὐτῷ A 15 υἱῶν H^2 (v) γὰρ] δ᾿ AHP (v) 16 ἂν] οὖν P, γὰρ ἂν ἦν M, γὰρ et ἦν ss. B 17 ἔν$^{\text{ε}}$ιμε A (ἔνειμε v) ἔν$^{\text{ε}}$ιμε τῷ φιλοικείῳ A: τῷ φιλοικείῳ ἔνεμε ceteri (v) καθίστησι P, κατέστη A 18 ὑφηγεῖται AV^{2}K 19 λούει τὸ πρῶτον αὐτοὺς AGHP: λούει μὲν αὐτοὺς τὸ πρῶτον ceteri 19. 20 καὶ ζωτικωτάτῳ om. A 21 ὕφασμα] ἀπεικόνισμα coni. Mang. 22 ἀδελφιδοῖς FH^{2}PV^{2}K: ἀδελφοῖς ceteri λινοῦς] λαμπροὺς BEM

17 sqq. Exod. cap. 29. Levit. cap. 8

144 καὶ περισκελῆ πᾶσι· τὰς μέν, ὅπως ἀνεμπόδιστοι καὶ ἑτοιμότεροι πρὸς
τὰς ἱερὰς ὑπουργίας ὦσι, σφιγγομένων τοὺς ἀνειμένους κόλπους τῶν
χιτώνων, τὰ δ', ὅπως μηδὲν ὧν κρύπτεσθαι θέμις προφαίνηται, καὶ
μάλιστ' ἀνερχομένων ἐπὶ τὸν βωμὸν ἢ κατιόντων ἄνωθεν καὶ πάντα
145 δρώντων μετὰ σπουδῆς καὶ τάχους· εἰ γὰρ μὴ οὕτως ἀκριβὴς γεγένητο
ἡ στόλισις διὰ τὴν τοῦ μέλλοντος ἀδήλου προφυλακήν, κἂν ἕνεκα τῆς
συντόνου περὶ τὰς λειτουργίας ὀξύτητος ἀπεγυμνοῦντο τὸν προσήκοντα
146 ἱεροῖς καὶ ἱερωμένοις κόσμον φυλάττειν ἀδυνατοῦντες. (17.) ὡς δὲ ταῖς
ἐσθήσεσιν ἤσκησεν αὐτούς, χρίσματος εὐωδεστάτου λαβών, ὃ μυρεψικῇ
τέχνῃ κατειργάσθη, τὰ ἐν ὑπαίθρῳ πρῶτα, τόν τε βωμὸν καὶ τὸν
λουτῆρα, κατέχριεν ἐπιρραίνων ἑπτάκις, ἔπειτα τὴν σκηνὴν καὶ τῶν
ἱερῶν σκευῶν ἕκαστον, τὴν κιβωτόν, τὴν λυχνίαν, τὸ θυμιατήριον, τὴν
τράπεζαν, τὰ σπονδεῖα, τὰς φιάλας, τὰ ἄλλα ὅσα πρὸς θυσίας ἀναγκαῖα
καὶ χρήσιμα, καὶ τελευταῖον προσαγαγὼν τὸν ἀρχιερέα πολλῷ λίπει τὴν
147 κεφαλὴν ἀλείφει. ταῦτ' ἐπιτελέσας εὐαγῶς ἀχθῆναι κελεύει μόσχον
καὶ κριοὺς δύο· τὸν μέν, ἵνα θύσῃ περὶ ἀφέσεως ἁμαρτημάτων, αἰνιττόμενος
ὅτι παντὶ γενητῷ, κἂν σπουδαῖον ᾖ, παρόσον ἦλθεν εἰς γένεσιν,
συμφυὲς τὸ ἁμαρτάνειν ἐστίν, ὑπὲρ οὗ τὸ θεῖον εὐχαῖς καὶ θυσίαις
148 ἀναγκαῖον ἐξευμενίζεσθαι, μὴ διακινηθὲν ἐπιθεῖτο· τῶν δὲ κριῶν τὸν
μὲν ἕτερον εἰς ὁλοκαύτωμα εὐχαριστήριον τῆς τῶν ὅλων διοικήσεως,
ἧς κατὰ τὸ ἐπιβάλλον ἑκάστῳ μέρος μέτεστι καρπουμένῳ τὴν ἀπὸ
τῶν στοιχείων ὠφέλειαν, γῆς πρὸς οἴκησιν καὶ τὰς ἐξ αὐτῆς τροφάς,
ὕδατος πρὸς ποτὸν καὶ λουτρὰ καὶ πλοῦν, ἀέρος πρὸς ἀναπνοὴν καὶ

1 περισκέλη BEMA   πᾶσι eras. V^2, om. OK   2 ὑπουργίας] λειτουργίας A (prob. Mang.)   ἱερὰς ὑπουργίας ὦσι] ἱερουργίας ὑπουργῶσιν ἄσωσι BEM, ἱερουργίας ὑπουργῶσιν ἄνω VOK   συσφιγγομένων VOK   3 ὑποφαίνηται G
4 μάλιστ' AGHP: μάλιστα ceteri   ἢ] ἢ καὶ BE   πάντων A
5 ἀκρίβϊος (sic) A   γεγένητο FGHP: γεγένηται A, ἐγεγένητο ceteri
6 κἂν scripsi: om. M, καὶ ceteri   7 post ἀπεγυμνοῦντο add. ἂν V^2OK
9 αἰσθήσεσιν FH^1P 10 κατείργασται P   πρῶτον A   pr. τόν om. A   13 τἄλλ' HP, τᾶλλ' A   θυσίαν BEMA   14 λίπει] λίπα BEHP, μᾶλλον αὐτοῦ V^2OK 15 ταῦτ' ἐπιτελέσας εὐαγῶς FGHP: om. ceteri   εὐαγῶς] ἐναγῶς Turn. Mang.   ἀχθῆναι FGHP: καὶ ἀχθῆναι ceteri   μόσχον ἕνα BEM   17 γεννητῷ VOKG   σπουδαῖος V^2KP^2 γέννησιν VK
18 ἁμαρτάνον FHP (Turn.)   οὗ $GHPV^2OK$: τοῦ ceteri   τὸ θεῖον A: τὸν θεὸν ceteri (v)   19 ὡς ἀναγκαῖον VOK   ἀναγκαῖον om. BEM   μὴ διακινηθὲν ἐπιθεῖτο om. BEMVOK   διακινηθὲν AFG: διακινηθεὶς HP (v)   ἐπιθεῖτο AG: ἐπίθοιτο FHP   20 εὐχαριστήριον om. G   21 ἧς BEM: ἣ F, ἡ ceteri (ᾗ Turn.)   μέρος ἑκάστῳ transp. AVOK   22 πρὸς AFGHP: εἰς ceteri
23 ποτὸν AGHP: τὸ ποτὸν ceteri   λουτρὰ AGH^2: λουτρὸν H^1P, λουτῆρα ceteri

τὰς διὰ τῶν αἰσθήσεων ἀντιλήψεις — ἐπειδὴ πασῶν ἀὴρ ὄργανον — καὶ
ἔτι τὰς ἐτησίους ὥρας, πυρὸς τοῦ μὲν χρειώδους πρὸς τὰ ἑψόμενα καὶ
θερμαινόμενα, τοῦ δὲ οὐρανίου πρὸς αὐγὴν καὶ τὰ ὁρατὰ πάντα· τὸν δ' 149
ἕτερον εἰς τὴν τῶν ἱερωμένων διὰ καθάρσεως ἁγνευτικῆς παντέλειαν.
ὃν ἐτύμως „τελειώσεως“ ἐκάλεσεν (Exod. 29, 26. Lev. 8, 22), ἐπειδὴ
τὰς ἁρμοττούσας θεραπευταῖς καὶ λειτουργοῖς θεοῦ τελετὰς ἔμελλον
ἱεροφαντεῖσθαι. τοῦ δ' αἵματος αὐτοῦ τὸ μὲν ἐν κύκλῳ τοῦ βωμοῦ 150
σπένδει λαβών, τὸ δὲ φιάλην ὑποσχὼν δέχεται καὶ ἀπὸ τούτου τρία
μέρη τοῦ σώματος χρίει τῶν τελουμένων ἱερέων, οὖς ἄκρον, ἄκραν
p. 158 M. χεῖρα, ποδὸς ἄκρον, | δεξιὰ τὰ σύμπαντα, αἰνιττόμενος ὅτι δεῖ τὸν
τέλειον καὶ λόγῳ καὶ ἔργῳ καὶ βίῳ παντὶ καθαρεύειν· λόγον μὲν γὰρ
ἀκοὴ δικάζει, χεὶρ δ' ἔργου σύμβολον, διεξόδου δὲ τῆς περὶ τὸν βίον
πούς. ἐπεὶ δ' ἕκαστον αὐτῶν ἄκρον τε καὶ δεξιόν, ὑπονοητέον δηλοῦσθαι 151
τὴν ἐν ἑκάστοις ἐπίδοσιν μετὰ δεξιότητος, ἐφιεμένην τῆς ἄκρας εὐδαι-
μονίας καὶ τοῦ τέλους, ἐφ' ὃ σπεύδειν ἀναγκαῖον καὶ τὰς πράξεις ἁπά-
σας ἀναφέρειν στοχαζομένους ὥσπερ ἐν ταῖς τοξείαις σκοποῦ τοῦ περὶ
τὸν βίον. (18.) πάλαι μὲν οὖν ἱερείου ἑνός, ὃ προσηγορεύετο „τελειώ- 152
σεως“, ἀκράτῳ αἵματι τὰ λεχθέντα τρία μέρη κατέχριε τῶν ἱερέων.
αὖθις δ' ἐκ τοῦ παρὰ τῷ βωμῷ λαβών, ὅπερ ἐξ ἁπάντων ἦν τῶν τεθυ-
μένων, καὶ τοῦ λεχθέντος χρίσματος, ὃ μυρεψοὶ κατεσκεύασαν, ἀναμίξας τὸ
ἔλαιον τῷ αἵματι τοῦ κράματος τοῖς ἱερεῦσι καὶ ταῖς ἐσθήσεσιν αὐτῶν
ἐπέρραινε, βουλόμενος αὐτοὺς μὴ μόνον τῆς ἔξω καὶ ἐν ὑπαίθρῳ μετα-
λαχεῖν ἁγνείας, ἀλλὰ καὶ τῆς ἐν ἀδύτοις, ἐπειδὴ καὶ ἔνδον λειτουργεῖν

1 διὰ τὰς transp. M, διὰ τὰς διὰ BE   διὰ τῆς αἰσθήσεως Turn.   τῶν πασῶν A   2 ἔτι] ἐπὶ AVOK   3 θερμαίνοντα P   δ' A   καὶ — τὴν (4) om. A   ὁρατὰ] ὁρώμενα BEM   4 ἱερουμένων BEVOK, ὁρωμένων A   παντελείας A   5 ὅν] ὃ A   ἐτύμως FV², ἑτοίμως V¹ ut vid.   6 ἁρμοζούσας A   λιτουργοῖς G   7 ἱεροφαντοῦσθαι A   αὐτοῦ om. VK   10 τὰ om. O   11 ἔργω καὶ λόγω F, ἔργω καὶ λόγω G (β α)   λόγον] λόγῳ Turn.   γὰρ om. A   12 δὲ VOK   ἔργον A   13 ἐπεὶ] ἐπὶ BEMP   τε om. A, ss. B   15. 16 ἀναφέρειν ἁπάσας transp. VOK   17 τὸν om. FGHP (v)   βίον] βίου τέλος coni. Mang.   ἱερεῖον F   προσηγόρευτο FGH² (Turn.)   19 τῶ βωμῶ AFGHP: τὸν βωμὸν ceteri   ἦν τῶν om. A   19. 20 τεθυμένων] τε θυομένων HP (v)   20 μυρεψὸς κατεσκεύασεν A   τὸ] τε coni. Mang.   21 τοῖς τε VK   αἰσθήσεσιν H¹P (Turn.)   αὐτῶν AFGHP: om. ceteri   22 ἐπέραινε A   22. 23 μετασχεῖν A   23 τῆς] τοῖς M

153 ἔμελλον· τὰ δ' εἴσω πάντα ἐλαίῳ κατεκέχριστο. θυσίας δ' ἐπὶ ταῖς προτέραις ἄλλας ἀναγαγόντων, τοῦτο μὲν τῶν ἱερέων ὑπὲρ αὐτῶν, τοῦτο δὲ τῆς γερουσίας ὑπὲρ ἅπαντος τοῦ ἔθνους, Μωυσῆς μὲν εἰς τὴν σκηνὴν εἰσέρχεται τὸν ἀδελφὸν ἐπαγόμενος — ὀγδόη δ' ἦν τῆς τελετῆς ἡμέρα καὶ τελευταία, ταῖς γὰρ πρότερον ἑπτὰ ἱεροφαντῶν αὐτόν τε καὶ τοὺς ἀδελφιδοῦς ὠργίαζεν —. εἰσελθὼν δ' ἀνεδίδασκεν οἷα ὑφηγητὴς ἀγαθὸς εὐμαθῆ γνώριμον, ὃν χρὴ τρόπον τὸν ἀρχιερέα τὰς εἴσω ποι-
154 εῖσθαι λειτουργίας. εἶτ' ἐξελθόντες ἀμφότεροι καὶ τὰς χεῖρας ἀνατείναντες πρὸ τῆς κεφαλῆς εὐχὰς τίθενται τῷ ἔθνει τὰς προσηκούσας ἀπὸ καθαρᾶς καὶ ὁσιωτάτης γνώμης. ἔτι δ' εὐχομένων, τερατωδέστατόν τι συμβαίνει· ἐκ γὰρ τῶν ἀδύτων, εἴτε αἰθέρος ἀπόσπασμα τοῦ καθαρωτάτου, εἴτε ἀέρος κατὰ τὴν τῶν στοιχείων φύσει μεταβολὴν ἀναλυθέντος εἰς πῦρ, αἰφνίδιον ἀθρόα φλὸξ διεκπαίει καὶ συντόνῳ ῥύμῃ φέρεται μὲν ἐπὶ τὸν βωμόν, τὰ δ' ἐπ' αὐτοῦ πάντα ἐξαναλίσκει, πρὸς οἶμαι σαφεστάτην δήλωσιν, ὅτι οὐδὲν ἄνευ θείας ἐπιφροσύνης ἐπετελεῖτο.
155 δωρεὰν γὰρ ἐξαίρετον εἰκὸς ἦν τοῖς ἁγίοις προσνεμηθῆναι, μὴ μόνον ἐν οἷς ἄνθρωποι δημιουργοί, ἀλλὰ καὶ τῷ καθαρωτάτῳ τῆς οὐσίας πυρί, τὸ χρειῶδες καὶ παρ' ἡμῖν ὅπως μὴ προσάψαιτο τοῦ βωμοῦ, διὰ τὸ
156 μυρίας ἴσως ἀναμεμῖχθαι κῆρας· ἅπτεται γὰρ οὐ μόνον ζῴων ἀλόγων ὀπτωμένων ἢ ἑψομένων εἰς πλησμονὴν | ἄδικον γαστρὸς τῆς ταλαίνης, p. 159 M.
ἀλλὰ καὶ ἀνθρώπων ἐξ ἐπιβουλῆς ἀναιρουμένων, οὐ τριῶν ἢ τεττάρων,

1 κατεκέχριστο BEVOK: κατακέχριστο FGH^{2}, κατέχριστο MH^{1}P, κατεχρίετο A (Mang.) 2 ἀναγόντων A αὐτῶν EMKHP καὶ ante alt. τοῦτο add. M 3 ἅπαντος AFGHP: παντὸς ceteri 5 ἡμέρα AFGHP: ἡ ἡμέρα ceteri ταῖς V^{2}OK (coni. Mang.): αἱ ceteri πρότερον GHP^{1}: προτέραις V^{2}OK, πρότεραι ceteri ἱεροφάντει V^{2}OK αὐτόν τε AP^{2}: om. ceteri 6 ἀδελφιδοῦς GHPV^{2}OK: ἀδελφοὺς ceteri ὠργίαζεν om. in lac. BEM 7 ἀμαθῆ Richt. 8. 9 ἀνατείνοντες H 9 ὑπὲρ τὰς κεφαλὰς coni. Mang. τιθέντες BEMV^{1} 11 εἴτε GHP: εἴτ' ceteri 12 εἴτε AGHP: εἴτ' ceteri φύσει GHP: φυσικὴν ceteri ἀναλυθέντος] μεταβληθέντος V^{2}OK 13 αἰφνίδιον om. BEM διεκκαίει HP (Turn.) συντόμῳ AFGHP (Turn.) 14 μὲν om. A τὰ δ'] καὶ τὰ A ἐπ'] ἐξ HP (Turn.) ἐξαναλίσκει AFGHP: ἀναλίσκει ceteri οἶμαι πρὸς transp. A 15 ἐπετελεῖτο GH: ἀπετελεῖτο ceteri 16 δωρεὰν γὰρ] καὶ δωρεὰν A μόνον] μέντοι V^{2}OK ἐν del. V^{2}, om. OK 17 οἷς] ἧς V^{2}OK καὶ eras. V^{2}, om. OK; κἂν conicio τὸ καθαρώτατον . . . πῦρ V^{2}OK 18 τὸ AFGHP: τὸ δὲ ceteri προσάψαιτο GHP: προσψαύσαιτο A, προσάψηται ceteri 19 μυρίαις V^{2}OK ἀναμεμάχθαι GH (Turn.) κήραις V^{2}OK ἀλόγων ζῴων transp. G 20 ὀπτομένων BEM, ὀπτημένων K ἢ ἑψομένων om. FHP (Turn.) 21 ἐπιβολῆς M οὐ — ὁμίλων (237,1) AFGHP: om. ceteri

1 sqq. Levit. cap. 9

ἀλλὰ καὶ πολυανθρώπων ὁμίλων· ἤδη γοῦν καὶ στόλους μεγάλους ἐπι- 157
βατικοῦ πλήρεις οἰστοὶ πυρφόροι κατέφλεξαν βληθέντες καὶ ὅλας πόλεις
ἐξανάλωσαν, αἳ σμυχόμεναι μέχρι θεμελίων εἰς τέφραν ἐδαπανήθησαν.
ὡς μηδ' ἴχνος ὑπολελεῖφθαι τοῦ πάλαι συνοικισμοῦ. ταύτης ἕνεκά μοι 158
δοκῶ τῆς αἰτίας ὡς μεμιασμένον ἤλασε τοῦ ἱερωτάτου καὶ καθαρωτάτου
βωμοῦ πῦρ τὸ χρειῶδες, ἀνθ' οὗ φλόγα αἰθέριον ὤμβρησεν ἀπὸ τοῦ
οὐρανοῦ πρὸς διαστολὴν ἁγίων τε καὶ βεβήλων, ἀνθρωπείων τε καὶ
θείων· ἥρμοττε γὰρ ταῖς θυσίαις ἀφθαρτοτέραν οὐσίαν ἀπονενεμῆσθαι
πυρὸς τῆς πρὸς τὰς βιωτικὰς χρείας ὑπηρετούσης.
(19.) Πολλῶν δὲ κατὰ τὸ ἀναγκαῖον ἀναγομένων θυσιῶν καθ' 159
ἑκάστην ἡμέραν καὶ διαφερόντως ἐν πανηγύρεσι καὶ ἑορταῖς ὑπέρ τε
ἰδίᾳ ἑκάστου καὶ κοινῇ ὑπὲρ ἁπάντων, διὰ μυρίας καὶ οὐχὶ τὰς αὐτὰς
αἰτίας, ἅτε πολυανθρωποτάτου ἔθνους εὐσεβοῦντος, ἐδέησε καὶ νεωκόρων
πλήθους εἰς τὰς ἱερὰς ὑπηρεσίας. ἡ δ' αἵρεσις ἐγίνετο πάλιν καινότατον 160
ἀλλ' οὐ τὸν εἰωθότα τρόπον· μίαν τῶν δώδεκα φυλῶν ἐπικρίνας ἀρι-
στίνδην ἐχειροτόνει θεοφιλοῦς ἔργου προθεὶς ἆθλα καὶ ἀριστεῖα. τὸ δ' 161
ἔργον τοιόνδε ἦν· Μωυσέως ἀναβάντος εἰς τὸ πλησίον ὄρος καὶ πλείους
ἡμέρας ἰδιάζοντος τῷ θεῷ, τὴν ἀπουσίαν αὐτοῦ καιρὸν ἐπιτήδειον εἶναι
νομίσαντες οἱ μὴ βέβαιοι τὰς φύσεις, ὥσπερ ἀναρχίας γενομένης, ἄφετοι
πρὸς ἀσέβειαν ὥρμησαν καὶ ἐκλαθόμενοι τῆς πρὸς τὸ ὂν ὁσιότητος
ζηλωταὶ τῶν Αἰγυπτιακῶν γίνονται πλασμάτων. εἶτα χρυσοῦν ταῦρον 162
κατασκευασάμενοι, μίμημα τοῦ κατὰ τὴν χώραν ἱερωτάτου ζῴου

1 στύλους P 1. 2 ἐπιβατικοῦ A: ἐπιβατικῶν V²OK, ἐπιβατικοὺς ceteri (Turn.) 2 πυρφόροι κατέφλεξαν βληθέντες GHP: πυρφόροι βληθέντες (κληθέντες F) κατέφλεξαν AVOKF, βληθέντες πυρφόροι κατέφλεξαν BE, βληθέντες κατέφλεξαν (om. πυρφόροι) M 3 ἄχρι A ἐδαπανήθησαν codd.: ἐδαπάνησαν Mang. 4 ἐπιλελεῖφθαι A, ὑπολειφθῆναι VOK, φαίνεσθαι BE 5 δοκῶ om. G καὶ καθαρωτάτου om. GHP (Turn.) 6 ἀνθ'] ἀφ' M αἴθριον GHP ὤμβρισεν F, ὤμβρησαν M 6. 7 ἀπὸ τοῦ οὐρανοῦ AGHP: ἀπ' οὐρανοῦ ceteri 7 pr. τε om. AFGHP ἀνθρώπων A ἀνθρωπείων τε καὶ θείων om. BEM 8 ἥρμοζε BEM ἀπονεμῆσθαι M 10 ἀγομένων HP (Turn.) 11 πανυγήρεσι M ἐν ἑορταῖς BEVOKF 12 post κοινῇ add. δὲ V²K 14 πλήθους corr. ex πλῆθος F ἱερὰς] οἰκείας F αἵρεσιν (sic) M ἐγένετο A (Turn.) καινοτάτη V²OK 15 φυλὴν A 16 ἔργον F προσθεὶς A ἆθλα καὶ] αὐτοῖς VOK ἀριστείαν G 17 Μωυσέως: incipit C fol. 120v μωσέως CBEM, μωυσέος ceteri 19 ἀφετοὶ A 20 τὸ ὂν] τοῦτον A 21 χρυσὸν HP 22 κατασκευάσαντες A; μετασκευασάμενοι Mang.

17 sqq. Exod. cap. 32

δοκοῦντος εἶναι. θυσίας ἀθύτους ἀνῆγον καὶ χοροὺς ἀχορεύτους ἵστασαν ὕμνους τε ᾖδον θρήνων οὐδὲν διαφέροντας καὶ ἐμφορηθέντες ἀκράτου διπλῇ μέθῃ κατίσχοντο, τῇ μὲν ἐξ οἴνου, τῇ δὲ καὶ ἀφροσύνης, κωμάζοντές τε καὶ παννυχίζοντες ἀπροόρατοι τοῦ μέλλοντος ἡδέσι κακοῖς συνεβίουν, ἐφεδρευούσης δίκης, ἣ μὴ βλέποντας ἔβλεπε καὶ ὧν ἄξιοι
163 τιμωριῶν εἰσιν. ἐπεὶ δὲ αἱ ἐν τῷ στρατοπέδῳ συνεχεῖς ἐκβοήσεις κατὰ πολυανθρώπους ὁμίλους ἀθροιζομένων ἄχρι πολλοῦ διαστήματος ἐχώρουν, ὡς καὶ μέχρι τῆς ἀκρωρείας τὴν περιήχησιν ἐλθεῖν, πληχθεὶς τὰ ὦτα Μωυσῆς ἐν ἀμηχάνοις ἦν ἅτε θεοφιλὴς ὁμοῦ καὶ φιλάνθρωπος, μήτ᾽ ἐκλιπεῖν ὑπομένων τὰς πρὸς θεὸν ὁμιλίας, ἃς ἰδιάζων μόνος μόνῳ διελέγετο, μήθ᾽ ὑπεριδεῖν τοῦ πλήθους ἐμπιπλαμένου
164 τῶν ἐξ ἀναρχίας κακοπραγιῶν· ἔγνω γὰρ τὸν θροῦν δεινὸς | ὢν ἐκ p. 160 M.
φωνῆς ἀνάρθρου καὶ ἀσήμου στοχάσασθαι ψυχῆς ἀδήλων καὶ ἀφανῶν τοῖς ἄλλοις παθῶν ἰδιότητας, ὅτι παροινίας ἐστὶν ἡ κατέχουσα ταραχή,
165 γεννώσης ἀκρασίας μὲν κόρον, κόρου δὲ ὕβριν. ἀνθελκόμενος δὲ καὶ ἀντισπώμενος πρὸς ἑκατέρου μέρους ὧδε κἀκεῖσε τί χρὴ δρᾶν ἠπόρει. σκοπουμένῳ δ᾽ αὐτῷ θεσπίζεται τάδε· „βάδιζε ταχέως ἐνθένδε, κατάβηθι· πρὸς ἀνομίαν ἔσπευσεν ὁ λεώς· χειροποίητον κατασκευάσαντες ταυρόμορφον θεὸν οὐ θεὸν προσκυνοῦσι καὶ θύουσιν, ὧν εἶδον καὶ ὧν ἤκουσαν
166 ἁπάντων ὅσα συντείνει πρὸς εὐσέβειαν ἐκλαθόμενοι.“ καταπλαγεὶς δὲ καὶ ἀναγκασθεὶς πιστεύειν ἀπίστοις πράξεσιν οἷα μεσίτης καὶ διαλλακτὴς οὐκ εὐθὺς ἀπεπήδησεν, ἀλλὰ πρότερον τὰς ὑπὲρ τοῦ ἔθνους ἱκεσίας καὶ λιτὰς ἐποιεῖτο συγγνῶναι τῶν ἡμαρτημένων δεόμενος· εἶτ᾽ ἐξευμενισάμενος ὁ κηδεμὼν καὶ παραιτητὴς τὸν ἡγεμόνα ἐπανῄει χαίρων ἅμα

1 δοκοῦντες VOK ἀνήγαγον HP (Turn.) 2 θρήνων οὐδὲν διαφέροντας GHP: οὐδὲν διαφέροντας θρήνων F, οὐδὲν θρήνων διαφέροντας ceteri ἐμφορηθέντας H[1]P 3 κατίσχηντο F, κατέσχηντο A, κατείχοντο G; κατέσχοντο v τὴν μὲν . . . τὴν δὲ A ἀφροσύνης AGHP: ἐξ ἀφροσύνης ceteri 5 ἐπεβίουν HP (Turn.) τῆς δίκης BEMF post ἣ add. καὶ M ἣ μὴ βλέποντες (om. ἔβλεπε) Turn. 6 δ᾽ A αἱ] καὶ G, om. AF 7 ἀθροιζόμεναι VOK, ἀθροιζομένου (ω supra) L (ἀθροιζομένῳ Turn.) 9 πλησθεὶς VOK 10 μήτε K 11 καὶ ante μήθ᾽ add. M ἐμπιμπλαμένου C, ἐμπιπλαμένου (μ supra) A 12 κακοπραγειῶν F γὰρ] μὲν γὰρ M, γοῦν A 15 κόρου] νόμου Richt. 17 τάδε] ταῦτα A ἐνθένδε] ἐντεῦθεν BEMF 18 λαός AG 19 οὐ θεὸν AGHP: ὃν BEMVOK, ὃν καὶ F, ᾧ C θύουσιν] σέβουσιν VOK 21 πιστεύει CA (Turn.) πράξεσιν] πράγμασιν BM οἷα BEM: οἷα δὲ CV[1], οἷα δὴ V[2]OK, καὶ οἷα AFGHP διαλλακτὴς A: διαιτητὴς ceteri (Turn.) 24 παραιτητὴς] παραστάτης V[2]OK

καὶ κατηφῶν· ἐγεγήθει μὲν γὰρ τὴν ἱκεσίαν τοῦ θεοῦ προσιεμένου, συννοίας δὲ καὶ κατηφείας μεστὸς ἦν οἰδῶν ἐπὶ τῇ τοῦ πλήθους παρανομίᾳ. (20.) γενόμενος δ' ἐν μέσῳ τοῦ στρατοπέδου καὶ τὴν ἐξαπίναιον 167 ἐκδιαίτησιν τοῦ πλήθους θαυμάσας καὶ ὅσον ψεῦδος ἀνθ' ὅσης ἀληθείας ὑπηλλάξαντο, κατιδὼν οὐκ εἰς ἅπαντας τὴν νόσον ἀφιγμένην, ἀλλά τινας ὑγιαίνοντας ἔτι καὶ μισοπονήρῳ πάθει χρωμένους, βουλόμενος διαγνῶναι τούς τε ἀνιάτως ἔχοντας καὶ τοὺς ἐπὶ τοῖς πεπραγμένοις δυσχεραίνοντας καὶ εἰ δή τινες ἁμαρτόντες μετανοοῦσι, κήρυγμα κηρύττει — τὸ δ' ἦν ἄρα βάσανος ἀκριβὴς τῆς ἑκάστου διανοίας, ὡς ἔχοι πρός τε ὁσιότητα καὶ τοὐναντίον —. „εἴ τις" γάρ φησι „πρὸς κύριον, ἴτω πρὸς μέ." βραχὺ 168 μὲν τὸ λεχθέν, μεγάλη δ' ἡ ἔμφασις, ἔστι γὰρ τοιόνδε τὸ δηλούμενον· εἴ τις μηδὲν τῶν χειροποιήτων μηδ' ὅσα γενητὰ νομίζει θεούς, ἀλλ' ἕνα τὸν ἡγεμόνα τῶν ὅλων, ἐμοὶ προσίτω. τῶν μὲν οὖν ἄλλων οἱ μὲν 169 ἕνεκα τοῦ τὸν Αἰγυπτιακὸν ἐζηλωκέναι τῦφον ἀφηνιάζοντες οὐ προσεῖχον τοῖς λεγομένοις, οἱ δὲ φόβῳ κολάσεως ἴσως ἐγγυτέρω προσελθεῖν οὐκ ἐθάρρουν ἢ τὴν ἐκ Μωυσέως τίσιν δεδιότες ἢ τὴν ἐκ τοῦ πλήθους ἐπανάστασιν· ἀεὶ γὰρ οἱ πολλοὶ τοῖς μὴ συναπονοουμένοις ἐπιτίθενται. μία δ' ἐξ ἁπάντων ἡ λεγομένη Λευϊτικὴ φυλὴ τοῦ κηρύγματος ἐπα- 170 κούσασα καθάπερ ἀφ' ἑνὸς συνθήματος ἔθει μετὰ σπουδῆς, τῇ ποδωκείᾳ τὴν προθυμίαν ἐπιδεικνυμένη καὶ τὴν ὀξύτητα τῆς εἰς εὐσέβειαν
p. 161 M. ψυχικῆς | ὁρμῆς. οὓς ἰδὼν Μωυσῆς ὥσπερ ἀπὸ βαλβῖδος ἁμιλλωμένους 171 „εἰ μὴ μόνον τοῖς σώμασιν" εἶπεν „ἐπισπεύδετε τὴν πρὸς ἡμᾶς ἄφιξιν ἀλλὰ καὶ ταῖς διανοίαις, αὐτίκα μαρτυρηθήσεται· ξίφος ἀναλαβὼν ἕκαστος

1 κατηφιῶν CAV^{2}OK, κατηφιών F 3 ἐξαπιναίαν BEM (Mang.), ἐξαπιναίως A (Turn.) 5 ὑπηλλάξαντο AF^2: ὑπηλλάξατο F^{1}GHP, ἠλλάξατο C, ἠλλάξαντο ceteri οὐ ante κατιδὼν add. M., post κατιδὼν add. δ' F πάντας A (v) ἀλλά] ἀλλὰ καί A (v) 6 ὑγιαίνοντας om. M 8 καὶ om. VOK δή FGHP: ἤδη ceteri (v) ἁμαρτάνοντες M δὲ VOK 9 ἔχει VOK 10 εἴ τις] τίς (om. εἰ) A (Mang.) κυρίου BEMV^1 (prob. Mang.) 11 ἡ AFGHP: om. ceteri τὸ δηλούμενον om. P δηλού λεγόμενον A, λεγόμενον BEMF 12 μηδὲν] μηδὲ H γενητὰ] γε νοητὰ O νομίζῃ A, νομίζοι G ἀλλὰ (om. ἕνα) A 14 τοῦ τὸν] τοῦτον F 16 pr. ἢ om. A μωυσέως CV^{1}BE: μωσέως A, μωυσέος ceteri 17 αἰεὶ GHP 18 δὲ CVO ἐξ om. Turn. λεγομένη om. M 19 μετὰ πολλῆς σπουδῆς A (v) 20 ἐπιδεικνυμένη AFGHP: ἐπιδεικνύμενοι ceteri τῇ ὀξύτητι VOK τῆς] τὴν VOK, post τὴν aliquid eras. V εἰς om. C εὐσεβείαι (sic) C 21 ψυχικὴν ὁρμήν V^{2}OK ὁρμῆς] ὀργῆς A 22 εἶπεν om. F 23 μαρτυρηθήσεται AF: μαρτυρηθήσεσθε ceteri (μαρτυρήσεσθε v)

τοὺς μυρίων ἄξια θανάτων εἰργασμένους, οἳ τὸν ἀληθῆ θεὸν κατα-
λιπόντες τοὺς ψευδωνύμους ἐδημιούργησαν φθαρταῖς καὶ γενηταῖς
οὐσίαις τὴν τοῦ ἀφθάρτου καὶ ἀγενήτου πρόσρησιν ἐπιφημίσαντες, συγγε-
νεῖς καὶ φίλους ἀποκτεινάτω φιλίαν καὶ συγγένειαν ὑπολαβὼν εἶναι
172 μόνην ἀνδρῶν ἀγαθῶν ὁσιότητα.“ οἱ δὲ τὴν παραίνεσιν ἑτοιμότητι
φθάσαντες, ἐπεὶ καὶ τὰς γνώμας ἔτυχον ἠλλοτριωμένοι σχεδὸν ἀφ' οὗ
τὸ παρανόμημα γενόμενον εἶδον, ἀναιροῦσιν ἡβηδὸν εἰς τρισχιλίους
τῶν πρὸ μικροῦ φιλτάτων. κειμένων δ' ἐν ἀγορᾷ μέσῃ τῶν σωμάτων,
ἡ πληθὺς θεασαμένη τοὺς μὲν ᾠκτίσατο, τὸ δὲ τῶν κτεινόντων ἔνθερμον
ἔτι καὶ μεστὸν ὀργῆς παράστημα καταδείσασα φόβῳ νουθετεῖται.
173 Μωυσῆς δὲ τὴν ἀριστείαν ἀποδεξάμενος γέρας ἐπενόησε καὶ ἐβεβαίωσε
τῇ πράξει τὸ οἰκεῖον· ἔδει γὰρ τοὺς ὑπὲρ θεοῦ τιμῆς ἑκούσιον πόλεμον
ἀραμένους καὶ βραχεῖ καιρῷ κατωρθωκότας ἀξιωθῆναι τῆς θεραπείας
αὐτοῦ λαχόντας ἱερωσύνην.
174 (21.) Ἐπεὶ δ' οὐ μία τάξις τῶν ἱερωμένων, ἀλλ' οἷς μὲν ἐπι-
τέτραπται τὰ περὶ τὰς εὐχὰς καὶ θυσίας καὶ τὰς ἄλλας ἱερουργίας
ἄχρι τῶν ἀδύτων ἰοῦσιν, οἷς δὲ τούτων μὲν οὐδέν, ἐπιμέλειαι δὲ καὶ
φυλακαὶ μεθ' ἡμέραν καὶ νύκτωρ τοῦ τε ἱεροῦ καὶ τῶν ἐν αὐτῷ, οὓς
νεωκόρους ἔνιοι καλοῦσιν, ἡ πολλοῖς πολλαχοῦ μυρίων αἰτία κακῶν
γενομένη περὶ πρωτείων στάσις ἐπεπόλασε κἀνταῦθα, τῶν νεωκόρων
ἐπιθεμένων τοῖς ἱερεῦσι καὶ τὴν ἐκείνων τιμὴν παρασπάσασθαι διανοη-
θέντων· καὶ τοῦτ' εὐμαρῶς ἤλπισαν ἔσεσθαι πολλαπλασίους τὸν ἀριθμὸν

1 μυρία VOK   ἄξια θανάτων AGHP: θανάτων ἄξια CBEMF, θανάτου ἄξια VOK   2 γεννηταῖς VOK   3 ἀγενήτου (ἀγεννήτου VOK) καὶ ἀφθάρτου transp. CAVOK (v)   4 ἀποκρινέτω C[1], ἀποκειράτω VOK   5 μόνην om. H   μόνον P   ἑτοιμότατα AHP (v)   7 γινόμενον CAVOK, γενόμενον om. P   8 φιλτάτων κειμένων coniung. et post κειμένων interpung. BEM   δ'] ἃ BEM (V[1] ut vid.), δὲ V[2]   9 τοὺς] οὓς VOK   ᾠκτίσατο codd.: οἰκτίσατο v   10 ὀργῆς] ὁρῶσα P   11 ἐπενόησε] ἐπάνω γε (sic) A   12 τοὺς corr. ex τῆς C   13 κατορθωκότας FO   ⟨αἰωνίου⟩ θεραπείας coni. Mang.   14 αὐτοῦ] τοὺς V[1], eras. V[2], om. OK   ἱερωσύνην: desinit C fol. 122r   15 δὲ VOK   ἀλλ' eras. V[2], om. OK   16 τὰ] τὰς O, om. A   ἄλλας om. VOK   ἱερουργίας AFGHP: λειτουργίας ceteri   17 μὲν AFGHP: om. ceteri   ἐπιμέλεια AG (v)   18 φυλακὴ G, φρουρὰ καὶ A (v)   19 post ἡ add. μέντοι V[2]OK   κακῶν αἰτία transp. A (v)   20 γινομένη VOK   περὶ om. G   ἐπεπόλαυσε M   21 παρασπάσασθαι AF: παραστήσασθαι ceteri   21. 22 διανοηθέντων] βουληθέντων A (v)   22 εὐμαρὲς coni. Mang.   ἤλπισαν AGHP: ἤλπιζον ceteri   πολλαπλασίους AGHP: πολλαπλάσιοι ceteri   τὸν om. AP, ss. H

20 Num. 16,1 sqq.

ὄντες. ὑπὲρ δὲ τοῦ μὴ δοκεῖν ἰδίᾳ γνώμῃ νεωτερίζειν καὶ τὴν πρεσβυ- 175
τάτην τῶν δώδεκα φυλῶν συμφρονεῖν ἀναπείθουσιν, ᾗ πολλοὶ τῶν εἰκαι-
οτέρων ἐπηκολούθησαν ὡς ἔχειν δυναμένῃ πρεσβεῖον ἡγεμονίας. μέγαν 176
τοῦτον ἐπιτειχισμὸν ἔγνω Μωυσῆς φυόμενον καθ' αὑτοῦ· τὸν γὰρ ἀδελφὸν
ἀρχιερέα κατὰ τὰ χρησθέντα λόγια ᾕρητο, διαβολαὶ δ' ἦσαν ὡς τοὺς μὲν
χρησμοὺς ἐπιψευσαμένου, ποιησαμένου δὲ τὴν αἵρεσιν διὰ τὴν οἰκειότητα
καὶ τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. ἐφ' οἷς εἰκότως ἀνιαθείς, εἰ μὴ μόνον 177
ἀπιστεῖται διὰ τοσούτων ἐλέγχων τὴν ἑαυτοῦ πίστιν ἐπιδειξάμενος, ἀλλὰ
p. 162 M. καὶ ἐπ' | ἔργοις ἅπερ ἀναφέρεται πρὸς θεοῦ τιμήν, δι' ἃ μόνα καὶ τὸν
ἐν τοῖς ἄλλοις τὸ ἦθος κατεψευσμένον ἀναγκαῖον ἦν ἀληθεύειν —
ἀλήθεια γὰρ ὀπαδὸς θεοῦ —, λόγοις μὲν ἀναδιδάσκειν περὶ τῆς ἑαυτοῦ
προαιρέσεως οὐκ ἐδοκίμαζε, τὸ μεταπείθειν ἐπιχειρεῖν τοὺς προκατα-
ληφθέντας ἐναντίαις δόξαις ἀργαλέον εἰδώς, ἱκετεύει δὲ τὸν θεὸν
ἐμφανεῖς ἀποδείξεις αὐτοῖς παρασχεῖν περὶ τοῦ μηδὲν ἐψεῦσθαι κατὰ
τὴν τῆς ἱερωσύνης αἵρεσιν. ὁ δὲ κελεύει δώδεκα ῥάβδους λαβεῖν ταῖς 178
φυλαῖς ἰσαρίθμους καὶ τὰ μὲν τῶν ἄλλων ὀνόματα φυλάρχων ἐπιγράψαι
ταῖς ἕνδεκα, τῇ δὲ λοιπῇ τὸ τοῦ ἀδελφοῦ καὶ ἀρχιερέως, εἶτ' εἰς τὸν
νεὼν ἄχρι τῶν ἀδύτων εἰσενεγκεῖν· ὁ δὲ τὰ προσταχθέντα ποιήσας
ἐκαραδόκει τὸ ἀποβησόμενον. τῇ δ' ὑστεραίᾳ λογίῳ πληχθείς, ἅπαντος 179
τοῦ ἔθνους παρεστῶτος, εἰσέρχεται καὶ τὰς ῥάβδους ἐκκομίζει, τὰς μὲν
ἄλλας οὐδὲν διάφορον ἐχούσας, μίαν δ' ἐφ' ᾗ τοὔνομα ἐπεγέγραπτο

---

1 δὲ om. H¹P, ss. H² 1. 2 post πρεσβυτάτην add. φυλὴν A 2 δυοκαίδεκα A (Turn.), ιβ' VO φυλῶν] φυλὴν VK, om. A ἀναπείθουσι συμφρονεῖν transp. BEMF, συμφρονεῖν om. O ᾗ V²OK¹: οἱ AF, οἷς ceteri 2. 3 οἰκειοτέρων M (Turn.) 3 ἐπηκολούθησεν M ἔχει EH¹P δυναμένην M, δυνάμενοι AK² πρεσβείαν (εῖον ss.) BEMF, πρεσβείας VO, πρεσβείαις K ἡγεμονίας FGHP: ἡγεμονίαν ceteri 4 μωυσῆς ἔγνω transp. A (v) καθ' αὑτοῦ AV²OK: κατ' αὐτοῦ ceteri 5 εἵρητο M, ἥρατο F ὡς μὲν τοὺς transp. A 7 τὴν om. H¹P, ss. H² 8 διὰ τοσούτων ἐλέγχων] καὶ ταῦτα τοσούτοις ἐλέγχοις V²OK ἑαυτῶν F 9 πρὸς AFGHP: εἰς ceteri τιμὴν θεοῦ transp. F 11 ἀναδιδάσκει M 12. 13 προκαταλειφθέντας M 13 ἐναντίαις] ἐν ταῖς A 15 δώδεκα AF: δεκαδύο ceteri 16 φυλάρχων ὀνόματα transp. P 17 λοιπῇ] Λευιτικῇ mirabiliter coni. Mang. τὸ om. F εἶτα VOK 17. 18 εἰς νεὼ (om. τὸν) A 19 λογείῳ (ει ex ϊ corr.) M 20 παρεστῶτος Mang. (et ipse conieceram: cf. 250,13): προεστῶτος codd. 21 διάφορον AFGHP Barb.: διαφέρον ceteri δὲ VOK ᾗ FGHP: ἧς ceteri (v) ἐπεγέγραπτο om. Barb.

---

12 — 13 N fol. 157ᵛ: τὸ μεταπείθειν — ἀργαλέον εἰδώς. 15 sqq. Num. cap. 17
20 — 245,9 Catena Barber. IV 56 fol. 141ᵛ Φίλωνος ἑβραίου ἐκ τοῦ περὶ τοῦ μωσέως βίου λόγου δευτέρου: τὰς ῥάβδους ἐκκομίζει μωσῆς — γευσάμενον εὐσεβείας ὥργισε.

τοῦ ἀδελφοῦ τεθαυματουργημένην· οἷα γὰρ φυτὸν εὐγενὲς ἅπασα νέους
180 βλαστοὺς ἐξέφυσε καὶ ὑπ᾽ εὐφορίας καρπῶν ἔβριθεν. (22.) οἱ δὲ
καρποὶ κάρυα ἦσαν, ἃ φύσιν ἐναντίαν ἔχει τοῖς ἄλλοις· ἐπὶ γὰρ τῶν πλείστων, σταφυλῆς, ἐλαίας, μήλων, διαφέρει τὸ σπέρμα καὶ τὸ ἐδώδιμον, ἃ διαφέροντα τόποις χωρίζεται· τὸ μὲν γὰρ ἐδώδιμον ἔξω, τὸ δὲ σπέρμα εἴσω κατακέκλεισται· τοῦ δὲ καρύου ταὐτόν ἐστι τό τε σπέρμα καὶ τὸ ἐδώδιμον, ἀμφοτέρων εἰς μίαν ἰδέαν ἀποκριθέντων, καὶ τόπος εἷς ὁ ἐντὸς ὠχυρωμένος καὶ περιπεφρουρημένος ἕρκει διπλῷ, τῷ μὲν ἐκ φλοιοῦ πάνυ βαθέος, τῷ δ᾽ οὐδὲν ἀποδέοντι ξυλίνου κατα-
181 σκευάσματος· ἀφ᾽ οὗ τελείαν ἀρετὴν αἰνίττεται. ὥσπερ γὰρ ἐν καρύῳ
ταὐτόν ἐστιν ἀρχὴ καὶ τέλος, ἀρχὴ μὲν ᾗ σπέρμα, τέλος δὲ ᾗ καρπός, οὕτως ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν· ἑκάστη γὰρ συμβέβηκεν εἶναι καὶ ἀρχὴν καὶ τέλος, ἀρχὴν μέν, ὅτι οὐκ ἐξ ἑτέρας δυνάμεως ἀλλ᾽ ἐξ ἑαυτῆς
182 φύεται, τέλος δέ, ὅτι πρὸς αὐτὴν ὁ κατὰ φύσιν βίος σπεύδει. μία μὲν
αἰτία ἥδε, λέγεται δὲ καὶ ἑτέρα τῆς προτέρας ἐμφαντικωτέρα· καρύου τὸ μὲν φλοιῶδές ἐστι πικρόν, τὸ δ᾽ εἴσω περικείμενον ὡσανεὶ ξύλινον ἕρκος στιφρὸν εὖ μάλα καὶ κραταιόν, οἷς ἀμφοτέροις ὁ καρπὸς ἐγκατακεκλεισμένος
183 οὐκ ἔστιν εὔληπτος. τοῦτο ποιεῖται σύμβολον ἀσκητικῆς ψυχῆς, ἀφ᾽ οὗ προ-
τρέπειν αὐτὴν οἴεται δεῖν ἐπ᾽ ἀρετὴν ἀναδιδάσκων, ὅτι πόνῳ προεντυχεῖν ἀναγκαῖον· πικρὸν δὲ καὶ ἀντιτυπὲς καὶ σκληρὸν ὁ πόνος, ἐξ οὗ φύεται τἀγαθόν,

1 τοῦ ἀδελφοῦ GHP Barb.: τἀδελφοῦ ceteri   νέους] εὐθὺς A (Turn.)
5 ἃ — ἐδώδιμον om. AVOK   ἃ διαφέροντα] διαφέρον δὲ BEM   χαρίζεται H^1P post ἔξω add. γὰρ τὸ ἐδώδιμον αὐτῶν ἐστι V^2OK 6 κατακεκλεῖσθαι FGHP τε AGHP Barb.: om. ceteri   8 ὀχυρωμένος A   περιφρουρημένος $BEMV^1$, πεφρουρημένος V^2OKF τῷ] τὸ E   9 φλιοῦ M   βαθέος πάνυ transp. BM   ἀποδέοντος V^2OKHP 10 γάρ ἐστιν HP (bis igitur ἐστιν positum)   11 ᾗ] ἡ (bis) BEM   δ᾽ K   12 alt. καὶ om. K ἀρχὴν Turn. (v): ἀρχὴ AFGHP Barb., ἀρχῇ ceteri   13 τέλος AFGHP Barb.: τέλει ceteri   ἀρχὴν Turn. (v): ἀρχῇ BEMVO, ἀρχὴ ceteri   14 τέλος AFGH Barb.: τέλει ceteri   μὲν οὖν Barb.   16 φλυῶδες B, φλιῶδες M
τυ
17 στιφρὸν $BEMV^1G^1H^1P^1$: στριφνὸν FG^2P^2, στρυφνὸν AH^2V^2O Barb. (v), στηρφνὸν (sic) K   ἐγκατακεκλεισμένος om. BEM   18 εὔληπτος] εὔλογος Barb. ἀσκητὴς (sic) F   19 δεῖν om. BEM   οἴεται δεῖν] σπεύδειν coni. Mang. προσεντυχεῖν $BEMV^1$, sed σ eras. EV^2, προεντυγχάνειν Barb.   20 σκηρὸν M, μακρὸν N

19 — 243,5 N fol. 158r: ὅτι πόνῳ — ἐνδιαιτᾶσθαι.   19 — 243,3 DR fol. 274r Φίλωνος ἐκ τοῦ περὶ Μωυσέος βίου: τὸ πόνῳ κτηθὲν τυγχάνει ἀναγκαῖον. πικρὸς δὲ καὶ σκληρὸς καὶ ἀντιτυπὴς πόνος — μακαριότητα.

p. 163 M. οὗ χάριν οὐ μαλακιστέον. ὁ | μὲν γὰρ τὸν πόνον φεύγων φεύγει καὶ 184 τὰ ἀγαθά, ὁ δὲ τλητικῶς καὶ ἀνδρείως ὑπομένων τὰ δυσκαρτέρητα σπεύδει πρὸς μακαριότητα· οὐ γὰρ ἁβροδιαίτοις καὶ τὴν ψυχὴν ἐκτεθηλυμμένοις καὶ τὸ σῶμα διαρρέουσιν ὑπὸ τῆς καθ' ἑκάστην ἡμέραν ἀδιαστάτου θρύψεως ἀρετὴ πέφυκεν ἐνδιαιτᾶσθαι, κακουμένη δὲ μετανίσταται πρότερον ἀπόλειψιν χρηματίσασα πρὸς τὸν ἄρχοντα τὸν ὀρθὸν λόγον. ἀλλ' εἰ δεῖ 185 τἀληθὲς εἰπεῖν, ὁ φρονήσεως καὶ σωφροσύνης ἀνδρείας τε καὶ δικαιοσύνης ἱερώτατος θίασος ἀσκητὰς μετατρέχει καὶ ὅσοι τὸν αὐστηρὸν καὶ σκληροδίαιτον βίον, ἐγκράτειαν καὶ καρτερίαν, ζηλοῦσι σὺν εὐτελείᾳ καὶ ὀλιγοδεΐᾳ, δι' ὧν τὸ κυριώτατον τῶν ἐν ἡμῖν, ὁ λογισμός, εἰς ὑγείαν ἄνοσον καὶ εὐεξίαν ἐπιδίδωσι καθελὼν τὸν βαρὺν τοῦ σώματος ἐπιτειχισμόν, ὃν οἰνοφλυγίαι καὶ ὀψοφαγίαι καὶ λαγνεῖαι καὶ αἱ ἄλλαι ἀπλήρωτοι ἐπιθυμίαι συνεκρότησαν γεννήσασαι τὴν ἀντίπαλον ἀγχινοίας πολυσαρκίαν. λέγεται 186 μέντοι καὶ τῶν ἐν ἔαρι βλαστάνειν εἰωθότων δένδρων ἡ ἀμυγδαλῆ καὶ πρῶτον ἀνθεῖν εὐαγγελιζομένη φορὰν ἀκροδρύων καὶ ὕστατον φυλλορροεῖν τὴν ἐπέτειον πρὸς μήκιστον ἀποτείνουσα τῆς χλόης εὐγηρίαν· ὧν ἑκάτερον ποιεῖται σύμβολον τῆς ἱερατικῆς φυλῆς, αἰνιττόμενος ὅτι καὶ πρώτη καὶ ὑστάτη τοῦ σύμπαντος ἀνθρώπων γένους ἀνθήσει, καθ' ὃν ἂν χρόνον δόξῃ τῷ θεῷ ταῖς ἐαριναῖς τροπαῖς ἐξομοιῶσαι τὸν ἡμέτερον βίον ἀνελόντι τὴν ἐπίβουλον καὶ τοῦ κακοδαιμονεῖν πηγὴν πλεονεξίαν.

---

1 καταμαλακιστέον D τὸν om. VOK καὶ om. AD Flor. Par. nonnulli Max. codd. 2 τἀγαθὰ BEMA δὲ] δ' αὖ A (v) ἀνδρίως A 3 σπεύδει] φεύγει VOK οὐ] οὐδὲ A (v) καὶ om. AF Barb., post ψυχὴν transp. N ψυχήν τ' A 3. 4 ἐκτεθηλυμμένοις scripsi: ἐκτεθηλυμένοις V²OKFP Barb., ἐκτεθηλυσμένοις ceteri (v) 5 μετανίσταται Barb. (coni. Mang.): μετανίστασθαι codd. (v) 6 ἀπολείψειν BEMVOK¹ τὸν ὀρθὸν λόγον (ω ω ω supra) A (τῶν ὀρθῶν λόγων Turn.) δεῖ] δὴ Barb., χρὴ A (v) 7 ἀνδρίας AE 9 post ἐγκράτειαν add. τε Mang. ὀλιγοδεεία BEM, ὀλιγοδεεῖ G 10 ὑγίειαν VKG Barb. 11 καθαιρῶν A ὃν] οἷον AG 12 καὶ λαγνεῖαι] καὶ ὀψοφαγίαι (sic) A αἱ om. A (v) 14 ἐν om. AVOK βλαστάνειν εἰωθότων AFGHP Barb.: βλαστανόντων ceteri ἀμυγδάλη AFV¹ 14. 15 καὶ πρῶτον AV²K Barb.: καὶ om. ceteri 15 φυλορροεῖν M, φυλλοροεῖν BEV¹ 16 ἐπέτειον] ὑπέτιον BEM, ὑπαίτιον F (V¹ ut vid.) πρὸς μήκιστον ἀποτείνουσα om. O εὐγηρίαν AFGH Barb.: ἀγηρίαν P, εὐετηρίαν ceteri 17 αἰνιττόμενον V²OK καὶ AFGHP Barb.: om. ceteri 20 ἐπιβουλὴν A κακοδαιμονᾶν VOK πηγὴν AFGH Barb.: πληγὴν P, τὴν γῆν BEMO, τὴν γῆν (πηγὴν supra) VK

1—3 Mel. Barocc. fol. 239v Flor. Par. Nr. 13 Max. Ecl. cap. 32 Anton. Mel. II 45 Col. 1124 Φίλωνος: ὁ μὲν τὸν πόνον φεύγων — μακαριότητα.

187 (23.) Ἐπειδὴ τοίνυν τῷ τελειοτάτῳ ἡγεμόνι τέτταρα δεῖν ἔφαμεν
προσεῖναι, βασιλείαν καὶ νομοθετικὴν ἕξιν καὶ ἱερωσύνην καὶ προ-
φητείαν, ἵνα διὰ μὲν τῆς νομοθετικῆς προστάττῃ ἃ δεῖ καὶ ἀπα-
γορεύῃ ἃ μὴ δεῖ πράττειν, διὰ δὲ τῆς ἱερωσύνης μὴ μόνον
τἀνθρώπεια ἀλλὰ καὶ τὰ θεῖα διέπῃ, διὰ δὲ τῆς προφητείας ὅσα μὴ
λογισμῷ καταλαμβάνεται θεσπίζῃ, διειλεγμένος περὶ τῶν πρώτων
τριῶν καὶ ἐπιδεδειχὼς Μωυσῆν ἄριστον βασιλέα καὶ νομοθέτην καὶ
ἀρχιερέα τὸ τελευταῖον ἔρχομαι δηλώσων, ὅτι καὶ προφήτης γέγονε
188 δοκιμώτατος. οὐκ ἀγνοῶ μὲν οὖν, ὡς πάντ᾽ εἰσὶ χρησμοί, ὅσα ἐν ταῖς
ἱεραῖς βίβλοις ἀναγέγραπται, χρησθέντες δι᾽ αὐτοῦ· λέξω δὲ τὰ ἰδιαίτερα,
πρότερον εἰπὼν ἐκεῖνο· τῶν λογίων τὰ μὲν ἐκ προσώπου τοῦ θεοῦ
λέγεται δι᾽ ἑρμηνέως τοῦ θείου προφήτου, τὰ δ᾽ ἐκ πεύσεως καὶ ἀπο-
κρίσεως ἐθεσπίσθη, τὰ δ᾽ ἐκ προσώπου Μωυσέως ἐπιθειάσαντος καὶ ἐξ
189 αὐτοῦ κατασχεθέντος. τὰ μὲν οὖν πρῶτα ὅλα δι᾽ ὅλων ἀρετῶν θείων
δείγματά ἐστι, τῆς τε | ἵλεω καὶ εὐεργέτιδος, δι᾽ ὧν ἅπαντας μὲν p. 164 M.
ἀνθρώπους πρὸς καλοκἀγαθίαν ἀλείφει, μάλιστα δὲ τὸ θεραπευτικὸν
190 αὐτοῦ γένος, ᾧ τὴν πρὸς εὐδαιμονίαν ἄγουσαν ἀνατέμνει ὁδόν· τὰ δὲ
δεύτερα μῖξιν ἔχει καὶ κοινωνίαν, πυνθανομένου μὲν τοῦ προφήτου
περὶ ὧν ἐπεζήτει, ἀποκρινομένου δὲ τοῦ θεοῦ καὶ διδάσκοντος· τὰ δὲ
τρίτα ἀνατίθεται τῷ νομοθέτῃ, μεταδόντος αὐτῷ τοῦ θεοῦ τῆς προγνω-
191 στικῆς δυνάμεως, ᾗ θεσπιεῖ τὰ μέλλοντα. τὰ μὲν οὖν πρῶτα ὑπερ-
θετέον, μείζω γάρ ἐστιν ἢ ὡς ὑπ᾽ ἀνθρώπου τινὸς ἐπαινεθῆναι, μόλις
ἂν ὑπ᾽ οὐρανοῦ τε καὶ κόσμου καὶ τῆς τῶν ὅλων φύσεως ἀξίως ἐγκω-
μιασθέντα, καὶ ἄλλως λέγεται ὡσανεὶ δι᾽ ἑρμηνέως· ἑρμηνεία δὲ καὶ

1 ἔφημεν VOK 3 προστάττει M post ἃ δεῖ add. ποιεῖν HP (Turn.) 3. 4 ἀπαγορεύει E, ἀπαγορεύειν M 5 τὰ ἀνθρώπεια AFVOK Barb. ὅσω FP 6 θεσπίζει F 7 μωσῆν Barb. 8 προφήτης FGHP: προφητῶν ceteri (v) 9 ἀγνοῶν A οὖν] ἴσως A πάντα A, πάντες F Barb. 10 δι᾽] παρ᾽ A λέξαι M ἰδιαίτερα] εἴδη A 11 πρότερον] πρῶτον BEM τὰ μὲν] τὰ μὲν γὰρ A, γὰρ τὰ μὲν v ἐκ τοῦ προσώπου G τοῦ ante θεοῦ om. M 12 θείου FGHP Barb.: om. ceteri δὲ Barb. 13 δὲ Barb. τοῦ μωυσέος P μωυσέως BEMV[1]: μωσέως Barb., μωυσέος ceteri ἐπιθειάζοντος M 14 αὐτοῦ codd. (Turn.) 15 δείγματ᾽ A Barb. τε AFGHP Barb.: om. ceteri 16 δὲ om. BEM 17 ᾧ] ὃ G δὲ AFGHP Barb.: om. ceteri 18 μὲν] μέντοι FHP Barb., om. G 19 ἐπεζήτει AGHP Barb.: ἐπιζητεῖ ceteri 20 ἀνατέθειται V[2]OK 21 ἢ AHP 22 μείζονα AVOK Barb. ὑπ᾽] ἐπ᾽ O ἐπαναθῆναι Barb. 23 ἂν] δὲ VOK 23. 24 ἐγκωμιασθῆναι V[2]OK 24 post ἄλλως add. ὅτι V[2]OK διερμηνέως E

προφητεία διαφέρουσι. περὶ δὲ τῶν δευτέρων αὐτίκα πειράσομαι δηλοῦν
συνυφήνας αὐτοῖς καὶ τὸ τρίτον εἶδος, ἐν ᾧ τὸ τοῦ λέγοντος ἐνθουσιῶδες
ἐμφαίνεται, καθ' ὃ μάλιστα καὶ κυρίως νενόμισται προφήτης.
(24.) Τῆς δ' ὑποσχέσεως ἀρκτέον ὧδε. τέτταρές εἰσι τόποι διὰ 192
πεύσεως καὶ ἀποκρίσεως χρησμοῖς νομοθετηθέντες, μικτὴν ἔχοντες
δύναμιν· τῇ μὲν γὰρ ὁ προφήτης ἐνθουσιᾷ πυνθανόμενος, τῇ δὲ ὁ πατὴρ
θεσπίζει λόγου καὶ ἀποκρίσεως μεταδιδούς. ἔστι δὲ πρῶτος, ὃς οὐχ
ὅτι Μωυσῆν ὁσιώτατον τῶν πώποτε γενομένων ἀλλὰ καὶ τὸν ἐπὶ βραχὺ
γευσάμενον εὐσεβείας ὤργισεν. ἐξ ἀνομοίων τις γενόμενος ἄνθρωπος νόθος, 193
Αἰγυπτίου μὲν πατρός, μητρὸς δὲ Ἰουδαίας, τῶν μὲν ταύτης πατρίων
ἐθῶν ὠλιγώρησε, πρὸς δὲ τὴν Αἰγυπτιακήν, ὡς λόγος, ἀπέκλινεν ἀσέβειαν
τὴν τῶν ἀνδρῶν ζηλώσας ἀθεότητα. μόνοι γὰρ σχεδὸν ἁπάντων ἐθνῶν 194
Αἰγύπτιοι γῆν ἐπετείχισαν οὐρανῷ, τὴν μὲν ἰσοθέων τιμῶν ἀξιώσαντες,
τῷ δ' οὐδὲν γέρας ἐξαίρετον ἀπονείμαντες, ὡς δέον πρὸ τῶν βασιλείων
τὰς ἐσχατιὰς περιέπειν — ἐν γὰρ κόσμῳ βασίλειον μὲν ἱερώτατον
οὐρανός, ἐσχατιὰ δὲ γῆ, καθ' ἑαυτὴν μὲν ἀξιοσπούδαστος, εἰς δὲ
σύγκρισιν ἰοῦσα αἰθέρος ἀπολειπομένη τοσοῦτον ὅσον σκότος μὲν φωτός,
νὺξ δὲ ἡμέρας, φθορὰ δ' ἀφθαρσίας καὶ θνητὸς θεοῦ —. τῆς γὰρ 195
χώρας οὐχ ὑετῷ καθάπερ αἱ ἄλλαι νιφομένης, ἀλλὰ ταῖς τοῦ ποταμοῦ
πλημμύραις εἰωθυίας ἀνὰ πᾶν ἔτος λιμνάζεσθαι, θεοπλαστοῦσι τῷ λόγῳ
τὸν Νεῖλον Αἰγύπτιοι ὡς ἀντίμιμον οὐρανοῦ γεγονότα καὶ περὶ τῆς
χώρας σεμνηγοροῦσιν. (25.) ὁ δὴ μικτὸς οὗτος ἐκεῖνος διενεχθείς τινι 196
τῶν ἀπὸ τοῦ ὁρατικοῦ καὶ ἐπιστημονικοῦ γένους, ἀκράτωρ ὑπ'

2 συνυφήνας AFGHP Barb.: συνυφάνας ceteri 3 καθὸ AFHP 4 τέσσαρες G Barb. γάρ εἰσι BEM τόποι AGHPV¹ Barb.: τρόποι ceteri 5 χρησμῶν V²K¹ 6 τῇ AGHPK² Barb.: πῇ ceteri τῇ AGHPK² Barb.: πῇ ceteri δ' AVOK Barb. 7 πρῶτος ὃς F Barb.: ὁ πρῶτος A, πρῶτον ceteri (v) 8 μωσῆν Barb. post ὁσιώτατον add. καὶ θεοφιλέστατον A (v) πώποτε] ποτε A (Turn.) ἐπὶ AFG Barb.: om. ceteri 9 ὤργησεν P¹, ὤρ σεν
α
(sic) G, ὤργισεν K, ὠργίασεν AP² (Turn.), παρώργισεν mg. H νόθος om. BEM 10 δ' BEMFG Ἰουδαίας] οὐ δικαίας G ὃς ante τῶν ss. H² (v) ταύτης AFGHPK²: αὐτῆς ceteri 11 ἐθ[…]ῶν B 12 ζηλώσασα BEM σχεδῶν P τῶν ἐθνῶν AVOK (v) 13 τιμὴν H¹ 14 δέον] δὲ F 15 μὲν AFGHP: om. ceteri 16 ἀξιοσπούδαστον BEM 18 δὲ] δ' A 19 αἱ om. A νιφομένης Turn.: νειφομένης codd. (Mang.) 20 πλημύραις G, πλημμυρίαις A τῷ λόγῳ om. HP 21 ὡς AFGHP: om. ceteri ἀντίτιμον M γεγονότα AFGHP: γεγονέναι ceteri 22 οὗτος om. GHP τινι om. A 23 ὁρατικοῦ] ἱερατικοῦ A (Turn.)

9 sqq. Levit. 24,10 — 16

ὀργῆς αὐτὸς αὑτοῦ γενόμενος καὶ ἅμα τῆς Αἰγυπτιακῆς ἀθεότητος
ζηλωτὴς ὤν, ἀπὸ γῆς εἰς οὐρανὸν ἔτεινε τὴν ἀσέβειαν | ἐπαράτῳ καὶ p. 165 M.
ἐναγεῖ καὶ μεμιασμένῃ ψυχῇ τε καὶ γλώττῃ καὶ πάσῃ τῇ φωνῆς ὀργανο-
ποιίᾳ καταρασάμενος δι᾽ ὑπερβολὴν κακιῶν ὃν οὐδ᾽ ὑπὸ πάντων ἀλλὰ
μόνων τῶν ἀρίστων εὐλογεῖσθαι θέμις, ὅσοι τὰς τελείας καθάρσεις
197 ἐδέξαντο. διὸ καὶ θαυμάσας τὴν φρενοβλάβειαν καὶ τὴν τοῦ θράσους
ὑπερβολήν, καίτοι γ᾽ ὑπόπλεως ὢν παραστήματος εὐγενοῦς καὶ ἱέμενος
αὐτοχειρίᾳ διαρτῆσαι τὸν ἄνθρωπον, ἔδεισε μὴ κουφοτέραν ἀναπράξῃ
τιμωρίαν· ἰσόρροπον γὰρ ἐπινοῆσαι πρὸς τοσαύτην ἀσέβειαν κόλασιν
198 ἄνθρωπος οὐκ ἂν ἴσχυσεν. ἐπεὶ δὲ καὶ τῷ μὴ σέβειν θεὸν ἕπεται τὸ
μήτε γονεῖς μήτε πατρίδα μήτ᾽ εὐεργέτας τιμᾶν, ὁ δὲ δὴ πρὸς τῷ μὴ
σέβειν καὶ κακηγορεῖν τολμῶν τίνα μοχθηρίας ὑπερβολὴν ἀπολέλοιπε;
καίτοι καὶ τὸ κακηγορεῖν ἧττον ἐν συγκρίσει κατάρας· ἀλλὰ γλωσσαλγία
καὶ ἀχάλινον στόμα ὅταν ἐκνόμοις ἀφροσύναις ὑπηρετῶσι, πάντως τι
199 καινουργεῖται τῶν ἀθέσμων. ὦ ἄνθρωπε, καταρᾶταί τις θεόν; τίνα
καλῶν ἕτερον θεὸν εἰς τὴν τῆς ἀρᾶς βεβαίωσιν; ἢ δῆλον ὅτι αὐτὸν κατ᾽
αὐτοῦ; ἄπαγε βεβήλων καὶ ἀνοσίων ἐνθυμημάτων. καλὸν ἐκνίψασθαι
τὴν ἀθλίαν ψυχὴν ἐπηρεασθεῖσαν μὲν ὑπὸ φωνῆς, διακόνοις δὲ τοῖς

1 αὐτοῦ BEMFP 1. 2 ζηλωτὴς ἀθεότητος transp. AVOK (v) 2 ζηλωτὸς M 3 καὶ ante μεμιασμένῃ om. A (v) τε καὶ γλώττῃ AFGHP: om. ceteri πάσης A τῇ] τῆς BEMA (v) 4 κακιῶν scripsi: κακῶν codd. ὃν] ὃ BEM(V[1] ut vid.) 6 pr. καὶ AFGHP: om. ceteri 6—8 καὶ θαυμάσας — ἄνθρωπον om. Barb. 7 γε VOK παραστήματος ὢν transp. HP ἱέμενος AFGHP: ἰέμενος ceteri 8 διαρτῆσαι BEMHP: διαρτίσαι VOKF, διαχρῆσαι AG; διαχρήσασθαι v ἔδεισε δὲ A ἀναπράξῃ AF Barb.: ἀναπράξηται ceteri 9 τιμωρίαν om. VK[1] γὰρ om. V[1] ἀσεβείας A 10 ἐπεὶ] ἐπὶ K δὲ καὶ eras. V[2], om. OK, καὶ om. BEM σέβειν Mang.: σέβοντι codd. τὸ AFG: καὶ τὸ ceteri 11 μήτ᾽] μήτε K εὐεργεσίας F δὲ om. BEM δὴ] μὴ Turn. τῷ] τὸ M 12 κατηγορεῖν AHP, κακουργεῖν O 13 καίτοι om. A καὶ AGHP: om. ceteri κακηγορεῖν BEMF: κατηγορεῖν ceteri 14 ἀχάλινον AFGHP: ἀχαλίνωτον ceteri 15 ὦ ἄνθρωπε A: ἰὼ ἄνθρωποι F, om. ceteri θεὸν τινά; G 16 καλῶν] καλὸν F δηλονότι VOK 16. 17 κατ᾽ αὐτοῦ A: καθ᾽ αὑτοῦ ceteri 18 μὲν om. A

4—10 pergit Barber. IV 56: λέγει τοίνυν περὶ τοῦ καταρασαμένου δι᾽ ὑπερβολὴν κακῶν τὸν θεὸν ὃν οὐδ᾽ — ἐδέξαντο. διὸ δείσας ὁ προφήτης μὴ κουφοτέραν — οὐκ ἂν ἴσχυσε et pergit 247,6. 15 — 247,6 *Procop. Gaz. Comment. in Levit. 24,10* (Migne t. 87,1 Col. 781): ὁ θεὸν καταρώμενος τίνα κελεύει (leg. καλεῖ) θεὸν ἕτερον εἰς τὴν τῆς ἀρᾶς βεβαίωσιν; ἢ δῆλον ὅτι αὐτὸν καθ᾽ ἑαυτοῦ; ἐχρῆν μὲν οὖν παρεῖσθαι τοῦ φθεγξαμένου τὴν γλῶσσαν· προνοίᾳ δὲ τῆς δίκης οὔτε ἀγαθὸν ὑπερβάλλον οὔτε κακὸν ἐπισκιάζεται πρὸς ἔλεγχον ἀρετῆς ἢ κακίας, ἵνα τὴν μὲν ἀποδοχῆς τὴν δὲ τιμωρίας ἀξιώσῃ.

ὠσὶ χρησαμένην, αἰσθήσει τυφλῇ. καὶ οὔτε ἡ γλῶττα τοῦ τοσοῦτον 200 ἀσέβημα φθεγξαμένου παρείθη οὔτε τὰ τοῦ μέλλοντος ἀκούειν ὦτα ἐπεφράχθη; εἰ μὴ ἄρα κατὰ πρόνοιαν τῆς δίκης, ἥτις οὔτ' ἀγαθὸν ὑπερβάλλον οὔτε μέγιστον κακὸν οἴεται δεῖν ἐπισκιάζεσθαι, πρὸς ἔλεγχον ἐναργέστατον ἀρετῆς ἢ κακίας, ἵνα τὴν μὲν ἀποδοχῆς τὴν δὲ τιμωρίας ἀξιώσῃ. διὰ τοῦτο τὸν μὲν εἰς εἱρκτὴν ἀπαχθέντα κελεύει δεθῆναι, 201 ποτνιᾶται δὲ τὸν θεὸν ἱλασάμενος ταῖς ἀνάγκαις τῶν αἰσθήσεων, δι' ὧν καὶ βλέπομεν ἃ μὴ θέμις ὁρᾶν καὶ ἀκούομεν ὧν μὴ θέμις ἀκούειν, ὅ τι χρὴ παθεῖν τὸν εὑρετὴν ἀσεβήματος καὶ ἀνοσιουργήματος ἐκτόπου καὶ ξένου δηλῶσαι. ὁ δὲ προστάττει καταλευσθῆναι, προσήκουσαν οἶμαι 202 δίκην ὑπολαβὼν τὴν διὰ λίθων κατ' ἀνδρὸς λιθίνην καὶ ἀπόκροτον ψυχὴν ἔχοντος καὶ ἅμα βουλόμενος πάντας τοὺς ἀπὸ τοῦ ἔθνους συνεφάψασθαι τῆς κολάσεως, οὓς ᾔδει σφόδρα τραχέως ἐνεγκόντας καὶ φονῶντας· μόνης δ' ὡς ἔοικε τῆς διὰ βλημάτων ἔμελλον αἱ τοσαῦται μυριάδες ἐφάπτεσθαι. μετὰ δὲ τὴν τοῦ ἀνοσίου καὶ παλαμναίου τίσιν 203 ἐγράφη διάταγμα καινόν, οὐκ ἄν ποτε προηγουμένης ἀξιωθὲν γραφῆς, ἀλλ'
p. 166 M. αἱ ἀπροσδόκητοι νεωτεροποιίαι καινοὺς νόμους εἰς ἀνακοπὴν | ἁμαρτημάτων ἐπιζητοῦσιν. αὐτίκα γοῦν νομοθετεῖται τάδε· ὃς ἂν καταράσηται θεόν, ἁμαρτίας ἔνοχος ἔστω, ὃς δ' ἂν ὀνομάσῃ τὸ ὄνομα κυρίου, θνῃσκέτω (Lev. 24, 15. 16). εὖ γ', ὦ πάνσοφε, μόνος ἀμιγοῦς ἠκρατίσω 204 σοφίας· τοῦ καταρᾶσθαι χεῖρον τὸ ὀνομάζειν ὑπείληφας; οὐ γὰρ ἂν τὸν μὲν βαρύτατον ἀσέβημα εἰργασμένον ἐπεκούφιζες διημαρτηκόσιν

1 καί] κἂν V²OK ἡ om. A γλῶσσα BM τοῦ BEMVKH²: τὸ O, om. AFGH¹P(v) 3 ἐπεφράχθη AGHP: ἀπεφράχθη ceteri ἥτις] ἢ A οὔτε VOK 4 ἐπισκιάζεσθαι οἴεται δεῖν transp. A (v) 6 διὰ δὲ τοῦτο FGHP (v) 7—8 ἱλασάμενος — ἀκούειν om. Barb. 7 ἱλασάμενος AFGHP: ἱλασάμενον ceteri (Mang.) δι' ὧν A: δι' ἃς ceteri (v) 8 ἀκούομεν] ἀκούειν G ὧν] ἃ G 9 εὑρετὴν] εὐεργέτην BEMA mg. K, om. F τοῦ ἀσεβήματος Barb. ἐκτόπου FGHP: ἐκτοπίου ceteri (v) 11 τὴν διὰ λίθων om. BEM κατὰ Barb. ἀπόκριτον BM 13 ταχέως O (Turn.) 14 φονᾶν O, φονᾶν κατ' αὐτοῦ V²K διαβλημάτων M 18 ἂν] δὴ F καταράσεται AF τὸν θεὸν P 19 ἁμαρτίας AF: ἁμαρτία ceteri (ἁμαρτίᾳ v) ἔσται H ὀνομάσοι A κυρίου BEM: τοῦ κυρίου AVOK (v), θεοῦ κυρίου HP, κυρίου θεοῦ FG 20 εὖ γ' FGHP: εὖ γε A, εὖ ceteri ὦ AFGHPK²: om. ceteri ἠκρατίσω] ἠκρατήσω P, ἢ κρατεῖς ὦ BEM, ἢ κρατεῖς A mg. P² 21 τοῦ] τὸ G τὸ] τοῦ G ὑπειληφὼς V²K (coni. Mang.) 22 εἰργασμέναι (ον supra) K, εἰργασμένον om. A ἡμαρτηκόσιν V¹, τοῖς ἡμαρτηκόσιν V²OK

6—12 pergit Barber. IV 56: τὸν μὲν εἰς εἱρκτὴν ἀπαχθέντα κελεύει δεθῆναι· ποτνιᾶται δὲ τὸν θεόν, ὅ τι χρὴ παθεῖν — ψυχὴν ἔχοντος.

ἐπιεικέστερον συντάττων. κατὰ δὲ τοῦ βραχύτερον ἠδικηκέναι δόξαντος
205 τὴν ἀνωτάτω τιμωρίαν, θάνατον, ὥριζες. (26.) ἀλλ' ὡς ἔοικε „θεοῦ“ τὰ νῦν οὐχὶ τοῦ πρώτου καὶ γεννητοῦ τῶν ὅλων ἀλλὰ τῶν ἐν ταῖς πόλεσι μέμνηται· ψευδώνυμοι δ' εἰσὶ γραφέων καὶ πλαστῶν τέχναις δημιουργούμενοι· ξοάνων γὰρ καὶ ἀγαλμάτων καὶ τοιουτοτρόπων ἀφιδρυμάτων ἡ οἰκουμένη μεστὴ γέγονεν, ὧν τῆς βλασφημίας ἀνέχειν ἀναγκαῖον, ἵνα μηδεὶς ἐθίζηται τῶν Μωυσέως γνωρίμων συνόλως θεοῦ
206 προσρήσεως ἀλογεῖν· ἀξιονικοτάτη γὰρ καὶ ἀξιέραστος ἡ κλῆσις. εἰ δέ τις οὐ λέγω βλασφημήσειεν εἰς τὸν ἀνθρώπων καὶ θεῶν κύριον, ἀλλὰ καὶ τολμήσειεν ἀκαίρως αὐτοῦ φθέγξασθαι τοὔνομα, θάνατον ὑπο-
207 μεινάτω τὴν δίκην. οὐδὲ γὰρ τῶν φυτευσάντων καίτοι θνητῶν ὑπαρχόντων οἷς μέλει γονέων τιμῆς τὰ ὀνόματα προφέρουσιν, ἀλλὰ τὰ κύρια διὰ τὸν ἐπ' αὐτοῖς σεβασμὸν ἡσυχάζοντες τοῖς τῆς φύσεως ἀνακαλοῦσι πατέρα καὶ μητέρα προσαγορεύοντες, δι' ὧν εὐθὺς αἰνίττονται τὰς ἐξ ἐκείνων ἀνυπερβλήτους εὐεργεσίας καὶ τὴν αὑτῶν εὐχάριστον διά-
208 θεσιν. ἔτι νῦν συγγνώμης ἀξιούσθωσαν οἱ κατ' ἐπισυρμὸν γλώττης ἀκαιρευόμενοι καὶ λόγων ἀναπλήρωμα ποιούμενοι τὸ ἁγιώτατον καὶ θεῖον ὄνομα;

209 (27.) Μετὰ δὲ τὴν τοῦ γεννητοῦ τῶν ὅλων τιμὴν τὴν ἱερὰν ἑβδόμην ἐσέμνυνεν ὁ προφήτης ἰδὼν αὐτῆς ὀξυωπεστέροις ὄμμασι κάλλος ἐξαίσιον

1 συντάττων] πράττων FGHP (v), ἄττων A   βραχύτατον VOK, βαρύτερον HP   2 ὥριζες AGHP: ὥρισας VOKF, ὥρισεν BEM   3 γεννητοῦ Mang. (in append.): γενητοῦ FGHP, γενέτου A mg. K (Mang. in textu), ἀγεννήτου V^1, ἀγενήτου ceteri; ἀγεννητοῦ (sic) Turn.   7 μηδὲ εἷς A   μωυσέος MHPK, μωσέως AFG   θεοῦ om. M   8 ἀξιονικωτάτη MO, ἄξιον εἰκότα τῇ F, ἄξιον εἰκότως· ἦν A   καὶ] ἀεὶ A; ἀεὶ καὶ v   ἀξιέραστον A, ἀπαξιέραστος FGHP; ἐπαξιέραστον v   9 λέγω] λόγω APV^2OK   εἰς] ὡς G   ἀνθρώπων AVOKH^2P^2: ἄνθρωπον ceteri   θεῶν AV^2OKH^2: θεὸν ceteri   καὶ κύριον F   10 καὶ om. A   ἀκαίρως AFGHP: δικαίως ceteri   11 οὐδὲ A: οὔτε ceteri (v)   φυ[illegible]σάντων V, φυσάντων AOK (prob. Mang.)   12 μέλλει BMAV^1 τὰ κύρια AFHP: τὰ δάκρυα G, τὸν κύριον V^1 ut vid., τὸ κύριον ceteri   13 ἐπ' AFGHP: ἐν ceteri   τοῖς] τὸν V^1 ut vid., τὸ V^2OK   14 δι' ὧν AFGHP: δι' om. ceteri   αἰνίττεται BEMV^1, αἰνίττεσθαι V^2OK   15 ἀνυπερβλήτως M   καὶ om. VOK   αὐτῶν codd.   16 ἔτι νῦν] ἔτι μὴν V^2OK; οὐ τοίνυν coni. Mang., ἔτι τοίνυν vel τί οὖν conicio   μὴ ante ἀξιούσθωσαν add. V^2OK   τῆς γλώττης G   19 γενητοῦ BEMFP, γενέτου A   τιμὴν ante τοῦ transp. F

2 sqq. cf. *Ioseph. Ant. Iud. IV § 207* βλασφημείτω δὲ μηδεὶς θεοὺς οὓς πόλεις ἄλλαι νομίζουσι. *Contra Apionem II § 237* . . καὶ περί γε τοῦ μήτε χλευάζειν μήτε βλασφημεῖν τοὺς νομιζομένους θεοὺς παρ' ἑτέροις ἄντικρυς ἡμῖν ὁ νομοθέτης ἀπείρηκεν αὐτῆς ἕνεκα προσηγορίας τοῦ θεοῦ.

ἐνεσφραγισμένον οὐρανῷ τε καὶ τῷ σύμπαντι κόσμῳ καὶ ὑπὸ τῆς φύσεως
αὐτῆς ἀγαλματοφορούμενον. εὕρισκε γὰρ αὐτὴν τὸ μὲν πρῶτον ἀμήτορα, 210
γενεᾶς τῆς θήλεος ἀμέτοχον, ἐκ μόνου πατρὸς σπαρεῖσαν ἄνευ σπορᾶς καὶ
γεννηθεῖσαν ἄνευ κυήσεως· ἔπειτα δ' οὐ ταῦτα μόνον κατεῖδεν, ὅτι παγκάλη
καὶ ἀμήτωρ, ἀλλ' ὅτι καὶ ἀειπάρθενος, οὔτ' ἐκ μητρὸς οὔτε μήτηρ οὔτ' ἐκ
p. 167 M. | φθορᾶς οὔτε φθαρησομένη· εἶτ' ἐκ τρίτου κατενόησεν αὐτὴν ἐξετάζων
καὶ κόσμου γενέθλιον, ἣν ἑορτάζει μὲν οὐρανός, ἑορτάζει δὲ γῆ καὶ τὰ ἐν
γῇ γανύμενα καὶ ἐνευφραινόμενα τῇ παναρμονίῳ ἑβδομάδι. ταύτης 211
ἕνεκα τῆς αἰτίας ὁ πάντα μέγας Μωυσῆς ἐδικαίωσε τοὺς ἐγγραφέντας
αὐτοῦ τῇ ἱερᾷ πολιτείᾳ θεσμοῖς φύσεως ἑπομένους πανηγυρίζειν, ἐν
ἱλαραῖς διάγοντας εὐθυμίαις, ἀνέχοντας μὲν ἔργων καὶ τεχνῶν τῶν εἰς
πορισμὸν καὶ πραγματειῶν ὅσαι κατὰ βίου ζήτησιν, ἄγοντας δ' ἐκεχει-
ρίαν καὶ διαφειμένους πάσης ἐπιπόνου καὶ καματηρᾶς φροντίδος,
σχολάζοντας οὐχ ὡς ἔνιοι γέλωσιν ἢ παιδιαῖς ἢ μίμων ἢ ὀρχηστῶν
ἐπιδείξεσι, περὶ ἃς κηραίνουσι καὶ δυσθανατοῦσιν οἱ θεατρομανοῦντες
καὶ διὰ τῶν ἡγεμονικωτάτων αἰσθήσεων, ὁράσεως καὶ ἀκοῆς, δούλην
ἀπεργαζόμενοι τὴν φύσει βασιλίδα ψυχήν, ἀλλὰ μόνῳ τῷ φιλοσοφεῖν·
οὐχ ὅπερ μεθοδεύουσιν οἱ λογοθῆραι καὶ σοφισταὶ πιπράσκοντες ὡς 212
ἄλλο τι τῶν ὠνίων ἐπ' ἀγορᾶς δόγματα καὶ λόγους, οἳ φιλοσοφίᾳ κατὰ
φιλοσοφίας (ὦ γῆ καὶ ἥλιε!) χρώμενοι δι' αἰῶνος οὐκ ἐρυθριῶσιν,
ἀλλὰ τῷ τῷ ὄντι φιλοσοφεῖν, ὅπερ ἐκ τριῶν συνύφανται, βουλευμάτων καὶ
λόγων καὶ πράξεων, εἰς ἓν εἶδος ἡρμοσμένων πρὸς κτῆσιν καὶ ἀπό-
λαυσιν εὐδαιμονίας. τούτου δή τις ἀλογήσας τοῦ διατάγματος, ἔτι τοὺς 213
χρησμοὺς ἐναύλους ἔχων τοὺς περὶ τῆς ἱερᾶς ἑβδόμης, οὓς ἐθέσπισεν

1 ἀνεσφραγισμένον Turn. 2 αὐτῆς] αὐτοῦ H 3 θήλεως FH 4 δὲ VO μόνον ταῦτα transp. BMAF, μόνα ταῦτα VOK κατεῖδον M παγκαλῆς A 6 οὔτ' ἐκφθαρησομένη A εἶτα N, εἶτ' E 7. 8 καὶ τὰ ἐν γῇ (τῇ γῇ F) AFGHPN: om. ceteri 8 γανύμενα BE: γαννύμενα ceteri (v) παναρμονίᾳ H 9 ἐγγραφθέντας K 10 πολιτείᾳ] βίβλῳ νόμους V²OK 11 ἱλαραῖς BEMVOK: ἱλαρίαις AFGHPN; ἱλαρίναις (sic) v ἐν εὐθυμίαις AFN μὲν om. A 11. 12 εἰς πορισμὸν] ἐκ πορισμῶν A 12 πραγματείαν BEMV¹, πραγματείας V²OK ἄγοντες A δὲ A 12. 13 ἐκκεχειρίαν VKH 13 διαφειμένης A 14 σχολάζοντες A; ἐνσχολάζοντας coni. Mang. γελῶσιν AP γέλωσι καὶ παιδιαῖς BEM ἢ ante μίμων om. FN 15 περὶ ἃς κηραίνουσι] περισκαίρουσι A δυσθανατῶσιν AFPN οἱ δὲ A 16 pr. καὶ eras. V², om. OK δούλην] δοῦλον FGHP (v) 18 λοθῆραι (sic) A 19 οἱ A φιλοσοφίᾳ] φιλοσοφίας FH¹PN 21 τῷ τῷ ὄντι BEMGHP: τὸ τῷ ὄντι A (Turn.), pr. τῷ om. VOKFN (Mang.) συνυφαίνεται V²OK 22 ἓν om. BEM

6—23 N fol. 158ʳ: εἶτα ἐκ τρίτου — ἀπόλαυσιν εὐδαιμονίας. 23 sqq. Num. 15, 32—36

ἄνευ προφήτου ὁ θεὸς διὰ φωνῆς — τὸ παραδοξότατον — ὁρατῆς, ἣ
τῶν παρατυγχανόντων ὀφθαλμοὺς ὤτων ἐπήγειρε μᾶλλον, ἐπὶ φρυγανισμὸν
ἐξῄει διὰ μέσου τοῦ στρατοπέδου πάντας εἰδὼς ἐν ταῖς σκηναῖς
ἠρεμοῦντας, καὶ δρῶν ἔτι τἀδίκημα καταφανὴς ὑπὲρ τοῦ μὴ
214 λαθεῖν γίνεται. πυλῶν γὰρ ἔξω προελθόντες τινὲς εἰς ἐρημίαν,
ἵν᾿ ἐν τῷ καθαρωτάτῳ καὶ ἡσυχάζοντι εὔξωνται, θέαν ἔκνομον
ἰδόντες, ξύλων ὕλην συγκομίζοντα, καὶ δυσανασχετήσαντες ἐμέλ-
λησαν μὲν αὐτὸν ἀνελεῖν, λογισμῷ δὲ τὸ παρακεκινημένον τῆς
ὀργῆς ἐπισχόντες, ἵνα μήτε ἰδιῶται πρὸ ἀρχόντων κολάζειν τινὰ δοκῶσι
καὶ ταῦτ᾿ ἄκριτον, κἂν ἄλλως τὸ παρανόμημα ᾖ ἐμφανές, μήτε τοῦ
περὶ τὴν ἡμέραν εὐαγοῦς μίασμα φόνου, κἂν δικαιότατος ᾖ, προσάψηται,
συλλαβόντες ἄγουσιν αὐτὸν ἐπὶ τὸν ἄρχοντα, ᾧ συνήδρευον μὲν οἱ
215 ἱερεῖς, παρειστήκει δὲ σύμπασα ἡ πληθὺς πρὸς ἀκρόασιν. ἔθος γὰρ
ἦν, ἀεὶ μὲν κατὰ τὸ παρεῖκον, προηγουμένως δὲ ταῖς ἑβδόμαις, ὡς
ἐδήλωσα καὶ πρόσθεν, φιλοσοφεῖν, τοῦ μὲν ἡγεμόνος ὑφηγουμένου καὶ
διδάσκοντος ἅ τε | χρὴ πράττειν καὶ λέγειν, τῶν δ᾿ εἰς καλοκἀγαθίαν p. 168 M.
216 ἐπιδιδόντων καὶ βελτιουμένων τά τε ἤθη καὶ τὸν βίον. ἀφ᾿ οὗ καὶ
εἰσέτι νῦν φιλοσοφοῦσι ταῖς ἑβδόμαις Ἰουδαῖοι τὴν πάτριον φιλοσοφίαν τὸν
χρόνον ἐκεῖνον ἀναθέντες ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν περὶ φύσιν· τὰ γὰρ
κατὰ πόλεις προσευκτήρια τί ἕτερόν ἐστιν ἢ διδασκαλεῖα φρονήσεως
καὶ ἀνδρείας καὶ σωφροσύνης καὶ δικαιοσύνης εὐσεβείας τε καὶ ὁσιότητος καὶ
συμπάσης ἀρετῆς, ᾗ κατανοεῖται καὶ κατορθοῦται τά τε ἀνθρώπεια καὶ
217 θεῖα; (28.) τότε μὲν οὖν εἰς εἱρκτὴν ὁ τηλικοῦτον ἀσέβημα δράσας
ἀπάγεται. Μωυσῆς δὲ ἀπορῶν ὅ τι χρὴ παθεῖν τὸν ἄνθρωπον —

1 διὰ φωνῆς codd.: καὶ διὰ φωνῆς v   παραδοξώτατον BE   ἣ BEVOK: ἡ M, παρὰ A, ἣ om. FGHP (v)   2 ἐπήγειρε] ἐπήγαγε P   3 παντὸς A   εἰδὼς] ἰδὼν G   4 ἔτι] ἐπὶ A, ὅτι M   τἀδίκημα AFGHP: τὰ δόκιμα ceteri   5 ἐρημίαν A (Mang.): ἠρεμίαν ceteri (Turn.)   6 ἡσυχάζοντι om. in textu E, add. mg. E   7 ἰδότες (sic) M   7. 8 ἐμέλησαν V^{1}AFHP   8 μὲν AFGHP: om. ceteri   9 ἐπισχόντες AGHP: ἐπισχόντας F, ἐπέσχον ceteri (Mang.)   10 ἄκριτα A   ᾖ scripsi: ἦν codd. (v)   11 περὶ] παρὰ H^{1}P   ἐναγοῦς VOK   ᾖ] ἦν V^{2}K   12 συλλαβόντες AG: συλλαβόντες δ᾿ ceteri (v)   συνήδευον A   οἱ om. AHP (v)   13 παρειστήκεισαν A   πᾶσα VOK   πρὸς] ἐπὶ A   14 παρῆκον VOKG   ἑβδομάδαις BEM   15 ἐδήλωσε H^{1}P   16 καὶ λέγειν om. F   καλοκἀγαθίας AGHP   18 ἑβδομάδαις BM   πατρίαν A   τὸν AFGHP: om. ceteri   19 περὶ] παρὰ F^{1} 20 ἐστιν AGHP: om. ceteri   διδασκαλία AP, διδασκαλεῖον O   21 ἀνδρίας EAG   23 οὖν om. A   τηλικοῦτο BEM   ἀσέβημα δράσας AGHP: δράσας ἀσέβημα ceteri   24 ἄγεται A   μωσῆς AVOK   δ᾿ BEM   τὸν ἄνθρωπον παθεῖν transp. A

ᾔδει γὰρ ἄξια θανάτου διαπεπραγμένον, ἀλλὰ τίς ἂν γένοιτο τρόπος ἁρμόζων τῆς τιμωρίας; — ἀφικνεῖται πρὸς τὸ ἀόρατον ἀοράτῳ ψυχῇ δικαστήριον καὶ ἐπυνθάνετο τοῦ καὶ πρὶν ἀκοῦσαι πάντ' ἐπισταμένου δικαστοῦ, τί κέκρικεν. ὁ δ' ἀποφαίνεται τὴν γνῶσιν, ὅτι καὶ θνήσκειν ὀφείλει καὶ 218
οὐχ ἑτέρως ἢ καταλευσθείς, ἐπειδὴ καὶ τούτῳ καθάπερ καὶ τῷ προτέρῳ μετέβαλεν ὁ νοῦς εἰς κωφὴν λίθον εἰργασμένῳ τελεώτατον παρανόμημα, ᾧ σχεδὸν πάντα τἄλλα ἐμφέρεται, ὅσα περὶ τοῦ σεβασμοῦ τῆς ἑβδόμης νενομοθέτηται. διὰ τί; ὅτι οὐχ αἱ βάναυσοι μόνον ἀλλὰ καὶ αἱ 219
ἄλλαι τέχναι καὶ πραγματεῖαι καὶ μάλιστα αἱ περὶ πορισμὸν καὶ βίου ζήτησιν ἢ διὰ πυρός εἰσιν ἢ οὐκ ἄνευ τῶν διὰ πυρός· ὅθεν ἀπαγορεύει πολλάκις ἐν ταῖς ἑβδόμαις πῦρ ἐναύειν ὡς ἀρχηγικώτατον αἴτιον καὶ πρεσβύτατον ἔργον. οὗ ἡσυχάσαντος ἐνενοήθη καὶ τὰ κατὰ μέρος ὡς εἰκὸς συνησυχάσειν. ὕλη δὲ ξύλα πυρός, ὡς τὸν ξυλιζόμενον ἀδελφὸν καὶ συγγενὲς 220
ἁμάρτημα τῷ καίοντι δρᾶν, τὸ παρανόμημα διπλασιάζοντα, τῇ μὲν ὅτι προσταχθὲν ἠρεμεῖν συνεκόμιζε, τῇ δ' ὅτι καὶ τοιαῦτα συνεκόμιζεν, ἃ πυρός ἐστιν ὕλη, τῆς τῶν τεχνῶν ἀρχῆς.

(29.) Ἄμφω μὲν οὖν τὰ εἰρημένα τιμωρίας ἀσεβῶν περιέχει διὰ 221
πεύσεως καὶ ἀποκρίσεως βεβαιουμένας. ἕτερα δὲ δύο ἐστὶν οὐχὶ τῆς αὐτῆς ἀλλὰ διαφερούσης ἰδέας, ὧν τὸ μὲν περὶ κλήρου διαδοχῆς, τὸ δ'
p. 169 M. ὅσα τῷ δοκεῖν παρὰ καιρὸν | ἐπιτελουμένης ἱερουργίας, περὶ ἧς

---

2 ἁρμόζων τῆς τιμωρίας GHP: τῆς τιμωρίας ἁρμόζων F, ἁρμόζων om. ceteri ἀοράτῳ om. A ψυχῆς A 3 ἐπυνθάνετο τοῦ AF mg. P mg. K: om. ceteri καὶ πρὶν A: καὶ om. ceteri (v) τοῦ ante πάντ' add. V^{2}OK πάντα AK 5 alt. καὶ om. F (fort. recte) 6 μετέλαβεν F 7 τἄλλα MG, τὰ ἄλλα AVOK 8 διὰ τί; ὅτι AFGH^{2}P: ὅτι om. H^{1}, διότι ceteri βάναυσοι] βάσανοι BE^{1} post μόνον add. τέχναι A alt. αἱ om. A 11 ἀρχικώτατον M αἴτιον AFGHP: καὶ αἴτιον ceteri 12 ἔργον] ὄργανον coni. Mang. καὶ τὰ] καὶ τὸ M, καὶ τὰ om. A, τὰ om. F ὡς om. F 12. 13 συνησυχάσειν AF: συνησυχάζειν GHP (v), ἡσυχάσειν BEMV^{1}, ἡσυχάζειν V^{2}OK 13 ὡς] ὥστε HP (v) 14 τὸ eras. V^{2}, om. OK παρανόνημα M 15 τὸ ante προσταχθὲν add. BEM (Mang.) προσταχθεὶς V^{2}OK τὰ τοιαῦτα M 16 τῶν om. BEM 17 post τιμωρίας add. περιέχει V^{2}OK 17. 18 περιέχει διὰ πεύσεως AF: περιέχει eras. V^{2}, om. h. l. OK, δ. π. περιέχει transp. ceteri διαπνεύσεως P 18 βεβαιουμένας AG: βεβαιούμενα ceteri 19 παρακλήρου K τὸ δ' AFGHP: τὰ δ' BEM, τὰ δὲ VOK 20 καὶ ante παρὰ add. BEM παρὰ καιρὸν] περὶ καιροῦ coni. Mang.; ⟨περὶ τῆς⟩ παρὰ καιρὸν conicio

---

4—7 Catena in Num. 15,35 (Caten. Lips. I p. 1267) Φίλωνος ἑβραίου: ἀποφαίνεται ὁ θεὸς ὅτι θνήσκειν ὀφείλει ὁ ἐν τῷ σαββάτῳ συλλέξας ξύλα καὶ οὐχ ἑτέρως ἢ καταλευσθείς. ἐπειδήπερ ὁ νοῦς αὐτῷ εἰς κωφὴν λίθον μετέβαλεν εἰργασμένῳ τελεώτατον παρανόμημα.

222 λεκτέον πρότερον. τὴν ἀρχὴν τῆς ἐαρινῆς ἰσημερίας πρῶτον ἀναγράφει
μῆνα Μωυσῆς ἐν ταῖς τῶν ἐνιαυτῶν περιόδοις ἀναθεὶς οὐχ ὥσπερ ἔνιοι
χρόνῳ τὰ πρεσβεῖα μᾶλλον ἢ ταῖς τῆς φύσεως χάρισιν, ἃς ἀνέτειλεν ἀνθρώ-
ποις· κατὰ γὰρ ταύτην τὰ μὲν σπαρτά, ἡ ἀναγκαία τροφή, τελειογονεῖται,
ὁ δὲ τῶν δένδρων καρπὸς ἡβώντων ἄρτι γεννᾶται δευτέραν ἔχων τάξιν,
ὅθεν καὶ ὀψίγονός ἐστιν· ἀεὶ γὰρ ἐν τῇ φύσει τὰ μὴ λίαν ἀναγκαῖα
223 τῶν σφόδρα ἀναγκαίων δεύτερα. σφόδρα μὲν οὖν ἀναγκαῖα πυροί τε
καὶ κριθαὶ καὶ ὅσα ἄλλα εἴδη τροφῆς, ὧν ἄνευ ζῆν οὐκ ἔστιν· ἔλαιον
δὲ καὶ οἶνος καὶ ἀκρόδρυα οὐχὶ τῶν ἀναγκαίων, ἐπεὶ καὶ δίχα τούτων
ἄχρι μακροτάτου γήρως παρατείνοντες εἰς πολυετίαν βιοῦσιν ἄνθρωποι.
224 τῷ δὴ μηνὶ τούτῳ περὶ τεσσαρεσκαιδεκάτην ἡμέραν, μέλλοντος τοῦ
σεληνιακοῦ κύκλου γίνεσθαι πλησιφαοῦς, ἄγεται τὰ διαβατήρια, δημοφανὴς
ἑορτή, τὸ Χαλδαϊστὶ λεγόμενον Πάσχα, ἐν ᾗ οὐχ οἱ μὲν ἰδιῶται προσ-
άγουσι τῷ βωμῷ τὰ ἱερεῖα, θύουσι δ' οἱ ἱερεῖς, ἀλλὰ νόμου προστάξει
σύμπαν τὸ ἔθνος ἱερᾶται, τῶν κατὰ μέρος ἑκάστου τὰς ὑπὲρ αὑτοῦ
225 θυσίας ἀνάγοντός τε καὶ χειρουργοῦντος. ὁ μὲν οὖν ἄλλος ἅπας λεὼς
ἐγεγήθει καὶ φαιδρὸς ἦν, ἑκάστου νομίζοντος ἱερωσύνῃ τετιμῆσθαι·
δεδακρυμένοι δ' ἕτεροι καὶ στένοντες διῆγον, οἰκείων αὐτοῖς ἔναγχος
τετελευτηκότων, οὓς πενθοῦντες διπλῇ κατείχοντο λύπῃ, προσειληφότες

1 πρότερον A (Mang.): προτέρας ceteri (Turn.) γράφει F 1. 2 μῆνα ἀναγράφει transp. A 2 μωσῆς BEF post ἀναθεὶς add. αὐτῷ V²OK 3 χρόνω om. VOK τὰς . . . χάριτας V²OK 4 σπαρτά] σπαρέντα VOK, . . . ματα Chron. Pasch. (σπέρματα Mai) τῇ ἀναγκαία τροφῆ G τελεσιουργεῖται Chron. Pasch. 7 πυρός A 9 καὶ ante δίχα om. AGHP Chron. Pasch. (Turn.) 10 γήρους Chron. Pasch. παρεκτείνοντες M 11 τῷ: incipit C fol. 122r δὴ] δὲ Chron. Pasch., πρώτω C τούτῳ om. C τεσσαρασκαιδεκάτην F 12 γένεσθαι (sic) B¹EM δημοφανὴς (δημοφαὴς Chron. Pasch.) corruptum; δημοτελὴς conicio 13 χαλδαϊστὴ A Πάσχα] φάσκα BEMGHP; Πάσκα Turn. 14 ἱερὰ A οἱ om. CMO 15 μέρους K αὐτοῦ CBEMAH¹ 16 τε] τότε FGHP (v) χειρουργοῦντος] ἱερουργοῦντος coni. Mang. ἄλλος om. VOK πᾶς CBEM λαὸς A 18 αὐτοῖς] αὐτῆς M

1 sqq. Exod. 12,2 sqq. Num. 9,1—5 1 — 13 *Chronicon Paschale vol. I p. 3 (Dindorf)*: Φίλωνος τοῦ παρ' Ἐβραίοις σοφοῦ. Τὴν ἀρχὴν — τὸ Χαλδαϊστὶ λεγόμενον Πάσχα. ταῦτα μὲν ὁ Φίλων. 11 [*Ioa. Chrysost.*] *Orat. in Pascha VII* (Migne t. 59 Col. 748): ἔχομεν μάρτυρας σοφοὺς Ἑβραίους οἷον Φίλωνα καὶ Ἰώσηπον καὶ ἄλλους τινάς, οἵτινες ἐν τοῖς οἰκείοις συγγράμμασι διαβεβαιοῦνται, ὅτι οὐ δύναται ἀκριβῶς ἄλλως τὸ Πάσχα γενέσθαι ἢ μετ' ἐαρινὴν ἰσημερίαν ἐνστᾶσαν· καὶ ὁρίζονται οὗτοι [illegible] ἡμέραν τετηρῆσθαι μετὰ τῆς κατὰ σελήνην τεσσαρεσκαιδεκάτης.
18 sqq. Num. 9,6 — 14

τῇ διὰ τοὺς ἀποθανόντας συγγενεῖς καὶ τὴν ἐκ τοῦ στερηθῆναι τῆς
περὶ τὴν ἱερουργίαν ἡδονῆς τε καὶ τιμῆς, οἷς οὐδὲ καθάρασθαι καὶ
περιρράνασθαι κατ' ἐκείνην τὴν ἡμέραν ἐξεγένετο, μήπω τοῦ πένθους
ὑπερημέρου καὶ ἐκπροθέσμου γεγονότος. οὗτοι μετὰ τὴν πανήγυριν 226
προσελθόντες τῷ ἄρχοντι συννοίας μεστοὶ καὶ κατηφείας τὰ συμβεβηκότα
διηγήσαντο, τὴν ὑπόγυον τῶν συγγενῶν τελευτήν, τὸ πένθος ᾧ κατ'
ἀναγκαῖον ἐχρήσαντο, τὸ μὴ δυνηθῆναι διὰ τοῦτο μετασχεῖν τῆς τῶν
διαβατηρίων θυσίας. εἶτ' ἐδέοντο μὴ ἔλαττον τῶν ἄλλων ἐνέγκασθαι 227
μηδὲ τὸ ἐπὶ τοῖς ἀποθανοῦσιν οἰκείοις ἀτύχημα ἐν ἀδικήματος μέρει
p. 170 M. καταριθμηθῆναι τιμωρίαν ἐργασάμενον πρὸ | ἐλέου· νομίσαι γὰρ ἂν
χείρονα παθεῖν τῶν ἀποθανόντων, εἴ γε τοῖς μὲν οὐδενός ἐστιν ἀντί-
ληψις ἔτι τῶν ἀβουλήτων, οἱ δὲ ζῶντες δόξουσι τεθνάναι τὸν μετ'
αἰσθήσεως θάνατον. (30.) ταῦτ' ἀκούσας ἑώρα μὲν καὶ τὴν δικαιολογίαν 228
οὐκ ἀπῳδὸν καὶ τὴν τοῦ μὴ ἱερουργῆσαι πάλιν πρόφασιν ἀναγκαίαν καὶ
τὸ συμπαθὲς ἀνακεκραμένον τούτοις, ἐπαμφοτερίζων δὲ τὴν γνώμην
καὶ ὥσπερ ἐπὶ πλάστιγγος ἀντιρρέπων — τῇ μὲν γὰρ ἐταλάντευεν ὁ
ἔλεος καὶ τὰ δίκαια, τῇ δ' ἀντέβριθεν ὁ νόμος τῆς τῶν διαβατηρίων
θυσίας, ἐν ᾧ καὶ πρῶτος μὴν καὶ ἡμέρα τεσσαρεσκαιδεκάτη δεδή-
λωται τῆς ἱερουργίας —, ἀρνήσεως καὶ συγκαταθέσεως μεταξὺ φορού-
μενος ἱκετεύει τὸν θεὸν δικαστὴν γενέσθαι καὶ χρησμῷ τὴν κρίσιν ἀνα-
φῆναι. ὁ δ' ἐπακούσας θεσπίζει λόγιον οὐ περὶ ὧν ἐνετεύχθη 229
μόνον ἀλλὰ καὶ περὶ τῶν αὖθίς ποτε γενησομένων, εἰ ταῖς αὐταῖς
χρήσαιντο συντυχίαις· ἐπιδαψιλευόμενος δὲ καὶ περὶ τῶν κατ'

---

1 τῇ] τὴν G στερηθῆναι MAFGHP: ὑστερηθῆναι ceteri 2 τε καὶ τιμῆς om. O οὐδὲν O καθάρασθαι AFGHP: περικαθάρασθαι ceteri 3 μήπου BEM 5 προελθόντες K 6 ὑπόγυιον V^{2}OK, ὑπόγειον P τελευτήν add. mg. $H^{2}P^{2}$ τὸ—ἐχρήσαντο (7) om. O ᾧ] ὃ E^{1} 6. 7 κατ' ἀναγκαῖον GHP: κατὰ τἀναγκαῖον A, κατ' ἀνάγκην ceteri 7 τῆς om. A 8 διαβατηρίων· θυσίας τὲ (pro εἶτ') A ἔλαττον AGHP: ἐλάττω ceteri 9 οἰκεῖον A ἀδικήματος] ἀτυχήματος CV^{1}O (Turn.) 10 εἰργασμένον A ἐλέους VOK ἂν om. M 12 ἔτι] ἐπὶ A, om. v μετὰ VOK 13 αἰσθήτου (sic) K ταῦτα C μὲν om. A δικαιολογίαν AFGHP: διαλογίαν ceteri 14 ἀπῳδὸν] ἀποδὼν P μὴ om. A πάλιν $BEMFV^{2}K$: πάλαι ceteri (v) 15 ἀνακεκραμμένον M ἐναμφοτερίζων A 16 καὶ om. A 16. 17 ὁ ἔλεος F: τὸ ἔλεος A (v), ἔλεος (om. ὁ) ceteri 17 δὲ AVOK 18 ᾧ scripsi: ῇ codd. (v) ἡμέρα τεσσαρεσκαιδεκάτη codd.: τεσσ. ἡμέρα v 18. 19 δεδήλωται AGHP: ἢ δεδήλωται $BEMFV^{1}K^{2}$, ῇ δεδήλωται $CV^{2}OK^{1}$ 20 θεὸν] αὐτὸν GHP (Turn.) 20. 21 ἀναφανῆναι FGHP, ἐναφεῖναι V^{2}OK 21 ἐτεύχθη P 22 περὶ] πάντων VOK 23 συντυχίαις AFGHP: δυστυχίαις ceteri

ἄλλας αἰτίας οὐ δυνηθέντων ἱερουργῆσαι μετὰ παντὸς τοῦ ἔθνους προσ-
230 επιθεσπίζει. τίνα οὖν ἐστι τὰ περὶ τούτων χρησθέντα λόγια, μηνυτέον.
„συγγενικὸν“ φησί „πένθος ἀναγκαία μὲν τοῖς ἀφ' αἵματος ἀνία,
231 γράφεται δ' οὐκ ἐν πλημμελείαις. ἕως μὲν οὖν ἐμπρόθεσμόν ἐστιν, ἔξω περιβόλων ἱερῶν ἐλαυνέσθω, οὓς ἀπὸ παντὸς ἁγνεύειν οὐχ ἑκουσίου μόνον ἀλλὰ καὶ τοῦ μὴ κατὰ γνώμην μιάσματος δεῖ· γενομένου δ' ἐκπροθέσμου, μὴ στερέσθωσαν ἰσομοιρίας τῆς ἐν ταῖς ἱερουργίαις, ἵνα μὴ προσθήκη τετελευτηκότων οἱ ζῶντες ὦσιν· ἴτωσαν δὲ ἅτε δεύτεροι δευτέρῳ μηνί, πάλιν τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, καὶ θυέτωσαν κατὰ τὰ αὐτὰ τοῖς προτέροις καὶ τῷ θύματι χρήσθωσαν ὡς ἐκεῖνοι νόμῳ καὶ
232 τρόπῳ τῷ παραπλησίῳ. τὰ δ' αὐτὰ ἐπιτετράφθω καὶ τοῖς μὴ διὰ πένθος ἀλλὰ μακρᾶς χάριν ἀποδημίας κωλυομένοις ἅμα τῷ παντὶ ἔθνει συνιερουργεῖν· οὐ γὰρ οἱ ξενιτεύοντες ἢ ἑτέρωθι οἰκοῦντες ἀδικοῦσιν, ὡς στέρεσθαι τῆς ἴσης τιμῆς, καὶ ταῦτα μὴ χωρούσης διὰ πολυανθρωπίαν τὸ ἔθνος μιᾶς χώρας, ἀλλ' ἀποικίας πανταχόσε διαπεμψαμένης.“
233 (31.) Τοσαῦτα διειλεγμένος περὶ τῶν ὑστερησάντων μὲν ἅμα τῷ πλήθει θῦσαι τὰ διαβατήρια κατὰ συντυχίας ἀβουλήτους, ἐκπλῆσαι δ' εἰ καὶ ὀψὲ ἀλλ' οὖν ἀναγκαίως τὸ ἐλλειφθὲν σπουδασάντων, ἐπὶ τελευταῖον μέτειμι διάταγμα τὸ περὶ τῆς τῶν κλήρων διαδοχῆς, ὅπερ ὁμοίως
234 μικτὸν ἦν ἐκ πεύσεως καὶ ἀποκρίσεως λαβὸν τὴν σύστασιν. ἦν τις

1. 2 προθεσπίζει VOK 2 τὰ περὶ] ἐπὶ Richt. λόγια χρησθέντα transp. A (v) 3 φησί] φύσει K, ἐστι M ἀναγκαῖον A μὲν AFGHP: om. ceteri ἀνία om. A 4 γράφεται] ἀναγράφεται A (v) ἐμπλημμελείαις M, ἐν πλημελίαις G ἐμπρόθεσμον codd.: ἐκπρόθεσμον Turn. 5 περιβόλων] περιόδων CVOK ἁγνεύει (sic) ἀπὸ παντὸς transp. F 6 τοῦ μὴ om. Turn., μὴ om. O 7 στερέσθωσαν scripsi (cf. l. 14): στερείσθωσαν codd. (v) τῆς om. VOK 8 τελευτηκότων (sic) M 9. 10 τὰ αὐτὰ] ταῦτα A; ταὐτὰ (v) 10 τῷ om. F 10. 11 τρόπω καὶ νόμω transp. BEMGHP 12 ἀλλὰ] ἀλλὰ καὶ AF (v) 13 ἢ] οἳ Turn. ἑτέρωθεν F 14 στέρεσθαι] στερεῖσθαι A (v) διὰ om. Turn. 15 πανταχόσε] πολλαχόσε AHP (v) διαπεμψαμένης: desinit C fol. 123r 16 ὑστερισάντων G μὲν AFGHP: om. ceteri 17 ἐκπλῆσαι] ἐκπληρῶσαι AG (v), πληρῶσαι HP 17. 18 δ' εἰ AFH²: δεῖ GH¹P, δὲ (om. εἰ) ceteri 18 ἀλλ' οὖν ἀναγκαίως AFGHP: om. ceteri τὸ τελευταῖον V²OK 19 διάταγμα om. GHP τὸ] τῶι E 20 μικτὸν] μικρὸν F λαβὼν BEM Barb. τις om. VOK

18 — 255,19 Catena Barber. IV 56 fol. 150v Φίλωνος ἑβραίου ἐκ τοῦ περὶ μωσέως δευτέρου λόγου: ἐπὶ τελευταῖον μετεῖναι (sic) διάταγμα — τὰς παρὰ μικρὸν διαφορὰς παραστέλλοντα. 20 sqq. Num. 27,1 — 11

ὄνομα Σαλπαάδ, ἀνὴρ δόκιμος καὶ φυλῆς οὐκ ἀσήμου· τούτῳ πέντε μὲν
p. 171 M. γίνονται θυγατέρες, υἱὸς | δὲ οὐδείς· αἳ μετὰ τὴν τελευτὴν τοῦ πατρὸς
στέρησιν τῆς πατρῴας λήξεως ὑποτοπήσασαι διὰ τὸ τὰς κληρουχίας
ἄρρεσι δίδοσθαι προσίασι τῷ ἡγεμόνι μετὰ τῆς ἁρμοττούσης κόραις
αἰδοῦς, οὐ θηρώμεναι πλοῦτον, ἀλλὰ τοὔνομα καὶ ἀξίωμα γλιχόμεναι
διασῶσαι τοῦ πατρὸς καί φασιν· „ὁ μὲν πατὴρ ἡμῶν ἐτελεύτησεν, 235
ἐτελεύτησε δ' ἐν οὐδεμιᾷ στάσει γενόμενος, ἐφ' ὧν συνέβη διαφθαρῆναι
μυρίους, ἀλλ' ἐζήλωσε βίον ἀπράγμονα καὶ ἰδιώτην, εἰ μὴ ἄρα ἐν
ἁμαρτίᾳ θετέον τὸ γενεᾶς ἄρρενος ἀμοιρῆσαι. πάρεσμεν δ' ἡμεῖς ὅσα
μὲν τῷ δοκεῖν ὀρφαναί, τὸ δ' ἀληθὲς σοὶ χρησόμεναι πατρί· τοῦ γὰρ
γεννήσαντος ὁ νόμιμος ἄρχων οἰκειότερος ὑπηκόοις.“ ὁ δὲ θαυμάσας 236
τὴν φρόνησιν τῶν παρθένων καὶ τὴν πρὸς τὸν γεινάμενον εὔνοιαν
ἐπέσχεν ὑφ' ἑτέρας ἑλκόμενος φαντασίας, καθ' ἣν τὰς κληρουχίας
ἄνδρες ὤφειλον διανέμεσθαι γέρας ληψόμενοι στρατείας καὶ πολέμων
οὓς διήθλησαν, γυναικὶ δ' ἡ φύσις ἀσυλίαν τῶν τοιούτων ἀγωνισμάτων
παρέχουσα δηλονότι καὶ τῶν ἐπ' αὐτοῖς τιθεμένων ἄθλων οὐ μετα-
δίδωσιν. ὅθεν εἰκότως τῆς διανοίας ἀμφικλινῶς ἐχούσης καὶ ἀντισπω- 237
μένης, ἀναφέρει τῷ θεῷ τὴν διαπόρησιν, ὃν ᾔδει μόνον ἀψευδέσι καὶ
ἀπλανεστάτοις κριτηρίοις τὰς κατὰ μικρὸν διαφορὰς διαστέλλοντα πρὸς

---

1 ὄνομα AF Barb.: ὀνόματι ceteri   Σαλπαάδ scripsi: σαλπαάθ AFGHP Barb. (v), σαλίτα ὁ δ' ceteri   γρ. ἦν τις ὀνόματι σαλπαάθ mg. K   ἀσίμου Barb. μὲν om. Barb.   2 γείνονται V[1], γείνοντο V[2]K   δ' AH Barb. οὐδὲ εἷς VOK Barb.   3 λέξεως H[1]P[1]   4 ἄρσεσι VO   δίδοσθαι AGHP Barb.: δεδόσθαι ceteri (Mang).   κοραῖς (sic) v   6 τοῦ πατρὸς διασῶσαι transp. M ὁ μὲν πατὴρ] ὅτι ὁ πατὴρ Cat.   ἐτελεύτησεν] ἐτελεύτα K   ἐτελεύτησεν ἡμῶν transp. A Barb.   7 ἐτελεύτησε δ' om. Cat.   δὲ A   οὐδὲ μιᾶ Barb.   στάσεων coni. Mang.   ἐφ' GHP: ὑφ' ceteri (v)   8 ἰδιώτην καὶ ἀπράγμονα transp. VOK   καὶ ἰδιώτην om. Cat.   ἄρα eras. H 8. 9 ἐν ἁμαρτίᾳ] ἁμαρτίαν A   ἐν ἁμαρτίᾳ θετέον] ἐστὶ Cat.   9. 10 ὅσα μὲν τῷ] τῶ (vel τὸ) μὲν Cat.   10 δὲ Cat.   τοῦ — ὑπηκόοις (11) om. Cat.

ς
11 οἰκειότερον K   ὑπήκοος P   12 τὸν γεινάμενον] τὸ γινόμενον Cat., τὸ γενόμενον V[1]O   13 ὑπέσχεν Cat.   ὑφ'] ἐφ' Cat.   ἑτέρας] ἑκατέρας GHP Barb. Cat. (Turn.)   15 ἀσυλίαν] ἀτέλειαν coni. Mang.   16 δῆλον ὅτι E   ὑπ' αὐτοῖς Cat.   17 ὅθεν: incipit C fol. 123r   18 τῷ om. Cat. καὶ ante ἀψευδέσι add. AFGHP (Turn.)   19 κατὰ] παρὰ Barb.   διαστελλόμενον P, παραστέλλοντα Barb.

---

4 — 18 Catena in Num. 27,3 (Caten. Lips. I p. 1359) Φίλωνος ἑβραίου: ὡς οὐ θηρώμεναι πλοῦτον προσῆλθον τῷ ἡγεμόνι μετὰ τῆς ἁρμοττούσης κόραις αἰδοῦς, ἀλλὰ τοὔνομα — ἀναφέρει θεῷ.

238 ἐπίδειξιν ἀληθείας καὶ δικαιοσύνης. ὁ δὲ ποιητὴς τῶν ὅλων, ὁ τοῦ
κόσμου πατήρ, γῆν καὶ οὐρανὸν ὕδωρ τε καὶ ἀέρα καὶ ὅσα ἐκ τούτων
ἑκάστου συνέχων καὶ διακρατῶν, ὁ θεῶν καὶ ἀνθρώπων ἡγεμών, οὐκ
ἀπηξίωσε χρηματίσαι κόραις ὀρφαναῖς· χρηματίσας δὲ καὶ πλέον τι
παρέσχεν ἢ κατὰ δικαστὴν ὁ εὐμενὴς καὶ ἵλεως, ὁ πάντα διὰ πάντων
πεπληρωκὼς τῆς εὐεργέτιδος ἑαυτοῦ δυνάμεως· ἔπαινον γὰρ διεξῆλθε
239 τῶν παρθένων. ὦ δέσποτα, πῶς ἄν σέ τις ὑμνήσειε, ποίῳ στόματι,
τίνι γλώττῃ, ποίᾳ φωνῆς ὀργανοποιίᾳ, ποίῳ ψυχῆς ἡγεμονικῷ; οἱ γὰρ
ἀστέρες εἷς γενόμενοι χορὸς ᾄσονταί τι μέλος ἐπάξιον; ὁ δ' οὐρανὸς
ὅλος εἰς φωνὴν ἀναλυθεὶς δυνήσεταί τι τῶν σῶν ἀρετῶν διηγήσασθαι
240 μέρος; „ὀρθῶς“ φησίν „ἐλάλησαν αἱ θυγατέρες Σαλπαάδ.“ τοῦθ'
ἡλίκον ἐστὶν ἐγκώμιον θεοῦ μαρτυροῦντος, τίς οὐκ οἶδε; πάριτε νῦν, οἱ
ἀλαζόνες, οἱ μέγα πνέοντες ἐπὶ ταῖς εὐπραγίαις, οἱ τοὺς αὐχένας πλέον
τῆς φύσεως ἐπαίροντες καὶ τὰς ὀφρῦς ἀνεσπακότες, παρ' οἷς χηρεία
μὲν γυναικῶν γέλως, [καὶ] οἰκτρὸν κακόν, ἐρημία δὲ παίδων ὀρφανῶν,
241 οἰκτρότερον τοῦ προτέρου, χλευάζεται· καὶ κατιδόντες ὅτι οὕτω ταπεινοὶ p. 172 M.
καὶ ἀτυχεῖς εἶναι δοκοῦντες οὐκ ἐν ἐξουθενημένοις καὶ ἀφανέσι τάττονται
παρὰ τῷ θεῷ, οὗ τῆς ἀρχῆς τὸ ἀτιμότατον μέρος εἰσὶν αἱ πανταχοῦ

2 pr. καὶ om. Barb. ἐκ τούτων om. O 3 ἑκάστου] καὶ ἐν ἑκάστῳ AFN Barb., om. C 3. 4 οὐ κατηξίωσε A 4 χρηματίσαι om. BEM κόραις — δικαστὴν (5) om. C καὶ BEMVOK: φημὶ ceteri (v) 5 post δικαστὴν add. νόμου AFGHPN Barb.; ὁ μόνος εὐμενὴς coni. Mang. 6 αὐτοῦ AVOK Barb. 6. 7 ἔπαινον — παρθένων om. C 7 ἂν] δὴ A ὑμνήσει A 8 τίνι AGHP Barb.: ποίᾳ ceteri οἱ γὰρ] οὐ γὰρ V²OKG², οὐ γὰρ οἱ C², εἰ γὰρ Barb. 9 εἷς om. Turn. ᾄσουσι C ⟨σου⟩ ἐπάξιον coni. Mang. ὁ] οὐ C²V²OK δὲ BEMO 11 — 18 ὀρθῶς — θεῷ om. C 11 γάρ φησιν Barb. Σαλπαάδ scripsi: ἀλπάδα BEMVOK, σαλπαάθ ceteri (v) 12 νῦν] τοίνυν BEMVOK οἱ om. A 13 εὐπραγείαις Barb. τὸν αὐχένα H (v) 13. 14 τῆς φύσεως πλέον transp. Barb. 14 ἐπαίροντες AGHP Barb.: αἴροντες BEMFN mg. K, om. VOK 15 γυναικῶν AFN Barb.: γυναικὸς ceteri καὶ seclusi; καίτοι coni. Mang. 16 καὶ χλευάζετε VOK post ὅτι add. οἱ AFV²OKN Barb. (v) 17 ἐξουθενημένοις A: ἠμελημένοις ceteri (v) 18 τῷ om. N ἀτιμότερον BEM

1 — 257,9 Catena in Num. 27,7 (Caten. Lips. I p. 1361) Φίλωνος ἑβραίου: ὁ δὲ ποιητὴς τῶν ὅλων, ὁ τοῦ κόσμου σωτὴρ καὶ τὰ πάντα συνέχων οὐκ ἀπηξίωσε χρηματίσαι κόραις ὀρφαναῖς· ἔπαινον γὰρ διεξῆλθε τῶν παρθένων, οὐκ ἀγεράστους ταύτας καταλιπεῖν, ἀλλὰ τοῖς μὲν ἀνδράσιν ὡς ἆθλα οἰκεῖα ἀπένειμε τὰς κληρουχίας, τὰς δὲ χάριτος καὶ φιλανθρωπίας ἠξίωσεν. ὃ καὶ ἐναργῶς παρίστησι „δόμα“ λέγων „δώσεις“, ἀλλ' οὐκ „ἀπόδομα“ οὐδὲ „ἀποδώσεις“· ταῦτα μὲν γὰρ ἴδια τῶν λαμβανόντων, ἐκεῖνα δὲ τῶν χαριζομένων.
1 — 258,4 Catena Barber. IV 56 fol. 150ᵛ Φίλωνος ἑβραίου: ὁ ποιητὴς τῶν ὅλων—δίδωσι τοὺς κλήρους. 1—257,2 N fol. 158ʳ: ὁ δὲ ποιητὴς—δέξασθε νουθεσίαν ἀναγκαίαν.

τῆς οἰκουμένης βασιλεῖαι, διότι καὶ ὁ τῆς γῆς ἅπας ἐν κύκλῳ περίβολος
ἐσχατιὰ τῶν ἔργων ἐστὶν αὐτοῦ, δέξασθε νουθεσίαν ἀναγκαίαν. ἐπαινέσας 242
δ' ὅμως τὴν ἔντευξιν τῶν παρθένων οὔτε ταύτας ἀγεράστους κατέλιπεν
οὔτ' εἰς τὴν ἴσην τιμὴν τοῖς ἀγωνισταῖς ἀνδράσι περιήγαγεν, ἀλλὰ τοῖς
μὲν ὡς ἆθλα οἰκεῖα ἀπένειμε τὰς κληρουχίας ἀνθ' ὧν ἠνδραγαθίσαντο,
τὰς δὲ χάριτος καὶ φιλανθρωπίας, οὐ γέρως, ἠξίωσεν· ὃ ἐναργέστατα
παρίστησι διὰ τῶν ὀνομάτων „δόμα“ λέγων καὶ „δώσεις“ (Num. 27, 7),
ἀλλ' οὐκ „ἀπόδομα“ οὐδ' „ἀποδώσεις“· ταῦτα μὲν γὰρ ἴδια τῶν
λαμβανόντων, ἐκεῖνα δὲ τῶν χαριζομένων. (32.) θεσπίσας δὲ περὶ ὧν 243
ἐνετύγχανον αἱ ὀρφαναὶ παρθένοι καὶ καθολικώτερον τίθησι νόμον περὶ
κλήρων διαδοχῆς, πρώτους μὲν υἱοὺς ἐπὶ μετουσίαν καλῶν τῶν
πατρῴων, εἰ δὲ μὴ εἶεν υἱοί, δευτέρας θυγατέρας, αἷς φησι δεῖν περι-
τιθέναι τὸν κλῆρον ὡσανεὶ κόσμον ἔξωθεν, ἀλλ' οὐχ ὡς ἴδιον καὶ
συγγενὲς κτῆμα· τὸ γὰρ περιτιθέμενον οὐδεμίαν οἰκείωσιν ἔχει πρὸς τὸ
διακοσμούμενον, ἁρμονίας καὶ ἑνώσεως ἀλλοτριούμενον. μετὰ δὲ θυγα- 244
τέρας τρίτους ἀδελφοὺς καλεῖ, τετάρτην δὲ θείοις πρὸς πατρὸς ἀπονέμει
τάξιν, αἰνιττόμενος ὅτι καὶ πατέρες γένοιντ' ἂν υἱῶν κληρονόμοι· πάνυ
γὰρ εὔηθες ὑπολαβεῖν, ὅτι πατρὸς ἀδελφῷ νέμων κλῆρον ἀδελφιδοῦ διὰ
τὴν πρὸς πατέρα συγγένειαν αὐτὸν ἀφείλετο τὸν πατέρα τῆς διαδοχῆς.
ἀλλ' ἐπειδὴ νόμος φύσεώς ἐστι κληρονομεῖσθαι γονεῖς ὑπὸ παίδων ἀλλὰ 245
μὴ τούτους κληρονομεῖν, τὸ μὲν ἀπευκτὸν καὶ παλίμφημον ἡσύχασεν,
ἵνα μὴ πατὴρ καὶ μήτηρ προσοδεύεσθαι δοκῶσι τὰ ἐπ' ὠκυμόροις τέκνοις

1 διότι] διὸ BEMV, δι' ὃ OK, om. C   ἅπας] ἅπαξ (ς suprascr.) L, ἅπαξ Turn.   2 ἐστὶν αὐτοῦ A: αὐτοῦ om. C, αὐτοῦ ἐστι ceteri (v).   ἐστίν: desinit C fol. 123v   3 δ' ὅμως] δ' ὁ μωσῆς A; δὲ Μωσῆς v   5 τὰς] τῆς F   ἠνδραγαθήσαντο FHP Barb.   6 ὃ] ὡς Barb.   7 παρίστησι codd.: παρέστησε v   διὰ τῶν ὀνομάτων om. Barb.   διὰ] τὸ BEMVOK   δόμα] δόματα Barb., δόγμα M   δώσεις E Cat.: δόσις A, δόσεις ceteri (v)   8 ἀπόδωμα BM Barb.   οὐδ'] οὐκ FHP (v)   οὐδ' ἀποδώσεις om. A   ἀποδώσεις B[1]E Cat.: ἀποδόσεις ceteri (v)   μὲν om. BEMVOK   10 ἐνετύγχανον AH[2]: ἐτύγχανον GH[1]P Barb., ἐνέτυχον ceteri   ὀρφανοὶ (sic) VK   10. 11 περὶ κλήρων — τὸν κλῆρον (13) om. VOK, add. mg. K[2]   11 πρῶτον FGHP Barb. (Turn.)   υἱοὺς om. M   12. 13 περιθεῖναι A   14 παρατιθέμενον HP (Turn.)   οὐδὲ μίαν Barb.   15. 16 τὰς θυγατέρας BEM (Mang.)   16 καὶ ante τετάρτην add. FGHP Barb. (Turn.)   post θείοις add. τοῖς BEM   17 καὶ om. Barb.   πατέρες] πατρὸς Turn.   γένοιτ' MO Barb.   18 νέμων κλῆρον om. A   ἀδελφιδοῦ] διδοὺς A   19 τὸν πατέρα BEMHP (v)   πατέρας A   20 νόμος φύσεώς ἐστι] ὁ νόμος ἐφίησι A (Mang.)   γονεῖς AF Barb.: τοὺς γονεῖς ceteri (v)   21 ἀπευκταῖον A (v)   ἡσυχάσας K[1]   22 μὴ om. F   ἐπ' ὠκυμόροις] ἐπὶ καμμόροις A

ἀπαρηγόρητα πένθη. πλαγίως δ' αὐτοὺς ἐκάλεσε τοῖς θείοις ἐφιείς, ἵν' ἀμφοτέρων στοχάσηται καὶ τοῦ πρέποντος καὶ τοῦ μὴ τὴν οὐσίαν ἀλλοτριωθῆναι. μετὰ δὲ θείους πέμπτη τάξις ἐστὶν οἱ ἔγγιστα γένους, ὧν ἀεὶ τοῖς πρώτοις δίδωσι τοὺς κλήρους.

246 (33.) Ταῦτ' ἀναγκαίως διεξεληλυθὼς περὶ τῶν μικτὴν ἐχόντων
κληρουχίαν χρησμῶν, ἑξῆς δηλώσω | τὰ κατ' ἐνθουσιασμὸν τοῦ προ- p. 173 M.
φήτου θεσπισθέντα λόγια· τοῦτο γὰρ ὑπεσχόμην δείξειν. ἀρχὴ τοίνυν ἐστὶν αὐτῷ τῆς θεοφορήτου κατοκωχῆς, ἥτις καὶ τῷ ἔθνει γέγονεν εὐπραγίας ἀρχὴ στειλαμένῳ τὴν ἀπ' Αἰγύπτου πρὸς τὰς κατὰ Συρίαν
247 πόλεις ἀποικίαν μυριάσι πολλαῖς. ἄνδρες γὰρ ὁμοῦ καὶ γυναῖκες ἀτριβῆ καὶ μακρὰν ἐρήμην ἅπασαν ἀνύσαντες ἐπὶ θάλατταν ἀφικνοῦνται τὴν Ἐρυθρὰν προσαγορευομένην· εἶθ' ὡς εἰκὸς ἐν ἀμηχάνοις ἦσαν οὔτε περαιοῦσθαι δυνάμενοι διὰ σκαφῶν ἀπορίαν οὔτ' ἐπιστρέφειν τὴν
248 αὐτὴν ὁδὸν ἀσφαλὲς ἡγούμενοι. διακειμένοις δ' οὕτως μεῖζον ἐπιρράττει κακόν· ὁ γὰρ τῶν Αἰγυπτίων βασιλεὺς δύναμιν παραλαβὼν οὐκ εὐκαταφρόνητον, ἱππότην καὶ πεζὸν στρατόν, ἐπεξῄει διώκων καὶ σπεύδων καταλαβεῖν, ἵνα τίσηται τῆς ἐξόδου, ἣν θεσφάτοις ἀριδήλοις ἐπέτρεψε ποιήσασθαι. ἀλλ' ὡς ἔοικεν ἀβέβαιος ἡ μοχθηρῶν ἀνθρώπων διάθεσις ὡς ἐπὶ πλάστιγγος μικρᾶς ἕνεκα προφάσεως ῥέπουσα πρὸς τἀναντία.
249 μέσοι δὴ ληφθέντες ἐχθρῶν καὶ θαλάττης ἀπέγνωσαν τὴν ἰδίαν σωτηρίαν, οἱ μὲν εὐκτὸν ἀγαθὸν ἡγούμενοι τὸν οἴκτιστον ὄλεθρον, οἱ δ' ἄμεινον εἶναι νομίζοντες ὑπὸ τῶν τῆς φύσεως ἀπολέσθαι μερῶν ἢ γέλως ἐχθροῖς

1 πλαγίους M δ' om. FGHP Barb. αὐτοὺς ἐκάλεσε AGHP Barb.: ἐκάλεσεν αὐτοὺς BEMV^1O^1F, ἐκάλεσεν αὐτοῖς V^2O^2K τοὺς θείους V^2OK ἐφείς BEMFG Barb. ἵν'] ἵνα καὶ A (v) 3 ἐστὶν οἱ om. P, οἱ om. GH τοῦ γένους BEM 4 αἰεὶ A 6 κληρουχίαν corruptum; μῖξιν (ἐχόντων) καὶ κοινωνίαν coni. Mang. coll. 244,18, δύναμιν coni. Markland coll. 245,6 χρησμῶν om. Turn. ἐξ ἧς F, ἑξῆς om. O 7 λόγια om. VOK τοίνυν—γέγονεν (8) post ἀρχὴ (9) repet. HP, rursus del. H 8 αὐτῷ AFGHP: αὕτη ceteri θεοφρουρήτου V^1F κατοκωχῆς scripsi: κατακωχῆς BEMA (v), κατοχῆς ceteri 9 στειλαμένων A (Turn.) 10 γὰρ om. A 14 διακειμένοις AFGHP: διακειμένων ceteri οὕτω BEMGHP ἐπιρράπτει MF, ἐπαράττει V^2OK, ἐπιταράττει AG^2 16 pr. καὶ] τε καὶ BEM σπεύδων καὶ διώκων transp. VOK
ἄσεως
17 θεσφάτων H 19 ἕνεκεν BEO, ἕνεκε M προφήτης K 20 θαλάσσης F ἀπεγνώκεσαν FHP (Turn.), ἀπεγνώκεισαν A τῆς ἰδίας σωτηρίας V^2OK 21 εὐκτὸν] ἐκ τῶν G ἀγαθῶν G, ἀγαθοῖς BEM 22 νομίσαντες AGHP (Turn.) ἐχθρῶν A

10 sqq. Exod. cap. 14

γενέσθαι ῥίπτειν ἑαυτοὺς εἰς θάλασσαν διενοοῦντο καί τινα τῶν βάρος
ἐχόντων ἐπαχθισάμενοι παρὰ ταῖς ἠϊόσιν ἐφήδρευον, ἵν᾽, ὁπόταν
θεάσωνται τοὺς πολεμίους ἐγγὺς ὄντας, καθαλλόμενοι ῥᾷον εἰς βυθὸν
ἐνεχθῶσιν. ἀλλὰ γὰρ οἱ μὲν πρὸς τὸ ἄπορον τῆς ἀνάγκης διεπτόηντο 250
δυσθανατοῦντες· (34.) ὁ δὲ προφήτης, ὑπ᾽ ἐκπλήξεως ὁρῶν σεσαγηνευ-
μένον ὥσπερ βόλον ἰχθύων τὸ σύμπαν ἔθνος, οὐκέτ᾽ ὢν ἐν ἑαυτῷ
θεοφορεῖται καὶ θεσπίζει τάδε· „τὸ μὲν δέος ἀναγκαῖον, φόβος ἐγγὺς 251
καὶ μέγας ὁ κίνδυνος· ἐξ ἐναντίας ἀχανές ἐστι πέλαγος, ὑπόδρομος εἰς
καταφυγὴν οὐδείς, ἀπορία πλοίων, κατόπιν ἔφεδροι φάλαγγες ἐχθρῶν,
αἳ στείχουσιν ἀπνευστὶ διώκουσαι. ποῖ τις τράπηται, ποῖ τις ἐκνεύσῃ;
πάντα πανταχόθεν ἐξαπιναίως ἐπέθετο, γῆ, θάλαττα, ἄνθρωποι, στοιχεῖα
φύσεως. ἀλλὰ θαρρεῖτε, μὴ ἀποκάμητε, στῆτε ταῖς διανοίαις μὴ 252
κραδαινόμενοι, προσδοκᾶτε τὴν ἀήττητον ἐκ θεοῦ βοήθειαν· αὐτεπάγγελτος
ἤδη παρέσται, μὴ ὁρωμένη προαγωνιεῖται· πεπείρασθε αὐτῆς ἤδη
πολλάκις ἀμυνομένης ἀφανῶς· βλέπω μέλλουσαν κονίεσθαι, βρόχους τοῖς
αὐχέσι περιβάλλουσαν τῶν ἀντιπάλων· ἕλκει κατὰ τῆς θαλάττης·
μολύβδου τρόπον εἰς βυθὸν χωροῦσιν. ὑμεῖς μὲν ἔτι ζώντων αἰσθά-
νεσθε, τεθνεώτων δ᾽ ἐγὼ φαντασίαν λαμβάνω· τήμερον δὲ καὶ ὑμεῖς
p. 174 M. νεκροὺς αὐτοὺς θεάσεσθε.“ | καὶ ὁ μὲν ταῦτ᾽ ἀπεφθέγγετο μείζονα ὄντα 253
πάσης ἐλπίδος, οἱ δ᾽ ἐπειρῶντο ἔργοις τῆς περὶ τὸ λόγιον ἀληθείας. ἀπέ-

1 ῥιπτεῖν BEHP θάλατταν A 2 ἠόσιν FG ὁπότε AGH (Turn.) 3 θεάσαιντο AVOK (v) καθαλλώμενοι M 4 οἱ μὲν AF: οἶμαι ceteri ἄπορον AFGHP: παρὸν ceteri ἐπτόηντο AVOK (v) 5 δυσθανατῶντες
ω
AGH[1]P ὁρῶν ὑπ᾽ ἐκπλήξεως transp. A (v) 6 βόλον A, βόλου V[2]OK οὐκέτι AGH ὢν] ὂν VOK[1] αὐτῶ V, αὐτῷ OK 7 φόβος AF: καὶ φόβος ceteri; fort. scribendum καὶ ⟨γὰρ⟩ φόβος 8 ἐξ ἀντίας M ἀχανές] ἐμφανὴς A πελάγους A ἱππόδρομος AGP 8. 9 εἰς τὴν καταφυγὴν M 9 πλοίων] πλείων G 10 στίχουσιν BEM διώκουσι K pr. ποῖ] πῆ FP τράποιτο G alt. ποῖ] πῆ BEMFHP ἐκνεύσῃ BEMO: ἐκνεύσει ceteri 11 ἐπέθεντο VOK,
η
ἐξέθετο A 12 ἀποκάμοιτε O, ἀποκάμνετε A (v) 13 ἀήττητον om. A τοῦ θεοῦ BEM αὐτεπαγγέλτως A (v) 14 παρέσται AFGHP: πάρεστι ceteri προσαγωνιεῖται A (v) post πεπείρασθε add. δ᾽ F 15 βλέπω μέλλ. κον. FGHP: μέλλ. κον. βλέπω transp. A (v), βλέπω om. ceteri μέλλουσα BEMK[2] κονίεσθαι] κονιεῖσθαι AFHP (v), κινεῖσθαι G 16 περιβάλλουσαν V[1]AH[2]: περιβάλλουσα ceteri τῶν ἀντιπάλων VOKAF: κατὰ τῶν ἀντιπάλων ceteri (v) θαλάσσης AVOK post θαλάττης repet. ἀμυνομένης ἀφανῶς (e lin. 15) HP 17 μολύβδου BE: μολύγδου M, μολίβδου ceteri (v) χοροῦσιν FP 18 ἡμεῖς G 19 νεκροὺς αὐτοὺς codd.: αὐτοὺς νεκροὺς v θεάσασθε F ἀπεφθέγξατο BEM 20 δὲ VOK

βαινε γὰρ τὰ χρησθέντα θείαις δυνάμεσι μύθων ἀπιστότερα· ῥῆξις
θαλάττης, ἀναχώρησις ἑκατέρου τμήματος, πῆξις τῶν κατὰ τὸ ῥαγὲν
μέρος διὰ παντὸς τοῦ βάθους κυμάτων, ἵν' ἀντὶ τειχῶν ᾖ κραται-
οτάτων, εὐθυτενὴς ἀνατομὴ τῆς μεγαλουργηθείσης ὁδοῦ, ἣ τῶν κρυ-
254 σταλλωθέντων μεθόριος ἦν, ὁδοιπορία τοῦ ἔθνους ἀκινδύνως πεζεύ-
οντος διὰ θαλάττης ὡς ἐπὶ ξηρᾶς ἀτραποῦ καὶ λιθώδους ἐδάφους
— ἐκραυρώθη γὰρ ἡ ψάμμος καὶ ἡ σποράς αὐτῆς οὐσία συμφῦσα
ἡνώθη —, ἐχθρῶν ἀπνευστὶ διωκόντων ἐφόρμησις σπευδόντων ἐπ'
οἰκεῖον ὄλεθρον, νεφέλης ὀπισθοφυλακούσης ἡνιόχησις, ἐν ᾗ θεία τις
ὄψις πυρὸς αὐγὴν ἀπαστράπτουσα ἦν, πελαγῶν ἃ τέως ἀνακοπέντα
διειστήκει παλίρροια, τοῦ διακοπέντος καὶ ἀναξηρανθέντος μέρους
255 αἰφνίδιος θαλάττωσις, πολεμίων φθορά, οὓς τά τε κρυσταλλωθέντα τείχη
καὶ ἀνατραπέντα κατεύνασε καὶ αἱ πλήμμυραι τοῦ πελάγους ὥσπερ εἰς
φάραγγα τὴν ὁδὸν ἐπενεχθεῖσαι κατέκλυσαν, ἐπίδειξις τῆς φθορᾶς διὰ
τῶν ἐπαναπλευσάντων σωμάτων, ἃ τὴν ἐπιφάνειαν τοῦ πελάγους κατε-
στόρεσε, καὶ σφοδρὰ κυμάτωσις, ὑφ' ἧς ἅπαντες οἱ νεκροὶ σωρηδὸν
ἀπεβράσθησαν εἰς τοὺς ἀντιπέραν αἰγιαλούς, ἀναγκαία θέα γενησόμενοι
τοῖς διασωθεῖσιν, οἷς ἐξεγένετο μὴ μόνον τοὺς κινδύνους διαφυγεῖν ἀλλὰ

ττ ῃ
2 θαλάσσης O, θαλάσσης G   3 βάθους AFGHP: βυθοῦ ceteri   4 εὐθυτενοῦς A (εὐθυτενὴς v): εὐθυτενοῦς FGH, εὐθυγενοῦς P, αὐθιγενὴς ceteri   ἡ A   4. 5 κρυσταλωθέντων V^1MAHP; κρυσταλλωθέντων ⟨κυμάτων⟩ vel ⟨ὑδάτων⟩ coni. Mang.   5 ἦν om. A   6 θαλάσσης P   ὡς om. BEM   7 ἐκαρώθη V^1O

μ
ὁ ψάμμος P, ἡψάμενος (sic) K   σποράς] ἄμικτος FV^2OK, σπορᾶς ceteri

συμφῦσα GHP: συμφὺς δ' BEM, συμφῦσα δ' F, συμφυεῖσα AVOK (v)   8 ἐφόρμησις AFGHP: ἐφορμῆσαι ceteri   9 οἰκείων F   ὀπισθοφύλακος FHP (v), ὀπισθοφυλάκως A   ἡνιοχούσης A, ἡνιόχησις in ἡνιοχούσης corr. P   ἐν ᾗ om. A   τις om. VOK   10 ἦν om. A   ἃ τέως] αὐτῶν BEMV^1K, αὐτοῖς V^2O   ἀνακοπέντα AFGH: ἀνακοπέντων ceteri   11 διειστήκει] διάστασις V^2O, διάστασιν K   12 αἰφνίδιον VK   θαλάττωσις] δ' ἐλάττωσις BEM (V^1 ut vid.), δ' ἀνέλπιστος V^2OK   φθοραί A (v)   κρυσταλωθέντα VKMHP   13 pr. καὶ eras. V^2, om. OK   κατεύνασε Turn.: κατένευσαν A, κατένευσε FGHP, κατέκλυσε ceteri   αἱ πλήμμυραι] ἐπλήμμυρε VOK   14 ἐπενεχθεῖσαι κατέκλυσαν] ἐπενεχθέντος καὶ καλύψαντος V^2OK   15 ἐπαναπλευσάντων FGHP: ὑπαναπνευσάντων M, ὑπαναπλευσάντων ceteri (v)   τοῦ] αὐτοῦ F   15. 16 κατεστόρεσαν H   16 καὶ σφοδρὰ AFGHP: σφόδρα (om. καὶ) ceteri   κυμάτωσις AGHP: κυματώσης F, κυματοῦσαν VOK, κυματουμένης τῆς θαλάσσης BEM

π
πάντες AG (v)   17 ἀπεβράσθησαν GHP: ἐξεβράσθησαν A, ἐβράσθησαν F, ἀνεβράσθησαν ceteri   ἀντιπέρας FHP, ἀντίπαραν M

13 κατεύνασε: cf. Soph. Ant. 833. Trach. 95.

καὶ ἐπιδεῖν τοὺς ἐχθροὺς οὐκ ἀνθρωπίναις ἀλλὰ θείαις δυνάμεσι παντὸς
λόγου μεῖζον κολασθέντας. διόπερ εἰκότως εὐχαρίστοις ὕμνοις γεραίρει 256
τὸν εὐεργέτην· εἰς γὰρ δύο χοροὺς διανείμας τὸ ἔθνος, τὸν μὲν ἀνδρῶν,
τὸν δὲ γυναικῶν, ἐξάρχει μὲν αὐτὸς τοῖς ἀνδράσιν, ἔξαρχον δὲ καὶ
τῶν γυναικῶν καθίστησι τὴν ἀδελφήν, ἵν' ᾄδωσιν ὕμνους εἰς τὸν
πατέρα καὶ ποιητὴν ἀντιφθόγγοις ἁρμονίαις συνηχοῦντες, διά τε κράσεως
ἠθῶν καὶ μέλους, τῶν μὲν ἐπὶ τὴν αὐτὴν σπευδόντων ἀμοιβήν, τοῦ
δὲ συνισταμένου κατὰ τὴν βαρύτητος πρὸς ὀξύτητα συμφωνίαν· φθόγγοι
γὰρ οἱ μὲν ἀνδρῶν βαρεῖς, ὀξεῖς δ' οἱ γυναικῶν, ἐξ ὧν, ὅταν ἡ κρᾶσις
γένηται σύμμετρος, ἥδιστον καὶ παναρμόνιον ἀποτελεῖται μέλος. τὰς δὲ 257
τοσαύτας μυριάδας ἔπεισεν ὁμογνωμονῆσαι καὶ τὸν αὐτὸν ὕμνον ἐν
ταὐτῷ συνᾴδειν τὰ τεράστια ἐκεῖνα μεγαλουργήματα, περὶ ὧν
ὀλίγῳ πρότερον διεξῆλθον· ἐφ' οἷς ὁ προφήτης γεγηθώς, ὁρῶν καὶ
τὴν τοῦ ἔθνους περιχάρειαν, οὐδ' αὐτὸς ἔτι χωρῶν τὴν ἡδονήν, κατῆρχε
τῆς ᾠδῆς· οἱ δ' ἀκούοντες εἰς δύο χοροὺς ἁλισθέντες τὰ λεχθέντα
συνῇδον.
p. 175 M. (35.) | Τοῦτ' ἐστὶ τῆς κατ' ἐνθουσιασμὸν προφητείας Μωυσέως 258
ἀρχὴ καὶ προοίμιον. ἑξῆς δὲ θεσπίζει περὶ τοῦ πρώτου καὶ ἀναγκαιο-
τάτου, τροφῆς, ἣν γῆ μὲν οὐκ ἤνεγκε — καὶ γὰρ ἦν στεῖρα καὶ
ἄγονος —, ὤμβρησε δ' οὐρανὸς οὐχ ἅπαξ ἀλλ' ἐπὶ τεσσαρακονταετίαν
ἑκάστης ἡμέρας πρὸ τῆς ἕω καρπὸν αἰθέριον ἐν δρόσῳ κέγχρῳ παρα-
πλήσιον. ὃν ἰδὼν Μωυσῆς συγκομίζειν κελεύει καὶ ἐπιθειάσας φησί· 259
„πιστεύειν δεῖ τῷ θεῷ πεπειραμένους αὐτοῦ τῶν εὐεργεσιῶν ἐν μείζοσιν
ἐλπίδος πράγμασιν· ἀθησαύριστα, ἀταμίευτα τὰ τῆς τροφῆς ἔστω·

2 λόγου] ἔργου P λόγου μείζονα BEM, μείζονα λόγου VOK εὐχαριστικοῖς conicio 4 ἐξάρχοι M 5 καὶ ante τὴν ἀδελφήν add. BEM 6 τὸν ποιητὴν HP, εἰς τὸν ποιητὴν G τε eras. V², om. OK κράσεως AFGHP: κράσεων ceteri 8 τὴν ὀξύτητα VK 9 μὲν] τῶν A δὲ A οἱ om. A 10 ἀποτελεῖ G 11 ὁμογνωμονεῖν VK καὶ VOK (coni. Mang.): om. ceteri 11. 12 ἐν ταὐτῷ AFGHP: om. ceteri 12 συνᾴδειν AFGHP: συνᾴδειν καὶ λέγειν ceteri (prob. Mang.) ἐκεῖνα A: ἐκεῖνα καὶ ceteri (v) μεγαλουργηθέντα AGHP (v) 13 διῆλθον BEMF 14 προκατῆρχε VOK 15 εἰς δύο χοροὺς om. VOK ἁλισθέντες] διαιρεθέντες A (v) τὰ λεχθέντα A: τοῖς λεχθεῖσι VOK, τοὺς λεχθέντας ceteri 17 τοῦτ' ἔστι BEMG, τουτέστι V¹AFHP, τοῦτό ἐστι V²OK μωϋσέως BEM: μωϋσέος ceteri 18 ἀρχὴν A τοῦ om. VOK 20 ὄμβρησε E δὲ A ἀλλὰ AVK ἐπὶ om. A τεσσαρακονταετίαν] τεσσαράκοντα χρόνους HP 23 τῷ om. A αὐτῷ P 24 τὰ om. VOK

18 sqq. Exod. 16,4 sqq.

260 μηδεὶς ἄχρι πρωίας ὑπολειπέσθω μηδὲν αὐτῆς μέρος.“ τοῦτ᾽ ἀκούσαντες ἔνιοι τῶν πρὸς εὐσέβειαν ἀνερματίστων, ὑπολαβόντες ἴσως οὐ χρησμοὺς ἀλλὰ παραίνεσιν ἄρχοντος εἶναι τὰ λεγόμενα, λείπουσιν εἰς τὴν ὑστεραίαν· τὸ δὲ σηπόμενον τὸν κύκλον τοῦ στρατοπέδου δυσοδμίας πληροῖ τὸ πρῶτον, εἶτ᾽ εἰς σκώληκας, ὧν ἡ γένεσις ἐκ φθορᾶς ἐστι,
261 μετέβαλεν. ἅπερ ἰδὼν Μωυσῆς εἰκότως ἐπὶ τοῖς ἀπειθέσι πικραίνεται· πῶς γὰρ οὐκ ἔμελλεν, εἰ τοσαῦτα καὶ τηλικαῦτα θεασάμενοι, πρὸς μὲν τὰς πιθανὰς καὶ εὐλόγους φαντασίας ἀδύνατα πραχθῆναι, τελειωθέντα δὲ εὐμαρῶς ἐπιφροσύναις θείαις, οὐκ ἐνδοιάζουσι μόνον, ἀλλὰ καὶ ἀπι-
262 στοῦσιν οἱ δυσμαθέστατοι πάντων; ἀλλ᾽ ὅ γε πατὴρ δυσὶν ἐναργεστάταις ἀποδείξεσι τὸ λόγιον τοῦ προφήτου διασυνέστησεν, ὧν τὴν μὲν ἑτέραν εὐθὺς ἀπεδείξατο φθορᾷ τοῦ ὑπολειφθέντος καὶ δυσωδίᾳ καὶ τῇ πρὸς σκώληκας, τὸ φαυλότατον ζῷον, μεταβολῇ, τὴν δ᾽ ἑτέραν ὕστερον· ἀεὶ γὰρ τὸ πλεονάζον τοῦ συγκομισθέντος ὑπὸ τῆς πληθύος ταῖς ἡλιακαῖς
263 ἀκτῖσι διελύετο καὶ τηκόμενον ἐξανηλοῦτο. (36.) δεύτερον οὐκ εἰς μακρὰν ἐπιθειάσας ἀποφθέγγεται λόγιον τὸ περὶ τῆς ἱερᾶς ἑβδόμης. ἔχουσαν γὰρ αὐτὴν ἐν τῇ φύσει προνομίαν, οὐκ ἀφ᾽ οὗ μόνον ἐδημιουργήθη ὁ κόσμος, ἀλλὰ καὶ πρὸ τῆς οὐρανοῦ καὶ παντὸς αἰσθητοῦ γενέσεως, ἠγνόησαν ἄνθρωποι, τάχα που διὰ τὰς ἐν ὕδασι καὶ πυρὶ γενομένας συνεχεῖς καὶ ἐπαλλήλους φθορὰς οὐ δυνηθέντων παρὰ τῶν πρότερον διαδέξασθαι μνήμην τῶν ἔπειτα τῆς κατὰ τὸν ἐν χρόνοις εἱρμὸν ἀκολουθίας καὶ τάξεως· ὅπερ ἀδηλούμενον ἐπιθειάσας ἀνέφηνε
264 λογίῳ μαρτυρηθέντι διὰ σημείου τινὸς ἐναργοῦς. τὸ δὲ σημεῖον τοιοῦτον ἦν· ἐλάττων μὲν ἀπ᾽ ἀέρος ἐγίνετο ἡ φορὰ ταῖς προτέραις ἡμέραις

1 ἀπολειπέσθω VOK   τοῦτ᾽ AGHP: ταῦτ᾽ ceteri   2 ἀτερματίστων A
4 τὸν κύκλω AV^{1}, τὰ κύκλω $V^{2}OK$ δυσοδμίας AF: δυσοσμίας ceteri
5 εἶτα AVOK   6 μετέβαλλεν F   ἅπερ — ἔμελλεν (7) om. F
μωσῆς P   ἀπειθέσι] ἀληθέσι BEMA(V^{1} ut vid.)   7 ἃ ante πρὸς add. BEMVOK   9 δ᾽ A   9. 10 ἀπιστοῦσιν] ἀπειθοῦσιν P   11 ἐπιδείξεσι HP, ὄψεσι δείξεσι G   διεσυνέστησεν $H^{1}P$ 12 εὐθὺς AFGHP: om. ceteri
ά
ἀπεδείξατο FGHP: ἐπεδείξατο A, ἐπεδείξατο ceteri   13 σκώληκα A   ζῷον
ex ζώων corr. V   αἰεὶ A: ἐπεὶ coni. Mang.   15 ἐξημβλοῦτο A
post δεύτερον add. δὲ VOK   16 ἀποθειάσας BEMGH (v)   φθέγγεται A
19 ἐν om. HP   ὕδατι H (coni. Mang.)   20 γινομένας VOK   φθορὰς AFGHP: φορὰς ceteri   21 πρότερον FGHP: προτέρων ceteri   μνήμην AFGHP: μνήμη ceteri   23 μαρτυρηθέντας F   24 ἐλάττω F
ἐγίνετο AVOK: ἐγένετο ceteri (v)

τῆς τροφῆς, τότε δ' αὖ διπλασίων· καὶ ταῖς μὲν προτέραις εἴ τι κατελείφθη, λειβόμενον ἐτήκετο μέχρι τοῦ παντελῶς εἰς νοτίδα μεταβαλὸν ἀναλωθῆναι, τότε δ' οὐδεμίαν ἐνδεχόμενον τροπὴν ἐν ὁμοίῳ διέμενεν· ἐφ' οἷς ἀγγελλομένοις ἅμα καὶ ὁρωμένοις καταπλαγεὶς Μωυσῆς οὐκ
p. 176 M. ἐστοχάσατο μᾶλλον ἢ θεοφορηθεὶς ἐθέσπισε τὴν ἑβδόμην. | ἐῶ λέγειν, 265
ὅτι καὶ αἱ τοιαῦται εἰκασίαι συγγενεῖς προφητείας εἰσίν· ὁ γὰρ νοῦς οὐκ ἂν οὕτως εὐσκόπως εὐθυβόλησεν, εἰ μὴ καὶ θεῖον ἦν πνεῦμα τὸ ποδηγετοῦν πρὸς αὐτὴν τὴν ἀλήθειαν. τὸ δὲ τεράστιον οὐ μόνον ἐκ 266
τοῦ διπλασιασθῆναι τὴν τροφὴν ἐδηλοῦτο οὐδ' ἐκ τοῦ διαμεῖναι σῷον παρὰ τὸ καθεστὼς ἔθος, ἀλλὰ κἀκ τοῦ ἀμφότερα ταῦτα συμβῆναι κατὰ τὴν ἕκτην ἡμέραν, ἀφ' ἧς ἤρξατο ἀπ' ἀέρος ἡ τροφὴ χορηγεῖσθαι, μεθ' ἣν ὁ ἱερώτατος τῆς ἑβδόμης ἀριθμὸς ἔμελλεν ἀνατέλλειν, ὥστε λογιζόμενος ἄν τις εὕροι κατὰ τὴν ἀκολουθίαν τῆς τοῦ κόσμου γενέσεως τὴν οὐράνιον δοθεῖσαν τροφήν· ἤρξατο γὰρ καὶ τὸν κόσμον ἑξάδος τῇ πρώτῃ δημιουργεῖν καὶ τὴν λεχθεῖσαν ὕειν τροφήν. ἡ δ' εἰκὼν ὁμοιο- 267
τάτη· καθάπερ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸ τελειότατον ἔργον, τὸν κόσμον, ἀνέφηνε, τὸν αὐτὸν τρόπον καὶ εὐθηνίαν ἐν ἐρήμῳ μεταβαλὼν τὰ στοιχεῖα πρὸς τὸ κατεπεῖγον τῆς χρείας, ἵν' ἀντὶ γῆς ὁ ἀὴρ σιτία τροφὴν ἄπονον φέρῃ καὶ ἀταλαίπωρον οἷς ἀναχώρησις οὐκ ἦν εὐτρεπίζεσθαι κατὰ σχολὴν τἀπιτήδεια. μετὰ ταῦτα τρίτον ἀναφθέγγεται 268
χρησμὸν τερατωδέστατον, δηλῶν ὅτι τῇ ἑβδόμῃ τὴν εἰωθυῖαν ὁ ἀὴρ οὐ παρέξει τροφὴν καὶ οὐδὲν ἐπὶ γῆν ἀλλ' οὐδὲ τὸ βραχύτατον ὡς ἔθος ἐνεχθήσεται. τοῦτ' ἀπέβαινεν ἔργοις· τῇ μὲν γὰρ προτεραίᾳ ταῦτα 269

1 δ' αὖ AGHP: δὲ ceteri   διπλασία A   2 μεταβάλλον A   3 τότε] τοῦτο A   δὲ A   οὐδὲ μίαν F   ἐνδεχόμενον scripsi: ἐκδεχόμενον VOK, δεχόμενον ceteri (v) (cf. 266,15)   4 ἀγγελλομένοις AFN: ἀγαλλομένοις V[1]GHP, ἀγαλλόμενος ceteri   καὶ ἅμα transp. G (v), ἅμα om. A   6 αἱ τοιαῦται] αἱ αὗται V[1], αὗται αἱ V[2]OK $\overset{\text{ει α}}{\text{ἱκεσίαι}}$ A (ἱκεσίαι Turn.)   7 εὐσκόπως] εὐστόχως O   τὸ om. P   8 αὐτὴν om. AVOK (Turn.)   τεράστειον F   9 διπλασθῆναι F   10 συμβαίνειν V[2]OK   11 ἀπὸ AF   ἡ τροφὴ FGHP: ἡ om. ceteri   12 ἣν AFGHP: ὃ BEM, ὧν VOK   ἀριθμὸς τῆς ἑβδόμης transp. A (v)   14 ἑξάδι F, ἕως ante ἑξάδος add. V[2]OK   16 ἔργων G[1]P   17 εὐθηνίαν] εὐθυμίαν K (corr. m. rec.)   18 τὸ om. Turn.   ἵνα AG   19 ἀναχώρησιν K, ἀναχωροῦσιν A (Turn.)   20 τὰ ἐπιτήδεια VOK   21 δηλῶν ὅτι scripsi: δηλοῦντα ὅτι A (coni. Mang.), δῆλον ὅτι E, δηλονότι ceteri (v)   23 τοῦτ'] ταῦτ' M, τοῦτο δὲ A (v)

4—8 N fol. 158[v]: ἐφ' οἷς — τὴν ἀλήθειαν.

θεσπίζει. τινὲς δὲ τῶν ἀβεβαίων τὸ ἦθος ὥρμησαν ἐπὶ τὴν συγκο-
μιδὴν καὶ σφαλέντες τῆς ἐλπίδος ἐπανῄεσαν ἄπρακτοι, κακίζοντες μὲν
ἑαυτοὺς τῆς ἀπιστίας, ἀληθόμαντιν δὲ καὶ θεοφράδμονα καὶ μόνον
προορατικὸν τῶν ἀδήλων ἀνακαλοῦντες τὸν προφήτην.
270 (37.) Τοιαῦτα μέν ἐστιν, ἃ περὶ τῆς οὐρανίου τροφῆς κατεχόμενος
ἐθέσπισεν. ἕτερα δ' ἑξῆς ἀναγκαῖα, καίτοι δόξαντα ἂν παραινέσεσιν
ἐοικέναι μᾶλλον ἢ χρησμοῖς, ὧν ἐστι καὶ τὸ χρησθὲν κατὰ τὴν
μεγίστην τῶν πατρίων ἐκδιαίτησιν, περὶ ἧς καὶ πρόσθεν εἶπον, ἡνίκα
τεκτηνάμενοι ταῦρον χρυσοῦν, Αἰγυπτιακοῦ μίμημα τύφου, χοροὺς
ἵστασαν καὶ βωμοὺς κατεσκεύαζον καὶ θυσίας ἀνῆγον ἐκλαθόμενοι τοῦ
πρὸς ἀλήθειαν θεοῦ καὶ τὴν προγονικὴν εὐγένειαν, ἣ δι' εὐσεβείας καὶ
271 ὁσιότητος ηὐξήθη, καθαιροῦντες. ἐφ' οἷς Μωυσῆς περιπαθήσας, εἰ
πρῶτον μὲν ὁ λαὸς πᾶς ἐξαίφνης γεγένηται τυφλὸς ὁ ἄχρι πρὸ μικροῦ
πάντων ἐθνῶν ὀξυωπέστατος, ἔπειτα δὲ εἰ πλάσμα | μύθου κατεψευσ- p. 177 M.
μένον ἴσχυσε τοσαύτην αὐγὴν σβέσαι τῆς ἀληθείας, ἣν οὔθ' ἥλιος
ἐκλιπὼν οὔθ' ὁ σύμπας χορὸς τῶν ἀστέρων ἐπισκιάσει — περιλάμπεται
γὰρ ἰδίῳ φέγγει νοητῷ καὶ ἀσωμάτῳ, πρὸς ὃ παραβαλλόμενον τὸ
272 αἰσθητὸν νὺξ ἂν πρὸς ἡμέραν εἶναι νομισθείη —, δι' ἣν αἰτίαν οὐκέτι
μένων ὁ αὐτὸς ἐξαλλάττεται τό τε εἶδος καὶ τὴν διάνοιαν καὶ ἐπιθειάσας
φησί· „τίς ἐστιν ὁ μὴ τῷ πλάνῳ συνενεχθεὶς μηδὲ τὸ κῦρος ἐπιφημίσας
273 τοῖς ἀκύροις; πᾶς ὁ τοιοῦτος ἐμοὶ προσίτω". μιᾶς δὲ φυλῆς προσελ-
θούσης οὐχ ἧττον ταῖς διανοίαις ἢ τοῖς σώμασιν, οἳ πάλαι μὲν ἐφόνων
κατὰ τῶν ἀθέων καὶ ἀνοσιουργῶν, ἡγεμόνα δ' ἐζήτουν καὶ στρατάρχην

1 ὥρμητο K (corr. m. rec.) 2 τῆς ἐλπίδος] τῆς om. F, τῶν ἐλπίδων A (v) 3 ἑαυτοὺς A: αὐτοὺς MFGH[1], αὑτοὺς ceteri θεοφράσμονα A 4 ἀδήλων] ἀδελφῶν K 6 ἐθέσπιζεν AVOK δὲ VOK δόξαντ' A παραίνεσιν P 8 καὶ πρόσθεν] ἔμπροσθεν A (v) 12 μωυσῆς AVOK: μωσῆς ceteri post περιπαθήσας add. ἣν A (v) 13 πρῶτον] πρότερον BEM πᾶς ὁ λαὸς transp. A (v) 14 ὀξυωπέστατος AGHP: ὀξυωπέστερος ceteri 16 ἐκλιπὼν AFGHP: ἐκλείπων ceteri; ἐκλάμπων male coni. Mang. περιλάμπεται BEMVOK: περιλαμβάνεται AFGHP 17 νοητῶν καὶ ἀσωμάτων K παραβαλλόμενον] παραλαμβανόμενον BEMV[1] 18 ἂν AFGHP: om. ceteri πρὸς παρ' A 19 ἐξαλλάττεται F (coni. Mang.): ἐξάλλεται ceteri (v) 20 φησίν VOK συνεχθεὶς F μηδὲ AFGHP: μήτε BEM, μὴ VOK 22 οἳ AFGHP: om. ceteri ἐφόνων AFGHP: ἐφρόνουν ceteri 23 ἀθέων AFGHP: ἀθέσμων ceteri στρατιάρχην F

3 ἀληθόμαντιν ex. Aesch. Agam. 1240. 7 sqq. Exod. cap. 32 8 v. sup. § 167 sqq.

ἀνευρεῖν. ὃς ἐνδίκως ὑφηγήσεται καιρὸν καὶ τρόπον τῆς ἀμύνης. —
οὓς ὀργῶντας εὑρὼν καὶ γέμοντας εὐτολμίας καὶ παραστήματος, ἔτι
μᾶλλον ἢ πρότερον θεοφορηθείς, „ξίφος ἕκαστος ὑμῶν ἀναλαβὼν“
φησίν „ἀττέτω διὰ παντὸς τοῦ στρατοπέδου καὶ κτεινέτω μὴ μόνον ἀλλο-
τρίους ἀλλὰ καὶ φίλων καὶ συγγενῶν τοὺς οἰκειοτάτους ἐπιστροφάδην,
εὐαγέστατον κρίνων τὸ ἔργον ὑπὲρ ἀληθείας καὶ θεοῦ τιμῆς, ὧν ὑπερ-
μαχεῖν καὶ προαγωνίζεσθαι κουφότατος πόνος.“ οἱ δ’ αὐτοβοεὶ 274
τρισχιλίους κτείναντες τοὺς ἀρχηγέτας μάλιστα τῆς ἀσεβείας γενομένους
οὐκ ἀπελογήσαντο μόνον περὶ τοῦ μὴ συνεφάψασθαι τοῦ τολμήματος,
ἀλλὰ καὶ ἐν ἀριστέων τοῖς γενναιοτάτοις ἐνεγράφησαν καὶ γέρως ἠξιώθησαν
οἰκειοτάτου ταῖς πράξεσιν, ἱερωσύνης· ἔδει γὰρ θεραπευτὰς ὁσιότητος
γενέσθαι τοὺς ὑπὲρ αὐτῆς ἀνδραγαθισαμένους καὶ προπολεμήσαντας.

(38.) Ἔχω δέ τι μηνῦσαι σημειωδέστερον λόγιον, περὶ οὗ καὶ 275
πάλαι διεξῆλθον, ὅτε τὰ τῆς ἀρχιερωσύνης ἐπῄειν τοῦ προφήτου, ὅπερ
αὐτὸς πάλιν κατασχεθεὶς ἀνεφθέγξατο. τελειωθὲν οὐ μακροῖς χρόνοις
ὕστερον, ἀλλ’ εὐθὺς ὅτ’ ἐχρησμῳδεῖτο. τῶν περὶ τὸν νεὼν λειτουργῶν 276
δύο τάξεις εἰσίν, ἡ μὲν κρείσσων ἱερέων, ἡ δ’ ἐλάττων νεωκόρων·
ἦσαν δὲ κατ’ ἐκεῖνον τὸν χρόνον τρεῖς μὲν ἱερεῖς, νεωκόρων δὲ πολλαὶ
χιλιάδες. οὗτοι φυσηθέντες ἐπὶ τῇ τοῦ οἰκείου πλήθους περιουσίᾳ τῆς 277
τῶν ἱερέων κατεφρόνουν ὀλιγότητος καὶ δύο ἐν ταὐτῷ παρανομήματα
συνύφαινον, ὧν τὸ μὲν ἦν καθαίρεσις τῶν ὑπερεχόντων, τὸ δ’ αὔξησις
τῶν ἐλαττόνων, οἷα ἡγεμόσιν ὑπηκόων ἐπιτιθεμένων ἐπὶ συγχύσει τοῦ
κρατίστου καὶ δημωφελεστάτου, τῆς τάξεως. εἶτ’ ἐπισυνιστάμενοι καὶ 278

1 καιρὸν AFGHP: om. ceteri τὸν τρόπον BEVOK, τὸν τρόμον (sic) M
2 ὀργοῦντας M εὑρὼν A: om. ceteri 3 ἡμῶν P λαβὼν BEMF
3. 4 φησὶν ἀναλαβὼν transp. A (v) 4 ἀττέτω F: ἀγέτω BEMGHP, ἀγαγέτω VOK, ἐφορμάτω τε A (v) διὰ] δὴ H[1]P μὴ] οὐ G 6 θεοῦ τιμῆς AVOK: τιμῆς θεοῦ ceteri ὧν AFGHP: om. ceteri 7 αὐτοβοεὶ] αὐτομόλως A
9 post συνεφάψασθαι repet. μόνον E 10 ἐν ἀριστέων AFGHP: ἐναργεστέρως ceteri τοῖς — γέρως om. VOK (suppl. mg. K m. rec.) γεναιοτάτοις M ἐνεγράφησαν F: ἀπεγράφησαν (ἀπ- corr. ex ἐν-) A, ἀνεγράφησαν ceteri (v) ἠξιώθην K (corr. m rec.) 11 οἰκειοτάτης O 11. 12 ὁσιότητος γενέσθαι v: ὁσιότητος γεγενῆσθαι A, γενέσθαι ὁσιότητος ceteri 12 τοὺς] τῆς H[1]P ἀνδραγαθησαμένους V[1]AFGH 14 post ὅτε add. καὶ A (v) ἱερωσύνης M ὅπερ AFGHP: ὅ, τι ceteri 15 τὸ τελειωθὲν V[2]O 16 ὅτε AVOK λειτουργῶν scripsi: λειτουργιῶν codd. 17 κρείττων G 20 ὀλιγότητα K τῷ αὐτῷ A 21 alt. τὸ] τῶν F δὲ VOK 22 τῶν om. A
22. 23 τοῦ κρατίστου καὶ δημωφελεστάτου τῆς τάξεως A: τῆς τοῦ κρ. καὶ δημ. τάξεως ceteri 23 εἶτα AVOK συνιστάμενοι A (v)

14 v. sup. § 174. 175. 19 sqq. Num. cap. 16

ἀθροιζόμενοι κατεβόων τοῦ προφήτου, ὡς δι' οἰκειότητα τῷ τε ἀδελφῷ
καὶ τοῖς | ἀδελφιδοῖς χαρισαμένου τὴν ἱερωσύνην καὶ ἐπιψευσαμένου τὰ p. 178 M.
περὶ τὴν αἵρεσιν αὐτῶν, ὡς ἐπιφροσύνῃ θείᾳ, καθάπερ διεξήειμεν, μὴ
279 γενόμενα. ἐφ' οἷς ἀνιαθεὶς καὶ περιαλγήσας, καίτοι πρᾳότατος ὢν καὶ
ἡμερώτατος, οὕτως πρὸς δικαίαν ὀργὴν ὑπὸ μισοπονήρου πάθους ἠκο-
νήθη, ὡς ἱκετεῦσαι τὸν θεὸν ἀποστραφῆναι τὴν θυσίαν αὐτῶν, οὐκ
ἐπειδήπερ ἔμελλεν ὁ δικαιότατος κριτὴς ἱερουργίας ἀσεβῶν παραδέχεσθαι,
ἀλλ' ὅτι καὶ ἡ ψυχὴ τοῦ θεοφιλοῦς τὸ κατ' αὐτὴν μέρος οὐχ ὑπο-
σιωπᾷ, σπεύδουσα μὴ εὐοδεῖν ἀνοσίους, ἀλλ' ἀεὶ τῆς προθέσεως δια-
280 μαρτάνειν. ἔτι δὲ ζέων καὶ πεπυρωμένος ὑπὸ τῆς νομίμου δια-
γανακτήσεως ἐνθουσιᾷ μεταβαλὼν εἰς προφήτην καὶ θεσπίζει τάδε·
„χαλεπὸν ἀπιστία πρᾶγμα τοῖς ἀπίστοις μόνοις· τούτους οὐ λόγος ἀλλ'
ἔργα παιδεύει· παθόντες εἴσονται τὸ ἐμὸν ἀψευδές, ἐπεὶ μαθόντες οὐκ
281 ἔγνωσαν. ἐπικριθήσεται δὲ τοῦτο τῇ τοῦ βίου τελευτῇ· εἰ μὲν
γὰρ θάνατον ἐνδέξονται τὸν κατὰ φύσιν, πέπλασμαι τὰ λόγια, εἰ δὲ
καινόν τινα καὶ παρηλλαγμένον, τὸ φιλάληθές μοι μαρτυρηθήσεται.
χάσματα γῆς ὁρῶ διηνοιγμένης ἐπὶ μήκιστον εὐρυνόμενα. πολυανθρώπους
ἀπολλυμένας συγγενείας, αὐτάνδρους ὑποσυρομένας καὶ καταπινομένας
282 οἰκίας, ζῶντας ἀνθρώπους εἰς ᾅδου κατερχομένους." ἐπεὶ δ' ἡσύχασε,
ῥήγνυται μὲν ἡ γῆ σεισμῷ τιναχθεῖσα, ῥήγνυται δὲ καθ' ὃ μάλιστα
μέρος αἱ σκηναὶ τῶν ἀσεβῶν ἦσαν. ὡς ὑπενεχθείσας ἀθρόας

1 συναθροιζόμενοι BEMF δι' AGHP: om. ceteri οἰκειότατα M, οἰκειοτάτοις VOK 2 ἀδελφοῖς EA χαρισαμένῳ VO, χαρισάμενον A τὴν ἱερωσύνην καὶ ἐπιψευσαμένου AFGHP: om. ceteri 3 οὐχ ante ὡς add. V²OK διεξήειμεν AFGHP: ἐξήειμεν ceteri μὴ AGHP: om. ceteri 5 οὕτως AG: οὕτω ceteri 8 κατὰ ταύτην VOK 9 αἰεὶ A 11 ἐνεθουσία VOK καὶ post ἐνθουσιᾷ transp. A (v) 12 ἀπιστία] ἀποστασία BEM (Mang.) post πρᾶγμα interpung. BEM (Mang.) τοῖς ἀπίστοις μόνοις· τούτους AVOK: τοῖς ἀπίστοις· μόνους τούτους FGHP, τοὺς ἀπίστους τούτους BEM (Mang.) 12. 13 οὐ λόγος ἀλλ' (ἀλλὰ A) ἔργα] οὐ μόνον λόγοι ἀλλ' ἔργα BEM; οὐ λόγος ἀλλὰ καὶ ἔργα Turn., οὐ μόνον λόγοι ἀλλὰ καὶ ἔργα Mang. 13 παιδεύει παθόντας BEMF παιδεύσει coni. Mang. μαθόντες M (coni. Mang.): μανθάνοντες ceteri 14 δὲ om. BEM 15 θάνατον ἐνδέξονται τὸν κατὰ φύσιν BEMFK²: θάνατον ἐκδέξονται τ. κ. φ. VOK¹, δέξονται τ. κ. φ. θάνατον AGHP (v) πέπλασμαι AFGHP: πεπλασμένα ceteri τὰ om. V¹, add. V² 16 παρηλασμένον F μου M μαρτυρήσεται BE 17 διηνοιγμένα A, διηγνυμένης (sic) F ἐπιμήκιστον P 18 ἀπολλυμένους BEA (Turn.) συγκαταπινομένας A (v) 19 ζώντων VOK ἀνθρώπους om. VOK κατερχομένας EVOK (— ους corr. K m. rec.) δὲ VOK 20. 21 μέρος μάλιστα transp. A (v) 21 ἐπενεχθείσας BEM(V¹ ut vid.), κατενεχθείσας V²OK ἀθρόως GHP

ἐπικρυφθῆναι· τὰ γὰρ διαστάντα μέρη πάλιν συνῆλθε, τῆς χρείας ἀπο-
τελεσθείσης, ἧς ἕνεκα διεζεύχθη. μικρὸν δ᾿ ὕστερον τοὺς τῆς στάσεως 283
ἡγεμόνας πεντήκοντα πρὸς τοῖς διακοσίοις ἄνδρας κεραυνοὶ κατασκήψαντες
αἰφνίδιον ἀθρόους ἐξανάλωσαν μηδὲν μέρος ὑπολειπόμενοι τῶν σωμάτων.
ὃ ταφῆς ἐπιμοιράσεται. τὸ δὲ τῶν τιμωριῶν ἐπάλληλον καὶ τὸ ἑκατέρας 284
μέγεθος διάσημον καὶ περιβόητον ἀπέφηνε τὴν εὐσέβειαν τοῦ προφήτου
χρησαμένου θεῷ μάρτυρι τῆς περὶ τοὺς χρησμοὺς ἀληθείας. ἄξιον 285
δὲ κἀκεῖνο μὴ παριδεῖν, ὅτι τὰς κατὰ τῶν ἀσεβῶν κολάσεις διεκληρώσαντο
γῆ καὶ οὐρανός, αἱ τοῦ παντὸς ἀρχαί· τὴν γὰρ μοχθηρίαν ἐρρίζωσαν
μὲν ἐπὶ γῆς, ἐξέτειναν δ᾿ εἰς αἰθέρα, τοσοῦτον ὕψος, αὐτὴν διάραντες.
ὅθεν καὶ τῶν στοιχείων ἑκάτερον ἐχορήγησε τὰς τιμωρίας. ἡ μὲν ἵν᾿ 286
ὑποσύρῃ καὶ καταπίῃ τοὺς τότε βαρύνοντας αὐτὴν ῥαγεῖσα καὶ δια-
στᾶσα, ὁ δ᾿ ἵνα καταφλέξῃ καὶ διαφθείρῃ πυρὸς πολλοῦ φοράν, και-
νότατον ὑετόν, ὀμβρήσας. τὸ δὲ τέλος καὶ τοῖς καταποθεῖσι καὶ τοῖς 287
p. 179 M. ὑπὸ τῶν κεραυνῶν | διεφθαρμένοις ταὐτὸν ἀπέβαινεν· οὐδέτεροι γὰρ
ἐφάνησαν, οἱ μὲν ἐπικρυφθέντες γῇ τῇ τοῦ χάσματος συνόδῳ πρὸς
τὸ ἰσόπεδον ἑνωθείσῃ, οἱ δ᾿ ὅλοι δι᾿ ὅλων ἀναλωθέντες ὑπὸ τοῦ
κεραυνίου πυρός.

(39.) Χρόνοις δ᾿ ὕστερον, ἐπειδὴ τὴν ἐνθένδε ἀποικίαν ἔμελλεν 288
εἰς οὐρανὸν στέλλεσθαι καὶ τὸν θνητὸν ἀπολιπὼν βίον ἀπαθανατίζεσθαι
μετακληθεὶς ὑπὸ τοῦ πατρός, ὃς αὐτὸν δυάδα ὄντα, σῶμα καὶ ψυχήν,
εἰς μονάδος ἀνεστοιχείου φύσιν ὅλον δι᾿ ὅλων μεθαρμοζόμενος εἰς
νοῦν ἡλιοειδέστατον, τότε δὴ κατασχεθεὶς οὐκέτι συλλήβδην ἀθρόῳ
παντὶ τῷ ἔθνει θεσπίζειν ἔοικεν ἀλλὰ καὶ κατὰ μέρος ἑκάστῃ φυλῇ τὰ

1 ἐπικρυβῆναι G συνῆλθον H 2 εἵνεκα VOK δὲ VOK τοὺς] ὡς BEM(V^1 ut vid.) 4 αἰφνίδιοι F ἐξανάλωσαν codd: ἐξηνάλωσαν Mang. μηδὲ ἓν A ὑπολιπόμενοι BEMG, ἐπιλειπόμενοι AO 5 ἐπιμοιράσηται H, ἐπιμοιρήσεται AV^2OK 5. 6 ἑκατέρου μεγέθους VOK 7 τοῦ χρησμοῦ A 8 δὲ] δὴ A διεκλήρωσαν A 9 γῆ καὶ οὐρανός om. A τοῦ om. A 10 ἀνέτειναν coni. Mang. δὲ VOK αἰθέρα AFGHP: ἀέρα ceteri ἄραντες A 11 ἵνα AVOK 12 βαρύναντας A 13 δὲ VOK φορᾷ V^2OK, φθορὰν MP 15 διαφθαρμένοις P οὐδ᾿ ἕτεροι F 16 τῇ γῇ PV^2OK τῇ post γῇ eras. V^2, om. OKFP συνόδῳ om. VOKF 17 ἑνωθέντες V^1 ut vid., ἑνωθέντος AFV^2OK δὲ VOK 18 κεραυνείου F 20 ἀθανατίζεσθαι AVOK 21 ὃς] ὡς A 22 ἀνεστοιχειοῦτο A (v) 23 κατασταθεὶς A ὡς ante συλλήβδην add. F 24 καὶ om. G (fort. recte)

23 sqq. Deuter. cap. 33

μέλλοντα γενέσθαι καὶ αὖθις ἀποβησόμενα· ὧν τὰ μὲν ἤδη συμβέβηκε,
τὰ δὲ προσδοκᾶται, διότι πίστις τῶν μελλόντων ἡ τῶν προγεγονότων
289 τελείωσις. ἥρμοττε γὰρ διαφέροντας καὶ ταῖς σποραῖς, καὶ μάλιστα ἐν
τοῖς μητρῴοις γένεσι, καὶ βουλευμάτων πολυτρόποις ἰδέαις καὶ τῶν περὶ
τὸν βίον ἐπιτηδευμάτων ἀμυθήτοις διαφοραῖς ὥσπερ τινὰ κλήρου δια-
290 νομὴν λογίων καὶ χρησμῶν ἁρμόζουσαν εὑρέσθαι. θαυμάσια μὲν οὖν
ταῦτα· θαυμασιώτατον δὲ καὶ τὸ τέλος τῶν ἱερῶν γραμμάτων, ὃ
291 καθάπερ ἐν τῷ ζῴῳ κεφαλὴ τῆς ὅλης νομοθεσίας ἐστίν. ἤδη γὰρ
ἀναλαμβανόμενος καὶ ἐπ' αὐτῆς βαλβῖδος ἑστώς, ἵνα τὸν εἰς οὐρανὸν
δρόμον διιπτάμενος εὐθύνῃ, καταπνευσθεὶς καὶ ἐπιθειάσας ζῶν ἔτι τὰ
ὡς ἐπὶ θανόντι ἑαυτῷ προφητεύει δεξιῶς, ὡς ἐτελεύτησε μήπω τελευ-
τήσας, ὡς ἐτάφη μηδενὸς παρόντος, δηλονότι χερσὶν οὐ θνηταῖς ἀλλ'
ἀθανάτοις δυνάμεσιν, ὡς οὐδ' ἐν τάφῳ τῶν προπατόρων ἐκηδεύθη
τυχὼν ἐξαιρέτου μνήματος, ὃ μηδεὶς εἶδεν ἀνθρώπων, ὡς σύμπαν τὸ
ἔθνος αὐτὸν ὅλον μῆνα δακρυρροοῦν ἐπένθησεν ἴδιον καὶ κοινὸν πένθος
ἐπιδειξάμενον ἕνεκα τῆς ἀλέκτου καὶ πρὸς ἕνα ἕκαστον καὶ πρὸς ἅπαντας
292 εὐνοίας καὶ κηδεμονίας. τοιοῦτος μὲν ὁ βίος, τοιαύτη δὲ καὶ ἡ τελευτὴ
τοῦ βασιλέως καὶ νομοθέτου καὶ ἀρχιερέως καὶ προφήτου Μωυσέως διὰ
τῶν ἱερῶν γραμμάτων μνημονεύεται.

---

1 γενέσθαι καὶ AF: καὶ γενεαῖς ceteri (v) 2 προσεδοκᾶτο V^2OK 3 διαφέροντας AF: διαφέροντα ceteri ἐν eras. V^2, om. OK 4 ταῖς μητρώαις γένναις V^2OK βουλευμάτων A: βουλημάτων ceteri 5 τὸν] τῶν K, om. A κλήρου codd.: κλῆρον v 5. 6 διανομὴν A (mg. P^2): διαμονὴν ceteri (Turn.) 6 λογίων F: λόγιον A, λόγων ceteri (Turn.) χρησμὸν A ἁρμόζουσαν AFVOK: om. ceteri 7 ταῦτα] ταῦτα πάντα AVOK τὸ om. M ὃ AFG: ἃ HP, om. ceteri 8 τῷ AGHP: om. ceteri ὅλης] ἄλλης VOK 10 διιπτάμενος εὐθύνῃ VK: διιπτάμενος ἰθύνῃ O, ἀναπτάμενος εὐθύνῃ A, διασπώμενος εὐθύνῃ F, διευθύνῃ διιπτάμενος ceteri; διανύῃ διιπτάμενος v ἔτι τὰ] ἔπειτα A 11 ἐπ' ἀποθανόντι A δεξιῶς] διεξιὼν coni. Mang. alt. ὡς AFGHP: om. ceteri 12 ἐτάφην V^2O δῆλον ὅτι E οὐ] αὖ K 13 οὐδ' ἐν τάφῳ τῶν] οὐδεὶς τῶν φώτων A: οὐδείς πω τῶν coni. Mang. ἐκηδεύθην V^2O 14 ὡς] ὥστε V^2OK 15 αὐτὸν ὅλον μῆνα] καὶ τηνικαῦτα μὲν V^2OK μῆνα] μη (sic) BM, μὴ B, om. A δακρυρροοῦντα F ἐπένθησεν AFG: ἐπένθη P, ἐπένθησαν H, ἐπενόησεν ceteri καὶ ante ἴδιον add. V^2OK καὶ post ἴδιον om. A 16 ἐπιδείξασθαι V^2OK ἀλέκτου A, ἀλήκτου VK pr. καὶ om. AVOK 17 δὲ om. A καὶ om. O 18 καὶ νομοθέτου om. A μωϋσέος AGP, μωσέος H 19 γραμμάτων om. A μνημονεύεται μηνύεται A, μηνύεται F ἐπλήρωσεν ὁ περὶ ἱερωσύνης λόγος subscr. H

---

7 sqq. Deuter. cap. 34

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΤΩΝ ΔΕΚΑ ΛΟΓΩΝ

ΟΙ ΚΕΦΑΛΑΙΑ ΝΟΜΩΝ ΕΙΣΙΝ

II p. 180 M. (1.) Τοὺς βίους τῶν κατὰ Μωυσέα σοφῶν ἀνδρῶν, οὓς ἀρχη- 1
γέτας τοῦ ἡμετέρου ἔθνους καὶ νόμους ἀγράφους αἱ ἱεραὶ βίβλοι δηλοῦσιν, ἐν ταῖς προτέραις συντάξεσι μεμηνυκὼς κατὰ τὰ ἀκόλουθα ἑξῆς τῶν ἀναγραφέντων νόμων τὰς ἰδέας ἀκριβώσω μηδ᾿, εἴ τις ὑποφαίνοιτο τρόπος ἀλληγορίας, τοῦτον παρεὶς ἕνεκα τῆς πρὸς διάνοιαν φιλομαθοῦς ἐπιστήμης, ᾗ πρὸ τῶν ἐμφανῶν ἔθος τὰ ἀφανῆ ζητεῖν.
πρὸς δὲ τοὺς ἀποροῦντας, τί δή ποτε οὐκ ἐν πόλεσιν ἀλλ᾿ ἐν ἐρήμῳ 2
βαθείᾳ τοὺς νόμους ἐτίθει, λεκτέον πρῶτον μέν, ὅτι αἱ πολλαὶ τῶν
p. 181 M. πόλεων ἀμυθήτων κακῶν εἰσι | μεσταί, καὶ τῶν πρὸς τὸ θεῖον ἀνοσιουργημάτων καὶ τῶν πρὸς ἀλλήλους ἀδικημάτων. οὐδὲν γάρ ἐστιν ὃ μὴ 3
κεκιβδήλευται. τὰ γνήσια τῶν νόθων παρευημερούντων καὶ τἀληθῆ τῶν εἰκότων, ἃ φύσει μὲν κατέψευσται, πιθανὰς δ᾿ ὑποβάλλει φαντασίας
πρὸς ἀπάτην. ἐν πόλεσιν οὖν καὶ ὁ πάντων ἐπιβουλότατος φύεται 4
τῦφος, ὃν τινες τεθήπασι καὶ προσκυνοῦσι τὰς κενὰς δόξας σεμνο-

---

1—3 Φίλωνος περὶ τῶν δέκα λογίων (λόγων scripsi), οἳ κεφάλαια νόμων εἰσί G, φίλωνος ἰουδαίου περὶ τῶν δέκα λογίων, ἃ κεφάλαια νόμων εἰσίν F, περὶ τῶν δέκα λογίων, ἃ κεφάλαια νόμων εἰσίν H, φίλωνος ἰουδαίου εἰς τὴν (sic) δεκάλογον μωσέως AP, φίλωνος περὶ νόμων ἰδέας M, tit. om. Arm 4 μωϋσέα GH: μωυσῆν M, μωσέα ceteri 6 ἐν τῇ προτέρᾳ συντάξει Arm προτέραις] ἡμετέραις M κατὰ τὸ ἀκόλουθον Arm ut vid. 8 πρὸς διάνοιαν] δι᾿ ὑπονοιῶν coni. Mang. 9 φιλομαθοῦς (ἀ eras.) F ἐπιστάσεως coni. Wendl. ᾗ] ἢ Arm 10 τί δή ποτε] διὰ τί H (v) 12 εἰσι κακῶν transp. F 14 παρημερευόντων M τὰ ἀληθῆ M 15 εἰκότων] εἰκαιοτέρων M κατεψεύσατο H (Turn.) 16 post ἀπάτην interpungit M: post πόλεσιν ceteri οὖν M: οὗ ceteri, ἀφ᾿ οὗ Arm φύεται] ὕιωται (sic) M 17 τὰς κενὰς δόξας] τοὺς κενοδόξους coni. Mang.

---

11 — 270,5 Vindob. hist. gr. 67 fol. 56r Φίλωνος ἰουδαίου: αἱ πολλαὶ τῶν πόλεων — ἐκπιεζόμενοι.

ποιοῦντες διὰ χρυσῶν στεφάνων καὶ ἁλουργίδων καὶ πλήθους θεραπόντων καὶ ὀχημάτων, ἐφ᾿ ὧν οἱ λεγόμενοι μακάριοι καὶ εὐδαίμονες μετέωροι φέρονται, τοτὲ μὲν ὀρεῖς ἢ ἵππους καταζευγνύντες τοτὲ δὲ καὶ ἀνθρώπους. οἳ τὰ φορεῖα κατὰ τῶν αὐχένων ἀχθοφοροῦσι τὴν ψυχὴν
5 πρὸ τοῦ σώματος δι᾿ ὑπερβολὴν ὕβρεως πιεζόμενοι. (2.) τῦφος καὶ πολλῶν ἄλλων κακῶν δημιουργός ἐστιν. ἀλαζονείας. ὑπεροψίας. ἀνισότητος· αἱ δ᾿ εἰσὶν ἀρχαὶ ξενικῶν καὶ ἐμφυλίων πολέμων οὐδὲν μέρος, οὐ κοινόν, οὐκ ἴδιον, οὐ κατὰ γῆν, οὐ κατὰ θάλατταν, ἡσυχάζειν
6 ἐῶσαι. τί δὲ δεῖ τῶν πρὸς ἀλλήλους ἁμαρτημάτων μεμνῆσθαι; τύφῳ γὰρ καὶ τὰ θεῖα ἐξωλιγώρηται, καίτοι νομιζόμενα τῆς ἀνωτάτω τυγχάνειν τιμῆς· τιμὴ δὲ τίς ἂν γένοιτο, μὴ προσούσης ἀληθείας, ἣ καὶ ὄνομα
7 καὶ ἔργον ἔχει τίμιον, ἐπεὶ καὶ τὸ ψεῦδος ἔμπαλιν ἄτιμον φύσει; ἡ δ᾿ ὀλιγωρία τῶν θείων ἐμφανὴς τοῖς ὀξυδερκέστερον ὁρῶσι· μυρίας γὰρ ὅσας διὰ γραφικῆς καὶ πλαστικῆς μορφώσαντες ἰδέας ἱερὰ καὶ νεὼς αὐταῖς προσπεριεβάλοντο καὶ βωμοὺς κατασκευάσαντες ἀγάλμασι καὶ ξοάνοις καὶ τοιουτοτρόποις ἀφιδρύμασι τιμὰς ἰσολυμπίους καὶ ἰσοθέους ἀπέ-
8 νειμαν, ἅπασιν ἀψύχοις. οὓς εὐθυβόλως αἱ ἱεραὶ γραφαὶ τοῖς ἐκ πόρνης γεγονόσιν ἀπεικάζουσιν· ὡς γὰρ οὗτοι πάντας, ὅσους ἐραστὰς ἔσχεν ἡ μήτηρ, ἐπιγράφονται πατέρας ἑνὸς ἀγνοίᾳ τοῦ φύσει, οὕτω καὶ οἱ κατὰ πόλεις οὐκ εἰδότες τὸν ὄντα ὄντως ἀληθῆ θεὸν μυρία πλήθη ψευδωνύμων
9 ἐκτεθειώκασιν. εἶτ᾿ ἄλλων παρ᾿ ἄλλοις τιμωμένων, ἡ περὶ τοῦ ἀρίστου κρατήσασα διχόνοια καὶ τὰς πρὸς τὰ ἄλλα πάντα διαφορὰς ἐγέννησεν.
10 εἰς ἃ πρῶτον ἀπιδὼν ἔξω πόλεων ἐβουλήθη νομοθετεῖν. ἐνενόει δὲ κἀκεῖνο δεύτερον, ὅτι τοῦ μέλλοντος ἱεροὺς νόμους παραδέχεσθαι τὴν

---

3 μὲν] μὲν οὖν M ὀρεῖς] οὐρῆας M ἢ] καὶ H, om. M ἵπποις
ϊ
ὑποζευγνύντες M 4 φορεῖα AP, φορία Vind., φορτία M τὸν αὐχένα F 5 ἐκπιεζόμενοι Vind. τῦφος ⟨δὲ⟩ conicio 6. 7 ἀνισότητος Mang.: ἀνοσιότητος codd. 7 αἱ δ᾿] αἵδ᾿ MP, αἳ Arm 8 post ἴδιον add. πρῶτον Arm 9 ἀλλήλους] ἄλλους M 10 ἐξωλιγωρεῖται M καίτοι] καὶ τὰ coni. Christophorson τυγχάνει F[1] 15 αὐτοῖς M προσπεριεβάλλοντο MH
ας
16 ἰσολυμπίους A, ἰσολυμπίας P καὶ ἰσοθέους M: om. ceteri; ἰσοθέους (om. ἰσολυμπίους καὶ) Mang. 17 ἅπασιν] πᾶσιν M; πλάσμασιν vel πράγμασιν coni. Mang. ἱεραὶ om. AP[1] 19 οὕτως F 20 ὄντως ὄντα transp. MH (v) ⟨καὶ⟩ ἀληθῆ coni Mang. 21 εἶτα FGH 22 διαφορὰς] φορὰς GH (Turn.) 23 πόλεων Mang.: πόλεως codd. ἐννόει AP[1] 24 τοὺς μέλλοντας Arm

---

11. 12 D[P] fol. 332[r] Φίλωνος: τιμὴ τίς ἂν γένοιτο — ἔχει τίμιον;

p. 182 M. ψυχὴν ἀναγκαῖόν ἐστιν ἀπορρύψασθαι καὶ ἐκκαθήρασθαι τὰς | δυσεκ-
πλύτους κηλῖδας, ἃς μιγάδων καὶ συγκλύδων ὄχλος ἀνθρώπων κατὰ
πόλεις προσετρίψατο. τοῦτο δὲ ἀμήχανον ἑτέρως ἢ διοικισθέντι συμ- 11
βῆναι. καὶ οὐκ εὐθὺς ἀλλὰ μακρῷ χρόνῳ ὕστερον, ἕως ἂν οἱ τῶν
ἀρχαίων παρανομημάτων ἐνσφραγισθέντες τύποι κατὰ μικρὸν ἀμαυρού-
μενοι καὶ ἀπορρέοντες ἀφανισθῶσι. τοῦτον τὸν τρόπον καὶ οἱ τὴν 12
ἰατρικὴν ἀγαθοὶ σῴζουσι τοὺς κάμνοντας· οὐ γὰρ πρότερον σιτία καὶ ποτὰ
παρέχειν ἀξιοῦσι, πρὶν ἢ τὰ τῶν νόσων αἴτια ὑπεξελέσθαι· μενόντων
γὰρ ἀνωφελεῖς αἱ τροφαί, ἀλλὰ καὶ ἐπιζήμιοι, ὕλαι γινόμεναι τοῦ πάθους.
(3.) εἰκότως οὖν ἐκ τῶν κατὰ πόλεις βλαβερωτάτων συνηθειῶν εἰς 13
ἐρήμην ἀπαγαγών, ἵνα κενώσῃ τὰς ψυχὰς ἀδικημάτων, ἤρξατο προσ-
φέρειν ταῖς διανοίαις τροφάς· αὗται δὲ τίνες ἂν εἶεν ὅτι μὴ νόμοι καὶ
λόγοι θεῖοι; τρίτη δέ ἐστιν αἰτία ἥδε· καθάπερ οἱ στελλόμενοι μακρὸν 14
πλοῦν, οὐχ ὅταν ἐπιβάντες τῆς νεὼς ἀπὸ λιμένος ἐξαναχθῶσιν, ἄρχονται
κατασκευάζειν ἱστία καὶ πηδάλια καὶ οἴακας, ἀλλ' ἔτι μένοντες ἐπὶ γῆς
ἕκαστα τῶν συντεινόντων πρὸς πλοῦν εὐτρεπίζονται, τὸν αὐτὸν τρόπον
ἠξίωσεν οὐ λαβόντας κληρουχίας καὶ τὰς πόλεις οἰκήσαντας τότε ζητεῖν
νόμους, οἷς πολιτεύσονται, ἀλλ' ἑτοιμασαμένους τοὺς τῆς πολιτείας
κανόνας καὶ ἐνασκηθέντας οἷς ἔμελλον οἱ δῆμοι κυβερνᾶσθαι σωτηρίως
τηνικαῦτα εἰσοικίζεσθαι, χρησομένους εὐθὺς ταῖς τῶν δικαίων παρα-
σκευαῖς ἐν ὁμονοίᾳ καὶ κοινωνίᾳ καὶ διανομῇ τῶν ἐπιβαλλόντων ἑκάστοις.
(4.) φασὶ δέ τινες καὶ τετάρτην αἰτίαν οὐκ ἀπῳδὸν ἀλλ' ἐγγυτάτω τῆς 15
ἀληθείας· ἐπειδὴ γὰρ ἔδει πίστιν ἐγγενέσθαι ταῖς διανοίαις περὶ τοῦ μὴ
εὑρήματα ἀνθρώπου τοὺς νόμους ἀλλὰ θεοῦ χρησμοὺς σαφεστάτους
εἶναι, πορρωτάτω τῶν πόλεων ἀπήγαγε τὸ ἔθνος εἰς ἐρήμην βαθεῖαν

1 ἀπορρίψασθαι M   καθάρασθαι M   1. 2 δυσεκπλήτους G, δυσεκπλύκτους P
3 πόλιν M   5 ἀνομημάτων M   6. 7 οἱ περὶ τὴν ἰατρικὴν AP
7 γὰρ om. M Arm   καὶ ποτὰ om. H (v)   8 παρασχεῖν Vind.
ἀξιοῦντες M   πρὶν om. M   9 ἀλλὰ καὶ M: om. ceteri (v)   γενό-
μεναι M   10 πόλεις Mang. (sic Arm): πόλιν codd.   11 ἐρήμην codd.:
ἔρημον Mang.   12. 13 λόγοι καὶ νόμοι M   13 δ' ἐστὶν M   14 λιμένος FH:
λιμένων MAPG   15 μένοντες] μὲν ὄντες Arm   16 εὐτρεπίζοντες H
18 πολιτεύωνται Turn.   ἡτοιμασμένους M   τοὺς om. Turn.   19 εὖ ἀσκη-
θέντας Arm   ἤμελλον H   20 χρησομένοις M   21 ἐν A: ἐφ' ceteri
(Turn.)   ὁμονοίᾳ] ὁμοίᾳ H   διαμονῇ A   ἐπιβαλόντων F
22 ἀπῳδὸν] ἀπάδουσαν M   23 διανοίαις αὐτῶν Arm   25 ἔρημον F (Mang.)

6 — 9 Vindob. hist. gr. 67 fol. 56v: τοῦτον τὸν τρόπον — τοῦ πάθους.

16 καὶ ἄγονον οὐ μόνον ἡμέρων καρπῶν ἀλλὰ καὶ ποτίμου ὕδατος, ἵν', ἐὰν
ἐν σπάνει γενόμενοι τῶν ἀναγκαίων καὶ δίψει καὶ λιμῷ διαφθαρῆναι
προσδοκήσαντες ἐξαπιναίως ἀφθονίαν τῶν ἐπιτηδείων ἀπαυτοματισθέντων
ἀνευρίσκωσιν, οὐρανοῦ μὲν ὕοντος τροφὰς τὸ καλούμενον μάννα, προσ-
όψημα δὲ τροφῶν ἀπ' ἀέρος ὀρτυγομήτρας φοράν, ὕδατος δὲ πικροῦ
γλυκαινομένου πρὸς τὸ πότιμον, πέτρας δὲ ἀκροτόμου πηγὰς ἀνομβρούσης,
μηκέτι θαυμάζωσιν, εἰ λόγια θεοῦ συμβέβηκεν | εἶναι τοὺς νόμους, p. 183 M.
ἐναργεστάτην βάσανον εἰληφότες ἐκ τῶν χορηγιῶν, ἃς ἐξ ἀπόρων
17 ἔσχον οὐκ ἐλπίσαντες. ὁ γὰρ πρὸς τὸ ζῆν ἀφθονίαν δοὺς καὶ τὰς πρὸς
τὸ εὖ ζῆν ἀφορμὰς ἐδωρεῖτο· πρὸς μὲν οὖν τὸ ζῆν σιτίων ἔδει καὶ
ποτῶν, ἅπερ ἀνεύρισκον οὐχ ἑτοιμασάμενοι, πρὸς δὲ τὸ εὖ ζῆν νόμων
καὶ διαταγμάτων, οἷς βελτιοῦσθαι τὰς ψυχὰς ἔμελλον.
18 (5.) Αἵδ' εἰσὶν ἐν στοχασμοῖς εἰκόσιν αἰτίαι λεγόμεναι περὶ τοῦ
διαπορηθέντος· τὰς γὰρ ἀληθεῖς οἶδεν ὁ θεὸς μόνος. εἰπὼν δ' ἅπερ
ἥρμοττε περὶ τούτων ἑξῆς αὐτοὺς ἀκριβώσω τοὺς νόμους, ἐκεῖνο κατὰ
τὸ ἀναγκαῖον προμηνύσας, ὅτι τῶν νόμων οὓς μὲν αὐτὸς ὁ θεὸς οὐ
προσχρησάμενος ἄλλῳ δι' ἑαυτοῦ μόνου θεσπίζειν ἠξίωσεν, οὓς δὲ διὰ
προφήτου Μωυσέως, ὃν ἀριστίνδην ἐκ πάντων ὡς ἐπιτηδειότατον ἱεροφάντην
19 ἐπελέξατο. τοὺς μὲν οὖν αὐτοπροσώπως θεσπισθέντας δι' αὐτοῦ μόνου
συμβέβηκε καὶ νόμους εἶναι καὶ νόμων τῶν ἐν μέρει κεφάλαια, τοὺς δὲ
20 διὰ τοῦ προφήτου πάντας ἐπ' ἐκείνους ἀναφέρεσθαι. (6.) λέξω δ', ὡς
ἂν οἷός τε ὦ, περὶ ἑκατέρων καὶ πρότερόν γε τῶν κεφαλαιωδεστέρων·

1 ἡμέρων om. Arm ἵν' M: ἵνα ceteri ἐὰν om. M 2 ἐν om. G δίψη H (v) 3. 4 ἀνευρίσκωσιν ἀπαυτοματισθέντων transp. H (Turn.) 4 μάνα H 4. 5 προσόψιμα H 5 pr. δὲ] τε Richt. ἀπ' secludendum putavit Mang. ὀρτυγομήτρας codd. (cf. Exod. 16,13): ὀρτυγομητρῶν Mang. alt. δὲ] μὲν H 6 τὸ om. M δὲ om. M 7 θαυμάζωσιν εἰ λόγια θεοῦ συμβέβηκεν εἶναι τοὺς νόμους M Arm: θαυμάζωσι Νεῖλον μηδ' εἰ συμβέβηκεν εἶναι θεοῦ τοὺς νόμους ceteri (v) τοὺς νόμους corr. ex τοῖς νόμοις H post νόμους add. ἀμφιγνοῶσιν mg. H² (v) 9 ἀφθονίαν — εὖ ζῆν (10) om. M 10 ἀφορμὰς] ἀφθονίας A 11 post ζῆν add. καὶ ὡς εἰκὸς H et mg. P² (v) 13 αἴτιαι corr. in αἰτίαι F περὶ om. M 14 οἶδεν ὁ θεὸς M: θεὸς οἶδε ceteri (v) δ' ἅπερ M: δὲ ἃ ceteri (Turn.) 16 τῶν νόμων] τοὺς νόμους M οὓς] τοὺς M 17 ἑαυτοῦ M: αὐτοῦ G, αὐτοῦ corr. in αὐτοῦ H, αὐτοῦ APF ου μόνον G οὓς] τοὺς M 18 τοῦ προφήτου APF μωσέως MAPFH, om. G ὃν] ὃς H ἐκ πάντων M: ἐξ ἁπάντων ceteri (v) ἱεροφάντην M: ὡς ἱεροφαντεῖν ceteri (v) 19 ἐπελέξατο M: εἵλετο ceteri (v) αὐτοπροσώπους A 20 pr. καὶ om. Arm 22 περὶ MF: καὶ περὶ ceteri (v) post γε add. περὶ Arm

ὧν εὐθέως ἄξιον θαυμάσαι τὸν ἀριθμὸν δεκάδι τῇ παντελείᾳ περατου-
μένων, ἣ πάσας μὲν ἀριθμῶν διαφορὰς ἀρτίων καὶ περιττῶν καὶ ἀρτιο-
περίττων, ἀρτίων μὲν δυοῖν, περιττῶν δὲ τριῶν, ἀρτιοπερίττων δὲ πέντε,
πάσας δὲ λόγων τῶν ἐν ἀριθμοῖς πολυπλασίων καὶ ἐπιμερῶν καὶ ὑπο-
επιμερῶν περιέχει. πάσας δ' ἀναλογίας, τήν τε ἀριθμητικήν, ᾗ τῷ 21
ἰσαρίθμῳ ὑπερέχει καὶ ὑπερέχεται, οἷον ἐπὶ τοῦ ἓν καὶ δύο καὶ τρία,
καὶ τὴν γεωμετρικήν, καθ' ἣν οἷος ὁ λόγος πρὸς τὸν πρῶτον τοῦ
δευτέρου, τοιοῦτος καὶ ὁ πρὸς τὸν δεύτερον τοῦ τρίτου, ὡς ἔχει ἐπὶ
τοῦ ἓν καὶ δύο καὶ τέσσαρα, ἔν τε διπλασίοις καὶ τριπλασίοις καὶ συνόλως
πολυπλασίοις καὶ πάλιν ἐν ἡμιολίοις καὶ ἐπιτρίτοις καὶ τοῖς παραπλησίοις,
ἔτι μέντοι καὶ τὴν ἁρμονικήν, καθ' ἣν ὁ μέσος τῶν ἄκρων τῷ ἴσῳ
μορίῳ ὑπερέχει τε καὶ ὑπερέχεται, ὡς ἔχει ἐπὶ τοῦ τρίτου καὶ τετάρτου
καὶ ἕκτου. περιέχει δὲ ἡ δεκὰς καὶ τὰς τῶν τριγώνων καὶ τετραγώνων 22
καὶ τῶν ἄλλων πολυγώνων ἐμφαινομένας ἰδιότητας καὶ τὰς τῶν συμ-
p. 184 M. φωνιῶν, τήν τε διὰ τεσσάρων ἐν ἐπιτρίτῳ λόγῳ, τῷ τέσσαρα | πρὸς
τρία, καὶ τὴν διὰ πέντε ἐν ἡμιολίῳ, τῷ τρία πρὸς δύο, καὶ τὴν διὰ
πασῶν ἐν διπλασίῳ, τῷ δύο πρὸς ἕν, καὶ τὴν δὶς διὰ πασῶν ἐν τετρα-
πλασίῳ, τῷ ὀκτὼ πρὸς δύο. παρό μοι δοκοῦσι καὶ οἱ πρῶτοι τὰ ὀνό- 23
ματα τοῖς πράγμασι θέμενοι — σοφοὶ γὰρ ἦσαν — εἰκότως αὐτὴν
προσαγορεῦσαι δεκάδα, ὡσανεὶ δεχάδα οὖσαν, παρὰ τὸ δέχεσθαι καὶ
κεχωρηκέναι τὰ γένη πάντα τῶν ἀριθμῶν καὶ λόγων τῶν κατ' ἀριθμὸν

1 εὐθὺς M 1. 2 περατουμένων codd.: περαιουμένων Turn., περανουμένων Mang. 2 ἣ] εἰ M ἀριθμῶν] ἀριθμουμένων AP διαφορὰς ἀρτίων ἀριθμῶν transp. G 2. 3 καὶ ἀρτιοπερίττων om. L (Turn.) 3 δυοῖν ex δυεῖν corr. H, δυεῖν FG 4. 5 ὑποεπιμερῶν M: ἐπιμορίων ceteri (v) 5 δὲ M, om. Arm ᾗ τῷ] τῷ γὰρ Arm 5. 6 τῶν ἰσαρίθμων AP, τῷ ἴσῳ ἀριθμῷ M 6 ἐπὶ τὸ α' καὶ β' καὶ γ' M 7. 8 πρὸς τὸν πρῶτον τοῦ δευτέρου] τοῦ α' πρὸς τὸν τοῦ β' M 8 τοιοῦτος om. AP[1] ὁ MH: om. ceteri πρὸς τὸν δεύτερον τοῦ τρίτου] τοῦ β' πρὸς τὸν γ' M 9 τοῦ] τὸ F, om. M ἓν καὶ ἓν ὁ εἷς καὶ δύο καὶ τρεῖς καὶ τριάκοντα τέσσαρες M τέτταρα AP 9. 10 καὶ συνόλως πολυπλασίοις MF Arm: om. ceteri 12 post μορίῳ add. καὶ H (v) ὑπερέχει τε καὶ ὑπερέχεται MF: ὑπερέχεται καὶ ὑπερέχει ceteri (v) τρίτου] α' MG; δευτέρου coni. Christophorson (Mang.), sed cf. *de opif. mundi § 110* τετάρτου] δ' M, τέσσαρα G 13 ἕκτου] ς' M, ἓξ G ἕκτου καὶ τετάρτου καὶ τρίτου transp. Arm τῶν H: om. ceteri 15 τεττάρων FH ἐν om. APF τῷ] τοῦ G δ' M 15. 16 πρὸς τὸν τρία G 16 γ' M γ' M β' M 17 β' M α' M δὶς καὶ διὰ H 18 τῷ] τὰ H η' M β' M 20 ὡσανεὶ] οἱονεὶ AP 21 συγκεχωρηκέναι Turn. τὰ γένη τῶν ἀριθμῶν πάντα καὶ κεχωρηκέναι transp. M πάντα τὰ γένη transp. AP λόγους M ἀριθμῶν corr. in ἀριθμὸν AFH

24 καὶ ἀναλογιῶν ἁρμονιῶν τε αὖ καὶ συμφωνιῶν. (7.) τὴν μέντοι δεκάδα
πρὸς τοῖς εἰρημένοις καὶ διὰ ταῦτα εἰκότως ἄν τις θαυμάσειε περιέ-
χουσαν τήν τε ἀδιάστατον φύσιν καὶ τὴν διαστηματικήν· ἡ μὲν οὖν
ἀδιάστατος τάττεται κατὰ σημεῖον μόνον, ἡ δὲ διαστηματικὴ κατὰ τρεῖς
25 ἰδέας γραμμῆς καὶ ἐπιφανείας καὶ στερεοῦ· τὸ μὲν γὰρ δυσὶ σημείοις
περατούμενόν ἐστι γραμμή, τὸ δ' ἐπὶ δύο διαστατὸν ἐπιφάνεια, ῥυείσης
ἐπὶ πλάτος γραμμῆς, τὸ δ' ἐπὶ τρία στερεόν, μήκους καὶ πλάτους βάθος
προσλαβόντων, ἐφ' ὧν ἵσταται ἡ φύσις· πλείους γὰρ τριῶν διαστάσεις
26 οὐκ ἐγέννησεν. ἀρχέτυποι δὲ τούτων ἀριθμοὶ τοῦ μὲν ἀδιαστάτου
σημείου τὸ ἕν, τῆς δὲ γραμμῆς τὰ δύο, καὶ ἐπιφανείας μὲν τρία,
στερεοῦ δὲ τέσσαρα, ὧν ἡ σύνθεσις ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ
τεσσάρων ἀποτελεῖ δεκάδα παραφαίνουσαν τοῖς ὁρατικοῖς καὶ ἕτερα
27 κάλλη· σχεδὸν γὰρ ἡ ἀπειρία τῶν ἀριθμῶν ταύτῃ μετρεῖται, διότι οἱ
συστήσαντες αὐτὴν ὅροι τέσσαρές εἰσιν, ἓν καὶ δύο καὶ τρία καὶ τέτταρα,
οἱ δ' ἴσοι ὅροι ἑκατοντάδα γεννῶσιν ἐκ δεκάδων — δέκα γὰρ καὶ
εἴκοσι καὶ τριάκοντα καὶ τεσσαράκοντα γίνονται ἑκατόν —, ὁμοίως δὲ
καὶ χιλιάδα ἐξ ἑκατοντάδων καὶ μυριάδα ἐκ χιλιάδων, μονὰς δὲ καὶ
28 δεκὰς καὶ ἑκατοντὰς καὶ χιλιὰς τέσσαρες ὅροι οἱ δεκάδα γεννῶντες· ἥτις
δίχα τῶν πρόσθεν εἰρημένων καὶ ἑτέρας ἀριθμῶν ἐμφαίνει διαφοράς,
τόν τε πρῶτον κόσμον, ὃς μονάδι μόνῃ μετρεῖται, οὗ παράδειγμα ὁ
τρεῖς, ὁ πέντε, ὁ ἑπτά, καὶ τὸν τετράγωνον, τὸν τέσσαρα, τὸν ἰσάκις
ἴσον, καὶ μὲν δὴ τὸν κύβον, τὸν ὀκτώ, ὅς ἐστιν ἰσάκις ἴσος ἰσάκις,
καὶ τὸν τέλειον, τὸν ἕξ, ἰσούμενον τοῖς ἑαυτοῦ μέρεσι, τρισὶ καὶ δυσὶ

2 εἰκότως ἄν τις M: ἄν τις εἰκότως ceteri (v) θαυμάσειε MAP: θαυμάσαι FGH 5 γραμμὴν καὶ ἐπιφάνειαν καὶ στερεόν coni. Mang. γὰρ om. F 6 δ' AP: δὲ ceteri 7 δὲ M τρεῖς M βάθους MH, καὶ βάθος AP βάθους (β′) πλάτους (α′) H 8 ἡ om. GH (v) 10 γ′ M 11 δ′ M α′ M δυεῖν GH, β′ M γ′ M 12 τεττάρων APF, δ′ M ἀποτελεῖ δεκάδα — τέτταρα (14) om. M ὁρατικοῖς APFG: ὁρατοῖς H (Turn.) 13 μετρεῖται] περατοῦται vel περαίνεται coni. Mang. 14 ἓν καὶ δύο καὶ τρία καὶ τέτταρα G: ἑνὸς καὶ δυοῖν (δυεῖν H) καὶ τριῶν καὶ τεττάρων APFH (v) 15 δ' M: δὲ ceteri 15. 16 ι′ γὰρ καὶ κ′ G, δεκάδα γὰρ καὶ εἰκοσάδα M 16 λ′ MG μ′ MG γίνονται F: γίνεται MG, γεννῶσιν H (v), om. AP ρ′ MAP 18 δ′ M δεκάδα] ι′ M 20 κόσμον M: om. ceteri (v) ὅς] ὡς F μόνῃ MAPFG: μόνον H (v) μετρεῖται μόνῃ transp. G 21 τρεῖς FH, γ′ M: τρία APG (Mang.) ε′ M ζ′ M τέσσαρα APG, δ′ M: τέταρτον FH (v) 22 τὸν κύβον M: τὸν om. ceteri (v) ὀκτώ FG, η′ M: ὄγδοον G mg. P (v), αυτώ (sic) A, αὐτόν P pr. ἰσάκις om. M 23 τὸν ἐξισούμενον M αὑτοῦ MF γ′ καὶ β′ καὶ α′ M

p. 185 M. καὶ ἑνί. (8.) | τί δὲ δεῖ καταλέγεσθαι τὰς δεκάδος ἀρετὰς ἀπείρους τὸ 29
πλῆθος, πάρεργον ποιουμένους ἔργον μέγιστον. ὃ καθ' αὑτὸ συμβέβηκεν
αὐταρκεστάτην εἶναι ὑπόθεσιν τοῖς περὶ τὰ μαθήματα διατρίβουσι: τὰς
μὲν οὖν ἄλλας ὑπερθετέον, μιᾶς δ' οὐκ ἄτοπον ἴσως ἐπιμνησθῆναι
δείγματος ἕνεκα. τὰς γὰρ ἐν τῇ φύσει λεγομένας κατηγορίας δέκα 30
μόνας εἶναί φασιν οἱ ἐνδιατρίβοντες τοῖς τῆς φιλοσοφίας δόγμασιν·
οὐσίαν, ποιόν, ποσόν, πρός τι, ποιεῖν, πάσχειν, ἔχειν, κεῖσθαι, τὰ ὧν
οὐκ ἄνευ ⟨πάντα⟩, χρόνον καὶ τόπον. οὐδὲν γάρ ἐστι τούτων ἀμέτοχον· 31
οἷον ἐγὼ μετέχω μὲν οὐσίας δανεισάμενος ἀφ' ἑκάστου τῶν στοιχείων,
ἐξ ὧν ἀπετελέσθη ὅδε ὁ κόσμος, γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ πυρός,
τὰ πρὸς τὴν ἐμὴν σύστασιν αὐταρκέστατα· μετέχω δὲ καὶ ποιότητος,
καθ' ἣν ἄνθρωπός εἰμι, καὶ ποσότητος, ᾗ πηλίκος· γίνομαι δὲ καὶ
πρός τι, ὅταν μου πρὸς δεξιοῖς τις ἢ πρὸς εὐωνύμοις ᾖ· ἀλλὰ καὶ
ποιῶ, τρίβων τι ἢ κείρων, καὶ πάσχω, κειρόμενος ἢ τριβόμενος ὑφ'
ἑτέρων· κἀν τῷ ἔχειν ἐξετάζομαι, ἢ περιβεβλημένος ἢ ὡπλισμένος, κἀν
τῷ κεῖσθαι, σχεδόν τι καθεζόμενος ἢ κατακεκλιμένος· εἰμὶ δὲ πάντως
κἀν τόπῳ καὶ χρόνῳ, τῶν προειρημένων οὐδενὸς δυναμένου χωρὶς
ἀμφοῖν ὑφίστασθαι.

(9.) Ταυτὶ μὲν οὖν ἀποχρώντως λελέχθω, συνυφαίνειν δ' ἀναγκαῖον 32
τὰ ἀκόλουθα. τοὺς δέκα λόγους ἢ χρησμούς, νόμους ἢ θεσμοὺς πρὸς
ἀλήθειαν ὄντας, ἀθροισθέντος τοῦ ἔθνους ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν
εἰς ἐκκλησίαν, ὁ πατὴρ τῶν ὅλων ἐθέσπισεν. ἆρά γε φωνῆς τρόπον

1 δεκάδας H 2 μέγιστον ἔργον transp. Arm 3 τοῖς — διατρίβουσι om. M 4 ἐπιμνησθῆναι MF: ὑπομνησθῆναι ceteri (v) 5 ἕνεκεν GH (v) δέκα] δεκάδας Turn. 6 φασὶν εἶναι transp. M ἐνδιατρίψαντες M τοῖς τῆς M: om. ceteri (v) 7 οὐσία FH post πρός τι add. ποῦ πότε M 8 πάντα addidi (cf. vol. II 24,14); τὰ ὧν ἄνευ οὐκ ἔστι τι coni. Mang. ἄνευ χρόνου καὶ τόπου A Arm καὶ] ἢ καὶ M post τόπον add. εἶναι M 9 μὲν μετέχω transp. GH (v) 10 ὅδε] ὅλος H (v) 11 καὶ om. A 12 καθ' ἣν] καθὸ A πηλίκοσδε F, πηλικότητος Arm πηλίκος γίνομαι (om. δὲ) M 13 τις] στῆς M ᾖ· ἀλλὰ] ἢ ἀλλαχῇ M 14 ποιῶ M: ποιῶ (ποιῶν A) τι ceteri (v) τι (post τρίβων) om. A κείρων Mang.: καίων codd. Arm
ω
πάσχων A 15 ἑτέρου G κἀν F: κἂν ceteri, ἐν Arm ἐξετάζομαι A κἀν AF: κἂν ceteri 16 σχεδόν τι M: σχέδην ceteri (v) 17 κἂν (κἀν scripsi) τόπῳ καὶ χρόνῳ M Arm: κἂν χρόνῳ κἂν τόπῳ F, καὶ χρόνῳ καὶ τόπῳ ceteri δυνα-
ὑφ
μένων H (Turn.) 18 συνίστασθαι H 19 ταύτῃ M, ταῦτα AP 20 νόμους M Arm: ἢ νόμους ceteri (v) 21 οὓς ante ἀθροισθέντος add. FGH (v) καὶ γυναικῶν ὁμοῦ transp. M 22 εἰς ἐκκλησίαν M: ἐν ἐκκλησίᾳ APFG, om. H (Turn.) φωνῆς τρόπον] φωνὴν γήινον M τρόπου corr. in τρόπον A

προέμενος αὐτός; ἄπαγε, μηδ' εἰς νοῦν ποτ' ἔλθοι τὸν ἡμέτερον· οὐ
γὰρ ὡς ἄνθρωπος ὁ θεός, στόματος καὶ γλώττης καὶ ἀρτηριῶν δεό-
33 μενος. ἀλλά γέ μοι δοκεῖ κατ' ἐκεῖνον τὸν χρόνον ἱεροπρεπέστατόν τι
θαυματουργῆσαι κελεύσας ἦχον ἀόρατον ἐν ἀέρι δημιουργηθῆναι, πάντων
ὀργάνων θαυμασιώτερον, ἁρμονίαις τελείαις ἡρμοσμένον, οὐκ ἄψυχον
ἀλλ' οὐδ' ἐκ σώματος καὶ ψυχῆς τρόπον ζῴου συνεστηκότα, ἀλλὰ ψυχὴν
λογικὴν ἀνάπλεω σαφηνείας καὶ τρανότητος, ἣ τὸν ἀέρα σχηματίσασα
καὶ ἐπιτείνασα καὶ πρὸς πῦρ φλογοειδὲς μεταβαλοῦσα καθάπερ πνεῦμα
διὰ σάλπιγγος φωνὴν τοσαύτην ἔναρθρον ἐξήχησεν, ὡς τοῖς ἔγγιστα τοὺς
34 πορρωτάτω κατ' | ἴσον ἀκροᾶσθαι δοκεῖν. ἀνθρώπων μὲν γὰρ αἱ φωναὶ p. 186 M.
πρὸς μήκιστον ἀποτεινόμεναι πεφύκασιν ἐξασθενεῖν, ὡς ἀριδήλους τοῖς
μακρὰν ἀφεστηκόσι μὴ γίνεσθαι τὰς ἀντιλήψεις ταῖς ἐπεκτάσεσιν ἐκ
35 τοῦ κατ' ὀλίγον ἀμαυρουμένας. ἐπειδὴ καὶ τὰ ὄργανα φθαρτά· τὴν δὲ
κεκαινουργημένην φωνὴν ἐπιπνέουσα θεοῦ δύναμις ἤγειρε καὶ ἐζωπύρει
καὶ ἀναχέουσα πάντῃ τὸ τέλος τῆς ἀρχῆς ἀπέφαινε τηλαυγέστερον,
ἀκοὴν ἑτέραν πολὺ βελτίω τῆς δι' ὤτων ταῖς ἑκάστων ψυχαῖς ἐντι-
θεῖσα· ἡ μὲν γὰρ βραδυτέρα πως οὖσα αἴσθησις ἀτρεμίζει, μέχρις ἂν
ὑπ' ἀέρος πληχθεῖσα διακινηθῇ, φθάνει δ' ἡ τῆς ἐνθέου διανοίας ὀξυ-
τάτῳ τάχει προϋπαντῶσα τοῖς λεγομένοις.
36 (10.) Φωνῆς μὲν δὴ τῆς θείας πέρι τοσαῦτα. δεόντως δ' ἄν τις
ἀπορήσαι, τοῦ χάριν, πλείστων ὅσων μυριάδων εἰς ἓν ἠθροισμένων
χωρίον, ἕκαστον θεσπίζειν τῶν δέκα λογίων ἠξίωσεν ὡς οὐχὶ πρὸς
πλείους ἀλλ' ὡς πρὸς ἕνα, „οὐ μοιχεύσεις“ λέγων, „οὐ φονεύσεις,“ „οὐ

1 προϊέμενος M αὐτούς F²(H¹?) ἔλθη APH (Turn.) ὑμέτερον A
3 ἀλλά γέ μοι M (ἀλλά γ' ἐμοὶ Wendl.): ἀλλ' ἐμοὶ ceteri (v) κατ' M Arm: τὰ κατ' ceteri (Turn.) 4 ἦχον M: ἠχὴν ceteri (v) 5 ἡρμοσμένον MAPFG: ἡρμοσμένον corr. in ἡρμοσμένων H (ἡρμοσμένων v) ἄψυχον corr. ex ἄψυχος H
6 οὐδὲ FG συνεστηκότα scripsi: συνεστηκότος APFH, συνεστηκὸς G, συνεστηκὼς M; συνεστηκυῖαν coni. Mang. ψυχὴν] ἠχὴν coni. Mang. (cf. vol. II 277,19)
7 ἀνάπλεω M: ἀνάπλεων ceteri τρανότητος F (πιθα supra) post τρανότητος add. περιέχουσαν Christophorson 9 τοὺς] καὶ τοῖς M 10 γὰρ om. A
14 καινουργουμένην M ἐπιπνέουσαν PGH 15 πάντῃ] πᾶν M
ἀρχῆς M Arm (Mang.): ἠχῆς ceteri (Turn.) ἀπέφηνε corr. ex ἀπέφαινε H, ἀπέφηνε M (v) 16 ἑκάστου H (Turn.) 16. 17 ἐντεθεῖσα H 17 πῶς A
post οὖσα add. τῶν ὤτων Christophorson (Mang.) 18 δ' ἡ] δὴ M
19 προϋπαντῶσα scripsi (sic Arm): προσυπαντῶσα codd.; προαπαντῶσα voluit Mang.
20 δὴ τῆς om. M δεόντως] ἐξόντως M 21 ἀπορήσαι GH²: ἀπορῆσαι MFH¹, ἀπορήσοι AP (sic Mang.) 22 ἑκάστῳ Arm 23 ἀλλὰ GH
ὡς om. H (Turn.) οὐ φονεύσεις om. Arm

κλέψεις“ (Exod. 20, 13ss.) καὶ τὰ ἄλλα ταύτῃ. λεκτέον οὖν ἓν μέν, 37 ὅτι βούλεται κάλλιστον ἀναδιδάξαι μάθημα τοὺς ἐντυγχάνοντας ταῖς ἱεραῖς γραφαῖς, ὡς ἄρα καθ' αὑτὸν εἷς ἕκαστος, ὅταν ᾖ νόμιμος καὶ θεῷ καταπειθής, ἰσότιμός ἐστιν ὅλῳ ἔθνει πολυανθρωποτάτῳ, μᾶλλον δὲ καὶ πᾶσιν ἔθνεσιν, εἰ δὲ δεῖ περαιτέρω προελθόντα εἰπεῖν, καὶ παντὶ τῷ κόσμῳ. διόπερ ἐν ἑτέροις ἐπαινῶν τινα δίκαιον ἄνδρα φησίν· 38 „ἐγώ εἰμι ὁ θεὸς σός“ (Gen. 17,1)· ὁ δ' αὐτὸς ἦν καὶ κόσμου θεός, ὡς τοὺς ὑπηκόους τὴν αὐτὴν τεταγμένους τάξιν καὶ ὁμοίως εὐαρεστοῦντας τῷ ταξιάρχῳ τῆς ἴσης ἀποδοχῆς καὶ τιμῆς μεταλαμβάνειν. δεύτερον δέ, ὅτι κοινῇ μὲν ὡς πλήθει τις ἐκκλησιάζων οὐκ ἐξ ἀνάγκης 39 διαλέγεται ἑνί, ὅτε δὲ προστάττων ἢ ἀπαγορεύων, ἰδίᾳ ὡς ἑνὶ ἑκάστῳ τῶν ἐμφερομένων εὐθὺς ἂν δόξαι τὰ πρακτέα καὶ κοινῇ πᾶσιν ἀθρόοις ὑφηγεῖσθαι· εὐπειθέστερος δὲ ὁ τὰς παραινέσεις αὐτοπροσώπως δεχόμενος, ὁ δὲ συλλήβδην μεθ' ἑτέρων κεκώφωται τὸν ὄχλον ἀφηνιασμοῦ παρακάλυμμα ποιούμενος. τρίτον, ἵνα μηδείς ποτε βασιλεὺς ἢ τύραννος 40 ἀφανοῦς ἰδιώτου καταφρονήσῃ γεμισθεὶς ἀλαζονείας καὶ ὑπεροψίας, ἀλλ'
p. 187 M. εἰς τὰ τῶν ἱερῶν νόμων διδασκαλεῖα φοιτήσας | χαλάσῃ τὰς ὀφρῦς, ἀπομαθὼν οἴησιν εἰκότι μᾶλλον δ' ἀληθεῖ λογισμῷ. εἰ γὰρ ὁ ἀγένητος 41 καὶ ἄφθαρτος καὶ ἀίδιος καὶ οὐδενὸς ἐπιδεὴς καὶ ποιητὴς τῶν ὅλων

---

1 τὰ ἄλλα M: τἄλλα APG, τἆλλα FH   οὖν ἓν μέν M Arm: μὲν οὖν (om. ἓν) ceteri (v)   2 ὅτι] ὡς AP   κάλλιστα M   4 πολυανθρωποτεύ==τω (κ eras.) F[1], ευ in α corr. F[2]   5 προσελθόντα M   6 διόπερ codd.: διότι Turn.   ἄνδρα δίκαιον transp. AP   7 pr. ὁ om. M   σός MAPF: ὁ σός G, σου H (v)   ὁ δ'] ὁ γὰρ Arm   post ἦν add. γὰρ FH   9 λαμβάνειν AP[1]   10 δ' MH   ὅτι om. AP[1]   πλήθη M   11 ἑνί, ὅτε F (coni. Mang.): ἐνίοτε MAPH, ἑνὶ ἑκάστω G   δὲ om. G   προστάττει ἢ ἀπαγορεύει conicio   ἰδίᾳ M: ἰδίᾳ δ' FGH, ἰδία δὲ AP   12 ἂν δόξαι] ἂν δέξεται H; ἐνδέξεται Turn.   13 δὲ MG: om. ceteri; γὰρ coni. Mang.; ὅτι εὐπειθέστερος Arm   15 ποιούμενον Turn.   16 καταφρονήσει F   17 χαλάσει A   18 ἀληθῆ F   ἀγέννητος APF

18—278,18 D[H] fol. 227v Φίλωνος: ἄνθρωπος ὢν εὐπρόσιτος καὶ εὐέντευκτος (278,8) ἔσο τοῖς πᾶσι καὶ ἔθιζε τὴν (σ)εαυτοῦ διάνοιαν ἀνθρωποπαθεῖν οὐ μόνον διὰ τὰς ἀδήλους πρὸς ταπάντη (sic) βουλὰς καὶ τῶν εὖ πραττόντων καὶ τῶν ἐν κακοπραγίαις, ἀλλὰ κἂν βεβαίως παραμένῃ (278,15—18), μὴ τραχηλιᾶν ἐπὶ τὴν τραγῳδουμένην εὐτυχίαν (cf. 278,13). εἰ γὰρ ὁ ἀγέννητος καὶ ἀθάνατος καὶ ἀίδιος καὶ οὐδενὸς ἐπιδεόμενος καὶ ποιητὴς τῶν ὅλων καὶ εὐεργέτης καὶ βασιλεὺς βασιλέων καὶ θεὸς θεῶν οὐδὲ τὸν ταπεινότατον ὑπεριδεῖν ὑπέμεινε θείων λογίων, ἀλλὰ καὶ τοῦτον ἠξίωσεν εὐωχίσαι θεσμῶν ἱερῶν ἱεροφαντούμενον ἑστιᾶν, τί ἐμοὶ τῷ θνητῷ προσῆκεν ὑψαυχενεῖν ἢ πεφυσῆσθαι [περι]φρυαττομένῳ πρὸς τοὺς ὁμοίους, καὶ μίαν μητέρα τὴν κοινὴν ἁπάντων ἀνθρώπων φύσιν κεκτημένον (18—278,8):

καὶ εὐεργέτης καὶ βασιλεὺς βασιλέων καὶ θεὸς θεῶν οὐδὲ τὸν ταπεινότατον ὑπεριδεῖν ὑπέμεινεν, ἀλλὰ καὶ τοῦτον εὐωχῆσαι λογίων καὶ θεσμῶν ἱερῶν ἠξίωσεν, ὡς μόνον ἑστιᾶν μέλλων καὶ μόνῳ τὸ συμπόσιον εὐτρεπίζεσθαι πρὸς ψυχῆς ἀνάχυσιν ἱεροφαντουμένης, ᾗ θέμις τὰς μεγάλας τελεῖσθαι τελετάς, ἐμοὶ τῷ θνητῷ τί προσῆκον ὑψαυχενεῖν καὶ πεφυσῆσθαι φρυαττομένῳ πρὸς τοὺς ὁμοίους, οἳ τύχαις μὲν ἀνίσοις ἴσῃ δὲ καὶ ὁμοίᾳ συγγενείᾳ κέχρηνται μίαν ἐπιγραψάμενοι μητέρα τὴν
42 κοινὴν ἁπάντων ἀνθρώπων φύσιν; εὐπρόσιτον οὖν καὶ εὐέντευκτον ἐμαυτὸν παρέξω, κἂν τὸ τῆς γῆς καὶ τῆς θαλάττης κράτος ἀνάψωμαι, τοῖς ἀπορωτάτοις καὶ ἀδοξοτάτοις καὶ οἰκειοτάτης συμμαχίας ἐρήμοις, ἑκατέρου τῶν γονέων ὀρφανοῖς καὶ γυναιξὶ χηρείαν ὑπομενούσαις καὶ πρεσβύταις ἢ μὴ παιδοποιησαμένοις τὸ παράπαν ἢ ἀποβαλοῦσιν ὠκυ-
43 μόρους οὓς ἐγέννησαν. ἄνθρωπος γὰρ ὢν ὄγκον καὶ σεμνότητα τετραγῳδημένην οὐ δικαιώσω προσίεσθαι, μενῶ δ᾽ ἐντὸς τῆς φύσεως τοὺς ὅρους αὐτῆς μὴ ὑπερβαίνων, ἀλλ᾽ ἐθίζων τὴν ἐμαυτοῦ διάνοιαν ἀνθρωποπαθεῖν, οὐ μόνον διὰ τὰς ἀδήλους πρὸς τἀναντία μεταβολὰς καὶ τῶν εὖ πραττόντων καὶ τῶν ἐν κακοπραγίαις, ἀλλὰ καὶ διὰ τὸ ἁρμόττειν, κἂν ἀτρέπτως καὶ βεβαίως παραμένῃ τὸ εὐτυχεῖν, μὴ ἐπιλανθάνεσθαί τινα ἑαυτοῦ. διὰ ταῦτά μοι δοκεῖ τοὺς χρησμοὺς ἑνικῶς ἀποτεινάμενος ὡς πρὸς ἕνα θεσπίζειν ἐθελῆσαι.

44 (11.) Πάντα δ᾽ ὡς εἰκὸς τὰ περὶ τὸν τόπον ἐθαυματουργεῖτο, κτύποις βροντῶν μειζόνων ἢ ὥστε χωρεῖν ἀκοάς, ἀστραπῶν λάμψεσιν αὐγοειδεστάταις, ἀοράτου σάλπιγγος ἠχῇ πρὸς μήκιστον ἀποτεινούσῃ, καθόδῳ νεφέλης, ἣ κίονος τρόπον τὴν μὲν βάσιν ἐπὶ γῆς ἠρήρειστο, τὸ δ᾽ ἄλλο σῶμα πρὸς αἰθέριον ὕψος ἀνέτεινε. πυρὸς οὐρανίου φορᾷ καπνῷ βαθεῖ τὰ ἐν κύκλῳ συσκιάζοντος· ἔδει γὰρ θεοῦ δυνάμεως

1 βασιλέων M: τῶν βασιλέων ceteri (v) τῶν θεῶν G 1. 2 τὸν ταπεινότατον M D^H: τοῦ ταπεινοτάτου ceteri (v) 2 περιιδεῖν M ὑπέμενεν A
οις
4 ψυχὴν F^1 5 τί τὸ προσῆκον H 6 ἀνίσαις H 7 μητέρα M Arm: μορφὴν FGH mg. P^2 (Turn.), γραφὴν AP 8 ἀνθρώπων om. M 9 pr. τῆς om. M post καὶ add. τὸ F (v) alt. τῆς om. M 10 οἰκειοτάτοις L (Turn.) 11 χηρίαν F^1 12 πρεσβυτάταις M μὴ MFG: μηδὲ APH (Turn.) παιδοποιησαμέναις M 14 μένω FH δὲ APG 16 διὰ] πρὸς M post ἀδήλους add. τῶν ἐναντίων H (v) πρὸς] εἰς M πρὸς τἀναντία om. H τὰ ἐναντία A 17 alt. καὶ om. AP 18 παραμένη APFGD^H: μένη MH (v) 19 ἑαυτοῦ codd.: αὑτοῦ v ἀποτεινάμενος M: ἀποτεινόμενος ceteri (v) 23 ἀποτεινούσης F 24 ἠρήρειστο APGH: ἐρήρειστο F, ἐρείριστο M (sic Mang.) [illegible] δὲ FGH 26 σκιάζοντος M

ἀφικνουμένης μηδὲν τῶν τοῦ κόσμου μερῶν ἡσυχάζειν, ἀλλὰ πάντα
p. 188 M. πρὸς ὑπηρεσίαν | συγκεκινῆσθαι. παρειστήκει δὲ ὁ λεὼς ἁγνεύσας 45
ὁμιλιῶν τῶν πρὸς γυναῖκας καὶ πασῶν ἡδονῶν ἔξω τῶν πρὸς τροφὰς
ἀναγκαίων ἀποσχόμενος, λουτροῖς τε καὶ περιρραντηρίοις καθηράμενος
ἐκ τριῶν ἡμερῶν, ἔτι καὶ τὰς ἐσθῆτας ἀποπλυνάμενος, ἐν τοῖς μάλιστα
λευχείμων, ἀκροβατῶν καὶ ἀνωρθιακὼς τὰ ὦτα, Μωυσέως προδηλώ-
σαντος εὐτρεπίζεσθαι πρὸς ἐκκλησίαν· ἔγνω γὰρ αὐτὴν ἐσομένην, ἡνίκα
μόνος ἀνακληθεὶς ἐχρησμῳδεῖτο. φωνὴ δ' ἐκ μέσου τοῦ ῥυέντος ἀπ' 46
οὐρανοῦ πυρὸς ἐξήχει καταπληκτικωτάτη, τῆς φλογὸς εἰς διάλεκτον
ἀρθρουμένης τὴν συνήθη τοῖς ἀκροωμένοις, ᾗ τὰ λεγόμενα οὕτως
ἐναργῶς ἐτρανοῦτο, ὡς ὁρᾶν αὐτὰ μᾶλλον ἢ ἀκούειν δοκεῖν. ἐγγυᾶται 47
δέ μου τὸν λόγον ὁ νόμος, ἐν ᾧ γέγραπται· „πᾶς ὁ λαὸς ἑώρα τὴν
φωνήν" (Exod. 20,18)· ἐμφαντικώτατα· τὴν μὲν γὰρ ἀνθρώπων ἀκου-
στὴν εἶναι συμβέβηκεν, ὁρατὴν δὲ ὡς ἀληθῶς τὴν θεοῦ. διὰ τί; ὅτι
ὅσα ἂν λέγῃ ὁ θεός, οὐ ῥήματά ἐστιν ἀλλ' ἔργα, ἅπερ ὀφθαλμοὶ πρὸ
ὤτων δικάζουσι. παγκάλως μέντοι καὶ θεοπρεπῶς εἴρηται ἐκ τοῦ 48
πυρὸς ἡ φωνὴ προέρχεσθαι· ἠκρίβωται γὰρ καὶ βεβασάνισται τὰ τοῦ
θεοῦ λόγια καθάπερ χρυσὸς πυρί. μηνύει δὲ καὶ διὰ συμβόλου τι τοιοῦτον·
ἐπειδὴ τοῦ πυρὸς τὸ μὲν φωτίζειν τὸ δὲ καίειν πέφυκεν, οἱ μὲν τοῖς 49
χρησμοῖς ἀξιοῦντες εἶναι καταπειθεῖς ὡς ἐν ἀσκίῳ φωτὶ τὸν ἀεὶ χρόνον
βιώσονται τοὺς νόμους αὐτοὺς ἀστέρας ἔχοντες ἐν ψυχῇ φωσφοροῦντας,
ὅσοι δ' ἀφηνιασταί, καιόμενοι καὶ κατακαιόμενοι διατελοῦσιν ὑπὸ τῶν
ἔνδον ἐπιθυμιῶν, αἳ φλογὸς τρόπον πορθήσουσι τὸν σύμπαντα τῶν
ἐχόντων βίον.

---

1 ἡσυχάζειν μερῶν transp. M 3 τὰς τροφὰς H (v) 4 ἀπεχόμενος H (Turn.) 5 ἔτι] ἐπεὶ M τὴν ἐσθῆτα M 6 ἀνωρθωκὼς MF[1], ἀνωρθιωκὼς F[2] μωυσέως M: μωσέως ceteri 8 μόνως Richt. Tauchn. ἀνακλιθεὶς MFH[1] ῥυέντος M Arm: φυέντος ceteri 9 διάλεκτον] διαλεκτικὴν M 10 ἀθρουμένης F ᾗ AF: ἢ ceteri (v), ἣ Arm 11 ἐτρανοῦτο αὐτοῖς Arm αὐτὰ MGP[2] Arm: αὐτὸ P[1]FH (v), αὐτὸ A (ἣν supra) 14 ὁρατὴν δὲ ὡς om. Arm δ' M τὴν θεοῦ MG: τὴν τοῦ θεοῦ APF, τοῦ θεοῦ H (v) 15 ἂν] ἐὰν FGH ῥήματ' FG ἀλλ' ἔργα] ἄνεργα F 16 τῶν ὤτων M (Mang.) δικάζουσι M Arm: διορίζουσι ceteri μέντοι] μὲν H (Turn.) 16. 17 εἴρηται ἐκ τοῦ πυρὸς ἡ φωνὴ M: ἐκ τοῦ πυρὸς ἡ φωνὴ λέγεται ceteri 17 βεβασάνισται] δεδαπάνηται H 17. 18 τοῦ θεοῦ M: τοῦ om. ceteri 18 καὶ om. Arm. τι] ἤ τι F τοιοῦτο FH (v) 19. 20 τοῖς χρησμοῖς om. G 20 αἰεὶ FG 23 τῶν] τὸν A

50 (12.) Ἃ μὲν οὖν ἀναγκαῖον ἦν προδηλῶσαι, ταῦτ᾽ ἐστίν. ἐπ᾽ αὐτὰ δὲ ἤδη τρεπτέον τὰ λόγια καὶ πάντα τὰ ἐν τούτοις ἐρευνητέον διάφορα. δέκα τοίνυν ὄντα διένειμεν εἰς δύο πεντάδας, ἃς δυσὶ στήλαις ἐνεχάραξε, καὶ ἡ μὲν προτέρα πεντὰς τὰ πρωτεῖα ἔλαχεν, ἡ δ᾽ ἑτέρα δευτερείων ἠξιοῦτο· καλαὶ δ᾽ ἀμφότεραι καὶ βιωφελεῖς, εὐρείας ὁδοὺς καὶ λεωφόρους ἑνὶ τέλει περατουμένας ἀναστέλλουσαι πρὸς ἄπταιστον
51 ψυχῆς ἐφιεμένης ἀεὶ τοῦ βελτίστου πορείαν. ἡ μὲν οὖν ἀμείνων πεντὰς τοιάδε ἦν· περὶ μοναρχίας, ᾗ μοναρχεῖται ὁ κόσμος· περὶ ξοάνων καὶ ἀγαλμάτων καὶ συνόλως ἀφιδρυμάτων χειροκμήτων· περὶ τοῦ μὴ λαμβάνειν ἐπὶ ματαίῳ θεοῦ πρόσρησιν· περὶ τοῦ τὴν ἱερὰν | ἑβδόμην p. 189 M.
ἄγειν ἱεροπρεπῶς· περὶ γονέων τιμῆς καὶ ἰδίᾳ ἑκατέρου καὶ ἀμφοτέρων κοινῇ· ὡς εἶναι τῆς μιᾶς γραφῆς τὴν μὲν ἀρχὴν θεὸν καὶ πατέρα καὶ ποιητὴν τοῦ παντός, τὸ δὲ τέλος γονεῖς, οἳ μιμούμενοι τὴν ἐκείνου φύσιν γεννῶσι τοὺς ἐπὶ μέρους. ἡ δ᾽ ἑτέρα πεντὰς τὰς πάσας ἀπαγορεύσεις περιέχει· μοιχείας, φόνου, κλοπῆς, ψευδομαρτυριῶν, ἐπιθυμιῶν.

52 Ἐπισκεπτέον δὲ μετὰ πάσης ἀκριβείας τῶν λογίων ἕκαστον μηδὲν πάρεργον αὐτῶν ποιουμένους. ἀρχὴ δ᾽ ἀρίστη πάντων μὲν τῶν ὄντων θεός, ἀρετῶν δ᾽ εὐσέβεια· περὶ ὧν ἀναγκαιότατον πρῶτον διεξελθεῖν. πλάνος τις οὐ μικρὸς τὸ πλεῖστον τῶν ἀνθρώπων γένος κατέσχηκε περὶ πράγματος, ὅπερ ἢ μόνον ἢ μάλιστα ἦν εἰκὸς ἀπλανέστατον ταῖς
53 ἑκάστων διανοίαις ἐνιδρῦσθαι. ἐκτεθειώκασι γὰρ οἱ μὲν τὰς τέσσαρας

1 ἦν ἀναγκαῖον transp. H (v), ἦν om. M   ταῦτά ἐστιν M   2 δὲ M: δ᾽ ceteri
4 ἐχάραξε H (Turn.)   προτέρα] ἑτέρα M, om. Arm   ἡ δ᾽ ἑτέρα] ἡ δὲ δευτέρα H (v)   5 δευτερείων] τῶν ἡσσόνων H (v)   καλαὶ] καλεῖς M δὲ AP   6 ἑνὶ] ἐν M   ἀνατέλλουσαι H (Turn.), ἀναγγέλλουσαι M Arm
7 ἐφιεμένου M   αἰεὶ GH   9 χειροτμήτων M, χειροδμήτων F
10 ἐπὶ] ἐν AP   θεοῦ πρόσρησιν M Arm: πρόσρησιν θεοῦ ceteri (v)
11 pr. καὶ om. M   ἰδίας M   12 κοινῇ (ῆς) M   τῆς] τῆς μὲν H (Turn.) γραφῆς] πεντάδος coni. Mang.   μὲν om. H (Turn.)   14 πεντὰς τὰς om. M
15 post περιέχει add. τούτων M (Mang.)   μοιχείας M: μοιχειῶν ceteri (Turn.)
18 ποιουμένους corr. ex ποιούμενος H   δ᾽ om. Arm   μὲν om. Turn.
19 δὲ APD^R ὧν] ἧς Arm   20 πλεῖστον] πρῶτον D   21 περὶ — ἐνιδρῦσθαι (22) om. D   ἢ μόνον ἢ] ἡ μόνη M   22 ἐνιδρύεσθαι AP, ἐνιδρύσασθαι M   ἐκτεθείκασι M, ἐκτεθεάκασι D^R, ἐντεθεάκασι D^P τὰς om. D

18. 19 D^R fol. 234r τοῦ αὐτοῦ: ἀρχὴ ἀρίστη πάντων μὲν θεός, ἀρετῶν δὲ εὐσέβεια.
20 — 281.6 D^P fol. 266v D^R fol. 230r Φίλωνος ἐκ τοῦ εἰς τὸν δεκάλογον: πλάνος τις — [illegible]

ἀρχάς, γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ, οἱ δ' ἥλιον καὶ σελήνην καὶ
τοὺς ἄλλους πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, οἱ δὲ μόνον τὸν οὐρανόν,
οἱ δὲ τὸν σύμπαντα κόσμον· τὸν δ' ἀνωτάτω καὶ πρεσβύτατον, τὸν
γεννητήν, τὸν ἄρχοντα τῆς μεγαλοπόλεως, τὸν στρατάρχην τῆς ἀηττήτου
στρατιᾶς, τὸν κυβερνήτην, ὃς οἰκονομεῖ σωτηρίως ἀεὶ τὰ σύμπαντα,
παρεκαλύψαντο ψευδωνύμους προσρήσεις ἐκείνοις ἐπιφημίσαντες ἑτέρας
ἕτεροι. καλοῦσι γὰρ οἱ μὲν τὴν γῆν Κόρην, Δήμητραν, Πλούτωνα, τὴν 54
δὲ θάλατταν Ποσειδῶνα, δαίμονας ἐναλίους ὑπάρχους αὐτῷ προσανα-
πλάττοντες καὶ θεραπείας ὁμίλους μεγάλους ἀρρένων τε καὶ θηλειῶν,
Ἥραν δὲ τὸν ἀέρα καὶ τὸ πῦρ Ἥφαιστον καὶ ἥλιον Ἀπόλλωνα καὶ σελήνην
Ἄρτεμιν καὶ ἑωσφόρον Ἀφροδίτην καὶ στίλβοντα Ἑρμῆν· καὶ τῶν ἄλλων 55
ἀστέρων ἑκάστου τὰς ἐπωνυμίας μυθογράφοι παρέδοσαν, οἳ πρὸς ἀπάτην
ἀκοῆς εὖ τετεχνασμένα πλάσματα συνυφήναντες ἔδοξαν περὶ τὴν τῶν
ὀνομάτων θέσιν κεκομψεῦσθαι· τόν τε οὐρανὸν εἰς ἡμισφαίρια τῷ λόγῳ 56
διχῇ διανείμαντες, τὸ μὲν ὑπὲρ γῆς, τὸ δ' ὑπὸ γῆς, Διοσκόρους ἐκά-
λεσαν τὸ περὶ τῆς ἑτερημέρου ζωῆς αὐτῶν προστερατευσάμενοι διήγημα.
τοῦ γὰρ οὐρανοῦ συνεχῶς καὶ ἀπαύστως ἀεὶ κύκλῳ περιπολοῦντος, 57
ἀνάγκη τῶν ἡμισφαιρίων ἑκάτερον ἀντιμεθίστασθαι παρ' ἡμέραν ἄνω
τε καὶ κάτω γινόμενον ὅσα τῷ δοκεῖν· ἄνω γὰρ καὶ κάτω πρὸς ἀλή-
p. 190 M. θειαν οὐδὲν ἐν σφαίρᾳ, πρὸς δὲ τὴν ἡμετέραν | σχέσιν αὐτὸ μόνον
εἴωθε λέγεσθαι τὸ μὲν ὑπὲρ κεφαλῆς ἄνω, κάτω δὲ τοὐναντίον. τῷ 58
δὴ φιλοσοφεῖν ἀνόθως ἐγνωκότι καὶ ἀδόλου καὶ καθαρᾶς εὐσεβείας

1 γῆν om. D[R]   δὲ D   2 ἄλλους om. D   οἱ δὲ μόνον τὸν οὐρανόν om. Richt.   3 primum τὸν om. M   σύμπαντα τὸν κόσμον D[P]   τὸ δ' M   δὲ D   ἀνώτατον M   3. 4 τὸν γεννητήν] τὸν γενέτην F, τὸν ἀγένητον M (Mang.), καὶ γεννητήν D[P], καὶ ἀγέννητον D[R]   4 μεγαλοπόλεως MD Arm: μεγάλης πόλεως ceteri (Turn.)   στρατάρχην M: στρατιάρχην ceteri (Turn.)   ἀηττήτου] ἀνωτάτω D   5 οἰακονομεῖ coni. Mang.   σωτηριωδῶς D   αἰεὶ FGH   7 οἱ μὲν post τὴν γῆν transp. H, om. L (Turn.)   δήμητραν codd.: Δήμητρα v   8 θάλασσαν APH   9 post θεραπείας add. αὐτοῦ Arm   μεγάλων F   12 τὰς ἐπωνυμίας ἑκάστου transp. M   μυθογράφοι Christophorson (Mang.): μυθογράφους M, μυθογράφοις ceteri, τοῖς μυθογράφοις Arm   13 τετεχνιτευμένα M (Mang.)   συνυφάναντες FG, συνυφαίνοντες H (Turn.)   14 τόν τε] τὸν ὄντα τὲ A   ἡμισφαίρια MG Arm: ἡμισφαίριον ceteri (v)   τῷ λόγῳ om. M Arm (fort. recte)   15 διχῇ] δύο Arm   δὲ M   ὑπὸ γῆν AP   διοσκούρους A   15. 16 ἐκάλεσαν τὸ codd.: ἐκαλέσαντο Turn.   16 ἑτερημερίας (om. ζωῆς) AP, ζωῆς ss. P[2]   19 γινόμενον — κάτω om. M   γινόμενον APF: γινομένων GH (v); κινούμενον coni. Mang.   alt. καὶ] ἢ Arm   20 σφαίρα M Arm: σφαίραις ceteri (v)   21 τῷ] τὸ M   22 ἀνοθεύτως M

μεταποιουμένῳ κάλλιστον καὶ ὁσιώτατον ὑφηγεῖται παράγγελμα. μηδὲν τῶν
τοῦ κόσμου μερῶν αὐτοκρατῆ θεὸν ὑπολαμβάνειν εἶναι· καὶ γὰρ γέγονε,
γένεσις δὲ φθορᾶς ἀρχή, κἂν προνοίᾳ τοῦ πεποιηκότος ἀθανατίζηται,
καὶ ἦν ποτε χρόνος, ὅτε οὐκ ἦν· θεὸν δὲ πρότερον οὐκ ὄντα καὶ ἀπό
59 τινος χρόνου γενόμενον καὶ μὴ διαιωνίζοντα λέγειν οὐ θεμιτόν. (13.) ἀλλὰ
γὰρ ἔνιοι περὶ τὰς κρίσεις ἀπονοίᾳ τοσαύτῃ κέχρηνται, ὡς οὐ μόνον τὰ
εἰρημένα θεοὺς νομίζειν, ἀλλὰ καὶ ἕκαστον αὐτῶν μέγιστον καὶ πρῶτον
θεόν, τὸν ὄντα ὄντως ἢ οὐκ εἰδότες ἀδιδάκτῳ τῇ φύσει ἢ οὐ σπουδά-
ζοντες μαθεῖν, ἕνεκα τοῦ μηδὲν ἔξω τῶν αἰσθητῶν ἀόρατον καὶ νοητὸν
αἴτιον ὑπολαμβάνειν εἶναι, καίτοι σαφεστάτης ἐγγὺς παρακειμένης
60 πίστεως. ψυχῇ γὰρ ζῶντες καὶ βουλευόμενοι καὶ πάνθ' ὅσα κατὰ τὸν
2 πλείστου] μεγίστου R ἀνθρώπων RMF: τῶν ἀνθρώπων AH (v) οὐκ— γνώμαις om. in textu R, add. mg R, om. F ἑκουσίαις M 3 μή ποτε] μήτε M τῆς τ' Turn. ἀδεκάστου] ἀλήκτου AH 4 παρασυρῶσιν RM: περισυρῶσιν AH, ὑποσυρῶσιν F 5 ὁσιότητος RMF: ὁσιότητα AH (Mang.) 6 ἐπιλεανθέντας RFAH: ἐπιλαθέντας M; ἐπιλειανθέντας v καὶ συνεχῶς] συνεχῶς τ' AH (Turn.) ποτὲ] τοτὲ MF 7 καὶ ante κτίστης om. F ποτὲ] τοτὲ MF, το (sic) R 8 δ' MF ἐπειδὴ] ἐπεὶ δεῖ F alt. τὸ om. AH (Turn.) 9 μόνον πέφυκεν R: μόνον πεφυκέναι F, μόνον εἶναι πέφυκε M, εἶναι πέφυκε μόνον AH (v) λέλεκται] λέγεται AH 10 ἆρ' οὐχ RF: ἀλλ' οὐχ M, καὶ AH τρισμακάριστος M 11 τῆς θεραπείας om. M 11.12 πρεσβυτάτου RMF: πρεσβυτέρου AH (v) 12.13 τοῦ βασιλέως RMF: τῆς βασιλείας AH (Turn.) 13 ἀθάνατος RM: ἀθάνατος δὲ F (v), ἀθάνατος οὖν AH ἥδε ἡ ζωὴ RM: ἡ om. AH, ἥδε ἡ om. FL (Turn.) μακραίων] μακρὸς αἰὼν FL (Turn.) ἐν om. F 14 δὲ RMF: τε AH (v) 14.15 συνδιαιωνίζειν τῷ κόσμῳ transp. AH (v) 15 tit. πόθεν τοῦ εἶναι θεὸν λαμβάνομεν ἔννοιαν add. M (Mang.) 16 ἀόρατος ante δυστόπαστος add. M οὖν om. M post δυσκατάληπτος add. ἐστὶν M (Mang.), sed repetit post συμπάντων 17 ἐστίν codd.: hoc loco om. Mang. τοῦτο AH 18 ἀνωτέρω AH ταῦτ' RM: ταῦτα AH, ταῦτά τε F ἐπαπορεῖν διανοία F 20 ἕτερον—ἰδεῖν (21) om. M 21 πρότερον—τὸ δὲ om. AH 22 ἑκάτερον RMF: ἑκάτερα AH (v)

ἀεὶ τοίνυν γνωρίσματα τῶν δημιουργῶν πέφυκέ πως εἶναι τὰ δημιουργη-
θέντα· τίς γὰρ ἀνδριάντας ἢ γραφὰς θεασάμενος οὐκ εὐθὺς ἐνενόησεν
ἀνδριαντοποιὸν ἢ ζωγράφον; τίς δὲ ἐσθῆτας ἢ ναῦς ἢ οἰκίας ἰδὼν οὐκ
ἔννοιαν ἔλαβεν ὑφάντου καὶ ναυπηγοῦ καὶ οἰκοδόμου; παρελθὼν δέ τις
εἰς πόλιν εὔνομον, ἐν ᾗ τὰ τῆς πολιτείας σφόδρα καλῶς διακεκόσμηται,
τί ἕτερον ὑπολήψεται ἢ ὅτι ἐπιστατεῖται ἥδε ἡ πόλις ὑπ᾽ ἀρχόντων
p. 217 M. | ἀγαθῶν; τὸν οὖν ἀφικόμενον εἰς τὴν ὡς ἀληθῶς μεγαλόπολιν, τόνδε 34
τὸν κόσμον, καὶ θεασάμενον τὴν ὀρεινὴν καὶ πεδιάδα βρίθουσαν ζῴων
καὶ φυτῶν καὶ ποταμῶν αὐθιγενῶν καὶ χειμάρρων φορὰς καὶ πελαγῶν
ἀναχύσεις καὶ εὐκρασίας ἀέρος καὶ τῶν ἐτησίων ὡρῶν τροπάς, εἶτα
ἥλιον καὶ σελήνην, τοὺς ἡμέρας καὶ νυκτὸς ἡγεμόνας, καὶ τὰς τῶν ἄλλων
πλανήτων τε καὶ ἀπλανῶν καὶ τοῦ σύμπαντος οὐρανοῦ περιπολήσεις καὶ
χορείας, οὐκ εἰκότως, μᾶλλον δὲ ἀναγκαίως, ἔννοιαν λήψεσθαι δεῖ τοῦ
ποιητοῦ καὶ πατρὸς καὶ προσέτι ἡγεμόνος; οὐδὲν γὰρ τῶν τεχνικῶν 35
ἔργων ἀπαυτοματίζεται· τεχνικώτατον δὲ καὶ ἐπιστημονικώτατον ὅδε ὁ
κόσμος, ὡς ὑπό τινος τὴν ἐπιστήμην ἀγαθοῦ καὶ τελειοτάτου πάντως
δεδημιουργῆσθαι. τοῦτον τὸν τρόπον ἔννοιαν ἐλάβομεν ὑπάρξεως θεοῦ.

(5.) Τὴν δ᾽ οὐσίαν, εἰ καὶ δυσθήρατον καὶ δυσκατάληπτον εἶναι 36
συμβέβηκεν, ὅμως καθ᾽ ὅσον ἐνδέχεται διερευνητέον. ἄμεινον γὰρ
οὐδὲν τοῦ ζητεῖν τὸν ἀληθῆ θεόν, κἂν ἡ εὕρεσις αὐτοῦ διαφεύγῃ δύναμιν
ἀνθρωπίνην, ἐπειδὴ καὶ ἡ περὶ τὸ βούλεσθαι μαθεῖν σπουδὴ καθ᾽ αὑτὴν
ἀλέκτους ἡδονὰς καὶ εὐφροσύνας ἐργάζεται. μάρτυρες δὲ οἱ μὴ χείλεσιν 37

---

1 τοίνυν om. AH (Turn.) γνώρισμα F 2 ἀνδριάντα F ἐνενόησεν RMF: ἐνόησεν AH (v) 3 pr. ἢ] καὶ F δ᾽ FAH αἰσθῆτας A ναῦν M οἰκίαν MF 5 τῆς om. AH κεκόσμηται AH (Turn.) 6 ἐπιστατεῖται] κρατεῖται AH (Turn.) 7 ὡς ἀγαθῶν Mang. (non M) εἰς τὴν ὡς ἀληθῶς (R?)M: εἰς τὴν ἀληθῶς F (Mang.), ἀληθῶς εἰς τὴν AH (Turn.) τόνδε] τόν τε M 8 τὴν] γῆν MFL² (Turn.) βρίθουσαν R: πλήθουσαν AH (v), πληθύουσαν MF 9 φορὰς] τροφὰς AH (Turn.) 10 εὐκρασίας R: εὐκρασίαν ceteri (v) καὶ ante τῶν om. AH (Turn.) εἶθ᾽ MF 12 πλανητῶν M τε om. MF 13 δ᾽ MF λήψεσθαι δεῖ] λήψεσθαι δὴ H, λήψεται MF 14 ποιητοῦ καὶ πατρὸς RMF: πατρὸς καὶ ποιητοῦ AH (v) 15 ἀπαυτομίζεται AH τεχνικώτατος AH (v) δὲ om. F¹ καὶ ἐπιστημονικώτατον RM: om. ceteri (v) ὅδε R: om. ceteri (v) 16 ὑπό] ἀπὸ M τὴν ἐπιστήμην post πάντως transp. M 17 δεδημιουργεῖσθαι M 18 tit. περὶ οὐσίας θεοῦ add. mg M δ᾽ om. Turn. 19 συμβεβηκέναι R καθόσον AH, καὶ ὅσον M 19. 20 ἄμεινον γὰρ οὐδὲν RMF: οὐδὲν γὰρ ἄμεινον AH (v) 20 τοῦ om. M ἡ om. AH διαφεύγῃ RMF: διεκφεύγῃ H, διεκφεύγει A; διαφύγῃ v 20. 21 δύναμιν ἀνθρωπίνην RMF: τὴν ἀνθρωπίνην δύναμιν AH (v) 21 περὶ τὸ RF: περὶ τοῦ ceteri (v) 21. 22 καθ᾽ αὑτὴν (ἑαυτὴν FA) ἀλέκτους ἡδονὰς RMFA: ἀλέκτους ἡδονὰς καθ᾽ ἑαυτὴν H (Turn.) 22 δὲ R: δ᾽ ceteri

ἄκροις γευσάμενοι φιλοσοφίας, ἀλλὰ τῶν λόγων καὶ δογμάτων αὐτῆς
ἐπὶ πλέον ἑστιαθέντες· τούτων γὰρ ὁ λογισμὸς ἀπὸ γῆς ἄνω μετέωρος
ἀρθεὶς αἰθεροβατεῖ καὶ συμπεριπολῶν ἡλίῳ καὶ σελήνῃ καὶ τῷ σύμπαντι
οὐρανῷ, τἀκεῖ πάντα γλιχόμενος ἰδεῖν, ἀμυδροτέραις χρῆται ταῖς προσ-
βολαῖς, ἀκράτου καὶ πολλοῦ φέγγους ἐκχεομένου, ὡς τὸ τῆς ψυχῆς ὄμμα
38 ταῖς μαρμαρυγαῖς σκοτοδινιᾶν. ἀλλ' οὐ διὰ τοῦτο προκαμὼν ἀπαγορεύει,
γνώμῃ δ' ἀηττήτῳ πρὸς τὴν ἐνδεχομένην θέαν ἵεται, καθάπερ ἐν ἄθλοις
δευτερείων μεταποιούμενος, ἐπειδὴ τῶν πρώτων ἐσφάλη. φαντασίας δ'
ἀληθοῦς δεύτερά ἐστιν εἰκασία καὶ στοχασμὸς καὶ ὅσα εἰς τὴν τῶν
39 εὐλόγων καὶ πιθανῶν ἰδέαν ἀνάγεται. καθάπερ οὖν οἷός ἐστι τῶν
ἀστέρων ἕκαστος κατὰ τὴν οὐσίαν εἰλικρινῶς οὔτ' εἰδότες οὔτε δυνάμενοι
σαφῶς διαγνῶναι ζητεῖν ὅμως προθυμούμεθα, τερπόμενοι τοῖς εἰκόσι
40 λόγοις ἕνεκα τοῦ φύσει φιλομαθοῦς, τὸν αὐτὸν τρόπον, εἰ καὶ τῆς κατὰ
τὸν ὄντως ὄντα θεὸν ἐναργοῦς φαντασίας ἀμοιροῦμεν, ὀφείλομεν μὴ
ἀπολείπεσθαι τῆς ζητήσεως αὐτοῦ, διὰ τὸ τὴν σκέψιν καὶ ἄνευ τῆς
εὑρέσεως καθ' αὑτὴν τριπόθητον εἶναι, ἐπεὶ καὶ τοὺς τοῦ | σώματος p. 218 M.
ὀφθαλμοὺς οὐδεὶς αἰτιᾶται, παρόσον ἥλιον αὐτὸν ἰδεῖν ἀδυνατοῦντες τὴν
φερομένην ἀπόρροιαν τῶν ἀκτίνων ἐπὶ γῆν ὁρῶσιν, ἡλιακῶν αὐγῶν ἔσχατον
41 φέγγος. (6.) εἰς ἅπερ ἀπιδὼν ὁ ἱεροφάντης καὶ θεοφιλέστατος Μωυσῆς
ἱκετεύει τὸν θεὸν λέγων· „ἐμφάνισόν μοι σαυτόν" (Exod. 33,13), μόνον
οὐ κατασχεθεὶς καὶ ἐκβοῶν ἄντικρυς, ὅτι „τοῦ μὲν εἶναί σε καὶ ὑπάρχειν
διδάσκαλος καὶ ὑφηγητής μοι γέγονεν ὅδε ὁ κόσμος, καὶ ὡς υἱὸς
ἀναδιδάξας με περὶ τοῦ πατρὸς καὶ ὡς ἔργον περὶ τοῦ τεχνίτου·

---

1 τῶν δογμάτων M 2 γῆς RMF: τῆς γνώσεως AH, τῆς γῆς L² (v) 4 χρήσεται AH (Turn.) 4. 5 ταῖς περιβολαῖς M 6 ταῖς μαρμαρυγαῖς σκοτοδινιᾶν RF: σκοτοδινιᾶν ταῖς μαρμαρυγαῖς AH (v), ταῖς μαρμαρυγαῖς om. M πρ(σ)οκαμὼν M 7 δὲ AH εἰς δεχομένην M θέαν om. M ἵεται MF 8 πρώτων] πρωτείων coni. Mang. 9 ἀληθοῦς] ἐναργοῦς coni. Mang. δευτέρα AH (v), δευτερεῖα F ὅσον AH (Turn.) 10. 11 οἷός—ἕκαστος] οἵα ἑκάστη τῶν ἀρετῶν ἐστι AH 11 οὔτ'] οὐκ M 11. 12 σαφῶς δυνάμενοι transp. AH (v) 12 δ' ante ὅμως add. A τερπόμενοι om. AH 13 φιλομαθοῦς φύσει transp. F εἰ codd.: om. v 14 ὄντα ὄντως F ἀμοιροῦμεν codd.: ἀμοιροῦντες v 15 τὸ om. M τῆς εὑρέσεως—ἐπεὶ καὶ (16) om. M 16 τοὺς M: om. ceteri (Turn.) 17 ὀφθαλμὸν A αἰτιᾶται] ἰᾶται L (Turn.) ἀδυνατοῦντες ἰδεῖν transp. M 18 ἀπορροὴν MF 19 μωσῆς AH 20 σεαυτὸν F 20. 21 μονονοὺ RMH: μονονουχὶ FA (Turn.) 21 κατασχεθεὶς καὶ ἐκβοῶν RMF: καταχθεὶς καὶ βοῶν AH (v) 22 γέγονέ μοι transp. M ὅδε R: om. ceteri (v) καὶ om. R (ut vid.) 23 διδάξας M

τίς δὲ κατὰ τὴν οὐσίαν τυγχάνεις ὢν διαγνῶναι ποθῶν οὐδένα τούτου τοῦ
μαθήματος ὑφηγητὴν ἐν οὐδενὶ τῶν τοῦ παντὸς μερῶν ἀνευρίσκω. διὸ 42
δὴ δέομαι καὶ ποτνιῶμαι προσέσθαι τὴν ἱκεσίαν ἀνδρὸς ἱκέτου καὶ φιλο-
θέου καὶ μόνον σὲ θεραπεύειν ἀξιοῦντος· ὡς γὰρ τὸ φῶς ὑφ᾽ ἑτέρου
μὴ γνωριζόμενον αὐτὸ ἑαυτοῦ γνώρισμά ἐστιν, οὕτως καὶ σὺ σεαυτὸν
μόνος ἂν φῆναι δύναιο. διὸ συγγνώμης ἀξιῶ τυχεῖν, εἰ σπάνει τοῦ
διδάξοντος ἐπὶ σὲ καταφυγεῖν ἐθάρρησα περὶ σοῦ σπεύδων μαθεῖν". ὁ 43
δὲ „τὴν μὲν προθυμίαν" φησίν „ἐπαινετὴν οὖσαν ἀποδέχομαι, τὸ δ᾽
αἴτημα οὐδενὶ τῶν εἰς γένεσιν ἡκόντων ἐφαρμόζει. χαρίζομαι δ᾽ ἐγὼ
τὰ οἰκεῖα τῷ ληψομένῳ· οὐ γὰρ ὅσα μοι δοῦναι ῥᾴδιον καὶ ἀνθρώπῳ
λαβεῖν δυνατόν· ὅθεν ὀρέγω τῷ χάριτος ἀξίῳ πάσας ὅσας ἂν οἷός τε
ᾖ δέξασθαι δωρεάς. τὴν δ᾽ ἐμὴν κατάληψιν οὐχ οἷον ἀνθρώπου φύσις 44
ἀλλ᾽ οὐδ᾽ ὁ σύμπας οὐρανός τε καὶ κόσμος δυνήσεται χωρῆσαι. γνῶθι δὴ
σαυτὸν καὶ μὴ συνεκφέρου ταῖς ὑπὲρ δύναμιν ὁρμαῖς καὶ ἐπιθυμίαις, μηδέ
σε τῶν ἀνεφίκτων ἔρως αἱρέτω καὶ μετεωριζέτω· τῶν γὰρ ἐφικτῶν
οὐδενὸς ἀμοιρήσεις". ταῦτα ἀκούσας ἐπὶ δευτέραν ἱκεσίαν ἦλθε καί 45
φησι· „πέπεισμαι μὲν ταῖς σαῖς ὑφηγήσεσιν, ὅτι οὐκ ἂν ἴσχυσα δέξασθαι
τὸ τῆς σῆς φαντασίας ἐναργὲς εἶδος. ἱκετεύω δὲ τὴν γοῦν περὶ σὲ
δόξαν θεάσασθαι (Exod. 33,18)· δόξαν δὲ σὴν εἶναι νομίζω τὰς περὶ σὲ
δορυφορούσας δυνάμεις, ὧν διαφεύγουσα ἡ κατάληψις ἄχρι τοῦ παρόντος
οὐ μικρὸν ἐνεργάζεταί μοι πόθον τῆς διαγνώσεως". ὁ δὲ ἀμείβεται 46
καί φησιν· „ἃς ἐπιζητεῖς δυνάμεις εἰσὶν ἀόρατοι καὶ νοηταὶ πάντως ἐμοῦ
τοῦ ἀοράτου καὶ νοητοῦ· λέγω δὲ νοητὰς οὐχὶ τὰς ἤδη ὑπὸ νοῦ κατα-

1 ποθῶ M 1. 2 τοῦ μαθήματος τούτου transp. AH 2 μέρους FN εὑρίσκω M 3 δὴ R: om. ceteri (v) προσέσθαι] προσήσεσθαι AH ἱκέτου] οἰκέτου AN 4 σὲ om. L (Turn.) 5 ἑαυτῷ AH (Turn.) ἐστιν om. FN οὕτω AH (v) σαυτὸν M 6 φῆναι ἂν transp. M 7 διδάξαντος FN (Mang.) καταφεύγειν FN ἐθάρρησα RFN: ἐθάρσησα M, θαρρῶ AH (Turn.) περὶ] παρὰ AH (Turn.) σπεύδω M 8 φησί ante τὴν transp. FN ἐπαινετὴν οὖσαν om. N δὲ FN 9 δ᾽ ἐγὼ] δὲ (om. ἐγὼ) AH (Turn.) 11 post ὅσας add. τε FN 12 οἷόν τ᾽ N φύσιν N 13 οὐδ᾽ ὁ] οὐδὲ F (σύμπας) κόσμος οὐρανός τε καὶ γῆ M δύναται M (Mang.) 14 συνεκφέρου] συμπεριφέρου AH (Turn.) 15 αἱρέτω] αἱρείτω M 16 ταῦτα R: ταῦτ᾽ ceteri 17 σαῖς om. Richt. ἴσχυσας N 18 δὲ RMFN: δ᾽ ἐγὼ AH (v) 19 περὶ om. Turn. 20 δορυφορούσας RAH: δορυφόρους MFN 21 ἐργάζεται AH (Turn.) μοι om. AH (Turn.) δ᾽ FN 22 νοηταὶ] δύνανται M 23 νοητοῦ καὶ ἀοράτου transp. F τὰς] καὶ Richt. νοῦ RMFN: τοῦ νοῦ AH (v)

1—12,19 N fol. 155r: τίς δὲ—γνωρίμους.

λαμβανομένας, ἀλλ' ὅτι εἰ καταλαμβάνεσθαι οἷαί τε εἶεν, οὐκ ἂν αἴσθησις
47 αὐτὰς ἀλλ' ἀκραιφνέστατος νοῦς καταλαμβάνοι. πεφυκυῖαι δ' ἀκατάληπτοι κατὰ τὴν οὐσίαν ὅμως παραφαίνουσιν ἐκμαγεῖόν τι καὶ ἀπεικόνισμα τῆς ἑαυτῶν ἐνεργείας· οἷαι αἱ παρ' ὑμῖν σφραγῖδες — ὅταν ⟨γὰρ⟩ προσενεχθῇ κηρὸς ἤ τις ὁμοιότροπος ὕλη, μυρίους ὅσους τύπους εναπομάττονται, μηδὲν ἀκρωτηριασθεῖσαι μέρος, | ἀλλ' ἐν ὁμοίῳ μένουσαι —, τοιαύτας ὑπο- p. 219 M.
ληπτέον καὶ τὰς περὶ ἐμὲ δυνάμεις περιποιούσας ἀποίοις ποιότητας καὶ μορφὰς ἀμόρφοις καὶ μηδὲν τῆς ἀιδίου φύσεως μήτ' ἀλλαττομένας μήτε
48 μειουμένας. ὀνομάζουσι δ' αὐτὰς οὐκ ἀπὸ σκοποῦ τινες τῶν παρ' ὑμῖν ἰδέας, ἐπειδὴ ἕκαστα τῶν ὄντων εἰδοποιοῦσι τὰ ἄτακτα τάττουσαι καὶ τὰ ἄπειρα καὶ ἀόριστα καὶ ἀσχημάτιστα περατοῦσαι καὶ περιορίζουσαι καὶ σχηματίζουσαι καὶ συνόλως τὸ χεῖρον εἰς τὸ ἄμεινον μεθαρμοζόμεναι.
49 μήτ' οὖν ἐμὲ μήτε τινὰ τῶν ἐμῶν δυνάμεων κατὰ τὴν οὐσίαν ἐλπίσῃς ποτὲ δυνήσεσθαι καταλαβεῖν. τῶν δ' ἐφικτῶν, ὡς εἶπον, ἑτοίμως καὶ προθύμως μεταδίδωμι· ταῦτα δ' ἐστὶν ἐπὶ τὴν τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ καλέσαι θέαν, ἣν οὐ σώματος ὀφθαλμοῖς ἀλλὰ τοῖς διανοίας ἀκοι-
50 μήτοις ὄμμασι συμβαίνει καταλαμβάνεσθαι. μόνον ὁ σοφίας ἵμερος συνεχὴς ἔστω καὶ πυκνός, ὃ δογμάτων ἀοιδίμων καὶ περικαλλεστάτων ἀναπίμπλησι τοὺς φοιτητὰς καὶ γνωρίμους αὐτῆς". ταῦτα ἀκούσας οὐκ ἐπαύσατο τῆς ἐπιθυμίας, ἀλλ' ἔτι τὸν ἐπὶ τοῖς ἀοράτοις πόθον ἐζωπύρει.

51 (7.) Καὶ πάντας τοὺς ὁμοιοτρόπους εἴτ' οὖν φύντας ἐξ ἀρχῆς εἴτε καὶ ἐκ τοῦ μεταβάλλεσθαι πρὸς τὴν ἀμείνω τάξιν κρείττους γεγονότας ἀποδέχεται, τοὺς μὲν ὅτι τὴν εὐγένειαν οὐ κατέλυσαν, τοὺς δ' ὅτι πρὸς

1 ὅτι—ἀλλ' (2) om. AH   post εἰ add. καὶ FN (v)   οἷαί] οἷόν M τ' F   2 ante ἀκραιφνέστατος add. ὡς ὁ AH   καταλαμβάνοι MFN: καταλαμβάνειν RAH (Turn.); καταλάβοι Mang.   πεφυκυῖαι δ' RMFN: πέφυκεν· αἱ δ' AH (Turn.)   3 περιφαίνουσιν AH (v)   4 ἑαυτῶν RM: αὐτῶν ceteri   οἷαι] ὥσπερ FN; οἷα conieceram, οἷον coni. Wendl.   αἱ om. Turn.   ἡμῖν AHN   γὰρ addidi   7 pr. καὶ om. N   ἀποίους M   8 ἀμόρφους M   μήτ' ἀλλαττομένας scripsi (sic fortasse R): μεταλλαττομένας M (Mang.), ἀλλαττομένας F, μήτ' ἐλαττουμένας N, μήτ' ἐλαττούσας AH (Turn.)   8. 9 μήτε μειουμένας om. F   9 δὲ N, δ' om. M   τινες] τινὸς M   ἡμῖν A   10 ἐπεὶ δὲ N   ἕκαστον AH (v)   εἰδοποιοῦσι RAH: ἰδιοποιοῦσι MFNL²   11 ἀόριστα] ἀόρατα AH   12 καὶ σχηματίζουσαι om. AH   καθαρμοζόμενοι F¹ (ut vid.) L² (Turn.)   13 δυνάμεων om. M   14 τῶν δ' ἐφικτῶν RAH: ὧν δ' ἐφικτόν MFN   εἶπον] ἔφην M   15 ταῦτα] τοῦτο coni. Mang.   δέ ἐστιν AH   τὴν] τῶν M
τοῖς
15. 16 τῶν ἐν αὐτῷ] τὴν ἐμαυτοῦ M   16 τοῖς RFN: τῆς M, τῆς AH   17 μόνον codd.: μόνος v   ἵμερος] ἔρως AH   19 αὐτῆς om. N   ταῦτα R ταῦτ' ceteri   20 ἐζωπύρει] multa hic deesse falso suspicatus est Mang.   21 εἴτ'] εἶτ' FH   21. 22 εἴτε καὶ] εἴτ' M   23 ἀποδέχεσθαι M

εὐσέβειαν ἠξίωσαν μεθορμίσασθαι — τούτους δὲ καλεῖ προσηλύτους ἀπὸ
τοῦ προσεληλυθέναι καινῇ καὶ φιλοθέῳ πολιτείᾳ —, οἳ μυθικῶν μὲν ἀλο-
γοῦσι πλασμάτων. περιέχονται δὲ ἀκραιφνοῦς ἀληθείας. ἰσοτιμίαν γοῦν 52
ἅπασιν ἐπηλύταις διδοὺς καὶ χαρισάμενος ὅσα καὶ τοῖς αὐτόχθοσι παραινεῖ
τοῖς εὐπατρίδαις, μὴ μόνον αὐτοὺς τιμαῖς γεραίρειν ἀλλὰ καὶ ἐξαιρέτῳ φιλίᾳ
καὶ εὐνοίᾳ περιττῇ. καὶ μήποτ᾽ εἰκότως· „ἀπολελοιπότες“ φησί „πατρίδα
καὶ φίλους καὶ συγγενεῖς δι᾽ ἀρετὴν καὶ ὁσιότητα μὴ ἀμοιρείτωσαν ἑτέρων
πόλεων καὶ οἰκείων καὶ φίλων, ἀλλ᾽ ἔστωσαν ἔφεδροι καταφυγαὶ τοῖς πρὸς
εὐσέβειαν αὐτομολοῦσι· φίλτρον γὰρ ἀνυσιμώτατον καὶ δεσμὸς ἄλυτος
εὐνοίας ἑνωτικῆς ἡ τοῦ ἑνὸς θεοῦ τιμή“. προστάττει δὲ μή, παρόσον 53
αὐτοῖς ἰσονομίαν καὶ ἰσοτέλειαν [ἐπηλύταις] παρέχει κατεγνωκόσι τοῦ
πατρῴου καὶ προγονικοῦ τύφου, στομαργίᾳ χρήσασθαι καὶ ἀχαλίνῳ
γλώσσῃ βλασφημοῦντας οὓς ἕτεροι νομίζουσι θεούς, ἵνα μὴ κἀκεῖνοι δια-
κινηθέντες ἃ μὴ θέμις φθέγξωνται κατὰ τοῦ ὄντως ὄντος· ἀγνοίᾳ γὰρ
p. 220 M. τῆς | διαφορᾶς, ἅτε τὸ ψεῦδος ὡς ἀληθὲς προμαθόντες ἐκ παίδων καὶ
σύντροφον ἔχοντες, ἐξαμαρτήσονται.

Τῶν δ᾽ ἀπὸ τοῦ ἔθνους εἴ τινες καθυφίενται τὴν τοῦ ἑνὸς τιμήν, 54
ὡς λιπόντες τὴν ἀναγκαιοτάτην τάξιν εὐσεβείας καὶ ὁσιότητος ταῖς ἀνω-
τάτω τιμωρίαις ὀφείλουσι κολάζεσθαι, σκότος αἱρούμενοι πρὸ αὐγοειδε-
στάτου φωτὸς καὶ τυφλὴν ἀπεργαζόμενοι διάνοιαν ὀξὺ καθορᾶν δυναμένην.
καὶ ἐπιτετράφθαι δὲ καλὸν ἅπασι τοῖς ζῆλον ἔχουσιν ἀρετῆς ἐκ χειρὸς 55
ἀναπράττειν ἀνυπερθέτως τὰς τιμωρίας, μήτ᾽ εἰς δικαστήριον μήτ᾽ εἰς

1 εὐσέβειαν RMAH: εὐγένειαν FL^2 (v) μεθορμίσασθαι scripsi: μεθαρμόσασθαι codd. (v) δ᾽ ἐκάλει MF 2 οἳ RAH: om. MF 2. 3 ἀλογοῦσι RAH: ἀλογούσῃ F, ἃ λόγους ἢ (sic) M 3 περιέχονται RAH: περιεχομένη MF δὲ R: δ᾽ ceteri ἀληθείας] πολιτείας L^2 (Turn.) ἰσοτιμίας H 4 ἐπηλύτοις AH διδοὺς RM: δοὺς F, μεταδοὺς AH (v) 6 πατρίδας M 8 οἰκείων Mang.: οἰκιῶν codd. ἔφεδροι] φαιδροὶ F 9 ἀνησυμώτατον H 10 ἑνωτικῆς RMF (coni. Mang.: ἐρωτικῆς AH (v) 11 αὐτοῖς RF: om. MAH ἐπηλύταις RMF (seclusi): ἐπήλυσι AH 11. 12 τοῦ πατρώου κατεγνωκότας (sic) AH 12 pr. καὶ om. AH χρῆσθαι M ἀχαλινώτῳ M 13 γλώττῃ F βλασφημοῦντα F ἵνα] εἶναι AH (Turn.) 13. 14 διακινηθέντες] διανοηθέντες AH 14 φθέγξονται M 16 σύντροφον RMF: ξύντροφον AH (v) ἐξαμαρτήσωνται M 17 tit. περὶ τῶν ἀπὸ τοῦ ἔθνους θεοῦ ἀποστατούντων add. mg M εἴ τινες RM: οἵτινες F, εἰσί τινες οἳ AH (v) καθυφίενται RMF: καθυφιέντες AH (v) 18 ὡς λιπόντες (R)MAH: ὡς λείποντες F; ἐκλιπόντες Mang. 21 δὲ om. F 22 ἀνυπερθέτως om. H

1 Lev. 19, 33. 34. Deut. 10,18. 19 13 Exod. 22,28. cf. etiam vol. IV 248,2 et Iosephi locos ibi laudatos. 17 Deut. 13,12 sqq.

βουλευτήριον μήτε συνόλως ἐπ᾽ ἀρχὴν ἄγοντας, ἀλλὰ τῷ παραστάντι μισο-
πονήρῳ πάθει καὶ φιλοθέῳ καταχρῆσθαι πρὸς τὰς τῶν ἀσεβῶν ἀπαραιτή-
τους κολάσεις, νομίσαντας αὐτοὺς ὑπὸ τοῦ καιροῦ τὰ πάντα γεγενῆσθαι,
βουλευτάς, δικαστάς. στρατηγούς. ἐκκλησιαστάς, κατηγόρους, μάρτυρας,
νόμους, δῆμον, ἵνα μηδενὸς ὄντος ἐμποδὼν ἄφοβοι σὺν ἀδείᾳ πολλῇ προα-
56 γωνίζωνται ὁσιότητος. (8.) ἀναγέγραπταί τις ἐν τοῖς νόμοις τὸ καλὸν τοῦτο
τόλμημα τολμήσας. ἐπειδὴ γὰρ ἐθεάσατό τινας ἀλλοφύλοις συνόντας γυναιξὶ
καὶ ἕνεκα τῶν πρὸς αὐτὰς φίλτρων ἀλογοῦντας μὲν τῶν πατρίων, τελουμέ-
νους δὲ τὰς μυθικὰς τελετάς, ἕνα τὸν ἔξαρχον καὶ ἡγεμόνα τῆς παρανομίας
καταθαρροῦντα ἤδη παρεπιδείκνυσθαι δημοσίᾳ τὸ ἀνοσιούργημα καὶ θυσίας
ἀγάλμασι καὶ ξοάνοις ἀθύτους φανερῶς ἐπιτελοῦντα παρόντος ἅπαντος
τοῦ πλήθους ἐνθουσιῶν, ἀνείρξας τοὺς παρ᾽ ἑκάτερα ἐπὶ τὴν θέαν ἠθροισ-
μένους, οὐδὲν εὐλαβηθεὶς ἀναιρεῖ σὺν τῇ γυναικί, τὸν μὲν ἕνεκα τῆς
εὐμαθείας ⟨τῶν⟩ ἃ λυσιτελὲς ἀπομανθάνειν, τὴν δ᾽ ὅτι διδάσκαλος κακῶν
57 ἐγένετο. τουτὶ τὸ ἔργον ἐξαίφνης δρασθὲν ἐν θερμῷ παραστήματι μυρίους
ἐνουθέτησε τῶν ἐπὶ ταῦτα παρασκευαζομένων. ἐπαινέσας οὖν ὁ θεὸς
τὴν ἀριστείαν αὐτοκελεύστῳ καὶ ἐθελουργῷ σπουδῇ γενομένην διτταῖς
αὐτὸν ἀναστέφει δωρεαῖς, εἰρήνῃ καὶ ἱερωσύνῃ, τῇ μὲν κρίνας ἄξιον
ἀπολέμου μεταποιεῖσθαι βίου τὸν ἀράμενον τοὺς ὑπὲρ θεοῦ τιμῆς ἀγῶνας,
τῇ δ᾽ ὅτι γέρας οἰκειότατον εὐσεβοῦς ἀνδρὸς ἱερωσύνη θεραπείαν ἐπαγγελλο-
μένη τοῦ πατρός, ᾧ τὸ δουλεύειν οὐκ ἐλευθερίας μόνον ἀλλὰ καὶ βασι-

---

1 παραστάντι om. F 2 καταχρήσασθαι M 3 νομίσαντες M αὐτοὺς Turn. τὰ om. F γεγενῆσθαι] γενήσεσθαι R 4 ἐκκλησιαστάς] ἐκκλησίαν M 5 δῆμον, νόμους transp. R σὺν ἀδείᾳ RMF: συνόδῳ AH (v) 5. 6 συναγωνίζωνται R 6 tit. περὶ φινεές add. mg M 7 γὰρ om. M 8 μὲν—τελετάς (9) om. AH πατρῴων F (Turn.) 9 ante ἕνα add. πρὸς AH ἡγεμόνα καὶ ἔξαρχον N, ἡγεμόνα καὶ ἐξάρχοντα F 10 ἤδη παρεπιδείκνυσθαι RFN: ἤδη παραδείκνυσθαι M, ἤδη γὰρ ἐπεδείκνυτο AH; ἤδη γὰρ παρεπεδείκνυτο v 11 ἀθύτους Mang.: ἀθύτοις codd. φανερῶς om. FN παρόντος] παρὼν M 12 πλήθους] ἔθνους M παρ᾽ ἑκάτερα τοὺς transp. F 13 τὸν] τῷ M 14 εὐμαθίας M (v) τῶν ἃ λυσιτελὲς scripsi: ἃ λυσιτελὲς RF, ἀλυσιτελὲς M, ὧν λυσιτελὲς AH (v) 15 ἐγίνετο M δρασθὲν RM: δρανθὲν A, δραθὲν FH (v) ἐκ θερμοῦ παραστήματος AH 16 γοῦν M, γ᾽ οὖν F 18 αὐτὸν om. AH ἀναστρέφει H κρίνας ἄξιον RF: ἄξιον κρίνας MAH, ἄξιον διακρίνας L² (v) 19 πολέμου M θεοῦ τιμῆς codd.: τιμῆς θεοῦ v 20 τῇ] τὴν M εὐσεβοῦς ἀνδρὸς οἰκειότατον transp. H 20. 21 ἐπαγγελλομένη RMF (coni. Mang.): ἐπαγγελλομένου AH (v)

6 sqq. Num. cap. 25 7—13 N fol. 155v: ἐπειδὴ—σὺν τῇ γυναικί.

λείας ἄμεινον. ἔνιοι δὲ τοσαύτῃ κέχρηνται μανίας ὑπερβολῇ, ὥστ᾿ οὐδ᾿ 58
p. 221 M. ἀναχώρησιν αὑτοῖς εἰς μετάνοιαν | ἀπολείποντες ἴενται πρὸς δουλείαν τῶν
χειροκμήτων, γράμμασιν αὐτὴν ὁμολογοῦντες, οὐκ ἐν χαρτιδίοις, ⟨ἀλλ᾿⟩,
ὡς ἐπὶ τῶν ἀνδραπόδων ἔθος, [ἀλλ᾿] ἐν τοῖς σώμασι καταστίζοντες αὐτὰ
σιδήρῳ πεπυρωμένῳ πρὸς ἀνεξάλειπτον μονήν· οὐδὲ γὰρ χρόνῳ ταῦτα
ἀμαυροῦται.

(9.) Τὴν δ᾿ ὁμοίαν προαίρεσιν ὁ ἱερώτατος Μωυσῆς καὶ ἐπὶ τῶν 59
ἄλλων ἅπαξ ἁπάντων σῴζειν ἔοικεν ἀληθείας ἐραστὴς ὢν καὶ διδάσκαλος,
ἣν καὶ πᾶσι τοῖς γνωρίμοις ἐγχαράττειν καὶ ἐνσφραγίζεσθαι ποθεῖ τὰς
ψευδεῖς δόξας μακρὰν τῆς διανοίας αὐτῶν ἀποικίζων. ἐπιστάμενος γοῦν 60
τῷ πλάνῳ τῶν πολλῶν βίῳ συμπράττουσαν οὐ μετρίως εἰς ἀνοδίαν
μαντικήν, οὐδενὶ τῶν εἰδῶν αὐτῆς ἐᾷ χρῆσθαι, πάντας δὲ τοὺς κολα-
κεύοντας αὐτὴν ἐλαύνει τῆς ἰδίου πολιτείας, θύτας, καθαρτάς, οἰωνοσκό-
πους, τερατοσκόπους, ἐπᾴδοντας, κληδόσιν ἐπανέχοντας. στοχασταὶ γὰρ 61
πάντες οὗτοι πιθανῶν καὶ εἰκότων, ἄλλοτε ἄλλας ἀπὸ τῶν αὐτῶν φαν-
τασίας λαμβάνοντες, διὰ τὸ μήτε τὰ ὑποκείμενα φύσιν ἔχειν πάγιον μήτε
τὴν διάνοιαν ἀκριβῆ βάσανον περιπεποιῆσθαι, ᾗ βασανισθήσεται τὰ
δόκιμα. παρασκευαὶ δὲ πάντα ταῦτ᾿ εἰσὶν ἀσεβείας· διὰ τί; ὅτι ὁ προσ- 62
έχων καὶ πειθόμενος αὐτοῖς ἀλογεῖ τοῦ πάντων αἰτίου μόνα ταῦθ᾿ ὑπο-
λαμβάνων ἀγαθῶν εἶναι καὶ κακῶν αἴτια, καὶ οὐκ αἰσθάνεται τὰς τοῦ

1 ὥστ᾿] ὡς M 2 αὑτοῖς F, ἑαυτοῖς AH, om. M εἰς RMF: πρὸς AH (v) ἀπολείποντες RF: ἀπολιπόντες MAH (v) ἴενται codd. 3 χειροτμήτων M ἀλλ᾿ huc reduxi 4 καταστίζοντες] κατασκευάζοντες AH αὐτὰ RMF: αὐτὴν AH (v) 5 μονὴν RMF: διαμονὴν AH (v) ταῦτ᾿ M 6 ἀμαυροῦται RF: ἀμαυροῦνται MAH (v) 7 μωσῆς AH 8 ἅπαξ ἁπάντων RF: ἁπάντων ἅπαξ M, om. AH σῴζειν] κτίζειν M 9 ἣν καὶ R: ἣν om. AH, καὶ om. MF ἐνχαράττειν M ἐνσφραγίζεσθαι RMAH: ἐνσφραγίζειν FL² (v) ποθῶν AH 10 ψευδεῖς δόξας RMF: ἀψευδεῖς δόξας καὶ τὰς ψευδεῖς AH (Turn.) αὐτῶν om. Turn. tit. περὶ οἰωνοσκόπων καὶ λοιπῶν add. mg M γ᾿ οὖν R, οὖν MF 12 τὴν μαντικὴν Mang. οὐδεμιᾷ τῶν ἰδεῶν AH ἐᾷ χρῆσθαι] χρῆσθαι παραινεῖ H, χρᾶσθαι παραινεῖ A 12. 13 κολακεύοντας αὐτὴν] ἐπακολουθοῦντας αὐτῇ coni. Mang., θεραπεύοντας vel τεχνιτεύοντας αὐτὴν conicio 13 ἰδίου scripsi: ἰδίας F, ἀϊδίου ceteri (v) 14 τερατοσκόπους, ἐπᾴδοντας om. M, ἐπᾴδοντας τερατοσκόπους transp. R κληδόσιν ἐπανέχοντας om. F 15 ἄλλας] ἀλλοίας F 17 περιπεποιῆσθαι RMF: περιποιεῖσθαι AH (Turn.); πεποιῆσθαι Mang. βασανισθήσεσθαι H 18 παρασκευασταὶ M δὲ om. M πάντα ταῦτ᾿ RM: ταῦτα πάντ᾿ F, ταῦτα πάντα A, ταῦτα (om. πάντα) H (Turn.) 19 πυθόμενος F¹ ταῦτα M

4 Lev. 19,28 13 Lev. 19,26. 31. Deut. 18,10. 11.

βίου φροντίδας ἐξάπτων ἀβεβαιοτάτων πεισμάτων, ὀρνίθων καὶ πτερῶν
καὶ φορᾶς ἐν ἀέρι τῆς ὧδε κἀκεῖσε καὶ χαμαιζήλων ἑρπετῶν, ἃ τῶν
φωλεῶν ἀνέρπει πρὸς ζήτησιν τροφῆς, ἔτι δὲ σπλάγχνων καὶ αἵματος
καὶ νεκρῶν σωμάτων, ἃ στερόμενα ψυχῆς εὐθὺς ἐπισυμπίπτει καὶ συγχεῖ-
ται καὶ ἑτεροιούμενα τὰς οἰκείας φύσεις ἐξαλλάττει πρὸς τὴν χείρω μετα-
63 βολήν. ἀξιοῖ γὰρ τὸν ἐγγραφόμενον τῇ κατὰ τοὺς νόμους πολιτείᾳ „τέ-
λειον“ εἶναι, μὴ ἐν οἷς οἱ πολλοὶ πεπαιδοτρίβηνται, μαντείαις καὶ κληδόσι
καὶ πιθαναῖς εἰκασίαις, ἀλλ' ἐν τοῖς πρὸς θεὸν οὐδὲν ἔχουσιν ἐπαμφοτερί-
64 ζον ἢ ἀμφίβολον ἀλλ' ἀνενδοίαστον καὶ γυμνὴν ἀλήθειαν. ἐπεὶ δὲ πᾶσιν
ἀνθρώποις ἔρως τῆς τῶν μελλόντων ἐπιστήμης ἐνίδρυται καὶ διὰ τὸν
ἔρωτα τοῦτον ἐπὶ θυτικὴν καὶ τὰ ἄλλα εἴδη τρέπονται μαντικῆς, ὡς δι'
αὐτῶν τὸ σαφὲς ἀνευρήσοντες, τὰ δ' ἀσαφείας γέμει πολλῆς καὶ ἐξ ἑαυτῶν
ἀεὶ διελέγχεται, τούτοις μὲν σφόδρα εὐτόνως ἐπακολουθεῖν ἀπαγορεύει,
φησὶ δ' ὅτι, ἐὰν ἀκλινῶς εὐσεβῶσιν, οὐκ | ἀμοιρήσουσι τῆς τῶν μελλόν- p. 222 M.
65 των ἐπιγνώσεως, ἀλλά τις ἐπιφανεὶς ἐξαπιναίως προφήτης θεοφόρητος
θεσπιεῖ καὶ προφητεύσει, λέγων μὲν οἰκεῖον οὐδέν — οὐδὲ γάρ, εἰ λέγει,
δύναται καταλαβεῖν ὅ γε κατεχόμενος ὄντως καὶ ἐνθουσιῶν —, ὅσα δ'
ἐνηχεῖται, διελεύσεται καθάπερ ὑποβάλλοντος ἑτέρου· ἑρμηνεῖς γάρ εἰσιν
οἱ προφῆται θεοῦ καταχρωμένου τοῖς ἐκείνων ὀργάνοις πρὸς δήλωσιν ὧν
ἂν ἐθελήσῃ. ταῦτα καὶ τὰ τούτοις παραπλήσια περὶ τῆς τοῦ ἑνὸς θεοῦ
καὶ ὄντως ὄντος ἐννοίας ὑπειπών, ὃν χρὴ τρόπον ἀπονέμειν αὐτῷ τὰς
τιμὰς ἑξῆς ὑπογράφει.

1 φορτίδας A ἀβεβαιώτων AH 2 καὶ φορᾶς codd.: καὶ om. v τῆς ὧδε RMF: τῇδε AH (v) 3 αἵματος] ἥπατος coni. Mang. 4 ἃ om. M στερόμενα RAH: στερούμενα F, ἐστερημένα M συμπίπτει F 4. 5 καὶ συγχεῖται RM: τε καὶ σ. FAH (Turn.) 5 οἰκείας codd.: οἰκείους Mang. 6 τῇ] τῆς RM τοὺς om. AH πολιτείας RM 7 πεπαιδοτρίβηνται RMF: παιδοτριβοῦνται AH (v) 8 εἰκασίαις] ἱκεσίαις M ἀλλ'] ἄλλως δ' AH (Turn.) 9 ἀμφιβάλλον AH 11 ἐπὶ θυτικὴν] καὶ τὴν ἐπιθυμίαν AH καὶ εἰς τὰ ἄλλα AH τἆλλα MF 12 ἀνευρήσοντες RA: ἀνερευνήσοντες MFH (v) δὲ AH αὑτῶν M 13 αἰεὶ M σφόδρ' MF εὐτόνως] αὐτοὺς AH 14 ἀκλινῶς RAH (coni. Mang.): ἀκένως M, ἀληθῶς FL² (v) 15 ἐξαπινέως M θεοφόρητος om. A 16 εἰ λέγει] ἃ λέγει coni. Mang. 17 ὅσον AH 18 διεξελεύσεται F; διερμηνεύσεται (-νεύσει?) coni. Mang. post γὰρ add. ἀμφότεροι R 20 τὰ om. M 21 ὄντος ὄντως R 22 ἑξῆς RMF: ἐξ ἱερῶν AH (Turn.) ὑπογράφει: huc usque M

6 Deut. 18,13 15 Deut. 18,15. 18.

Περὶ ἱεροῦ.

(1.) Τὸ μὲν ἀνωτάτω καὶ πρὸς ἀλήθειαν ἱερὸν θεοῦ νομίζειν τὸν 66 σύμπαντα χρὴ κόσμον εἶναι, νεὼ μὲν ἔχοντα τὸ ἁγιώτατον τῆς τῶν ὄντων οὐσίας μέρος, οὐρανόν, ἀναθήματα δὲ τοὺς ἀστέρας, ἱερέας δὲ τοὺς ὑποδιακόνους αὐτοῦ τῶν δυνάμεων ἀγγέλους, ἀσωμάτους ψυχάς, οὐ κράματα ἐκ λογικῆς καὶ ἀλόγου φύσεως, οἵας τὰς ἡμετέρας εἶναι συμβέβηκεν, ἀλλ' ἐκτετμημένας τὸ ἄλογον, ὅλας δι' ὅλων νοεράς, λογισμοὺς ἀκραιφνεῖς, μονάδι ὁμοιουμένας. τὸ δὲ χειρόκμητον· ἔδει γὰρ ὁρμὰς 67 ἀνθρώπων μὴ ἀνακόψαι φορὰς τὰς εἰς εὐσέβειαν συντελούντων καὶ θυσίαις p. 223 M. βουλομένων ἢ ἐπὶ τοῖς συμβαίνουσιν ἀγαθοῖς εὐχαριστεῖν ἢ ἐφ' οἷς | ἂν ἁμαρτάνωσι συγγνώμην καὶ παραίτησιν αἰτεῖσθαι. προυνόησε δ' ὡς οὔτε πολλαχόθι οὔτ' ἐν ταὐτῷ πολλὰ κατασκευασθήσεται ἱερά, δικαιώσας, ἐπειδὴ εἷς ἐστιν ὁ θεός, καὶ ἱερὸν ἓν εἶναι μόνον. εἶτα τοῖς βουλομένοις 68 ἐν ταῖς οἰκίαις αὐτῶν ἱερουργεῖν οὐκ ἐφίησιν, ἀλλ' ἀνισταμένους ἀπὸ περάτων γῆς εἰς τοῦτ' ἀφικνεῖσθαι κελεύει, ἅμα καὶ τῶν τρόπων ἀναγκαιοτάτην λαμβάνων βάσανον· ὁ γὰρ μὴ μέλλων θύειν εὐαγῶς οὐκ ἂν ὑπομεῖναί ποτε πατρίδα καὶ φίλους καὶ συγγενεῖς ἀπολιπὼν ξενιτεύειν, ἀλλ' ἔοικεν ὑπὸ δυνατωτέρας ὁλκῆς ἀγόμενος τῆς πρὸς εὐσέβειαν ὑπομένειν τῶν συνηθεστάτων καὶ φιλτάτων ὥσπερ τινῶν ἡνωμένων μερῶν ἀπαρτᾶσθαι. καὶ τοῦδε σαφεστάτη πίστις τὰ γινόμενα· μυρίοι γὰρ ἀπὸ 69

1 tit. περὶ ἱεροῦ RF: τοῦ αὐτοῦ περὶ μοναρχίας ἔτι A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ μοναρχίας H, περὶ μοναρχίας λόγος β' L (v) 3 χρὴ om. RF νεὼ RF: ναὸν AH, νεὼν L² (v) μὲν ἔχοντα om. AH; ἔχον coni. Mang. τὸ om. AH (Turn.) 4 pr. τοὺς om. AH 7 λογισμοὺς] λογικὰς F² 8 μονάδι] μονὰς F¹, μονάσιν F² ὁμοιουμένας RF²: ὁμοιουμένους F¹, ὡμοιωμένους AH (v) 9 φορὰς τὰς . . . συντελούντων] vel φόρους τοὺς . . . ὑποτελούντων vel φοραῖς ταῖς . . . συντεινόντων coni. Mang., φορὰς secl. Wendl. 10. 11 ἂν ἁμαρτάνωσι R: ἁμαρτάνουσι F, ἁμάρτωσι (om. ἂν) AH 11 δὲ AH 12 πολλαχόθεν AH 13 ἐπειδὴ] ἐπεὶ R ἐστιν ὁ θεὸς RF: ἐστι θεός AH (v) ἓν RF (coni. Mang.): om. AH (v) 14 αὐτῶν v ἀφίησιν AH ἀνισταμένους post γῆς (15) transp. F 15 κελεύει om. AH 16 λαμβάνων ἀναγκαιοτάτην transp. AH (v) ἐναγῶς H 17 ὑπομεῖναι F (sic Mang.), ὑπομείνῃ AH (Turn.) ποτὲ om. AH (Turn.) 18 ἀλλὰ R 18. 19 ὑπομενεῖν Mang. 20 τοῦδε] τούτου F² πίστις RF: πίστις ἐστὶ AH (v)

11sqq. Deut. 12,5sqq. 13 cf. *Ioseph. c. Ap. II § 193* εἷς ναὸς ἑνὸς θεοῦ, φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον, κοινὸς ἁπάντων κοινοῦ θεοῦ ἁπάντων. *Ant. Iud. IV § 200* ἱερὰ πόλις ἔστω μία τῆς Χαναναίων γῆς . . . καὶ νεὼς εἷς ἐν ταύτῃ ἔστω καὶ βωμὸς εἷς . . . ἐν ἑτέρᾳ δὲ πόλει μήτε βωμὸς μήτε νεὼς ἔστω· θεὸς γὰρ εἷς καὶ τὸ Ἑβραίων γένος ἕν. cf. etiam § *203*.

μυρίων ὅσων πόλεων, οἱ μὲν διὰ γῆς, οἱ δὲ διὰ θαλάττης, ἐξ ἀνατολῆς
καὶ δύσεως καὶ ἄρκτου καὶ μεσημβρίας καθ' ἑκάστην ἑορτὴν εἰς τὸ
ἱερὸν καταίρουσιν οἷά τινα κοινὸν ὑπόδρομον καὶ καταγωγὴν ἀσφαλῆ
πολυπράγμονος καὶ ταραχωδεστάτου βίου, ζητοῦντες εὐδίαν εὑρεῖν καὶ
φροντίδων ἀνεθέντες, αἷς ἐκ πρώτης ἡλικίας καταζεύγνυνται καὶ πιέζονται,
70 βραχύν τινα διαπνεύσαντες χρόνον ἐν ἱλαραῖς διάγειν εὐθυμίαις· ἐλπίδων
τε χρηστῶν γεμισθέντες σχολάζουσι τὴν ἀναγκαιοτάτην σχολὴν ὁσιότητι
καὶ τιμῇ θεοῦ, φιλίαν καὶ πρὸς τοὺς τέως ἀγνοουμένους συντιθέμενοι
καὶ κρᾶσιν ἠθῶν ἐπὶ θυσιῶν καὶ σπονδῶν εἰς βεβαιοτάτην πίστιν ὁμονοίας
ποιούμενοι.
71 (2.) Τούτου τοῦ ἱεροῦ ὁ μὲν ἐξωτάτω περίβολος καὶ μήκει καὶ
πλάτει μέγιστος ὢν τέσσαρσι στοαῖς εἰς πολυτέλειαν ἠσκημέναις ὠχύρωται·
διπλῆ δ' ἐστὶν αὐτῶν ἑκάστη, ξύλων καὶ λίθων ὕλαις καὶ χορηγίαις
ἀφθόνοις καὶ δημιουργῶν ἐμπειρίαις καὶ τῶν ἐφεστηκότων ἐπιμελείαις
κατεσκευασμένη, τελειότατον ἔργον· οἱ δ' εἴσω βραχύτεροι μέν, αὐστη-
72 ροτέραν δ' ἔχοντες τὴν κατασκευήν. κατὰ δὲ τὸ μεσαίτατον αὐτὸς ὁ
νεὼς παντὸς λόγου κρείττων, ὡς ἐκ τῶν φαινομένων ἔστι τεκμήρασθαι·
τὰ γὰρ ἔνδον ἀόρατα παντί τῳ πλὴν ἑνὶ τῷ ἀρχιερεῖ, καὶ τούτῳ μέντοι,
δι' ἔτους ἐπιτετραμμένον ἅπαξ εἰσιέναι, πάντ' ἐστὶν ἀθέατα· πυρεῖον γὰρ
ἀνθράκων πλῆρες καὶ θυμιαμάτων εἰσκομίζει, πολλῆς δ' ἀναδιδομένης
ὡς εἰκὸς ἀτμίδος κατέχεται τὰν κύκλῳ πάντα καὶ ἡ ὄψις ἐπισκιάζεται

ὑπ
3 ἱππόδρομον A, ἱππόδρομον H 4 εὐδίαν] ἄδειαν AH 6 διαπνεύσαντες] διατρίψαντες F διάγοντες F 7 σχολάσωσι R (ut vid.) ἀναγκαιοτάτην] ἁγιωτάτην coni. Mang. 9 βεβαιοτάτην] βεβαίωσιν καὶ AH; βεβαιοτάτης coni. Mang. 11 ἐξώτατος AH 12 τέσσαρσι] τέτρασι AH 13 ἐστὶν αὐτῶν R: αὐτῶν ἐστιν FAH (v) 14 ἀφθόνοις καὶ δημιουργῶν ἐμπειρίαις om. F 15 κατεσκευασμένον AH αἱ ... βραχύτεραι AH 15. 16 ἀστειοτέραν F[2]; σπουδαιότερος ἢ ἀτερπέστερος διὰ τὸ ἀποίκιλον mg F 16 ἔχουσαι AH 17 κρείσσων F φαινομένων RAH: περιφαινομένων F (v) 18 ἔνδον RF: ἐντὸς AH (Turn.) τῳ om. AH ἑνὸς F 19 ἅπαξ εἰσιέναι] ἅπερ εἰσιόντι F ἀθέατα] ὁρατά F (Turn.) γὰρ RF: μὲν γὰρ AH (v) 20 πλῆρες om. F θυμιαμάτων RF: θυμιάματος AH (v) 21 ταν R, τᾶν F: τὰ ἐν AH (v)

18 cf. *Ioseph. Ant. Iud. XIV § 71* παρηνομήθη δὲ οὐ σμικρὰ περὶ τὸν ναὸν ἄβατόν τε ὄντα ἐν τῷ πρὶν χρόνῳ καὶ ἀόρατον· (72) παρῆλθεν γὰρ εἰς τὸ ἐντὸς ὁ Πομπήιος καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγοι καὶ εἶδον ὅσα μὴ θεμιτὸν ἦν τοῖς ἄλλοις ἀνθρώποις ἢ μόνοις τοῖς ἀρχιερεῦσιν. 19 cf. Lev. 16,12. 13.

καὶ ἀνακοπὴν ἴσχει πρόσω χωρεῖν ἀδυνατοῦσα. μέγιστος δὲ ὢν καὶ 73
ὑψηλότατος, καίτοι ἐν χθαμαλωτέρῳ κείμενος, τῶν περιμηκεστάτων ὀρῶν
p. 224 M. οὐδενὸς | ἀποδεῖ. τὰ μὲν οὖν ἐν οἰκοδομίαις ὑπερβολὰς ἔχοντα περίβλεπτά
τ' ἐστὶ καὶ θαυμάζεται πρὸς τῶν ὁρώντων καὶ μάλιστα τῶν ἐπιφοιτώντων
ξένων, οἳ συγκρίνοντες ταῖς οἰκιῶν δημοσίων κατασκευαῖς ἐκπλήττονται
τό τε κάλλος ὁμοῦ καὶ τὴν πολυτέλειαν. ἄλσος δὲ οὐδέν ἐστιν ἐν τῷ 74
περιβόλῳ προστάξει νόμου. διὰ πολλά· πρῶτον μὲν ὅτι οὐχ ἡδονὴν καὶ
τέρψιν εὐδιάγωγον ἐπιζητεῖ τὸ πρὸς ἀλήθειαν ἱερὸν ἀλλ' αὐστηρὰν ἁγι-
στείαν· δεύτερον δ' ὅτι τὰ συντείνοντα πρὸς τὴν τῶν δένδρων χλόην
οὐ θέμις εἰσκομίζεσθαι, τὰ δ' ἐστὶν ἀνθρώπων καὶ ζῴων ἀλόγων περιτ-
τώματα· τρίτον δ' ὅτι τὰ μὲν τῆς ἀγρίας ὕλης πρὸς οὐδὲν ὄφελος,
„ἄχθος“ δ' ὡς οἱ ποιηταί φασι „γῆς“, τὰ δὲ τῆς ἡμέρου, καρπῶν
ἡμέρων οἰστικά, μεθέλξει τοὺς ὀλιγόφρονας ἀπὸ τῆς περὶ τὴν ἱερουργίαν
σεμνότητος. πρὸς δὲ τούτοις λάσια χωρία καὶ δρυμοὶ βαθεῖς κακούργων 75
εἰσὶν ἐνδιαιτήματα τὴν ἐκ τοῦ συσκιάζεσθαι πορίζομένων ἀσφάλειαν καὶ
τὰς ἐξ ἐνέδρας καθ' ὧν ἂν ἐθελήσωσιν αἰφνιδίους ἐπιθέσεις. αἱ δ'
εὐρυχωρίαι καὶ τὸ ἀναπεπταμένον καὶ τὸ ἀνειμένον πάντῃ, μηδενὸς τὰς
ὄψεις ἐμποδίζοντος, πρὸς τὴν τῶν εἰσιόντων καὶ ἐνδιατριβόντων ἀκριβῆ
θέαν ἱερῷ πρεπωδέστατον.

(3.) Προσόδους δ' ἔχει τὸ ἱερὸν οὐ μόνον ἀποτομὰς γῆς ἀλλὰ καὶ 76
πολὺ μείζους ἑτέρας, αἳ μηδενὶ χρόνῳ φθαρήσονται· ἐφ' ὅσον γὰρ τὸ
ἀνθρώπων γένος διαμενεῖ — διαμενεῖ δ' εἰς ἀεί —, καὶ αἱ πρόσοδοι τοῦ
ἱεροῦ φυλαχθήσονται συνδιαιωνίζουσαι παντὶ τῷ κόσμῳ. προστέτακται 77

1 δὲ om. F 1. 2 καὶ ὑψηλότατος ὢν transp. AH (v) 2 καίτοι scripsi: καὶ RAH (v), om. F, εἰ καὶ vel κἂν coni. Mang. 3 ἐν οἰκοδομίαις RF: οἰκοδομίας AH, οἰκοδομαῖς L² (Turn.), ἐν οἰκοδομαῖς Mang. 4 τ' ἐστὶ RF: τ' om. AH (v) 5 ταῖς οἰκιῶν δημοσίων κατασκευαῖς R: ταῖς οἰκοδομαῖς τῶν δημοσίων οἰκιῶν καὶ κατασκευαῖς AH, τὰς οἴκοι δημοσίων κατασκευὰς F 6 τε om. AH δ' F 7 διὰ πολλὰ ante προστάξει transp. F 8 ἀλλὰ AH 8. 9 ἀ[illegible]γιστείαν (λ eras.) F 10 τάδ' A (Mang.) ἀλόγων ζώων καὶ ἀνθρώπων transp. AH (v) 12 δ' om. F 16 τὰς RF: τοῦ AH (v); τὸ coni. Mang. ἐθελήσωσιν RF: ἐθέλωσιν AH (v) αἰφνιδίους (αἰφνηδίους F) ἐπιθέσεις RF: αἰφνιδίως ἐπιτίθεσθαι AH (v) 17 τὸ ἀνειμένον R: τὸ om. FAH (v); καὶ τὸ ἀνειμένον om. L (Turn.) 19 ἱερῷ πρεπωδέστατον scripsi: ἱεροπρεπωδέστατον codd. (v) 21 μηδενὶ R, μηδ' ἐνὶ F: οὐδενὶ AH (v) διαφθαρήσονται F 22 διαμένει, διαμένει δ' εἰς ἀεὶ RF (διαμενεῖ scripsi): διαμένει δὲ ἀεὶ AH, διαμενεῖ ἀεὶ v

12 Hom. Il. Σ 104 ἄχθος ἀρούρης. cf. Plat. Theaet. 176ᵈ γῆς ἄχθη. Kaibel, Sophokles Elektra p. 265.

γὰρ ἕκαστον ἀνὰ πᾶν ἔτος ἀπαρχὰς εἰσφέρειν ἀπὸ εἰκοσαετίας ἀρξάμενον. αἱ δ᾽ εἰσφοραὶ „λύτρα“ προσονομάζονται· διὸ καὶ προθυμότατα ποιοῦνται τὰς ἀπαρχάς, φαιδροὶ καὶ γεγηθότες, ὡς ἅμα τῇ καταθέσει μέλλοντες ἢ δουλείας ἀπαλλαγὴν ἢ νόσων ἄκεσιν εὑρίσκεσθαι καὶ βεβαιοτάτην ἐλευ-
78 θερίαν ὁμοῦ καὶ σωτηρίαν εἰς ἅπαν καρποῦσθαι. πολυανθρωποτάτου δ᾽ ἔθνους ὡς εἰκὸς καὶ τὰς ἀπαρχὰς ἀφθονωτάτας εἶναι συμβέβηκε· σχεδὸν γοῦν ἀνὰ πᾶσαν πόλιν ταμεῖα τῶν ἱερῶν χρημάτων ἐστίν, εἰς ἃ παραγινομένοις ἔθος ἀπάρχεσθαι· καὶ χρόνοις ὡρισμένοις ἱεροπομποὶ τῶν χρημάτων ἀριστίνδην ἐπικριθέντες, ἐξ ἑκάστης οἱ δοκιμώτατοι, χειροτονοῦνται, σώους τὰς ἐλπίδας ἑκάστων παραπέμψοντες· ἐν γὰρ ταῖς νομίμοις ἀπαρχαῖς αἱ τῶν εὐσεβούντων ἐλπίδες εἰσίν.

Περὶ ἱερέων.

79 (4.) | Φυλαὶ μέν εἰσι τοῦ ἔθνους δώδεκα, μία δ᾽ ἐκ πασῶν ἀρι- p. 225 M.
στίνδην ἐπικριθεῖσα ἱερᾶται, γέρας ἀνδραγαθίας καὶ φιλοθέου σπουδῆς τουτὶ λαβοῦσα, καθ᾽ ὃν καιρὸν ἔδοξεν ἡ πληθὺς ἁμαρτεῖν ἐπακολουθήσασα γνώμαις ἐνίων ἀγνώμοσιν, οἳ τὴν Αἰγυπτιακὴν ἔπεισαν ζηλοῦν ἠλιθιότητα καὶ τὸν ἐγχώριον τῦφον, ὃν ἐπ᾽ ἀλόγοις ζῴοις καὶ μάλιστα ταύροις μυθοπλαστοῦσι· τοὺς γὰρ ἡγεμόνας τῆς ἀπονοίας ἅπαντας ἡβηδὸν αὐτοκέλευστοι κατακτείναντες εὐαγὲς ἔδοξαν ἔργον εἰργάσθαι, τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας διαθλήσαντες.

1 ἕκαστον RF: om. AH (Turn.) ἀπαρχὰς RF: ἀπαρχὴν AH (v) εἰκοσαετίας RF: εἰκοσαετοῦς AH (Turn.) ἀρξάμενον RF: ἀρξαμένους AH (v) 4 νόσον H ἄκεσιν] ἄνεσιν F εὑρίσκεσθαι R(F[1]): εὑρίσκ≣ F, εὑρεῖν AH (v) 5 εἰς ἅπαν RF, εἰσάπαν AH: εἰς πάντα L (Turn.) 7 γοῦν] γὰρ οὖν F ταμεῖα RF: ταμιεῖον AH; ταμεῖον v 7. 8 παραγινομένοις RF: παραγενομένοις AH (v) 9 post χρημάτων add. εἰσὶν et post ἐπικριθέντες interpung. FN (v) post ἑκάστης add. δ᾽ F (v), δὲ N 10 σώους] σύννους A παραπέμψοντες RF: ἐκπέμψοντες H, ἐκπέμψαντες A: παρεκπέμψοντες v ταῖς om. Turn. 11 εἰσίν om. FN εἰσὶ περὶ ἱερέων (sic) AH 12 tit. περὶ ἱερέων RF(AH) Arm 13 μέν RF: μὲν οὖν AH (v) 14 ἀποκριθεῖσα AH σπουδῆς RAH: ἀρετῆς Arm, ψυχῆς F (v) 15 ἔδοξεν] ἔτυχεν Arm ἁμαρτάνειν F 16 ἔπεισαν ζηλοῦν] ἐζήλουν Arm 18. 19 κτείναντες AH

1 Exod. 30,12—16 8—11 N fol. 156[r]: καὶ χρόνοις—ἐλπίδες. 14 sqq. Exod. cap. 32.

(5.) Νόμοι δὲ ἱερέων εἰσὶν οἵδε. παντελῆ καὶ ὁλόκληρον εἶναι τὸν 80 ἱερέα προστέτακται, μηδεμίαν ἐν τῷ σώματι λώβην ἔχοντα, μήτε κατ' ἔνδειαν ἐπιλείποντος ἢ ἀκρωτηριασθέντος μέρους μήτε κατὰ πλεονασμὸν ἅμα τῇ γενέσει περιττεύσαντος ἢ ὕστερον ἐκ νόσου προσφύντος μήτε τῆς χρόας μεταβαλούσης εἰς λέπραν ἢ λειχῆνας ἀγρίους ἢ μυρμηκίας ἤ τινας ἄλλας ἐξανθημάτων ἐκφύσεις· ἅ μοι δοκεῖ πάντα σύμβολα τῆς περὶ ψυχὴν εἶναι τελειότητος. εἰ γὰρ τὸ φύσει θνητὸν σῶμα τοῦ ἱερέως ἐπισκεπτέον, 81 ἵνα περὶ μηδὲν ἀτύχημα κηραίνῃ, πολὺ πλέον ψυχὴν τὴν ἀθάνατον, ἥν φασι τυπωθῆναι κατὰ τὴν εἰκόνα τοῦ ὄντος· λόγος δ' ἐστὶν εἰκὼν θεοῦ, δι' οὗ σύμπας ὁ κόσμος ἐδημιουργεῖτο.

Μετὰ δὲ τὴν ἐξ εὐπατριδῶν εὐγένειαν καὶ παντέλειαν τὴν ἔν τε 82 σώμασι καὶ ψυχαῖς περὶ ἐσθῆτος, ἣν ἀναλαμβάνειν χρὴ τὸν ἱερέα μέλλοντα λειτουργεῖν τὰς ἱερὰς λειτουργίας, νενομοθέτηται. ἡ δ' ἐσθής ἐστι χιτὼν 83 λινοῦς καὶ περίζωμα, τὸ μὲν εἰς αἰδοίων σκέπην, ἃ μὴ πρὸς τῷ θυσιαστηρίῳ γυμνοῦσθαι θέμις, ὁ δὲ χιτὼν ἕνεκα τῆς πρὸς τὴν ὑπηρεσίαν ὀξύτητος· ἀνείμονες γὰρ ἐν μόνοις χιτωνίσκοις τά τε ἱερεῖα καὶ τὰς εὐχὰς καὶ τὰς σπονδὰς καὶ ὅσα ἄλλα θυσίαις χρήσιμα προσάγουσιν εἰς ἀνυπέρθετον τάχος ἠσκημένοι. τῷ δ' ἀρχιερεῖ διείρηται μὲν τὴν παραπλησίαν 84

1 δ' F 3 ἐπιλείποντος] ἐπιλήπτου AH ἢ RF: καὶ AH (Turn.), ἢ καὶ Arm μήτε αὖ Arm 4 προσφύντος F: προσφυέντος RAH (v) 5 μεταβαλλούσης H, μεταλαβούσης F[1] 6 ἐκφύσεις] φύσεις F Vind. σύμβολον F Vind. 7 εἶναι post σύμβολον (6) transp. F Vind. 8 ἀτύχημα om. D πολὺ] πολλῷ Vind. 8. 9 ἥν φασι om. D 9 φασι] φασι δεῖν Arm post τυπωθῆναι add. δεῖ D λόγος] νοῦς AH δὲ AH θεοῦ εἰκὼν transp. R 11 εὐπατριδῶν] εὐγενῶν AH τε RF: τοῖς AH (v) 12 ψυχαῖς RF: ψυχῇ AH (Turn.) καὶ περὶ ἐσθῆτος Arm 13 νενομοθέτηται om. F Arm. 14. 15 τῷ θυσιαστηρίῳ] βωμοὺς F 15 χιτὼν om. AH Arm τὴν om. F 16 καὶ τὰς (εὐχὰς?) R: om. FAH (v) 17 ὅσα R: ὅσ' FAH θυσίαις χρήσιμα RF: χρήσιμα θυσίαις AH (v) 18 διήρηται H

1 sqq. Lev. 21,17—21. cf. *Ioseph. Ant. Iud. III* § 278 1—6 Vind. hist gr. 67 fol. 56[r]: περὶ ἱερέως (sic): — χρὴ τοίνυν τὸν ἱερέα ἐν μηδενὶ λειπόμενον εἶναι, ἀλλ' ὁλόκληρον καὶ ἄρτιον ὁρᾶσθαί τε καὶ γνωρίζεσθαι, μηδὲ μίαν ἐν τῷ σώματι λώβην ἔχοντα, μὴ τὰ μόρια ἐκτετμημένον, μὴ τὴν βάσιν ἐπίχολον, μήτε μὴν ἐπὶ προσώπου ἐξανθήσεις ἐρυθρὰς ἢ μέλαινας ἢ λιχῆνας ἢ μυρμηκίας ἤ τινας ἄλλας ἐξανθημάτων φύσεις ἐχέτω. 6—9 Vind. hist. gr. 67 fol. 60[r]: εἰ γὰρ τὸ φύσει θνητὸν σῶμα τοῦ ἱερέως προεπισκοπεῖν χρή, ἵνα περὶ μηδὲν ἀτύχημα κηραίνῃ, μηδέ τινας ἐξανθημάτων φύσεις κεκτῆσθαι, ἅ μοι δοκεῖ πάντα σύμβολον εἶναι τῆς περὶ ψυχὴν τελειότητος, πολλῷ πλέον ψυχὴν τὴν ἀθάνατον, ἥν φασι τυπωθῆναι κατὰ τὴν εἰκόνα τοῦ ὄντως λόγου θεοῦ. 7-10 D[R] fol. 175[r] Φίλωνος: εἰ τὸ φύσει — ἐδημιουργεῖτο. 13 sqq. Exod. cap. 28. cf. *De vita Mos.* II § 109 sqq. cf. etiam *Aristeae epist.* § 96—98.

ἐσθῆτα ἀναλαμβάνειν, ἡνίκα ἂν εἰς τὰ ἄδυτα ἐπιθυμιάσων εἰσίῃ, διὰ τὸ
τὴν ὀθόνην ἐκ μηδενὸς τῶν ἀποθνῃσκόντων ὥσπερ τὰ ἔρια γεννᾶσθαι,
προστέτακται δὲ καὶ ἑτέρᾳ χρῆσθαι πάνυ ποικίλην ἐχούσῃ κατασκευήν.
ὡς ἀπεικόνισμα καὶ μίμημα τοῦ κόσμου δοκεῖν εἶναι. σαφὴς δὲ πίστις
85 ἡ κατασκευή. πρῶτον μὲν γὰρ ἔνδυμα περιφερές ἐστιν, ὅλον δι' ὅλων
ὑακίνθινον, ποδήρης χιτών, ἀέρος σύμβολον, ἐπειδήπερ ὁ ἀὴρ καὶ φύσει
μέλας ἐστὶ καὶ τρόπον τινὰ ποδήρης, ἄνωθεν ἀπὸ τῶν μετὰ σελήνην
86 τόπων ταθεὶς ἄχρι τῶν κατωτάτω γῆς μυχῶν. εἶθ' ὕφασμα θωρακοειδὲς p. 226 M.
ἐπὶ τούτῳ, σύμβολον οὐρανοῦ· δύο τε γὰρ ἐπὶ τῶν ἀκρωμίων λίθοι
σμαράγδου τῆς τιμαλφεστάτης ὕλης εἰσίν, ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν, εἷς
ἑκατέρωθεν, περιφερεῖς, δείγματα τῶν ἡμισφαιρίων, ὧν τὸ μὲν ὑπὲρ γῆν
87 τὸ δ' ὑπὸ γῆν ἐστιν. εἶτα πρὸς τοῖς στέρνοις δώδεκα λίθοι πολυτελεῖς τὰς
χρόας διαφέροντες, ἐκ τριῶν τεταγμένοι τετραστοιχεί, πρὸς παράδειγμα τοῦ
ζῳδιακοῦ τυπωθέντες· καὶ γὰρ ἐκεῖνος ἐκ δώδεκα συνεστὼς ζῳδίων τὰς ἐτη-
88 σίους τέτταρας ὥρας ἀποτελεῖ τρία νείμας εἰς ἑκάστην. σύμπας δ' ὁ τόπος
καλεῖται λογεῖον ἐτύμως, ἐπειδὴ τὰ ἐν οὐρανῷ πάντα λόγοις καὶ ἀναλο-
γίαις δεδημιούργηται καὶ συντέτακται· τῶν γὰρ ἐκεῖ τὸ παράπαν ἄλογον
οὐδέν. ἐπὶ δὲ τοῦ λογείου διττὰ ὑφάσματα καταποικίλλει προσαγορεύων
89 τὸ μὲν δήλωσιν, τὸ δὲ ἀλήθειαν. αἰνίττεται δὲ διὰ μὲν τῆς ἀληθείας,
ὅτι οὐρανοῦ τὸ παράπαν ψεῦδος ἐπιβαίνειν οὐ θεμιτόν, ἀλλὰ τοῦθ' ἅπαν
εἰς τὸν περίγειον πεφυγάδευται χῶρον ψυχαῖς ἐναγῶν ἀνθρώπων εἰσοικιζό-
μενον, διὰ δὲ τῆς δηλώσεως, ὅτι αἱ κατ' οὐρανὸν φύσεις ἕκαστα δηλοῦσι
90 τῶν παρ' ἡμῖν, ἃ καθ' αὑτὰ πάντως ἂν ἦν ἄγνωστα. σημεῖον δ' ἐναργέσ-
τατον· εἰ μὴ φῶς, ἡλίου ἥλιος, ἀνέλαμψε, πῶς ἂν αἱ τῶν σωμάτων

1 ἐσθῆτ' F ἡνίκα ἂν] ὅταν F εἰς τα ἄδυτα om. F 2 ἔρια] ἱερεῖα AH 3 κεχρῆσθαι AH (Turn.) 4 ὡς—κατασκευὴ (5) om. AH μίμημα R: μίμημά τι F (v) 5 δι' ὅλων] διόλου AH 6 ὑακίνθω AH 7 μετὰ Mang.: κατὰ codd. 9 ἐπὶ τοῦτο H ἀκρωμίων] ἄκρων μόνων F, ἀκρώμων mg F[2]. 10 σμαράγδου RF Arm: σμάραγδοι AH (v) ὕλης AH: om. RF Arm εἰσίν] ἐστίν F εἷς] εἰς A. εἷς om. Arm. 11 περιφερεῖς R (Arm?): περιφερής F (v), περιφερές AH δεῖγμα AH (Turn.) 12 δὲ AH ἐστί post ὑπὲρ γῆν (11) transp. AH 13 τετραστοιχεί RF: τετραστοίχων A, τετραστίχων H 13. 14 τοῦ ζῳδιακοῦ AH: τὸ ζῳδιακὸν F, τὸν ζῳδιακὸν R (ut vid.) 15 τρία] τρεῖς AH 16 λογεῖον] λόγιον F 18 λογίου H, λόγου F[1] προσαγορεῦον F 19 δ' F 20 τοῦθ' (τοῦτ' F[1]) ἅπαν RF: τοῦτο πᾶν AH (Turn.) 21 εἰς τὸ . . . χωρίον F ἐναγῶν RF: ἀναγώγων AH; ἐξαγῶν v 23 ἂν om. AH 24 ἡλίου ἥλιος scripsi (cf. § 284): ἡλίου R (ut vid.) Arm, ἥλιος F, ἥλιος δ' AH (v): ἡλιῶδες coni. Mang. vel ἥλιος ἀνέλαμψε

ἀμύθητοι ποιότητες διεφάνησαν, πῶς δ' ἂν αἱ πολύμορφοι τῶν χρωμάτων
καὶ σχημάτων ἰδέαι; ἡμέρας δὲ καὶ νύκτας μῆνάς τε καὶ ἐνιαυτοὺς καὶ
συνόλως χρόνον τίς ἀνέδειξεν ὅτι μὴ σελήνης καὶ ἡλίου καὶ τῶν ἄλλων
ἀστέρων αἱ ἐναρμόνιοι καὶ παντὸς λόγου κρείττους περιφοραί; τίς δὲ τὴν 91
ἀριθμοῦ φύσιν εἰ μὴ τὰ λεχθέντα κατὰ τὰς τῶν μερῶν τοῦ χρόνου συν-
θέσεις; τίς δὲ τὰς ἐν θαλάσσῃ καὶ τοσούτοις πελάγεσιν ὁδοὺς ἀνέτεμε
καὶ διέδειξε πλωτῆρσιν εἰ μὴ αἱ τῶν ἀστέρων στροφαὶ καὶ περίοδοι;
σοφοὶ δ' ἄνδρες καὶ μυρία ἄλλα παρατηρήσαντες ἀνέγραψαν, ἐκ τῶν 92
οὐρανίων σημειωσάμενοι νηνεμίας καὶ βίας πνευμάτων, φορὰς καὶ ἀφορίας
καρπῶν, ἀνειμένα καὶ φλογωδέστατα θέρη, χειμῶνας ἐξαισίους καὶ ἐαρί-
ζοντας, αὐχμοὺς καὶ ἐπομβρίας, εὐγονίας ζῴων καὶ φυτῶν καὶ τοὐναντίον
ἑκατέρων ἀγονίας καὶ ὅσα τοιουτότροπα· πάντων γὰρ ἐστηλίτευται τῶν ἐπὶ
γῆς ἐν οὐρανῷ τὰ σημεῖα. (6.) πρὸς δὲ τοῖς κατωτάτω μέρεσι τοῦ ποδή- 93
ρους ἀπῃώρηνται χρυσοῖ ῥοΐσκοι κώδωνές τε καὶ ἄνθινα· τὰ δ' ἐστὶ σύμ-
βολα γῆς καὶ ὕδατος, γῆς μὲν τὰ ἄνθινα, παρόσον βλαστάνει καὶ ἀνθεῖ
πάντα ἐκ ταύτης, ὕδατος δὲ οἱ ῥοΐσκοι λεχθέντες ἐτύμως παρὰ τὴν ῥύσιν,
τὴν δ' ἁρμονίαν καὶ συμφωνίαν καὶ συνήχησιν τῶν τοῦ κόσμου μερῶν οἱ
κώδωνες ἐμφαίνουσιν. εὖ δ' ἔχει καὶ ἡ θέσις· ἀνωτάτω μέν, ἐν ᾧ οἱ 94
λίθοι, τὸ καλούμενον περιστήθιον, οὐρανοῦ μίμημα, διότι καὶ ὁ οὐρανὸς
ἀνωτάτω, ὁ δὲ ποδήρης ὑπ' αὐτῷ, ὅλος δι' ὅλων ὑακίνθινος, ἐπειδὴ
p. 227 M. | καὶ ὁ ἀὴρ μέλας ὢν τὴν μετ' οὐρανὸν δευτέραν τάξιν κεκλήρωται, τὰ δ'
ἄνθινα καὶ οἱ ῥοΐσκοι πρὸς τοῖς ἐσχάτοις, διότι γῆ καὶ ὕδωρ τὴν κατω-
τάτω τοῦ παντὸς μοῖραν ἔλαχον. ἧδ' ἐστὶν ἡ τῆς ἱερᾶς ἐσθῆτος κατα- 95
σκευή, μίμημα τοῦ παντός, θαυμάσιον ἔργον καὶ ὀφθῆναι καὶ νοηθῆναι·

---

1. 2 χρωμάτων καὶ om. H 2 σχημάτων καὶ σκιῶν Arm δὲ R: τε F, om. AH 4 αἱ om. H (Turn.) καὶ om. H 5 εἰ R: ὅτι FAH (v) μερῶν] ἡμερῶν F 6 θαλάττῃ v 7 διέδειξε R: ἔδειξε F, ἀνέδειξε AH (v) 8 ἄλλα RF: ἄλλ' ἄττα AH (v) ἀνέγραψαν F: ἀνεγράψαντο RAH (v) 9 οὐρανῶν F βίας πνευμάτων, φορὰς scripsi: βιαίας πνευμάτων φορὰς F, πνευμάτων βιαίας φορὰς R, πνεύματα βίαια καὶ φορὰς AH, πνευμάτων βίας φορὰς L[2] (v) 10 ἀνειμένα RF Arm: καὶ ἀνειμένα AH (v) 10. 11 ἀερίζοντας AH 11. 12 καὶ τοὐναντίον ἑκατέρων ἀγονίας om. F Arm 13 κατωτάτω RF: κάτω AH (v) 14 ἀπαιώρηνται F[1] χρυσοῖ RF: χρύσεοι AH (v) ἀνθινά F (v) τάδ' Mang. 15 ἀνθινά F (v) 16 οἱ om. F 17 συμφωνίαν] συμφώνησιν AH 18 μὲν γὰρ Arm οἱ om. F 20 ὑπ' αὐτῷ RAH: ὑπ' αὐτὸ F (Mang.) δι' ὅλων RF: δι' ὅλου AH (v) 21 μετ' οὐρανὸν RF: μετὰ τὸν οὐρανὸν A (v), μετὰ τῶν οὐρανῶν H τάξιν δευτέραν transp. H (v) κεκλήρωται] τετίμηται FL[2] (v); νενέμηται coni. Mang. 22 ἀνθινὰ F (v) οἱ om. F 22. 23 κατωτάτω] κάτω AH 23 ἧδ'] ὧδ' AH ἡ om. F ἔστι δ' ἡ Arm

καὶ γὰρ ὄψιν ἔχει καταπληκτικωτάτην οἵαν οὐδὲν ὕφασμα τῶν παρ' ἡμῖν
ἕνεκα ποικιλίας ὁμοῦ καὶ πολυτελείας καὶ νόησιν τὴν περὶ τῶν αὐτῆς
96 μερῶν φιλόσοφον. βούλεται γὰρ τὸν ἀρχιερέα πρῶτον μὲν εἰκόνα τοῦ
παντὸς ἔχειν ἐμφανῆ περὶ ἑαυτόν, ἵν' ἐκ τῆς συνεχοῦς θέας ἄξιον παρέχῃ
τὸν ἴδιον βίον τῆς τῶν ὅλων φύσεως, ἔπειθ' ὅπως ἐν ταῖς ἱερουργίαις
συλλειτουργῇ πᾶς ὁ κόσμος αὐτῷ· πρεπωδέστατον δὲ τὸ τὸν ἱερώμενον
τῷ τοῦ κόσμου πατρὶ καὶ τὸν υἱόν, τὸ πᾶν, ἐπάγεσθαι πρὸς θεραπείαν
97 τοῦ δεδημιουργηκότος καὶ γεγεννηκότος. ἔστι δὲ καὶ τρίτον τι τῆς ἱερᾶς
ἐσθῆτος σύμβολον ἀναγκαῖον μὴ ἡσυχασθῆναι· τῶν μὲν γὰρ ἄλλων οἱ
ἱερεῖς ὑπὲρ οἰκείων καὶ φίλων καὶ πολιτῶν αὐτὸ μόνον εἰώθασι τάς τε
εὐχὰς καὶ θυσίας ἐπιτελεῖν, ὁ δὲ τῶν Ἰουδαίων ἀρχιερεὺς οὐ μόνον ὑπὲρ
ἅπαντος ἀνθρώπων γένους ἀλλὰ καὶ ὑπὲρ τῶν τῆς φύσεως μερῶν, γῆς,
ὕδατος, ἀέρος, πυρός, τάς τε εὐχὰς καὶ τὰς εὐχαριστίας ποιεῖται, τὸν
κόσμον, ὅπερ ἐστὶ ταῖς ἀληθείαις, ἑαυτοῦ πατρίδα εἶναι νομίζων, ὑπὲρ
ἧς ἱκεσίαις καὶ λιταῖς εἴωθεν ἐξευμενίζεσθαι τὸν ἡγεμόνα ποτνιώμενος
τῆς ἐπιεικοῦς καὶ ἵλεω φύσεως αὐτοῦ μεταδιδόναι τῷ γενομένῳ.
98 (7.) Ταῦθ' ὑπειπὼν προσνομοθετεῖ κελεύων τὸν προσιόντα τῷ βωμῷ
καὶ ψαύοντα θυσιῶν, ἐν ᾧ χρόνῳ τέτακται τὰς ἱερὰς λειτουργίας ἐπιτελεῖν,
μήτ' οἶνον μήτε τι ἄλλο μέθυσμα πίνειν, τεττάρων ἕνεκα τῶν ἀναγκαιοτά-
99 των, ὄκνου καὶ λήθης καὶ ὕπνου καὶ ἀφροσύνης. ἄκρατος γὰρ τὰς μὲν

---

1 οἵαν R Arm: οἷον F, καὶ οἵαν AH (v) 2 νόησιν—(3) ἀρχιερέα] νόησις περὶ τῶν αὐτῶν μερῶν φιλοσοφίας γίνεται τῷ ἀρχιερεῖ Arm αὐτῆς] αὐτῶν F 5 ἔπειθ' RF: ἔπειτα AH 6 συλλειτουργεῖ H δὲ] γὰρ F τὸ RAH: om. F (v) ἱερωμένον codd. (v) 7 τὸν υἱόν, τὸ πᾶν scripsi: τὸν υἱὸν F Arm (v), τὸ πᾶν RAH 8 δε(δημιουρ)γηκότος καὶ γεγεννηκότος R: δεδημιουργηκότος AH, γεγεννηκότος F Arm (v) ἔστι] ἔτι F τρίτον τι RF: τι om. AH (v) ἱερᾶς om. F 9 γὰρ om. F 10 τε R: τ' AH, om. F 11 Ἰουδαίων] ἱερέων Arm 12 ἀνθρώπου F 13 πυρὸς RF Arm: καὶ πυρός AH (v) τ' AH 13. 14 καὶ τὸν κόσμον R, τόν τε κόσμον Arm 14 ἑαυτοῦ πατρίδα εἶναι RF: πατρίδα εἶναι ἑαυτοῦ AH (Turn.) 15 ἐξευμενίζεσθαι RF: ἐξευμενίζειν AH (v) 16 αὑτοῦ H (v) 17 ταῦτα προειπὼν Arm βωμῷ] θυσιαστηρίῳ AH 19 μήτ' RF Vind.: μὴ AH (v) ἄλλο om. RF πίνειν μέθυσμα transp. AH (v) τεσσάρων Vind. 20 καὶ ante ὕπνου om. H (Turn.)

17 sqq. Lev. 10,9. Ezech. 44,21. *Joseph. Ant. Iud. III* § *279* 19—25,10 Vind. hist. gr. 67 fol. 58v τοῦ αὐτοῦ περὶ ἱερωσύνης: (οὔτε κληρωτοὺς οὔτε ἐκ γένους οὔτε ἐξ ἑνὸς ψήφου βούλεται ὁ νόμος τοὺς ἱερεῖς εἶναι, ἀλλ' ὃν τὸ πλῆθος ἕλοιτο· καὶ γὰρ ἱκανὸς πρὸς πίστιν ὁ παρὰ τῶν τοιούτων γινόμενος ἔπαινος· ἀλλὰ) δεῖ τὸν ἱερέα τὸν μέλλοντα εἰς τὰ ἄδυτα εἰσιέναι μήτ' οἶνον πίνειν μήτε μὴν μέθυσμα, τεσσάρων ἕνεκα τῶν ἀναγκαιοτάτων — ἐμπόδιός ἐστιν.

τοῦ σώματος δυνάμεις ἀνιεὶς δυσκινητότερα τὰ μέλη ποιεῖ καὶ ὀκνηροτέρους ἀπεργάζεται καὶ βίᾳ καταδαρθάνειν ἀναγκάζει, τοὺς δὲ τῆς ψυχῆς τόνους ἐπιχαλῶν λήθης ὁμοῦ καὶ ἀφροσύνης αἴτιος γίνεται· νήφοντος δὲ τά τε μέρη τοῦ σώματος ἐπελαφριζόμενα εὐκινητότερα αἵ τε αἰσθήσεις καθαρώτεραι καὶ εἰλικρινέστεραι ὅ τε νοῦς ὀξυωπέστερος, ὡς καὶ προϊδέσθαι πράγματα δύνασθαι καὶ ἃ πρότερον εἶδεν ἀπομνημονεῦσαι. 100 συνόλως μὲν οὖν τὴν οἴνου χρῆσιν ἅπασι τοῖς κατὰ τὸν βίον ἀλυσιτελεστάτην ὑποληπτέον, ψυχῆς πιεζομένης, αἰσθήσεων ἀμαυρουμένων, βαρυνομένου σώματος — ἐλεύθερον γὰρ καὶ ἄφετον οὐδὲν ἐᾷ τῶν παρ' ἡμῖν, ἀλλ' ἑκάστῳ πρὸς ὃ πέφυκεν ἐμποδιός ἐστιν —, ἐν δὲ ταῖς ἁγιστείαις καὶ ἱερουργίαις p. 228 M. τὸ βλάβος | ἀργαλεώτερον, ὅσῳ καὶ τὸ περὶ θεὸν ἐξαμαρτεῖν τοῦ περὶ ἄνθρωπον ἀφορητότερον. ὅθεν εἰκότως προστέτακται νηφαλίους θύειν, „εἰς διαστολὴν καὶ διάκρισιν ἁγίων καὶ βεβήλων καὶ καθαρῶν καὶ ἀκαθάρτων“ καὶ νομίμων καὶ παρανόμων.

101 (8.) Ἐπεὶ δ' ὁ ἱερεὺς πολὺ πρότερον ἀνήρ ἐστι καὶ ταῖς πρὸς συνουσίαν ὁρμαῖς ἐξ ἀνάγκης ὀφείλει χρῆσθαι, γάμον αὐτῷ μνᾶται παρθένου καθαρᾶς καὶ ἐκ καθαρῶν γονέων καὶ πάππων καὶ προγόνων εἴς τε καλοκἀγαθίαν καὶ εὐγένειαν ἀριστίνδην ἐπικριθέντων. 102 πόρνη μὲν γὰρ καὶ βεβήλῳ σῶμα καὶ ψυχὴν οὐδὲ προσελθεῖν ἐᾷ, κἂν τὴν ἐργασίαν ἀποθεμένη σχῆμα κόσμιον καὶ σῶφρον ὑποδύηται, διὰ τὸ τὴν ἀρχαίαν προαίρεσιν ἀνίερον αὐτῇ γενέσθαι. αὕτη δὲ πρὸς μὲν τὰ ἄλλα ἐπιτιμίαν

---

1 μέλη] μέρη F Vind. Arm 2 καταδαρθάνειν] καταλαμβάνειν AH δὲ FA Vind.: τε RH (v) 3 νήφοντος RAH: νηφόντων F Vind. Arm (v) τε om. F Vind. 4. 5 καθαρώταται καὶ εἰλικρινέσταται F Vind., καθαρώτεραι καὶ εἰλικρινέσταται (sic) R 5 ὅ τε] ὅτι F[1] ὀξύτερος H ὡς καὶ F Vind.: ὥστε καὶ RA, ὥστε H (v) προειδέσθαι R 6 εἶδον Vind. 7 ἀλυσιτελέστατον Vind. 7. 8 εἶναι ante ὑποληπτέον add. F Vind. (v) 9 ἐᾷ τῶν] ἑαυτῶν Vind. ἕκαστον (?) Arm 10 ἁγιστίαις F 11 τὸ om. R βλάβος] βάρος AH (Turn.) ἀργαλαιότερον F[1], ἀργαλεώτατον AH (Turn.) καὶ om. Arm τὸ om. AH ἐξαμαρτεῖν RAH: ἐξαμαρτάνειν F (v), ἁμαρτάνειν D 12 νηφαλίους scripsi: νηφάλια RAH (v), om. F 13 εἰς RAH: κατὰ τὴν F (v) τῶν ἁγίων FH (v) 15 ἀρχιερεὺς coni. Mang. 16 χρᾶσθαι AH γάμῳ F[1] 16. 17 μνᾶται παρθένου καθαρᾶς RF: παρθενίας καθαρᾶς μνᾶται AH 17 καὶ προγόνων om. AH 18 ἐπικριθείσης coni. Mang. 19 σῶμα καὶ ψυχὴν F: σώματι καὶ ψυχῇ RAH (v) προσελθεῖν scripsi: προσιδεῖν codd. (v) 21 γενέσθαι] γεγενῆσθαι F (Mang.) αὕτη] αὐτὴ AH (v) τἄλλα F

---

11. 12 D[R] fol. 38[r] D[L] fol. 43[r] et 182[r] Φίλωνος: τὸ περὶ θεὸν ἁμαρτάνειν τοῦ περὶ ἄνθρωπον ἀφορητότερον. 13 Lev. 10,10 16sqq. Lev. 21,13. 14. cf. *Ioseph. Ant. Iud. III* § 277. *c. Ap. I* § 30. 31.

ἐχέτω σπουδάσασα μιασμάτων καθαρεῦσαι· μετάνοια γὰρ ἀδικημάτων ἐπαινετόν· καὶ μηδεὶς ἕτερος αὐτὴν ἄγεσθαι κεκωλύσθω, ἱερεῖ δὲ μὴ προσίτω· τὰ γὰρ ἱερωσύνης ἐξαίρετα δίκαια συμφωνίαν ἐπιζητούσης τὴν
103 ἀπὸ γενέσεως [ἀρχῆς] ἄχρι τελευτῆς ἀνυπαίτιον. εὔηθες γὰρ διὰ μὲν τὰς ἐκ τῶν τραυμάτων ἐπιγενομένας οὐλὰς ἐν τοῖς σώμασιν εἴργεσθαί τινας ἱερωσύνης, αἳ σύμβολον ἀτυχίας, οὐ μοχθηρίας, εἰσί, τὰς δὲ μὴ κατ᾽ ἀνάγκην μόνον ἀλλ᾽ ἔστιν ὅτε καὶ ἑκουσίοις γνώμαις πεπρακυίας τὴν ἰδίαν ὥραν, ἐπειδήπερ ὀψὲ καὶ μόλις μετέγνωσαν, εὐθὺς ἀπὸ ἐραστῶν ἱερεῦσιν ἁρμόζεσθαι καὶ ἀπὸ χαμαιτυπείων εἰς ἱερὰ χωρία μετοικίζεσθαι· μένουσι γὰρ οὐδὲν ἧττον ἐν ταῖς ψυχαῖς τῶν μετανοούντων
104 οὐλαὶ καὶ τύποι τῶν ἀρχαίων ἀδικημάτων. εὖ καὶ παγκάλως ἐν ἑτέροις διείρηται „μηδὲ μίσθωμα πόρνης εἰσκομίζειν εἰς τὸ ἱερόν“ (Deut. 23,18)· καίτοι τό γε νόμισμα καθ᾽ αὑτὸ οὐκ ἔνοχον, ἀλλὰ διὰ τὴν λαβοῦσαν καὶ τὴν πρᾶξιν ἐφ᾽ ᾗ δέδοται. σχολῇ γ᾽ ἂν ἔτι προσοῖτό τις εἰς κοινωνίαν ἱερέων γυναῖκας, ὧν καὶ τὰ χρήματα βέβηλα καὶ παράσημα, εἰ καὶ ταῖς ὕλαις καὶ τοῖς χαρακτῆρσι δόκιμα.

1 σπουδάσασα μιασμάτων καθαρεῦσαι RF Arm: διὰ τὸ τῶν πρὶν σπουδασμάτων καθαρεῦσαι AH (Turn.); διὰ τὸ τῶν πρὶν μιασμάτων καθαρεῦσαι Mang. μετάνοιαν L (Turn.) 2 ἐπαινετόν RF: ἐπαινετέον AH (v) ἕτερος] ἐξ ἑτέρων Arm ἄγεσθαι αὐτὴν transp. F μὴ RF: μηδὲ AH (v) 3 προσίτω] „concedatur“ (προσιέσθω?) Arm δικαίας συμφωνίας R ἐπιζητοῦσι F[1], ἐπιζητούση F[2], ἐπιζητοῦσιν $^{\text{ἧς}}$ ἧς (ortum ex ἐπιζητοῦσιν) R 4 γεννήσεως A ἀρχὴν RF ἀρχῆς seclusi 5 τὰς om. R ἐκ om. F ἐπιγινομένας AH (Turn.) εἴργασθαι F[1] 6 ἱερωσύνης] ἱερέων F αἳ] καὶ Arm εἰσί] εἰσὶν αὗται Arm 7 καὶ om. AH (Turn.) 8 μόλις καὶ ὀψὲ Arm ἀπ᾽ F 9 χαμαιτυπίων R, χαμαιτύπων F 11 εὖ RF Arm: ὅθεν AH, ὅθεν $^{\text{εὖ}}$ L, ὅθεν εὖ v 12 μηδὲ] μηδὲν AH (Turn.) εἰσκομίζειν] μὴ κομίζειν AH (Turn.); κομίζειν Mang. εἰς τὸ ἱερὸν ante μὴ κομίζειν transp. A, om. H ἱερὸν θεοῦ Arm 13 τό γε RF Vind.: γε τὸ AHD (v) καθ᾽ ἑαυτὸ Vind., κατ᾽ αὐτὸ D ἔνοχον] ἐναγὲς coni. Mang. διὰ om. D λαβοῦσαν] βαλοῦσαν coni. Mang. 14 σχολὴ F γ᾽ ἂν RAH: γὰρ F (v) ἔτι] εἰ AH προσοῖτό RF: πρόσοιτό AH (Mang.); προσεῖτό Turn. 15 καὶ τὰ om. AH 16 τοῖς] ταῖς H

10. 11 cf. *Zeno* frg. 158 Pearson (215 Arnim) ap. Sen. de ira I 16,7 nam, ut dixit Zeno, in sapientis quoque animo, etiam cum vulnus sanatum sit, cicatrix manet. sentiet itaque suspiciones quasdam et umbras affectuum: ipsis quidem carebit. 12—14 D[R] fol. 41[v] Φίλωνος εἰς τὸν δεκάλογον (sic), D[H] fol. 129[r] Φίλωνος: μίσθωμα πόρνης εἰσκομίζειν εἰς τὸ ἱερὸν ἀπηγόρευσεν ὁ νομοθέτης· καίτοι γε τὸ νόμισμα — δέδοται. Vind. hist. gr. 67 fol. 60[r]: μίσθωμα πόρνης οὐ θέμις τὸν ἱερέα εἰς τὸ ἱερὸν εἰσκομίζειν· καίτοι τοὺς (sic pro τό γε) νόμισμα — δέδοται.

(9.) Τὰ μὲν οὖν περὶ γάμον οὕτως ἠκρίβωται τῷ ἀρχιερεῖ, ὥστ' 105
οὐδὲ χήραν ἐφεῖται γαμεῖν αὐτῷ, οὔτε τετελευτηκότος ἀνδρὸς μονωθεῖσαν οὔτε ἀπηλλαγμένην ἔτι ζῶντος, ἵνα πρῶτον μὲν εἰς ἄβατον καὶ καθαρὰν ἄρουραν ὁ ἱερὸς σπόρος χωρῇ καὶ μηδεμίαν κρᾶσιν αἱ γοναὶ πρὸς ἑτέραν οἰκίαν λαμβάνωσιν, εἶτα δ' ὅπως ἀκακωτάταις καὶ ἀδιαστρόφοις ταῖς
p. 229 M. ψυχαῖς συνερχόμενοι ῥᾳδίως διαπλάττωσι τὰ | ἤθη καὶ τοὺς τρόπους αὐτῶν· ὁλκοὶ γὰρ καὶ εὐάγωγοι διάνοιαι παρθένων πρὸς ἀρετήν, εἰς διδασκαλίαν ἑτοιμόταται· ἡ δ' ἑτέρου πεῖραν ἀνδρὸς λαβοῦσα κατὰ τὸ εἰκὸς 106
ἀπειθεστέρα πρὸς μάθησιν, ἅτε τὴν ψυχὴν ἀκραιφνεστάτην οὐκ ἔχουσα καθάπερ τινὰ λελειασμένον κηρὸν εἰς τρανότητα τῶν ἐγγραφησομένων δογμάτων, ἀλλὰ τραχεῖαν ὑπὸ τῶν προεγχαραχθέντων τύπων, οἳ δυσεξάλειπτοι παραμένοντες ἢ οὐ παραδέχονται σφραγῖδας ἑτέρας ἢ παραδεξάμενοι συγχέουσι ταῖς ἑαυτῶν ἀνωμαλίαις. παρθένον οὖν ὁ ἀρχιερεὺς 107
ἀγέσθω γάμων ἁγνήν· λέγω δὲ παρθένον οὐ μόνον ᾗ μὴ ἕτερος ὡμίλησεν, ἀλλὰ καὶ ἐφ' ᾗ μηδεὶς ἄλλος ἀνὴρ ὠνομάσθη διά τινων ὁμολογιῶν, κἂν ἁγνεύῃ τὸ σῶμα.

(10.) Τοῖς δὲ κατὰ μέρος ἱερεῦσι τὰ μὲν ἄλλα περὶ γάμων δια- 108
τέτακται ταὐτὰ ἃ καὶ τοῖς τὴν μεγίστην ἔχουσιν ἱερωσύνην, ἐφεῖται δ' οὐ μόνον παρθένους ἀλλὰ καὶ χήρας, οὐ πάσας ἀλλ' ὧν τετελευτήκασιν ἄνδρες, μετ' ἀδείας ἄγεσθαι. φιλονεικίας γὰρ καὶ στάσεις ἐκ τοῦ βίου τῶν ἱερέων οἴεται δεῖν ὁ νόμος ἀναιρεῖν· πρὸς μὲν οὖν τοὺς ζῶντας γένοιντ' ἂν ἴσως ἔριδες ἐκ πάθους γυναικείου, ζηλοτυπίας, τοῖς δ' ἀπο-

1 μὲν οὖν] δὲ F (fort. recte) γάμον R: γάμου FAH (v) 2 ἐφεῖται RF: ἐφίεται AH (Mang.) οὔτε F: οὐδὲ RAH (v) 3 οὔτε R: οὔτ' FAH; οὔτ' ἂν Mang. 4 ἄρουραν om. Arm ἱερὸς] ἴδιος AH χωρῇ R: χωρεῖ F, χωρήσῃ AH (Turn.) 5 οἰκίαν] οἰκείαν AH, ὁμιλίαν Arm ἀκακωτάτοις RF (ἀκακωτάταις scripsi): ἀκακώτοις AH (v) 7 αὐτῶν Turn. γὰρ Arm (coni. Mang.): δὲ RF, om. AH ⟨καὶ⟩ εἰς coni. Mang. 10 λελιασμένον F, λελεγμένον (?) Arm 11 ἐγχαραχθέντων AH 11. 12 ἀνεξάλειπτοι AH 12 παραμένοντες RF: περιμένοντες AH (v) 12. 13 παραδεχόμενοι AH 13 συγχέουσι] οὐκ ἐῶσι Arm 13. 14 ἀγέσθω ὁ ἀρχιερεὺς transp. F 14 ἀγέσθω —παρθένον om. Arm γάμων RF (coni. Mang.): γάμῳ A, γάμου H ἁγνῶν F δὲ R (sic scripseram): δὴ FAH (v) μὴ ἕτερος RF: ἕτερος οὐχ AH; μὴ ἕτερος οὐχ v 15 μηδεὶς RF: οὐδεὶς AH ὠνομάσθη ᾗ F 18 τὰ αὐτὰ F ἐφίεται Mang. 19 οὐχ ἁπάσας F 20 μετὰ AH 21 τῶν] τοῦ F (Turn.) 22 γένοιντ' ἂν ἴσως RF: ἴσως γένοιντ' ἂν AH (Turn.)

2 Lev. 21,14. cf. *Ioseph. Ant. Iud. III § 277* 17 Lev. 21,7. cf. *Ioseph. Ant. Iud. III § 276.*

θανοῦσι συναποθνήσκει καὶ τὰ τῆς πρὸς τοὺς δευτέρους ἄνδρας ἔχθρας.
109 ἄλλως τε τὸν ἀρχιερέα πλείονος ἐδικαίωσεν ἁγιστείας καὶ καθάρσεως
ὥσπερ ἐν ἅπασι τοῖς ἄλλοις καὶ ἐν γάμου κοινωνίᾳ μεταλαχεῖν, οὐκ
ἐάσας ὅτι μὴ κόρην ἄγεσθαι· τοῖς δὲ τῆς δευτέρας τάξεως ὑπανῆκε τὰ
περὶ συνόδους γυναικῶν, ἐφεὶς καὶ πεπειραμένας ἑτέρων ἀνδρῶν ἐγγυᾶ-
110 σθαι. (11.) πρὸς δὲ τούτῳ καὶ τὸ γένος ἠκρίβωσε τῶν μελλουσῶν
γαμεῖσθαι, προστάξας τῷ μὲν ἀρχιερεῖ μνᾶσθαι μὴ παρθένον μόνον
ἀλλὰ καὶ ἱέρειαν ἐξ ἱερέων, ἵν᾽ ἐκ μιᾶς οἰκίας καὶ τρόπον τινὰ τοῦ αὐτοῦ
αἵματος ὦσι νυμφίος τε καὶ νύμφη πρὸς ἁρμονίαν ἐπιδειξάμενοι παρ᾽
111 ὅλον τὸν βίον κρᾶσιν ἠθῶν βεβαιοτάτην. ἐπετράπη δὲ τοῖς ἄλλοις καὶ
μὴ ἱερέων γαμεῖν θυγατέρας, τῇ μὲν ὅτι μικρὰ τούτων καθάρσια, τῇ
δ᾽ ὅτι τὸ ἔθνος οὐκ ἐβουλήθη γενεᾶς εἰς ἅπαν ἱερατικῆς ἀμοιρῆσαί τε
καὶ παντελῶς ἀπεζεῦχθαι. δι᾽ ἣν αἰτίαν οὐκ ἐκώλυσε τοὺς ἄλλους ἱερέας
ἐπιγαμίας ποιεῖσθαι πρὸς τοὺς ἀπὸ τοῦ ἔθνους. | αἵπερ εἰσὶ δεύτεραι p. 230 M.
συγγένειαι· γαμβροὶ γὰρ ἀνθ᾽ υἱῶν πενθεροῖς καὶ ἀντὶ πατέρων γαμβροῖς
πενθεροί.
112 (12.) Τὰ μὲν δὴ περὶ γάμου ταῦτα καὶ τὰ τούτοις ὅμοια χάριν
παίδων γενέσεως. ἐπεὶ δ᾽ ἕπεται γενέσει φθορά, καὶ τοὺς ἐπὶ τελευταῖς
ἀνέγραφε τοῖς ἱερεῦσι νόμους, κελεύσας μὴ ἐφ᾽ ἅπασιν αὐτοὺς μιαίνεσθαι
τοῖς ὁπωσοῦν ἢ κατὰ φιλίαν ἢ κατὰ συγγένειαν ᾠκειωμένοις, ἀλλ᾽ ἐπὶ
μόνοις πατράσι καὶ μητράσιν, υἱοῖς καὶ θυγατράσιν, ἀδελφοῖς καὶ ἀδελφαῖς
113 παρθένοις. τὸν δ᾽ ἀρχιερέα παντὸς πένθους ὑπεξείλετο· καὶ μήποτ᾽
εἰκότως· τὰς μὲν γὰρ τῶν ἄλλων ἱερέων ὑπηρεσίας ἀνθ᾽ ἑτέρων ἕτεροι
λειτουργεῖν δύνανται, ὡς, κἂν πενθῶσί τινες, μηδὲν τῶν ἐξ ἔθους ὑστε-

1 τὰ τῆς . . . ἔχθρας RF: ἡ . . . ἔχθρα AH (v) 2 καθάρσεως] κρίσεως AH 3 ἐν γάμῳ κοινωνίαν F 4 ὅτι] εἰ AH τῆς om. RF τάξεως om. AH ἐπανῆκε F (Turn.) 5 συνόδους R: συνόδου FAH (v) ἐφεὶς F ἑτέρων ἀνδρῶν RF: ἀνδρῶν ἑτέρων AH (v) ἐγγυᾶσθαι] μνᾶσθαι AH 7 παρθένον μόνον RF Arm: γυναῖκα παρθένον μόνον AH; μόνον γυναῖκα παρθένον Turn., μόνον παρθένον γυναῖκα Mang. 8 ἵνα AH 9 ἐπιδειξάμενοι codd.: ἐπιδειξόμενοι v 10 δὲ] δὲ καὶ R 12 τε om. AH (Turn.) 13 ἀπεζεῦχθαι scripsi: ἀποζεῦξαι codd. (v) 18 τελεταῖς (sic) R 20 ᾠκειωμένους H 21 μόνοις] μόνοις ἐξ F (v) pr. καὶ] ἢ F υἱοῖς καὶ θυγατράσιν om. R 22 ἅπαντος F πένθους v: πάθους codd. ὑπεξείλατο A 23 γὰρ om. AH ἱερέων om. AH 24 λειτουργοὶ H μηδὲ AH ἔθνους L (Turn.)

8 Lev. 21,13. cf. *Ioseph. Ant. Iud. III* § 277 τὸν ἀρχιερέα μέντοι οὐδὲ τεθνηκότος ἀνδρὸς ἠξίωσε γυναῖκα λαβεῖν, τοῦτο τοῖς ἄλλοις ἱερεῦσι συγχωρῶν, μόνην δ᾽ αὐτῷ (αὐτὸν?) γαμεῖν παρθένον καὶ ταύτην φυλάττειν (φυλέτιν recte coni. Mang.). *c. Ap. I* § 30. 31 19 sqq. Lev. 21,1—3. Ezech. 44,25. cf. *Ioseph. l. l.* 22 Lev. 21,11. cf. *Ioseph. l. l.*

ρίζειν, τὰς δὲ τοῦ ἀρχιερέως οὐδενὶ δρᾶν ἐφεῖται. παρ' ἣν αἰτίαν ἀμί-
αντος ἀεὶ διατελείτω μὴ προσαπτόμενος νεκροῦ σώματος, ὅπως τὰς ὑπὲρ τοῦ
ἔθνους εὐχὰς καὶ θυσίας ἕτοιμος ὢν ἐν καιροῖς τοῖς προσήκουσιν ἀκωλύτως
ἐπιτελῇ. καὶ γὰρ ἄλλως προσκεκληρωμένος θεῷ καὶ τῆς ἱερᾶς τάξεως 114
γεγονὼς ταξίαρχος ὀφείλει πάντων ἀλλοτριοῦσθαι τῶν ἐν γενέσει, μὴ
γονέων, μὴ τέκνων, μὴ ἀδελφῶν εὐνοίας οὕτως ἡττώμενος, ὡς ἢ παρελ-
θεῖν ἢ ὑπερθέσθαι τι τῶν ὁσίων, ὃ πραχθῆναι πάντως αὐτίκα ἄμεινον.
κελεύει δὲ μήτε τὰ ἱμάτια περιρρήττειν ἐπὶ τοῖς οἰκειοτάτοις ἀποθανοῦσι 115
μήτε ἀφαιρεῖν ἀπὸ τῆς κεφαλῆς τὸ παράσημα τῆς ἱερωσύνης μήτε συνόλως
ἐκ τῶν ἁγίων ἐξιέναι κατὰ πρόφασιν πένθους, ἵνα καὶ τὸν τόπον αἰδού-
μενος καὶ τὰ περὶ ἑαυτὸν προκοσμήματα οἷς ἀνέστεπται, κρείττων οἴκτου
γενόμενος, ἄλυπος εἰς ἀεὶ διατελῇ. βούλεται γὰρ αὐτὸν ὁ νόμος μείζονος 116
μεμοιρᾶσθαι φύσεως ἢ κατ' ἄνθρωπον, ἐγγυτέρω προσιόντα τῆς θείας,
μεθόριον, εἰ δεῖ τἀληθὲς λέγειν, ἀμφοῖν, ἵνα διὰ μέσου τινὸς ἄνθρωποι
μὲν ἱλάσκωνται θεόν, θεὸς δὲ τὰς χάριτας ἀνθρώποις ὑποδιακόνῳ τινὶ
χρώμενος ὀρέγῃ καὶ χορηγῇ.

(13.) Ταῦτ' εἰπὼν ἑξῆς εὐθὺς νομοθετεῖ περὶ τῶν χρησομένων ταῖς 117
ἀπαρχαῖς. ἐὰν οὖν τις, φησί, τῶν ἱερέων ὀφθαλμοὺς ἢ χεῖρας ἢ βάσεις
ἤ τι μέρος ἄλλο πηρωθῇ τοῦ σώματος ἢ καί τινα μῶμον ἐνδέξηται,
λειτουργιῶν μὲν ἀνεχέτω διὰ τὰς ἐγγενομένας κῆρας, τὰ δὲ κοινὰ τῶν
ἱερέων γέρα καρπούσθω διὰ τὴν ἀνυπαίτιον εὐγένειαν. ἐὰν μέντοι λέ- 118
πραι τινὸς ἐξανθήσασαι κατάσχωσιν ἢ καὶ γονορρυής τις γένηται τῶν
ἱερέων, μήτε τραπέζης ἱερᾶς ψαυέτω μήτε τῶν προκειμένων ἄθλων τῷ
γένει, μέχρις ἂν ἥ τε ῥύσις ἐπίσχῃ καὶ ἡ λέπρα μεταβαλοῦσα τῷ τῆς
ὑγιοῦς σαρκὸς ἐξομοιωθῇ χρώματι. κἂν προσάψηται μέντοι τις ὅτου 119

1 τὰς F: τὰ RAH (Turn.) ἐφεῖται codd.: ἐφίεται Mang. 3 ἔθνους RAH Arm: κόσμου F (v) 4 alt. καὶ] ἐκ R 6 μηδὲ ἀδελφῶν AH (Turn.) 7 ὁσίων F Arm: θείων R, ὄντων AH (Turn.) 8 ἱμάτια RF: εἵματα AH (v) 9 μήτε R: μήτ' FAH ἀπὸ om. F 11 ἑαυτὸν RA: αὐτὸν FH προκοσμήματα F: κοσμήματα RAH ἂν ἔστεπται F 13 κατὰ AH 14 τἀληθῆ F 17 ἑξῆς εὐθὺς Turn.: ἑξῆς RF (Mang.), εὐθὺς AH 18 φησί τις transp. F 19 μέρος RF: μέλος AH (v) πηρωθῇ RF: παραπηρωθῇ AH (v) ἐνδείξηται AH (Turn.) 20 ἀνεχέτω RF: μὴ μετεχέτω AH (v) ἐγγινομένας AH (Turn.) κῆρας] λώβας AH κοινὰ] λοιπὰ AH 21 καρποῦσθαι H 22 τινὸς RF: τινὲς AH (v) καὶ om. AH 24 μεταβαλλοῦσα (sic) F 25 ὑγιοῦς] ἄλλης (?) Arm ἐξωμοιωθῇ (sic) FH

8 Lev. 21,10. 12 18 Lev. 21,17—23. cf. *Ioseph. Ant. Iud. III § 278. c. Ap. I § 284* 21 sqq. Lev. 22,4—7.

δήποτε τῶν | ἀκαθάρτων ἱερεὺς ἢ καὶ νύκτωρ, οἷα φιλεῖ πολλάκις, p. 231 M. ὀνειρώξῃ, τὴν ἡμέραν ἐκείνην μηδὲν προσφερέσθω τῶν καθιερωθέντων.
120 λουσάμενος δ' ἐπιγενομένης ἑσπέρας χρῆσθαι μὴ κεκωλύσθω. πάροικος δ' ἱερέως καὶ μισθωτὸς εἰργέσθω τῶν ἀπαρχῶν, ὁ μὲν πάροικος, ἐπειδὴ γείτονες τὰ πολλὰ συνέστιοι καὶ ὁμοτράπεζοι· δέος γάρ, μὴ προῆταί τις τὰ καθιερωθέντα προφάσει καταχρησάμενος εἰς ἀσέβειαν ἀκαίρῳ φιλανθρωπίᾳ· μεταδοτέον γὰρ οὐ πᾶσι πάντων, ἀλλὰ τῶν ἐφαρμοζόντων τοῖς ληψομένοις· εἰ δὲ μή, τὸ κάλλιστον καὶ λυσιτελέστατον τῶν ἐν τῷ βίῳ, τάξις, ἀναιρεθήσεται ὑπὸ τοῦ βλαβερωτάτου παρευημερηθεῖσα, συγχύσεως.
121 εἰ γὰρ ἴσον μὲν μέρος ἐν ὁλκάσιν οἴσονται ναῦται κυβερνήταις, ἴσον δὲ ἐν ταῖς μακραῖς τριήρεσι τριηράρχοις καὶ ναυάρχοις ἐρέται καὶ τὸ ἐπιβατικόν, ἐν δὲ στρατοπέδοις ἴσον ἱππεῖς μὲν ἱππάρχοις, ὁπλῖται δὲ ταξιάρχοις, λοχαγοὶ δὲ στρατηγοῖς, ἐν δὲ πόλεσι κρινόμενοι δικασταῖς καὶ βουλευταὶ προβούλοις καὶ συνόλως ἄρχουσιν ἰδιῶται, ταραχαὶ καὶ στάσεις γενήσονται καὶ ἡ ⟨διὰ⟩ λόγων ἰσότης τὴν δι' ἔργων ἀνισότητα γεννήσει· τὸ γὰρ τοῖς τὰς ἀξίας ἀνομοίοις ὅμοια ἀπονέμειν ἄνισον,
122 τὸ δ' ἄνισον πηγὴ κακῶν. οὗ χάριν καὶ τὰ γέρα τῶν ἱερέων οὐ δοτέον ὥσπερ ἄλλοις οὐδὲ τοῖς παροίκοις ἕνεκα τοῦ γειτνιᾶν ἐφαψομένοις ὧν οὐ θέμις· οὐ γὰρ οἰκίας ἀλλὰ γένους ἐστὶν ἡ τιμή.
123 (14.) ὁμοίως μέντοι μηδὲ μισθωτῷ μηδεὶς παρεχέτω μήτε μισθὸν μήθ' ὑπηρεσίας ἀμοιβὴν ἱερὸν γέρας· χρήσεται γὰρ ὁ λαβὼν ἔστιν ὅτε

1 καὶ om. AH   2 ὀνειρώξει H   3 δὲ AH   ἐπιγινομένης F   ἑσπέρας] ἡμέρας Arm   4 δὲ AH   5 γείτονες τὰ πολλὰ RF Arm: μὴ πάντες γείτονες AH (v)   προῆταί] πρόηταί codd. (v)   6 καταχρησάμενος RF: χρησάμενος AH (v)   7 post γὰρ add. τούτων Arm   9 τοῦ βλαβερωτάτου R: τῆς βλαβερωτάτης FAHD (v)   10 μὲν μέρος scripsi: μὲν F Arm, μέρος RAH (v)   δ' AH   11 τριήρεσι τριηράρχοις scripsi: τριήρεσι AHD (v), τριηράρχοις RF   ναυάρχαις AH (v)   12 ἐν δὲ RF: ἔν τε AHD (v)   μὲν ἱππεῖς transp. F   ἱππάρχοις F: χιλιάρχοις RD, χιλιάρχαις AH   13 ταξιάρχαις AH (v)   κρινόμενοι δικασταῖς RF: δικασταῖς κρινόμενοι AHD (v)   14 βουλευταὶ προβούλοις D: βουλευταῖς πρόβουλοι RF, βουλευταὶ AH   προβούλοις—ἰδιῶται om. AH   15 διὰ λόγων scripsi: λόγων F (Turn.), λόγω RAHD (Mang.)   16 τοῖς om. D[P]   17 καὶ om. Arm   τὰ γέρα RA: γέρα H (Turn.), τὰ γέρα τὰ F (Mang.)   18 ἄλλοις] ἀλλογενέσι coni. Mang.   18. 19 ἐφαψομένοις Turn. (R?): ἐφαψαμένοις FAH   19 γενῶν Arm   20 μισθωτὸν H   μηδεὶς RAH: τις F Arm (Mang.)   μισθῶν A   21 μήθ' RF: μήτε AH   post ὅτε add. ἀνίερος F (v), om. RAH Arm

3. 4 Lev. 22,10   7—9 D[K] fol. 179[r] Φίλωνος ἐκ τῶν περὶ τοῦ ἱεροῦ (sic): μεταδοτέον οὐ πᾶσι—συγχύσεως. pergit lin. 16   7—17 D[P] fol. 334[r] Φίλωνος: μεταδοτέον οὐ πᾶσι—πηγὴ κακῶν.   16. 17 D[K] l. l. ἐκ τοῦ αὐτοῦ: τὰ ὅμοια τοῖς ἀναξίοις ἀπονέμειν ἄνισον, τὸ δὲ ἄνισον πηγὴ κακῶν.

πρὸς ἃ μὴ δεῖ, βέβηλα τὰ τῆς εὐγενείας ἆθλα καὶ τῆς περὶ τὸν νεὼν
λειτουργίας ἀπεργασάμενος. δι' ἣν αἰτίαν οὐδ' ἀλλογενεῖ συνόλως ὁ νόμος 124
ἐπιτρέπει μεταλαμβάνειν τῶν ἁγίων, κἂν εὐπατρίδης ὢν τυγχάνῃ τῶν
αὐτοχθόνων καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἀνεπίληπτος [ὤν], ἵνα αἱ
τιμαὶ μὴ νοθεύωνται, μένωσι δ' ἐν τῇ ἱερατικῇ τάξει βεβαίως φυλαττό-
μεναι. καὶ γὰρ ἄτοπον τὰς μὲν θυσίας καὶ ἱερουργίας καὶ ὅσα ἄλλα περὶ 125
τὸν βωμὸν ἁγιστεύεται μὴ πᾶσιν ἀλλὰ τοῖς ἱερεῦσι μόνοις ἐπιτετράφθαι,
τὰ δὲ ἀντὶ τούτων ἆθλα κοινὰ γίνεσθαι καὶ τῶν ἐπιτυχόντων, ὡς δέον μὲν
πόνοις πολλοῖς καὶ καμάτοις καὶ ταῖς μεθ' ἡμέραν καὶ νύκτωρ φροντίσιν
ἀποτρύχειν τοὺς ἱερέας, τὰ δ' ἆθλα κοινὰ καὶ τοῖς ἀργοῦσιν ἀποφαίνειν.
οἰκογενεῖ δέ, φησίν, καὶ ἀργυρωνήτῳ μεταδιδότω δεσπότης ἱερεὺς σιτίων 126
καὶ ποτῶν ἐκ τῶν ἀπαρχῶν· πρῶτον μὲν ὅτι θεράποντι πόρος εἷς ὁ
δεσπότης, ὁ δὲ τοῦ δεσπότου κλῆρος αἱ ἱεραὶ φιλανθρωπίαι, ἐξ ὧν ἀνάγκη
τὸν δοῦλον τρέφεσθαι· δεύτερον δ' ὅτι τὰ γενησόμενα πάντως ἀνάγκη 127
δρᾶν ἑκόντας· οἱ δ' οἰκέται, κἂν μὴ θέλωμεν, ἅτε ἀεὶ συνόντες καὶ
p. 232 M. συνδιαιτώμενοι, σιτία | τε καὶ ποτὰ καὶ ὄψα τοῖς δεσπόταις προευτρεπι-
ζόμενοι καὶ τραπέζαις ἐφεστῶτες καὶ τὰ λείψανα ἐκκομίζοντες, κἂν μὴ
φανερῶς λαμβάνωσι, λάθρα γοῦν ὑφαιρήσονται, κλέπτειν ὑπὸ τῆς ἀνάγκης
βιασθέντες, ὡς ἀνθ' ἑνὸς ἐγκλήματος, εἴπερ ἐστὶν ἀδίκημα τὸ ἐκ τῶν
δεσποτικῶν τρέφεσθαι, καὶ ἕτερον προσκατασκευάζεσθαι, κλοπήν, ἵνα οἷα
φῶρες πρὸ τῶν ἀνυπαιτίως ζώντων ἀπολαύσωσι τῶν καθιερωθέντων,
ὅπερ ἐστὶν ἀτοπώτατον· τρίτον κἀκεῖνο χρὴ λογίζεσθαι, ὅτι τὰ τῶν 128
ἀπαρχῶν οὐ παρόσον ἐπινέμεται τοῖς οἰκέταις ὀλιγωρηθήσεται, διὰ τὸν
δεσποτικὸν φόβον· ἱκανὸς γὰρ οὗτος ἐπιστομίζειν τήν τινων εὐχέρειαν
ῥᾳθυμεῖν οὐκ ἐφιείς.

2 ἀπεργασάμενος] ποιησάμενος AH   ἀλλογενῆ F[1]   3 ἐπιτρέπεται AH
4 alt. πρὸς om. FA   πρὸς γυναικῶν καὶ πρὸς ἀνδρῶν transp. Arm   ὤν secl. Mang.   ἵν' F   5 μείνωσι AH   6 ὅσ' F   8 ἀντὶ τούτων] ἐπὶ τούτοις AH   post ὡς add. οὐ F (Mang.)   8. 9 δέον μὲν πόνοις F: δέον πόνοις μὲν AH, μὲν om. R; μὲν δέον πόνοις Mang.   9 μεθ'] καθ' AH
12 θεράποντι πόρος] θεράποντος πόθος AH   14 ⟨καὶ⟩ τὸν δοῦλον coni. Mang.
15 δρᾶν ἑκόντας RF Arm: χρὴ δρᾶν ἑκόντας AH; μὴ δρᾶν ἄκοντας v   ἐθέλωμεν AH
19 ὡς] ὡς ἂν F   ἐγκλήματος RF Arm: ἀδικήματος AH (Mang.)   20 δεσποτῶν R (ut vid.)   ἕτερον F (coni. Mang.): ἑτέραν RAH (v)   προσκατασκευάζεσθαι R: προκατασκευάζεσθαι F, προσπαρασκευάζεσθαι AH (v)   20. 21 οἷα φῶρες RAH: φωρὸς F (v)   21 πρὸ τῶν Mang.: πρὸς τῶν AH, τρόπον RF; (φωρὸς) τρόπον πρὸς τῶν v   22 χρὴ κἀκεῖνο transp. F   23 ἀπονέμεται AH   24 οὗτος] ὁ αὐτὸς F

2 Lev. 22,10   11 Lev. 22,11.

129 (15.) Ταῦθ' ὑπειπὼν φιλανθρωπίας μεστὸν νόμον ἑξῆς ἀναγράφει.
ἐὰν θυγάτηρ, φησίν, ἱερέως γημαμένη μὴ ἱερεῖ χηρεύσῃ, τελευτήσαντος
ἀνδρὸς ἢ καὶ ἔτι ζῶντος, ἄπαις καταλειφθεῖσα, πάλιν ἐπὶ τὸν πατρῷον
οἶκον ἐπανερχέσθω μεταληψομένη τῶν ἀπαρχῶν, ὧν καὶ ἡνίκα παρθένος
ἦν ἐκοινώνει· τρόπον γάρ τινα καὶ νῦν ἐστι δυνάμει παρθένος ἡ καὶ
ἀνδρὸς καὶ παίδων ἔρημος, οὐδεμίαν ἑτέραν ἔχουσα καταφυγὴν ὅτι μὴ
130 τὸν πατέρα. υἱῶν δὲ ὄντων ἢ θυγατέρων, ἀνάγκη τὴν μητέρα τοῖς
τέκνοις συντετάχθαι· υἱοὶ γὰρ καὶ θυγατέρες τῆς τοῦ γεννήσαντος οἰκίας
ὄντες εἰς ταύτην συνεφέλκονται καὶ τὴν μητέρα.

Γέρα ἱερέων.

131 (1.) Τοῖς ἱερεῦσιν οὐκ ἀπένειμε χώρας ἀποτομὴν ὁ νόμος, ἵν' ὡς
ἕτεροι τὰς ἀπὸ τῆς γῆς καρπούμενοι προσόδους τῶν ἀναγκαίων εὐπο-
ρῶσιν, ἀλλ' ὑπερβολῇ χρησάμενος τιμῆς τὸν θεὸν ἔφη κλῆρον αὐτῶν
εἶναι (Num. 18,20. Deut. 18,2), κατ' ἀναφορὰν τὴν ἐπὶ τὰ καθιερού-
μενα, δυεῖν ἕνεκα, τῆς τε ἀνωτάτω τιμῆς, ἐπεὶ κοινωνοὶ τῶν κατ' εὐχα-
ριστίαν ἀπονεμομένων γίνονται θεῷ, καὶ τοῦ περὶ μόνα πραγματεύεσθαι δεῖν
132 τὰ περὶ τὰς ἁγιστείας ὥσπερ τινὰς κλήρων ἐπιμελητάς. ἃ δὲ | προτίθησιν p. 233 M.
ἆθλα καὶ ἀριστεῖα ταῦτ' ἐστί. πρῶτον μὲν ἄπονον καὶ ἀταλαίπωρον
τροφὴν ἑτοίμην· κελεύει γὰρ τοὺς σιτοπονοῦντας ἀπὸ παντὸς στέατός τε
καὶ φυράματος ἄρτον ἀφαιρεῖν ἀπαρχὴν εἰς ἱερέων χρῆσιν, προνοούμενος
ἅμα καὶ τῆς εἰς εὐσέβειαν ἀγούσης ὁδοῦ νομίμῳ διδασκαλίᾳ τῶν ἀφαι-
133 ρούντων. ἐθιζόμενοι γὰρ ἀεὶ καὶ τῆς ἀναγκαίας τροφῆς ἀπάρχεσθαι τὴν
θεοῦ μνήμην ἄληστον ἕξουσιν. οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν.

2 φησίν] μὲν F μὴ om. F Arm 3 ἀνδρὸς RFH: τοῦ ἀνδρὸς A (v) καταληφθεῖσα H 4 ἐπανερχέσθω RF: ἀνερχέσθω AH (v) καὶ om. L (Turn.) 5 ἡ RFA: εἰ H (v) 7 δ' F 8 γὰρ scripsi: δὲ codd. 9 συνεφέλκονται RF: συνυφέλκονται AH (v) 10 tit. γέρα ἱερέων RF: τίνα γέρα ἱερέων A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ τοῦ τίνα γέρα ἱερέων H, περὶ ἱερέων Arm 12 τὰς] τὰ F τῆς om. F 13 τιμῆς om. F 14 κατὰ AH 15 δυεῖν RF: δυοῖν AH τ' F 16 δεῖν RA Arm: δ spat. 1—2 litt. F, δὴ H (v) 17 τὰς] τῆς AH 18 ἄπονον—παντὸς (19) om. AH 19 ἑτοίμην τροφὴν transp. R 20 ἄρτον] ἄρτου Arm, ἄρτιον AH 21 ἅμα om. F διδασκάλῳ AH 22 καὶ om. F ἄρχεσθαι AH

2 Lev. 22,13 19 Num. 15,19—21. 18,11. cf. *Joseph. Ant. Iud. IV* § 71 ... τούς τε πέττοντας τὸν σῖτον καὶ ἀρτοποιουμένους τῶν πεμμάτων αὐτοῖς τινα χορηγεῖν.

πολυανθρωποτάτου δ' ἔθνους ἀναγκαῖον εἶναι καὶ τὰς ἀπαρχὰς ἀφθόνους,
ὡς καὶ τὸν ἀπορώτατον τῶν ἱερέων ἕνεκα περιουσίας τροφῶν εὐπορώ-
τατον δοκεῖν εἶναι. δεύτερον δὲ προστάττει καὶ ἀπὸ τῆς ἄλλης ἁπάσης 134
κτήσεως ἀπάρχεσθαι, καθ' ἑκάστην μὲν ληνὸν οἶνον, καθ' ἑκάστην δ'
ἅλωνα σῖτόν τε καὶ κριθήν, ὁμοίως δ' ἐξ ἐλαιῶν ἔλαιον καὶ ἀπὸ τῶν
ἄλλων ἀκροδρύων ἡμέρους καρπούς, ἵνα μὴ τἀναγκαῖα μόνον ἔχοντες
αὐχμηρότερον ἀποζῶσιν, ἀλλὰ καὶ τῶν πρὸς ἁβροδίαιτον βίον εὐποροῦντες
ἱλαρώτερον ἐξ ἀφθόνων τρυφῶσι μετὰ κόσμου τοῦ προσήκοντος. τρίτον 135
ἐστὶ γέρας τὰ πρωτότοκα ἀρρενικὰ πάντα τῶν χερσαίων ὅσα πρὸς ὑπη-
ρεσίαν καὶ χρῆσιν ἀνθρώπων· ταῦτα γὰρ κελεύει διαδίδοσθαι τοῖς ἱερεῦσι,
βοῶν μὲν καὶ προβάτων καὶ αἰγῶν αὐτὰ τὰ ἔκγονα, μόσχους καὶ κριοὺς
καὶ χιμάρους, ἐπειδὴ καθαρὰ καὶ πρὸς ἐδωδὴν καὶ πρὸς θυσίας ἐστί
τε καὶ νενόμισται, λύτρα δὲ τῶν ἄλλων κατατιθέναι, ἵππων καὶ ὄνων
καὶ καμήλων καὶ τῶν παραπλησίων, μὴ μειοῦντας τὴν ἀξίαν. ἔστι δὲ 136
καὶ ταῦτα παμπληθῆ· κτηνοτροφοῦσι γὰρ καὶ ζῳοτροφοῦσιν ἐν τοῖς
μάλιστα οἱ ἀπὸ τοῦ ἔθνους αἰπόλια καὶ βουκόλια καὶ ποίμνας καὶ μυρίας
ἄλλας ἀγέλας παντοδαπῶν ζῴων ἐκνέμοντες. ἤδη μέντοι καὶ προσυπερ- 137
βάλλων ὁ νόμος οὐ μόνον ἀπὸ τῆς κτήσεως καθ' ἑκάστην ἰδέαν ἀπάρ-
χεσθαι προστάττει, ἀλλὰ καὶ ἀπὸ τῶν οἰκείων ψυχῶν τε καὶ σωμάτων·
μέρη γὰρ διαιρετὰ γονέων παῖδές εἰσιν, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν,

1 δὲ AH 2 τῶν ἀπορωτάτων H 3 εἶναι δοκεῖν transp. F ἄλλης om. Arm 3. 4 κτήσεως πάσης transp. AH 4 καθ' ἑκάστην δ'] τὴν δ' AH (Turn.) 5 τε] μὲν AH κριθὰς AH (Turn.) ἐξ ἐλαιῶν ἔλαιον καὶ om. F Arm 6 ἄλλων om. Arm. τὰ ἀναγκαῖα AH 7 τῶν] τὸν H 8 τρυφῶσιν R 9 πρωτότοκ' F post ἀρρενικὰ add. καὶ AH (v) 9. 10 ὑπηρεσίαν codd.: ὑπηρεσίας v 10 δίδοσθαι AH ἱερεῦσι] ἱερωμένοις ἀνθρώποις H (v), ἱερουμένοις ἀνθρώποις A 12 καὶ πρὸς θυσίας RF: καὶ θυσίαν AH (Turn.) 13 κατατιθέναι τῶν ἄλλων transp. AH (v) 14 μὴ μειοῦντας τὴν ἀξίαν om. Arm 16 μάλισθ' F 17. 18 προσυποβάλλων A 18 τῆς om. F 19 προστέταχεν AH (v) τε om. AH (v)

3 Exod. 22,29. 34,26. Num. 18,13. Deut. 18,4. 26,2sqq. cf. *Ioseph. Ant. Iud. IV* § 70 ἔτι δὲ ἀπαρχὰς τὸν λαὸν δίκαιον τῷ θεῷ πάντων τῶν ἐκ τῆς γῆς φυομένων καρπῶν ἐπιφέρειν. 9 Exod. 13,2. 12. 22,30. 34,19. 20. Lev. 27,26. 27. Num. 18,15. 17. Deut. 15,19. cf. *Ioseph. l. l.* καὶ τῶν τετραπόδων δὲ τῶν εἰς τὰς θυσίας νενομισμένων τὸ γεννηθὲν πρῶτον, ἂν ἄρσεν ᾖ, καταθῦσαι παρασχεῖν τοῖς ἱερεῦσιν, ὥστε αὐτοὺς πανοικὶ σιτεῖσθαι ἐν τῇ ἱερᾷ πόλει. (71) τῶν δ' οὐ νενομισμένων ἐσθίειν παρ' αὐτοῖς κατὰ τοὺς πατρίους νόμους τοὺς δεσπότας σίκλον καὶ ἥμισυ αὐτοῖς ἀναφέρειν, ἀνθρώπου δὲ πρωτοτόκου πέντε σίκλους.

ἀδιαίρετα, συγγενικῷ αἵματι καὶ λόγοις προγόνων, ἀοράτοις εἴδεσιν, εἰς ἐκγόνους διήκουσι φίλτροις τε ἑνωτικῆς εὐνοίας καὶ φύσεως δεσμοῖς ἀλύτοις
138 ἡρμοσμένοι. ἀλλ' ὅμως καὶ τούτων τοὺς πρωτοτόκους ἄρρενας τρόπον ἀπαρχῆς καθιεροῖ, χαριστήρια εὐτεκνίας καὶ εὐγονίας οὔσης τε καὶ ἐλπιζομένης, καὶ ἅμα βουλόμενος οὐ μόνον ἀμέμπτους ἀλλὰ καὶ σφόδρα ἐπαινετοὺς εἶναι τοὺς γάμους, ἐξ ὧν ὁ πρῶτος βλαστήσας καρπὸς καθιεροῦται· ὅπερ χρὴ λογιζομένους καὶ ἄνδρας καὶ γυναῖκας σωφροσύνης καὶ οἰκουρίας καὶ ὁμονοίας περιέχεσθαι καὶ συμπνέοντας ἀλλήλοις ἔν τε λόγῳ
139 καὶ ἔργῳ τὴν λεγομένην κοινωνίαν ἀληθείᾳ παγίως βεβαιοῦσθαι. τῆς δὲ τῶν πρωτοτόκων | υἱῶν καθιερώσεως, ὑπὲρ τοῦ μήτε γονεῖς τέκνων p. 234 M.
μήτε τέκνα γονέων διαζεύγνυσθαι, τιμᾶται τὴν ἀπαρχὴν ἀργυρίῳ ῥητῷ, προστάξας ἴσον εἰσφέρειν καὶ πένητα καὶ πλούσιον, οὐ πρὸς ἀξίωμα τῶν εἰσφερόντων οὐδὲ πρὸς εὐεξίαν καὶ κάλλος τῶν γεννηθέντων ἀπιδών, ἀλλ'
140 ὅσον δυνατὸν εἰσενεγκεῖν καὶ τῷ λίαν ἀπόρῳ σταθμησάμενος. ἐπειδὴ γὰρ ἡ παίδων γένεσις ἐν ἴσῳ καὶ τοῖς λαμπροτάτοις καὶ τοῖς ἀφανεστάτοις εἴωθε συμβαίνειν, ἴσην ἐδικαίωσε καὶ τὴν εἰσφορὰν νομοθετῆσαι
141 στοχασάμενος, ὡς ἔφην, μάλιστα τοῦ πᾶσι δυνατοῦ. (2.) μετὰ δὲ ταῦτα καὶ ἄλλον πόρον οὐ βραχὺν ἐπινέμει τοῖς ἱερεῦσιν, ἕκαστον τῶν προσόδων ἀπάρχεσθαι κελεύσας, ἀπό τε σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ ἔτι θρεμμάτων ἐπιγονῆς κατά τε ποίμνας καὶ βουκόλια καὶ αἰπόλια καὶ τὰς ἄλλας ἀγέλας. ὅση δὲ καὶ τούτων ἐστὶν
142 ἀφθονία, τεκμήραιτ' ἄν τις ἐκ τῆς περὶ τὸ ἔθνος πολυανθρωπίας. ἐξ ὧν ἁπάντων δῆλόν ἐστιν, ὅτι βασιλέων σεμνότητα καὶ τιμὴν περιάπτει

1 λόγοις ... εἴδεσιν] τοῖς προγόνων ἀοράτοις εἴδεσιν coni. Mang. ἀοράτοις εἴδεσιν RL: ἀρρήτοις εἴδεσιν AH, ἀοράτοις (om. εἴδεσιν) F Arm. 2 ἐγγόνους R τ' F ἐννοίας Arm 4 εὐγονίας καὶ εὐτεκνίας transp. F 5 σφόδρ' F 6 εἶναι post ἀμέμπτους (5) transp. AH (Turn.) βλαστήσας F: βλαστήσει R, βλαστὸς ἢ AH, βλαστὸς ἢ καὶ Arm 7 καὶ ante ἄνδρας om. Arm 8. 9 ἔργῳ καὶ λόγῳ transp. H (v) 9 ἀληθεῖ AH παγίως scripsi: παγίῳ codd. (v) 9. 10 τῆς ... καθιερώσεως RAH: τὴν ... καθιέρωσιν F (Turn.); τὴν καθιέρωσιν ⟨οὐ δέχεται⟩ conicio, τῆς ... καθιερώσεως ⟨εἴργων⟩ coni. Wendl. 10 ante ὑπὲρ add. ὡς H 11 τιμᾶται] ἀλλὰ τιμᾶσθαι Arm; ⟨ἀλλὰ⟩ τιμᾶται conicio 13 εὐεξίαν] δεξίαν H, ἀξίαν A κάλλος codd. Arm: κάλλους v 16 εἴωθε] πέφυκε Arm καὶ om. F νομοθετῆσαι F Arm: om. RAH 18 ἐπινέμει] ἐπινοεῖ AH ἕκαστος F, ἑκατοστὸν Arm 19 καὶ οἴνου R Arm: καὶ om. FAH (Turn.) 20 ἐπὶ γονῆς F 22 τεκμήραιτ' R: τεκμήραιτο FAH περὶ RF: παρὰ AH (Turn.) 23 δῆλόν ἐστιν RF: ἐστὶ δῆλον AH (v) βασιλέων RAH: βασιλέως εἰς F (Turn.)

3 Exod. 13,2. 22,29 11 Exod. 34,20. Num. 18,15. 16 19 Num. 18,12.

τοῖς ἱερεῦσιν ὁ νόμος· ὡς γοῦν ἡγεμόσι φόρους ἀπὸ παντὸς μέρους κτήσεως δίδοσθαι κελεύει, καὶ δίδονται τὸν ἐναντίον τρόπον ἢ ὃν αἱ πόλεις τοῖς δυνάσταις εἰσφέρουσιν· αἱ μὲν γὰρ ἐξ ἀνάγκης καὶ μόλις, 143 ἐπιστένουσαι, τοὺς ἐκλογεῖς τῶν χρημάτων ὡς κοινοὺς λυμεῶνας ὑποβλεπόμεναι καὶ προφάσεις ἄλλοτε ἀλλοίας σκηπτόμεναι καὶ τῶν προθεσμιῶν ἀλογοῦσαι τὰ ὁρισθέντα τέλη καὶ δασμοὺς κατατιθέασιν· οἱ [δ'] ἀπὸ 144 τοῦ ἔθνους [τὰ ἱερατικὰ] γεγηθότες, χαίροντες, τοὺς αἰτοῦντας φθάνοντες, τὰς προθεσμίας ἐπιτέμνοντες, λαμβάνειν ἀλλ' οὐ διδόναι νομίζοντες, μετ' εὐφημίας καὶ εὐχαριστίας καθ' ἑκάστην τῶν ἐτησίων ὡρῶν ποιοῦνται τὰς εἰσφοράς, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, αὐτοκελεύστῳ προθυμίᾳ καὶ ἑτοιμότητι καὶ σπουδῇ παντὸς λόγου κρείττονι.

(3.) Καὶ ταῦτα μὲν ἀπὸ τῆς ἑκάστου κτήσεως ἐπινέμεται· ἄλλαι 145 δέ εἰσιν ἐξαίρετοι πρόσοδοι πρεπωδέσταται ἱερεῦσιν αἱ ἀπὸ τῶν ἀναγομένων θυσιῶν. παντὸς γὰρ ἱερείου προστέτακται δύο τοῖς ἱερεῦσιν ἀπὸ δυεῖν δίδοσθαι μελῶν, βραχίονα μὲν ἀπὸ χειρὸς δεξιᾶς, ἀπὸ δὲ τοῦ στήθους ὅσον πῖον, τὸ μὲν ἰσχύος καὶ ἀνδρείας καὶ πάσης νομίμου πράξεως ἔν τε τῷ διδόναι καὶ λαμβάνειν καὶ ἐνεργεῖν σύμβολον, τὸ δὲ τῆς περὶ τὸν θυμὸν ἵλεω πραότητος. ἐνοικεῖν γὰρ αὐτὸν λόγος ἔχει 146 τοῖς στήθεσιν, ἐπειδὴ χωρίον οἰκειότατον ἡ φύσις ἀπένειμε τὰ στέρνα θυμῷ πρὸς ἐνδιαίτησιν, ᾧ καθάπερ στρατιώτῃ περιέβαλεν εἰς τὸ δυσάλωτον ἔρκος ὀχυρώτατον, τὸν ἐπικαλούμενον θώρακα, ὃν ἐκ πολλῶν
p. 235 M. καὶ συνεχῶν καὶ κραταιοτάτων ὀστέων ἀπειργάσατο | σφίγξας αὐτὸν εὖ μάλα νεύροις ἀρραγέσιν. ἀπὸ δὲ τῶν ἔξω τοῦ βωμοῦ θυομένων ἕνεκα 147 κρεωφαγίας τρία προστέτακται τῷ ἱερεῖ δίδοσθαι, βραχίονα καὶ σιαγόνας καὶ τὸ ἔνυστρον καλούμενον, τὸν μὲν βραχίονα διὰ τὴν ὀλίγῳ πρότερον εἰρημένην αἰτίαν, τὰς δὲ σιαγόνας τοῦ τε κυριωτάτου τῶν

1 γοῦν om. Arm   2 ἢ F: εἰς R, om. AH   4 λυμεῶνας AH: ἐχθροὺς RF Arm   5 ἀλλοίας] ἄλλας coni. Mang.   σκεπτόμεναι AH   7 τὰ ἱερατικὰ seclusi   9 καθ' ἑκάστην om. H   ὡρῶν] ὁρῶν F   ποιοῦντες (sic) Mang.   11 ἑτοιμότητι] ὁσιότητι H   σπουδῇ om. R   12 ἀπονέμεται AH   13 δ' F   πρεπωδέστατοι H   13. 14 ἐναγομένων AH

15 δυεῖν RF: δυοῖν (ει supra) AH   16 ἀνδρίας AH   20 στρατιώτης AH   21 ὀχυρώτατον RF: ἐχυρώτατα AH   24 κρεηφαγίας R   τρία ταῦτα Arm   24. 25 σιαγόνας F: σιαγόνα RAH   25 ἔνυστρον καλούμενον RF: καλούμενον ἤνυστρον (ἔνυστρον A) AH (v)   post ἔνυστρον add. F: ἔνυστρον τὸ ἔντερον λέγει

14 Lev. 7,21—24. 10,14. 15. Num. 18,18   23 Deut. 18,3. cf. *Ioseph. Ant. Iud. IV § 74* εἶναι δὲ καὶ τοῖς κατ' οἶκον θύουσιν εὐωχίας ἕνεκα τῆς αὐτῶν, ἀλλὰ μὴ θρησκείας, ἀνάγκην κομίζειν τοῖς ἱερεῦσιν ἔνυστρόν τε καὶ χελύνιον καὶ τὸν δεξιὸν βραχίονα τοῦ θύματος.

μελῶν, κεφαλῆς, καὶ λόγου τοῦ κατὰ προφορὰν ἀπαρχήν, οὗ τὸ νᾶμα
ῥεῖν ἔξω δίχα τῆς τούτων κινήσεως οὐκ ἂν δύναιτο· σειομένων γὰρ — ἀφ'
οὗ καὶ προσωνομάσθησαν ἐτύμως — ὅταν πληχθῶσιν ὑπὸ γλώττης, ἅπασα
148 ἡ τῆς φωνῆς ὀργανοποιΐα συνηχεῖ. τὸ δὲ ἔνυστρον ἔκφυσις κοιλίας
ἐστί· κοιλίαν δὲ φάτνην ἀλόγου θρέμματος, ἐπιθυμίας, εἶναι συμβέβηκεν,
ἥτις ὑπ' οἰνοφλυγίας καὶ ὀψοφαγίας ἀρδομένη τροφαῖς ἐπαλλήλοις σιτίων
ὁμοῦ καὶ ποτῶν ἀεὶ κατακλύζεται καὶ συὸς τρόπον ἐν βορβόρῳ διαιτω-
μένη χαίρει· παρὸ καὶ τόπος ἀπενεμήθη σφόδρα οἰκειότατος ὁ τῶν
149 περιττωμάτων ἀκολάστῳ καὶ ἀπρεπεστάτῳ θρέμματι. ἀντίπαλον δὲ ἐπι-
θυμίας ἐγκράτεια, ἣν ἀσκητέον καὶ διαπονητέον καὶ σπουδαστέον μηχανῇ
πάσῃ περιποιεῖσθαι ὡς μέγιστον ἀγαθὸν καὶ τελειότατον ἰδίᾳ τε καὶ
150 κοινῇ συμφέρον. ἐπιθυμία μὲν οὖν βέβηλος καὶ ἀκάθαρτος καὶ ἀνίερος
οὖσα πέρα τῶν ἀρετῆς ὅρων ἐλήλαται καὶ πεφυγάδευται δεόντως·
ἐγκράτεια δέ, καθαρὰ καὶ ἀκηλίδωτος ἀρετή, πάντων ὅσα πρὸς
βρῶσιν καὶ πόσιν ἀλογοῦσα καὶ ἐπάνω τῶν γαστρὸς ἡδονῶν αὐχοῦσα
ἵστασθαι, βωμῶν ἱερῶν ψαυέτω καὶ τὴν πρόσφυσιν ἐπιφερομένη τῆς
κοιλίας, ὑπόμνημα τοῦ καταφρονητικῶς ἔχειν ἀπληστίας καὶ λαι-
151 μαργίας καὶ πάντων ὅσα τὰ εἰς τὰς ἐπιθυμίας ἀναφλέγει. (4.) ἐφ'
ἅπασι μέντοι καὶ τὰς τῶν ὁλοκαυτωμάτων — ἀμύθητα δὲ ταῦτ'
ἐστί — δορὰς προστάττει τοὺς ὑπηρετοῦντας ταῖς θυσίαις ἱερεῖς
λαμβάνειν, οὐ βραχεῖαν ἀλλ' ἐν τοῖς μάλιστα πολυχρήματον δωρεάν.
ἐξ ὧν δῆλόν ἐστιν, ὅτι κλῆρον ἕνα μὴ παρασχὼν τῇ ἱερωμένῃ φυλῇ

1 μερῶν AH ἀπαρχῆς F οὗ RF: καὶ γὰρ AH; καὶ γὰρ τούτου v 1. 2 τὸ νᾶμα ῥεῖν RF: ἁμαρτάνειν AH Arm 2 ἔξω om. Arm δίχα τῆς τούτων κινήσεως RF: καὶ δίχα τῆς κινήσεως τούτων AH (v) δύναιτό τις AH σειομένων] σειόμεναι exspectaveris γὰρ om. H (Turn.) 3 προσωνομάσθη AH (Turn.) ἐτύμως F: ἑτοίμως RAH 4 δ' F ἔνυστρον RFA: ἤνυστρον H (v) 5 ἐστίν R 6 τροφαῖς] τρυφαῖς L (Turn.) 7 αἰεὶ AH 8 τόπος ἀπενεμήθη σφόδρα RF: σφόδρα ἀπενεμήθη τόπος AH ἀπενεμήθη codd.: ἐπενεμήθη v οἰκειότατος] οἰκεῖος coni. Mang. vel σφόδρα delendum 9 εὐπρεπεστάτῳ F δ' F 9. 10 ἐπιθυμία AH 10 σπουδαστέον καὶ διαπονητέον transp. F 10. 11 μηχανῇ πάσῃ RF: πάσῃ μηχανῇ AH (v) 11 τελεώτατον F 13 πέραν R τῶν] τῆς R ἐλήλασται F 14 καθαρὰ] καὶ καθαρὰ AH ἀρετή AH: ἐν ἀρετῇ RF 16 καὶ secludendum videtur πρόσφυσιν] ἔκφυσιν coni. Mang. 17 καταφρονητικῶς] κατηγορητικῶς AH 18 τὰ εἰς τὰς RAH: τὰς εἰς τοῦτ' F (Mang.). τοιαύτας Arm 19 τὰς ἐπὶ τῶν Arm 20 δορὰς] δωρεὰς Arm 21 βραχείας R 22 ἱερωμένῃ] ἐρωμένῃ H

5 φάτνην ἀλόγου θρέμματος: cf. Plat. Tim. p. 70e 19 Lev. 6,38.

κατὰ ταὐτὰ ταῖς ἄλλαις τοῦ πασῶν ἔδωκε σεμνότερον πόρον καὶ ἁγιώ-
τερον, κατὰ πρόφασιν ἀπαρχῶν τῶν ἐξ ἅπαντος θυσίας εἴδους. ὑπὲρ 152
δὲ τοῦ μηδένα τῶν διδόντων ὀνειδίζειν τοῖς λαμβάνουσι, κελεύει τὰς
p. 236 M. ἀπαρχὰς εἰς τὸ ἱερὸν κομίζεσθαι πρότερον, εἶτ' | ἐνθένδε τοὺς ἱερεῖς
λαμβάνειν· ἥρμοττε γὰρ θεῷ μὲν τοὺς εὐεργετουμένους ἐν ἅπασι τοῖς
κατὰ τὸν βίον χαριστηρίους ἀνάγειν ἀπαρχάς, τὸν δὲ ἅτε μηδενὸς ἐπι-
δεᾶ τοῖς ἀμφὶ τὸ ἱερὸν ὑπηρέταις καὶ λειτουργοῖς χαρίζεσθαι μετὰ σεμ-
νότητος καὶ τιμῆς τῆς ἁπάσης· τὸ γὰρ μὴ παρ' ἀνθρώπων ἀλλὰ παρὰ
τοῦ πάντων εὐεργέτου δοκεῖν λαμβάνειν ἀδυσώπητον ἔχει δωρεάν.

(5.) Τοσούτων οὖν προκειμένων ἄθλων, ἐάν τινες ἀπορῶσι τῶν 153
ἱερέων κοσμίως καὶ ἀνυπαιτίως ζῶντες, τῆς ἡμετέρας παρανομίας ἐφε-
στᾶσι κατήγοροι, κἂν ἡσυχάζωσιν· εἰ γὰρ ἐπειθαρχοῦμεν τοῖς κελευσθεῖσι
καὶ τὰς ἀπαρχὰς ἐποιούμεθα ᾗ προστέτακται, οὐκ ἂν μόνον ἐκεῖνοι τῶν
ἀναγκαίων εὐπόρουν, ἀλλὰ καὶ τῶν ἄλλων ὅσα πρὸς ἁβροδιαίτους χορη-
γίας ἀνεπίμπλαντο. κἂν ἄρα ποτὲ αὖθις ἡ φυλὴ τῶν ἱερέων ἐν ἅπασι 154
τοῖς κατὰ τὸν βίον ἀφθόνοις ἐξετάζηται, μέγα δεῖγμα γενήσεται τοῦτο
κοινῆς ὁσιότητος καὶ τῆς τῶν νομίμων ἐπ' ἀκριβὲς εἰς ἅπαν φυλακῆς.
ἀλλ' ἡ τινων ὀλιγωρία — ἅπαντας γὰρ οὐκ ἀσφαλὲς αἰτιᾶσθαι — γέγονεν
αἰτία πενίας τοῖς ἱερωμένοις, εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, καὶ αὐτοῖς
ἐκείνοις. τὸ γὰρ παρανομεῖν ἐπιζήμιον τοῖς παρανομοῦσι, κἂν πρὸς 155
ὀλίγον δελεάζῃ χρόνον· τὸ δὲ ἕπεσθαι τοῖς τῆς φύσεως νόμοις ὠφελι-
μώτατον, κἂν παραυτίκα αὐστηρὸν ᾖ καὶ μηδὲν προσηνὲς ἐμφαίνῃ.

(6.) Τοσαύτας προσόδων ἀφορμὰς χαρισάμενος τοῖς ἱερεῦσιν οὐδὲ 156
τῶν ἐν τῇ δευτέρᾳ τάξει κατωλιγώρησεν· εἰσὶ δὲ νεωκόροι. τούτων οἱ
μὲν ἐπὶ θύραις ἵδρυνται παρ' αὐταῖς ταῖς εἰσόδοις πυλωροί, οἱ δ' εἴσω
κατὰ τὸ πρόναον ὑπὲρ τοῦ μή τινα ὧν οὐ θέμις ἑκόντα ἢ καὶ ἄκοντα
ἐπιβῆναι, οἱ δ' ἐν κύκλῳ περινοστοῦσιν ἐν μέρει διακληρωσάμενοι νύκτα

1 τοῦ RF: τῶν AH (v) πόρον Mang.: τρόπον codd., τόπον Arm 1. 2 ἁγιώτερον RF Arm: ἀπονώτερον AH 2 εἴδους] δοὺς Arm 3 λαμβάνουσιν R 5 ἥρμοττεν R θεῷ μὲν τοὺς F: θεῷ τοὺς μὲν RAH (v) 6 ἀνάγειν F: ἐνάγειν RAH δ' F 6. 7 ἐπιδεῆ R 8 τῆς ἁπάσης RF: τῆς om. AH (Turn.) τὸ codd.: τῷ v 9 εὐεργέτου RF: δημιουργοῦ AH δοκεῖν RF: ἐκεῖνα AH 11 ὑμετέρας Arm 11. 12 ἐφεστᾶσι codd.: ἐφεστῶσι v 13 ἐποιούμεθα codd.: ἐπονούμεθα v μόνων corr. ex μόνον A 15 ἀνεπίμπλαντο R: ἐνεπίμπλαντο AH (v), om. F ποτ' F 16 γενήσεται τοῦτο codd.: τοῦτο γενήσεται v 17 τῆς] τοῖς F 18 ἅπαντας RF: πάντας AH 18. 19 γέγονεν αἰτία πενίας RF: γέγονε πενίας αἰτία AH (v) 21 δ' F 22 μηδὲν RF: μὴ AH ἐμφαίνῃ] ἦν H 24 νωκόροι F 25 ταῖς om. F 26 τιν' F ἢ καὶ RF Arm: καὶ om. AH (Turn.) ἄκοντ' F

καὶ ἡμέραν, ἡμεροφύλακες καὶ νυκτοφύλακες, ἕτεροι δὲ τὰς στοὰς καὶ τὰ ἐν ὑπαίθρῳ κοροῦντες τὸν φορυτὸν ἐκκομίζουσιν ἐπιμελούμενοι καθαριότητος· οἷς ἅπασι μισθὸς ὡρίσθησαν αἱ δεκάται. κλῆρος γὰρ νεωκόρων
157 οὗτος. οὐ πρότερον γοῦν εἴασεν ὁ νόμος αὐταῖς χρῆσθαι τοὺς λαβόντας ἢ πάλιν ἄλλας δεκάτας ὡς ἀπὸ κτημάτων ἰδίων ἀπάρξασθαι καὶ δοῦναι τοῖς τῆς ἀμείνονος τάξεως ἱερεῦσι· τηνικαῦτα γὰρ ἐφῆκεν ἀπολαύειν,
158 πρότερον δ᾽ οὐκ ἐᾷ. ἀπένειμε δὲ καὶ πόλεις αὐτοῖς ὀκτὼ πρὸς ταῖς τεσσαράκοντα καὶ καθ᾽ ἑκάστην προάστεια εἰς δισχιλίους πήχεις ἐν κύκλῳ πρὸς νομὰς θρεμμάτων καὶ τὰς ἄλλας ὧν δεῖ πόλεσιν ἀναγκαίας ὑπηρεσίας. ἐκ δὲ τούτων ἀπεκληρώθησαν ἕξ, αἱ μὲν ἐκτὸς αἱ δὲ ἐντὸς Ἰορδάνου τοῦ ποταμοῦ, τρεῖς ἑκατέρωθεν, εἰς καταφυγὴν τοῖς ἀκούσιον
159 φόνον δράσασιν. ἐπειδὴ γὰρ | τὸν ὁπωσοῦν γενόμενον ἀνθρώπῳ τελευ- p. 237 M.
τῆς παραίτιον οὐκ ἦν εὐαγὲς εἴσω περιρραντηρίων παρέρχεσθαι χρώμενον πρὸς ἀσφάλειαν καταφυγῇ τῷ ἱερῷ, τὰς εἰρημένας ἀνῆκε πόλεις, ἱερὰ δεύτερα, πολλὴν ἀσυλίαν ἐχούσας ἕνεκα τῆς περὶ τοὺς οἰκήτορας προνομίας τε καὶ τιμῆς, οἳ τοὺς ἱκέτας διασῴζειν ἔμελλον, εἰ βιάζοιτό τις ἐχυρωτέρα δύναμις, οὐ παρασκευαῖς ταῖς εἰς πόλεμον οὔσαις, ἀλλ᾽ ἀξιώμασι καὶ προνομίαις, ἅπερ ἐκ τῶν νόμων διὰ τὴν σεμνότητα τῆς

1. 2 καὶ τὰ RF: καὶ τὸ A, τὰς (om. καὶ) H 2 κοροῦντες] ὡρῶντες AH ἐπιμελούμενοι RF: ἐπιμελόμενοι AH (Turn.) 2. 3 καθαρειότητος F (καθαριότητος scripsi): καθαρότητος RAH (v) 3 ὡρίσθησαν αἱ δεκάται RF: ὡρίσθη δεκάται AH (prob. Mang.) ὁ νεωκόρων F (Mang.) 4 γ᾽ οὖν F εἴασεν RF: ἐᾷ AH 7 ταῖς] τοῖς H 8 καὶ om. Turn. χιλίους Arm 10 ἕξ F: ἀνὰ ἕξ RAH (v) αἱ μὲν ἐντὸς αἱ δ᾽ ἐκτὸς F Arm 11 τρεῖς] πρὸς AH 12 ἐπειδὴ γὰρ] ἐπειδήπερ R ἄνθρωπον H; ἀνθρώπων Turn. 13 εὐαγὲς] εὐγενὲς A 14 καταφυγῇ om. Arm 15 ἐχούσης H 16 τιμῆς] φυγῆς AH ἱκέτας RA: οἰκέτας FH (Turn.) 17 ἐχυρωτέρα R: ὀχυρωτέρα FAH (v) οὔσαις RF: om. AH (v) 18 προνο-
ϊ
μείαις A

3sqq. Num. 18,21. 24. 26—28. cf. *Ioseph. Ant. Iud. IV* § 68 πρὸς τούτοις δὲ καὶ τὸν λαὸν ἐξέταξε τῶν ἐπετείων καρπῶν δεκάτην αὐτοῖς τε τοῖς Λευίταις καὶ ἱερεῦσι τελεῖν. καὶ ἃ μὲν ἡ φυλὴ παρὰ τοῦ πλήθους λαμβάνει ταῦτ᾽ ἐστίν· ἀναγκαῖον δ᾽ ἡγησάμην ἃ τοῖς ἱερεῦσιν ἰδίᾳ παρὰ πάντων γίνεται δηλῶσαι. (69) τῶν μὲν τεσσαράκοντα καὶ ὀκτὼ πόλεων τρισκαίδεκα παραχωρῆσαι τοὺς Λευίτας αὐτοῖς προσέταξε καὶ τῆς δεκάτης, ἧς παρὰ τοῦ λαοῦ κατ᾽ ἔτος λαμβάνουσι, δεκάτην αὐτοῖς ἀπομερίζειν. 7 sqq. Num. 35,2—8. 11—15. cf. *Ioseph. l. l.* § 67 Μωυσῆς δ᾽ ἐπεὶ πολέμου καὶ στρατείας ἡ τῶν Λευιτῶν ἀφεῖτο φυλὴ θεραπεύουσα τὸν θεόν, ἵνα μὴ δι᾽ ἀπορίαν μηδὲ ζήτησιν τῶν εἰς τὸν βίον ἀναγκαίων ἀμελοῖεν τοῦ ἱεροῦ, κατὰ βούλησιν τοῦ θεοῦ τὴν Χαναναίων κτησαμένους τοὺς Ἑβραίους ἐκέλευε κατανεῖμαι τοῖς Λευίταις ὀκτὼ καὶ τεσσαράκοντα πόλεις ἀγαθὰς καὶ καλὰς τῆς τε πρὸ αὐτῶν γῆς περιγράψαντας εἰς δισχιλίους πήχεις ἀπὸ τῶν τειχῶν αὐτοῖς ἀνεῖναι.

ἱερωσύνης εἶχον. ὁ δὲ φυγὰς ἐντὸς ὅρων τῆς πόλεως, εἰς ἣν πεφυγά- 160
δευται, κατακεκλείσθω διὰ τοὺς ἐφέδρους κολαστάς. οἱ γένει προσήκοντες
τῷ τεθνεῶτι πόθῳ τοῦ συγγενοῦς, κἂν μὴ ὑφ' ἑκόντος ἀναιρεθῇ, κατὰ
τοῦ κτείναντος φονῶσι, νικῶντος τοῦ οἰκείου πάθους τὸν ἀκριβῆ τῶν
δικαίων λογισμόν. ἔξω δὲ προϊὼν ἐπ' ὀλέθρῳ ἀνενδοιάστῳ προελευ-
σόμενος ἴστω· λήσεται γὰρ οὐδένα τῶν ἀφ' αἵματος, ὑφ' ὧν αὐτίκα
λίνοις καὶ πάγαις σαγηνευθεὶς οἰχήσεται. προθεσμία δ' ἔστω τῆς φυγῆς 161
ὁ βίος τοῦ μεγάλου ἱερέως, οὗ τελευτήσαντος ἀμνηστίας ἀξιωθεὶς
κατίτω. ταῦτα καὶ τὰ τούτοις παραπλήσια νομοθετήσας περὶ τῶν ἱερέων
ἑξῆς ἀναδιδάσκει περὶ ζῴων, ἃ πρὸς θυσίας ἐστὶν ἐπιτήδεια.

Περὶ ζῴων τῶν εἰς τὰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη.

(1.) Τῶν εἰς τὰς ἱερουργίας ζῴων τὰ μέν ἐστι χερσαῖα, τὰ δὲ ἀερο- 162
πόρα. τὰ μὲν οὖν τῶν πτηνῶν ἔθνη μυρία ὅσα παρελθὼν δύο μόνα
ἐξ ἁπάντων εἵλετο, περιστερὰν καὶ τρυγόνα. διότι περιστερὰ μὲν τῶν
p. 238 M. φύσει | τιθασῶν καὶ ἀγελαστικῶν ἡμερώτατον, τρυγὼν δὲ τῶν φύσει
μονωτικῶν τιθασώτατον. τὰς δὲ τῶν χερσαίων ἀμυθήτους ἀγέλας, 163
ὧν οὐδ' ἀριθμὸν εὑρεῖν εὔπορον, ὑπερβὰς τρεῖς ἀριστίνδην ἐπέκρινε,
βοῶν καὶ προβάτων καὶ αἰγῶν· ἡμερώταται γὰρ αὗται καὶ χειροηθέ-
σταται· βουκόλια γοῦν μεγάλα καὶ ποίμνια καὶ αἰπόλια πρὸς ἑνὸς ἄγεται
τοῦ τυχόντος, οὐκ ἀνδρὸς μόνον ἀλλὰ καὶ κομιδῇ νηπίου παιδός, εἴς τε

1 ἔσχον F post ἣν add. τις R 2 καταναλείσθω (?) Arm 3 πόθου F ἀνηρέθη F 4. 5 τῶν δικαίων RAH: τοῦ δικαίου F (v) 5. 6 προσελευσόμενος F (Turn.) 7 φυγῆς] φύσεως Arm 8 ἀμνηστίας RFA: ἀμνηστείας H (Turn.) 10 θυσίας RF: θυσίαν AH (Turn.) ἐστὶν] ἦν F 11. 12 tit. περὶ ζώων τῶν εἰς ἱερουργίας καὶ τίνα τῶν θυσιῶν εἴδη R (τὰς ἱερουργίας et τὰ εἴδη scripsi): περὶ τῶν εἰς τὰς ἱερουργίας ζώων καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη F (cf. Euseb. Hist. Eccl. II 18,5), περὶ ζώων τῶν εἰς τὰς θυσίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη A, τοῦ αὐτοῦ περὶ ζώων τῶν εἰς θυσίας καὶ τίνα τῶν θυσιῶν τὰ εἴδη H (v) 13 εἰς τὰς ἱερουργίας RF: ἐν ταῖς ἱερουργίαις AH (Turn.) δ' F 15 περιστερὰν καὶ τρυγόνα RF: om. AH (Turn.) 16 τιθασῶν R, τιθασσῶν FA: τιθασσικῶν H (Turn.) 17 τιθασώτατον R: τιθασσότατον F (v), τιθασσότερον AH; χειροηθήστατον coni. Mang. τὰς δὲ RF: τάς τε AH 18 εὔπορον, ὑπερβὰς] προσυπερβὰς F τρεῖς ἀριστίνδην] τρισαρίστην δεῖν H 20 γοῦν] γὰρ F ποίμνια καὶ αἰπόλια RF: αἰπόλια καὶ ποίμνια AH (v) ἄγεται F: ἄγονται RAH (v) 21 εἴς τε νομὴν F: εἴς γε νομὰς RA (v), εἴς γε νομ▤ H

5 Num. 35,26. 27 7 Num. 35,25. 28 15 Lev. 1,14 19 Lev. 1,2.

νομὴν ἐξιόντα καὶ ὁπότε δέοι πάλιν εἰς σηκοὺς ὑποστρέφοντα ἐν
164 κόσμῳ. τῆς δ' ἡμερότητος πολλὰ μὲν καὶ ἄλλα σημεῖα, σαφέστατα
δὲ ταυτί· τό τε πάντα εἶναι χλοηφάγα καὶ μηδὲν αὐτῶν σαρκοβόρον
καὶ τὸ μήτε γαμψοὺς ἔχειν ὄνυχας μήτε τὴν ἔκφυσιν τῶν ὀδόντων
παντελῆ· τὸ γὰρ ἀνωτέρω φάτνιον οὐκ ὀδοντοφυεῖ, ἀλλ' ὅσοι τομίαι
165 τῶν ὀδόντων κατ' αὐτὸ ἐπιλελοίπασι. πρὸς δὲ τούτοις καὶ βιωφελέστατα
τῶν ζῴων ἐστί· κριοὶ μὲν εἰς ἐσθῆτας, τὴν ἀναγκαιοτάτην σκέπην
σωμάτων, βόες δὲ εἰς τὸ ἀρόσαι γῆν καὶ προετοιμάσασθαι πρὸς σπόρον
καὶ τὸν γενόμενον ἀλοῆσαι καρπὸν εἰς μετουσίαν καὶ ἀπόλαυσιν τροφῆς,
αἰγῶν δὲ αἱ τρίχες καὶ δοραὶ συνυφαινόμεναί τε καὶ συρραπτόμεναι
φορηταὶ γεγόνασιν ὁδοιπόροις οἰκίαι καὶ μάλιστα τοῖς ἐν στρατείαις, οὓς
ἔξω πόλεως ἐν ὑπαίθρῳ τὰ πολλὰ διατρίβειν ἀναγκάζουσιν αἱ χρεῖαι.
166 (2.) πάντα δ' ὁλόκληρα, περὶ μηδὲν μέρος κηραίνοντα τοῦ σώματος,
ὅλα δι' ὅλων ἀσινῆ, μώμων ἀμέτοχα· τοσαύτη γοῦν ἐστι πρόνοια, οὐ
μόνον τοῖς ἀνάγουσι τὰς θυσίας ἀλλὰ καὶ τοῖς ἱερωμένοις, ὥστε οἱ
δοκιμώτατοι τῶν ἱερέων ἀριστίνδην ἐπικριθέντες εἰς τὴν τῶν μώμων
ἐπίσκεψιν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν ἄκρων ἐρευνῶσιν ὅσα τε ἐμφανῆ
καὶ ὅσα ὑπὸ γαστρὶ καὶ μηροῖς ἀποκέκρυπται, μή που τις βραχεῖα
167 λώβη διαλέληθε. τὸ δ' ἀκριβὲς καὶ περιττὸν τῆς ἐξετάσεως οὐχ ἕνεκα

1 ὑποστρέφοντ' F   3 πάντ' F   εἶναι χλοηφάγα RF: χλοηφάγα εἶναι AH (v)
4 ἔχειν ὄνυχας RF: ὄνυχας ἔχειν AH (v)   τὴν ἔκφυσιν R: τὴν ἔκφυσιν τὴν FAH (v)
5 ἀνωτέρω RF: ἐνδοτέρω AH (Turn.)   φατνεῖον F   5. 6 ὅσοι τομίαι τῶν ὀδόντων R (Mang.): τομίαι om. AH (Turn.), ὀδόντων om. F   6 κατ' αὐτὸ RFA: κατ' αὐτοῦ H (Turn.)   7 τῶν om. R   ἐστί F: εἰσί RAH (v)   ἐσθῆτας τὴν ἀναγκαιοτάτην om. F   8 δ' F   εἰς τἀρόσαι F   προετοιμάσαι F   πρὸς σπόρον R: πρὸς om. FAH (v); εἰς σπόρον coni. Mang.   9 γενόμενον RF: γινόμενον AH (v)   10 αἱ τρίχες καὶ δοραὶ R: τρίχες καὶ δοραὶ F, αἱ τρίχες, αἱ δοραὶ AH (Turn.); καὶ τρίχες καὶ δοραὶ Mang.   11 οἰκίαι (ει supra) A, οἰκεῖαι R
12 τὰ πολλὰ διατρίβειν RF: τὰ πολλὰ post χρεῖαι transp. AH (v)   13 κηραίνεται L (Turn.)   τοῦ σώματος RAH: τὰ τοῦ σώματος F (v)   14 ὅλα] ἀλλὰ F
15 ὥστε AH: ὥστ' (sic) F, ὡς R   16. 17 ἐπὶ ποδῶν ἄκρων (om. κριθέντες— ἄχρι) Turn.   17 ἐπίσκεψιν RF: σκέψιν AH (v)   ἀπὸ κεφαλῆς codd.: ἀπὸ τῆς κεφαλῆς v   ἄχρις AH   τ' F   ἐμφανῆ] ἐμφαίνει F   18 ὅσ' F
ὑπὸ RF: ἐπὶ AH (v)   ἀποκέκρυπται F: ὑποκέκρυπται R, ἀνακέκρυπται AH (v)
19 δὲ AH

5 cf. *Arist. Hist. anim. II 1 p. 501a 10* ὅσα μὲν γάρ ἐστι κερατοφόρα, οὐκ ἀμφώδοντά ἐστιν· οὐ γὰρ ἔχει τοὺς προσθίους ὀδόντας ἐπὶ τῆς ἄνω σιαγόνος.   13 Lev. 22,18—25. cf. *Arist. ap. Athen. XV 674 f (frg. 101 Rose).*

τῶν καταθυομένων ἀλλὰ τοῦ περὶ τοὺς καταθύοντας ἀνυπαιτίου γίνεται·
βούλεται γὰρ αὐτοὺς ἀναδιδάξαι διὰ συμβόλων, ὁπότε προσέρχοιντο
βωμοῖς ἢ εὐξόμενοι ἢ εὐχαριστήσοντες, μηδὲν ἀρρώστημα ἢ νόσημα
ἢ πάθος ἐπιφέρεσθαι τῇ ψυχῇ, πειρᾶσθαι δ' ὅλην δι' ὅλων ἀκηλίδωτον
ἁγιάζειν, ὡς ἰδόντα μὴ ἀποστραφῆναι θεόν.

(3.) Ἐπεὶ δὲ τῶν θυσιῶν αἱ μέν εἰσιν ὑπὲρ ἅπαντος τοῦ ἔθνους, 168
εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, ὑπὲρ ἅπαντος ἀνθρώπων γένους, αἱ δ' ὑπὲρ
p. 239 M. ἑκάστου | τῶν ἱερουργεῖν ἀξιούντων, λεκτέον πρότερον περὶ τῶν κοινῶν.
θαυμαστὴ τούτων ἡ τάξις ἐστίν· αἱ μὲν γὰρ ἀνάγονται καθ' ἑκάστην
ἡμέραν, αἱ δὲ ταῖς ἑβδόμαις, αἱ δὲ νουμηνίαις καὶ ἱερομηνίαις, αἱ δὲ
νηστείαις, αἱ δὲ τρισὶ καιροῖς ἑορτῶν. καθ' ἑκάστην μὲν οὖν ἡμέραν 169
δύο ἀμνοὺς ἀνάγειν διείρηται, τὸν μὲν ἅμα τῇ ἕῳ, τὸν δὲ δείλης ἑσπέ-
ρας, ὑπὲρ εὐχαριστίας ἑκάτερον, τὸν μὲν ὑπὲρ τῶν μεθ' ἡμέραν, τὸν
δ' ὑπὲρ τῶν νύκτωρ εὐεργεσιῶν, ἃς ἀπαύστως καὶ ἀδιαστάτως ὁ θεὸς
τῷ γένει τῶν ἀνθρώπων χορηγεῖ. ταῖς δ' ἑβδόμαις διπλασιάζει τὸν 170
τῶν ἱερείων ἀριθμόν, ἴσα προστιθεὶς ἴσοις, ἰσότιμον ἡγούμενος αἰῶνι
τὴν ἑβδόμην, ἣν καὶ γενέθλιον τοῦ κόσμου παντὸς ἀνέγραψεν· οὗ χάριν
τὴν τῆς ἑβδόμης θυσίαν ἐξομοιῶσαι τῇ „ἐνδελεχείᾳ" τῶν ἡμερησίων
ἀμνῶν διενοήθη. δὶς δὲ καθ' ἑκάστην ἡμέραν ἐπιθυμιᾶται τὰ πάντων 171
εὐωδέστατα θυμιαμάτων εἴσω τοῦ καταπετάσματος, ἀνίσχοντος ἡλίου
καὶ δυομένου, πρό τε τῆς ἑωθινῆς θυσίας καὶ μετὰ τὴν ἑσπερινήν, ὡς
εἶναι τὰ μὲν ἔναιμα εὐχαριστίαν ὑπὲρ ἡμῶν τῶν ἐναίμων, τὰ δὲ θυ-
μιάματα ὑπὲρ τοῦ ἡγεμονικοῦ, τοῦ ἐν ἡμῖν λογικοῦ πνεύματος, ὅπερ

---

1 ἀλλὰ τοῦ codd.: ἀλλὰ ὑπὸ τοῦ Mang. in textu (sed cf. append.) ἀνυπαιτίου RF (coni. Mang.): ὑπαιτίου AH 2 διὰ codd.: ἀπὸ Mang. προσέρχοιντο R: προέρχοιντο FAH (v) 3 βωμοῖς RF: εἰς βωμοὺς AH (v) ἢ νόσημα om. AH (Turn.), ἢ νόσον post πάθος (4) add. A 5 ἁγιάζειν Mang.: ἀγάζειν R, αὐγάζειν FAH 9 θαυμαστὴ τούτων ἡ R: θαυμαστὴ δὲ τούτων ἡ F, θαυμαστὴ δ' ἡ τούτων AH (v) γὰρ om. F 10 ἑβδόμαις αἱ δὲ om. Richt. Tauchn. ἑβδομάδαις (sic) F 14. 15 ὁ θεὸς τῷ γένει τῶν ἀνθρώπων RF: τῷ γ. τ. ἀ. ὁ θεὸς AH (Turn.) 15 διπλασιάζειν H 16 προτιθεὶς AH 16. 17 αἰῶνι τὴν ἑβδόμην RF: τὴν ἑβδόμην αἰῶνι AH (v) 18 ἐντελεχεία R 19 ἑκάστην τὴν ἡμέραν F ἐπιθυμιᾶσαι L (Turn.) τὰ om. RF 20 ἴσω H 21 πρό] πρός R

---

6 cf. *Ioseph. Ant. Iud. III § 224* δύο μὲν γάρ εἰσιν ἱερουργίαι, τούτων δ' ἡ μὲν ὑπὸ τῶν ἰδιωτῶν ἑτέρα δ' ὑπὸ τοῦ δήμου συντελούμεναι κατὰ δύο γίνονται τρόπους. 11 Exod. 29,38—42. Num. 28,3—8. cf. *Ioseph. Ant. Iud. III § 237* 15 Num. 28,9. 10. cf. *Ioseph. l. l.* 19 Exod. 30,6—8. cf. *Ioseph. l. l. § 199.*

172 ἐμορφώθη πρὸς ἀρχέτυπον ἰδέαν εἰκόνος θείας. ἄρτοι δὲ προτίθενται ταῖς ἑβδόμαις ἐπὶ τῆς ἱερᾶς τραπέζης ἰσάριθμοι τοῖς μησὶ τοῦ ἐνιαυτοῦ, δυσὶ θέμασιν ἀνὰ ἕξ, [δώδεκα,] κατὰ τὸν λόγον τῶν ἰσημεριῶν ἑκάτερα — δύο γάρ εἰσιν ἀνὰ πᾶν ἔτος, ἐαρινή τε καὶ μετοπωρινή, αἳ μησὶν ἓξ καταριθμοῦνται —· δι' ἣν αἰτίαν * * * ⟨ἐαρινῇ μὲν⟩ τὰ σπαρτὰ πάντα τελειογονεῖται, καθ' ὃν χρόνον τὰ δένδρα γεννᾶν ἄρχεται, μετοπωρινῇ δὲ καὶ ὁ τῶν δένδρων καρπὸς τελεσφορεῖται, ἐν ᾧ καιρῷ πάλιν ἀρχὴ σπορᾶς. οὕτως δολιχεύουσα ἡ φύσις τὸν αἰῶνα ἄλλας ἐπ' ἄλλαις ἀμείβει δωρεὰς ἀνθρώπων γένει. ὧν εἰσι σύμβολα αἱ διτταὶ τῶν προ-
173 κειμένων ἄρτων ἑξάδες. αἰνίττονται δὲ καὶ τὴν ὠφελιμωτάτην τῶν ἀρετῶν ἐγκράτειαν, ἣ δορυφορεῖται πρὸς εὐτελείας καὶ εὐκολίας καὶ ὀλιγοδεΐας, διὰ τὸν ἐξ ἀκολασίας καὶ πλεονεξίας βλαβερώτατον ἐπιτειχισμόν· ἄρτος γὰρ ἐραστῇ σοφίας διαρκὴς τροφή, παρέχουσα καὶ τὰ σώματα ἄνοσα καὶ τὸν λογισμὸν ὑγιῆ καὶ ἐν τοῖς μάλιστα νηφάλιον·
174 ὄψα δὲ καὶ μελίπηκτα καὶ ἡδύσματα καὶ ὅσα σιτοπόνων καὶ ὀψαρτυτῶν περιεργίαι τεχνιτεύουσι καταγοητεύουσαι τὴν ἄμουσον καὶ ἀφιλόσοφον καὶ ἀνδραποδωδεστάτην τῶν αἰσθήσεων γεῦσιν, ὑπηρετοῦσαν καλῷ μὲν οὐδενὶ θεάματι ἢ ἀκούσματι, γαστρὸς δὲ τῆς ταλαίνης ἐπιθυμίαις, νόσους
175 σώματι καὶ ψυχῇ κατασκευάζει πολλάκις ἀνιάτους. συνεπιτίθεται δὲ τοῖς ἄρτοις λιβανωτὸς καὶ | ἅλες, ὁ μὲν σύμβολον τοῦ μηδὲν ἥδυσμα p. 240 M.

1 εἰκόνα θείαν coni. Mang. προτιθέναι H 2 τῆς] ταῖς H 3 θέμασιν] θύμασιν F, θρέμμασιν L (Turn.) δώδεκα seclusi τὸν om. F ἑκάτερα] ὧν ἑκατέρα F (Mang., qui αἳ l. 4 delendum et καταριθμεῖται l. 5 scribendum censuit); ὧν ἑκατέρᾳ Wendl. Useneri sententiam secutus 4 μεθοπωρινή F, ὀπωρινή L (Turn.) 5 δι' ἣν αἰτίαν codd.: om. v post αἰτίαν lacunam indicavi; δι' ἣν αἰτίαν ⟨τοῦτο προστέτακται, αὐτίκα λεκτέον⟩ e. gr. suppleo ἐαρινῇ μὲν add. Turn. τὰ om. H 6. 7 μεθοπωρινῇ F 7 ᾧ om. F 8 ἀρχῆς F οὕτω F (v) ἄλλας] ἄλλαις H (Turn.) ἐπ' ἄλλαις codd.: ἐπ' ἄλλας Mang. 9 δωρεαῖς (sic) ἀμείβει transp. F 9. 10 προκειμένων] προτεθειμένων F 11 δωρυφορεῖται H, δωροφορεῖται A εὐτελείας καὶ εὐκολίας RF: εὐκολίας καὶ εὐτελείας (-λίας H) AH (v) 12 ὀλιγοδεΐας FA 13 τροφή F Vind.: τροφὴν R, τρυφή AH 14 ὑγιῆ R: ὑγιᾶ FAH Vind. (v) ἐν τοῖς μάλιστα RF Vind.: om. AH (Turn.) 16 τεχνιτεύουσι F Vind.: τεχνιτεύουσαι RAH καταγοητεύουσαι FH Vind.: καταγοητεύουσι RA 17 ἀνδραποδεστάτην F, ἀνδραποδέστατον Vind. 18 ἐπιθυμίαις F Vind.: ἐπιθυμία AH (-ίᾳ v), ἐπιθυμίαν R ante νόσους add. ἢ F, ἡ Vind. 19 σώματι καὶ] σωματικὰς F, σωματικοὺς Vind.

1 Lev. 24,5. 6. 8. cf. *Ioseph. l. l. § 142. 143. 255. 256* 13—19 Vind. hist. gr. 67 fol. 56ᵛ τοῦ αὐτοῦ: ἄρτος γὰρ — ἀνιάτους. 19 Lev. 24,7.

εὐωδέστερον ὀλιγοδείας εἶναι καὶ ἐγκρατείας παρὰ σοφίᾳ δικαζούσῃ, οἱ
δ' ἅλες διαμονῆς τε τῶν συμπάντων — οἷς γὰρ ἂν παραπασθῶσι δια-
τηροῦσι — καὶ ἱκανοῦ προσοψήματος. οἶδ' ὅτι γέλωτα καὶ χλεύην 176
ταῦτα θήσονται οἱ περὶ τὰ συμπόσια καὶ τὰς εὐωχίας πραγματευόμενοι
καὶ πολυτελεῖς τραπέζας μεταδιώκοντες, οἱ ὀρνέων καὶ ἰχθύων καὶ
κρεῶν καὶ τῆς ὁμοιοτρόπου φλυαρίας ἄθλιοι δοῦλοι, μηδ' ὄναρ ἀληθοῦς
ἐλευθερίας γεύσασθαι δυνάμενοι. ὧν ὀλίγα φροντιστέον τοῖς κατὰ θεὸν
καὶ πρὸς τὴν τοῦ ὄντως ὄντος ἀρέσκειαν ζῆν ἐγνωκόσιν, οἳ τῶν σαρκὸς
ἀλογεῖν ἡδονῶν πεπαιδευμένοι τὰς διανοίας χαρὰς καὶ εὐπαθείας θεωρίᾳ
τῶν τῆς φύσεως ἐνασκούμενοι μεταδιώκουσι.

Ταῦτα περὶ τῆς ἑβδόμης διαταξάμενος ταῖς νουμηνίαις φησὶ δεῖν 177
θύειν ὁλόκαυτα δέκα τὰ σύμπαντα· μόσχους δύο, κριὸν ἕνα, ἀμνοὺς
ἑπτά. ἐπειδὴ γὰρ ὁ μὴν τέλειος, ἐν ᾧ σελήνη τὸν ἑαυτῆς κύκλον
περατοῦται, τέλειον ἀριθμὸν ζῴων ἠξίωσεν ἱερουργεῖσθαι. ἡ δεκὰς δὲ 178
παντελὴς ἀριθμός, ὃν εὖ μάλα διένειμεν εἰς τὰ λεχθέντα, τοὺς μὲν
δύο μόσχους, ἐπειδὴ δύο κινήσεις εἰσὶ σελήνης ἀεὶ διαυλοδρομούσης,
ἡ μὲν κατ' αὔξησιν ἄχρι πλησιφαοῦς, ἡ δὲ κατὰ μείωσιν ἄχρι συνόδου,
τὸν δ' ἕνα κριόν, ἐπειδὴ λόγος εἷς ἐστι, καθ' ὃν αὔξεταί τε καὶ μειοῦται
τοῖς ἴσοις διαστήμασι καὶ φωτιζομένη καὶ ἐπιλείπουσα, τοὺς δὲ ἑπτὰ
ἀμνούς, ὅτι καθ' ἑβδομάδας ἐπιδέχεται τοὺς τελείους σχηματισμούς,
πρώτῃ μὲν ἑβδομάδι τῇ ἀπὸ συνόδου τὸν διχότομον, δευτέρᾳ δὲ τὸν
πλησιφαῆ, καὶ ὅταν ἀνακάμπτῃ πάλιν, εἰς διχότομον τὸ πρῶτον, ἔπειτ'
εἰς σύνοδον ἀπολήγει. μετὰ δὲ τῶν ἱερείων σεμίδαλιν ἀναδεδευμένην 179
ἐλαίῳ προσφέρειν καὶ οἶνον εἰς σπονδὰς μέτροις ⟨ὡρισμέν⟩οις διετάξατο,
διότι καὶ ταῦτα σελήνης περιόδοις κατὰ τὰς ἐτησίους ὥρας τελεσφο-
ρεῖται διαφερόντως τοὺς καρποὺς πεπαινούσης, σῖτος δὲ καὶ οἶνος καὶ

1 ὀλιγοδείας FA 2 δ' R: δὲ ceteri τε codd.: τῆς v παραπασθῶσι R (Wendl.): παραπαθῶσι F, περιπασθῶσι A (v), περιπαθῶσι H 3. 4 γέλωτα καὶ χλεύην ταῦτα θήσονται RF: χλεύην θήσουσι καὶ γέλωτα ταῦτα AH (v) 6 ὁμοιοτρόπου RF: ὁμοτρόπου AH (Turn.) δοῦλοι] δ' οὗτοι F 8 καὶ om. Turn. ὄντως ὄντος codd.: ὄντος ὄντως v 9 ἀλογεῖν ἡδονῶν RF: ἡδονῶν ἀλογεῖν AH (v) διανοίας RF: τῆς διανοίας AH (v) 11—47,6 Ταῦτα — καινοτομεῖν RF: om. AH (v) 12. 13 ἀμνοὺς ἑπτά R: ἑπτὰ ἀμνούς F 14 περατοῦται Wendl.: περαιοῦται RF; περατοῖ conicio ἡ om. F 15 διένειμεν R: om. F; διαιρεῖ post λεχθέντα add. Wendl. 16 εἰσὶ R: om. F 19 δὲ R: δ' F 20 καθ' ἑβδομάδος R 21 τὸν διχότομον R: τὴν διχότομον F 24 σπονδὰς R: σπονδὴν F μέτροις ὡρισμένοις scripsi: μέτροις οἷς RF; μέτροις οἷς ⟨πρέπει⟩ olim conieceram

11 Num. 28,11—14. cf. *Ioseph. Ant. Iud. III* § 238.

ἔλαιον, βιωφελέσταται οὐσίαι καὶ πρὸς χρῆσιν ἀνθρώποις ἀναγκαιόταται, πάσαις εἰκότως θυσίαις συγκαθιεροῦνται.

180 Τῇ δ' ἱερομηνίᾳ διττὰ θύματα προσάγεται προσηκόντως, ἐπεὶ καὶ διττὸς ὁ περὶ αὐτῆς λόγος, ὁ μὲν ὡς νουμηνίας, ὁ δὲ ὡς ἱερομηνίας. ἡ μὲν οὖν νουμηνία, τὰ ἴσα ταῖς ἄλλαις ἱερουργεῖσθαι διείρηται, ᾗ δὲ καὶ ἱερομηνία, διπλασιάζεται τὰ δῶρα, δίχα τῶν μόσχων· εἷς γὰρ ἀντὶ δυεῖν προσάγεται, τοῦ βραβευτοῦ δικαιώσαντος ἀδιαιρέτῳ φύσει μονάδος πρὸ διαιρετῆς δυάδος χρήσασθαι ἐν ἀρχῇ τοῦ ἐνιαυτοῦ.

181 Ἐν δὲ τῷ πρώτῳ καιρῷ — πρῶτον δὲ καιρὸν τὴν ἐαρινὴν ὥραν καὶ ἰσημερίαν καλεῖ — προστάξας ἑπτὰ ἡμέρας ἑορτὴν ἄγειν τὴν ἐπικαλουμένην τῶν ἀζύμων ἰσοτίμους ἀπέφηνε πάσας ἐν ταῖς ἱερουργίαις· δέκα γὰρ ὅσα καὶ ταῖς νουμηνίαις θύειν καθ' ἑκάστην κελεύει, τὰ σύμ-
182 παντα ὁλόκαυτα, δίχα τῶν περὶ πλημμελείας, ἀριθμὸν ἑβδομήκοντα. τὸν γὰρ αὐτὸν ἔχειν ᾠήθη λόγον πρὸς μῆνα νουμηνίαν ὃν πρὸς ἰσημερίαν ἑβδόμῳ μηνὶ γινομένην τὰς ἑπτὰ τῆς ἑορτῆς ἡμέρας, ἵν' ἀποφήνῃ καὶ τὴν ἀρχὴν ἑκάστου μηνὸς ἱερὰν καὶ ἀθρόων τῶν ἑπτὰ τὰς ἰσαρίθμους ταῖς νουμηνίαις ἡμέρας.

183 Μεσοῦντος δὲ ἔαρος ἄμητος ἐνίσταται, καθ' ὃν καιρὸν χαριστήρια μὲν ἀνάγεται τῷ θεῷ τῆς πεδιάδος ἐπὶ τῷ πλήρη τὸν καρπὸν ἐνηνοχέναι καὶ τὰ θέρη συγκομίζεσθαι, δημοτελεστάτη δ' ἄγεται ἑορτὴ προσαγορευομένη πρωτογεννημάτων ἐτύμως ἀπὸ τοῦ συμβεβηκότος. ἐπειδὴ τῶν
184 γεννημάτων τὰ πρῶτα, αἱ ἀπαρχαί, τότε καθιεροῦνται. προστέτακται δ' ἀνάγειν θυσίας μόσχους δύο, κριὸν ἕνα καὶ ἑπτὰ ἀμνούς, ταῦτα μὲν δέκα ἱερεῖα ὁλόκαυτα, δύο δ' ἀμνοὺς εἰς βρῶσιν ἱερέων, οὓς ἐπικαλεῖ σωτηρίου διὰ τὸ τὰς τροφὰς ἀνθρώποις ἐκ πολλῶν καὶ παντοδαπῶν διασεσῶσθαι· φθοραὶ γὰρ εἰώθασι καταλαμβάνειν, αἱ μὲν ἐπομβρίαις, αἱ δ' αὐχμοῖς, αἱ δ' ἄλλαις ἀμυθήτοις νεωτεροποιΐαις, αἱ δ' αὖ χειρο-

2 πάσαις F: πᾶσαι R συγκαθιεροῦνται R: καθιεροῦνται F 3 θύματα R: θυμιάματα F 4 δὲ R: δ' F 5 ᾗ R (ut vid.): τῇ F 5. 6 ᾗ δὲ καὶ R: τῇ δ' F 9 πρώτῳ] πρωτοτόκῳ F[1] 11 ἀπέφηνεν R 12 νεομηνίαις R 12. 13 σύμπαντα R: σύμπανθ' F 13 ἀριθμῶν R 18 δὲ R: δ' F 21 πρωτογενημάτων F 22 γενημάτων F 25 σωτηρίου F: σωτηρίους R διὰ τὸ R: ἅτε F παντοδαπῶν ⟨κινδύνων⟩ vel ⟨κακῶν⟩ coni. Wendl. 26 φθοραὶ R: φοραὶ F 27 ἄλλαις] ἄλλως R

3 Num. 29,1—6. cf. *Ioseph. l. l.* § [illegible] 9 Num. 28,16—25. cf. *Ioseph. l. l.* § *249* 18 Num. 28,26—31. Lev. 23,18. cf. *Ioseph. l. l.* § *253.* 24 δύο δ' ἀμνοὺς κτλ. Lev. 23,19. 20. cf. *Ioseph. l. l.* § *252. 253.*

ποίηται κατ' ἐφόδους ἐχθρῶν τὴν τῶν πέλας γῆν δῃοῦν ἐπιχειρούντων. εἰκότως οὖν τὰ σῶστρα τῷ πάσας ἀποσκεδάσαντι τὰς ἐπιβουλὰς ἀνάγεται 185 χαριστήρια καὶ ἀνάγεται ἄρτοις, οὓς προσενεγκόντες τῷ βωμῷ καὶ ἄνω πρὸς οὐρανὸν ἀνατείναντες ἐπιδιανέμουσι τοῖς ἱερεῦσι μετὰ τῶν κρεῶν τῆς τοῦ σωτηρίου θυσίας εἰς ἱεροπρεπεστάτην εὐωχίαν.

Ὅταν δ' ὁ τρίτος ἐνστῇ καιρὸς ἐν τῷ ἑβδόμῳ μηνὶ κατ' ἰσημερίαν 186 μετοπωρινήν, ἐν ἀρχῇ μὲν ἱερομηνία ἄγεται προσαγορευομένη σαλπίγγων, περὶ ἧς ἐλέχθη πρότερον, δεκάτῃ δ' ἡ νηστεία, περὶ ἣν ἐσπουδάκασιν οὐ μόνον οἷς ζῆλος εὐσεβείας καὶ ὁσιότητος, ἀλλὰ καὶ οἷς κατὰ τὸν ἄλλον βίον εὐαγὲς οὐδὲν δρᾶται· πάντες γὰρ ἡττώμενοι τοῦ περὶ αὐτὴν ἱεροπρεποῦς τεθήπασι καὶ οἱ χείρους τοῖς βελτίοσι τότε γοῦν εἰς ἐγκράτειαν καὶ ἀρετὴν ἁμιλλῶνται. διττοὺς δ' ἔχει λόγους τὸ ἀξίωμα τῆς 187 ἡμέρας, τοὺς μὲν ὡς ἑορτῆς, τοὺς δὲ ὡς καθάρσεως καὶ φυγῆς ἁμαρτημάτων, ἐφ' οἷς ἀμνηστία δέδοται χάρισι τοῦ ἵλεω θεοῦ μετάνοιαν ἐν ἴσῳ τῷ μηδὲ ἁμαρτάνειν τετιμηκότος. τὰς μὲν οὖν ὡς ἑορτῆς 188 θυσίας ἰσαρίθμους ἀπέφηνε ταῖς τῶν ἱερομηνιῶν, μόσχον καὶ κριὸν καὶ ἑπτὰ ἄρνας, ἀνακερασάμενος μονάδα ἑβδομάδι καὶ πρὸς ἀρχὴν τὸ τέλος ἀπευθύνας — τέλος μὲν γὰρ ἔργων ἑβδομάς, ἀρχὴν δὲ μονὰς κεκλήρωται —, τὰς δ' ὡς καθάρσεως ⟨τρεῖς⟩· προστάττει γὰρ δύο χιμάρους ἀνάγειν καὶ κριόν, εἶτά φησι δεῖν τὸν μὲν ὁλοκαυτοῦν, διακληροῦν δὲ τοὺς χιμάρους, καὶ τὸν μὲν λαχόντα τῷ θεῷ θύειν, τὸν δ' ἕτερον εἰς ἀτριβῆ καὶ ἄβατον ἐρημίαν ἐκπέμπειν ἐφ' ἑαυτῷ κομίζοντα τὰς ὑπὲρ τῶν πλημμελησάντων ἀράς, οἳ μεταβολαῖς ταῖς πρὸς τὸ βέλτιον ἐκαθάρθησαν, εὐνομίᾳ καινῇ παλαιὰν ἀνομίαν ἐκνιψάμενοι.

Τῇ δὲ πεντεκαιδεκάτῃ τῆς πλησιφαοῦς σελήνης ἄγεται ἡ ἐπι- 189 καλουμένη σκηνῶν ἑορτή, καθ' ἣν πλείους εἰσὶν αἱ χορηγίαι τῶν θυσιῶν· καταθύονται γὰρ ἐφ' ἡμέρας ἑπτὰ μόσχοι μὲν ἑβδομήκοντα, κριοὶ δὲ

---

3 καὶ ἀνάγεται secl. Wendl. (haud recte) 4 τῶν om. R 6 ἐνστῇ καιρὸς F: καιρὸς ἐνστῇ R ἐν τῷ om. F 7 μεθοπωρινήν F 8 περὶ ἧς F: ὡς R πρότερον R: τὸ πρό(τερον) F πρὸ δεκάτ' ἡ νηστεία (sic) F 9 alt. οἷς om. F 10 οὐδὲν εὐαγὲς F (εὐαγὲς οὐδὲν scripsi): εὐγενὲς οὐδὲν R 13 τοὺς μὲν ... τοὺς δὲ RF: τὸν μὲν ... τὸν δ' Wendl. δ' F 14 ἀμνηστεία δέδοται F: δέδοται ἀμνηστία R χάρισι ... μετάνοιαν R (Wendl.): χάρις ἡ ... μετάνοια F 15 μηδὲ scripsi: μηδὲν RF ἑορτῆς F: ἑορτῇ R 18 ἀρχὴν F: ἀρχὴ R 19 τὰς δ' Wendl.: τὰ δ' RF τρεῖς addidi; ⟨προσέθηκε⟩ coni. Wendl. 20 ἀνάγειν R: αἰγῶν F; αἰγῶν ⟨ἀνάγειν⟩ Wendl. φησιν R τὸν R: τὸ F

8 Num. 29,7—11. Lev. 16,5sqq. cf. *Ioseph. l. l.* § *240—243* 25 Num. 29,12sqq. cf. *Ioseph. l. l.* § *246.*

τέσσαρες καὶ δέκα, ἄρνες δὲ δυοῖν δεόντων ἑκατόν, ἅπαντα ζῷα ὁλόκαυτα. προστέτακται δὲ καὶ τὴν ὀγδόην ἱερὰν νομίζειν, περὶ ἧς ἀκριβωτέον, ὅταν σύμπας ὁ περὶ τῶν ἑορτῶν ἐξετάζηται λόγος, ἐν ᾗ προσάγεται ὅσα καὶ ἐν ταῖς ἱερομηνίαις.

190 Αἱ μὲν οὖν ὑπὲρ τοῦ ἔθνους ἢ κυριώτερον εἰπεῖν ὑπὲρ παντὸς ἀνθρώπων γένους κοιναὶ καὶ ὁλόκαυτοι θυσίαι κατ' ἐμὴν δύναμιν εἴρηνται. ταῖς δ' ὁλοκαύτοις καθ' ἑκάστην ἡμέραν ἑορτῆς παρέπεται χίμαρος, ὃς καλεῖται μὲν περὶ ἁμαρτίας, καταθύεται δὲ εἰς ἁμαρτημάτων ἄφεσιν,
191 οὗ τὰ κρέα τοῖς ἱερεῦσιν εἰς ἐδωδὴν ἀπονέμεται. τίς οὖν αἰτία; ἢ ὅτι ἑορτὴ καιρός ἐστιν εὐφροσύνης, ἡ δ' ἀψευδὴς καὶ πρὸς ἀλήθειαν εὐφροσύνη φρόνησίς ἐστιν ἐνιδρυμένη ψυχῇ βεβαίως, φρόνησιν δ' ἀκλινῆ λαβεῖν οὐκ ἔνεστιν ἄνευ θεραπείας ἁμαρτημάτων καὶ παθῶν ἐκτομῆς; ἄτοπον γὰρ ἕκαστον μὲν τῶν ὁλοκαυτουμένων ἀσινὲς καὶ ἀβλαβὲς ἀνευρισκόμενον καθιεροῦσθαι, τὴν δὲ τοῦ θύοντος διάνοιαν μὴ οὐ κεκαθάρθαι πάντα τρόπον καὶ πεφαιδρύνθαι λουτροῖς καὶ περιρραντηρίοις χρησαμένην, ἅπερ ὁ τῆς φύσεως ὀρθὸς λόγος δι' ὑγιαινόντων καὶ ἀδιαφθόρων ὤτων
192 ψυχαῖς φιλοθέοις ἐπαντλεῖ. πρὸς δὲ τούτῳ κἀκεῖνο δεόντως ἂν λέγοιτο· αἱ ἑορτώδεις ἀνέσεις αὗται καὶ ἐκεχειρίαι μυρίας ἤδη πολλάκις ἁμαρτημάτων ὁδοὺς ἀνέτεμον· ἄκρατος γὰρ καὶ αἱ μετ' οἰνοφλυγίας ὀψοφαγίαι τὰς γαστρὸς ἀκορέστους ἐπιθυμίας ἐγείρουσαι προσαναφλέγουσι καὶ τὰς ὑπὸ γαστέρα, καὶ ῥέουσαι καὶ χεόμεναι πάντη φορὰν ἀμυθήτων ἀπεργάζονται κακῶν τὸ τῆς ἑορτῆς ἀδεὲς ὁρμητήριον ἔχουσαι καὶ πρὸς τὸ
193 μηδὲν παθεῖν καταφυγήν. ἅπερ συνιδὼν οὐκ ἐφῆκε κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις ἑορτάζειν, ἀλλ' ἐν αὐτῷ τῷ τῆς εὐφροσύνης καιρῷ πρῶτον μὲν ἐκέλευσεν ἁγνεύειν ἐπιστομίζοντας τὰς ἐφ' ἡδονὴν ὁρμάς, εἶτα εἰς τὸ ἱερὸν ἐπὶ μετουσίαν ὕμνων καὶ εὐχῶν καὶ θυσιῶν ἐκάλεσεν, ἵνα κἀκ

1 δυοῖν R (Wendl.): om. F 2 δὲ R (Wendl.): om. F 3 ἐξετάζηται λόγος R: λόγος ἐξετάζηται F 7 ὁλοκαύταις R 8 δὲ R: δ' F 9 τοῖς ἱερεῦσιν εἰς ἐδωδὴν R: εἰς ἐδωδὴν τοῖς ἱερεῦσιν F 9. 10 ἤ. ὅτι F 13 καὶ ἀβλαβὲς R: om. F 13. 14 ἀνευρισκόμενον R: εὑρισκόμενον F 15 περιραντηρίοις F χρησαμένην F: κεκαθαρμένην R 19 ἄκρατος F: ἄκρατοι R αἱ R: om. F 20 ἐγείρουσαι προσαναφλέγουσι R: ἐξεγείρουσι (sic) προσαναφλέγουσαι F 23 ἅπερ] ὅπερ coni. Wendl. τὰ αὐτὰ R: ταῦτα F 25 ἐπιστομίζοντας R (Wendl.): ἐπιστοματίζοντας F τὰς om. R εἶτα R: εἶτ' F 26 μετουσίαν R (Wendl.): μετουσία F ἐκάλεσεν F: ἐκέλευσεν R

2 Num. 29,35. 36. cf. *Ioseph. l. l.* § 247 7 Num. 28,15. 22. 30. 29,5. 11. 16. 19. 22. 25. 28. 31. 34. 38.

τοῦ τόπου κἀκ τῶν ὁρωμένων καὶ λεγομένων διὰ τῶν κυριωτάτων αἰσθήσεων, ὄψεως καὶ ἀκοῆς, ἐγκρατείας ἅμα καὶ εὐσεβείας ἐρασθῶσιν. εἶτ᾿ ἐπὶ πᾶσιν ὑπέμνησε τοῦ μὴ ἁμαρτάνειν διὰ τῆς θυσίας τοῦ περὶ ἁμαρτίας· ὁ γὰρ ἀμνηστίαν ἐφ᾿ οἷς ἥμαρτεν αἰτούμενος οὐχ οὕτως ἐστὶ κακοδαίμων, ὥστ᾿ ἐν ᾧ χρόνῳ παλαιῶν ἀδικημάτων αἰτεῖται λύσιν ἕτερα καινοτομεῖν.

(4.) Τοσαῦτα περὶ τούτων διαλεχθεὶς ἄρχεται διαιρεῖν τὰ τῶν 194
θυσιῶν γένη καὶ τέμνων εἰς εἴδη τρία τὰ ἀνωτάτω τὸ μὲν ὁλόκαυτον καλεῖ, τὸ δὲ σωτήριον, τὸ δὲ περὶ ἁμαρτίας· εἶθ᾿ ἕκαστον τοῖς ἁρμόττουσιν ἐπικοσμεῖ τοῦ πρέποντος ἅμα καὶ εὐαγοῦς οὐ μετρίως στοχασάμενος. παγκάλη 195
δὲ καὶ προσφυεστάτη τοῖς πράγμασιν ἡ διαίρεσις ἀκολουθίαν ἔχουσα καὶ εἱρμόν· εἰ γὰρ βούλοιτό τις ἐξετάζειν ἀκριβῶς τὰς αἰτίας, ὧν ἕνεκα τοῖς πρώτοις ἔδοξεν ἀνθρώποις ἐπὶ τὰς διὰ θυσιῶν εὐχαριστίας ὁμοῦ καὶ λιτὰς ἐλθεῖν, εὑρήσει δύο τὰς ἀνωτάτω· μίαν μὲν τὴν πρὸς θεὸν τιμήν, τὴν ἄνευ τινὸς ἑτέρου δι᾿ αὐτὸν μόνον γινομένην ὡς ἀναγκαῖον ⟨καὶ⟩ καλόν, ἑτέραν δὲ τὴν τῶν θυόντων προηγουμένην ὠφέλειαν· διττὴ δ᾿ ἐστίν, ἡ μὲν ἐπὶ μετουσίᾳ ἀγαθῶν, ἡ δὲ ἐπὶ κακῶν ἀπαλλαγῇ.
τῇ μὲν οὖν κατὰ θεὸν καὶ δι᾿ αὐτὸν μόνον γινομένῃ προσήκουσαν ὁ 196
νόμος ἀπένειμε θυσίαν τὴν ὁλόκαυτον, ὁλοκλήρῳ καὶ παντελεῖ μηδὲν ἐπιφερομένῃ τῆς θνητῆς φιλαυτίας ὁλόκληρον καὶ παντελῆ· τὴν δὲ χάριν ἀνθρώπων, ἐπειδὴ διαίρεσιν ἐπεδέχετο ἡ δόξα, καὶ αὐτὸς διεῖλε, κατὰ μὲν τὴν μετουσίαν τῶν ἀγαθῶν ὁρίσας θυσίαν ἣν ὠνόμασε σωτήριον, τῇ δὲ φυγῇ τῶν κακῶν ἀπονείμας τὴν περὶ ἁμαρτίας.

1 (ὁρω)μένων καὶ R: om. F   διὰ τῶν RF: δύο Wendl.   2 ἅμα F: om. R   3 θύσεως N   τοῦ RF: τῆς Wendl.   6 καινοτομεῖ conicio   8 γένη] εἴδη F   εἴδη τρία codd.: τρία εἴδη v   καλεῖ RF: ποιεῖ AH (Turn.)   9. 10 ἐπικοσμεῖ RF: ἐπιδιώκει AH (Turn.)   11 αἱ διαίρεσις (sic) H   13 διὰ RF: om. AH (Turn.)   ὁμοῦ RAH: ἅμα F (Mang.)   14 εὑρήσω H   15 δι᾿ αὐτὸν Mang.: δι᾿ αὐτὸ A, διὰ τὸ ceteri   ὡς ἀναγκαῖον RF: καὶ ἀναγκαῖον AH (v); ἀκέραιον coni. Bernays   16 καὶ καλόν scripsi; ⟨ὃν τιμᾶσθαι⟩ ἀναγκαῖον ⟨καὶ⟩ καλὸν coni. Mang.   προηγουμένην RAH: προηγουμένως F   17 δέ ἐστιν AH   μετουσίαν R   δ᾿ F   ἀπαλλαγήν R   18 τῇ . . . γινομένῃ F: τὴν . . . γινομένην RAH   κατὰ θεὸν] κατὰ τὸ δέον coni. Mang.   καὶ om. AH (Turn.)   20 ἐπιφερομένῃ RF: ἐπιφερομένην AH (v)   21 δόξα] θυσία coni. Mang.   22 μὲν F: om. RAH (v)   23 σωτηρίου coni. Mang.

3—6 N fol. 156[r]: εἶτα ἐπὶ—καινοτομεῖν τοσαῦτα.   14 cf. J. Bernays, Theophrasts Schrift über die Frömmigkeit p. 105.

197 ὡς τρεῖς εἶναι δεόντως ἐπὶ τρισί, τὴν μὲν ὁλόκαυτον δι' αὐτὸν μόνον
τὸν | θεόν, ὃν καλὸν τιμᾶσθαι, μὴ δι' ἕτερον, τὰς δ' ἄλλας δι' ἡμᾶς, p. 241 M.
τὴν μὲν σωτήριον ἐπὶ σωτηρίᾳ καὶ βελτιώσει τῶν ἀνθρωπίνων πραγ-
μάτων, τὴν δὲ περὶ ἁμαρτίας ἐπὶ θεραπείᾳ ὧν ἐπλημμέλησεν ἡ ψυχή.
198 (5.) Λεκτέον δὲ περὶ ἑκάστης τὰ νομοθετηθέντα τὴν ἀρχὴν
ποιησαμένους ἀπὸ τῆς ἀρίστης· ἀρίστη δ' ἐστὶν ἡ ὁλόκαυτος. ἔστω
δή, φησί, πρῶτον μὲν τὸ ἱερεῖον ἄρρεν, ἐκ τῶν πρὸς τὰς θυσίας
ἀριστίνδην ζῴων ἐπικριθέντων, μόσχος ἢ ἀμνὸς ἢ ἔριφος· ἔπειτα δ'
ἀπονιψάμενος ὁ προσάγων τὰς χεῖρας ἐπιφερέτω τῇ τοῦ ἱερείου κεφαλῇ·
199 καὶ μετὰ ταῦτα λαβών τις τῶν ἱερέων καταθυέτω καὶ φιάλην ἕτερος
ὑποσχὼν καὶ δεξάμενος τοῦ αἵματος ἐν κύκλῳ περιϊὼν τὸν βωμὸν
ἐπιρραινέτω, καὶ τὸ ἱερεῖον ἀποδαρὲν εἰς ὁλόκληρα μέλη διανεμέσθω,
κοιλίας ἀποπλυνομένης καὶ ποδῶν· εἶτα σύμπαν τῷ ἱερῷ πυρὶ τοῦ
βωμοῦ παραδιδόσθω, γεγονὸς καὶ ἐξ ἑνὸς πολλὰ καὶ ἐκ πολλῶν ἕν.
200 ταῦτα μὲν ἡ ῥητὴ πρόσταξις περιέχει. μηνύεται δὲ καὶ νοῦς ἕτερος
αἰνιγματώδη λόγον ἔχων τὸν διὰ συμβόλων· σύμβολα δ' ἐστὶ τὰ λεχθέντα
φανερὰ ἀδήλων καὶ ἀφανῶν. ἄρρεν εὐθέως τὸ ὁλόκαυτον ἱερεῖον,
ἐπειδὴ τοῦ θήλεος καὶ τελειότερον καὶ ἡγεμονικώτερον καὶ συγγενέστερον
αἰτίῳ δραστικῷ· τὸ γὰρ θῆλυ ἀτελές, ὑπήκοον, ἐν τῷ πάσχειν μᾶλλον
201 ἢ ποιεῖν ἐξεταζόμενον. δυοῖν δ' ὄντων, ἐξ ὧν ἡ ἡμετέρα ψυχὴ συνέστη,
λογικοῦ τε καὶ ἀλόγου, τὸ μὲν λογικὸν τῆς ἄρρενος γενεᾶς ἐστιν, ὅπερ
νοῦς καὶ λογισμὸς κεκλήρωται, τὸ δ' ἄλογον τῆς πρὸς γυναικῶν, ὅπερ
ἔλαχεν αἴσθησις. νοῦς δὲ αἰσθήσεως, ὡς ἀνὴρ γυναικός, καθ' ὅλον
γένος ἀμείνων, ὃς ἄμωμος ὢν καὶ καθαρθεὶς καθάρσεσι ταῖς ἀρετῆς

1 ὡς τρεῖς εἶναι RF: om. AH (Turn.) ἐπὶ τρισὶ] ἐπιτίθησι Turn. 3 μὲν RF: μὲν οὖν AH (v) 4 ἐπλημμέλησεν ἡ ψυχή RF: ἐπλημμέλησε ψυχή AH (v) 5 ἑκάστης RF: ἑκάστης ψυχῆς AH; ἑκάστης θυσίας coni. Mang. 6 δέ ἐστιν AH ὁλόκαυτος RAH: ὁλοκαύτωσις F 7 δή] δὲ Richt. 8 ἐπικριθέντων RF: ἐπικριθὲν AH (Turn.) 9 ἀπονιψάμενος post χεῖρας transp. F ἱερείου] ἱεροῦ A 11 ἐν om. F 12 μέλη scripsi (cf. p. 50,7 et LXX): μέρη codd. (v) 13 τῷ ἱερῷ RF: τὸ ἱερὸν A, τὸ ἱερεῖον H (Turn.) πυρὶ F: πυρὶ θεοῦ AH (Turn.), πυρὶ τῷ θεοῦ R 13. 14 τοῦ βωμοῦ FAH: βωμῷ R 14 γεγονὼς FH 16 δέ ἐστι AH 17 ἄρρεν εὐθέως RF: εὐθέως· ἄρρεν AH (Turn.) 18 καὶ τελειότερον καὶ ἡγεμονικώτερον RF: καὶ τελειότερον om. AH (Turn.); καὶ ἡγ. καὶ τελ. Mang. 20 ὄντων codd.: ὄντοιν Turn. συνέστηκε F 22 πρὸς RF: τῶν AH (Turn.) 23 ἔλαχεν] ἔλαβεν A δ' F 24 ἀρετῆς RF: ἀρεταῖς AH (v)

6 Lev. 1,2—9. cf. *Ioseph. Ant. Iud. III § 226. 227.*

τελείας αὐτός ἐστιν ἡ εὐαγεστάτη θυσία καὶ ὅλη δι' ὅλων εὐάρεστος
θεῷ. τὰς δὲ ἐπιτιθεμένας τῇ τοῦ ζῴου κεφαλῇ χεῖρας δεῖγμα σαφέ- 202
στατον εἶναι συμβέβηκε πράξεων ἀνυπαιτίων καὶ βίου μηδὲν ἐπιφερο-
μένου τῶν εἰς κατηγορίαν ἀλλὰ τοῖς τῆς φύσεως νόμοις καὶ θεσμοῖς
συνᾴδοντος. βούλεται γὰρ τοῦ θύοντος πρῶτον μὲν τὸν νοῦν ὡσιῶσθαι 203
γνώμαις ἀγαθαῖς καὶ συμφερούσαις ἐνασκούμενον, ἔπειτα δὲ τὸν βίον
ἐξ ἀρίστων συνεστάναι πράξεων, ὡς ἅμα τῇ τῶν χειρῶν ἐπιθέσει δύνα-
σθαί τινα παρρησιασάμενον ἐκ καθαροῦ τοῦ συνειδότος τοιαῦτα εἰπεῖν·
αἱ χεῖρες αὗται οὔτε δῶρον ἐπ' ἀδίκοις ἔλαβον οὔτε τὰς ἐξ ἁρπαγῆς 204
p. 242 M. καὶ πλεονεξίας διανομὰς οὔτε αἵματος | ἀθῴου προσήψαντο, οὐ πήρωσιν,
οὐχ ὕβριν, οὐ τραῦμα, οὐ βίαν ἐξειργάσαντο, οὐκ ἄλλο τὸ παράπαν
οὐδὲν τῶν κατηγορίαν καὶ ψόγον ἐχόντων ὑπηρέτησαν, ἀλλ' ὑποδιάκονοι
πάντων ἐγένοντο τῶν καλῶν καὶ συμφερόντων, ἃ παρὰ σοφίᾳ καὶ νόμοις
καὶ σοφοῖς καὶ νομίμοις ἀνδράσι τετίμηται. (6.) τὸ δ' αἷμα κύκλῳ 205
προσχεῖται τῷ βωμῷ, διότι κύκλος σχημάτων ⟨τὸ⟩ τελειότατον καὶ ὑπὲρ
τοῦ μέρος μηδὲν ἔρημον καὶ κενὸν ἀπολειφθῆναι ψυχικῆς σπονδῆς·
ψυχῆς γὰρ κυρίως εἰπεῖν ἐστι σπονδὴ τὸ αἷμα. συμβολικῶς οὖν ἀνα-
διδάσκει τὴν διάνοιαν ὅλην δι' ὅλων ἐν κύκλῳ χορεύουσαν ἐν πάσαις
ἰδέαις λόγων καὶ βουλευμάτων καὶ ἔργων ἐπιδείκνυσθαι τὴν πρὸς τὸν
θεὸν ἀρέσκειαν. ἀποπλύνεσθαι δὲ κοιλίαν καὶ πόδας διείρηται, πάνυ 206
συμβολικῶς· διὰ μὲν γὰρ τῆς κοιλίας αἰνίττεται τὴν ἐπιθυμίαν, ἣν
ἐκνίπτεσθαι συμφέρον κηλίδων καὶ μιασμάτων καὶ μέθης καὶ παροινίας
μεστήν, κακὸν βλαβερώτατον ἐπὶ λύμῃ τοῦ βίου τῶν ἀνθρώπων συγ-
κροτούμενόν τε καὶ συνασκούμενον· διὰ δὲ τοῦ τοὺς πόδας ἀπολούεσθαι 207

1 τελείας scripsi: τελείαις codd. (v) 2 δ' AH ἐπιτεθειμένας AH (Turn.) 3 συμβέβηκεν R 5 συνᾴδοντα FN 8 τοῦ om. N τοιαῦτ' F 9 δῶρα FN οὔτε τὰς — διανομὰς (10) om. L (Turn.) 10 οὔτε R: οὔθ' FAH 11 εἰργάσαντο H (Turn.) 11. 12 οὐκ ἄλλῳ τῳ παρ' οὐδενὶ AH (Turn.) 12 καὶ ψόγον R: ἢ ψόγον FAH (v) 13 πάντως ἐγένετο N τῶν καλῶν RFNA: τῶν om. H (v) καὶ τῶν συμφερόντων N ἃ παρὰ σοφίᾳ R: ἃ περὶ σοφίας F(N?), ἅπερ τῇ σοφίᾳ AH (v) 14 καὶ σοφοῖς R: σοφοῖς FN, καὶ καλοῖς AH (v) 15 προχεῖται AH (Turn.) τὸ addidi τελεώτατον F 16 τοῦ] οὗ AH μέρος μηδὲν RAH: μηδὲν μέρος F; μέρος οὐδὲν v σπουδῆς A 17 γὰρ κυρίως RF: δ' ὡς AH (Turn.) ἔστιν εἰπεῖν transp. RF 19. 20 πρὸς θεὸν F 20 ἀποπλύνεσθαι] ἐκνίπτεσθαι F 21 τὴν ἐπιθυμίαν RF: ὡς τὴν ἐπιθυμίαν AH (v) ἣν F: om. RAH (v) 22 ἐκνίπτεσθαι RF: ἀπονίπτεσθαι AH (v) καὶ μιασμάτων om. H (Turn.) 23 κακῶν F 24 συνασκούμενον] συναυξόμενον coni. Mang.

2—14 N fol. 156r: τὰς — τετίμηται.

τὸ μηκέτι βαίνειν ἐπὶ γῆς, ἀλλ' αἰθεροβατεῖν· ἡ γὰρ τοῦ φιλοθέου
ψυχὴ πρὸς ἀλήθειαν ἀπὸ γῆς ἄνω πρὸς οὐρανὸν πηδᾷ καὶ πτερωθεῖσα
μετεωροπολεῖ συντάττεσθαι γλιχομένη καὶ συγχορεύειν ἡλίῳ καὶ σελήνῃ
καὶ τῇ τῶν ἄλλων ἀστέρων ἱερωτάτῃ καὶ παναρμονίῳ στρατιᾷ, ταξιαρ-
χοῦντος καὶ ἡγεμονεύοντος τοῦ θεοῦ τοῦ τὴν ἀνανταγώνιστον καὶ ἀν-
208 αφαίρετον βασιλείαν ἔχοντος, δι' ἧς ἐνδίκως ἕκαστα πρυτανεύεται. ἡ δὲ
εἰς μέλη τοῦ ζῴου διανομὴ δηλοῖ. ἤτοι ὡς ἓν τὰ πάντα ἢ ὅτι ἐξ ἑνός
τε καὶ εἰς ἕν, ὅπερ οἱ μὲν κόρον καὶ χρησμοσύνην ἐκάλεσαν, οἱ δ'
ἐκπύρωσιν καὶ διακόσμησιν, ἐκπύρωσιν μὲν κατὰ τὴν τοῦ θερμοῦ
δυναστείαν τῶν ἄλλων ἐπικρατήσαντος, διακόσμησιν δὲ κατὰ τὴν τῶν
209 τεττάρων στοιχείων ἰσονομίαν, ἣν ἀντιδιδόασιν ἀλλήλοις. ἐμοὶ δὲ
εὐθυβολώτερον σκοπουμένῳ δοκεῖ τοῦτο δηλοῦσθαι· ἡ τιμῶσα ψυχὴ
τὸ ὂν δι' αὐτὸ τὸ ὂν ὀφείλει μὴ ἀλόγως μηδ' ἀνεπιστημόνως ἀλλὰ
σὺν ἐπιστήμῃ καὶ λόγῳ τιμᾶν. ὁ δὲ περὶ αὐτοῦ λόγος τομὴν ἐπι-
δέχεται καὶ διαίρεσιν καθ' ἑκάστην τῶν θείων δυνάμεων καὶ ἀρετῶν·
ὁ γὰρ θεὸς ἀγαθός τέ ἐστι καὶ ποιητὴς καὶ γεννητὴς τῶν ὅλων καὶ
προνοητικὸς ὧν ἐγέννησε, σωτήρ τε καὶ εὐεργέτης, μακαριότητος καὶ
πάσης εὐδαιμονίας ἀνάπλεως· ὧν ἕκαστον καὶ καθ' αὑτὸ ἰδίᾳ σεμνὸν
210 καὶ ἐπαινετὸν καὶ μετὰ τῶν ὁμογενῶν ἐξεταζόμενον. ἔχει δὲ καὶ τὰ
ἄλλα ταύτῃ. ὅταν | βουληθῇς, ὦ διάνοια, εὐχαριστῆσαι περὶ γενέσεως p. 243 M.
κόσμου θεῷ, καὶ περὶ τοῦ ὅλου ποιοῦ τὴν εὐχαριστίαν καὶ περὶ τῶν
ὁλοσχερεστάτων αὐτοῦ μερῶν ὡς ἂν ζῴου τελειοτάτου μελῶν, οἷον
οὐρανοῦ λέγω καὶ ἡλίου καὶ σελήνης, πλανήτων καὶ ἀπλανῶν ἀστέρων.

3 μετεωροπολεῖ R (sic scripseram): μετεωροπορεῖ FAH (v) 6 δ' F 7 ἤτοι ὡς RF: ἤτοι εἰς AH; ἢ ὅτι εἰς Turn. ἓν τὰ πάντα] εισ απαντα R 8 εἰς ἓν RF: εἰς ἕνα AH (Turn.) 9 ἐκπύρωσιν μὲν—διακόσμησιν δὲ (10) om. AH (Turn.) θερμοῦ R: θεοῦ F; πυρὸς coni. Bernays 11 ἰσονομίαν] οἰκονομίαν H (Turn.) δ' F 12 ψυχὴ RF: om. AH (Turn.) 13 ἀλλὰ codd.: ἀλλὰ καὶ v 15 post διαίρεσιν add. καὶ AH (Turn.) 16 γεννητὴς F: γενέτης RAH (v) 17 ἐγέννησεν R μακαριότητος RF: καὶ μακαριώτατος AH (v) 18 καθ' αὐτὸν R, καθ' ἑαυτὸ F 'διασεμνον (sic) R 19 post ἐπαινετὸν add. R: ἐν ἄλλῳ π(ᾶσι?) τοῖς δεδημιουργημένοις θεωρούμενον 19. 20 τἆλλα F τὰ ἄλλα βουλησεισ ολοκληρω . . . . . . ταυτη R 20 ὦ διάνοια RF: σῇ διανοίᾳ AH (v) 20. 21 περὶ γενέσεως κόσμου θεῷ RF: θεῷ post εὐχαριστῆσαι (20) transp. AH 21 καὶ—ποιοῦ om. Richt. ὅλου ποιοῦ] ὅλων ποιητοῦ R 22 ὁλοσχερεστάτων RF: ὁλοσχερεστέρων AH; ὁλοσχερῶν v μελῶν] μερῶν Turn. 23 καὶ πλανήτων AH

7 sqq. cf. Heracliti frg. 1. 24 Byw. (50. 65 Diels). Bernays Heraklit. Briefe p. 125.

εἶτα γῆς καὶ τῶν ἐν αὐτῇ ζῴων καὶ φυτῶν, εἶτα πελαγῶν καὶ ποταμῶν
αὐθιγενῶν τε καὶ χειμάρρων καὶ τῶν ἐν αὐτοῖς, ἔπειτα ἀέρος καὶ
τῶν κατ᾽ αὐτὸν μεταβολῶν· χειμὼν γὰρ καὶ θέρος, ἔαρ τε καὶ μετό-
πωρον, αἱ ἐτήσιοι καὶ βιωφελέσταται ὧραι, παθήματα ἀέρος γεγόνασιν
ἐπὶ σωτηρίᾳ τῶν μετὰ σελήνην τρεπομένου. κἂν ἄρα ποτὲ περὶ 211
ἀνθρώπων εὐχαριστῇς, μὴ μόνον περὶ τοῦ γένους ἀλλὰ καὶ περὶ τῶν
εἰδῶν καὶ ἀναγκαιοτάτων μερῶν εὐχαρίστει, ἀνδρῶν, γυναικῶν, Ἑλλήνων,
βαρβάρων, τῶν ἐν ἠπείροις, τῶν τὰς νήσους εἰληχότων· κἂν περὶ ἑνὸς
ἀνδρός, τέμε τῷ λόγῳ τὴν εὐχαριστίαν, μὴ εἰς τὰ λεπτότατα μέχρι
τῶν ἐσχάτων, ἀλλὰ εἰς τὰ συνεκτικώτατα, σῶμα καὶ ψυχὴν τὸ πρῶτον,
ἐξ ὧν συνέστηκεν, εἶτα εἰς λόγον καὶ νοῦν καὶ αἴσθησιν· οὐ γὰρ ἂν
γένοιτο ἀναξία θεοῦ ἀκοῆς καὶ ἡ ὑπὲρ ἑκάστου τούτων εὐχαριστία
καθ᾽ αὑτήν.

(7.) Ἀπόχρη τοσαῦτα περὶ τῆς ὁλοκαύτου θυσίας λελέχθαι. τὴν 212
δὲ τοῦ σωτηρίου λεγομένην ἑξῆς ἐπισκεπτέον. ἐπὶ ταύτης ἀδιαφορεῖ,
ἐάν τε ἄρρεν ᾖ τὸ ἱερεῖον ἐάν τε καὶ θῆλυ. σφαγέντος δὲ τρία ταῦτα
ὑπεξαιρεῖται τῷ βωμῷ, τὸ στέαρ καὶ λοβὸς ἥπατος καὶ νεφροὶ δύο· τὰ
δ᾽ ἄλλα τῷ καταθύσαντι εὐωχία. διὰ τί δὲ τὰ μέρη ταῦτα τῶν ἐντο- 213
σθιδίων καθιεροῦται, μετὰ ἀκριβείας ἐπισκεπτέον ἐκεῖνο μὴ παρελθόντας·
διαλογιζόμενος ἐν ἐμαυτῷ πολλάκις ταῦτα καὶ διερευνώμενος ἐπηπόρησα,
τί δήποτε λοβὸν μὲν ἥπατος καὶ νεφροὺς καὶ στέαρ ἀπαρχὰς τῶν κατα-
θυομένων ζῴων ὑπεξείλετο ὁ νόμος, οὔτε δὲ καρδίαν οὔτε ἐγκέφαλον,
τοῦ ἡγεμονικοῦ τῷ ἑτέρῳ τούτων ἐνδιαιτωμένου. τὸ δ᾽ αὐτὸ νομίζω 214
καὶ ἄλλους οὐκ ὀλίγους τῶν διανοίᾳ μᾶλλον ἢ ὀφθαλμοῖς ταῖς ἱεραῖς

1 ἐν αὐτῇ RF: ἀπ᾽ αὐτῆς AH (v): ἐπ᾽ αὐτῆς coni. Mang. εἶτα καὶ AH (Turn.) 2 τε om. F ἔπειτ᾽ F 3 μεταβολῶν RF: μελῶν AH (Turn.) 3. 4 μεθόπωρον F 4 παθήματ᾽ F 5 τρεπομένου F (Mang.): τρεπομένων RAH 6 γένους μόνου R καὶ περὶ RF: περὶ om. AH (v) 7 εἰδῶν RF: ὁδῶν AH (Turn.) μερῶν] ἐν μέρει coni. Mang. εὐχαριστήσει L, εὐχαριστήσεις Turn. 10 ἀλλ᾽ F ψυχὴ H 11 εἶτ᾽ F νοῦν καὶ λόγον transp. F 12 ἡ R: om. FAH (v) εὐχαριστεία F 13 καθ᾽ ἑαυτήν F 14 ὁλοκαύτου θυσίας RF: θυσίας τῆς ὁλοκαύτου AH (v) λελέχθαι] λέγεσθαι F 15 ἐπὶ ταύτης RF: ἐπὶ ταύτης γὰρ AH (v) ἀδιαφόρει F 16 ταῦτα om. F 17 τό τε στέαρ F λωβὸς H 18. 19 ἐντοσθιδίων RF: ἐντοσθίων AH (v) 19 καθιεροῦνται codd. μὴ παρέλθῃς F 20 ἐν ἑαυτῷ H (Turn.) ταῦτα RF: τοιαῦτα AH (Turn.) ταῦτα καὶ scripsi: καὶ ταῦτα (τοιαῦτα) codd. (v) 21 καὶ δύο νεφροὺς F 23 ἑταίρῳ F[1]

15 Lev. cap. 3. cf. *Joseph. Ant. Iud. III* § 228. 229.

γραφαῖς ἐντυγχανόντων ἐπιζητήσειν· ἐὰν μὲν οὖν ἐπισκεψάμενοι πιθανωτέραν αἰτίαν εὕρωσιν, ἑαυτούς τε καὶ ἡμᾶς ὠφελήσουσιν· εἰ δὲ μή, τὴν ἐπινοηθεῖσαν ὑφ' ἡμῶν ἐπικρινάτωσαν, εἰ δόκιμος. ἔστι δὲ ἥδε· τὸ ἡγεμονικὸν μόνον τῶν ἐν ἡμῖν ἀφροσύνην καὶ ἀδικίαν καὶ δειλίαν καὶ τὰς ἄλλας κακίας δέχεταί τε καὶ χωρεῖ· τούτου δὲ οἶκος τὸ ἕτερον
215 τῶν λεχθέντων ἐστίν, | ἐγκέφαλος ἢ καρδία. ἐδικαίωσεν οὖν ὁ ἱερὸς p. 244 M.
λόγος τῷ τοῦ θεοῦ βωμῷ, δι' οὗ πάντων ἁμαρτημάτων καὶ παρανομημάτων ἀπολύσεις γίνονται καὶ παντελεῖς ἀφέσεις, μὴ προσφέρειν ἀγγεῖον, ἐν ᾧ ποτε φωλεύσας ὁ νοῦς ἐπὶ τὴν ἀδικίας καὶ ἀσεβείας ἀνοδίαν ἐχώρησεν ἐκτραπόμενος τὴν ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν ἄγουσαν ὁδόν· εὔηθες γὰρ τὰς θυσίας ὑπόμνησιν ἁμαρτημάτων ἀλλὰ μὴ λήθην αὐτῶν κατασκευάζειν. τοῦτ' αἴτιον εἶναί μοι δοκεῖ τοῦ μηδέτερον τῶν
216 ἡγεμονίαν ἐχόντων, ἐγκέφαλον ἢ καρδίαν, προσφέρεσθαι. ἃ δὲ διείρηται, λόγον ἔχει προσήκοντα· τὸ μὲν στέαρ, ὅτι καὶ πιότατον καὶ τῶν σπλάγχνων φυλακτήριον — ἐπαμπίσχει γὰρ αὐτὰ καὶ πιαίνει καὶ τῇ μαλακότητι τῆς ἐπαφῆς ὠφελεῖ —, οἱ δὲ νεφροὶ διὰ τοὺς παραστάτας καὶ τὰ γεννητικά, οἷς παροικοῦντες ἀγαθῶν τρόπον γειτόνων βοηθοῦσι καὶ συμπράττουσιν, ὅπως ὁ τῆς φύσεως σπόρος εὐοδῇ, μηδενὸς τῶν πλησίον ἐμποδίζοντος — αὐτοὶ μὲν γὰρ αἱμοειδεῖς εἰσι δεξαμεναί, οἷς ἡ τῶν περιττωμάτων ὑγρὰ κάθαρσις ἀποκρίνεται, οἱ δὲ παραστάται πλησίον, δι' ὧν ἄρδεται ὁ σπόρος —, λοβὸς δ' ἥπατος τοῦ κυριωτάτου τῶν σπλάγχνων ἐστὶν ἀπαρχή, δι' οὗ τὴν τροφὴν ἐξαιματοῦσθαι συμβέβηκε καὶ ἐποχετευομένην τῇ καρδίᾳ φέρεσθαι διὰ φλεβῶν εἰς τὴν τοῦ ὅλου
217 σώματος διαμονήν. στόμαχος μὲν γὰρ παρακείμενος τῇ καταπόσει τὴν

1 γραφαῖς ἐντυγχανόντων RF: ἐντυγχανόντων γραφαῖς AH (v) 2 ἀνεύρωσιν N ἑαυτούς] αὐτοὺς FN 4 τὸ ἡγεμονεῦον AH (Turn.) μόνον om. AH (Turn.) ἐν] ἐφ' AH (Turn.) 5 δέχεται Mang.: δύναται codd. δ' FN 7. 8 παρανομημάτων] ἀνομημάτων FN 9 ἐν ᾧ ποτε φωλεύσας] ἐν ὁποτέρῳ νεύσας (sic) Turn. φωλεύων N, φωλεύει F ἀδικίας καὶ ἀσεβείας ἀνοδίαν FN: ἀδικίας καὶ ἀσεβείας ἄνοιαν R, ἀδικίαν καὶ ἄνοιαν AH (Turn.) 10. 11 τὴν . . . ἄγουσαν (ἀνάγουσαν N) ὁδόν RFN: τῆς . . . ἀγούσης ὁδοῦ AH (Turn.) 11 ὑπόμνησιν ἁμαρτημάτων ἀλλὰ μὴ λήθην RFN: μὴ λήθην ἁμαρτημάτων ἀλλ' ὑπόμνησιν AH (v) 12 μηδ' ἕτερον FN 13. 14 διείρηται F, διήρηται N: διαιρεῖται RAH (Turn.) 15 ἐπαμφίσκει F, ἐπαμπίσκει N 19 αἱμοειδεῖς] ἰσθμοειδεῖς FN 21 ἄρδεται om. F 23 ἐποχετευομένην FN: ἐποχετευομένη R, ἐποχετευμένην H, ἐπωχετευμένην A (Turn.) 24 διανομήν FN (prob. Mang.) γὰρ om. F
α α
περικείμενος A

1—53,21 N fol. 155v: ἐὰν μὲν οὖν — τὰ μέλλοντα.

ὑπὸ τῶν ὀδόντων τμηθεῖσαν πρότερον καὶ λεανθεῖσαν αὖθις τροφὴν ὑποδέχεται καὶ προκατεργάζεται κοιλίᾳ· κοιλία δὲ παρὰ στομάχου λαμβάνουσα τὴν δευτέραν ὑπηρεσίαν ἐπιτελεῖ, πρὸς ἣν ὑπὸ φύσεως ἐτάχθη, χύλωσιν ἀπεργαζομένη τῆς τροφῆς· αὐλοὶ δὲ δύο τῆς κοιλίας σωληνοειδεῖς ἐκπεφύκασιν εἰς ἧπαρ ἐπαντλοῦντες ταῖς διαπεφυκυίαις ἐν αὐτῷ δεξαμεναῖς. ἔχει δὲ διττὴν δύναμιν ἧπαρ, διακριτικήν τε καὶ τὴν πρὸς 218 ἐξαιμάτωσιν· ἡ μὲν οὖν διακριτικὴ πᾶν ὅσον ἀτέραμνον καὶ δυσκατέργαστον εἰς τὸ παρακείμενον χολῆς ἀγγεῖον ἀποκρίνει, ἡ δ᾽ ἑτέρα τὸ καθαρὸν καὶ διηθημένον τῷ περὶ αὐτὴν φλογμῷ τρέπει μὲν εἰς αἷμα ζωτικώτατον, ἀναθλίβει δ᾽ εἰς καρδίαν, ἀφ᾽ ἧς ὡς ἐλέχθη ταῖς φλεψὶν ἐποχετευόμενον διὰ παντὸς εἱλεῖται τοῦ σώματος γινόμενον αὐτῷ τροφή. πρόσεστι δὲ κἀκεῖνο τοῖς εἰρημένοις· τὴν τοῦ ἥπατος φύσιν μετέωρον 219 καὶ λειοτάτην οὖσαν [καὶ] διὰ λειότητα φανοτάτου κατόπτρου λόγον ἔχειν συμβέβηκεν, ἵν᾽ ἐπειδὰν τῶν ἡμερινῶν φροντίδων ἀναχωρήσας ὁ νοῦς, ὕπνῳ μὲν παρειμένου τοῦ σώματος, μηδεμιᾶς δὲ τῶν αἰσθήσεων p. 245 M. | ἱσταμένης ἐμποδών, ἀνακυκλεῖν αὑτὸν ἄρξηται καὶ τὰ νοήματα καθαρῶς ἐφ᾽ αὑτοῦ σκοπεῖν, οἷα εἰς κάτοπτρον ἀποβλέπων τὸ ἧπαρ ἕκαστα εἰλικρινῶς καταθεᾶται τῶν νοητῶν καὶ περιβλεπόμενος ἐν κύκλῳ τὰ εἴδωλα, μή τι πρόσεστιν αἶσχος, [ἵνα] τὸ μὲν φύγῃ, τὸ δ᾽ ἐναντίον ἕληται, καὶ πάσαις ταῖς φαντασίαις εὐαρεστήσας προφητεύῃ διὰ τῶν ὀνείρων τὰ μέλλοντα.

(8.) Δυσὶ δὲ μόναις ἡμέραις ἐπιτρέπει τὴν χρῆσιν τῆς τοῦ 220 σωτηρίου θυσίας ποιεῖσθαι μηδὲν εἰς τὴν τρίτην ἀπολείποντας, πολλῶν χάριν· ἑνὸς μὲν ὅτι τὰ τῆς ἱερᾶς τραπέζης πάντα καιρίως δεῖ προσ-

2 κοιλίᾳ· κοιλία RFN: pr. κοιλία om. AH (Turn.) 2. 3 λαβοῦσα FN 3 ἐπιτελεῖ RFN: ἀποτελεῖ AH (v) 4 χύμωσιν FN ἀπεργαζομένης N δὲ om. FN 5 ἐμπεφύκασιν H ἧπαρ—ἧπαρ (6) om. AH (Turn.) 6. 7 τὴν πρὸς ἐξαιμάτωσιν scripsi: πρὸς τὴν ἐξαιμάτωσιν RAH (Turn.), προσεξαιμάτωσιν FN (Mang.) 8 pr. τὸ om. FN περικείμενον AH (Turn.) χολῆς RFN: κωλῆς AH ἐπικρίνει Turn. 11 αὐτῷ] αὐτῇ AH 12 πρόσεστι RFN: προσθετέον AH (v) ante τὴν add. ὅτι v, om. codd. post μετέωρον add. τε Mang. (non F) 13 λειοτάτην] τελειοτάτην FN οὖσαν RFN: om. AH (Turn.) καὶ seclusi φανοτάτην FN 16 ἐκποδὼν F, ἐκποδῶν N ἀνακυκλεῖν] ἀνακινεῖν coni. Mang. αὐτὸν FNH 17 αὐτοῦ F, ἑαυτοῦ AH οἷα δ᾽ R 19 μή τι] μήτε F ἵνα seclusi 20 καὶ om. FN εὐαρεστήσας] ἀριστεύσας vel κρατιστεύσας coni. Mang. προφητεύῃ scripsi: προφητεύει codd. (v) ὀνειράτων N 23 ἀπολιπόντας F

13 cf. Plat. Tim. p. 71 b. 22 Lev. 19,5. 6. cf. *Ioseph. Ant. Iud. III § 229.*

φέρεσθαι σπουδὴν ποιουμένους, ὡς μὴ μεταβάλῃ μήκει χρόνου· κρεῶν
221 δὲ ἑώλων εὔσηπτος ἡ φύσις, κἂν ἡδύσμασι παραρτυθῇ. ἑτέρου δ' ὅτι τὰς θυσίας ἀταμιεύτους εἶναι προσήκει καὶ πᾶσιν εἰς μέσον προκεῖσθαι τοῖς δεομένοις· εἰσὶ γὰρ οὐκέτι τοῦ τεθυκότος, ἀλλ' ᾧ τέθυται τὸ ἱερεῖον, ὃς εὐεργέτης καὶ φιλόδωρος ὢν κοινωνὸν ἀπέφηνε τοῦ βωμοῦ καὶ ὁμοτράπεζον τὸ συμπόσιον τῶν τὴν θυσίαν ἐπιτελούντων, οἷς παραγγέλλει μὴ νομίζειν ἑστιᾶν· ἐπίτροποι γὰρ εὐωχίας εἰσίν, οὐχ ἑστιάτορες, ὁ δ' ἑστιάτωρ ἐστὶν οὗ συμβέβηκεν εἶναι καὶ τὴν παρασκευήν, ἣν οὐ θέμις ἀποκρύπτειν φειδωλίαν, ἀνελεύθερον κακίαν, φιλανθρωπίας,
222 ἀρετῆς εὐγενοῦς, προκρίνοντας. τελευταίου δ' ὅτι τὴν τοῦ σωτηρίου θυσίαν ὑπὲρ δυεῖν προσάγεσθαι συμβέβηκε, ψυχῆς τε καὶ σώματος, ὧν ἑκατέρῳ μίαν ἡμέραν ἀπένειμεν εἰς εὐωχίαν τῶν κρεῶν· ἥρμοττε γὰρ ἰσάριθμον χρόνον ὁρισθῆναι τοῖς πεφυκόσι σῴζεσθαι τῶν ἐν ἡμῖν, ὡς τῇ μὲν προτεραίᾳ λαμβάνειν ἅμα τῇ βρώσει τῆς ψυχικῆς σωτηρίας
223 ὑπόμνησιν, τῇ δ' ὑστεραίᾳ τῆς κατὰ τὸ σῶμα ὑγείας. ἐπεὶ δὲ τρίτον οὐδὲν ἦν ὃ κυρίως πέφυκε σωτηρίαν ἐνδέχεσθαι, τὴν εἰς τὴν τρίτην ἡμέραν χρῆσιν ἀνὰ κράτος ἀπηγόρευσε προστάξας, εἰ καὶ τύχοι τι κατ' ἄγνοιαν ἢ λήθην ἀπολειφθέν, εὐθὺς ἀναλίσκεσθαι πυρί. τὸν δὲ γευσάμενον αὐτὸ μόνον ἔνοχον ἀποφαίνει καί φησιν αὐτῷ· τεθυκέναι νομίζων, ὦ καταγέλαστε, οὐ τέθυκας· οὐ προσηκάμην ἀθύτων, ἀνιέρων, βεβήλων, ἀκαθάρτων, ὧν ἥψηκας κρεῶν, ὦ γατρίμαργε, θυσιῶν οὐδ' ὄναρ ἐπῃσθημένος.

1 ὡς μὴ μεταβάλῃ μήκει χρόνου AH: ὡς οὐ μήκει χρόνου μεταβάλλει RF 2 ἡδύσματι F ἕτερον F δὲ AH 3 ἀταλψεύτους (sic) F 5 κοινωνὸν] κοινὸν F 7 γὰρ om. H 7. 8 οὐκ ἑστιάτορες F 9 post φειδωλίαν add. καὶ RAH, om. F 10 προκρίναντας RF τελευταίου F: τελευταῖον RAH δὲ AH 11 δυοῖν AH (v) προσάγεσθαι συμβέβηκε RF: συμβέβηκε προσάγεσθαι AH (v) 13 τῶν fort. secludendum 14 ψυχικῆς] ψυχῆς F 15 ὑπόμνησιν R: ὑπόμνημα FAH (v) ὑγείας RF: ὑγιείας AH 16 τὴν τρίτην R: τὴν om. FAH (v) 17 τύχοι R: τύχῃ FAH 18 πυρί RF: ποιεῖν AH (Turn.) 19 ἀποφαίνειν AH καί φησιν RF: λέγων AH (v) 20 νομίζεις F ⟨οὐδὲν τῶν⟩ vel ⟨χρῆσιν⟩ ἀθύτων conicio, ⟨θοίνην⟩ ἀθύτων coni. Wendl. 21 καὶ ἀκαθάρτων F ἔψηκας F κρεῶν] κρέα conicio ὦ om. F 22 ἐπῃσθημένος] ἐφήσθημαι (sic) F

3 cf. *Theodoret. Quaest. VI in Levit.* (Migne T. 80 Col. 312): Διὰ τί μετὰ (κατὰ?) τὴν τρίτην ἡμέραν οὐ κελεύει τῶν ἱερείων ἐσθίειν, τῷ δὲ παραβαίνοντι τὸν νόμον ἐπιφέρει ζημίαν, ἄθυτον εἶναι λέγων τὴν θυσίαν ἐκείνην; βούλεται μὴ μόνους αὐτοὺς εὐωχεῖσθαι, ἀλλὰ καὶ τοῖς ἐνδεέσι τῶν κρεῶν μεταδιδόναι. τούτου χάριν τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ ἡμέρᾳ τῶν κρεῶν ἐκείνων μεταλαμβάνειν κελεύει, τὰ δὲ περιττεύοντα ἀποκαίεσθαι, ἵνα ὑπὸ τῆς ἀνάγκης ταύτης ὠθούμενοι κοινωνοὺς ἔχωσι τοὺς πένητας τῆς εὐωχίας. 16 Lev. 7,6—11. 19,7.8.

(9.) Τῆς δὲ τοῦ σωτηρίου θυσίας ἐν εἴδει περιλαμβάνεται ἡ λεγο- 224 μένη τῆς αἰνέσεως, ἥτις λόγον ἔχει τοιόνδε· ὁ μηδενὶ τὸ παράπαν ἀβουλήτῳ περιπεσών, μήτε κατὰ σῶμα μήτε κατὰ τὰ ἐκτός, ἀλλ' ἀπολέμῳ καὶ εἰρηνικῷ βίῳ χρώμενος ἐν εὐπαθείαις τε καὶ εὐτυχίαις ἐξεταζόμενος, ἀπήμων καὶ ἄπταιστος ὢν καὶ τὸ μακρὸν τοῦ βίου πέλαγος εὐθύνων ἐν εὐδίᾳ καὶ γαλήνῃ πραγμάτων, ἐπιπνεούσης ἀεὶ κατ' οἰάκων p. 246 M. εὐπραγίας, | ἀναγκαίως ὀφείλει τὸν κυβερνήτην θεὸν καὶ ἄνοσον μὲν σωτηρίαν ἀζημίους δ' ὠφελείας καὶ συνόλως ἀμιγῆ κακῶν τὰ ἀγαθὰ δωρούμενον ὕμνοις τε καὶ εὐδαιμονισμοῖς καὶ εὐχαῖς θυσίαις τε καὶ ταῖς ἄλλαις εὐχαριστίαις εὐαγῶς ἀμείβεσθαι· ἃ δὴ πάντα ἀθρόα συλλήβδην ἓν ὄνομα τὸ αἰνέσεως ἔλαχε. ταύτην τὴν θυσίαν οὐχ ὥσπερ 225 τὴν προτέραν τοῦ σωτηρίου δυσὶν ἡμέραις ἀναλίσκεσθαι προστάττει, μιᾷ δ' αὐτὸ μόνον, ἵν' οἱ ἐπιτυχόντες ἑτοίμων καὶ προχείρων εὐεργεσιῶν ἑτοίμην καὶ ἀνυπέρθετον ποιῶνται τὴν μετάδοσιν.

(10.) Ταῦτα μὲν ἐπὶ τοσοῦτον. τὴν δὲ τρίτην ἑξῆς ἐπισκεπτέον, 226 ἣ καλεῖται περὶ ἁμαρτίας. αὕτη τέτμηται πολλαχῇ, κἀν τοῖς προσώποις κἀν τοῖς τῶν ἱερείων εἴδεσι, προσώποις μὲν ἀρχιερέως καὶ τοῦ σύμπαντος ἔθνους καὶ ἄρχοντος ἐν μέρει καὶ ἰδιώτου, ἱερείοις δὲ μόσχου καὶ χιμάρου καὶ χιμαίρας ἢ ἀμνάδος. διακέκριται δὲ καὶ μάλιστ' ἣν 227 ἀναγκαῖον διακεκρίσθαι τά θ' ἑκούσια καὶ ἀκούσια, τροπὰς λαμβανόντων τὰς πρὸς τὸ βέλτιον τῶν δοξάντων ἁμαρτεῖν καὶ κακιζόντων μὲν αὑτοὺς ἐφ' οἷς ἐπλημμέλησαν, μεθορμιζομένων δὲ πρὸς ζωὴν ἀνυπαίτιον. τὰ 228 μὲν οὖν τοῦ ἀρχιερέως ἁμαρτήματα καὶ τοῦ ἔθνους ἰσοτίμῳ καθαίρεται

1 παραλαμβάνεται R   2 αἰνήσεως F   ὁ μηδενὶ] οὐδενὶ L (Turn.)
3 τὰ ἐκτός RF: ἐντός (om. τὰ) AH   4 εἰρηνικῷ R: εἰρηναίῳ FAH (v)
εὐπαθείᾳ L (Turn.)   εὐτυχίαις τε καὶ εὐπαθείαις transp. F   6 ἀεὶ om. H
(Turn.)   κατ' οἰάκων] κατ' οἶκον F   8 δὲ AH   9 τε post ὕμνοις
om. AH (Turn.)   καὶ εὐχαῖς F: om. RAH (Turn.)   10 εὐαγωγῶς (sic) H
πάντ' AH   11 ἓν om. L (Turn.)   αἰνήσεως F   ἔλαχεν R, ἔλαχον F
12 πρότερον R   13 μόνον RF: μόνῃ AH (Turn.)   ἐπιτυχόντες R (Mang.):
τυχόντες F, ἐπιτυγχάνοντες AH (Turn.)   14 post μετάδοσιν tit. περὶ ἁμαρτίας
add. R   15 ταῦτα—καλεῖται (16) om. AH (Turn.)   16 κἀν] καὶ F
17 ἀρχιερέων F   19 μάλιστ' ἣν R (sic scripseram): μάλισθ' ἣν F (Mang.), δάμαλις
ἢν AH (Turn.)   20 τροπὰς codd.: τὰς τροπὰς Mang.   21 τὰς πρὸς RF:
τὰς om. AH (v)   ἁμαρτῆσαι AH (Turn.)   αὐτοὺς F   22 μεθορμιζομένων
scripsi: μεθαρμοζομένων F (Mang.), μεθορμιζόντων RAH (Turn.)   23 οὖν om.
H (Turn.)

2 Lev. 7,2   11 Lev. 7,5   16 Lev. cap. 4. cf. *Ioseph. Ant. Iud. III § 230—232*
23 Lev. 4,3. 13. 14.

ζῴῳ — μόσχον γὰρ ἀνάγεσθαι περὶ ἑκατέρου προστέτακται —, τὰ δὲ
τοῦ ἄρχοντος ἐλάττονι μέν, ἄρρενι δὲ καὶ τούτῳ — χίμαρος γάρ ἐστι
τὸ ἱερεῖον —, τὰ δὲ τοῦ ἰδιώτου καταδεεστέρῳ τὸ εἶδος — θῆλυ γὰρ
229 ἀλλ' οὐκ ἄρρεν θῦμα, χίμαιρα, καταθύεται —. ἔδει γὰρ ἰδιώτου μὲν
πλέον ἄρχοντα φέρεσθαι κἀν ταῖς ἱερουργίαις, ἄρχοντος δὲ τὸ ἔθνος,
ἐπεὶ τὸ ὅλον τοῦ μέρους ἀεὶ κρεῖττον εἶναι δεῖ, τὸν δ' ἀρχιερέα τῷ
ἔθνει τῆς αὐτῆς ἠξιῶσθαι προνομίας ἐν τῷ καθαίρεσθαι καὶ παρὰ τῆς
ἵλεω τοῦ θεοῦ δυνάμεως ἀμνηστίαν ἀδικημάτων αἰτεῖσθαι· τὸ δ' ἰσό-
τιμον οὐ δι' αὑτόν, ὡς ἔοικε, καρποῦται μᾶλλον ἢ διότι τοῦ ἔθνους
ὑπηρέτης ἐστὶ τὰς κοινὰς ὑπὲρ ἁπάντων ποιούμενος εὐχαριστίας ἐν ταῖς
230 ἱερωτάταις εὐχαῖς καὶ ἐν ταῖς εὐαγεστάταις θυσίαις. σεμνὴ δὲ καὶ
θαυμάσιος καὶ ἡ περὶ ταῦτα διάταξις· „ἐὰν" φησίν „ὁ ἀρχιερεὺς ἄκων
ἁμάρτῃ," καὶ προστίθησιν „ὥστε τὸν λαὸν ἁμαρτεῖν" (cf. Lev. 4, 3),
μόνον οὐκ ἄντικρυς ἀναδιδάσκων, ὅτι ὁ πρὸς ἀλήθειαν ἀρχιερεὺς καὶ
μὴ ψευδώνυμος ἀμέτοχος ἁμαρτημάτων ἐστίν, εἰ δ' ὀλισθήσοι
ποτέ, πείσεται τοῦτο οὐ δι' αὑτόν, ἀλλὰ διὰ κοινὸν τοῦ ἔθνους
σφάλμα· τὸ δὲ σφάλμα οὐκ ἀνίατον, ἀλλὰ ῥᾳδίως τὴν θεραπείαν ἐνδε-
231 χόμενον. ὅταν οὖν σφαγιασθῇ ὁ μόσχος, κελεύει τοῦ αἵματος ἐπιρραίνειν
ἑπτάκις τῷ δακτύλῳ ἀντικρὺ τοῦ πρὸς τοῖς ἀδύτοις καταπετάσματος,
ἐσωτέρω τοῦ προτέρου, καθ' ὃν τόπον ἵδρυται τὰ ἱερώτατα σκεύη,
κἄπειτα ⟨τὰ⟩ τοῦ | θυμιατηρίου τέτταρα κέρατα — τετράγωνον γάρ ἐστι — p. 247 M.
χρίειν καὶ ἐπαλείφειν, τὸ δ' ἄλλο αἷμα προσχεῖν παρὰ τῇ βάσει τοῦ
232 ἐν ὑπαίθρῳ βωμοῦ· ἐφ' ὃν ἀναφέρειν τρία διείρηται, στέαρ καὶ λοβὸν

1 ἑκατέρου RF: ἑκατέρων AH (v) 2 ἐλάττον (sic) F 3 τὸ εἶδος RA (coni. Mang): τοῦ εἴδους FH (v) 4 ἀλλ' om. Turn. θῦμα, χίμαιρα, scripsi: θῦμα AH (Turn.), χίμαιρα RF (Mang.) ἰδιώτην A 5 πλέον ἄρχοντα F: ἄρχοντα (-ος A) πλέον RAH (v) 6 ἐπεὶ] ἐπὶ F αἰεὶ A, om. F δεῖ R (Mang): δοκεῖ AH (Turn.), om. h. l. F δὲ R 7 post ἠξιῶσθαι add. δεῖ F προνομίας RFA: προνοίας H (Turn.) 9 αὐτὸν codd. καρποῦται AH: καρποῦσθαι RF 10 ἐστὶν R 10. 11 ἔν τε ταῖς ἱερ. F 11 καὶ ἐν ταῖς εὐαγ. R: ἐν om. FAH (v) 12 θαυμάσιος RF: θαυμασία AH (v) ταῦτα RF: αὐτὰς AH (Turn.) 14 μόνον οὐκ RF: οὐκ om. AH 15 ὀλισθήσοι R: ὀλισθήσῃ AH (Turn.), ὀλισθείη F (Mang.!); ὀλισθήσαι Wendl. 16 αὐτὸν H, ἑαυτὸν F 17. 18 ἐνδεχόμενον R: δεχόμενον FAH (v) 19 ἄντικρυς F 20 τόπον] τρόπον R 21 κἄπειτα RF: κἀπὶ τὰ AH τὰ addidi θυμιατηρίου RF: θυσιαστηρίου AH (v) 22 ἐπαλείφειν codd.: ἀλείφειν v τὴν βάσιν F 23 ἐφ' ὃν RF: ἐφ' ὧν AH ἀναφέρει F

2 Lev. 4,22. 23 3 Lev. 4,27. 28 18sqq. Lev. 4,6—12.

ἥπατος καὶ διττοὺς νεφρούς, κατὰ τὴν ἐπὶ τοῦ σωτηρίου διάταξιν, δορὰν δὲ καὶ κρέα καὶ σύμπαν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν τὸ ἄλλο σῶμα τοῦ μόσχου μετὰ τῶν ἐντοσθιδίων προφέρειν ἔξω καὶ κατακαίειν ἐν χωρίῳ καθαρῷ, ἔνθα τὴν ἱερὰν ἀπὸ τοῦ βωμοῦ τέφραν ἐκκομίζεσθαι συμβέβηκε. τὰ δ᾽ αὐτὰ νομοθετεῖ καὶ περὶ παντὸς τοῦ ἔθνους ἁμαρτόντος. εἰ δέ 233 τις ἄρχων πλημμελήσειε, χιμάρῳ ποιεῖται τὴν κάθαρσιν, ὡς εἶπον, ἐὰν δὲ ἰδιώτης, χιμαίρᾳ ἢ ἀμνάδι· τῷ μὲν γὰρ ἄρρεν, τῷ δ᾽ ἰδιώτῃ θῆλυ ζῷον ἀπένειμε, τὰ δ᾽ ἄλλα διαταξάμενος ἐπ᾽ ἀμφοῖν ὅμοια, χρίσαι τὰ κέρατα τοῦ ἐν ὑπαίθρῳ βωμοῦ τῷ αἵματι, στέαρ καὶ λοβὸν ἥπατος καὶ διττοὺς νεφροὺς ἀνενεγκεῖν, τὰ δ᾽ ἄλλα τοῖς ἱερεῦσι παρασχεῖν ἐδωδήν. (11.) ἐπεὶ δὲ τῶν ἁμαρτημάτων τὰ μὲν εἰς ἀνθρώπους, τὰ δ᾽ εἰς 234 ἱερὰ καὶ ἅγια δρᾶται, περὶ μὲν τῶν εἰς ἀνθρώπους γινομένων ἀκουσίως διείλεκται, τὴν δ᾽ ἐπὶ τοῖς ἱεροῖς κάθαρσιν ἱλάσκεσθαι κριῷ νομοθετεῖ, πρότερον ἀποτίσαντας ἐκεῖνο περὶ ὃ γέγονεν ἡ πλημμέλεια, τὸ πέμπτον προσεπιτιθέντας τῆς ἀξίας τιμῆς.

Ταῦτα καὶ τὰ τούτοις ὅμοια νομοθετήσας ἐπὶ τοῖς ἀκουσίοις καὶ 235 περὶ τῶν ἑκουσίων ἑξῆς διατάττεται. ἐάν τις, φησί, ψεύσηται περὶ κοινωνίας ἢ περὶ παρακαταθήκης ἢ ἁρπαγῆς ἢ εὑρέσεως ὧν ἀπώλεσεν ἕτερος καὶ ὑπονοηθείς, ὅρκου προταθέντος, ὀμόσῃ καὶ δόξας ἐκπεφευγέναι τὸν ἀπὸ τῶν κατηγόρων ἔλεγχον αὐτὸς ἑαυτοῦ γένηται κατήγορος, ἔνδον ὑπὸ τοῦ συνειδότος ἐλεγχθείς, καὶ κακίσῃ μὲν ἑαυτὸν ὧν ἠρνήσατο καὶ ἐπιώρκησεν, ὁμολογῶν δ᾽ ἄντικρυς τὸ πραχθὲν ἀδίκημα συγγνώμην αἰτῆται, κελεύει τῷ τοιούτῳ παρέχειν ἀμνηστίαν, ἐπαληθεύσαντι τὴν 236 μετάνοιαν οὐχ ὑποσχέσει ἀλλ᾽ ἔργοις, ἀποδόσει τῆς παρακαταθήκης καὶ

1 ἐπὶ om. AH (Turn.) 2 κρέα RF: δέρμα AH (Turn.) 3 ἐντοσθιδίων RAH: ἐντοσθίων F (v) προφέρειν Mang.: προσφέρειν codd. 4 ἀπὸ τοῦ βωμοῦ τέφραν RF: τέφραν ἀπὸ τοῦ βωμοῦ AH (v) εἰσκομίζεσθαι L (Turn.) 5 περὶ om. F ἁμαρτάνοντος F 6 πλημμελήσειε F, πλημμελήσειεν R: πλημμελήσει, ἐν AH (Mang.) 8 τὰ δ᾽ ἄλλα codd.: τὰ ἄλλα v 10 ἀνενεγκεῖν RF: ἐνεγκεῖν AH (Turn.) 12 ἀκουσίως] ἑκουσίως H 13 κάθαρσιν] ἁμαρτίαν conicio κριῷ RA: κριῶν F, κριὸν H (Turn.) 14 ἀποτίσαντος F γέγονε πλημμέλεια F 15 προσεπιτιθέντας RF: προσεπιθέντας AH (Turn.) 17 pr. περὶ] ἐπὶ R 18 περὶ om. F 19 προτεθέντος Turn. 20 κατηγόρων RF: κατηγοριῶν AH (Turn.) 21 ἑαυτὸν RF: αὐτὸν AH ὧν] ὂν H (Turn.) 23 αἰτεῖται H ἀμνηστείαν F ἐπαληθεύσαντι RAH: ἐπαληθεύοντι L (Turn.), ἐπαληθεύουσαν ἔτι F 24 ὑποσχέσεσιν F (Mang.) ἀποδώσει FH

13 Lev. 5,15. 16 17 Lev. 6,2—7. cf. *Ioseph. Ant. Iud. III* § 232 ὁ δὲ ἁμαρτὼν μὲν αὑτῷ δὲ συνειδὼς καὶ μηδένα ἔχων τὸν ἐξελέγχοντα κριὸν θύει, τοῦ νόμου τοῦτο κελεύοντος, οὗ τὰ κρέα κατὰ τὸ ἱερὸν ὁμοίως οἱ ἱερεῖς αὐθημερὸν σιτοῦνται.

ὧν ἥρπασεν ἢ εὗρεν ἢ συνόλως ἐσφετερίσατο τοῦ πλησίον, προσαποτίσας
237 καὶ τὸ ἐπίπεμπτον εἰς παρηγορίαν τοῦ πλημμεληθέντος. ὅταν δὲ ἱλά-
σηται τὸν ἠδικημένον πρότερον, ἴτω, φησί, μετὰ ταῦτα καὶ εἰς τὸ ἱερὸν
αἰτησόμενος ὧν ἐξήμαρτεν ἄφεσιν, ἐπαγόμενος παράκλητον οὐ μεμπτὸν
τὸν κατὰ ψυχὴν ἔλεγχον, ὃς ἀνιάτου συμφορᾶς αὐτὸν ἐρρύσατο τὴν
238 θανατοῦσαν νόσον ἀνεὶς καὶ πρὸς ὑγείαν παντελῆ μεταβαλών. κριὸν δ'
εἶναι καὶ τούτῳ διείρηται σφάγιον, καθὰ | καὶ τῷ πρὸς τὰ ἅγια πλημ- p. 248 M.
μελήσαντι· τὸ γὰρ ἐν τοῖς ἁγίοις ἀκούσιον ἁμάρτημα ἰσότιμον ἀπέφηνε
τῷ περὶ τὰ ἀνθρώπινα ἑκουσίῳ, εἰ μὴ ἄρα καὶ τοῦτ' ἐστί τι ἅγιον,
ἐπειδὴ προσγέγονεν ὅρκος, ὃν οὐκ ἐφ' ὑγιεῖ γενόμενον ἐπηνωρθώσατο
τροπῇ τῇ πρὸς τὸ βέλτιον.
239 Παρατηρητέον δ' ὅτι τὰ μὲν ἐπιφερόμενα τῷ βωμῷ ἐκ τοῦ περὶ
ἁμαρτίας ἱερείου ταὐτά ἐστιν ἃ καὶ ἐπὶ τῆς τοῦ σωτηρίου θυσίας, λοβὸς
ἥπατος καὶ στέαρ καὶ νεφροί· τρόπον γάρ τινα καὶ ὁ μετανοῶν σῴζεται,
τὴν χαλεπωτέραν τῶν ἐν τῷ σώματι παθῶν νόσον ψυχῆς ἐκτρεπόμενος.
240 τὰ δ' ἄλλα μέρη τοῦ ζῴου πρὸς ἐδωδὴν ἀπονέμεται διαφερόντως. ἐν
τρισὶ δ' ἡ διαφορά· τόπῳ, χρόνῳ, τοῖς λαμβάνουσι· τόπος μὲν οὖν τὸ
ἱερόν, χρόνος δὲ ἀντὶ δυεῖν ἡμερῶν μία, οἱ δὲ μεταλαμβάνοντες ἱερεῖς,
241 ἀλλ' οὐχ ὧν ἐστιν ἡ θυσία, καὶ ἱερέων ἄρσενες. ἔξω μὲν οὖν οὐκ ἐᾷ
τοῦ ἱεροῦ προφέρειν βουλόμενος, εἴ τι τῷ μετανοοῦντι πρότερον ἡμάρ-
τηται, μὴ περίφημον εἶναι βασκάνων καὶ φιλαπεχθημόνων γνώμαις

1 τοῦ πλησίον om. AH (Turn.) προσαποτίσαντι exspectaveris 2 εἰς] πρὸς F δ' R 2. 3 ἱλάσηται RF: ἱλεώσηται AH (v) 3 ἴτω] ἔστω F 4 ὧν ἐξήμαρτεν ἄφεσιν RFA: ἄφεσιν ὧν ἐξήμαρτεν H (v) 5 τὸν om. R κατὰ ψυχὴν ἔλεγχον RF: περὶ ψυχῆς ἔλεον AH (Turn.) ἀνιάτων H (Turn.) ἐρρύσατο αὐτόν transp. F 6 θανατοῦσαν scripsi: θανατῶσαν RAH (v), θανατώσασαν F παντελῆ RF: παντελῶς AH (v) 6. 7 κριὸν δ' εἶναι scripsi: κριὸν δεῖν R (ut vid.), κριὸν ἀναγαγεῖν F, κριὸν δ' ἄγειν κελεύει AH (v) 7 τούτω RF: τοῦτο AH (v) καθὰ RF: καθὼς AH (v) 9 περὶ τὰ ἀνθρώπινα RF: παρ' ἀνθρώπινον AH; παρ' ἀνθρωπίνου Turn. ἐστί τι ἅγιον R: ἐστιν ἅγιον FAH (v) 10 ἐπειδὴ προσγέγονεν RF: ἐπεὶ δὲ προγέγονεν AH (Turn.) ἐφ' ὑγιεῖ RF: ἐκφεύγει AH (Turn.) 12 τοῦ βωμοῦ H 13 ταὐτά] ταῦτα H, ταῦτ' F τῆς ... θυσίας RF: τῇ ... θυσίᾳ AH (v) 15 ψυχῆς] ἐκ ψυχῆς F 16 διαφέροντος A 17 δ' ἡ διαφορά F: διαφοραῖς RAH (Turn.) 18 δυοῖν[ει] H 19 ὧν RF: ὅλων A, οὕτως H 20 προφέρειν R: προ[σ]φέρειν F, προσφέρειν AH (Turn.) 21 περίφημον F: περίφοιτον RAH (v) φιλαπεχθήμοσι F

16 Lev. 6,25. 26. 29.

ἀγνώμοσι καὶ στόμασιν ἀχαλίνοις, ἐπ' ὀνείδει καὶ διαβολαῖς ἐκδεδομένον,
ἀλλ' ἐντὸς ὅρων ἱερῶν, ἐν οἷς καὶ ἡ κάθαρσις γέγονεν, εἶναι. (12.) τοῖς 242
δ' ἱερεῦσιν εὐωχεῖσθαι τὴν θυσίαν κελεύει διὰ πολλά· πρῶτον μὲν
ἵνα τιμήσῃ τοὺς τεθυκότας, ἡ γὰρ τῶν ἑστιωμένων ἀξίωσις ἐπικοσμεῖ
τοὺς ἑστιάτορας· δεύτερον δὲ ἵνα βεβαιότατα πιστεύσωσιν, ὅτι οἷς ἁμαρ-
τημάτων εἰσέρχεται μεταμέλεια ἵλεω τὸν θεὸν ἔχουσιν· οὐ γὰρ ἂν τοὺς
προσπόλους αὐτοῦ καὶ θεράποντας ἐπὶ μετουσίαν τῆς τοιαύτης τραπέζης
ἐκάλεσεν, εἰ μὴ παντελὴς ἐγεγένητο ἀμνηστία· τρίτον δ' ὅτι λειτουργεῖν
οὐδενὶ τῶν ἱερέων ἔξεστιν, ὃς ἂν μὴ ὁλόκληρος ᾖ· καὶ γὰρ τῷ βραχυ-
τάτῳ μώμῳ σκορακίζεται. παρηγορεῖ δὴ τοὺς μηκέτι τὴν τῶν ἀδικη- 243
μάτων ὁδὸν ἰόντας ὡς ἱερατικοῦ γένους ἕνεκα προαιρέσεως καθαρᾶς
μεταλαχόντας καὶ πρὸς ἱερέων ἰσοτιμίαν ἐπαχθέντας. ὅθεν καὶ μιᾷ
ἡμέρᾳ τὸ περὶ ἁμαρτίας ἱερεῖον ἀναλίσκεται, ὡς δέον ὑπερτίθεσθαι μὲν
τὸ ἁμαρτάνειν μέλλοντας ἀεὶ πρὸς αὐτὸ καὶ βραδύνοντας, πρὸς δὲ τὸ
κατορθοῦν ἐπεσπευσμένῳ τάχει χρῆσθαι. τὰ δ' ὑπὲρ τοῦ ἀρχιερέως 244
ἢ τοῦ ἔθνους ἕνεκα πλημμελείας σφαγιαζόμενα πρὸς μὲν ἐδωδὴν οὐ
σκευάζεται, κατακαίεται δ' ἐπὶ τῆς ἱερᾶς τέφρας, ὡς ἐλέχθη· κρείττων
γὰρ οὐδεὶς ἀρχιερέως ἢ τοῦ ἔθνους ἐστίν, ὃς ἁμαρτησάντων γενήσεται
παραιτητής. εἰκότως οὖν ἀναλίσκεται τὰ κρέα πυρί, κατὰ μίμησιν τῶν 245
ὁλοκαυτουμένων, ἐπὶ τιμῇ τῶν προσώπων, οὐχ ὅτι πρὸς ἀξίωσιν αἱ
ἱεραὶ γίνονται κρίσεις, ἀλλ' ὅτι τῶν τὰς ἀρετὰς μεγάλων καὶ ὡς ἀληθῶς
ἁγίων ἁμαρτήματα τοιαῦτά ἐστιν, ὡς ἑτέρων κατορθώματα νομίζεσθαι.
p. 249 M. καθάπερ γὰρ ἡ βαθεῖα καὶ | ἀρετῶσα πεδιάς, κἂν ἀφορήσῃ ποτέ, τῆς 246
λυπρόγεω φύσει καρπὸν φέρει πλείονα, τὸν αὐτὸν τρόπον καὶ τῶν
σπουδαίων καὶ φιλοθέων συμβαίνει τὰς πρὸς καλοκἀγαθίαν ἀφορίας

1 ἐκδεδομένον FA: ἐκδεχόμενον R, ἐκδεχομένων H (v) 3 πρῶτον scripsi: πρότερον codd. (v) 4 τοὺς τεθυκότας RF: τὸν τεθυκότα AH (v) 5 δ' F βεβαιότατα R: βεβαιότερον FAH (v) 6 ἵλεω codd.: ἵλεων Turn. 7 προπόλους A θεράποντας] θεραπευτὰς F μετουσίαν RFA: μετουσία H (v) 9 τῶν om. F 10 μώμω σκορακίζεται RF: μῶμος κομίζεται AH (Turn.) παρηγορεῖ δὴ RF: παρηγορεῖν δὲ AH τοὺς F (coni. Mang.): τούτους RAH (v) 12 ἰσοτιμίαν RF: ἰσοτιμίας AH (v) ἐπαχθέντας F, ἐπευχθέντας (sic) R: ἐκπεμφθέντας AH (v) μιᾷ] ἀνα with μιᾶ written above (sic) R 13 δέον RF: δὲ A, om. H (Turn.) μὲν ss. R 15 ἐπεσπευσμένω RF: ἐσπευσμένω AH (Turn.) 18 ἢ] εἰ F 19 καὶ πυρὶ F 20 ὁλοκαυτουμένων R: ὁλοκαυτωμένων FAH (v) προσώπων RF: προσιόντων AH (v) ἀξίωσιν] ἀξιώμασιν F 21 τῶν τὰς] τὰ τῶν F ὡς om. F 22 ἁμαρτήματα RF: τὰ ἁμαρτήματα AH (v) τοιαῦτ' F 24 καὶ om. AH

ἀμείνους εἶναι ὧν ἐκ τύχης οἱ φαῦλοι κατορθοῦσι· γνώμῃ γὰρ οὐδὲν ὑγιὲς δρᾶν ὑπομένουσι.

247 (13.) Ταῦτα διαταξάμενος περὶ ἑκάστης ἰδέας τῶν θυσιῶν ἐν μέρει, τῆς τε ὁλοκαύτου καὶ σωτηρίου καὶ περὶ ἁμαρτίας, ἄλλην προσνομοθετεῖ κοινὴν τῶν τριῶν, ἵνα ταύτας ἐπιδείξῃ φίλας καὶ συγγενεῖς
248 οὔσας· ἡ δὲ συναγωγὸς αὐτῶν εὐχὴ μεγάλη καλεῖται. διὰ τί δὲ ταύτης ἔτυχε τῆς προσρήσεως, λεκτέον· ὅταν ἀπάρξωνταί τινες ἀπὸ παντὸς μέρους κτήσεως, πυρούς, κριθάς, ἔλαιον, οἶνον, τὰ κάλλιστα τῶν ἀκροδρύων, ἔπειτα τῶν ζῴων τὰ πρωτότοκα ἀρρενικά, τὰ μὲν ἐκ τῶν καθαρῶν καθιερώσαντες, τὰ δ' ἐκ τῶν μὴ καθαρῶν κατ' ἀξίαν τιμησάμενοι, μηκέτ' ἔχοντες ὕλας, ἐν αἷς διαθήσονται τὴν εὐσέβειαν, αὑτοὺς ἀνατιθέασι καὶ καθιεροῦσιν, ἄλεκτον ἐπιδεικνύμενοι ὁσιότητα καὶ ὑπερβολήν τινα γνώμης φιλοθέου. διὸ καὶ μεγάλη προσηκόντως εὐχὴ καλεῖται· κτημάτων γὰρ τὸ μέγιστον αὐτός τίς ἐστιν αὑτῷ· οὗ παρα-
249 χωρεῖ καὶ ἐξίσταται. ποιησαμένῳ δὲ τὴν εὐχὴν τάδε διαγορεύει· πρῶτον μὲν ἄκρατον μὴ προσφέρεσθαι μηδ' „ὅσα ἐκ σταφυλῆς κατεργάζεται“ μηδ' ἄλλο τι μέθυσμα πίνειν ἐπὶ καθαιρέσει λογισμοῦ, νομίζοντα τὸν χρόνον ἐκεῖνον ἱερᾶσθαι· καὶ γὰρ τοῖς λειτουργοῖς τῶν ἱερέων
250 δίψαν ἀκουμένοις ὕδατι τὰ περὶ μέθην ἀπείρηται· δεύτερον δὲ τὰς τρίχας τῆς κεφαλῆς μὴ ἀποκείρεσθαι, σύμβολον ἐναργὲς τοῖς ὁρῶσι παρέχοντα τοῦ μὴ παρακόπτειν τὸ νόμισμα τῆς εὐχῆς· τρίτον δὲ τὸ σῶμα φυλάττειν καθαρὸν καὶ ἀμίαντον, ὡς μὴ γονεῦσιν ἐπεισιέναι τετελευτηκόσι μηδ' ἀδελφοῖς, τὴν φυσικὴν εὔνοιαν καὶ συμπάθειαν πρὸς τὰ οἰκεῖα καὶ φίλτατα νικώσης εὐσεβείας, ἣν ἀεὶ νικᾶν καλὸν ὁμοῦ καὶ
251 συμφέρον. (14.) ἡκούσης δὲ τῆς προθεσμίας, τρία ζῷα κελεύει προσάγειν ἐπὶ λύσει τῆς εὐχῆς, ἄρνα καὶ ἀμνάδα καὶ κριόν, τὸν μὲν

1 γὰρ RF: δὲ AH (v) 2 ὑγιὲς F: ὑπαίτιον RAH (v); ἀνυπαίτιον coni. Mang. 4 ἄλλην RF: ἄλλο AH (Turn.) 5 κοινῇ (κοινὴν scripsi) τῶν τριῶν RA: τῶν τριῶν κοινήν F, τινι τῶν τριῶν H (Turn.) ἵνα ταύτας RAH: ἵν' αὐτὰς F (Mang.) ἐπιδείξῃ RF: ἀποδείξῃ AH (v) 6 συναγωγὸς RF: συναγωγὴ AH (v) 8 καὶ κριθὰς F 9 ἀρρενικά om. AH (Turn.) 10 καθιερώσαντες R: καθιέρωσαν AH (Turn.), ἀνιερώσαντες F (Mang.) 11 μηκέτ' ἔχοντες RAH, μηκέτι ἔχοντες F: μηκέτι δ' ἔχοντες v ἐν αἷς διαθήσονται] αἷς ἐνδιαθήσονται F 12 αὐτοὺς F 14 αὐτῷ· οὗ] ὃς αὐτῶ F 17 λογισμοῦ RFA: λογισμῶν H (v) 19 ἀκουμένοις A: ἀσκουμένοις F, ἀρκουμένοις RH δεύτερον—συμφέρον (25) om. AH (Turn.) 21 παρέχοντα scripsi: παρέχοντας RF (v) 26 ἐπιλύσει F

4 Num. 6,2 sqq. cf. *Ioseph. Ant. Iud. IV* § 72 19 δίψαν ἀκουμένοις Hom. Il. X 2

εἰς ὁλοκαύτωσιν, τὴν δὲ περὶ ἁμαρτίας, τὸν δὲ κριὸν εἰς θυσίαν τοῦ σωτηρίου. πᾶσι γὰρ τούτοις ἐμφέρεταί πως ὁ εὐξάμενος, τῇ μὲν ὁλοκαύτῳ θυσίᾳ 252
διὰ τὸ μὴ τῶν ἄλλων μόνον ἀπαρχῶν ἀλλὰ καὶ ἑαυτοῦ παραχωρεῖν, τῇ δὲ περὶ ἁμαρτίας διὰ τὸ ἄνθρωπος εἶναι — καὶ γὰρ ὁ τέλειος ᾗ γενητὸς οὐκ ἐκφεύγει τὸ διαμαρτάνειν —, τῇ δὲ τοῦ σωτηρίου, διότι τὸν σωτῆρα ὄντως θεὸν ἐπιγέγραπται τῆς σωτηρίας αἴτιον, ἀλλ᾽ οὐκ
p. 250 M. ἰατροὺς καὶ τὰς παρ᾽ αὐτοῖς δυνάμεις· οἱ | μὲν γὰρ ἐπίκηροι καὶ θνητοὶ μηδ᾽ αὑτοῖς ὑγείαν ἱκανοὶ παρασχεῖν, αἱ δ᾽ οὔτε πάντας οὔτ᾽ ἀεὶ τοὺς αὐτοὺς ὠφελοῦσιν, ἀλλ᾽ ἔστιν ὅτε καὶ μέγα βλάπτουσιν, ἐπειδὴ τὸ κῦρος ἕτερος ἀνῆπται καὶ τῶν δυνάμεων καὶ τῶν χρωμένων αὐταῖς. ἐκπλήττει 253
δέ με τὸ τῶν τριῶν ζῴων προσαγομένων εἰς διαφερούσας θυσίας μηδὲν εἶναι ἑτερογενές, ἀλλὰ ταὐτοῦ γένους τὰ πάντα, κριὸν καὶ ἄρνα καὶ ἀμνάδα· βούλεται γάρ, ὅπερ ἔφην μικρῷ πρότερον, διὰ τούτου παραστῆσαι, ὅτι ἀδελφαὶ καὶ συγγενεῖς εἰσιν αἱ τρεῖς ἰδέαι τῶν θυσιῶν, τῷ καὶ τὸν μετανοοῦντα σῴζεσθαι καὶ τὸν σῳζόμενον ἐκ τῶν ψυχικῶν ἀρρωστημάτων μετανοεῖν καὶ ἑκάτερον σπεύδειν πρὸς ὁλόκληρον καὶ παντελῆ διάθεσιν, ἧς ἡ ὁλόκαυτος θυσία σύμβολον. ἐπεὶ δ᾽ αὑτὸν ηὔξατο προσ- 254
αγαγεῖν, τὸν δ᾽ ἱερὸν βωμὸν οὐ θέμις αἵματι ἀνθρωπίνῳ μιαίνεσθαι, ἔδει δέ τι πάντως μέρος ἱερουργηθῆναι, μέρος ἐσπούδασε λαβεῖν, ὅπερ ἀφαιρεθὲν οὔτ᾽ ἀλγηδόνας οὔτε λώβην ἀπεργάζεται· τοῦ γὰρ κατὰ τὸ σῶμα φυτικοῦ καθάπερ δένδρου περιττοὺς κλάδους τὰς τῆς κεφαλῆς τρίχας ἀπέκειρε καὶ παρέδωκε πυρί, ᾧ τὰ κρέα τῆς τοῦ σωτηρίου θυσίας ἕψεται· προσηκόντως, ἵνα τι τῶν τοῦ εὐξαμένου μέρος, ὃ μὴ

1 εἰς ὁλόκαυτον F τοῦ om. F 2 ἐμφέρεται RF: συμφέρεται AH (v)
3 μόνον RF: μόνων AH (v) αὐτοῦ AH post παραχωρεῖν add. τῷ σωτῆρι AH (v), omisi cum RF 4 καὶ γὰρ RF: κἂν γὰρ AH (v) ᾗ RF: ἦ AH (ἢ v) 5 γεννητὸς FAH διαμαρτάνειν RF: ἁμαρτάνειν AH (v)
τῇ] τὸ F 7 ἰατροὺς RF: ἰατρὸν AH (Turn.) αὐτοῖς RF: αὐτοῦ AH (Turn.)
⟨ἅτε⟩ ἐπίκηροι conicio θνητοὶ RF: γεννητοὶ AH (Turn.) 8 αὐτοῖς F
ὑγίειαν F αἱ δ᾽ RF: εἰ δ᾽ οὖν AH (Turn.) 9 μέγα R: μεγάλα FAH (v)
10 ἕτερος RF: ἑτέρου AH (v) χρωμένων] χρωμάτων H (Turn.) αὐτοῖς Turn.
11 διαφερούσας RF: διαφόρους AH (Turn.) 12 ἄρνα] ἀμνὸν F 13 καὶ ante διὰ add. F τούτους F 13. 14 παραστῆσαι] παρασχεῖν καὶ F 14 καὶ συγγενεῖς om. AH (Turn.) ἰδέαι] ἰδέαι τῶν ἰδεῶν AH 15 τῶν om. Mang. 17 ἡ om. F, ss. R δὲ F αὐτὸν H ηὔξατο R (coni. Mang.): ἤρξατο FAH
19 alt. μέρος RF: om. AH (v) λαβεῖν] ἀνάγειν coni. Mang. 20 ἀπεργάζεται F: ἀπεργάσεται RAH (v) γὰρ om. R 20. 21 τὸ σῶμα RF: τὸ om. AH (Turn.)
21 φυτικοῦ F: φυσικοῦ (R?)AH (v) 23 τῶν om. Richt. μέρος om. F: μερῶν voluit Mang.

ἐπιφέρειν ἔξεστι τῷ βωμῷ, θυσίας γοῦν εἴδει συνανακραθῇ, γενόμενον ὕλῃ φλογὸς ἱερᾶς.

255 (15.) Ταῦτα μὲν κοινὰ τῶν ἄλλων. ἔδει δὲ καὶ τοὺς ἱερεῖς ἀπάρξασθαί τι τῷ βωμῷ, μὴ νομίσαντας ἀσυλίαν εὑρῆσθαι τὰς ὑπηρεσίας καὶ λειτουργίας ἐφ' ὧν ἐτάχθησαν. ἡ δ' ἀπαρχὴ πρέπουσα ἱερεῦσιν ἀπ' οὐδενὸς τῶν ἐναίμων, ἀλλ' ἀπὸ τοῦ καθαρωτάτου τῆς ἀνθρωπίνης
256 τροφῆς· σεμίδαλις γάρ ἐστιν ἡ ἐνδελεχὴς αὐτῶν θυσία, μέτρου ἱεροῦ τὸ δέκατον καθ' ἑκάστην ἡμέραν. οὗ τὸ μὲν ἥμισυ πρωίας, τὸ δὲ ἥμισυ δείλης προσάγεται, ταγηνισθὲν ἐν ἐλαίῳ, μηδενὸς εἰς βρῶσιν ὑπολειφθέντος· χρησμὸς γάρ ἐστι, πᾶσαν θυσίαν ἱερέως ὁλόκαυτον εἶναι καὶ μηδὲν αὐτῆς εἰς ἐδωδὴν ἀπονέμεσθαι. εἰρηκότες οὖν, ὡς οἷόν τε ἦν, τὰ περὶ θυσιῶν ἑξῆς καὶ περὶ τῶν θυόντων λέξομεν.

Περὶ θυόντων.

257 (1.) Βούλεται τὸν ἀνάγοντα θυσίας ὁ νόμος καθαρὸν εἶναι σῶμα καὶ p. 251 M.
ψυχήν, ψυχὴν μὲν ἀπό τε τῶν παθῶν καὶ νοσημάτων καὶ ἀρρωστημάτων καὶ κακιῶν τῶν ἔν τε λόγοις καὶ πράξεσι, τὸ δὲ σῶμα ἀφ' ὧν ἔθος
258 αὐτῷ μιαίνεσθαι. κάθαρσιν δ' ἐπενόησεν ἑκατέρῳ τὴν προσήκουσαν, ψυχῇ μὲν διὰ τῶν πρὸς τὰς θυσίας εὐτρεπιζομένων ζῴων, σώματι δὲ διὰ λουτρῶν καὶ περιρραντηρίων, περὶ ὧν μικρὸν ὕστερον ἐροῦμεν· ἄξιον

1 θυσίας γοῦν εἴδει RF: θυσία γοῦν AH (Turn.) συνανακραθῇ γενόμενον F: συνανακραθὲν γενήσεται R, ἀνακραθὲν γένηται AH (Turn.) 2 ἱερᾶς RF: πυρός AH 4 ἀσυλίαν] ἀτέλειαν coni. Mang.: sed cf. *de vita Mos.* II § 236 εὑρῆσθαι RF: εὑρῆσαι AH (v) 5 καὶ λειτουργίας om. AH (Turn.) 6 ἀλλὰ AH 7 γάρ ἐστιν om. AH (Turn.) γάρ ἐστιν ἡ ἐντελεχὴς αὐτῶν θυσία R: ἡ ἐνδελεχὴς αὐτῶν θυσία AH, γὰρ ἡ ἐνδελεχής ἐστι θυσία αὐτῶν F 8 δ' F 9 δειλινῆς F ταγηνισθὲν RAH: τηγανισθὲν F 9. 10 μηδενὸς . . . ὑπολειφθέντος RF: μηδὲν . . . ἀπολειφθέντι AH (Turn.) 10 χρησμὸς] νόμος F πᾶσαν θυσίαν ἱερέως ὁλόκαυτον RF: πάσας ἱερέως θυσίας ὁλοκαύτους AH (v) 11 αὐτῆς RF: αὐτῶν AH (v) οὖν om. F τ' AH ἦν om. F 12 θυσιῶν RF: τῶν θυσιῶν AH (Turn.) 13 tit. περὶ θυόντων RFA: τοῦ αὐτοῦ Φίλωνος περὶ θυόντων H 14 ἀνάγοντα θυσίας F: ἄγοντα τὰς θυσίας RAH (Turn.); ἀνάγοντα τὰς θυσίας Mang. 14. 15 σῶμα καὶ ψυχήν, ψυχὴν F: σώματι καὶ ψυχῇ, ψυχῇ RAH (Turn.) 15 τέ RF: om. AH καὶ ἀρρωστημάτων RF: om. AH (v) 16 ἔν τε] τε ἐν F τὸ δὲ σῶμα codd.: τῷ δὲ σώματι Turn. 17 αὐτῷ RFA: αὐτὸ H (v) ἑκατέρῳ RF: ἑκατέρου AH (Turn.)

7 Lev. 6,20—23. cf. *Ioseph. Ant. Iud.* III § 257.

γὰρ τῷ κρείττονι καὶ ἡγεμονικωτέρῳ τῶν ἐν ἡμῖν, ψυχῇ, καὶ τὰ τῶν
λόγων ἀπονεῖμαι πρεσβεῖα. τίς οὖν ἡ ταύτης κάθαρσις; ἴδε, φησίν, ὦ 259
οὗτος, ὃ προσάγεις ἱερεῖον, ὡς ἔστιν ὁλόκληρον καὶ παντελῶς μώμων
ἀμέτοχον, ἐπικριθὲν ἐκ πολλῶν ἀριστίνδην διανοίαις μὲν ἀδεκάστοις
ἱερέων ὀξυωπεστάταις δ' αὐτῶν ὄψεσι καὶ τῷ συνεχεῖ τῆς ἀσκήσεως
συγκεκροτημέναις εἰς ἀνυπαίτιον ἐπίσκεψιν· ἐὰν γὰρ μὴ τοῖς ὀφθαλμοῖς
μᾶλλον ἢ τῷ λογισμῷ τοῦτο κατίδῃς, ἐκνίψῃ τὰ ἁμαρτήματα καὶ ὅσας
ἐν ἅπαντι τῷ βίῳ κηλῖδας ἀπεμάξω, τὰ μὲν ἀβουλήτοις συντυχίαις, τὰ
δὲ καθ' ἑκούσιον γνώμην. εὑρήσεις γὰρ τὴν τοσαύτην περὶ τὸ ζῷον 260
ἀκριβολογίαν αἰνιττομένην διὰ συμβόλου τὴν τῶν σῶν βελτίωσιν ἠθῶν·
οὐ γὰρ ὑπὲρ ἀλόγων ὁ νόμος, ἀλλ' ὑπὲρ τῶν νοῦν καὶ λόγον ἐχόντων,
ὥστε οὐ τῶν θυομένων φροντίς ἐστιν, ἵνα μηδεμίαν ἔχῃ λώβην, ἀλλὰ
τῶν θυόντων, ἵνα περὶ μηδὲν πάθος κηραίνωσι. τό γε μὴν σῶμα, ὡς 261
εἶπον, λουτροῖς καὶ περιρραντηρίοις καθαίρει καὶ οὐκ ἐᾷ περιρρανάμενον
εἰς ἅπαξ ἢ ἀπολουσάμενον εὐθὺς εἴσω περιβόλων ἱερῶν παρέρχεσθαι,
ἀλλὰ ἑπτὰ ἡμέρας ἔξω διατρίβειν κελεύει καὶ δὶς περιρραίνεσθαι τῇ
τρίτῃ καὶ ἑβδόμῃ καὶ μετὰ ταῦτα λουσαμένῳ παρέχει τάς τε εἰσόδους
p. 252 M. καὶ τὰς ἱερουργίας ἀδεεῖς. (2.) | ὅσον δὲ κἀν τούτῳ τὸ προμηθὲς καὶ 262
φιλόσοφον, ἐπισκεπτέον. οἱ μὲν ἄλλοι σχεδὸν ἅπαντες ἀμιγεῖ ὕδατι
περιρραίνονται, θαλάττῃ μὲν οἱ πολλοί, τινὲς δὲ ποταμοῖς, οἱ δὲ καὶ
κάλπεσιν ἐκ πηγῶν ἀρυόμενοι· Μωυσῆς δὲ τέφραν προετοιμασάμενος

1 τῷ . . . ἡγεμονικωτέρῳ RF: τῇ . . . ἡγεμονικωτέρᾳ AH (Turn.) ψυχῆς H καὶ τὰ RA: κατὰ FH (Turn.) 1. 2 τῶν λόγων ἀπονεῖμαι RF: τῶν ὅλων ἀπονέμειν AH (v) 2 πρεσβείαν H (Turn.) οὖν RF: δ' ἂν AH; δ' οὖν v 3 ὃ προσάγεις] ὁ προσάγων F ἱερεῖον codd.: εἰς ἱερεῖον v 4 ἀδεκάσταις H 6 συγκεκροτημένας F 7 κατίδοις A (sic Mang.!) ἐκνίψῃ F: οὐκ ἐκνίψῃ RAH (v); μὴ (l. 6) delendum censuit Mang. 8 ἀπεμάξω scripsi: ἀνεμάξω codd.: ἐναπεμάξω coni. Mang. 8. 9 τὰ δὲ καὶ F 9 γὰρ τὴν R: γὰρ om. F, τὴν om. AH (v) 10 συμβόλου RF: συμβόλων AH (v) 11 ἀλόγων codd.: τῶν ἀλόγων v 12 ἵνα—λώβην RF: om. AH (Turn.) ἔχοι RF (v) 13 περὶ om. AH (Turn.) 14 καθαίρειν R περιρρανάμενον RF: περιρρεόμενον AH (Turn.) 16 ἀλλ' F περιραίνεσθαι R 17 παρέχει F (Mang.): παρέχειν RAH τ' F 18 τὰς om. R ἱερουργίας ἀδεεῖς. ὅσον scripsi: ἱερουργίας· αδεεις οσον R, ἱερουργίας· ἃ δὲ εἰς ὅσον F, ἀδεεῖς om. AH (v) κἂν H 19 πάντες A ἀμιγεῖς F 20 δὲ post τινὲς om. Mang. ποταμοῖς] καὶ πολυτίμῳ F οἱ δὲ καὶ RAH: om. F; οἱ δὲ v 21 κάλπεσιν codd.: κάλπισιν Mang. (fort. recte) μωσῆς AH προητοιμασμένος F

14 Num. 19,11 sqq. 21 Num. 19,17. 18. cf. *Ioseph. Ant. Iud. IV* § 81.

ὑπολειφθεῖσαν ἐξ ἱεροῦ πυρὸς — ὃν δὲ τρόπον, αὐτίκα δηλωθήσεται — ἀπὸ ταύτης φησὶ δεῖν ἀναιρεῖσθαι καὶ ἐμβάλλοντας εἰς ἀγγεῖον αὖθις ὕδωρ ἐπιφέρειν, εἶτα ἐκ τοῦ κράματος βάπτοντας ὑσσώπου κλάδους τοῖς
263 καθαιρομένοις ἐπιρραίνειν. αἰτία δ' οὐκ ἀπὸ σκοποῦ λέγοιτ' ἂν ἥδε· βούλεται τοὺς ἐπὶ τὴν τοῦ ὄντος θεραπείαν ἰόντας γνῶναι πρότερον ἑαυτοὺς καὶ τὴν ἰδίαν οὐσίαν· ὁ γὰρ ἀνεπιστήμων ἑαυτοῦ πῶς ἂν δυνηθείη καταλαβεῖν τὴν ἀνωτάτω καὶ πάνθ' ὑπερβάλλουσαν θεοῦ δύνα-
264 μιν; ἔστιν οὖν ἡμῶν ἡ κατὰ τὸ σῶμα οὐσία, γῆ καὶ ὕδωρ, ἧς ὑπομιμνήσκει διὰ τῆς καθάρσεως. αὐτὸ τοῦθ' ὑπολαμβάνων εἶναι τὴν ὠφελιμωτάτην κάθαρσιν, τὸ γνῶναί τινα ἑαυτὸν καὶ ἐξ οἵων ὡς οὐδεμιᾶς
265 σπουδῆς ἀξίων, τέφρας καὶ ὕδατος, συνεκράθη. τοῦτο γὰρ ἐπιγνοὺς τὴν ἐπίβουλον οἴησιν εὐθὺς ἀποστραφήσεται καὶ καθελὼν τὸ ὑπέραυχον εὐαρεστήσει θεῷ καὶ μεταποιήσεται τῆς ἵλεω δυνάμεως αὐτοῦ ⟨τοῦ⟩ μισοῦντος ἀλαζονείαν. εἴρηται γάρ που καλῶς, ὅτι ὁ ἐγχειρῶν ὑπεραύχοις ἢ λόγοις ἢ ἔργοις οὐκ ἀνθρώπους μόνον ἀλλὰ καὶ „θεὸν παροξύνει“ τὸν
266 ἰσότητος καὶ παντὸς τοῦ ἀρίστου δημιουργόν (Num. 15,30). ἐν οὖν τῷ περιρραίνεσθαι πληττομένοις καὶ διεγειρομένοις μόνον οὐκ ἄντικρυς αὐτὰ τὰ στοιχεῖα, γῆ καὶ ὕδωρ, φωνὴν ἀφιέντα φησίν· ἡμεῖς ἐσμεν ἡ τοῦ σώματος ὑμῶν οὐσία. ἡμᾶς ἡ φύσις κερασαμένη θείᾳ τέχνῃ διέπλασεν εἰς ἀνθρωπόμορφον ἰδέαν, ἐξ ἡμῶν παγέντες, ὅτε ἐγένεσθε, πάλιν εἰς ἡμᾶς ἀναλυθήσεσθε, ὅταν δέῃ θνῄσκειν· οὐδὲν γὰρ εἰς τὸ μὴ ὂν φθείρεσθαι πέφυκεν, ἀλλ' ἐξ ὧν ἡ ἀρχή, πρὸς ταῦτα καὶ τὸ τέλος.
267 (3.) Ἤδη δ' ἀναγκαῖον καὶ τὴν ὑπόσχεσιν ἀποδοῦναι τῆς περὶ τὴν τέφραν ταύτην ἰδιότητος· ἔστι γὰρ οὐ ξύλων αὐτὸ μόνον δαπανηθέντων ὑπὸ πυρός, ἀλλὰ καὶ ζῴου πρὸς τὴν τοιαύτην κάθαρσιν ἐπιτη-
268 δείου. κελεύει γὰρ δάμαλιν πυρρὰν ἄζυγον ἄμωμον ἀχθεῖσαν σφαγια-

4 λέγοιτο A, γένοιτο H 6 ὁ γὰρ ἐπιστήμων F 8 γῆ RF: ἡ γῆ AH (v) καὶ om. F 9 τοῦθ' RF: τοῦτο AH (v) ὑπολαμβάνων F: ὑπολαμβάνειν RAH 10 τιν' F 11 συνεκράθη F: συνεκρίθη RAH (v) 13 τοῦ addidi 16 ἰσότητος RF: ἰσότατον AH (Turn.) τοῦ ἀρίστου R: τοῦ om. FAH (v) 17 ἐπιρραίνεσθαι AH (v) μόνον οὐκ RF (Mang.): μόνον οὐ καὶ AH 17. 18 αὐτὰ τὰ codd.: αὐτά γε v 18 φωνὴν ἀφιέντα R: ἀφιέντα φωνήν AH, φωνὴν om. F φησίν R: φασίν FAH 19 ὑμῶν] ἡμῶν H (Turn.) θείᾳ τέχνῃ RF: ἡ θεία τέχνη AH (v) 20 pr. εἰς om. F ὅτε ἐγένεσθε RF: ὅταν ἐγίνεσθε AH (v) 21 ὅταν δέῃ RF: ὅτε δέοι AH (Turn.) 24 αὐτὸ] αὐτῶν F 25 ὑπὸ RF: ἀπὸ AH (Turn.) 26 πυρὰν FAH ἄμωμον om. AH (Turn.)

18 cf. Diels Elementum p. 46. 26 Num. 19,2—9. cf. *Ioseph. Ant. Iud. IV* § *79. 80.*

σθῆναι μὲν ἔξω πόλεως, τὸν δ' ἀρχιερέα λαμβάνοντα ἀπὸ τοῦ αἵματος ἑπτάκις ἐπιρραίνειν ἀντικρὺ τοῦ νεὼ πάντα, εἶθ' ὅλην κατακαίειν σὺν δορᾷ καὶ κρέασι καὶ αἵματι καὶ πλήρει τῇ κοιλίᾳ περιττωμάτων· ἤδη
p. 253 M. δ' ὑπομαραινομένης τῆς φλογὸς εἰς τὸ μεσαίτατον | τρία ταῦτα ἐμβάλλειν, ξύλον κέδρινον καὶ ὕσσωπον καὶ κόκκινον, κελεύει, εἶτ' ἐὰν ἀποσβεσθῇ, τὴν τέφραν συλλέγειν καθαρὸν ἄνθρωπον καὶ ἀποτιθέναι πάλιν ἔξω πόλεως ἐν χωρίῳ καθαρῷ. τίνα δὲ διὰ τούτων ὡς διὰ συμβόλων αἰνίττεται, 269
δι' ἑτέρων ἠκριβώσαμεν ἀλληγοροῦντες. ἀναγκαῖον οὖν τοὺς μέλλοντας φοιτᾶν εἰς τὸ ἱερὸν ἐπὶ μετουσίᾳ θυσίας τό τε σῶμα φαιδρύνεσθαι καὶ τὴν ψυχὴν πρὸ τοῦ σώματος· δεσπότις γὰρ καὶ βασιλὶς καὶ ἐν ἅπασι κρείττων ἅτε θειοτέρας φύσεως μεταλαχοῦσα. τὰ δὲ φαιδρύνοντα διάνοιάν ἐστι σοφία καὶ τὰ σοφίας δόγματα πρὸς τὴν θεωρίαν τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ ποδηγετοῦντα καὶ ὁ τῶν ἄλλων ἀρετῶν ἱερὸς χορὸς καὶ αἱ κατ' ἀρετὰς καλαὶ καὶ σφόδρα ἐπαινεταὶ πράξεις. ὁ μὲν οὖν τούτοις 270
διακεκοσμημένος ἴτω θαρρῶν εἰς οἰκειότατον αὐτῷ τὸν νεών, ἐνδιαίτημα πάντων ἄριστον, ἱερεῖον ἐπιδειξόμενος αὑτόν· ὅτῳ δ' ἐγκάθηνται καὶ ἐλλοχῶσιν αἱ πλεονεξίαι καὶ ἐπιθυμίαι τῶν ἀδικιῶν, ἐγκαλυψάμενος ἠρεμείτω τὴν ἀναίσχυντον ἀπόνοιαν καὶ τὸ λίαν θράσος ἐν οἷς εὐλάβεια λυσιτελὲς ἐπισχών· τὸ γὰρ τοῦ ὄντως ὄντος ἱερὸν ἀνιέροις ἄβατον θυσίαις.
εἴποιμ' ἄν· ὦ γενναῖε, ὁ θεὸς οὐ χαίρει, κἂν ἑκατόμβας ἀνάγῃ τις· 27
κτήματα γὰρ αὐτοῦ τὰ πάντα. κεκτημένος ὅμως οὐδενὸς δεῖται· χαίρει δὲ φιλοθέοις γνώμαις καὶ ἀνδράσιν ἀσκηταῖς ὁσιότητος, παρ' ὧν ψαιστὰ καὶ κριθὰς καὶ τὰ εὐτελέστατα ὡς τιμιώτατα πρὸ τῶν πολυτελεστάτων ἄσμενος δέχεται· κἂν μέντοι μηδὲν ἕτερον κομίζωσιν, αὑτοὺς φέροντες 272
πλήρωμα καλοκἀγαθίας τελειότατον τὴν ἀρίστην ἀνάγουσι θυσίαν, ὕμνοις καὶ εὐχαριστίαις τὸν εὐεργέτην καὶ σωτῆρα θεὸν γεραίροντες, τῇ μὲν διὰ

1 μὲν om. F (Mang.) λαβόντα F 2 ἄντικρυς AH 3 κρέασι RF: κέρασι AH (Turn.) καὶ αἵματι F: om. RAH (Turn.) 4 ταῦτ' F ἐμβάλειν (sic) F 5 καὶ ὕσσωπον F: καὶ om. RAH (v) κόκκινον RF: κύμινον AH (Turn.) εἶτ' ἐὰν R: εἶτ' ἐπὰν AH (v), καὶ ἐπειδὰν F 9 φυτᾶν F θυσίας] θυσιῶν F τε] γε R 12 τὰ om. F 13 pr. τῶν om. H 14 καλαὶ om. F σφόδρ' F 15 αὐτῶ AH (v) 16 αὐτόν F, ἑαυτόν AH (v) 17 αἱ πλεονεξίαι RF: αἱ om. AH (v) ἀδικιῶν RF: ἀδίκων AH 20 οὐ om. L (Turn.) κἂν] οὐκ ἂν Turn. αἰεὶ ante ἀνάγῃ add. F 21 κεκτημένος ὅμως non sana videntur; κ. δ' οὐδ' ὅλως vel κ. δὲ συνόλως conicio 22 φιλοθέοις γνώμαις] φιλοθέῳ ψυχῇ F 24 αὐτοὺς F φέροντας H 26 καὶ εὐχαριστίαις om. AH (Turn.) alt. καὶ om. F θεὸν om. AH (Turn.) τὴν μὲν . . . τὴν δ' (66,1) F

20 sqq. cf. Bernays Theophrasts Schrift über die Frömmigkeit p. 65. 67. 75.

τῶν φωνητηρίων ὀργάνων, τῇ δὲ ἄνευ γλώττης καὶ στόματος, μόνῃ ψυχῇ
τὰς νοητὰς ποιούμενοι διεξόδους καὶ ἐκβοήσεις, ὧν ἓν μόνον οὖς ἀντιλαμβά-
νεται τὸ θεῖον· αἱ γὰρ τῶν ἀνθρώπων οὐ φθάνουσιν ἀκοαὶ συναισθέσθαι.
273 (4.) Ὡς δ᾿ ἀψευδής ἐστιν οὗτος ὁ λόγος καὶ οὐκ ἐμὸς ἀλλὰ τῆς
φύσεως, μαρτυρεῖ μέν πως καὶ ἡ ἐνάργεια τρανὴν παρέχουσα πίστιν
τοῖς μὴ διὰ τὸ φιλόνεικον ἐπιτηδεύουσιν ἀπιστίαν, μαρτυρεῖ δὲ καὶ ὁ
νόμος προστάξας δύο κατασκευασθῆναι βωμοὺς καὶ ταῖς ὕλαις καὶ τοῖς
274 τόποις καὶ ταῖς χρείαις διαφέροντας· ὁ μὲν γὰρ ἐκ λίθων λογάδων
ἀτμήτων συνῳκοδόμηται καὶ ἐν ὑπαίθρῳ παρὰ ταῖς τοῦ νεὼ προσβάσεσιν
ἵδρυται καὶ γέγονε πρὸς χρείαν τὴν τῶν ἐναίμων· ὁ δὲ χρυσοῦ μὲν τοῦ
καθαρωτάτου κατεσκεύασται, ἵδρυται δ᾿ ἐν ἀδύτοις εἴσω τοῦ προτέρου
καταπετάσματος, ὃς οὐδενὶ τῶν ἄλλων ἐστὶν | ὁρατὸς ὅτι μὴ τοῖς ἁγνεύουσι p. 254 M.
275 τῶν ἱερέων καὶ γέγονε πρὸς χρείαν τὴν τῶν θυμιαμάτων. ἐξ οὗ δῆλόν
ἐστιν, ὅτι καὶ βραχύτατον λιβανωτὸν παρ᾿ ἀνδρὸς ὁσίου τιμιώτερον ὁ
θεὸς νομίζει μυρίων θρεμμάτων, ὅσα ἄν τις ἱερουργῇ μὴ σφόδρα ἀστεῖος
ὤν· ὅσῳ γάρ, οἶμαι, λίθων μὲν εἰκαίων ἀμείνων χρυσός, τὰ δ᾿ ἐν
ἀδύτοις τῶν ἐκτὸς ἁγιώτερα, τοσούτῳ κρείττων ἡ διὰ τῶν ἐπιθυμιω-
276 μένων εὐχαριστία τῆς διὰ τῶν ἐναίμων. ὅθεν οὐ μόνον ὕλης πολυτελείᾳ
καὶ κατασκευῇ καὶ τόπῳ τετίμηται ὁ τῶν θυμιαμάτων βωμός, ἀλλὰ καὶ
τῷ πρότερον καθ᾿ ἑκάστην ἡμέραν ὑπηρετεῖν ταῖς πρὸς θεὸν ἀνθρώπων
εὐχαριστίαις· οὐ γὰρ ἐφεῖται τὴν ὁλόκαυτον θυσίαν ἔξω προσαγαγεῖν,
277 πρὶν ἔνδον περὶ βαθὺν ὄρθρον ἐπιθυμιᾶσαι. τὸ δ᾿ ἐστὶ σύμβολον οὐχ
ἑτέρου τινὸς ἢ τοῦ παρὰ θεῷ μὴ τὸ πλῆθος τῶν καταθυομένων εἶναι

2 οὖς] νοῦς H (Turn.) 3 τὸ θεῖον RF: τοῦ θείου AH (Turn.) τῶν om. F 5 ἐνάργεια AH: ἐνέργεια RF 9 καὶ ἀτμήτων F (Mang.) προσβάσεσιν RF (Mang.): προβάσεσιν AH 10. 11 τοῦ καθαρωτάτου om. AH (Turn.) 11 ἀδύτοις RF: ἀδύτω AH (v) 11. 12 τοῦ καταπετάσματος τοῦ προτέρου F 13 πρὸς τὴν τῶν θυμιαμάτων χρείαν F 14 ὅτι om. R 15 ἱερουργῇ codd.: ἱερουργεῖ Mang. 16 εἰκαίων RF (Mang.): om. AH τὰ δ᾿] τά τ᾿ F 17 ἀδύτω F ἐκτὸς] ἐκεῖ AH (Turn.) 20 πρότερος F ὑπηρετεῖν RF: νομοθετεῖν AH (Turn.) ἀνθρώπων R, ἀνθρώποις F: om. AH (v) 21 post εὐχαριστίαις add. ταῦτ᾿ ἐπιθύειν AH (Turn.) ἐφεῖται codd.: ἐφίεται Mang. ἔξω θυσίαν transp. F προσάγειν F 22 ἐπιθυμιάσει R τόδ᾿ ἔστι FAH; τόδε ἐστὶ Turn. Mang. 23 τοῦ] τῷ H

7 Exod. 27,1 sqq. 30,1 sqq. 9 cf. *Hecat. Abder. ap. Ioseph. c. Ap. I § 198* ἐνταῦθα δ᾿ ἐστὶ . . . περίβολος λίθινος . . ., ἐν ᾧ βωμός ἐστι τετράγωνος, ἀτμήτων συλλέκτων ἀργῶν λίθων οὕτως συγκείμενος . . . καὶ παρ᾿ αὐτὸν οἴκημα μέγα, οὗ βωμός ἐστι καὶ λυχνίον ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν. 21 Exod. 30,7. 23 cf. Bernays l. l.

τίμιον, ἀλλὰ τὸ καθαρώτατον τοῦ θύοντος πνεῦμα λογικόν· εἰ μὴ ἄρα δικαστὴς μέν, ᾧ μέλει τῆς ὁσίας κρίσεως, παρά τινος τῶν κρινομένων οὐκ ἂν λάβοι δῶρα ἢ λαβὼν ἔνοχος ἔσται δωροδοκίᾳ, οὐδ᾽ ἀνὴρ ἀστεῖος παρὰ μοχθηροῦ τινος, ἄνθρωπος παρ᾽ ἀνθρώπου πλουτοῦντος αὐτὸς ἴσως δεόμενος, σὺ δ᾽ ᾠήθης τὸν θεὸν δεκάζεσθαι, τὸν αὐταρκέστατον ἑαυτῷ καὶ μηδενὸς τῶν ἐν γενέσει χρεῖον, ὅστις ὢν τὸ πρῶτον ἀγαθόν, τὸ τελειότατον, ἡ ἀέναος πηγὴ φρονήσεως καὶ δικαιοσύνης καὶ πάσης ἀρετῆς, ἀποστρέφεται τὰς παρὰ τῶν ἀδίκων δωρεάς. ὁ δὲ κομίζων οὐ 278
πάντων ἀναισχυντότατος ἐξ ὧν ἔκλεψεν ἢ ἥρπασεν ἢ ἠρνήσατο ἢ ἀπεστέρησε μέρος ὡς κοινωνῷ τῆς ἑαυτοῦ κακίας καὶ πλεονεξίας διδούς; πάντων κακοδαιμονέστατε, εἴποιμ᾽ ἂν τῷ τοιούτῳ, δυοῖν θάτερον ἢ λήσεσθαι προσδοκᾷς ἢ καταφανήσεσθαι· λήσεσθαι μὲν οὖν ὑπολαμβάνων ἀνεπιστή- 279
μων εἶ θεοῦ δυνάμεως, καθ᾽ ἣν ἅμα πάντα ὁρᾷ καὶ πάντων ἀκούει· νομίζων δ᾽ ἐμφανήσεσθαι θρασύτατος εἶ· δέον ἐφ᾽ οἷς ἥμαρτες ἐγκαλύπτεσθαι, προφέρεις εἰς μέσον τὰ δείγματα ὧν ἠδίκησας καὶ ἐπισεμνυνόμενος διανέμῃ πρὸς θεόν, ἀπαρχὰς αὐτῷ κομίζων ἀνοσίους, καὶ οὐκ ἐλογίσω τοῦθ᾽ ὅτι οὔτε νόμος ἀνομίαν παραδέχεται οὔτε φῶς ἡλιακὸν σκότος. ὁ δὲ θεὸς καὶ νόμων ἐστὶ παράδειγμα ἀρχέτυπον καὶ ἡλίου ἥλιος, νοητὸς αἰσθητοῦ, παρέχων ἐκ τῶν ἀοράτων πηγῶν ὁρατὰ φέγγη τῷ βλεπομένῳ.

II p. 264 M. Περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ κομίζειν.

παραστάν σοι τῆς ὑπονοίας πάθος, μὴ ὡς ἄν τις συκοφάντης ἢ κακο-
τεχνῶν ὑπὲρ τοῦ πάντως περιγενέσθαι, ἀλλ' ὡς ἄν τις τῆς ἀληθείας
ἀκριβὴς ἐξεταστὴς ἄνευ σοφιστείας. ἡ δὲ γυνὴ δύο κινδύνους ὑπο- 54
p. 309 M. μένουσα, τὸν μὲν ὑπὲρ ψυχῆς, τὸν δὲ | αἰσχύνης βίου, παντὸς ἀργα-
λεώτερον θανάτου, κρινάτω παρ' αὐτῇ τὸ πρᾶγμα, κἂν μὲν καθαρεύῃ,
θαρροῦσα ἀπολογείσθω, εἰ δὲ ὑπὸ τοῦ συνειδότος ἐλέγχοιτο, καταδυέσθω,
προκάλυμμα τῶν ἁμαρτημάτων αἰδῶ ποιησαμένη· τὸ γὰρ μέχρι τέλους
ἀναισχυντεῖν ὑπερβολὴ κακίας. ἐὰν δὲ ἀμφήριστα ᾖ τὰ λεχθέντα καὶ 55
μηδέτερον καθέλκῃ μέρος, ἴτωσαν εἰς τὸ ἱερόν, καὶ ὁ μὲν ἀνὴρ στὰς
ἀντικρὺ τοῦ βωμοῦ, παρόντος τοῦ κατ' ἐκείνην τὴν ἡμέραν ἱερωμένου,
δηλούτω τὴν ὑπόνοιαν, ἅμα καὶ κομίζων ἄλευρον κρίθινον, εἶδός τι
θυσίας ὑπὲρ τῆς γυναικός, εἰς ἔνδειξιν τοῦ μὴ κατ' ἐπήρειαν ἀλλ' ἀπὸ
γνώμης ὑγιοῦς κατ' ἐνδοιασμὸν εὔλογον αἰτιᾶσθαι. ὁ δὲ ἱερεὺς λαβὼν 56
προτεινέτω τῇ γυναικὶ καὶ τοὐπίκρανον ἀφελών, ἵν' ἐπικρίνηται γεγυμ-

1 tit. περὶ μοιχαλίδος add. S mg²M, om. ceteri   pr. ἢ] καὶ P, om. H (v)   αὐτοφώροις (ι in ras.) S, αὐτοφόρους FHP   alt. ἢ om. HP (Turn.)   2 post πιστουμένας add. ἐνθένδε FL^2 (v)   ἀπέφαινεν F, ὑπέφηνεν HP   3 ἀλλὰ SHP: ἀλλ' ceteri   εἰς om. HP (Turn.)   4 δικαστήριον SF: δικαιωτήριον ceteri   ἐπιφανῶν G   5 μόνον G   6 ὡς γραψάμενος A   πρόσκλησιν MAHP   7 εἴσιθι F   8 παριστάν F, παριστὰν εἶδος S   συκοφαντήσῃ κακοτεχνῶν F   9 πάντων A   τις] τι F   10. 11 ὑπομένουσα F: ὑπομείνασα ceteri (v)   11 δὲ SFA: δ' ceteri   αἰσχύνης βίου SFG: αἰσχύνην βίου AHP (Turn.), αἰσχύνης τοῦ M (Mang.)   12 παρ' αὐτῇ A: παρ' ἑαυτῇ M, παρ' αὑτῇ ceteri   13 θαρροῦσ' HP, θαρσοῦσ' S   ἀπολογείσθω] ἀποκρινάσθω G   δὲ S: δ' ceteri   14 τῶν ἁμαρτηθέντων F   ποιησαμένη] προστησαμένη vel προφασισαμένη coni. Mang.   15 δὲ ἀμφήριστα SF: δ' ἀμφήριστ' ceteri   16 μηδ' ἕτερον FGH   καθέλκει F   17 ἄντικρυς F   βωμοῦ mg H, ἱεροῦ in textu H   ἱερωμένου τὴν ἡμέραν transp. F   18 δηλοῦται S^1, corr. S^2 20 γνώμης FGL^2: γνώσεως ceteri   ἐνδυασμὸν S   ὁ δὲ F, ὁ δ' S: ὅ θ' ceteri (v)   21 καὶ ante τῇ γυναικὶ add. F   τοὐπίκρανον] τὸ ὑπόκρανον S   ἵνα A   ἐπικρίνηται] εἴη κρίνηται S

5sqq. Num. 5,12sqq. cf. *Ioseph. Ant. Iud. III § 270—273.*

νωμένῃ τῇ κεφαλῇ, τὸ τῆς αἰδοῦς περιῃρημένη σύμβολον, ᾧ ταῖς εἰς
ἅπαν ἀναιτίοις ἔθος χρῆσθαι. μήτε δὲ ἔλαιον μήτε λιβανωτὸς ὡς ἐπὶ
τῶν ἄλλων θυσιῶν παρέστω, διὰ τὸ μὴ ἐπὶ χαρτοῖς ἀλλ᾽ ἄγαν ὀδυνηροῖς
57 τὴν θυσίαν μέλλειν ἐπιτελεῖσθαι. κρίθινον δ᾽ ἐστὶ τὸ ἄλευρον, ἴσως
ἐπειδὴ ὑπαμφίβολός ἐστιν ἡ ἀπὸ κριθῆς τροφὴ καὶ ἀλόγοις ζῴοις καὶ
ἀτυχέσιν ἀνθρώποις ἐφαρμόζεται, σύμβολον τοῦ τὴν μεμοιχευμένην οὐδὲν
θηρίων διαφέρειν, ὧν ἀδιακρίτους εἶναι καὶ ἀνεπιστάτους τὰς ὀχείας συμ-
βέβηκε, τὴν δὲ καθαρεύουσαν τῶν ἐγκλημάτων τὸν οἰκεῖον ἀνθρώπων
58 βίον ἐζηλωκέναι. λαβὼν δέ, φησίν, ὁ ἱερεὺς κεραμεοῦν ἀγγεῖον ἐγχείτω
καθαρὸν ὕδωρ ἐκ πηγῆς ἀρυσάμενος καὶ ἐπιφερέτω βῶλον γῆς ἐκ τοῦ
κατὰ τὸ ἱερὸν ἐδάφους· ἅπερ οἶμαι καὶ αὐτὰ συντείνειν πρὸς τὴν ἔρευ-
ναν τῆς ἀληθείας διὰ συμβόλων, τὸ μὲν κεραμεοῦν ἀγγεῖον πρὸς τὸ
μεμοιχεῦσθαι, διὰ τὸ εὐκάτακτον, θάνατος γὰρ ἡ κατὰ μοιχῶν δίκη, ἡ
δὲ γῆ καὶ τὸ ὕδωρ πρὸς τὸ καθαρεύειν τῆς αἰτίας, ἐπειδὴ δι᾽ ἀμφοτέρων
59 αἱ γενέσεις καὶ αὐξήσεις καὶ τελειώσεις ἁπάντων. ὅθεν ἑκάτερον οὐκ
ἀπὸ σκοποῦ καὶ τοῖς ὀνόμασιν ἐπεκόσμησε, τὸ μὲν ὕδωρ εἰπὼν δεῖν
„καθαρὸν" λαμβάνειν καὶ „ζῶν", ἐπεὶ ἀνυπαίτιος ἡ γυνὴ καθαρεύει τὸν
βίον καὶ ζῆν ὀφείλει, τὴν δὲ γῆν οὐκ ἀπὸ τοῦ τυχόντος ἀλλ᾽ ἀπὸ τοῦ
ἱεροῦ ἐδάφους, ὅπερ ἀναγκαῖον ἀρετᾶν, ὡς καὶ γυναῖκα τὴν σώφρονα.
60 τούτων δὲ προευτρεπισθέντων, ἡ μὲν ἀκατακαλύπτῳ τῇ κεφαλῇ τὸ
κρίθινον ἄλευρον κομίζουσα, καθάπερ ἐλέχθη, παρίτω, ὁ δὲ ἱερεὺς

1 σύμβολον — ἐπὶ (2) om. A   ᾧ] ὡς S   2 ἀναιτίαις HP (v)   δὲ F: δ᾽ ceteri   λιβανωτὸν S   3 τῶν δ᾽ ἄλλων A   παρέστω S: μὴ προσαπτέσθω A, προσέστω ceteri (Turn.)   4 μέλλειν τὴν θυσίαν transp. HP (v)   δ᾽ ἐστὶ] δὲ καὶ S   5 ἐπαμφίβολος S   6 ἐφαρμόζεται Mang.: ἐφαρμόζεσθαι codd.   7 θηρίου S   ἀνεπιστάτους mg H, ἀσυστάτους in textu HP   8 τὸν οἰκεῖον F: οἰκεῖον τὸν S, τὸν om. ceteri (v)   ἀνθρώπων om. S   9 λαβὼν δ᾽ ὁ ἱερεὺς φησὶ A   φησίν om. S (Mang.)   10 ἀρρυσάμενος SFH   ἐπιφερέτω F Arm: φερέτω ceteri (v)   γῆς om. F   11 ἅπερ F: ἃ μὲν S Arm, ὅπερ ceteri (Turn.)   αὐτὰ SF Arm: αὐτὸ ceteri (Turn.)   συντείνει conicio   12 τὸ μὲν F: τὸ γὰρ ceteri (v)   13 μεμοιχεῦσθαι SF: μὴ μοιχεύεσθαι A, μοιχεύεσθαι ceteri (v)   εὐκάτακτον F²AGHP: εὔτακτον F¹, εὔθραυστον καὶ εὐκάτακτον M, εὐκατέακτον S, εὐκτὸν L (Turn.)   γὰρ FA Arm: om. ceteri (Turn.)   15 ὅθεν om. S   οὐκ] οὖν S   16 ἐπεκόσμησεν S   εἰπὼν om. Arm, post καθαρὸν transp. M   16. 17 δεῖν — λαμβάνειν] δεῖ ἀναβαίνειν καθαρόν τε F   17 καθαρὸν codd. (praeter F): καθαρόν τε Turn., καθαρόν τι Mang.   ἀνυπαίτιος ἡ S: ἡ ἀνυπαίτιος ceteri (v)   19 ἀρετᾶν SF Arm: αἱρέτωσαν A, ἀρετῶσαν ceteri (v)   καὶ om. H¹P   20 τούτων δὲ] τὸ δὲ τῶν F   ἀκατακαλύφῳ F   21 ἐλέγχθη H   ὁ δὲ SFG: δὲ om. M, ὁ δ᾽ HP, ὅ θ᾽ A

17 Num. 5,17.

[ἀντικρὺ] τὸ κεραμεοῦν ἀγγεῖον, ἐν ᾧ ὕδωρ ἐστὶ καὶ γῆ, ⟨ἀντικρὺ⟩ στὰς ἐπιλεγέτω τάδε· „εἰ μὲν τοὺς ἐπὶ γάμοις θεσμοὺς οὐ παραβέβηκας οὐδ' 61
p. 310 M. ἀνὴρ ἕτερος ὡμίλησέ σοι καθυφεμένῃ τὰ πρὸς τὸν | νόμῳ συνοικισθέντα δίκαια, ἀνυπαίτιος καὶ ἀθῷος ἴσθι· εἰ δ' ὠλιγώρησας μὲν ἀνδρὸς καινὰς δὲ ἐζήλωσας ἐπιθυμίας ἢ ἐρασθεῖσα ἢ ἐρασθέντι ἐνδοῦσα, τὰ ἀναγκαιότατα καὶ φίλτατα προδοῦσα καὶ νοθεύσασα, μὴ ἀγνόει πάσαις ἀραῖς ἔνοχος γεγενημένη, ὧν τὰ δείγματα ἀναφανεῖς ἐπὶ τοῦ σώματος. ἴθι δὴ ἔκπινε ποτὸν ἐλέγχου, ὃ τὰ κεκρυμμένα νῦν καὶ ἀδηλούμενα ἀπαμφιάσει καὶ ἀπογυμνώσει.“ ταῦτα γράψας ἐν χαρτιδίῳ καὶ ἀπαλείψας 62
τῷ κατὰ τὸ ἀγγεῖον ὕδατι προτεινέτω τῇ γυναικί· ἡ δὲ πιοῦσα ἀπαλλαττέσθω προσδοκῶσα ἢ σωφροσύνης ἆθλον ἢ ἀκολασίας τὴν ἀνωτάτω τιμωρίαν. εἰ μὲν γὰρ σεσυκοφάντηται, σπορὰν καὶ γένεσιν τέκνων ἐλπιζέτω τῶν ἐπὶ στειρώσει καὶ ἀγονίᾳ φόβων καὶ φροντίδων ἀλογοῦσα· εἰ δ' ἐστὶν ἔνοχος, ἐφεδρεύσοντα ἴστω γαστρὸς ὄγκον οἰδούσης καὶ πιμπραμένης καὶ τῶν περὶ μήτραν δεινὴν κάκωσιν, ἣν καθαρὰν οὐκ ἠξίωσε διατηρεῖν ἀνδρὶ τῷ κατὰ πάτρια γήμαντι. τοσαύτην δ' ἔχει πρόνοιαν 63
ὁ νόμος τοῦ μηδὲν ἐπὶ γάμοις νεωτερίζεσθαι, ὥστε καὶ τοὺς συνιόντας

1 ἄντικρυς S[1]F ἀντικρὺ h. l. seclusi; ⟨ἔχων⟩ ἐν τῇ χειρὶ conicio coll. Num. 5,18 ἀντικρὺ ante στὰς addidi στὰς οὖν A 2 οὐδὲ F 3 ὡμίλησέ σοι] σε ὡμίλησε F καθυφιεμένη FL[2] (Turn.) νόμῳ Mang. (Arm): νόμον codd. συνοικισθέντα S: συνεληλυθότα ceteri (v) 4 ἀθῷος S: ἀθῷα ceteri (v) ἴθι S[2]A Arm ὠλιγώρηκας F (v) καινὰς M (Mang.): κενὰς ceteri 5 δὲ F: om. ceteri (v) ἐζήλωσας scripsi: ζηλώσας H, ζηλώσασ' P, ζηλώσασα ceteri (v) ἢ ἐρασθέντι—νοθεύσασα (6) om. HP (Turn.) post ἐνδοῦσα add. καὶ A 5. 6 τὰ ἀναγκαιότατα FG: τἀναγκαιότατα SMA 7 δείγματα SF: δείγματ' ceteri ἀναφανῆς F, ἀναφανῆ A Arm ἐπὶ] ἀπὸ A ἴσθι SHP (Turn.) 8 δὴ S: δὴ καὶ ceteri (v) ἔκπιε A, ἐκπίνουσα S[2] τοῦ ἐλέγχου F ὃ] ὃς F, ᾧ S[2] νῦν F Arm: σοι AP, σου ceteri (v) ἀδηλούμενα SF Arm: τὰ ἀδηλούμενα M, τὰ μὴ δηλούμενα A, τἀδηλούμενά σοι GHP (v) 8. 9 ἀπαμφιάσει SA: ἐπαμφιάσει F, ἀπαμφιέσει ceteri (v) 10 τῷ om. A κατὰ τὸ ἀγγεῖον SFA: κατὰ (κατ' M) ἀγγεῖον ceteri (Turn.) πιοῦσ' AHP 11 ἢ σωφροσύνης F Arm: ἢ om. ceteri (v) ἆθλον] ἔργον S 12 τιμωρίαν] τιμὴν ἢ τιμωρίαν A (Mang.) γένεσιν SF: γέννησιν ceteri (v) τέκνων F: om. ceteri (v) 12. 13 ἐλπιζέτω post φόβων (13) transp. A 13 ἀλογοῦσα] ἀλόγου F 14 ἐφεδρεύσοντα ἴστω F: ἐφεδρεύσοντα εἰς τὸν GHP[1], ἐφεδρεύσοιτό σοι τὸν AP[2], ἐφεδρεύσονται εἰς αὐτὴν SM (Mang.) τῆς γαστρὸς A ὄγκος S[2]M (Mang.) 14. 15 πιμπραμένης S: πιμπλαμένης ceteri (v) 15 δεινὴ κάκωσις S[2]M (Mang.) 16 ἀνδρὶ διατηρεῖν transp. HP (v) πάτρια FL[2]: πάντα MGHP, παντὶ (sic) SA 17 μηδὲν SF Arm: μηδ' ceteri (v) συνόντας A

17 Lev. 15,18. cf. *Ioseph. c. Ap. II* § 203.

εἰς ὁμιλίαν ἄνδρας καὶ γυναῖκας κατὰ τοὺς ἐπὶ γάμοις θεσμούς, ὅταν εὐνῆς ἀπαλλάττωνται, οὐ πρότερον ἐᾷ τινος ψαύειν ἢ λουτροῖς καὶ περιρραντηρίοις χρῆσθαι, πόρρωθεν μοιχείας ἀνείργων καὶ τῶν ἐπὶ μοιχείαις ἐγκλημάτων.

64 (11.) Ἐὰν δέ τις χήραν ἀποθανόντος ἀνδρὸς ἢ καὶ διαζευχθεῖσαν ἄλλως βιασάμενος αἰσχύνῃ, κουφότερον ἢ κατὰ μοιχείαν ἁμάρτημα δρῶν, ἥμισυ σχεδὸν ἐκείνου, τῆς μὲν θανάτου τιμωρίας ἀφείσθω, βίαν δὲ καὶ ὕβριν καὶ ἀκολασίαν καὶ θράσος τὰ αἴσχιστα ὡς κάλλιστα ἀποδεξάμενος κατηγορείσθω καὶ ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι τιμάτω τὸ δικαστήριον ἐπ' αὐτῷ.

Περὶ φθορᾶς.

65 Ἀδελφὸν μὲν καὶ συγγενὲς ἀδίκημα μοιχείας φθορά, καθάπερ ἐκ μητρὸς μιᾶς, ἀκολασίας, φύντα· ἣν ἔνιοι τῶν εἰωθότων εὐπρεπέσιν ὀνόμασι τὰ αἰσχρὰ ἐπικοσμεῖν ἔρωτα ὀνομάζουσι τἀληθὲς ὁμολογεῖν ἐρυθριῶντες. ἀλλ' ὅμως, εἰ καὶ συγγενές, οὐ παντάπασιν ὅμοιον, τῷ τὸ ἀδίκημα μὴ εἰς πλείους χωρεῖν οἰκίας, ὡς ἐπὶ τῆς μοιχείας συμβέβηκεν,
66 ἀλλ' εἰς μίαν συνῆχθαι τὴν τῆς παρθένου. λεκτέον οὖν τῷ κόρης ἀστῆς ἐπιθυμοῦντι· „προπέτειαν καὶ θράσος ἀναίσχυντον ἢ τὰς ἐπ' ἐνέδρᾳ πάγας ἤ τι τῶν ὁμοιοτρόπων, ὦ | οὗτος, ἀποστραφεὶς μήτε ἀναφανδὸν μήτε p. 311 M.
67 λάθρα πονηρὸς ἐξετασθῇς. ἀλλ' εἴπερ ἄρα τι τῇ ψυχῇ πέπονθας πρὸς τὴν παῖδα οἰκεῖον, ἴθι πρὸς τοὺς γονεῖς αὐτῆς, ἐὰν ζῶντες τυγχάνωσιν, εἰ δὲ μή, πρὸς τοὺς ἀδελφοὺς ἢ ἐπιτρόπους ἢ ἄλλους κυρίους, καὶ

1 κατὰ] καὶ A, om. HP ὅταν] σπᾶν F (pro ἐπὰν?) 2 εὐνῆς] εὖ A ἀπαλλάττων F ἐᾶν SM 3 ἀνείργων — μοιχείαις (4) om. F 4 μοιχείαις S: μοιχεία A (-ᾳ Mang.), μοιχείας ceteri (Turn.) 6 ἄλλως S^1, ἄλλος S^2 7 ἥμισυ S^1, ἡμίσει S^2 θανάτου S: τοῦ θανάτου ceteri (v) ἀφείσθω codd: ἀφιέσθω Mang. δὲ om. Arm 8 καὶ θράσος] θράσους ὃς F κάλλιστ' AHP 9 τιμάτω Mang. (Arm): τιμάσθω codd. 10 ἐπ' αὐτῷ: desinit Arm
11 tit. περὶ φθορᾶς add. SF mg M mg G mg H mg P 12 ἀδελφὸν μὲν καὶ om. S (fort. recte) συγγενὲς δὲ G 13 μιᾶς μητρὸς transp. MA, μητρὸς om. S ἀκολάστου M φύντα] φῦσα coni. Mang. ἣν ἔνιοι F: ἔνιοι δὲ ceteri (v) 14 ταἰσχρὰ HP, τα αἴσχιστα M ἔρωτ' MAHP 16 μὴ SFA: οὐκ ss. H^2 (v), om. ceteri 17 τῷ] τὸ S^1 ἀστῆς S^1FAGP^2: αὐτῆς S^2MHP^1 (Turn.) 18 καὶ θράσος SMF: ἢ θράσος ceteri (Turn.) πάγας] πηγὰς Mang. Richt. 19 pr. μήτε SF: μήτ' ceteri ἀναφανδὸν] ἀναφανὴς H (Turn.) 20 πονήρως L^2 (Turn.) ἐξετασθεὶς S^2H^1P εἴπερ] ἐπείπερ G, εἴ τι A 21 τυγχάνωσιν SM: τύχωσιν ceteri (v) 22 τοὺς om. F ἄλλους S: τοὺς ἄλλως A, τοὺς ἄλλους ceteri (v)

ἀπογυμνώσας τὸ σεαυτοῦ πάθος, ὡς χρὴ τὸν ἐλεύθερον, αἴτει πρὸς γάμον
καὶ παρακάλει μὴ ἀνάξιος νομισθῆναι. σκαιὸς γὰρ οὐδεὶς ἂν οὕτως 68
γένοιτο τῶν ἐπιμελουμένων τῆς παιδός, ὡς ἐναντιωθῆναι πρὸς λιπαρεστέρας δεήσεις, καὶ μάλιστά γε ἐπειδὰν ἐξετάσας ἀνευρίσκῃ μὴ κατεψευσμένον ἢ ἐπιπόλαιον ἄλλως τὸ πάθος ἀλλ' ἐπαληθεῦον καὶ παγίως ἐνιδρυμένον.“ ἐὰν δέ τις λυττῶν καὶ μεμηνώς, ἅπασι τοῖς ἐκ λογισμοῦ πολλὰ 69
χαίρειν φράσας, δυναστείαν τὸν οἶστρον καὶ τὴν ἐπιθυμίαν ὑπολαβών, νόμου βίαν, ὥς φασί τινες, προτιμοτέραν θέμενος, ἁρπάζῃ καὶ φθείρῃ ταῖς ἐλευθέραις ὡς θεραπαίναις χρώμενος, τὰ πολέμου δρῶν ἐν εἰρήνῃ, πρὸς τοὺς δικαστὰς ἀγέσθω. κἂν μὲν ᾖ πατὴρ τῇ βιασθείσῃ, βου- 70
λευέσθω περὶ ἐγγύης τῆς πρὸς τὸν ἐφθαρκότα· εἶτα ἐὰν μὲν ἀνανεύῃ, προικιζέτω τὴν παῖδα ὁ φθορεὺς ἄλλως ζημιούμενος χρήμασιν, ἐὰν δὲ συναινῇ καὶ συνεπιγράφηται, μηδὲν ὑπερτιθέμενος ἀγέσθω προῖκα πάλιν τὴν ἴσην ὁμολογῶν καὶ μήτε ἀναδύεσθαι τὴν ἐξουσίαν ἐχέτω μήτε παραιτεῖσθαι, καὶ δι' αὐτόν, ἵνα μὴ λαγνείας ἕνεκα δοκῇ μᾶλλον ἢ κατ' ἔρωτα νόμιμον ἐφθαρκέναι, καὶ διὰ τὴν κόρην, ἵν' αὐτῆς τὸ περὶ τὴν πρώτην σύνοδον ἀτύχημα παρηγορηθῇ βεβαιοτάτῳ γάμῳ, ὃν οὐδὲν ἄλλο τι ἢ
θάνατος διαζεύξει. ἐὰν δὲ πατρὸς ὀρφανὴ τυγχάνῃ, πρὸς τῶν δικαστῶν 71
ἐρωτάσθω, εἴτε βούλεται συνοικεῖν εἴτε μή· ἐάν τε δὲ συναινῇ ἐάν τε ἀρνῆται, τὰ αὐτὰ γινέσθω ἃ ἂν καὶ ἐπὶ ζῶντι διωμολογήθη τῷ πατρί.

1 γυμνώσας S   σεαυτοῦ S: σαυτοῦ ceteri   2 καὶ παρακάλει μὴ ἀνάξιος νομισθῆναι om. F   νομισθῆναι S: λογισθῆναι ceteri (v)   ἂν οὕτως FA: οὕτως ἂν ceteri (v)   4 γε AP², γ' S (coni. Mang.): σε ceteri (v)   ἐπεί γ' ἂν S   μὴ] ἵνα μὴ S   5 ἢ] ἢ S¹, ἢ ss. S²   ἐπιπόλεον S, ἐπὶ παλαιὸν F   τὸ πάθος ἄλλως transp. A   παγίως SF: παντελῶς ceteri (v)   6 λυττῶν] αὐτῶν SF   7 δυναστείαν S (coni. Mang.): δυναστεία ceteri (-ᾳ v)   τὴν om. S   ὑπολαβὼν] ὑποβαλὼν GH² (v)   8 προτιμοτέραν θέμενος] προτιμήσας SF   ὑποθέμενος A   ἁρπάξῃ AP, ἐπάζῃ (sic) S   9 ὡς] καὶ A   καὶ ante τὰ πολέμου add. MAGHP (v), om. SF   τὰ] τὸ S   10 ἀγέσθω] ἀνείσθω A   ᾖ] ἦν F   11 πρὸς Mang.: περὶ codd.   εἶτα F: εἶτ' ceteri   12 παῖδ' GHP   ἄλλως SMH¹P, ἀλλ' ὡς F: ἄλλω AGH² (v)   13 συναινεῖ S¹, corr. S²   συνεπιστρέφηται S   14 pr. μήτε S: μήτ' ceteri   14.15 παραιτείσθω S   15 αὐτόν SA, αὐ in αὑ corr. H   15.16 κατ' ἔρωτα νόμιμον SMF, καὶ ἔρωτα νόμιμον AP: ἑτέρων τὰ νόμιμα G, ἱμέρω τὰ νόμιμ' H (v)   16 ἵνα F   17 γάμῳ] νόμω A   ἄλλο τι ἢ] ἔτι μὴ F (scribendum ὅτι μή?)   18 διαζεύξῃ FA, διαζεύγει H   δὲ] δὲ καὶ A   δικαστῶν] δικαίων A   19 ἀνερωτάσθω F   alt. εἴτε] ἢ F, εἴτε καὶ A   ἐὰν — ἀρνῆται (20)] εἴτε δὲ συναινεῖ, εἴτε καὶ ἀρνήσεται HP; εἴτε συναινεῖ καὶ ἀρνήσεται Turn.   δὲ om. F; δὴ conicio   alt. ἐάν τε S: ἐάν τε καὶ FAG, ἐάν τε δὲ M   20 ἀρνῆται SF: ἀρνήσηται MAG   γενέσθω F   ἃ ἂν S: ἂν om. ceteri (v)   διωμολογήθη F: διωμολόγησε ceteri; διωμολογήσατο v

6sqq. Exod. 22,16. 17.   Deut. 22,28. 29   cf. *Ioseph. Ant. Iud. IV* § 252.

Περὶ ὑπογαμίου.

72 (12.) Μεθόριόν τινες ὑπολαμβάνουσιν ἀδίκημα εἶναι φθορᾶς καὶ
μοιχείας ὑπογάμιον, ὅταν ὁμολογίαι μὲν ὑπερεγγυήσωσι, μήπω δὲ τῶν γάμων
ἐπιτελεσθέντων ἕτερος ἀπατήσας τις ἢ καὶ βιασάμενος εἰς ὁμιλίαν ἔλθῃ.
παρ' ἐμοὶ δὲ κριτῇ μοιχείας καὶ τοῦτ' ἐστὶν εἶδος· αἱ γὰρ ὁμολογίαι
γάμοις ἰσοδυναμοῦσιν, αἷς ἀνδρὸς ὄνομα καὶ γυναικὸς καὶ τὰ ἄλλα τὰ
73 ἐπὶ συνόδοις ἐγγράφεται. ὧν χάριν καταλεύειν ὁ νόμος ἀμφοτέρους
προσέταξεν, ἐάν γε ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς γνώμης ἐπιθῶνται τοῖς
ἀδικήμασι συμφρονήσαντες· οὐχ οἷόν τε γὰρ μὴ ἀπὸ τῶν αὐτῶν ὁρμη-
74 θέντας βουλευμάτων νομίζεσθαι συναδικεῖν, οὐ συναδικοῦντας. παρὰ γοῦν
τὰς τῶν τόπων διαφορὰς | αὔξεσθαι συμβέβηκε καὶ μειοῦσθαι τἀδίκημα· p. 312 M.
μεῖζον μὲν γάρ, ὡς εἰκός, ἐστίν, εἰ πραχθείη κατὰ πόλιν, ἔλαττον δέ,
εἰ τειχῶν ἔξω κατ' ἐρημίαν· ἐνταῦθα μὲν γὰρ βοηθὸς οὐδὲ εἷς ἐστι τῇ
παιδὶ πάνθ' ὅσα ὑπὲρ τοῦ διατηρῆσαι τὴν παρθενίαν ἄψαυστον καὶ ἀνεπι-
βούλευτον λεγούσῃ τε καὶ δρώσῃ, ἐν ἄστει δὲ βουλευτήρια, δικαστήρια,
στρατηγῶν, ἀγορανόμων, ἀστυνόμων, ἄλλων ἀρχόντων ὅμιλοι μεγάλοι καὶ
75 σὺν τούτοις ὁ δῆμος. ἔστι γὰρ ἔστιν ἐν ἑκάστου τῇ ψυχῇ, κἂν ἰδιώτης
τυγχάνῃ, μισοπόνηρον πάθος, ὃ διακινηθὲν ἀποδείκνυσι τὸν ἔχοντα κατ'
ἐκεῖνον τὸν χρόνον ὑπέρμαχον καὶ προαγωνιστὴν αὐτοκέλευστον τοῦ

1 tit. περὶ ὑπογαμίου add. SF mg M mg G mg H mg P 2 τινὲς ὑπολαμβάνουσιν S: ὑπολαμβάνουσί τινες ceteri (v) ἀδίκημ.' MHP εἶναι om. A 3 ὑπογάμιον] ὑπὸ γάμον A ὁμολογίαι SMF: ὁμολογίας A, ὁμολογία GHP (-ᾳ v) ὑπερεγγυήσωσι] αἱ περιεγγυήσασαι F μηδέπω MG 4 ἀπατήσας SFM[1] ut vid. (coni. Mang.): ἀπαντήσας ceteri (v) τις S: om. ceteri (v) καὶ om. S ἔλθη (οι supra) A, ἔλθης G 6 τὰ ἄλλα SF: τἄλλα ceteri 6. 7 τἀπὶ A 7 καταλεύειν] κατέλυεν F 8 ἐάν γε A, ἄν γε F: ἐάν τε GP, ἐὰν δὲ S, ἐάνπερ M, ἐὰν H (v) ἀπὸ τῆς αὐτῆς καὶ τῆς μιᾶς M ἐπίθωνται MA 9 οὐχ om. F ἀπὸ μὴ transp. A (Mang.) 10 οὐ om. S παρὰ] περὶ A 11 αὔξεσθαι δοκεῖ A συμβέβηκε—ἔλαττον δέ (12) om. A τἀδικήματα S 13 εἰ SF: om. ceteri (v) τειχῶν SF: τείχεων G, τειχέων ceteri (v) οὐδὲ εἷς SF: οὐδεὶς ceteri (v) 14 ὅσα ὑπὲρ F: ὅσαπερ MAGP, ὅσα περὶ H (v), ὡς ὑπὲρ S[1], ὥσπερ S[2] τὴν παρθένον A ἄψαυστον—δικαστήρια (15) om. A 15 δικαστήρια SMF: καὶ δικαστήρια GHP (v) 17 ὁ om. P ἔστι γὰρ ἔστιν SFAG: alt. ἔστιν om. MHP (v) 18 ἀποδείκνυσι F: διαδεικνύει M, ἀποδεικνύει ceteri (v) ἔχοντα] παρατυχόντα coni. Mang. 19 προαγωνιστὴν SMG: προσαγωνιστὴν F, προδιαγωνιστὴν AHP (Turn.)

2 sqq. Deut. 22,23—27. cf. *Ioseph. Ant. Iud. IV* § 251.

δόξαντος ἠδικῆσθαι. (13.) τῷ μὲν οὖν διαπραξαμένῳ τὴν βίαν ἕπεται 76
δίκη πανταχοῦ, μηδὲν ἐκ τῆς τῶν χωρίων διαφορᾶς εὑρισκομένῳ πρὸς
ἐπανόρθωσιν ὧν ὕβρισε καὶ παρηνόμησε· τῇ δὲ παιδί, καθάπερ ἔφην,
τοτὲ μὲν ἔλεος καὶ συγγνώμη τοτὲ δὲ ἀπαραίτητος τιμωρία παρακολου-
θήσει. καὶ περὶ ταύτης μέντοι πολυπραγμονητέον τῷ δικαστῇ μὴ πάντ' 77
ἐπὶ τοὺς τόπους ἀναφέροντι· δύναται γὰρ καὶ κατὰ μέσην τὴν πόλιν
ἄκουσα βεβιάσθαι καὶ ἔξω τῆς πόλεως ἑκοῦσα πρὸς ἔκθεσμον ὁμιλίαν
ἐνδοῦναι. διὸ παρατετηρημένως καὶ σφόδρα καλῶς ἀπολογούμενος ὑπὲρ
τῆς ἐν ἐρημίᾳ φθειρομένης φησὶν ὁ νόμος· „ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ
βοηθήσων οὐκ ἦν αὐτῇ“ (Deut. 22,27), ὥστε, εἰ μήτε ἐβόησε μήτε
ἠναντιώθη, βουλομένη δὲ συναπῆρε, γένοιτ' ἂν ἔνοχος, σόφισμα τοῦ
βεβιάσθαι δοκεῖν προστησαμένη τὸν τόπον. καὶ μὴν ἐν πόλει τί γένοιτ' 78
ἂν ὄφελος τῇ πάντα μὲν ἐθελούσῃ ποιεῖν ὑπὲρ τῆς ἰδίας ἐπιτιμίας,
ἀδυνατούσῃ δὲ ἕνεκα τῆς περὶ τὸν ὑβριστὴν ἰσχύος; τί γάρ, εἰ μετὰ
τῶν ἄλλων καταδήσειεν ἢ τὸ στόμα ἀποφράξειεν, ὡς μηδὲ φωνὴν ῥῆξαι
δύνασθαι, γένοιτ' ἂν ὄφελος ἐκ τῶν συνοικούντων; τρόπον γάρ τινα ἥδε
μὲν ἐν πόλει διατρίβουσα κατ' ἐρημίαν ἐστὶν ἅτε βοηθῶν ἔρημος, ἡ δέ,
κἂν μηδεὶς παρατυγχάνῃ, τῷ ἑκοῦσα συναπᾶραι λέγοιτ' ἂν οὐδὲν δια-
φέρειν τῆς ἐν ἄστει.

(14.) Εἰσὶ δέ τινες περὶ τὰς ὁμιλίας ἀψίκοροι, γυναικομανεῖς ἐν 79
ταὐτῷ καὶ μισογύναιοι, συγκλύδων καὶ μιγάδων ἠθῶν ἀνάπλεῳ, οἳ ταῖς

2 εὑρισκομένων F 4 δ' GHP 5 περὶ om. F μέντοι] μὲν A
μὴ] καὶ F 6 ἀναφέρροντι] ἀναφέρειν S καὶ κατὰ SF: καὶ om. ceteri (v)
τὴν om. A 7 βεβιάσθαι mg H, βιάσασθαι in textu H καὶ] ἢ A
ἔξω τῆς πόλεως S: τῆς om. ceteri (v) ἔκθεσμον ὁμιλίαν S: ὁμιλίαν ἔκθεσμον
ceteri (v) 8 ἐκδοῦναι A διότι A 9. 10 ὁ βοηθήσων SF: ὁ βοηθὸς M,
βοηθὸς ceteri (v) 10 ὥστε F: ὥστ' ceteri pr. μήτε F: μηδ' S, μήτ' ceteri
alt. μήτε F: μήτ' ceteri 11 ἐναντιώθη SF ἔνοχος — γένοιτ' ἂν (12) om. F
σοφϊ
12 προστησάμενος (sic) A 13 ὤφελος S[1], corr. S[2] πάντα μὲν SF: πάντ'
(om. μὲν) ceteri (v) θελούσῃ F 14 ἀδυνατούσῃ SFG: ἀδυνατούσης ceteri
δὲ S: δ' ceteri εἵνεκα M 14. 15 μετὰ τῶν ἄλλων SF: μετὰ τῶν κάλων
MAGP, μετὰ ≣ κάλων (ras. 3 litt.) H; μετάγων ⟨ἄποθεν τῶν⟩ ἄλλων conicio
15 καταδήσειεν SF: ἀποδήσειεν ceteri (v) στόμ' AHP 16 ὤφελος S[1], corr. S[2]
17 μὲν] καίπερ M (Mang.) βοηθῶν] βοηθείας S (fort. recte) ἡ δέ SFA:
ὁ δέ ceteri (Turn.) 18 τῷ F: τὸ δ' S, τῷ δ' ceteri (v) συναπᾶραι λέγοιτ']
συμπαραλέγοιτ' SA 18. 19 διαφέρει A 20 tit. περὶ τῶν προφασιζομένων
μετὰ (τὸν add. M) γάμον καὶ λεγόντων μὴ εὑρηκέναι (εὑρίσκεσθαι M) παρθενίαν τῆς γυναικός
add. S mg M ἀψίκοροι MFP γυναιμανεῖς FA 20. 21 ἐν ταὐτῷ SF:
ἐν τῷ αὐτῷ MGHP, ἐπὶ τὸ αὐτὸ A 21 ἠθῶν SF: ἐθῶν ceteri ἀνάπλεῳ A:
ἀνάπλεοι ceteri (v) οἳ om. SF

πρώταις εὐθὺς ὁρμαῖς ἐνδιδόντες, ὁποῖαί περ ἂν οὖσαι τυγχάνωσιν, ἃς
ἡνιοχεῖν δέον ἀχαλινώτους ἐῶσιν, ἀπερισκέπτως καὶ ἀπροοράτως σώμασιν
ὁμοῦ καὶ πράγμασιν ἐπεμπίπτοντες τυφλῶν τρόπον, ἅτε ῥύμῃ καὶ φορᾷ
βιαίῳ συνωθοῦντες καὶ ἀνατρέποντες, οὐκ ἐλάττω ὧν διατιθέασι πάσχουσι.
80 περὶ ὧν τάδε νομοθετεῖται· κόρας οἱ ἀγόμενοι νόμῳ καὶ γάμους θύσαντές
τε καὶ ἑστιαθέντες, μηδὲν οἰκεῖον ἐπὶ ταῖς γαμεταῖς πάθος σῴζοντες,
ἀλλ' ὑβρίσαντες | καὶ ὡς ἑταίραις ταῖς ἀσταῖς προσενεχθέντες. ἐὰν διά- p. 313 M
ζευξιν τεχνάζωσι μηδεμίαν ἀπαλλαγῆς πρόφασιν ἀνευρίσκοντες, εἶτ' ἐπὶ
τὸ συκοφαντεῖν τραπόμενοι σπάνει φανερῶν ἐγκλημάτων πρὸς τὰ ἀφανῆ
τρέπωσι τὰς αἰτίας καὶ παρελθόντες κατηγορῶσιν, ὅτι παρθένοις δόξαντες
συνεληλυθέναι γυναῖκας ἐν ταῖς πρώταις ὁμιλίαις ἐφώρασαν, ἀθροιζέσθω
μὲν ἡ γερουσία πᾶσα πρὸς τὴν κρίσιν, παρίτωσαν δὲ οἱ τῶν κατηγορου-
81 μένων γονεῖς ἀπολογησόμενοι περὶ κοινοῦ κινδύνου. κίνδυνος γὰρ οὐ ταῖς
θυγατράσι μόνον περὶ τῆς τῶν σωμάτων ἁγνείας ἐστίν, ἀλλὰ καὶ τοῖς
ἐπιμεληταῖς, οὐ μόνον ὅτι εἰς τὸν ἀναγκαιότατον τῆς ἀκμῆς καιρὸν οὐ
παρετήρησαν, ἀλλ' ὅτι καὶ ὡς παρθένους τὰς ὑφ' ἑτέρων ἐφθαρμένας
82 ἐνεγύησαν ἀπατῶντες καὶ φενακίζοντες τοὺς λαμβάνοντας. εἶτα ἐὰν
περιγένωνται τοῖς δικαίοις, τιμάτωσαν οἱ δικασταὶ κατὰ τῶν ψευδεῖς
αἰτίας πλαττομένων χρημάτων ζημίας καὶ τὰς διὰ πληγῶν εἰς τὰ σώματα
ὕβρεις καὶ — τὸ πάντων ἐκείνοις ἀηδέστατον — τὴν τῶν γάμων βεβαίωσιν,

1 ὁρμαῖς εὐθὺς S ὁποῖαί ποτ' A ὦσαι (sic) M 2 καὶ ἀπροοράτως σώμασιν om. S 3 ἐμπεπίπτοντες (sic) F, ἐμπίπτοντες A ἅτε] ἅπαντα coni. Mang. ῥύμῃ] τρυφῇ S 4 βιαία A 5 κόρας om. A 6 τε om. MHP (v) σώσαντες coni. Mang. 7 ἀσταῖς S¹FAG: αὐταῖς S²MHP (Turn.) ἐὰν om. F 8 τεχνάζουσι F, τεχνάσωσι SM μηδεμιᾶς S εὑρίσκοντες SM εἶτε F 9 τραπόμενοι] πραττομένοις F τῶν φανερῶν M (Mang.), καθαρῶς (sic) A τὰ ἀφανῆ S: τἀφανῆ ceteri 10 τρέπωσι SM: τρέπουσι ceteri κατηγορῶσιν SM, ῶ ex οῦ corr. H: κατηγοροῦσιν ceteri post ὅτι add. ὡς Mang., om. codd. δόξαντας A 11 γυναῖκες H (Turn.) ἐφωράθησαν HP (Turn.), φωραθείσας εὗρον A 12 παρέστωσαν coni. Mang. δὲ SM: δ' ceteri 15 οὐ μόνον ὅτι om. SF εἰς] εἰ SF 16 παρετήρησαν S: παρεφύλαξαν ceteri (v) καὶ ὡς SMF: τὰς ceteri (v) παρθένος F¹ 17 ἐνεγύησαν scripsi: [illegible]εγγύησαν M, ἐνεγγύησαν ceteri (v), συνέστησαν S εἶτ' MGHP ἐὰν] ἂν F, ἐὰν μὴ S 17. 18 εἴ τι δ' ἂν περιγένηται A 18 τοῖς δικαίοις] τούτοις S κατὰ δὲ τῶν AP², κατ' αὐτῶν G ψευδεῖς SF: τὰς ψευδεῖς ceteri (v) 19 πλαττομένων S: πλασσομένων ceteri (v)

5 sqq. Deut. 22,13—21. cf. *Ioseph. Ant. Iud. IV* § *246—248.*

ἐὰν ὑπομένωσιν αἱ γυναῖκες ἔτι τοῖς τοιούτοις συνοικεῖν· ταῖς μὲν γὰρ ἐφίησιν ὁ νόμος θελούσαις καὶ μένειν καὶ ἀπαλλάττεσθαι, τοὺς δὲ οὐδετέρου κυρίους ἀπέφηνεν, ἀνθ' ὧν ἐσυκοφάντησαν.

Κατὰ ἀνδροφόνων.

(15.) Ὄνομα μὲν ἀνδροφονία κατὰ τοῦ κτείναντος ἄνθρωπον ἐπι- 83
φημίζεται, τὸ δ' ἀληθὲς ἔργον ἐστὶν ἱεροσυλία καὶ ἱεροσυλιῶν ἡ μεγίστη,
διότι τῶν ἐν κόσμῳ κτημάτων καὶ κειμηλίων οὐδὲν οὔτε ἱεροπρεπέστερον
οὔτε θεοειδέστερόν ἐστιν ἀνθρώπου· * * * παγκάλης εἰκόνος πάγκαλον
ἐκμαγεῖον ἀρχετύπου λογικῆς ἰδέας παραδείγματι τυπωθέν. τὸν οὖν 84
ἀνδροφόνον εὐθὺς ἀσεβῆ καὶ ἀνοσιουργὸν ὑποληπτέον, ἀνοσιουργημάτων
καὶ ἀσεβημάτων δρῶντα τὸ μέγιστον, ὃν ἀμείλικτα ἐργασάμενον ἀναιρετέον, ἐπειδὴ μυρίων θανάτων ἐπάξιος ὢν ἕνα ὑπομένει διὰ τὸ τῆς τιμωρίας ἀθάνατον εἰς πλῆθος μὴ πεφυκυίας συναύξεσθαι· χαλεπὸν δὲ οὐδέν,

1 ἔτι τοῖς τοιούτοις F: ἔτι τοῖς αὐτοῖς S, ἔτι αὐτοῖς MAG, αὐτοῖς ἔτι HP (v) 2 καὶ θελούσαις transp. S δὲ SF: δ' ceteri 2. 3 οὐδ' ἑτέρου GH (Turn.) 3 ἀπέφηναν F, ἀπέφαινεν S 4 tit. κατὰ ἀνδροφόνων SF mg M, περὶ ἀνδροφόνων A, τοῦ αὐτοῦ φίλωνος ἰουδαίου περὶ ἀνδροφόνων H², περὶ ἀνδροφονίας mg G mg H¹ mg P 5 κτείνοντος S 7 καὶ] τε καὶ AH² οὐδὲν οὔτε] οὐδενός τε F θεοπρεπέστερον S 8 ⟨ἔστι γὰρ⟩ ante παγκάλης suppleo, ⟨ὅς ἐστι⟩ Mang. 9 ἀρχετύπου Turn. (v): ἀρχέτυπον codd. (καὶ ἀρχέτυπον M) οὐ μόνον ὅτι ante λογικῆς add. S παραδείγματι codd.: παράδειγμα Turn. οὖν] νοῦν S 10 ἀσεβῆ ἀνοσιουργὸν καὶ ἀσεβῆ (sic) AH² 11 τὸ μέγιστον δρῶντα transp. H¹P (v) ἀμείλικτα SF: ἀμείλικτ' ceteri 12 ἐπειδὴ suspectum; καίτοι conicio ἄξιος M Nicet. ὢν] ἦν S ἕνα ὑπομένει] εἰ ὑπέμενεν S 12. 13 διὰ τὸν τῆς τιμωρίας θάνατον S 13 ἀθάνατον corruptum; εὐθάνατον coni. Mang., εἶδος conicio vel διὰ τὸν τῆς τιμωρίας τρόπον δὲ SFA: δ' ceteri

7—174,9 Nicetae Catena in Lucam (Vat. 1611 fol. 245ᵛ): Φίλωνος: οὐδὲν γὰρ οὔτε ἱεροπρεπέστερον οὔτε θεοειδέστερόν ἐστιν ἀνθρώπου, παγκάλης εἰκόνος πάγκαλον ἐκμαγεῖον, ἁγνότερον παντὸς κειμηλίου, ἀπεικόνισμα καὶ μίμημα τῆς ἀϊδίου οὐσίας, τὸν νοῦν λαβών. τὸν οὖν ἀνδροφόνον ἀσεβῆ καὶ ἀνοσιουργὸν ὁ νόμος ὑπολαμβάνων ὡς ἀμείλικτα ἐργασάμενον εὐθὺς ἀναιρεῖ· καὶ μυρίων θανάτων ἄξιος ὢν ἕνα ὑπομένει—λαβόντες τοῦ πάθους οἶκτον. sequuntur verba haec (cf. Wendland vol. II p. XV): πρότερον μὲν ὁ νόμος τὰ ἐν οἷς εὐκολώτερον διολισθαίνομεν διορθωσάμενος, οἷον τὸ μοιχεύειν, ἐπειδὴ τὸ πῦρ φυσικόν ἐστιν καὶ ἔνδοθεν, καὶ τὸ φονεύειν, ἐπειδὴ μέγα θηρίον ὁ θυμός, δεύτερα τὰ σπανίως συμβάντα τίθησι, λέγων μὴ κλέψαι (sic), μὴ ψευδομαρτυρήσῃς. 10 Exod. 21,12. Lev. 24, 17. 21. Num. 35,16. 31.

85 εἰ ταὐτὸν οἷς διέθηκέ τις πείσεται. καίτοι πῶς ἐστι ταὐτόν, εἰ καὶ χρό-
νοις καὶ πράξεσι καὶ βουλήμασι καὶ προσώποις διαλλάττει; ἢ οὐχὶ τὸ
μὲν χειρῶν ἄρχειν ἀδίκων ἐστὶ πρότερον, τὸ δ' ἀμύνεσθαι ὕστερον; καὶ
ἀνδροφονία μὲν παρανομώτατον, ἡ δὲ κατὰ ἀνδροφόνων κόλασις νομι-
μώτατον; καὶ ὁ μὲν κτείνας ἐκπεπλήρωκε τὴν ἐπιθυμίαν ὃν προῄρητο
ἀνελών, ὁ δὲ πεπονθὼς ἅτε γεγονὼς ἐκποδὼν οὔτ' ἀντιδιαθεῖναι οὔτ'
ἀντεφησθῆναι δυνατός ἐστι; καὶ ὁ μὲν ἐπιβουλεύειν αὐτοχειρίᾳ | πέφυκε p. 314 M.
δι' ἑαυτοῦ, τῷ δ' ἀτελὴς ἡ ἐπέξοδος, εἰ μὴ συγγενεῖς ἢ φίλοι προαγωνί-
σαιντο λαβόντες τοῦ πάθους οἶκτον;

86 Ἐάν τις ἐπανατείνηται ξίφος, ὥστε ἀποκτεῖναι, κἂν μὴ ἀνέλῃ,
ἔνοχος ἔστω προαιρέσει γεγονὼς ἀνδροφόνος, εἰ καὶ μὴ τὸ τέλος τῇ
γνώμῃ συνέδραμε. τὰ δ' αὐτὰ πασχέτω, κἂν σὺν τέχνῃ τις ἐξ ἐνέδρας,
οὐ θαρρῶν ἄντικρυς ἐπιχειρεῖν, βουλεύῃ καὶ μηχανᾶται δολερῶς τὸν
φόνον· ἐναγὴς γὰρ καὶ οὗτος εἰ καὶ μήπω ταῖς χερσὶν ἀλλά τοι τῇ
87 ψυχῇ καθέστηκεν. ὥσπερ γάρ, οἶμαι, πολεμίους οὐ μόνον τοὺς ἤδη
ναυμαχοῦντας ἢ πεζομαχοῦντας ἀλλὰ καὶ τοὺς εἰς ἑκάτερον παρεσκευασ-
μένους καὶ τὰς ἑλεπόλεις ἐφιστάντας τοῖς λιμέσι καὶ τείχεσι, κἂν μήπω

1 ταυτὸν S: τὰ αὐτὰ ceteri (v), ταὐτὰ Nicet. διέθηκέ τις F, ἔθηκέ τις Nicet.: τις om. ceteri (v), διέθηκεν ≣ H[1]P ὃ πείσεται M πῶς ἐστι] οὐδὲ Nicet. εἰ S: ὃ AH[2], εἰ ὃ ceteri, ἀλλὰ Nicet. 2 πράξεσι S: πράξει ceteri (v) βουλήματι F, βουλεύμασι AH[2] (Mang.) διαλλάττει· ἢ S: διαλλάττον εἴη ceteri (v), διαλλάσσον ἐστὶν Nicet. οὐχὶ om. Nicet. 2. 3 τὸ μὲν F Nicet.: μὲν om. ceteri (v) 3 ἀμύνεσθαι SF Nicet.: ἀμύνασθαι ceteri (v) 4 κατὰ S: κατ' ceteri 5 ὃν προῄρητο F Nicet.: ἣν προῃρεῖτο S, ὃν τρόπον ᾑρεῖτ' ceteri (Turn.) 6 ὁ δὲ] ὅ τε M ἐκποδὼν] ἐκ παθῶν AH[2] οὔτ'] οὐδ' SH[1]P (v) ἀντιδιατιθέναι S οὔτ] οὐδ' S 7 ἀντεφησθῆναι] ἀνταφαιρεθῆναι S, ἀντι-στῆναι Nicet. ἐστιν S αὐτοχειρία ἐπιβουλεύειν transp. S 8 ἑαυτοῦ S: αὐτοῦ ceteri δ' SF Nicet.: δὲ ceteri ἡ ἐπέξοδος codd. et Nicet.: ἡ om. v ἢ φίλοι] καὶ φίλοι H[1]P (v) 10 tit. περὶ ἐπιτιθεμένων add. SF mg M mg H[1] mg P ὥστε SF: ὥστ' ceteri 11 ἔστω] ἔσται H (Turn.) 12 γνώμῃ] τέχνῃ AH[2] κἂν] καὶ S σὺν τέχνῃ τις] συντεχνήτης S[1], συντεχνίτης S[2], συνέλῃ τις AH[2] post τις repet. συνέδραμεν H[1]P 13 οὐ] οὐ γὰρ AH[2] καὶ ἐπιχειρεῖν GH[1]P (Turn.) βουλεύῃ F: βουλεύει S, βουλεύηται MGH[1]P (v), δόλῳ βουλεύεται AH[2] 14 ἐναγὴς] ἐναργὴς SF καὶ ante οὗτος om. FH[1]P τοι om. AH[2] 15 ἤδη om. S 16 ἢ πεζομαχοῦντας om. S post πεζομαχοῦντας (ναυμαχοῦντας) addunt codd. praeter F νομιστέον, omisi cum F εἰς om. G 16. 17 ἐσκευασ-μένους G 17 ἐπιστάντας MGP λιμέσιν καὶ τείχεσιν S μήπω S: μὴ ceteri (v)

10 Num. 35.16. 12 Exod. 21.14. Num. 35,20.

συμπλέκωνται, κρίνομεν, οὕτως καὶ ἀνδροφόνους χρὴ νομίζειν οὐ τοὺς
κτείναντας αὐτὸ μόνον ἀλλὰ καὶ τοὺς πάντα δρῶντας εἰς τὸ ἀνελεῖν ἢ
φανερῶς ἢ λάθρα, κἂν μὴ τὸ ἀδίκημα ὦσιν εἰργασμένοι. ἐὰν δὲ καὶ 88
ὑπὸ δειλίας ἢ θράσους, μαχομένων καὶ ἐπιλήπτων παθῶν, καταφυγεῖν
τολμῶσιν εἰς τὸ ἱερὸν ὡς ἀσυλίαν εὑρησόμενοι, κωλυτέον· κἂν ὀφθῶσι
παρεισδύντες, ἐκδοτέον ἐπ᾽ ἀναιρέσει τοιαῦτα ἐπιλέγοντας, ἀσυλίαν ἀνιέροις
τὸ ἱερὸν μὴ παρέχεσθαι. πᾶς γὰρ ὁ ἀνίατα δρῶν ἐχθρὸς θεῷ· ἀνδρο-
φόνοι δὲ ἀνίατα δρῶσιν, ἐπεὶ καὶ οἱ ἀνδροφονηθέντες ἀνίατα πεπόν-
θασιν. ἢ τοῖς μὲν μηδὲν ἡμαρτηκόσιν, ἕως ἂν ἀπολούσωνται καὶ περιρρα- 89
νάμενοι καθαρθῶσι τοῖς εἰωθόσι καθαρσίοις, ἄβατος ὁ νεώς ἐστι, τοὺς
δὲ ἐνόχους ἀνεκπλύτοις ἄγεσιν, ὧν τὰ μιάσματα οὐδεὶς ἀπονίψει χρόνος,
ἄξιον ἐπιφοιτᾶν καὶ ἐνδιατρίβειν τοῖς ἕδεσιν, οὓς οὐδ᾽ ἂν οἰκία δέξαιτο
κοσμίων ἀνδρῶν οἷς μέλει τῶν ὁσίων; (16.) προστιθέντας οὖν ἀδική- 90
ματα ἀδικήμασιν, ἀνδροφονίᾳ παρανομίαν καὶ ἀσέβειαν, ἀναγκαῖον ἀπάγειν
δώσοντας δίκην, τοὺς ὡς ἔφην ἄξια μυρίων θανάτων, οὐχ ἑνός, εἰργασ-
μένους. ἄλλως τε τοῖς συγγενέσι καὶ φίλοις τοῦ δολοφονηθέντος ἀπο-
κεκλείσεται τὸ ἱερόν, εἰ ὁ ἀνδροφόνος ἐνδιατρίβοι, μὴ ἂν ὑπομείνασιν εἰς
ταὐτόν ποτε ἐλθεῖν· ἄτοπον δὲ ἑνὸς ἕνεκα πολλοὺς καὶ τοῦ παρανομω-
τάτου τοὺς παρανομηθέντας ἐξελαύνεσθαι, οἳ πρὸς τῷ μηδὲν ἁμαρτεῖν

1 οὕτως SFP: οὕτω ceteri   οὐ] οὐ μόνον S   2 κτείναντας FG: κτείνοντας ceteri (v)   πάντας M   εἰς τἀνελεῖν MH¹P   3 μὴ τὸ om. F   τἀδίκημα MAH²P   ἐργασάμενοι S   tit. περὶ τοῦ δεῖν ἐκδιδόναι εἰς τὸ ἱερὸν καταφυγόντα θανάτου ἄξια δρᾶντα (sic) add. S mg M   4 μαχομένων] μισουμένων M   καὶ] ἢ SAH²   καταφυγεῖν SFN: καταφεύγειν ceteri (v)   5 ὀφθῶσι FN(S¹?): ▒ ὦσιν (ras. 2 vel 3 litt.) S, φθάνωσι ceteri (v)   6 παρεισδύναντες S   προδοτέον S   τοιαῦτα SFN: ταῦτ᾽ ceteri (v)   ἐπιλέγοντες SG   7 παρεχέτω SFN   εἰ πᾶς S   post δρῶν add. ἀδίκως ἀδικῶν S   8 δὲ FN: δ᾽ ceteri   δρῶσιν] ἀδικοῦσιν FN   9 ἢ SFAH²: ἡ ceteri (v)   μὲν om. N   9. 10 περιρρανώμενοι H¹P; περιρρανόμενοι v   10 καθαρθῶσι post καθαρσίοις transp. AH²   11 δὲ FNAH²: δ᾽ ceteri   ὧν τὰ μιάσματα] τὰ μιάσματα οὓς S   ἀπονίψει] ἀπαλείψει FN   12 φοιτᾶν S   ἕδεσιν S¹AH² (εὐαγέσιν S²): ἔδεσιν ceteri   13 καὶ κοσμίων S   οἷς μέλει τῆς ὁσίας τῶν ὁσίων FN   προστιθέντες N   οὖν add. mg H¹P, om. in textu H¹P   13. 14 ἀδικήματα SF: ἀδικήματ᾽ ceteri   14 καὶ om. G   ἀναγκαῖον — εἰργασμένους (15) om. AH²   ἀπάγειν] ἐπάγειν S, ἄγειν FN   15 τοὺς οὖν G   16 συγγενέσι καὶ S: συγγενέσιν ἢ ceteri (v)   16. 17 ἀποκλείσεται SAH²   17 ἐνδιατρίβει F   ὑπομείνωσιν H¹P   18 ταυτόν S: ταὐτό ceteri   ποτε SF: ποτ᾽ ceteri   δὲ SFA: δ᾽ ceteri   ἕνεκεν S   πολλοὺς SF: τοὺς πολλοὺς ceteri (v)   19 μηθὲν MGH¹

3—18 N fol. 158ᵛ: ἐὰν δὲ καὶ — εἰς ταὐτό ποτε ἐλθεῖν.   4 Exod. 21,14.

91 ἔτι καὶ πένθος πρόωρον ἀνεδέξαντο. τάχα μέντοι καὶ τὰ μακρὰν
ὀξυωπίᾳ λογισμοῦ πεφυκὼς ἐμβλέπειν | προυνόησε μὴ φόνον ἐν τῷ ἱερῷ p. 31
γενέσθαι κατὰ τὰς ἐπιφοιτήσεις τῶν τοῦ σφαγέντος ἐπιτηδείων, οὓς
στοργή, πάθος ἀδούλωτον, ὥσπερ τοὺς ἐνθουσιῶντας καὶ κατεχομένους
προκαλέσεται μόνον οὐκ αὐτοχειρίᾳ κτεῖναι τὸν ἀνδροφόνον· οὗ γενομένου
συμβήσεταί τι τῶν ἀνοσιωτάτων, αἵματι γὰρ ἀνδροφόνων αἷμα θυσιῶν
ἀνακραθήσεται, τὸ τῶν καθωσιωμένων τῷ μὴ καθαρῷ. διὰ μὲν δὴ
ταῦτα κελεύει καὶ ἀπ' αὐτῶν τῶν βωμῶν ἐκδοῦναι τὸν ἀνδροφόνον.
92 (17.) Ἀλλ' οἱ μὲν ξίφεσιν ἢ δορατίοις ἢ βέλεσιν ἢ ξύλοις ἢ λίθοις
ἤ τισιν ὁμοιοτρόποις ἀναιροῦντες δύνανται μὴ προβεβουλευμένοι μηδ' ἐκ
πολλοῦ παρ' αὑτοῖς λελογισμένοι τὸ ἄγος, ἐκ ταὐτομάτου διακινηθέντες
καὶ θυμῷ δυνατωτέρῳ χρησάμενοι λογισμοῦ, δρᾶσαι τὸν φόνον, ὡς
ἡμίεργον τὴν πρᾶξιν εἶναι, τῆς διανοίας μὴ προκατεσχημένης ἐκ μακροῦ
93 τοῖς μιάσμασιν. εἰσὶ δὲ ἕτεροι πονηρότατοι, χερσὶ καὶ γνώμαις ἐναγεῖς,
οἱ μάγοι καὶ φαρμακευταί, σχολὴν καὶ ἀναχώρησιν ἐνδιδόντες αὑτοῖς
πρὸς καιρίους ἐπιθέσεις καὶ τέχνας καὶ μηχανὰς πολυτρόπους ἀνευρί-
94 σκοντες ἐπὶ ταῖς τῶν πλησίον συμφοραῖς. ὅθεν κελεύει φαρμακευτὰς
καὶ φαρμακίδας μηδεμίαν ἡμέραν ἀλλὰ μηδ' ὥραν ἐπιβιοῦν, ἀλλ' ἅμα
τῷ ἁλῶναι τεθνάναι, μηδεμιᾶς ἐγγινομένης προφάσεως εἰς ἀναβολὴν καὶ
ὑπέρθεσιν τῆς τιμωρίας· τοὺς μὲν γὰρ ἄντικρυς ἐπιβουλεύοντας δύναιτ'

1 ἔτι] ὅτι F, om. H^1P^1 πρόωρον] ἄωρον MAH^2 ἐδέξαντο AH^2
2 ὀξυωπίᾳ SF: ὀξύτητι ceteri (v) ἐμβλέπειν SF: ἐπιβλέπειν ceteri (v) προενόησε AH^2 3 κατὰ] διὰ M 3. 4 οὓ στοργὴ (sic) S 4 οὕσπερ S
5 προσκαλέσεται AH^2 μονονοὺ καὐτοχειρίᾳ FH^1P, μονονοὺ εἰς αὐτοχειρίαν M
6 ἀνοσιωτάτων mg H^1, ἀτοπωτάτων in textu H^1 ἀνδροφόνων] ἀνθρώπων S θυσιῶν] ὁσίων F 7 τῶν καθοσιωμένων S (τὸ τῶν καθωσιωμένων scripsi): τὸ καθοσιούμενον F, τὸ καθοσιωμένον H^1P, τὸ καθωσιωμένον ceteri (v) 8 τῶν βωμῶν S: τῶν om. ceteri (Turn.) ἐκδοῦναι S: ἐκδιδόναι ceteri (v) τὸν om. S
10 προβεβουλευμένοι F: προβουλευόμενοι ceteri (v) 11 αὑτοῖς codd. κινηθέντες F 12 καὶ om. S διαδρᾶσαι G 13 τῆς] τοῖς P
14 tit. κατὰ φαρμακῶν add. S mg M δὲ S: δ' ceteri πονηρότεροι AH^2 ἐναγέσιν AH^2 15 σχολῆς F καὶ] κατ' S αὑτοῖς SGH^1: αὐτοῖς ceteri 17 πλησίον SM: πλησίων ceteri (Turn.) 18 φαρμακίδας] φαρμακείας S ἀλλὰ μηδ' ὥραν om. H^1P (Turn.) ἐπιβιοῦν SF: βιοῦν ceteri (Turn.)
20 ἄντικρυς S: φανερῶς ἄντικρυς FH^1P, φανερῶς κἄντικρυς H^1 (v), ἄντικρυς φανερῶς MAH^2, ἄντικρυς καὶ φανερῶς G

9 Num. 35,22. 23. 17 Exod. 22,18. Deut. 18,10. cf. *Ioseph. Ant. Iud. IV* § 279 φάρμακον μήτε θανάσιμον μήτε τῶν εἰς ἄλλας βλάβας πεποιημένων Ἰσραηλιτῶν ἐχέτω μηδὲ εἷς· ἐὰν δὲ κεκτημένος φωραθῇ, τεθνάτω, τοῦτο πάσχων ὃ διέθηκεν ἂν ἐκείνους καθ' ὧν τὸ φάρμακον ἦν παρεσκευασμένον.

ἄν τις φυλάξασθαι, τῶν δὲ κρύφα συντιθέντων καὶ σκευωρούντων τὰς
ἐπιθέσεις φαρμακείαις οὐ ῥᾴδιον τὰς τέχνας συνιδεῖν. ἀναγκαῖον οὖν, ἃ 95
μελλήσουσι δι᾽ αὐτοὺς ἕτεροι παθεῖν, τοὺς δρῶντας προδιαθεῖναι. καὶ
γὰρ ἄλλως ὁ μὲν ἐμφανῶς ξίφει κτείνων ἤ τινι ὅπλῳ τῶν ὁμοιοτρόπων
καθ᾽ ἕνα καιρὸν ὀλίγους ἀνελεῖ, φαρμάκοις δὲ θανασίμοις μυρίους ὅσους
τὴν ἐπιβουλὴν οὐ προαισθανομένους ἐδωδίμοις τισὶν ἀναμίξας καὶ συνανα-
κερασάμενος. ἤδη γοῦν πολυάνθρωπα συσσίτια καθ᾽ ἑταιρείαν συνελη- 96
λυθότων ἐπὶ τοὺς αὐτοὺς ἅλας καὶ τὴν αὐτὴν τράπεζαν ἐν σπονδαῖς
ἄσπονδα ἔπαθεν ἐξαίφνης διαφθαρέντα καὶ θάνατον ἀντ᾽ εὐωχίας ἀντηλ-
λάξατο. διὸ προσήκει κατὰ τῶν τοιούτων καὶ τοὺς ἐπιεικεστάτους καὶ
τοὺς μετριοπαθεστάτους φονᾶν, μόνον οὐκ αὐτόχειρας γινομένους καὶ
νομίζοντας εὐαγὲς εἶναι τὸ μὴ ἑτέροις τὴν τιμωρίαν ἐπιτρέπειν ἀλλ᾽
ἑαυτοῖς. πῶς γὰρ οὐκ ἔστι πάνδεινον, διὰ τροφῆς ἣ τοῦ ζῆν αἰτία 97
καθέστηκε θάνατον τεχνάζειν καὶ τοῖς φύσει τροφίμοις φθοροποιὸν ἐν-
εργάζεσθαι μεταβολήν, ἵνα τινὲς διὰ φυσικὴν ἀνάγκην ἐπ᾽ ἐδωδὴν καὶ
πόσιν ἰόντες, οὐ προϊδόντες τὴν ἐνέδραν, ὡς σωτήρια προσῶνται τὰ
πανωλεθρίας αἴτια; τὴν δ᾽ αὐτὴν ὑπομενέτωσαν τιμωρίαν, κἂν [εἴ] τινες 98
316 M. θανάσιμα μὴ συντιθέντες τὰ δι᾽ ὧν μακραὶ κατασκευάζονται | νόσοι προσ-
φέρωσι· θάνατοι γὰρ πολλάκις αἱρετώτεροι νόσων εἰσὶ καὶ μάλιστα τῶν
τοιούτων, αἳ μήκεσι χρόνων ἀποτείνονται καὶ τέλος ἔχουσιν οὐκ αἴσιον·
δυσίατα γὰρ ἤδη καὶ παντελῶς ἀθεράπευτα τὰ ἐκ φαρμακειῶν ἀρρω-
στήματα. χαλεπώτερα μέντοι συμβαίνειν φιλεῖ τῶν ἐν τοῖς σώμασι καὶ 99

1 συντεθέντων F σκευωρούντων S: συσκαιωρούντων FH¹P (Turn.), συσκευω-
ρούντων ceteri (Mang.) 2 οὖν om. F 3 μελλήσουσιν S, μελήσουσιν F
δι᾽ αὐτοὺς MGPH², δι᾽ αὑτοὺς A: δι᾽ αὐτῶν H¹ (v), αὐτοῖς F, αὐτοὶ καὶ S δρῶντας]
ζῶντας S; δράσοντας coni. Mang. 4 μὲν] μὴ AH² ξίφει om. S
5 ὀλίγους om. M ἀνελεῖ] ἂν ἀνέλοι S², ἀναιρεῖ MAH² ὅσους om. P
6 οὐ] μὴ AH² προαισθομένους S 6. 7 ἀνακερασάμενος S 7 ἑταιρίαν MAH²
7. 8 συνεληλυθότα FAH² 9 ἄσπονδα SF: ἄσπονδ᾽ ceteri ἀντ᾽ om. F
9. 10 ἀντηλλάξατο F: ἀντηλλάξαντο S, ὑπηλλάξαντο ceteri (v) 11 τοὺς om. AH²
μόνον οὐκ αὐτόχειρας γινομένους S: μονονοὺ γινομένους (γεν. M) αὐτόχειρας ceteri (v)
12 ἐναγὲς AH² 13 διὰ τροφῆς ἣ codd.: δι᾽ ἃ τροφῆς ἢ Turn. (Richt.), διὰ τροφῆς
ἣ Mang. 14 τεχνάζειν F: τεχνάζεσθαι ceteri (v) τοῖς] ταῖς M
14. 15 ἐνεργάζεσθαι F: ἐργάζεσθαι ceteri (v) 15 ἐπὶ A 16 προϊδόντες S:
προειδόμενοι ceteri (v) σωτηρίαν SF προῶνται S, πρόσονται A
17 πανωλεθρίας SF: παντολέθρια MAH²G, παντώλεθρα H¹P; πανώλεθρα v αἴτια SF:
σιτία ceteri (v) κἂν] καὶ F εἰ seclusi (quod si tenetur, l. 18. 19 προσ-
φέρουσι scribendum) 18 τὰ] τὰ δὲ G 20 μήκει M ἐκτείνονται M
τέλος αἴσιον οὐκ ἔχουσι F 21 δυσίατα] δύο ταῦτα F ἐκ τῶν φαρμακειῶν AH²

⟨τὰ⟩ περὶ τὰς ψυχὰς πάθη τῶν ἐπιβουλευομένων· ἐκστάσεις γὰρ καὶ παραφροσύναι καὶ ἀφόρητοι μανίαι κατασκήπτουσι, δι᾽ ὧν ὁ νοῦς, ἣν μεγίστην ἀπένειμεν ἀνθρώπων γένει δωρεὰν ὁ θεός, κακούμενος πάσας κακώσεις, ὅταν ἀπογνῷ τὰ σωτήρια, μετανίσταται καὶ μετοικίζεται τὸ τῆς ψυχῆς φαυλότερον εἶδος ὑπολειπόμενος ἐν τῷ σώματι, τὸ ἄλογον, οὗ καὶ τὰ θηρία μετέσχηκεν, ἐπειδὴ πᾶς ὁ ἐρημωθεὶς λογισμοῦ τοῦ κρείττονος μέρους ψυχῆς μεταβέβληκεν εἰς θήρειον φύσιν, κἂν ἔτι
100 μένωσιν οἱ τοῦ σώματος χαρακτῆρες ἀνθρωπόμορφοι. (18.) τὴν μὲν οὖν ἀληθῆ μαγικήν, ὀπτικὴν ἐπιστήμην οὖσαν, ᾗ τὰ τῆς φύσεως ἔργα τρανοτέραις φαντασίαις αὐγάζεται, σεμνὴν καὶ περιμάχητον δοκοῦσαν εἶναι, οὐκ ἰδιῶται μόνον ἀλλὰ καὶ βασιλεῖς καὶ βασιλέων οἱ μέγιστοι καὶ μάλιστα οἱ Περσῶν διαπονοῦσιν οὕτως, ὥστ᾽ οὐδένα φασὶν ἐπὶ βασιλείαν δύνασθαι παραπεμφθῆναι παρ᾽ αὐτοῖς, εἰ μὴ πρότερον τοῦ μάγων γένους
101 κεκοινωνηκὼς τυγχάνοι. ἔστι δέ τι παράκομμα ταύτης, κυριώτατα φάναι κακοτεχνία, ἣν μηναγύρται καὶ βωμολόχοι μετίασι καὶ γυναίων καὶ ἀνδραπόδων τὰ φαυλότατα, περιμάττειν καὶ καθαίρειν κατεπαγγελλόμενα καὶ στέργοντας μὲν εἰς ἀνήκεστον ἔχθραν μισοῦντας δὲ εἰς ὑπερβάλλουσαν εὔνοιαν ἄξειν ὑπισχνούμενα φίλτροις καὶ ἐπῳδαῖς τισιν, εἶτα τοὺς ἀπλάστοις καὶ ἀκακωτάτοις ἤθεσι κεχρημένους ἀπατᾷ τε καὶ ἀγκιστρεύεται,

1 τὰ add. Mang. 3 ἀνθρώπων γένει] τῶ τῶν ἀνθρώπων γένει M, ἀνθρώπω H^1 (v) 5 τῆς om. S εἶδος] μέρος coni. Mang. ὑπολιπόμενος H^1 7 μέρος F^1 μεταβέβληκεν F: μεταβέβηκεν ceteri (v) μεταβέβηκεν — φύσιν post ἀνθρωπόμορφοι (8) transp. M θήρειον] θηρίων SF 7. 8 ἔτι μένωσιν] ἐπιμένωσιν S 8 σώματος] σύμπαντος F 9 ἀληθῆ] ἀλήθειαν G ὀπτικὴν om. GH^2 ᾗ scripsi: ἣ codd. (v) τῆς F: om. ceteri (v) 10 τρανωτέραις S (sic v) αὐγάζεται FL^2: ἐργάζεται ceteri 11 alt. καὶ om. A 12 μάλιστα S: μάλα F, μάλιστ᾽ P, μάλισθ᾽ ceteri διακονοῦσιν S βασιλείας F, βασίλειον AH^2 13 δύνασθαι παραπεμφθῆναι S: παραπεμφθῆναι δύνασθαι MG, παραπεμφθῆναι δύναμιν AH^2H^1P, παροφθῆναι δύναμιν F; παραληφθῆναι δύναμιν Turn., παραληφθῆναι δύνασθαι Mang. 14 post κεκοινωνηκὼς add. πως M (Mang.) τυγχάνει AH^2 τι S (coni. Mang.): τι ὃ AH^2, τις ὃ MGH^1P, τις ἣ FL^2 (τις ἡ v) ὃ ante κυριώτατα add. S κυριότατα F, κυριώτατον AH^2 15 μηναγύρται] ἀγύρται S γυναίων SF: γυναικῶν ceteri (v) 16 καθαιρεῖν AH^2P 17 ἀνήκεστον FAH^2: ἀνήκεστον τὴν H^1P (Turn.), ἀνηκεστάτην SMG; ἀνηκεστοτάτην Mang. ἔχθραν] ὕβριν καὶ ἔχθραν S μισοῦντες F δὲ SM: δ᾽ ceteri 18 ἄξειν] αὔξειν A 19 κεχρημένους] χρωμένους H^1P (v) ἀπατᾶται S (ἀπατᾷ τε scripsi): ἀπατῶσι AH^2 (Mang.), ἀπατᾶ ceteri (Turn.) ἀγκιστρεύεται] ἀγκιστρεύουσι AH^2; ἀγκιστρεύονται Mang.

12 cf. *Cic. de divin. 190* . . . et in Persis augurantur et divinant magi . . . nec quisquam rex Persarum potest esse, qui non ante magorum disciplinam scientiamque perceperit.

μέχρις ἂν τὰς μεγίστας προσλάβωσι συμφοράς, δι' ἃς οἰκείων καὶ συγγε-
νῶν ὅμιλοι μεγάλοι καὶ πολυάνθρωποι κατὰ μικρὸν ὑπορρέοντες ἀφοφητὶ
ταχέως ἐξεφθάρησαν. εἰς ἅπερ, οἶμαι, πάντα ἀπιδὼν ὁ ἡμέτερος νομο- 102
θέτης οὐκ ἐᾷ τὰς κατὰ φαρμακευτῶν εἰς ὕστερον ἀναβάλλεσθαι δίκας,
παραχρῆμα τὰς τιμωρίας ἀναπράττειν κελεύσας· αἱ γὰρ ὑπερθέσεις τοὺς
μὲν ὑπαιτίους ἐνευκαιρεῖν τοῖς αὐτοῖς ἀδικήμασι παρορμῶσιν ἅτε θανα-
τῶντας, τοὺς δὲ εἰς τὸ παθεῖν ὑπόπτους φοβερωτέρου δέους ἀναπιμ-
πλᾶσι, τὴν ἐκείνων ζωὴν θάνατον αὐτῶν εἶναι νομίζοντας. καθάπερ 103
p. 317 M. οὖν ἔχεις καὶ σκορπίους | καὶ ὅσα ἰοβόλα, πρὶν δακεῖν ἢ τρῶσαι ἢ συνόλως
ἐφορμῆσαι, θεασάμενοι μόνον χωρὶς ὑπερθέσεως κτείνομεν, προφυλαττό-
μενοι διὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς κακίαν τὸ μηδὲν παθεῖν, τὸν αὐτὸν
τρόπον καὶ ἀνθρώπους ἄξιον τιμωρεῖσθαι, οἳ φύσεως ἐπιλαχόντες ἡμέρου
διὰ τὴν κοινωνίας αἰτίαν, λογικὴν ψυχήν, ἐπιτηδεύσει πρὸς θηρίων ἀτι-
θάσων ἀγριότητας μετέβαλον ἐν ἡδονῇ καὶ ὠφελείᾳ τῇ πάσῃ τιθέμενοι
τὸ κακῶς ποιεῖν ὅσους ἂν δύνωνται.

(19.) Τοσαῦτ' ἐν τῷ παρόντι περὶ φαρμακευτῶν ἀποχρώντως 104
λελέχθω. προσήκει μέντοι μηδὲ τοῦτ' ἀγνοεῖν, ὅτι καιροὶ συμπίπτουσιν
ἀβούλητοι πολλάκις, ἐν οἷς ἀνδροφονεῖ τις οὐκ ἐπὶ τοῦτ' ἐλθὼν ἢ παρε-
σκευασμένος, ἀλλ' ἐξαπιναίως ἁρπασθεὶς ὑπ' ὀργῆς, ἀνηκέστου καὶ ἐπι-
βούλου πάθους, ὃ καὶ τὸν ἔχοντα καὶ ⟨τὸν⟩ καθ' οὗ γίνεται τὰ μέγιστα
βλάπτει. προελθὼν γὰρ ἔστιν ὅτε εἰς ἀγορὰν ἕνεκα πραγματείας ἐπειγούσης, 105

1 προσλάβωσι AH²: προσλάβῃ FG, προσλάβοι SMH¹P (Turn.) οἰκείων] οἰκιῶν GH¹P¹ (Turn.) 1. 2 συγγενῶν SMG: συγγενειῶν ceteri (Turn.) 3 πάντα SFAH²: πάντ' ceteri 4 κατὰ SF (coni. Mang.): om. ceteri (v) ἐσύστερον M
δική
5 αἱ] ὡς L² (Turn.) 6 ὑπαιτίους om. S (fort. recte) ἀτοπήμασι A
6. 7 ἅτε θανατῶντας spuria videntur (an θανατοῦντας scribendum?) 7 δὲ F: δ' ceteri 8 αὐτὸν F¹P, αὐτῶν ceteri νομίζοντας] νομίσαντες S
9 pr. καὶ om. F ὅσα SFP: ὅσ' ceteri ἢ συνόλως] καὶ συνόλως L (Turn.)
10 ἐφορμῆσαι] ὁρμῆσαι L (Turn.) 11 αὐτοῖς SFMG: ἐν αὐτοῖς ceteri (v)
12 ἀνθρώπους] αὐτοὺς A 13 ψυχήν Mang.: πηγήν codd. 13. 14 ἀτιθάσων SH¹: ἀτιθάσσων ceteri (v) 14 μετέβαλον SAH²H¹P, μετέβαλλον MG: μεταβαλόντες F, μεταβάλλοντες L²; μεταβάλλουσιν v τῇ πάσῃ SF: om. ceteri (v)
15 ἂν v: ἐὰν codd. 16 τοσαῦτα AH² 17 tit. περὶ ἀκουσίου φόνου ἤτοι καιρίας πληγῆς add. S mg M τοῦτο S 18 ἀνδροφονεῖ S: ἠνδροφόνησε ceteri (v) ἐπὶ τοῦτ' ἐλθὼν ἢ] ἐπὶ τοῦ καθ' ἑαυτὸν M; ἐπὶ τοῦθ' ἑαυτὸν Mang.
18. 19 παρεσκευασμένος F: παρασκευασάμενος ceteri (v) 19 ἐξαπινέως S ἁρπαγεὶς F 19. 20 ἐπιβούλου codd.: ἐπηβόλου Turn. 20 τὸν ante καθ' οὗ addidi τὰ om. GH¹P; μάλιστα (pro τὰ μέγιστα) Turn. 20. 21 βλάπτει τὰ μέγιστα transp. S
21 προσελθὼν F προελθὼν γὰρ ἔστιν om. in textu H¹, add. mg H¹ ὅτε SFM: ὅτ' ceteri πραγματείας ἐπειγούσης] τοῦ πραγματεύσασθαι M

ἐντυχὼν τινι προπετεστέρῳ κακηγορεῖν ἢ τύπτειν ἐπιχειροῦντι ἢ καὶ
αὐτὸς ἄρξας τῆς πρὸς ἐκεῖνον διαφορᾶς, συμπλοκῆς γενομένης, ὑπὲρ
τοῦ διαζευχθῆναι καὶ θᾶττον ἐκφυγεῖν ἢ πὺξ ἔπαισε τῇ χειρὶ ἢ
106 λίθον ἀράμενος ἔρριψε· καιρίως δὲ τῆς πληγῆς ἐνεχθείσης, εἰ μὲν εὐθὺς
θνήσκοι, καὶ ὁ παίσας θνησκέτω τὰ ἴσα οἷς διέθηκε παθών· ἐὰν δὲ
παραχρῆμα μὲν ἐκ τῆς πληγῆς μὴ τελευτήσῃ, νόσῳ δὲ χρήσηται καὶ
κλινήρης γενόμενος ἐπιμελείας τυχὼν τῆς προσηκούσης αὖθις ἐξαναστῇ
καὶ προέλθῃ, κἂν μὴ ποσὶν ἀρτίοις πως δύνηται βαδίζειν ἀλλ' ὑπερει-
δόντων τινῶν ἢ καὶ βακτηρίᾳ σκηριπτόμενος, διττὰς ὁ παίσας ἐκτινέτω
ζημίας, τὴν μὲν εἰς ἀργίας ἐπανόρθωσιν, τὴν δ' ἀντὶ τῶν ἰατρείων.
107 καταθεὶς δ' ἀπηλλάχθω τῆς ἐπὶ τῷ θανάτῳ τιμωρίας, κἂν ὕστερον ὁ
τὴν πληγὴν λαβὼν τελευτήσῃ· τάχα γὰρ οὐκ ἀπὸ τῆς πληγῆς, ἐπειδὴ
ῥάων γενόμενος εἰς περίπατον προῆλθεν, ἀλλὰ καθ' ἑτέρας αἰτίας, αἳ
καὶ τοὺς ὑγιεινοτάτους τὰ σώματα πολλάκις ἐξαίφνης ἐπιθέμεναι διέ-
108 φθειραν. ἐὰν δὲ συμπλακείς γυναικί τις ἐγκύῳ πληγὴν ἐμφορήσῃ κατὰ
τὴν γαστέρα, ἡ δὲ ἀμβλώσῃ, ἐὰν μὲν ἄπλαστον καὶ ἀδιατύπωτον τὸ
ἀμβλωθὲν τύχῃ, ζημιούσθω, καὶ διὰ τὴν ὕβριν καὶ ὅτι ἐμποδὼν ἐγένετο
τῇ φύσει ζῳογονῆσαι τὸ κάλλιστον τεχνιτευούσῃ καὶ δημιουργούσῃ
ζῷον, ἄνθρωπον· εἰ δὲ ἤδη μεμορφωμένον, ἁπάντων μελῶν τὰς οἰκείους

1 προπετεστέρῳ] προγενεστέρω F   κακηγορεῖν (τ suprascr.) M, κατηγορεῖν FGP   κύπτειν G   3 ἔπαισε — ἐνεχθείσης (4) om. in textu H[1], add. mg H[1]   ἔπαισεν S   4 ἔρριψεν S   5 θνήσκοι S: θνήσκει ceteri (v)   μετέθηκε F   6 μὴ] οὐ AH[2]   χρήσεται AH[2]   8 καὶ προέλθῃ F: om. ceteri (v)   ἀρτίως S, ὀρθίοις AH[2]   πως om. H[1]P (v)   δυνήσηται S, δύναται AH[2]   9 ἢ om. S   βακτηρίᾳ SF: βακτηρίαις ceteri (v)   διττὰς om. F   ἐκτεινέτω F, ἐκτινύτω S[2]M   10 ἀντὶ] αὐτὴν M   ἰατρείων F: ἰατρειῶν ceteri (v)   11 δ' om. M   13 περίπατον SF: πάτον ceteri (Turn.)   προῆλθεν] περιῆλθεν H[1]P (Turn.)   14 τῷ σώματι G   15 tit. περὶ ἐκθέσεως βρεφῶν h. l. add. S   ἐὰν δὲ συμπλακῇ H[1]P (v), ἐὰν δ' ἐν συμπλοκῇ F   τις γυναικὶ transp. H[1]P (v)   ἐγγύῳ FAH[2]   post ἐγκύῳ add. καὶ H[1] alt. man. (v), om. ceteri   πληγὴν F: πληγὰς ceteri (v)   16 ἡ] εἰ S[1], corr. S[2]   δὲ SF: δ' ceteri   18 τῇ φύσει om. S   ζῳογονούσῃ coni. Mang.   τεχνητευούσῃ S   δημιουργῆσαι F   19 εἰς ἄνθρωπον S   δὲ SAH[2]: δ' ceteri   ἤδη] ἢ S   ἁπάντων μελῶν S: ἁπάντων τῶν μερῶν AH[2] (Mang.), ἁπάντων μερῶν ceteri (v)   οἰκείους SF: οἰκείας ceteri (v)

4 Exod. 21,12. Num. 35,17.21. cf. *Joseph. Ant. Iud. IV § 277* ἐν μάχῃ τις, ὅπου μὴ σίδηρος, πληγεὶς παραχρῆμα μὲν ἀποθανὼν ἐκδικείσθω ταὐτὸν παθόντος τοῦ πεπληγότος.   6 Exod. 21,18. 19. cf. *Ioseph. l. l.* ἂν δὲ κομισθεὶς παρ' ἑαυτὸν καὶ νοσήσας ἐπὶ πλείονας ἡμέρας ἔπειτ' ἀποθάνῃ, ἀθῷος ἔστω ὁ πλήξας, σωθέντος δὲ καὶ πολλὰ δαπανήσαντος εἰς τὴν νοσηλείαν, ἀποτινέτω πάνθ' ὅσα παρὰ τὸν χρόνον τῆς κατακλίσεως ἀνάλωσε καὶ ὅσα τοῖς ἰατροῖς ἔδωκεν.   15sqq. Exod. 21,22. 23. (cf. *Ioseph. Ant. Iud. IV § 278.*)

τάξεις καὶ ποιότητας ἀπειληφότων, θνησκέτω. τὸ γὰρ τοιοῦτον ἄνθρωπός 109
ἐστιν, ὃν ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διεχρήσατο μήπω καιρὸν εἶναι
p. 318 M. νομιζούσης εἰς φῶς προαγαγεῖν, ἐοικὸς ἀνδριάντι | ἐν πλαστικῇ κατακει-
μένῳ, πλέον οὐδὲν ἢ τὴν ἔξω παραπομπὴν καὶ ἄνεσιν ἐπιζητοῦντι.

(20.) Διὰ ταύτης τῆς προστάξεως καὶ ἕτερόν τι μεῖζον ἀπηγό- 110
ρευται, βρεφῶν ἔκθεσις, ὃ παρὰ πολλοῖς τῶν ἄλλων ἐθνῶν ἕνεκα τῆς
φυσικῆς ἀπανθρωπίας χειρόηθες ἀσέβημα γέγονεν. εἰ γὰρ τοῦ μηδέπω 111
ταῖς ὡρισμέναις τῶν καιρῶν περιόδοις ἀποκυηθέντος προνοητέον, ὡς μὴ
ἐξ ἐπιβουλῆς τι δεινὸν πάθοι, πῶς οὐχὶ μᾶλλον τοῦ τελειογονηθέντος
καὶ ὥσπερ εἰς ἀποικίαν ἣν ἔλαχον ἄνθρωποι προπεμφθέντος ἐπὶ τῷ
μεταλαχεῖν τῶν τῆς φύσεως δωρεῶν, ἃς ἀνίησιν ἐκ γῆς καὶ ὕδατος
καὶ ἀέρος καὶ οὐρανοῦ, παρέχουσα τῶν μὲν οὐρανίων τὴν θέαν, τῶν
δὲ ἐπιγείων τὸ κράτος καὶ τὴν ἡγεμονίαν, καὶ πάσαις μὲν χορηγοῦσα
ταῖς αἰσθήσεσιν ἄφθονα τὰ πάντων, τῷ δὲ νῷ καθάπερ μεγάλῳ βασιλεῖ
τὰ μὲν διὰ τούτων ὡς ἂν δορυφόρων ὅσα αἰσθητά, τὰ δ᾽ ἄνευ τούτων
ὅσα λόγῳ καταληπτά; τοσούτων οὖν ἀποστεροῦντες ἀγαθῶν τοὺς παῖδας 112
οἱ τροφεῖς, ἅμα τῇ γενέσει τούτων μηδενὸς μεταδιδόντες, ἴστωσαν νόμους
φύσεως καταλύοντες καὶ τὰ μέγιστα κατηγοροῦντες αὐτῶν, φιληδονίαν,
μισανθρωπίαν, ἀνδροφονίαν καὶ — τὸ χαλεπώτατον ἄγος — τεκνοκτονίαν.
φιλήδονοι μὲν γάρ, εἰ μὴ σπορᾶς ἕνεκα τέκνων καὶ τοῦ διαιωνίσαι τὸ 113
γένος συνέρχονται γυναιξὶν ἀλλὰ θηρώμενοι συῶν ἢ τράγων τρόπον τὴν
ἐξ ὁμιλίας ἀπόλαυσιν· μισάνθρωποι δὲ τίνες ἂν εἶεν μᾶλλον ἢ οἱ τῶν

1 ἀπειληφότων om. S 2 ὃν] ὃς F τῆς om. F 3 ἀγαγεῖν F ἐοικὼς MGP, -ὸς ex -ὼς corr. H^1 4 ἄνεσιν] ἄφεσιν conicio 5. 6 ἀπηγορεύεται (sic) Richt. Tauchn. 6 ἄλλων om. S 8 ἢ ante τῶν καιρῶν add. F καιρῶν] ἐτῶν S ἀποκριθέντος AH^2 μὴ] μηδὲ F 9 ἐπιβολῆς coni. Mang. πάθη G 10 προπεμφέντος (sic) A 11 ἐνίησιν A ἐξ ὕδατος (γῆς καὶ om.) AH^2 12 παρεχομένου F 13 δὲ S: δ᾽ ceteri 14 τὰ ⟨ἀπὸ⟩ πάντων coni. Mang., τὰ ἀπαντῶντα Wendl. μεγάλῳ βασιλεῖ F: βασιλεῖ μεγάλῳ ceteri (v) 15 ὡς ἂν] ὡς S δορυφορῶν MP ὅσ᾽ MGH^1P 16 οὖν SFG: γοῦν ceteri (v) 17 τροφῆς H^1P (Turn.) μηδὲ ἑνὸς F, μηδεμιᾶς AH^2 18 αὐτῶν v: ἑαυτῶν MAH^2, αὑτῶν ceteri 20 μὲν om. S εἰ SF: ὅτι M, οἳ ceteri (v)

5 cf. *Hecat. Abder. ap. Diodor. Bibl. XL 3,8* τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι᾽ ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν, ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. *Ioseph. c. Ap. II § 202* τέκνα τρέφειν ἅπαντα προσέταξεν καὶ γυναιξὶν ἀπεῖπεν μήτ᾽ ἀμβλοῦν τὸ σπαρὲν μήτε διαφθείρειν. *Tacit. Histor. V 5* augendae tamen multitudini consulitur; nam et necare quemquam ex agnatis nefas . . . putant.

γεννηθέντων ἐχθροὶ καὶ ἀμείλικτοι δυσμενεῖς; εἰ μή τις οὕτως ἐστὶν
ἠλίθιος, ὡς ὑπολαβεῖν ὅτι πρὸς τοὺς ἀλλοτρίους ἔνσπονδοι γένοιντ' ἂν
114 οἱ τοὺς ἡνωμένους κατὰ γένος ἔκσπονδα εἰργασμένοι. τάς γε μὴν
ἀνδροφονίας καὶ τεκνοκτονίας ἐναργεστάταις βεβαιοῦνται πίστεσιν οἱ μὲν
αὐτόχειρες γινόμενοι καὶ τὴν πρώτην εἰσπνοὴν τῶν βρεφῶν πιέζοντες
καὶ ἀναθλίβοντες ὑπὸ ὠμότητος καὶ δεινῆς ἀναλγησίας, οἱ δὲ εἰς ποταμὸν
ἢ θαλάττης βυθὸν ἀφιέντες, ὅταν ἀπαιωρήσωσιν ἄχθος, ἵνα θᾶττον
115 τῷ βάρει καταφέρηται· οἱ δ' ἐπ' ἐρημίαν κομίζουσιν ἐκθήσοντες, ὡς
μὲν αὐτοί φασιν, ἐλπίδι σωτηρίας, ὡς δὲ τἀληθὲς ἔχει, πρὸς ἀνια-
ροτάτας συμφοράς· ὅσα γὰρ ἀνθρωπίνων σαρκῶν ἅπτεται θηρία, μηδενὸς
ἀνείργοντος, ἐπιφοιτᾷ καὶ εὐωχεῖται τῶν βρεφῶν, καλῆς θοίνης, ἣν οἱ
μόνοι κηδεμόνες καὶ πρὸ τῶν ἄλλων σῴζειν ὀφείλοντες, πατὴρ καὶ μήτηρ,
προὔθεσαν· καὶ τὰ λείψανα μέντοι προσεπιλιχμῶνται τῶν οἰωνῶν οἱ
σαρκοβόροι καταπτάντες, ὅταν μὴ προαίσθωνται· αἰσθόμενοι γὰρ καὶ
116 περὶ τῶν ὅλων πρὸς τοὺς χερσαίους θῆρας κονίονται. φέρε δ' οὖν
τῶν ὁδῷ παριόντων τινὰς ἡμέρῳ κινηθέντας πάθει λαβεῖν οἶκτον καὶ p. 319 M.
ἔλεον τῶν ἐκτεθέντων, ὡς ἀνελέσθαι τε καὶ τροφῆς μεταδοῦναι καὶ τῆς
ἄλλης ἐπιμελείας ἀξιῶσαι· ταυτὶ τὰ οὕτως χρηστὰ ἔργα τί νομίζομεν;
ἆρ' οὐ τῶν γεννησάντων εἶναι καταδίκην, εἴ γ' οἱ μὲν ἀλλότριοι τὰ
γονέων, οἱ δὲ γονεῖς οὐδὲ τὰ τῶν ἀλλοτρίων εἰς εὔνοιαν ἐπετήδευσαν;

1 καὶ ἀμείλικτοι δυσμενεῖς SFM: καὶ om. ceteri; ἀμείλικτοι δ' εὐμενεῖς Turn., ἀμείλικτοι καὶ δυσμενεῖς Mang. 2 γένοιτ' FAH^2 3 ἡνωμένους] γεννωμένους S ἄσπονδα SM μὴν om. H^{1}P, ss. P^2 4 ἀνδροκτονίας S ἐνεργεστάταις S βεβαιοῦνται] ποιοῦνται M 5 γενόμενοι F ἐμπνοὴν S εἰσπιέζοντες F 6 ἐναποθλίβοντες AH^2 ὑπ' AH^2 δεινῆς ἀναλγησίας F: ἀναλγησίας δεινῆς (πολλῆς G) ceteri (v) 7 ἢ θαλάττης] καὶ θαλάσσης H^{1}P (v) ἐπαιωρήσωσιν S δι' ἄχθος AH^2 8 τῷ βάρει S: ἡ ὁλκὴ τῷ βάρει ceteri (v) δὲ AH^{2}G 9 τἀληθῆ AH^2 9. 10 ἀνιαροτάτας S: ἀνιατωτέρας (sic) F, ἀνιερωτέρας M, ἀνιαρωτέρας ceteri 10 ἀνθρωπίνων σαρκῶν S: σαρκῶν ἀνθρωπίνων ceteri (v) ἅπτεσθαι MH^{1}P, εἴωθεν ἅπτεσθαι AH^2 12 κηδαιμόνες S πατὴρ καὶ μήτηρ SA: μήτηρ καὶ πατὴρ ceteri (v) 13 προὔθησαν F προσεπιλιχμῶνται MGH^{1}P: προσεπιλιχνῶνται S, προσεπιλικμῶνται FAH^2 corr. H^1 (v) τῶν F: αὐτῶν ceteri (v) οἰωνῶν οἱ] οἰωνοὶ S, οἰωνῶν om. AH^2 14 αἰσθόμενοι SM: αἰσθανόμενοι ceteri (Turn.) 15 περὶ τῶν ὅλων Mang.: πρὸ τῶν ὁδῶν SM, τῶν ὅλων ceteri κονιοῦνται SM δ' οὖν] δὴ AH^2 16 ὁδῷ παριόντων] ὁδοιπορούντων AH^2 ⟨ἐν⟩ ὁδῷ conicio τινὰς . . . κινηθέντας F: τινὰ . . . κινηθέντα ceteri (v) ἡμέρων AH^2 οἶκτον τινὰ M 18 ταυτὶ] ταῦτ' εἰ S οὕτως SF: οὕτω ceteri ἔργα om. AH^2 τί νομίζομεν SFL^2: νομιζόμενα ceteri 19 καταδίκην scripsi: καταδίκη F, καταδίκας ceteri (v) εἴ γ'] εἰ γὰρ S, εἴθ' F 20 τὰ SF: τὴν ceteri (v) εἰς εὔνοιαν SF: εὔνοιαν MAH^2 (Mang.), πρόνοιαν GH^{1}P (Turn.)

πόρρωθεν οὖν τὴν βρεφῶν ἔκθεσιν ἀπεῖπε δι᾿ ὑπονοιῶν θάνατον, ὡς 117
ἔφην, ὁρίσας κατὰ τῶν αἰτίων ἀμβλώσεως τὰ μεμορφωμένα ἤδη κυϊσκού-
σαις· καίτοι τὰ μὲν ἔτι κατὰ γαστρὸς προσεχόμενα τῇ μήτρᾳ τῶν
κυουσῶν εἶναι μέρη λέγεται παρά τε φυσικοῖς ἀνδράσιν, οἷς ὁ θεωρη-
τικὸς διαπονεῖται βίος, καὶ παρὰ ἰατρῶν τοῖς δοκιμωτάτοις, οἳ τὴν
ἀνθρώπου κατασκευὴν διηρεύνησαν τά τ᾿ ἐν ὄψει καὶ τὰ ἀφανῆ μετ᾿
ἐπιμελείας ἐξ ἀνατομῆς ἀκριβώσαντες, ἵν᾿, εἰ χρεία τις γένοιτο θεραπείας,
μηδὲν ἀγνοίᾳ παρολιγωρηθὲν αἴτιον μεγάλου κινδύνου γένηται. τὰ δ᾿ 118
ἀποκυηθέντα τῆς τε συμφυΐας ἀπέζευκται καὶ διυφειμένα καθ᾿ αὑτὰ
ζῷα γέγονεν οὐδενὸς ἐπιδεᾶ τῶν ὅσα συμπληρωτικὰ τῆς ἀνθρωπίνης
φύσεώς ἐστιν. ὥστε ἀνενδοιάστως ἀνδροφόνον εἶναι τὸν βρέφος ἀναιροῦντα,
τοῦ νόμου μὴ ἐπὶ ταῖς ἡλικίαις ἀλλ᾿ ἐπὶ τῷ γένει παρασπονδουμένῳ
δυσχεραίνοντος. εἰ μέντοι καὶ ἡλικιῶν ἔδει προμηθεῖσθαι, δοκεῖ μοί 119
τις ἂν δεόντως ἀγανακτῆσαι μᾶλλον ἐπὶ τοῖς ἀναιροῦσι βρέφη· πρὸς μὲν
γὰρ τοὺς τελείους μυρίαι προφάσεις εὔλογοι προσκρουσμάτων τε καὶ
διαφορῶν, τοῖς δὲ κομιδῇ νηπίοις ἄρτι παρεληλυθόσιν εἰς φῶς καὶ τὸν
ἀνθρώπινον βίον οὐδ᾿ ἐπιψεύσασθαι κατηγορίαν ἀκακωτάτοις οὖσιν ἐνδέ-
χεται. διὸ πάντων ὠμότατοι καὶ ἀνηλεέστατοι κριθεῖεν ἂν οἱ ἐπαπο-
δυόμενοι ταῖς τούτων ἐπιβουλαῖς, οὓς ἐχθαίρων ὁ ἱερὸς νόμος ἐνόχους
ἀπεφήνατο.

1 τὴν τῶν βρεφῶν AH^2 2 ταῖς ante τὰ μεμορφωμένα add. AH^2, ss. P^2 ἤδη] εἴδη N 2. 3 κυϊσκούσης SF (sed in S η in ras.), κυούσαις AH^2, εὑρισκούσης N 3 προσεχόμενα SMFN: παρεχόμενα GH^{1}P^1 (v), συνεχόμενα AH^{2}P^2 4 λέγεται μέρη transp. N φυσικοῖς SMFNL^2: θεωρητικοῖς ceteri 5 παρὰ SF: παρ᾿ ceteri 6 διερευνήσαντες FN τά τ᾿ om. FN τὰ ἀφανῆ SFN: τἀφανῆ ceteri μετ᾿] δι᾿ AH^2 7 γένοιτό τις transp. S γένητο (ό in ras.) F 8 αἴτιον] αἰτία S 9 διυφειμένα (η ss.) FN, διυφειμένα M, διυφημένα S: ὑφειμένα conicio, διαφειμένα coni. Mang. 10 πληρωτικὰ AH^{2}H^{1}P 11 ἐστὶ φύσεως transp. M ὥστε SFN: ὥστ᾿ ceteri ἀνενδυάστως S 12 γένει] γε FN παρα-σπονδουμένῳ] τοῦ παρασπονδουμένου AH^{2}P (Mang. 13 δυσχεράναντος FN 14 μᾶλλον om. N 15 εὐλόγων AH^2 προσκρουσμάτων S: προσκρου F^1, προσκρούονται F^2, προσκρουμάτων ceteri τε om. N 16. 17 εἰς βίον τὸν ἀνθρώπινον καὶ εἰς φῶς AH^2 17 οὐδ᾿] οὓς FN ἐπιψαύσασθαι SFN ἀκακωτάτοις SFN: ἀκακώτοις ceteri (v) 17. 18 οὐκ ante ἐνδέχεται ss. F^2 18 πάντων ὠμότατοι SMFN: πᾶσιν εἶναι φαυλότατοι ceteri 19 ταῖς κατὰ τούτων ἐπιβολαῖς coni. Mang. οὓς ἐχθαίρων FNG: οὓς ἔχεται θαρρῶν S, οἷς ἐχθραίνων ceteri (Turn.) 20 ἀπεφήνατο SFN: ἀπέφηνε θανάτου MGH^{1}P (v), θανάτου ἀπέφηνε AH^2

1—20 N fol. 159^r: πόρρωθεν — ἀπεφήνατο.

Περὶ ἀκουσίου φόνου.

ματον, ὅπερ ὁρμητήριον τῶν μεγίστων παρανομημάτων ἐστί, τὸ δὲ βλάπ-
των ὃν ἄξιον ἦν ὠφελεῖν τιμὴν τοῦ δικαίου κατατιθέντα. διὸ σφόδρα 66

1 ἔνιοι] ἔνι M 2 μωυσέως S: μωσέως ceteri 3 ἃ μὲν] συνεργοῦντος μέν· S εἶδέ τις] εἰ δέ τις S κρίνων P ἃ δὲ ἤκουσε] ἢ ἀκοῦσαι S δ' A 4 βεβαῖαν (sic) S 5 tit. περὶ τοῦ μὴ λαμβάνειν δῶρα τὸν κριτήν add. S mg M δῶρον A 6 τοὺς ὀφθαλμοὺς A τὰ δὲ] ῥήματα δὲ coni. Mang. 7 λοιμαίνεται S (ϋ ss. S²) ἐπ' ante εὐθείας om. S 8 ἔργων S 9 ἡμίσεια M 10 δίκαι ἄδικοι (sic) S ὑπὲρ scripsi: παρὰ F, περὶ ceteri (v) πεπλημμένων P 10. 11 τάξιν τεταγμένοι transp. A 11 νικῶντας om. S 12 γνῶσιν] κρίσιν S 13 εἶτα S: εἶτ' ceteri παρατρέψασθαι H (v) 14 ἡττᾶσθαι] ἡττῆσθαι H (v) 15 περιγίνεσθαι S: περιγενέσθαι ceteri (v) προσφέρεσθαι A: προφέρεσθαι ceteri (Turn.) 16 νομικωτάτην F, νομιμωτάτην S (μω ss.) γνῶσιν] κρίσιν S δὲ S: δ' ceteri 18 δύο ἕτερα A: δευτέρω S, δύ' ἕτερα ceteri τὸ S[1], τῶ S[2] 19 μεγίστων S: om. ceteri (Turn.) ἐστίν S τὸ S[1], τῶ S[2] 19. 20 βλάπτον S, ων ex ειν corr. H 20 tit. εἰς τὸ δικαίως τὸ δίκαιον διώξεις (διώξει S) add. S mg M

2 μὴ μαρτυρεῖν ἀκοήν: cf. Dem. 57,4. [Dem.] 44,55. 46,7. Meier-Schömann-Lipsius, Att. Process p. 878. hinc corrigendum *de confus. ling.* § *141* ἀκοὴν μὴ μαρτυρεῖν. 5 Exod. 23,8. Deut. 16,19. 8. 9 Mel. Barocc. fol. 42v Φίλωνος: τὸ μὲν δωροδοκεῖν — πονηρευομένων. Maximi cod. Cahir. (v. ad p. 221,12) καὶ τὸ μὲν — πονηρευομένων.

παιδευτικῶς Μωυσῆς δικαίως τὸ δίκαιον προστάττει μεταδιώκειν, αἰνιττόμενος ὅτι καὶ ἀδίκως ἔνεστι, διὰ τοὺς ἐπὶ δώροις τοῦ δικαίου βραβευτάς, οὐ μόνον ἐν δικαστηρίοις, ἀλλὰ πανταχοῦ κατά τε γῆν καὶ θάλατταν καὶ ἐν ἅπασιν ὀλίγου δέω φάναι τοῖς τοῦ βίου πράγμασιν.

67 ἤδη γοῦν ὀλιγοχρήματόν τις παρακαταθήκην λαβὼν ἀπέδωκεν, ἐπ' ἐνέδρᾳ μᾶλλον τοῦ λαμβάνοντος ἢ ὠφελείᾳ, ἵνα τὴν ἐν ὀλίγοις πίστιν δέλεαρ καθεὶς ἀγκιστρεύσηται τὴν ἐν μείζοσιν πίστιν, ὅπερ οὐδὲν ἦν ἕτερον ἢ τὸ δίκαιον μὴ δικαίως ἐπιτελεῖν· δίκαιον μὲν γὰρ ἡ τῶν ἀλλοτρίων

68 ἀπόδοσις, οὐ δικαίως δ' ἐγένετο, παρόσον ἐπὶ θήρᾳ πλειόνων. αἴτιον δὲ τῶν τοιούτων ἁμαρτημάτων ἐστὶν ἐν τοῖς μάλιστα ἡ πρὸς τὸ ψεῦδος οἰκείωσις, ὅπερ ἐκ πρώτης γενέσεως καὶ σπαργάνων αὐτῶν τίτθαι καὶ μητέρες καὶ ὁ ἄλλος τῶν κατ' οἰκίαν ἀνδραπόδων καὶ ἐλευθέρων ὅμιλος ἔργοις καὶ λόγοις ἀεὶ σύντροφον κατασκευάζουσιν, ἁρμοζόμενοι καὶ ἑνοῦντες αὐτὸ τῇ ψυχῇ ὡς μέρος ἐκ φύσεως ἀναγκαῖον, ὅπερ, εἰ καὶ τῷ ὄντι φύσει συνεγεγέννητο, ὤφειλεν ἐπιτηδεύσει τῶν καλῶν ἐκτετμῆσθαι.

69 τί δ' οὕτως ἐν βίῳ καλὸν ὡς ἀλήθεια; ἣν ὁ πάνσοφος ἐστηλίτευσεν ἐν ἱερωτάτῳ χωρίῳ, κατὰ τὴν τοῦ ἀρχιερέως στολήν, | ἔνθα τὸ τῆς ψυχῆς p. 347 M.
ἡγεμονικόν, ἀναθημάτων τῷ καλλίστῳ καὶ διαπρεπεστάτῳ βουληθεὶς αὐτὸν ἐπικοσμῆσαι. συγγενῆ δὲ δύναμιν ἀληθείᾳ παριδρύσατο, ἣν ἐκάλεσε δήλωσιν, ἀμφοτέρων τῶν ἐν ἡμῖν λόγων εἰκόνας, ἐνδιαθέτου τε καὶ προφορικοῦ· δεῖται γὰρ ὁ μὲν προφορικὸς δηλώσεως, ᾗ τὰ ἀφανῆ τῶν καθ' ἕκαστον ἡμῶν ἐνθύμια γνωρίζεται τῷ πέλας, ὁ δ' ἐνδιάθετος ἀληθείας, εἰς τελειότητα βίου καὶ πράξεων, δι' ὧν ἡ ἐπ' εὐδαιμονίαν ὁδὸς ἀνευρίσκεται.

1 μωυσῆς S: μωσῆς ceteri καταδιώκειν M 3 οὐ μόνον—θάλατταν (4) om. F δικαστηρίω A πανταχοῦ S: καὶ πανταχοῦ ceteri (v) 3. 4 κατά τε γῆν καὶ θάλατταν om. S (fort. recte) 4 πᾶσιν S 6 μᾶλλον τοῦ om. A τοῦ λαβόντος S 7 πίστιν Mang. (coll. *de plant.* § *101*): ἀδικίαν F, ἀπιστίαν ceteri 8 μὴ om. S alt. δίκαιον] ἥδιον S[1], ἡδίων S[2] 9 δικαίως] δίκαιον F δ' ἐγένετο S: δὲ γέγονε M, δὲ γίγνεται P, δὲ γίνεται ceteri (v) 10 δὲ] δὲ μάλιστα HP (Turn.) τῶν om. Mang. τοσούτων A 11 τιτθαὶ SP καὶ ante μητέρες om. S 12 ὁ om. S ἄλλως S[1], ἄλλος corr. S[2] κατ' οἰκιῶν S 13 ἀεὶ SM: αἰεὶ ceteri 14 ἐκ om. Turn. καὶ om. F 15 συνεγεγένητο MF ἐκτετμεῖσθαι S[1], corr. S[2] 16 ἐστηλίτευσεν mg H, ἐπετήδευσεν in textu HP 17 στολήν om. S 18 ἀνάθημα S καλλιστοτάτω (sic) A 19 ἀληθείας A 20 ἐνδϊσθέτου (sic) M 21 τὰ ἀφανῆ SA: τἀφανῆ ceteri 22 τῶ πέλας γνωρίζεται transp. F 23 ἡ codd.: om. v 24 ἀνευρίσκηται S, εὑρίσκεται A

1 Deut. 16,20. 16 sqq. Exod. 28,26 (30).

(4.) Τρίτον παράγγελμα τῷ δικαστῇ τὰ πράγματα πρὸ τῶν κρινο- 70
μένων ἐξετάζειν καὶ πειρᾶσθαι πάντα τρόπον ἀφέλκειν αὐτὸν τῆς τῶν
δικαζομένων φαντασίας, εἰς ἄγνοιαν καὶ λήθην βιαζόμενον ὧν ἐπιστήμην
εἶχε καὶ μνήμην, οἰκείων, φίλων, πολιτῶν, καὶ πάλιν ἀλλοτρίων, ἐχθρῶν,
ξένων, ἵνα μήτε εὔνοια μήτε μῖσος ἐπισκιάσῃ τῶν δικαίων τὴν γνῶσιν·
ἀνάγκη γὰρ οἷα τυφλὸν δίχα βάκτρου προερχόμενον καὶ τοὺς ποδηγετή-
σοντας οὐκ ἔχοντα οἷς βεβαίως ἐπερείσεται πταίειν. ὅθεν προσήκει τὸν 71
ἀγαθὸν δικαστὴν τοὺς μὲν κρινομένους, οἵτινες ἂν ὦσι, παρακαλύπτεσθαι,
τὴν δὲ φύσιν τῶν πραγμάτων ἄπλαστον καὶ γυμνὴν ὁρᾶν, μὴ πρὸς
δόξας ἀλλὰ πρὸς ἀλήθειαν μέλλοντα κρίνειν καὶ τοιαύτην ἔννοιαν λαβόντα,
ὅτι „ἡ μὲν κρίσις τοῦ θεοῦ ἐστιν“ (Deut. 1,17), ὁ δὲ δικαστὴς ἐπί-
τροπος τῆς κρίσεως· ἐπιτρόπῳ δ' οὐκ ἐφεῖται τὰ τοῦ κυρίου χαρίζεσθαι,
παρακαταθήκην εἰληφότι τὴν πάντων τῶν κατὰ τὸν ἀνθρώπινον βίον
ἀρίστην παρὰ τοῦ πάντων ἀρίστου.

(5.) Πρὸς δὲ τοῖς λεχθεῖσιν ἤδη καὶ ἄλλο σοφὸν εἰσηγεῖται· κελεύει 72
⟨γὰρ⟩ πένητα ἐν κρίσει μὴ ἐλεεῖν ὁ πᾶσαν σχεδόν τι τὴν νομοθεσίαν
πεπληρωκὼς τῶν εἰς ἔλεον καὶ φιλανθρωπίαν διαταγμάτων καὶ μεγάλας
μὲν ἀπειλὰς ἐπανατεινόμενος ὑπερόπταις καὶ ἀλαζόσι, μεγάλα δὲ προθεὶς
ἆθλα τοῖς τὰ ἀτυχήματα τῶν πέλας εἰς ἐπανόρθωσιν ἄγειν ἀξιοῦσι καὶ
τὰς περιουσίας οὐκ ἴδια κτήματα νομίζουσιν ἀλλὰ κοινὰ τῶν ἐν ἐνδείαις.
ὃ γὰρ ἔφη τις οὐκ ἀπὸ σκοποῦ τῶν πρότερον, ἀληθές ἐστιν, ὅτι παρα- 73
πλήσιον οὐδὲν ἄνθρωποι θεῷ δρῶσιν ἢ χαριζόμενοι. τί δ' ἂν εἴη

1 tit. περὶ τοῦ μὴ λαμβάνειν πρόσωπον ἐν (ἐν om. M) κρίσει add. S mg M τρίτον S: τὸ τρίτον ceteri (v) 2 αὐτὸν AG: αὐτὰ H[1] (Turn.), αὑτὸν ceteri 5 μήτε εὔνοια S: μήτ' εὔνοια ceteri τῶν δικαίων τὴν γνῶσιν S: τὴν γνῶσιν τῶν δικαίων ceteri (v) 6 περιερχόμενον M 6. 7 τοὺς ποδηγετήσαντας HP, τοὺς ποδηγήσοντας F, τοῦ ποδηγετήσοντος S 7 ἔχοντασ S[1] ut vid., sed σ(?) eras. ἐπερείσονται S 8 ὦσιν S 10 δόξας codd.: δόξαν v εὔνοιαν in ἔννοιαν corr. F 12 τῆς om. S ἐφεῖται F: ἐφίεται ceteri (v) κυρίου] θεοῦ H (Turn.) 13 τῶν om. S 15 tit. εἰς τὸ οὐκ ἐλεήσεις τὸν (τὸν om. S) πτωχὸν ἐν κρίσει add. S mg M σοφὸν S (prob. Mang.): θαυμάσιον ceteri (v) κελεύει S: κελεύων ceteri (v) 16 γὰρ addidi ἐν κρίσει S: εἰς κρίσιν F, κρίσει (om. ἐν) ceteri (v) σχεδόν τι SFM: τι om. ceteri (v) 18 δὲ om. A 19 τὰ ἀτυχήματα S: τἀτυχήματα ceteri 20 οὐχ S[1], οὐκ corr. S[2] ἐν om. F 21 τὸ F[1], τις corr. F[2] τῶν πρότερον S: τῶν προτέρων ceteri (v) 22 ἂν] αὖ F (Mang.)

1 Deut. 1,17. 16,19. 16 Exod. 23,3. 21 testimonia praebet Vahlen[3] ad librum Περὶ ὕψους p. 2,16. cf. etiam *Cic. pro Ligario 38* . . . homines enim ad deos nulla re propius accedunt quam salutem hominibus dando.

74 κρεῖττον ἀγαθὸν ἢ μιμεῖσθαι θεὸν γενητοῖς τὸν αἴδιον; μήτ᾿ οὖν ὁ
πλούσιος ἄργυρον καὶ χρυσὸν οἴκοι συναγαγὼν ἄφθονον θησαυροφυλακείτω,
προφερέτω δ᾿ εἰς μέσον, ἵνα τὸ σκληροδίαιτον τῶν ἀπόρων ἱλαραῖς μετα-
δόσεσι λιπαίνῃ, μήτ᾿, εἴ τις ἔνδοξος, ὑψηλὸν αἴρων αὑτὸν αὐχείτω
φρυαττόμενος, ἀλλ᾿ ἰσότητα τιμήσας μεταδιδότω παρρησίας τοῖς ἀδόξοις·
ὅ τε ῥώμῃ κεχρημένος σώματος ἔρεισμα τῶν ἀσθενεστέρων ἔστω καὶ p. 348 M.
μὴ καθάπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσι καταπαγκρατιαζέτω τοὺς ἐλάττους
ταῖς δυνάμεσιν, ἀλλὰ φιλοτιμείσθω τῆς ἰδίας ἰσχύος μεταδιδόναι τοῖς
75 ἐξ ἑαυτῶν ἀπειρηκόσιν. ὅσοι μὲν γὰρ ἀπὸ πηγῶν ἠρύσαντο τῶν σοφίας,
φθόνον ὑπερόριον τῆς διανοίας ἐληλακότες ἄνευ προτροπῆς αὐτοκέλευστοι
ταῖς τῶν πλησίον ὠφελείαις ἐπαποδύονται, τὰ λόγων νάματα ταῖς ψυχαῖς
ἐκείνων δι᾿ ὤτων ἐπαντλοῦντες εἰς μετουσίαν τῆς ὁμοίας ἐπιστήμης·
καὶ ἐπειδὰν ἴδωσιν ὥσπερ εὔβλαστα καὶ εὐγενῆ μοσχεύματα νέους εὐφυεῖς,
γεγήθασιν οἰόμενοι κληρονόμους ἀνευρηκέναι τοῦ ψυχικοῦ πλούτου, ὃς
μόνος ἀληθείᾳ πλοῦτός ἐστι, καὶ παραλαβόντες γεωργοῦσι τὰς ψυχὰς
δόγμασι καὶ θεωρήμασι, μέχρις ἂν στελεχωθεῖσαι καρπὸν τὸν καλο-
76 κἀγαθίας ἐνέγκωσι. τοιαῦτα τοῖς νόμοις ἀγάλματα συνύφανται καὶ
πεποίκιλται πρὸς εὐπορίαν ἀπόρων, οὓς ἐπὶ μόνης κρίσεως ἐλεεῖν οὐ
θεμιτόν· ἔλεος γὰρ ἐπ᾿ ἀτυχήμασιν, ὁ δ᾿ ἑκουσίῳ γνώμῃ πονηρευόμενος
77 οὐκ ἀτυχής, ἀλλ᾿ ἄδικος. τιμωρίαι δ᾿ ἐπ᾿ ἀδίκοις ὡς ἐπὶ δικαίοις τιμαὶ
βεβαιούσθωσαν· ὥστε μηδεὶς μοχθηρὸς ἄπορος ὑπείλλων καὶ ὑποστέλλων
ἀχρηματίας οἴκτῳ τὸ δίκην δοῦναι παρακρουέσθω. δεδρακὼς οὐκ ἐλέου
— πόθεν; — ἀλλ᾿ ὀργῆς ἄξια. καὶ ὁ δικάζειν εἰσιὼν καθάπερ ἀργυρα-
μοιβὸς ἀγαθὸς διαιρείτω καὶ διακρινέτω τὰς φύσεις τῶν πραγμάτων,
78 ἵνα μὴ φύρηται συγχεόμενα τοῖς παρασήμοις τὰ δόκιμα. πολλὰ μὲν
οὖν ἄλλα πρός τε ψευδομάρτυρας καὶ δικαστὰς ἔνεστι λέγειν· ὑπὲρ δὲ

1 γεννητοῖς AHP (v) μὴ γοῦν A 2 οἴκοις MP ἄφθονα F
4 λιπαίνῃ AG: λιπαίνει S, λιπάνῃ ceteri (Turn.) μήτ᾿ εἴ τις] μήτε τις S
αὐτὸν αἴρων transp. A αὑτὸν MFP 5 μεταδότω A 6 ὅ τε SM:
ὁ δὲ ceteri (v) σώματι F ἔρισμα S[1], corr. S[2] 7 ἀγῶσιν S
9 ἐξ αὐτῶν S ὑπειρηκόσιν S τῶν σοφίας] τῆς σοφίας S, τὴν σοφίαν H[1]P
10 ἀπεληλακότες AGP[2] (Mang.) ἄνευ τροπῆς F 11 τὰ om. S
12 ἐπαντλοῦντες] πάντα καινοῦντες S (ε ss. S[2]) 13 εἴδωσιν F 15 ἐστὶν S
16 μέχρι S[1], μέχρις S[2] στελεχωθῶσαι HP τὸν] τῆς F (Mang.)
17 ἐνέγκωσιν S τοσαῦτα A ἀγάλματα] παραγγέλματα coni. Mang.
συνυφαίνεται S 18 τῆς κρίσεως F 19 ἑκουσία HP (v) 20 τιμωρίαι S[2]A:
τιμωρία ceteri (v) δὲ MA 21 ὑπείλλων S: ὑπάρχων ceteri (v)
23 ὀργῆς] οἰμωγῆς S δικάζων S 24 διακριέτω (sic) A 26 ψευδο-
μάρτυρας S: ψευδομαρτυρίας ceteri (Turn.)

τοῦ μὴ μακρηγορεῖν ἰτέον ἐπὶ τὸ τελευταῖον τῶν δέκα λογίων, ὃ κεφαλαιώδει τύπῳ καθάπερ καὶ τῶν ἄλλων ἕκαστον κεχρησμῴδηται, τοῦτο δ᾽ ἐστίν· „οὐκ ἐπιθυμήσεις."

Οὐκ ἐπιθυμήσεις.

(1.) Πᾶν μὲν πάθος ἐπίληπτον, ἐπεὶ καὶ πᾶσα ἄμετρος καὶ πλεο- 79
νάζουσα ὁρμὴ καὶ τῆς ψυχῆς ἡ ἄλογος καὶ παρὰ φύσιν κίνησις ὑπαίτιος·
ἑκάτερον γὰρ τούτων ⟨τί⟩ ἐστιν ἕτερον ἢ πλεονάζον πάθος ἐξηπλωμένον;
εἴ τις οὖν μὴ μέτρα ταῖς ὁρμαῖς ὁρίζει μηδὲ χαλινὸν ὥσπερ τοῖς
ἀφηνιασταῖς ἵπποις ἐντίθησι, πάθει χρῆται δυσιάτῳ, κἄπειτα λήσεται
διὰ τὸν ἀφηνιασμὸν ἐξενεχθεὶς οἷα ὑπὸ ἁρμάτων ἡνίοχος εἰς φάραγγας
ἢ βάραθρα δυσαναπόρευτα, ἐξ ὧν μόλις ἔστι σῴζεσθαι. τῶν δὲ παθῶν 80
οὕτως οὐδὲν ἀργαλέον ὡς ἐπιθυμία τῶν ἀπόντων ὅσα τῷ δοκεῖν ἀγαθῶν,
p. 349 M. πρὸς ἀλήθειαν οὐκ ὄντων, χαλεποὺς καὶ ἀνηνύτους | ἔρωτας ἐντίκτουσα·
ἐπιτείνει γὰρ καὶ ἐπελαύνει μέχρι πορρωτάτω τὴν ψυχὴν εἰς τὸ ἄπειρον,
φεύγοντος ἔστιν ὅτε τοῦ διωκομένου καταφρονητικῶς οὐκ ἐπὶ νῶτα ἀλλ᾽
ἀντικρύ. ὅταν γὰρ ἐπιτρέχουσαν αἴσθηται μετὰ σπουδῆς τὴν ἐπιθυμίαν, 81
ἠρεμῆσαν ἐπ᾽ ὀλίγον ὑπὲρ τοῦ δελεάσαι καὶ ἐλπίδα συλλήψεως τῆς [καθ᾽]
αὑτοῦ παρασχεῖν, ἐξαναχωρεῖ μακροτέροις διαστήμασι κατακερτομοῦν·
ἡ δὲ ἀπολειπομένη καὶ ὑστερίζουσα σφαδάζει Ταντάλειον τιμωρίαν ἐπι-
φέρουσα κακοδαίμονι ψυχῇ· καὶ γὰρ ἐκεῖνον λόγος ἔχει ποτὸν μὲν ἀρύ-
σασθαι βουλόμενον ἀδυνατεῖν, ὑποφεύγοντος ὕδατος, εἰ δὲ καρπὸν
ἐθελήσειε δρέψασθαι, πάντας ἀφανίζεσθαι, στειρουμένης τῆς περὶ τὰ
δένδρα εὐφορίας. ὡς γὰρ αἱ ἀμείλικτοι καὶ ἀπαρηγόρητοι δέσποιναι τοῦ 82
σώματος, δίψα ⟨καὶ⟩ πεῖνα, κατατείνουσιν αὐτὸ μᾶλλον ἢ οὐχ ἧττον τῶν

1 τελευτέον S ι᾽ M ὃ] ὅπερ S 3 δέ ἐστιν A οὐκ ἐπιθυμήσεις om. S 4 tit. οὐκ ἐπιθυμήσεις S mg M 7 ἑκατέρων M τί addidi, οὐκ add. Mang. 8 ὁρίζει M: ὁρίζῃ S (v) 9 ἐντίθησιν S κἄπειτα SM: καὶ ἔπειτα v 11 ἢ SM: καὶ v 12 τῷ ex τὸ corr. S ἀγαθὰ M 13 πρὸς δ᾽ ἀλήθειαν conicio 14 ἐπιτείνειν . . . ἐπελαύνειν Mang. (voluit ἐπιτείνει . . . ἐπελαύνει): ἀποτείνειν . . . ἀπελαύνειν SM ἄπειρον Mang.: ἄπορον SM 15 ἀλλ᾽] ἄλλα (sic) Mang. 16 ἀντικρύς S[1], corr. S[2] 17 ἠρεμῆσαν Mang.: ἠρεμοῦσαν SM ἐφολίγον S (π ss. S[2]) 17. 18 τῆς καθ᾽ αὑτοῦ SM; καθ᾽ seclusi; τῆς ψυχῆς κατ᾽ αὐτοῦ v (τῇ ψυχῇ coni. Mang.) 18 κατακερτομοῦν Mang.: κατακερτομῶν SM 19 ἀπολειπομένη M: ἀπολιπομένη S ταντάλιον SM (v) 20 ψυχῇ Mang.: τύχῃ SM πότον S 22 ἐθελήσειεν S πάντας S: πάντα M (v) 23 ὡς SM: ὥσπερ v ἀπαρηγόρητοι SM: ἀπαραγόρητοι v 24 καὶ add. Mang., om. SM

ἐκ βασανιστοῦ τροχιζομένων ἄχρι θανάτου πολλάκις, εἰ μή τις αὐτὰς
ἐξηγριωμένας τιθασεύσει ποτοῖς καὶ σιτίοις, οὕτως ἡ ἐπιθυμία κενὴν
ἀποδείξασα τὴν ψυχὴν λήθῃ μὲν τῶν παρόντων, μνήμῃ δὲ τῶν μακρὰν
ἀφεστηκότων οἶστρον καὶ μανίαν ἀκάθεκτον ἐγκατασκευάσασα, βαρυτέρας
μὲν τῶν πρότερον δεσποινῶν ὁμωνύμους δ' ἐκείναις ἀπειργάσατο, δίψαν
τε καὶ πεῖναν, οὐ τῶν περὶ γαστρὸς ἀπόλαυσιν, ἀλλὰ χρημάτων, δόξης,
ἡγεμονιῶν, εὐμορφίας, ἄλλων ἀμυθήτων ὅσα κατὰ τὸν ἀνθρώπινον βίον
83 ζηλωτὰ καὶ περιμάχητα εἶναι δοκεῖ. καὶ καθάπερ ἡ λεγομένη παρὰ
τοῖς ἰατροῖς ἑρπηνώδης νόσος οὐκ ἐφ' ἑνὸς ἵσταται χωρίου, κινεῖται δὲ
καὶ περιθεῖ καί, ὡς αὐτό που δηλοῖ τοὔνομα, διέρπει πάντῃ σκιδναμένη
καὶ χεομένη, πᾶσαν τὴν κοινωνίαν τῶν τοῦ σώματος μερῶν ἀπὸ κεφαλῆς
ἄκρας ἄχρι ποδῶν συλλαμβάνουσα καὶ συνείρουσα, τὸν αὐτὸν τρόπον καὶ
ἡ ἐπιθυμία δι' ὅλης ᾄττουσα τῆς ψυχῆς οὐδὲν οὐδὲ τὸ βραχύτατον
ἀπαθὲς αὐτῆς ἐᾷ, μιμουμένη τὴν ἐν ἀφθόνῳ ὕλῃ πυρὸς δύναμιν· ἐξάπτει
γὰρ καὶ ἀναφλέγει, μέχρις ἂν διαφαγοῦσα πᾶσαν αὐτὴν ἐξαναλώσῃ.
84 (2.) τοσοῦτον ἄρα καὶ οὕτως κακὸν ὑπερβάλλον ἐστὶν ἐπιθυμία, μᾶλλον
δ', εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἁπάντων πηγὴ τῶν κακῶν· σῦλα γὰρ καὶ
ἁρπαγαὶ καὶ χρεωκοπίαι συκοφαντίαι τε καὶ αἰκίαι καὶ προσέτι φθοραὶ
καὶ μοιχεῖαι καὶ ἀνδροφονίαι καὶ πάνθ' ὅσα ἰδιωτικὰ ἢ δημόσια ἢ ἱερὰ
85 ἢ βέβηλα ἀδικήματα πόθεν ἄλλοθεν ἐρρύη; τὸ γὰρ ἀψευδῶς ἂν λεχθὲν
ἀρχέκακον πάθος ἐστὶν ἐπιθυμία, ἧς ἓν τὸ βραχύτατον ἔγγονον, ἔρως,
οὐχ ἅπαξ ἀλλ' ἤδη πολλάκις ἀμυθήτων κατέπλησε τὴν οἰκουμένην συμ-
φορῶν, ἃς οὐδ' ὁ σύμπας τῆς γῆς κύκλος ἐχώρησεν, | ἀλλὰ διὰ πλῆθος p. 350 M.
ὥσπερ ὑπὸ χειμάρρου φορᾶς εἰς θάλατταν εἰσέπεσον, καὶ πανταχοῦ πάντα
πελάγη πολεμίων κατεπλήσθη νηῶν καὶ ὅσα καινουργοῦσιν οἱ ναυτικοὶ
πόλεμοι συνηνέχθη καὶ ἐπιπεσόντα ἀθρόα πάλιν εἰς νήσους καὶ ἠπείρους
ὑπεσύρη, διαυλοδρομήσαντα καθάπερ ἐν ταῖς παλιρροίαις ἀφ' ὧν ἤρξατο
86 φέρεσθαι. τρανοτέραν δὲ τοῦ πάθους ἐνάργειαν ληψόμεθα τὸν τρόπον
τοῦτον· ὅσων ἂν ἐπιθυμία προσάψηται, μεταβολὴν ἀπεργάζεται τὴν πρὸς

1 ἐν S[1], ἐκ corr. S[2] 2 τιθασεύσῃ S, τιθασσεύσει M: τιθασσεύῃ v 4 βαρυτέρας SM: βαρυτέρους v 5 δεσποινῶν SM: δεσποτῶν v δὲ v 6 περὶ γαστρὸς ⟨καὶ τῶν περὶ γαστέρα⟩ coni. Mang. 9 κινεῖται] μηκύνεται coni. Mang. 10 περιθεῖ scripsi (cf. Lob. Phryn. p. 220): περιθέει SM; ἐπιθέει coni. Mang. ὡς] ὡς καὶ M αὐτό που SM: που om. v 12 συνείρουσα] συναιροῦσα coni. Mang. 17 σῦλα SM: σῦλαι v 18 χρεοκοπίαι SM 20 ἀψευδὲς M 22 ἀμυθήτων κακῶν καὶ συμφορῶν κατέπλησε τὴν οἰκουμένην M 25 πολεμικῶν coni. Mang. κατεπλήσθη] κατέπλησαν coni. Mang. 27 ὑπεσύρη M (Mang.): ὑπεσύρει S ἤρξατο S (ν ss. S[2]): ἤρξαντο M (v) 28 ἐνάργειαν Mang.: ἐνέργειαν SM

τὸ χεῖρον, οἷα τὰ ἰοβόλα ζῷα καὶ τὰ θανάσιμα τῶν φαρμάκων. τί δ' 87
ἐστὶν ὃ λέγω; εἰ πρὸς χρήματα γένοιτο, κλέπτας ἀποτελεῖ καὶ βαλαντιο-
τόμους καὶ λωποδύτας καὶ τοιχωρύχους χρεωκοπίαις τε καὶ παρακατα-
θηκῶν ἀρνήσεσι καὶ δωροδοκίαις καὶ ἱεροσυλίαις καὶ τοῖς ὁμοιοτρόποις
ἅπασιν ἐνόχους. εἰ δὲ πρὸς δόξαν, ἀλαζόνας, ὑπερόπτας, ἀβεβαίους καὶ 88
ἀνιδρύτους τὸ ἦθος, φωναῖς τὰ ὦτα πεφρακότας, ταπεινουμένους ἐν
ταὐτῷ καὶ πρὸς ὕψος ἐπαιρομένους διὰ τὰς τῶν πληθῶν ἀνωμαλίας
ἐπαινούντων καὶ ψεγόντων ἀκρίτῳ φορᾷ, πρὸς ἔχθραν καὶ φιλίαν ἀνεξε-
τάστους, ὡς ῥᾳδίως ἑκάτερον ἀνθυπαλλάττεσθαι, καὶ τἄλλ' ὅσα τούτοις
ἀδελφὰ καὶ συγγενῆ. πρὸς δὲ ἀρχὴν εἰ γένοιτο ἐπιθυμία, στασιώδεις, 89
ἀνίσους, τυραννικοὺς τὰς φύσεις, ὠμοθύμους, ἐχθροὺς τῶν πατρίδων,
ἀσθενεστέροις δεσπότας ἀμειλίκτους, τὴν ἰσχὺν ἴσοις ἀσυμβάτους πολε-
μίους, δυνατωτέρων κόλακας εἰς τὴν δι' ἀπάτης ἐπίθεσιν. εἰ δὲ πρὸς
σώματος κάλλος, φθορεῖς, μοιχούς, παιδεραστάς, ἀκολασίας καὶ λαγνείας
ζηλωτάς, μεγίστων κακῶν ὡς εὐδαιμονικωτάτων ἀγαθῶν. ἤδη δὲ καὶ 90
ἐπὶ γλῶτταν φθάσασα μυρία ἐνεωτέρισεν· ἔνιοι γὰρ ἐπιθυμοῦσιν ἢ τὰ
λεκτέα σιωπᾶν ἢ τὰ ἡσυχαστέα λέγειν, καὶ ἀναφθεγγομένοις ἕπεται
τιμωρὸς δίκη καὶ ἐχεμυθοῦσι [καὶ] τοὐναντίον. ἁψαμένη δὲ τῶν περὶ 91
γαστέρα παρέχεται γαστριμάργους, ἀκορέστους, ἀσώτους, ὑγροῦ καὶ
διαρρέοντος ζηλωτὰς βίου, χαίροντας οἰνοφλυγίαις, ὀψοφαγίαις, ἀκράτου
καὶ ἰχθύων καὶ ἐδεσμάτων [καὶ] κακοὺς δούλους, περὶ συμπόσια καὶ
τραπέζας ἰλυσπωμένους λίχνων τρόπον κυνιδίων, ἐξ ὧν τὴν ἀθλίαν καὶ
ἐπάρατον συμβαίνει ζωὴν ἀποτελεῖσθαι, παντὸς ἀργαλεωτέραν θανάτου.
ταύτης ἕνεκα τῆς αἰτίας οἱ μὴ χείλεσιν ἄκροις γευσάμενοι φιλοσοφίας, 92
ἀλλὰ τῶν ὀρθῶν δογμάτων αὐτῆς ἐπὶ πλέον ἑστιαθέντες, διερευνησάμενοι
φύσιν ψυχῆς καὶ τριττὸν εἶδος ἐνιδόντες αὐτῇ, τὸ μὲν λόγου, τὸ δὲ
θυμοῦ, τὸ δ' ἐπιθυμίας, λόγῳ μὲν ὡς ἡγεμόνι τὴν ἄκραν ἀπένειμαν

1 οἵαν coni. Wendl. alt. τὰ om. Richt. 1. 2 δ' ἐστὶν SM: δέ ἐστιν v 3 χρεοκοπίαις S 6 ἀιδρύτους SM, corr. Mang. 7 ἀνωμαλίας SM: ἀνομαλίας v 8 pr. καὶ S: ἢ M alt. καὶ SM: ἢ v 9 τἄλλ' SM: τἄλλα Mang. 11 τὰς φύσεις τυραννικοὺς transp. M 12 ἀσθενεστέροις scripsi: ἀσθενεστέρους SM; ἀσθενεστέρων Mang. 15 ἤδη SM: ἦδε v 17 ἀναφθεγγομένοις scripsi: ἀναφαινομένοις SM (v) 18 τίμωρος v ἐχεμυθοῦσιν S καὶ seclusi 19. 20 ὑγροῦ καὶ διαρρέοντος Mang.: ὑγροὺς διαρρέοντας SM 21 αἰδεσμάτων S (ἐ ss. S²) καὶ seclusit Mang., καινῶν coni. Wendl. 24 ἕνεκεν S 25 ὀρθῶν] τροφίμων coni. Mang. 26 τριττὸν Wendl. (Benzelius): τρίτον SM αὐτῇ Mang.: αὐτῆς SM

26 cf. Plat. Phaedr. 246 a, 253 c. Rep. IV 438 d. Tim. 69 c, al.

οἰκειότατον ἐνδιαίτημα κεφαλήν, ἔνθα καὶ | τῶν αἰσθήσεων αἱ τοῦ νοῦ p. 351 M.
93 καθάπερ βασιλέως δορυφόροι τάξεις παρίδρυνται, θυμῷ δὲ τὰ στέρνα, τῇ μὲν ἵνα στρατιώτου τρόπον θώρακα ἀμπεχόμενος, εἰ καὶ μὴ ἀπαθὴς ἐν πᾶσιν, ἀλλά τοι δυσάλωτος ᾖ, τῇ δ' ἵνα καὶ πλησίον τοῦ νοῦ παρῳκισμένος ὑπὸ τοῦ γείτονος ὠφελῆται, κατεπᾴδοντος αὐτὸν φρονήσει καὶ πραϋπαθῆ κατασκευάζοντος, ἐπιθυμίᾳ δὲ τὸν περὶ τὸν ὀμφαλὸν καὶ τὸ
94 καλούμενον διάφραγμα χῶρον· ἔδει γὰρ αὐτὴν ἥκιστα μετέχουσαν λογισμοῦ πορρωτάτω τῶν βασιλείων αὐτοῦ διῳκίσθαι, μόνον οὐκ ἐπ' ἐσχατιαῖς, καὶ πάντων ἀπληστότατον καὶ ἀκολαστότατον οὖσαν θρεμμάτων ἐμ-
95 βόσκεσθαι τόποις, ἐν οἷς τροφαί τε καὶ ὀχεῖαι. (3.) πρὸς ἅ μοι δοκεῖ πάντα ἀπιδὼν ὁ ἱερώτατος Μωυσῆς ἐκδύσασθαι τὸ πάθος καὶ μυσαξάμενος ὡς αἴσχιστον καὶ τῶν αἰσχίστων αἴτιον ἀπεῖπεν ἐν τοῖς μάλιστα τὴν ἐπιθυμίαν ὥς τινα τῆς ψυχῆς ἑλέπολιν, ἧς ἀναιρεθείσης ἢ πειθαρχούσης κυβερνήτῃ λογισμῷ πάντα διὰ πάντων εἰρήνης, εὐνομίας, ἀγαθῶν τελείων, ἀναπεπλήσεται πρὸς εὐδαίμονος βίου παντέλειαν.
96 φιλοσύντομος δ' ὢν καὶ εἰωθὼς ἐπιτέμνειν τὰ ἀπερίγραφα τῷ πλήθει παραδειγματικῇ διδασκαλίᾳ μίαν τὴν περὶ γαστέρα πραγματευομένην ἐπιθυμίαν ἄρχεται νουθετεῖν τε καὶ παιδεύειν, ὑπολαμβάνων καὶ τὰς ἄλλας οὐκέθ' ὁμοίως ἀφηνιάσειν, ἀλλὰ σταλήσεσθαι τῷ τὴν πρεσβυτάτην καὶ ὡς ἡγεμονίδα μεμαθηκέναι τοῖς σωφροσύνης νόμοις πειθαρχεῖν.
97 τίς οὖν ἡ διδασκαλία τῆς ἀρχῆς; συνεκτικώτατα δύο ἐστίν, ἐδωδὴ καὶ πόσις. ἑκάτερον αὐτῶν οὐκ ἀνῆκεν, ἀλλ' ἐπεστόμισε διατάγμασι καὶ πρὸς ἐγκράτειαν καὶ πρὸς φιλανθρωπίαν καὶ — τὸ μέγιστον — πρὸς εὐσέβειαν ἀγωγοτάτοις.

98 Ἀπάρχεσθαι γὰρ ἀπό τε σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ θρεμμάτων

1 αἱ τοῦ νοῦ Mang.: ἀεὶ τοῦ νόμου SM 2. 3 τῇ μὲν Mang.: τί μὲν M, τὴν μὲν S 3 εἰ καὶ μὴ Mang.: εἰ μὴ καὶ SM 4 ἀλλά τοι SM: ἀλλὰ καὶ v τῇ δ' S: τί δ' M ἵνα καὶ SM: καὶ om. v νοῦ Mang.: νόμου SM 5 ὠφελῆται Mang.: ὠφελεῖται SM αὐτὸν Mang.: αὐτῷ SM 6 πραϋπαθῆ scripsi: πραοπαθῆ SM, πράα πάθη v τὸν περὶ M (coni. Mang.): τῇ περὶ S 8 διωκεῖσθαι SM, corr. Mang. 9 ἀπλειστότατον S[1], corr. S[2] 10 τόποις Mang.: τροποῖς (sic) SM τροφαί τε SM: τε om. v ὀχίαι S

11 ἀφιδὼν S (π ss. S[2]) ἐκδύσασθαι] ἐκμισῆσαι coni. Mang. vel ἐπαποδύσασθαι τῷ πάθει: ἐκδύσασθαι [illegible] 13 ἀναιρηθείσης (sic) Mang. Richt. 15 εὐδαίμονος βίου παντέλειαν SM: εὐδαιμονίαν παντελείαν v 19 ἀφηνιάσειν M (Mang.): ἀφηνιᾶσιν S 20 ὡς om. M (fort. recte) πιθαρχεῖν S[1], corr. S[2] 21 οὖν om. M δύω v 22 ἑκάτερον ⟨οὖν⟩ conicio διατάγμασιν S 25 tit. περὶ ἀπαρχῶν add. S mg M

25 Exod. 22,29. 30. 34,26. Num. 18,12. 13. Deut. 15,19. 20. 18,4.

καὶ τῶν ἄλλων κελεύει καὶ τὰς ἀπαρχὰς διανέμειν εἴς τε θυσίας καὶ
τοὺς ἱερωμένους, τὰς μὲν ἕνεκα εὐχαριστίας τῆς πρὸς θεὸν ὑπὲρ εὐγονίας
καὶ εὐφορίας ἁπάντων, τοὺς δ' ἕνεκα τῆς περὶ τὸ ἱερὸν ἁγιστείας,
μισθὸν ληψομένους τῶν περὶ τὰς ἱερουργίας ὑπηρεσιῶν. ἐφίεται δὲ τὸ 99
παράπαν οὐδενὶ γεύσασθαί τινος ἢ μεταλαβεῖν, πρὶν διακρῖναι τὰς ἀπαρ-
χάς, ἅμα καὶ πρὸς ἄσκησιν τῆς βιωφελεστάτης ἐγκρατείας· ὁ γὰρ ταῖς
περιουσίαις, αἷς ἤνεγκαν αἱ τοῦ ἔτους ὧραι, μαθὼν μὴ ἐντρέχειν, ἀλλ'
ἀναμένων, ἄχρις ἂν αἱ ἀπαρχαὶ καθοσιωθῶσι, τὸν ἀφηνιασμὸν τῶν
ὁρμῶν ἔοικεν ἀναχαιτίζειν ἐξευμαρίζων τὸ πάθος.

p. 352 M. (4.) | Οὐ μὴν οὐδὲ τὴν τῶν ἄλλων μετουσίαν ἐφῆκε καὶ χρῆσιν 100
ἀδεᾶ τοῖς κοινωνοῦσι τῆς ἱερᾶς πολιτείας, ἀλλ' ὅσα τῶν χερσαίων ἢ
ἐνύδρων ἢ πτηνῶν ἐστιν εὐσαρκότατα καὶ πιότατα, γαργαλίζοντα καὶ
ἐρεθίζοντα τὴν ἐπίβουλον ἡδονήν. πάντα ἀνὰ κράτος ἀπεῖπεν, εἰδὼς ὅτι
τὴν ἀνδραποδωδεστάτην τῶν αἰσθήσεων δελεάσαντα γεῦσιν ἀπληστίαν
ἐργάσεται, δυσίατον κακὸν ψυχαῖς τε καὶ σώμασιν· ἀπληστία γὰρ τίκτει
δυσπεψίαν, ἥτις ἐστὶ νοσημάτων καὶ ἀρρωστημάτων ἀρχή τε καὶ πηγή.
χερσαίων μὲν οὖν τὸ συῶν γένος ἥδιστον ἀνωμολόγηται παρὰ τοῖς χρω- 101
μένοις, ἐνύδρων δὲ τὰ γένη τῶν ἀλεπίδων. * * * πρὸς γὰρ ἐγκράτειαν,
εἰ καί τις ἄλλος, ἱκανὸς ὢν ἀλεῖψαι τοὺς εὐφυῶς ἔχοντας πρὸς ἄσκησιν
ἀρετῆς δι' ὀλιγοδείας καὶ εὐκολίας γυμνάζει καὶ συγκροτεῖ, πειρώμενος
ἀφελεῖν πολυτέλειαν· οὔτε σκληραγωγίαν, ὡς ὁ Λακεδαιμόνιος νομοθέτης, 102
ἀποδεξάμενος οὔτε τὸ ἁβροδίαιτον, ὡς ὁ τοῖς Ἴωσι καὶ Συβαρίταις τὰ

3 τοὺς δ' Mang.: τῆς δ' S, τὰς δ' M ἁγιαστίας S (alt. α delevit S[2]), ἁγιστίας M, corr. Mang. 4 ἐφίεται] ἐφεῖται conicio 5 μεταβαλεῖν Richt. Tauchn. 6 βιωφιλεστάτης Mang. Richt. 7 αἷς S: ἃς M ἐντρέχειν scripsi: συντρέχειν SM, ἐπιτρέχειν v 8 ἀναμένων SM: ἐπιμένων v καθοσιωθῶσιν S 10 tit. περὶ ζώων add. S τὴν M: om. S (v) ἐφῆκε scripsi: ἀφῆκε(ν) SM 14 ἀνδραποδωδεστάτην SM: ἀνδραπωδεστάτην v 15 ἐργάσηται SM, corr. Mang. 17 συῶν SM: ὑῶν v 18 ἀλεπίδων] ἀλεπιδώτων conicio ante πρὸς γὰρ κτλ. pauca intercidisse arbitror, velut τούτων δὴ χρήσεως ἀνέχειν κελεύει 19 εἰ καί M, εἰ κέ S (αι ss. S[2]): εἴ κέ v 20 ὀλιγοδείας M: ὀλιγοδεείας S; ὀλιγοδείας v

3 Num. 18,31. 17. 18 Lev. 11,7. 10. Deut. 14,8. 10. 18 cf. *Clem. Alex. Strom. II 20 p. 484 P.* πάσης τοίνυν ἀρετῆς μεμνημένος ὁ θεῖος νόμος ἀλείφει μάλιστα τὸν ἄνθρωπον ἐπὶ τὴν ἐγκράτειαν, θεμέλιον ἀρετῶν κατατιθέμενος ταύτην. καὶ δὴ προπαιδεύει ἡμᾶς εἰς τὴν περιποίησιν τῆς ἐγκρατείας ἀπὸ τῆς τῶν ζῴων χρήσεως ἀπαγορεύων μεταλαμβάνειν τῶν ὅσα φύσει πίονα, καθάπερ τὸ τῶν συῶν γένος εὐσαρκότατον τυγχάνον· τρυφητιῶσι γὰρ ἡ τοιαύτη χρῆσις χορηγεῖται. . . . τῶν τε ἰχθύων ὁμοίως ἀπηγόρευσε μεταλαμβάνειν, στέλλων ἡμῶν τὰς ἐπιθυμίας ἐκείνων. οἷς μήτε πτερύγια μήτε λεπίδες εἰσίν· εὐσαρκίᾳ γὰρ καὶ πιότητι τῶν ἄλλων ἰχθύων οὗτοι διαφέρουσιν.

περὶ θρύψιν καὶ χλιδὴν εἰσηγησάμενος, ἀλλὰ μέσην ἀτραπὸν ἀμφοῖν ἀνατεμὼν τὸ μὲν σφοδρὸν ἐχάλασε, τὸ δ' ἀνειμένον ἐπέτεινε, τὰς ἐφ' ἑκατέρων τῶν ἄκρων ὑπερβολὰς ὡς ἐν ὀργάνῳ μουσικῷ κερασάμενος τῇ μέσῃ, πρὸς ἁρμονίαν βίου καὶ συμφωνίαν ἀνεπίληπτον· ὅθεν οὐκ ἀμελῶς ἀλλὰ καὶ πάνυ πεφροντισμένως οἷς χρηστέον ἢ τοὐναντίον διε-
103 τάξατο. θηρία ὅσα σαρκῶν ἀνθρωπίνων ἅπτεται τάχα μὲν ἄν τις ὑπολάβοι δίκαιον εἶναι τὰ αὐτὰ πρὸς ἀνθρώπων πάσχειν οἷς διατίθησι· Μωυσῆ δὲ τῆς τούτων ἀπολαύσεως ἀνέχειν δοκεῖ, ⟨εἰ⟩ καὶ προσηνεστάτην καὶ ἡδίστην εὐωχίαν παρασκευάζει, λογιζόμενος τὸ πρέπον ἡμέρῳ ψυχῇ· καὶ γὰρ εἰ τοῖς διατιθεῖσιν ἁρμόττει τὰ παραπλήσια παθεῖν, ἀλλ' οὐχὶ τοῖς παθοῦσιν ἀντιδιατιθέναι, μὴ λάθωσιν ὑπ' ὀργῆς,
104 ἀγρίου πάθους, θηριωθέντες. καὶ τοσαύτῃ χρῆται προφυλακῇ τοῦ πράγματος, ὥστε μακρόθεν ἀνεῖρξαι βουλόμενος τὴν ἐπὶ τὰ λεχθέντα ὁρμὴν ἀπαγορεῦσαι καὶ τῆς τῶν ἄλλων σαρκοβόρων ἀνὰ κράτος χρήσεως, τὰ ποηφάγα διακρίνας εἰς ἡμέρους ἀγέλας, ἐπεὶ καὶ τὴν φύσιν ἐστὶ τιθασά, τροφαῖς ἡμέροις αἷς ἀναδίδωσι γῆ χρώμενα καὶ μηδὲν εἰς ἐπι-
105 βουλὴν πραγματευόμενα. (5.) | δέκα δ' ἐστὶν ἀριθμῷ· μόσχος, ἀμνός, p. 353 M.
χίμαρος, ἔλαφος, δορκάς, βούβαλος, τραγέλαφος, πύγαργος, ὄρυξ, καμηλοπάρδαλις. ἀεὶ γὰρ τῆς ἀριθμητικῆς θεωρίας περιεχόμενος, ἣν ἀκριβῶς κατανενόηκεν ὅτι πλεῖστον ἐν τοῖς οὖσι δύναται, οὐδὲν οὐ μικρὸν οὐ μέγα

1 θρύψιν S: ὄρεξιν M 2 ἐπέτεινε SM: ἀπέτεινε Richt. 4 τῇ μέσῃ S: τὴν μέσην M ἀνεπίληπτον SM: ἐπίληπτον v 7 τὰ αὐτὰ SM: ταὐτὰ Richt. 8 μωσῆ M εἰ addidi; κἂν . . . παρασκευάζῃ coni. Mang. 9 λογιζομένῳ coni. Mang. 11 λαθῶσιν v 14 ἀπαγορεῦσαι] ἀπηγόρευσε conicio τῆς . . . χρήσεως] τὴν . . . χρῆσιν conicio 16 τιθασά SM Vind.: τιθασσά v τροφὰς ἡμέρους M
οις
ἡμέραις S^1, ἡμέραῖς (i. e. ἡμέροις αἷς) corr. S^2; ἡμέροις ἃς coni. Mang. 17 tit. τετραπόδων ὅσα καθαρά add. S mg M 18 πύγαργος Vind.: πύγαρτος SM (v) 19 ἣν SM: ἦν v 20 κατανενόηκεν M: κατανενοηκὼς S (v) οὖσιν S δύνασθαι M

15—233,8 Vind. hist. gr. 67 fol. 58^r περὶ τῶν ἐδωδίμων χερσαίων καὶ πρὸς βρῶσιν ἐπιτηδείων: Μωυσῆς γὰρ ὁ θεόπτης ἐκ τῶν τετραπόδων χερσαίων τὰ ποηφάγα καὶ χλοηφάγα ὑπέδειξεν ἡμῖν καθαρὰ εἶναι καὶ πρὸς βρῶσιν ἐδώδιμα, ἐπεὶ καὶ τὴν φύσιν εἰσὶ τιθασά, τροφαῖς ἡμέροις σιτούμενα καὶ μηδὲν εἰς ἐπιβουλὴν πραγματευόμενα. ἃ καὶ δέκα τὸν ἀριθμὸν ἐγνώρισεν εἶναι· μόσχος, ἀμνός, χίμαρος, ἔλαφος, δορκάς, βούβαλος, τραγέλαφος, πύγαργος, ὄρυξ, καμηλοπάρδαλις. διττὰ δὲ σημεῖα ὑπογράφει τούτοις κεκτεῖσθαι (sic), τό τε διχηλεῖν καὶ τὸ μυρικᾶσθαι· οἷς γὰρ μὴ πρόσεστι ταῦτα τὰ σημεῖα, ἀκάθαρτα καὶ ἄβρωτά εἰσι παντελῶς. 17 Deut. 14,4. 5.

νομοθετεῖ μὴ προσπαραλαβὼν καὶ ὥσπερ ἐφαρμόσας τὸν οἰκεῖον τοῖς νομοθετουμένοις ⟨ἀριθμόν⟩. ἀριθμῶν δὲ τῶν ἀπὸ μονάδος τελειότατος ἡ δεκὰς καί, ὥς φησι Μωυσῆς, ἱερώτατός τε καὶ ἅγιος, ᾧ τὰ γένη τῶν καθαρῶν ζῴων ἐπισφραγίζεται, βουληθεὶς τὴν τούτων χρῆσιν ἀπονεῖμαι τοῖς
μετέχουσι τῆς κατ᾽ αὐτὸν πολιτείας. βάσανον δὲ καὶ δοκιμασίαν τῶν 106
δέκα ζῴων ὑπογράφεται κοινῇ κατὰ διττὰ σημεῖα, τό τε διχηλεῖν καὶ τὸ μηρυκᾶσθαι· οἷς γὰρ ἢ μηδέτερον ἢ θάτερον αὐτὸ μόνον πρόσεστιν, ἀκάθαρτα. ταυτὶ δὲ τὰ σημεῖα ἀμφότερα σύμβολα διδασκαλίας καὶ μαθήσεως ἐπιστημονικωτάτης ἐστίν, ᾗ πρὸς τὸ ἀσύγχυτον τὰ βελτίω
τῶν ἐναντίων διακρίνεται. καθάπερ γὰρ τὸ μηρυκώμενον ζῷον, ὅταν 107
διατεμὸν τὴν τροφὴν ἐναπερείσηται τῇ φάρυγγι, πάλιν ἐκ τοῦ κατ᾽ ὀλίγον ἀνιμᾶται καὶ ἐπιλεαίνει καὶ μετὰ ταῦτ᾽ εἰς κοιλίαν διαπέμπεται, τὸν αὐτὸν τρόπον καὶ ὁ παιδευόμενος, δεξάμενος δι᾽ ὤτων τὰ σοφίας δόγματα καὶ θεωρήματα παρὰ τοῦ διδάσκοντος, ἐπὶ πλέον ἔχει τὴν μάθησιν οὐχ οἷός τε ὢν εὐθὺς συλλαβέσθαι καὶ περιδράξασθαι κραταιότερον, ἄχρις ἂν ἕκαστον ὧν ἤκουσεν ἀναπολῶν μνήμῃ συνεχέσι μελέταις — αἱ δ᾽ εἰσὶ κόλλα νοημάτων — ἐνσφραγίσηται τῇ ψυχῇ βεβαίως τὸν
τύπον. ἀλλ᾽ οὐδὲν ὡς ἔοικεν ὄφελος ἡ τῶν νοημάτων βεβαία κατάληψις, 108
εἰ μὴ προσγένοιτο διαστολὴ τούτων καὶ διαίρεσις εἴς τε αἵρεσιν ὧν χρὴ καὶ φυγὴν τῶν ἐναντίων, ἧς τὸ διχηλοῦν σύμβολον· ἐπεὶ τοῦ βίου διττὴ ὁδός, ἡ μὲν ἐπὶ κακίαν, ἡ δ᾽ ἐπ᾽ ἀρετὴν ἄγουσα, καὶ δεῖ τὴν μὲν
ἀποστρέφεσθαι, τῆς δὲ μηδέποτε ἀπολείπεσθαι. (6.) διὰ τοῦθ᾽ ὅσα 109
ἢ μονώνυχα ἢ πολύχηλα τὰ μὲν ἀκάθαρτα, ὅτι αἰνίττεται μίαν καὶ τὴν

---

2 ἀριθμόν add. Mang. τελειώτατος S 3 ἅγιος] ἁγιώτατος coni. Mang. 5 μετέχουσιν S δοκημασίαν S 6 διχειλεῖν S^1, corr. S^2 7 μαρυκᾶσθαι S, μ(η)αρυκᾶσθαι M, μυρικᾶσθαι Vind. pr. ἢ] ἡ S αὐτὸ S^1: αὐτῷ S^2, αὐτῶν M 8 ταυτὶ SM: ταῦτα v σύμβολα om. M 10 μαρυκώμενον S, μ(η)αρυκώμενον M ὅταν scripsi: ὅτε SM (v) 11 διατεμὸν SM: διατέμνον v 12 ἀνιμᾶται S^2M, ἀνειμᾶται S^1: ἀναμάττει v 16 μνήμῃ SM: μνήμην v 17 δ᾽ εἰσὶ SM: δέ εἰσι v κ(ω)όλλα (sic) M 18 ὤφελος S^1, corr. S^2 20 διχειλοῦν S^1, corr. S^2 ἐπεὶ] ἡ ἐπὶ M 21 τὴν μὲν SM: τῆς μὲν v 22 ἀπολείπεσθαι S^2M, ἀπολίπεσθαι S^1: ἀπολιπέσθαι v tit. τετραπόδων τὰ μὴ καθαρά add. S, τετράποδα ὅσα μὴ καθαρά mg M τοῦτ᾽ S^1, corr. S^2 23 μον(όν)υχα S (όν ss. S^2), μονόνυχα M, corr. Mang. πολύχειλα S^1, corr. S^2 ἀκάθαρτα ὅτι scripsi: ὅτι ἀκάθαρτα SM; ἀκάθαρτα τὰ μὲν ὅτι coni. Mang.

5sq. Lev. 11,3. Deut. 14,6. cf. *Aristeae epist.* § *150 sqq.*

αὐτὴν φύσιν ἀγαθοῦ τε καὶ κακοῦ, καθάπερ κοίλου καὶ περιφεροῦς καὶ
ἀνάντους ὁδοῦ καὶ κατάντους, τὰ δ' ὅτι πολλὰς ὁδοὺς μᾶλλον δ' ἀνοδίας
ἐμφαίνει τῷ | βίῳ πρὸς ἀπάτην· οὐ γὰρ ῥᾴδιον ἐν πλήθει τὴν ἀνυσι- p. 354 M.
μωτάτην καὶ ἀρίστην ἀτραπὸν καταλαβεῖν.
110 (7.) Τούτους ἐπὶ τῶν χερσαίων τοὺς ὅρους θεὶς ἄρχεται καὶ τῶν
ἐνύδρων τὰ πρὸς ἐδωδὴν καθαρὰ διαγράφειν, σημειωσάμενος καὶ ταῦτα
διττοῖς χαρακτῆρσι, πτέρυξι καὶ λεπίσι· τὰ γὰρ ἢ μηδέτερον ἢ θάτερον
ἔχοντα παραπέμπει καὶ παραιτεῖται. τὸ δ' αἴτιον οὐκ ἀπὸ σκοποῦ
111 λεκτέον. ὅσα μὲν ἢ ἀμφοῖν ἀμέτοχα ἢ τοῦ ἑτέρου, κατασύρεται πρὸς
τοῦ ῥοώδους ἀντέχειν ἀδυνατοῦντα τῇ βίᾳ τῆς φορᾶς· οἷς δ' ἑκάτερον
πρόσεστιν, ἀποστρέφει ⸢καὶ⸣ μετωπηδὸν ἀνθίσταται καὶ φιλονεικοῦντα
πρὸς τὸν ἀντίπαλον προθυμίαις καὶ τόλμαις ἀηττήτοις γυμνάζεται, ὡς
ὠθούμενά τε ἀντωθεῖν καὶ διωκόμενα ἀντεπιτρέχειν, ὁδοὺς ἐν δυσοδίαις
112 ἀναστέλλοντα εὐρείας πρὸς διεξόδους εὐμαρεῖς. σύμβολα δὲ καὶ ταῦτ'
ἐστί, τὰ μὲν πρότερα φιληδόνου ψυχῆς, τὰ δ' ὕστερα καρτερίαν καὶ
ἐγκράτειαν ποθούσης· ἡ μὲν γὰρ ἐφ' ἡδονὴν ἄγουσα κατάντης ἐστὶ καὶ
ῥᾴστη, συρμὸν ἀπεργαζομένη μᾶλλον ἢ περίπατον, ἀνάντης δὲ ἡ πρὸς
ἐγκράτειαν, ἐπίπονος μέν, ἐν δὲ τοῖς μάλιστα ὠφέλιμος· καὶ ἡ μὲν
ὑποφέρει καὶ ὑπονοστεῖν ἀναγκάζει τῷ πρανεῖ κατάγουσα, μέχρις ἂν εἰς
τὰ τῆς ἐσχατιᾶς ἀποβράσῃ, ἡ δ' εἰς οὐρανὸν ἄγει τοὺς μὴ προκαμόντας
ἀθανατίζουσα, τὸ τραχὺ καὶ δυσαναπόρευτον αὐτῆς ἰσχύσαντας ὑπομεῖναι.
113 (8.) Τῆς δ' αὐτῆς ἰδέας ἐχόμενος τῶν ἑρπετῶν ὅσα ἢ ἄποδα ἢ
συρμῷ τῆς γαστρὸς ἰλυσπώμενα ἢ τετρασκελῆ καὶ πολύποδα φησὶν εἶναι
πρὸς ἐδωδὴν οὐ καθαρά, πάλιν αἰνιττόμενος διὰ μὲν ἑρπετῶν τοὺς ἐπὶ
κοιλίαις τὸν αἰθυίης τρόπον ἐμφορουμένους καὶ γαστρὶ τῇ ταλαίνῃ δασ-
μοὺς ἀπαύστως εἰσφέροντας ἀκράτου, πεμμάτων, ἰχθύων, συνόλως ὅσα
σιτοπόνων καὶ ὀψαρτυτῶν τετεχνιτευμέναι περιεργίαι μετὰ παντοίων

1 καὶ ante περιφεροῦς om. Richt. Tauchn. 4 καταλαβεῖν SM: ἀκαταλαβεῖν Mang. Richt. 5 tit. περὶ ἐνύδρων καθαρῶν add. S mg M ἄρχεται Mang. (in append.): παράρχεται SM, παρέρχεται v 7 πτέρυξι M: om. S; πτερυγίοις add. Mang. 11 καὶ add. Mang. 13 δυσοδίαις S[1], ο in ω corr. S[2] 14 ἀνατέλλοντα S[1], corr. S[2] 15 ἐστὶν S 16 ἐπ' S[1], ἐφ' corr. S[2] κατάντην S 19 ὑποφέρειν M 22 tit. περὶ ἑρπετῶν add. S mg M εἰδέας S[1] 23 τετράσκελα SM, corr. Mang. 24. 25 τῶν ἐπὶ κοιλίαις ⟨πορευομένων τοὺς⟩ conicio 25 αἰθυίης SM: αἴθύης v ἐμφο[ε]ρουμένους M 27 τεχνιτευμέναι SM, corr. Mang.

6 Lev. 11,9. 10. Deut. 14,9. 10. 22 Lev. 11,20. 23. 41. 42.

ἐδεσμάτων δημιουργοῦσιν ἀναρριπίζουσαι καὶ προσαναφλέγουσαι τὰς
ἀπλήστους καὶ ἀκορέστους ἐπιθυμίας, διὰ δὲ τῶν τετρασκελῶν καὶ πολυ-
πόδων τοὺς μὴ ἑνὸς πάθους, ἐπιθυμίας, ἀλλὰ συμπάντων κακοὺς δούλους,
ἃ γένει μέν ἐστιν ἀριθμῷ τέτταρα, μυρία δὲ τοῖς εἴδεσιν. χαλεπὴ μὲν
οὖν καὶ ἡ ἑνὸς δεσποτεία, βαρυτάτη δὲ καὶ ἀφόρητος, ὡς εἰκός, ἡ
πλειόνων. οἷς δὲ τῶν ἑρπετῶν ὑπεράνω σκέλη τῶν ποδῶν ἐστιν, ὥστε 114
p. 355 M. πηδᾶν ἀπὸ τῆς γῆς δύνασθαι, ταῦτ' ἐν | καθαροῖς ἀναγράφει, καθάπερ
τὰ τῶν ἀκρίδων γένη καὶ τὸν ὀφιομάχην καλούμενον, πάλιν διὰ συμ-
βόλων ἤθη καὶ τρόπους λογικῆς ψυχῆς διερευνώμενος· ἡ μὲν γὰρ τοῦ
σώματος ὁλκὴ φύσει βρίθουσα τοὺς ὀλιγόφρονας συνεφέλκεται τῷ πλήθει
τῶν σαρκῶν αὐχενίζουσα καὶ πιέζουσα· μακάριοι δ' οἷς ἐξεγένετο κρα- 115
ταιοτέρᾳ δυνάμει πρὸς τὴν ῥοπὴν τῆς ὁλκῆς ἀντιβιάσασθαι παιδείας
κανόσιν ὀρθῆς, ἄνω πηδᾶν δεδιδαγμένοις ἀπὸ γῆς καὶ τῶν χαμαιζήλων
εἰς αἰθέρα καὶ τὰς οὐρανοῦ περιόδους, ὧν ἡ θέα ζηλωτὴ καὶ περιμά-
χητος τοῖς ἑκουσίως ἀλλὰ μὴ παρέργως ἥκουσιν.

(9.) Ἐπεληλυθὼς οὖν τῷ λόγῳ τάς τε τῶν χερσαίων καὶ τὰς 116
τῶν ἐνύδρων ζῴων ἰδέας καὶ νόμοις αὐτὰς ὡς ἐνῆν ἄριστα διακρίνας
ἄρχεται καὶ τὴν λοιπὴν φύσιν τῶν ἐν ἀέρι προσεξετάζειν, μυρία γένη
τῶν πτηνῶν ἀποδοκιμάσας ὅσα ἢ κατ' ἄλλων ἢ κατ' ἀνθρώπων φονᾷ,
σαρκοβόρα καὶ ἰοβόλα καὶ συνόλως ἐπιβούλοις κεχρημένα ταῖς δυνάμεσι.
φάττας δὲ καὶ περιστερὰς καὶ τρυγόνας καὶ τὰς γεράνων καὶ χηνῶν καὶ 117
ὁμοιοτρόπων ἀγέλας ἐν τῇ τιθασῷ καὶ ἡμέρῳ τάξει καταριθμεῖ παρέχων
τοῖς βουλομένοις τὴν τούτων χρῆσιν ἀδεᾶ. οὕτως ἐφ' ἑκάστου τῶν τοῦ 118
κόσμου μερῶν, γῆς ὕδατος ἀέρος, γένη παντοίων ζῴων, χερσαῖα καὶ
ἔνυδρα καὶ πτηνά, τῆς ἡμετέρας χρήσεως ὑφαιρῶν, καθάπερ ὕλην πυρός,
σβέσιν τῆς ἐπιθυμίας ἀπεργάζεται.

---

1 αἰδεσμάτων S ἀναρυπίζουσαι S¹, corr. S² 2 τετρασκέλων S
3 μὴ ἑνὸς M (coni. Mang.): μηδενὸς S 4 ἃ γένει scripsi: ἃ γένη SM, ὧν γένη v
ἀριθμῶ δ' SM: δ' ἀριθμῷ Mang. ἀριθμῷ secludendum videtur 5 εἰκὼς S¹,
corr. S² 6 tit. περὶ καθαρῶν ἑρπετῶν add. S mg M ὥστε] ὡς conicio
8 ὀφιομάχην SM: ὀφιομάχον v 10 ὁλκὴ Mang.: ἀλκὴ SM 11 αὐχενίζουσα]
ἄγχουσα coni. Mang. πιαίζουσα S 12 ὁλκῆς SM: ἀλκῆς v (sed ὁλκῆς
scribendum esse vidit Mang.) 16 tit. περὶ πτηνῶν add. S mg M
ἐπεξεληλυθὼς coni. Mang. 17 εἰδέας S¹ 19 post πτηνῶν falso interpung. v
ἀποδοκημάσας S¹, corr. S² ἄλλων] ἀλλήλων coni. Mang., ἀλόγων ipse conicio
22 τιθάσω (sic) καὶ ἡμέρω τάξει SM: τιθασσῶν καὶ ἡμέρων τάξει v

---

6 Lev. 11,21. 22. 19 Lev. 11,13—19. Deut. 14,12—17. cf. *Aristeae epist.* § *145. 146.* 21 Deut. 14,11. 19.

119 (10.) Κελεύει μέντοι μήτε θνησιμαῖον μήτε θηριάλωτον προσίεσθαι,
τὸ μὲν ὡς οὐ δέον κοινωνεῖν τραπέζης ἄνθρωπον ἀτιθάσοις θηρίοις,
μόνον οὐ συνευωχούμενον ταῖς σαρκοφαγίαις, τὸ δ᾽ ὡς τάχα μὲν βλαβερὸν
καὶ νοσῶδες, ἐναποτεθνηκότος τοῦ ἰχῶρος μετὰ τοῦ αἵματος, τάχα δ᾽
ἐπεὶ καὶ τελευτῇ προκατεσχημένον ἁρμόττον ἦν ἄψαυστον διαφυλάττειν,
120 αἰδουμένους τὰς φύσεως ἀνάγκας αἷς προκατελήφθη. τοὺς περὶ τὰ
κυνηγέσια δεινοὺς καὶ βάλλειν θῆρας εὐσκόπως ἐπισταμένους, ἥκιστα
διαμαρτάνοντας, καὶ ἐπ᾽ εὐθήροις ἄγραις ὑψαυχενοῦντας καὶ μάλισθ᾽
ὅταν σὺν τοῖς κυνηγοῖς ἀνδράσιν ὁμοῦ καὶ σκύλαξι διανέμωσι τὰ μέρη
τῶν ἑαλωκότων, ἐπαινοῦσι μὲν οἱ πολλοὶ τῶν παρ᾽ Ἕλλησι καὶ βαρ-
βάροις νομοθετῶν ὡς οὐκ ἀνδρείους μόνον ἀλλὰ καὶ κοινωνικοὺς τὸ
ἦθος, | μέμψαιτο δ᾽ ἂν [τις] εἰκότως ὁ τῆς ἱερᾶς εἰσηγητὴς πολιτείας, p. 356 M.
ἄντικρυς ἀπειρηκὼς θνησιμαίων καὶ θηριαλώτων ἀπόλαυσιν διὰ τὰς
121 εἰρημένας αἰτίας. εἰ δέ τις τῶν ἀσκητῶν φιλογυμναστὴς γένοιτο καὶ
φιλόθηρος, μελέτας καὶ προάγωνας ὑπολαμβάνων εἶναι πολέμων καὶ κιν-
δύνων τῶν πρὸς ἐχθρούς, ὁπότε χρήσαιτο εὐτυχίᾳ τῇ περὶ ἄγραν, [καὶ]
τοὺς ἑαλωκότας θῆρας προτιθέτω κυσὶν εὐωχίαν, μισθὸν ἢ γέρας εὐτολ-
μίας καὶ ἀνυπαιτίου συμμαχίας, αὐτὸς δὲ μὴ ψαυέτω προδιδασκόμενος
ἐν ἀλόγοις ζῴοις, ἃ χρὴ καὶ περὶ ἐχθρῶν φρονεῖν, οἷς πολεμητέον οὐ
διὰ κέρδος ἄδικον λωποδυτούντων πράξεις ⟨μιμουμένους⟩, ἀλλ᾽ ἤτοι διὰ
πεῖραν κακῶν ὧν προπεπόνθασιν ἀμυνομένους ἢ δι᾽ ἃ προσδοκῶσι
122 πείσεσθαι. ἔνιοι δὲ Σαρδανάπαλλοι τὴν ἀκρασίαν τὴν ἄγαν ἁβροδίαιτον
αὐτῶν χανδὸν πρὸς τὸ ἀόριστον καὶ ἀτελεύτητον ἀποτείνοντες, καινὰς

1 tit. περὶ θνησιμαίων καὶ θηριαλώτων add. S mg M 2 τραπέζης SM: τραπέζας v ἄνθρωπον scripsi: ἀνθρώπων SM (v) ἀτιθάσσοις M (v) 3 συνευοχούμενον S 5 προκατισχημένον M 7 καὶ βάλλειν θῆρας εὐσκόπως ἐπισταμένους M mg S: om. in textu S (om. v) 8 καὶ ἐπ᾽ εὐθήροις ἄγραις ὑψαυχενοῦντας om. M μάλιστ᾽ S[1], corr. S[2] 9 σκύλαξιν S 11 ἀνδρίους S 12 τις seclusi; ἐμέμψατο δ᾽ αὖθις coni. Mang. 13 ἄντικρυς SM: ἀντικρὺς Mang. 15 προαγῶνας M (coni. Mang.): πρῶνας S 16 καὶ seclusit Mang. 20 πράξεις SM: τὰς πράξεις v μιμουμένους addidi; π. ⟨ἐπιτηδεύοντας⟩ coni. Mang. 21 πεῖραν M: om. S (v) ἀμυνομένους scripsi: ἀμυνομένοις SM (v) 22 πήσεσθαι S[1], πείσεσθαι corr. S[2] σαρδανάπαλοι M τὴν ἀκρασίαν Wendl.: τῆς ἀκρασίας SM (v) τὴν ἄγαν scripsi: τὴν ἀρὰν SM; τὸ ἄγαν v ἁβροδιαίτων S 23 αὐτῶν SM (v) χανδὸν] σχεδὸν coni. Mang. ἀόριστον S[2]: ἄριστον S[1]M ἀποτείνοντες M: ἀποτείνονται S (v) καινὰς Mang.: κενὰς SM; ⟨καὶ⟩ καινὰς conicio

1 Lev. 5,2. 11,24—28. Deut. 14,20. 12 Lev. 17, 13—16. 17 Exod. 22,31.

ἐπινοοῦντες ἡδονάς, ἄθυτα παρασκευάζουσιν, ἄγχοντες καὶ ἀποπνίγοντες καὶ τὴν οὐσίαν τῆς ψυχῆς, ἣν ἐλεύθερον καὶ ἄφετον ἐχρῆν ἐᾶν, τυμβεύοντες τῷ σώματι τὸ αἷμα· σαρκῶν γὰρ αὐτὸ μόνον ἀπολαύειν αὔταρκες ἦν, μηδενὸς ἐφαπτομένους τῶν συγγένειαν πρὸς ψυχὴν ἐχόντων. ὅθεν ἐν ἑτέροις τίθησι νόμον περὶ αἵματος, μήθ' αἷμα μήτε στέαρ 123
προσφέρεσθαι· τὸ μὲν αἷμα δι' ἣν εἶπον αἰτίαν ὅτι οὐσία ψυχῆς ἐστίν — οὐχὶ τῆς νοερᾶς καὶ λογικῆς ἀλλὰ τῆς αἰσθητικῆς, καθ' ἣν ἡμῖν τε καὶ τοῖς ἀλόγοις κοινὸν τὸ ζῆν συμβέβηκεν· (11.) ἐκείνης γὰρ οὐσία πνεῦμα θεῖον καὶ μάλιστα κατὰ Μωυσῆν, ὃς ἐν τῇ κοσμοποιίᾳ φησὶν ἀνθρώπῳ τῷ πρώτῳ καὶ ἀρχηγέτῃ τοῦ γένους ἡμῶν ἐμφυσῆσαι πνοὴν ζωῆς τὸν θεὸν εἰς τὸ τοῦ σώματος ἡγεμονικώτατον, τὸ πρόσωπον, ἔνθα αἱ δορυφόροι τοῦ νοῦ καθάπερ μεγάλου βασιλέως αἰσθήσεις παρίδρυνται· τὸ δ' ἐμφυσώμενον δῆλον ὡς αἰθέριον ἦν πνεῦμα καὶ εἰ δή τι αἰθερίου πνεύματος κρεῖσσον, ἅτε τῆς μακαρίας καὶ τρισμακαρίας φύσεως ἀπαύγασμα —, τὸ δὲ στέαρ, διότι πιότατον, πάλιν εἰς διδασκαλίαν ἐγκρατείας 124
καὶ ζῆλον αὐστηροῦ βίου, τὰ μὲν ῥᾷστα καὶ κατὰ χειρὸς μεθιεμένου, φροντίδας δὲ καὶ πόνους ἐθελοντὶ ἕνεκα κτήσεως ἀρετῆς ὑπομένοντος. ἧς χάριν αἰτίας ἀπὸ παντὸς ἱερείου δύο ταῦτα ἐξαίρετα ὁλοκαυτοῦται, 125
p. 357 M. ὥσπερ τινὲς ἀπαρχαί, στέαρ τε καὶ αἷμα, τὸ | μὲν ὡς σπονδὴ τῷ βωμῷ προσχεόμενον, τὸ δ' ὡς ὕλη φλογὸς ἐπιφερόμενον ἀντ' ἐλαίου διὰ τὴν πιότητα τῷ καθωσιωμένῳ καὶ ἱερῷ πυρί.

Μέμφεταί τινας τῶν καθ' αὐτὸν γεγονότων ὡς γαστριμάργους καὶ 126
τὸ καθηδυπαθεῖν ὡς εὐδαιμονικὸν ἐν τοῖς μάλιστα εἶναι ὑπολαμβάνοντας, οἷς οὐκ ἀπέχρη κατὰ πόλεις αὐτὸ μόνον τρυφᾶν, ἐν αἷς αἱ χορηγίαι καὶ παρασκευαὶ τῶν ἐπιτηδείων ἄφθονοι, ἀλλὰ καὶ ⟨ἐν⟩ ἐρημίαις ἀβάτοις καὶ ἀτριβέσιν, ἀξιοῦντες ἐν ταύταις ἀγορὰς ἔχειν ἰχθύων καὶ κρεῶν καὶ τῶν

2 pr. καὶ SM: om. v 2. 3 τυμβεύοντες SM: ἐντυμβεύοντες v 3 αὐτῷ (sed ω corr. ex ο) S, αὐτῶν M 4 αὐταρκὲς v 7 pr. τῆς om. M post λογικῆς add. ὅτι δύο ψυχὰς ἔχομεν mg S et in textu M 8 post συμβέβηκεν tit. περὶ ψυχῆς ἀνθρώπου add. S mg M 14 κρεῖσσον SM: κρεῖττον v 16 μεθιεμένου M: μεθίεμεν, οὐ S (v) 17 ὑπομένοντος M: ὑπομένοντες S (v) 18 ὁλοκαυτοῦται scripsi: ὁλόκαυται S[1], ὁλοκαύτω (sic) S[2] (τα· supra), ὡλοκαύτωται M; ὁλόκαυτα v 20 ἀντ' ἐλαίου om. M 21 καθωσιωμένω M: καθοσιωμένω S (v) 22 μέμφεται ⟨καί⟩ τινας conicio, μέμφεται ⟨οὖν⟩ coni. Mang. 23 κατηδυπαθεῖν S[1], corr. S[2] 24 ἀπέχρη S: ἀπόχρη M 25 ἐν add. Wendl. 26 κρειῶν Richt.

5 Lev. 3,17. 6 Lev. 17,11. 14. Deut. 12,23. 9 Gen. 2,7. 18 Lev. 4,7. 8 al. 22 sqq. Num. 11,4 sqq.

127 ἐν εὐετηρίᾳ πάντων. εἶτ' ἐπειδὴ σπάνις ἦν, συνιστάμενοι κατεβόων καὶ
κατηγόρουν καὶ ἐδυσώπουν ἀναισχύντῳ θράσει τὸν ἄρχοντα καὶ οὐ
πρότερον ἐπαύσαντο νεωτερίζοντες ἢ τυχεῖν μὲν ὧν ὠρέγοντο, τυχεῖν
δὲ ἐπ' ὀλέθρῳ, δυοῖν ἕνεκα· τοῦ τ' ἐπιδείξασθαι, ὅτι πάντα θεῷ δυνατὰ
πόρον ἐξ ἀμηχάνων καὶ ἀπόρων ἀνευρίσκοντι, καὶ τοῦ τιμωρήσασθαι
128 τοὺς γαστρὸς ἀκράτορας καὶ ἀφηνιαστὰς ὁσιότητος. ἀπὸ γὰρ τῆς θαλάτ-
της ἀρθὲν ὀρτυγομήτρας νέφος ἐκχεῖται περὶ τὴν ἕω καὶ τὸ μὲν στρα-
τόπεδον καὶ τὰ πέριξ ἐφ' ἡμερήσιον ἀνδρὸς εὐζώνου πανταχόθεν ἐν
κύκλῳ συνεσκίαστο, τὸ δὲ ὕψος τῆς τῶν ζῴων πτήσεως ὡσεὶ διπήχει
συναριθμουμένῳ διαστήματι τῆς γῆς ἀφειστήκει πρὸς εὐμαρῆ σύλληψιν.
129 εἰκὸς μὲν οὖν τὸ τεράστιον τοῦ μεγαλουργηθέντος καταπλαγέντας ἀρκε-
σθῆναι τῇ θέᾳ καὶ γεμισθέντας εὐσεβείας κἂν ταύτῃ τραφέντας ἀπο-
σχέσθαι κρεωφαγίας· οἱ δὲ μᾶλλον ἢ πρότερον ἐπιθυμίαν ἐγείραντες ὡς
ἐπὶ μέγιστον ἀγαθὸν ἵεντο καὶ τὰ ζῷα ταῖς ἀμφοτέραις χερσὶν ἐφελ-
κόμενοι τοὺς κόλπους ἐπλήρουν, εἶτ' ἐναποτιθέμενοι ταῖς σκηναῖς ἐφ'
ἑτέρων σύλληψιν ἐξῄεσαν — αἱ γὰρ ἄγαν πλεονεξίαι μέτρον οὐκ ἔχουσι
— καὶ σκευάζοντες πᾶσαν ἰδέαν ἀπλήστως ἐνεφοροῦντο, μέλλοντες οἱ
130 κενοὶ φρενῶν ὑπὸ τῆς πλησμονῆς ἀπόλλυσθαι. καὶ δῆτα οὐκ εἰς μακρὰν
καθάρσεσι χολῆς ἐφθάρησαν, ὡς καὶ τὸ χωρίον ἀπὸ τοῦ περὶ αὐτοὺς
πάθους τὴν ἐπωνυμίαν λαβεῖν· ἐκλήθη γὰρ „Μνήματα τῆς ἐπιθυμίας"
(Num. 11, 34), ἧς οὐκ ἔστιν ἐν ψυχῇ, καθάπερ ἐδίδαξεν ὁ λόγος,
131 μεῖζον κακόν. διὸ παγκάλως ἐν ταῖς παραινέσεσι Μωυσῆς φησιν·
„οὐ ποιήσει ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὑτοῦ" (Deut. 12, 8), τὸ δ'
ἐστὶν ἴσον τῷ „μηδεὶς τῇ ἐπιθυμίᾳ τῇ αὑτοῦ χαριζέσθω"· εὐαρεστείτω
γάρ τις θεῷ, κόσμῳ, φύσει, νόμοις, σοφοῖς ἀνδράσι, φιλαυτίαν παραι-
τούμενος, εἰ μέλλει καλὸς κἀγαθὸς γενήσεσθαι.
132 (12.) Τοσαῦτα καὶ ⟨περὶ⟩ τῶν εἰς ἐπιθυμίαν ἀναφερομένων ἀποχρών-
τως κατὰ τὴν δύναμιν εἴρηται πρὸς συμπλήρωσιν τῶν δέκα λογίων καὶ τῶν
τούτοις ὑποστελλόντων· | εἰ γὰρ δεῖ τὰ μὲν φωνῇ θείᾳ χρησμῳδηθέντα p. 358 M.

2 ἐκατηγόρουν S (sed ἐ expunxit S²); κακηγόρουν coni. Mang. 3 νεωτερίζονται S¹, corr. S² 4 δὲ S: δ' M 7 ἐκχεῖται SM: ἐγχεῖται v περὶ Mang.: παρὰ SM 8 ἐφημερήσιον SM 9 συνεσκίαστο SM: ὑπεσκίαστο v ὡσεὶ διπήχει Mang. (cf. LXX Num. 11,31): εἰ δίπηχυ S¹ ut vid., εἰς διπήχει (sic) S², εἴδει πήχεως M; εἰ διπήχει v 12 κἂν scripsi: καὶ SM (v): καὶ ταύτῃ ἐντραφέντας coni. Mang. 13 κρεοφαγίας S ἐγείραντες SM: ἐγείροντες v 14 ἴεντο M 16 ἐξῄεσαν scripsi: ἐξίεσαν SM (v) ἔχουσιν S 17 εἰδέαν S 22 παραινέσεσιν S 23 αὐτοῦ SM 24 τῷ M: τὸ S pr. τὴν S¹, τῇ corr. S² αὐτοῦ SM εὐαριστείτω Richt. Tauchn. 27 περὶ addidi 27. 28 ἀποχρῶντος S 28 ι' M 29 εἰ γὰρ δεῖ] ἔδει γὰρ coni. Mang.

κεφάλαια γένη νόμων ἀποδεῖξαι, τοὺς δὲ κατὰ μέρος πάντας οὓς
διηρμήνευσε Μωυσῆς ὑποστέλλων τὰ εἴδη, πρὸς τὸ ἀσύγχυτον τῆς
ἀκριβοῦς καταλήψεως φιλοτεχνίας ἐδέησεν, ᾗ χρησάμενος ἑκάστῳ τῶν
γενῶν ἐξ ἁπάσης τῆς νομοθεσίας τὰ οἰκεῖα προσένειμα καὶ προσέφυσα.
τούτων μὲν δὴ ἅλις. οὐ δεῖ δ' ἀγνοεῖν, ὅτι ὥσπερ ἰδίᾳ ἑκάστῳ τῶν 133
δέκα συγγενῆ τινα τῶν ἐπὶ μέρους ἐστίν, ἃ πρὸς ἕτερον γένος οὐδεμίαν
ἔχει κοινωνίαν, οὕτως ἔνια κοινὰ πάντων συμβέβηκεν, οὐχ ἑνὶ ἢ δυσίν,
ὡς ἔπος εἰπεῖν, τοῖς ⟨δὲ⟩ δέκα λογίοις ἐφαρμόττοντα. ταῦτα δ' εἰσὶν 134
αἱ κοινωφελεῖς ἀρεταί· καὶ γὰρ ἕκαστος ἰδίᾳ τῶν δέκα χρησμῶν καὶ
κοινῇ πάντες ἐπὶ φρόνησιν καὶ δικαιοσύνην καὶ θεοσέβειαν καὶ τὸν ἄλλον
χορὸν τῶν ἀρετῶν ἀλείφουσι καὶ προτρέπουσι, βουλαῖς μὲν ἀγαθαῖς
ὑγιαίνοντας λόγους, λόγοις δὲ σπουδαίας πράξεις συνείροντες, ἵνα τὸ
ψυχῆς ὄργανον εὐαρμόστως ὅλον δι' ὅλων συνηχῇ πρὸς ἐμμέλειαν βίου
καὶ συμφωνίαν ἀνεπίληπτον. περὶ μὲν οὖν τῆς ἡγεμονίδος τῶν ἀρετῶν, 135
εὐσεβείας καὶ ὁσιότητος, ἔτι δὲ καὶ φρονήσεως καὶ σωφροσύνης εἴρηται
πρότερον, νυνὶ δὲ περὶ τῆς ἐπιτηδευούσης ἀδελφὰ καὶ συγγενῆ ταύταις
δικαιοσύνης λεκτέον.

Περὶ δικαιοσύνης.

(1.) Ἓν τὸ δικαιοσύνης οὐ βραχὺ μέρος ἦν τὸ πρὸς δικαστήρια 136
καὶ δικαστάς, οὗ πρότερον ἐποιησάμην ὑπόμνησιν, ἡνίκα τὰ τῶν μαρ-
τυρίων ἐπὶ πλέον ἀπομηκύνων διεξῄειν ἕνεκα τοῦ μηδὲν παραλειφθῆναι
τῶν ἐμφερομένων. οὐκ εἰωθὼς δὲ παλιλλογεῖν, εἰ μή πού τις ἀνάγκη
γένοιτο βιαζομένων τῶν καιρῶν, ἐκεῖνο μὲν ἐάσω, πρὸς δὲ τὰ ἄλλα
μέρη τρέψομαι τοσοῦτον προειπών. τὰ δίκαια, φησὶν ὁ νόμος, ἐντιθέναι 137
δεῖ τῇ καρδίᾳ καὶ ἐξάπτειν εἰς σημεῖον ἐπὶ τῆς χειρὸς καὶ εἶναι σειό-
μενα πρὸ ὀφθαλμῶν, αἰνιττόμενος διὰ τοῦ προτέρου, ὅτι χρὴ μὴ ὦσιν
ἀπίστοις παρακατατίθεσθαι τὰ δίκαια — πίστις γὰρ ἀκοαῖς οὐκ ἔνεστιν —,

2 διηρμήνευσε M: διερμήνευσε S (v)   πρὸς τὸ M: πρὸς δὲ τὸ S (v)   ἀσύγχυτον Mang.: ἀσύγκριτον SM   3 ἢ S   5 δὴ SM: δὲ v   ἴδια M
6 ι' M   ἐστίν SM: om. v   8 δὲ add. Mang.   ι' M   9 ι' M
11 ἀλείφουσιν S   13 διόλου M   συνηχῇ M (coni. Mang.): συνεχῇ S; συνέχῃ v
15 alt. καὶ om. M   18 tit. περὶ δικαιοσύνης S mg M   19 ἓν τὸ Mang.: ἐν τῷ SM (sed ω corr. ex ο S)   ἦν SM: ἢ v   20 δικαστάς S: δικαστήν M (v)
ἐποιησάμην SM: ἐποιήσα μὲν v   21 διεξίειν M   παραλειφθῆναι M (coni. Mang.): παραληφθῆναι S   26 ὅτι v: τί SM

24 Deut. 6,6. 8. 11,18.

ἀλλὰ τῷ ἡγεμονικωτάτῳ ⟨τὰ⟩ πάντων ἄριστα | μαθημάτων ἐντυποῦν p. 359 M.
138 καὶ ταῦτα χαράττοντα σφραγῖσι δοκίμοις· διὰ δὲ τοῦ δευτέρου τὸ μὴ μόνον ἐννοίας λαμβάνειν τῶν καλῶν, ἀλλὰ καὶ τὰ δόξαντα πράττειν ἀνυπερθέτως — ἡ γὰρ χεὶρ πράξεως σύμβολον, ἧς ἐξάπτειν καὶ ἐξαρτᾶν τὰ δίκαια προστάττει, σημεῖον ἔσεσθαι τοῦτο φάσκων, καὶ τίνος ἄντικρυς οὐ διείρηκε, διὰ τὸ μὴ ἑνός, ὥς γέ μοι δοκεῖ, πολλῶν
139 δὲ γενέσθαι καὶ σχεδὸν ἁπάντων ἐν οἷς ὁ ἀνθρώπινος βίος —· διὰ δὲ τοῦ τρίτου τὸ ἀεὶ καὶ πανταχοῦ φαντασιοῦσθαι τὰ δίκαια καθάπερ ἐγγὺς ὄντα ὀφθαλμῶν· σάλον δ᾽ ἐχέτω ταῦτα κινούμενα, φησίν, οὐχ ἵν᾽ ἀβέβαια καὶ ἀνίδρυτα ⟨ᾖ⟩, ἀλλ᾽ ἵνα τῇ κινήσει τὴν ὄψιν ἐκκαλῇ πρὸς ἀρίδηλον θέαν· ὁράσεως γὰρ ἐπαγωγὸν κίνησις ἐξερεθίζουσα καὶ ἀνεγείρουσα μᾶλλον δ᾽ ἀκοιμήτους καὶ ἐγρηγορότας κατασκευάζουσα ὀφθαλ-
140 μούς. ὅτῳ δ᾽ ἐξεγένετο τυπώσασθαι ἐν τῷ τῆς ψυχῆς ὄμματι μὴ ἡσυχάζοντα ἀλλὰ κινούμενα καὶ ταῖς κατὰ φύσιν ἐνεργείαις χρώμενα, τέλειος ἀνὴρ ἀναγεγράφθω, μηκέτι ἐν τοῖς γνωρίμοις καὶ μαθηταῖς ἐξεταζόμενος, ἀλλ᾽ ἐν διδασκάλοις καὶ ὑφηγηταῖς, καὶ παρεχέτω τοῖς ἐθέλουσιν ἀρύεσθαι τῶν νέων ὥσπερ ἀπὸ πηγῆς τῶν λόγων καὶ δογμάτων ἄφθονον νᾶμα· κἂν τῶν ἀτολμοτέρων τις ὑπ᾽ αἰδοῦς μέλλῃ καὶ βραδύνῃ προσέρχεσθαι μαθησόμενος, αὐτὸς ἰὼν ἐπαντλείτω καὶ ἐποχετευέτω ταῖς ἀκοαῖς ἀθρόας ὑφηγήσεις, ἄχρις ἂν αἱ δεξαμεναὶ τῆς
141 ψυχῆς γεμισθῶσι. προδιδασκέτω δὴ τὰ δίκαια συγγενεῖς καὶ φίλους καὶ πάντας νέους οἴκοι καὶ ἐν ὁδῷ καὶ πρὸς κοίτην ἰόντας καὶ ἀνισταμένους, ἵν᾽ ἐν πάσαις μὲν σχέσεσι καὶ κινήσεσιν, ἐν πᾶσι δὲ χωρίοις ἰδίοις τε καὶ δημοσίοις, μὴ μόνον ἐγρηγορότες ἀλλὰ καὶ κοιμώμενοι, φαντασίαις τῶν δικαίων ἐνευφραίνωνται· τέρψις γὰρ οὐκ ἔστιν ἡδίων ἢ τὴν ψυχὴν

1 τὰ addidi ἄριστα SM: ἀρίστῳ v μαθημάτων scripsi: ἀναθημάτων SM (v) ἐντυποῦν Mang.: τυποῦν SM 2 καὶ ταῦτα χαράττοντα scripsi: ταῦτα καὶ χαράττοντα S (v), ταῦτα χαράττοντα M διὰ δὲ τοῦ SM: διὰ τοῦ δὲ v 3 ἐννοίαις S 5. 6 καὶ τίνος M: καί τινος S (v) 6 μὴ ἑνός Mang.: μηδ᾽ ἑνὸς M, μηδενός S 7 βίος ⟨ὁρμεῖ⟩ coni. Mang. 8 τοῦ γ´ SM 9 σάλον S: αλον (sic) M δὲ v κινούμενα Wendl. (κινούμενον v): κινον (sic) S, om. in lac. (spat. 4—5 litt.) M 9. 10 ἵν᾽ ἀβέβαια καὶ ἀνίδρυτα ⟨ᾖ⟩ scripsi: ἵν᾽ ἀβέβαιον καὶ ἀίδρυτον S (ἀνίδρυτον Mang.), ἵνα βέβαιον καὶ ἀίδρυτον M 11 κίνησις SM: ἡ κίνησις v 12 δὲ v 13 δὲ v ἐν scripsi: μὲν SM (v); ἐντυπώσασθαι coni. Mang. 18 κἂν M (coni. Mang.): καὶ S 18. 19 μέλλῃ καὶ βραδύνῃ M: μέλλει καὶ βραδύνει S (v) 19. 20 ἐποχετευέτω Mang.: ἐποχευέτω SM 21 γεμισθῶσιν S προσδιδασκέτω δὲ coni. Mang. 23 χωρίον (sic) M ἰδίοις] ἰδιωτικοῖς coni. Mang. 25 ἐνευφραίνωνται M, ἐνευφραίνονται S: ἀνευφραίνωνται v

21 Deut. 6,7. 11,19.

ὅλην δι᾽ ὅλων πεπληρῶσθαι δικαιοσύνης, ἐμμελετῶσαν αὐτῆς τοῖς ἀιδίοις
δόγμασι καὶ θεωρήμασιν, οὐκ ἔχουσαν ἔρημον τόπον, εἰς ὃν ἀδικία
παρελεύσεται. κελεύει δὲ καὶ γράψαντας αὐτὰ πρόσθεν τῶν φλιῶν 142
οἰκίας ἑκάστης προτιθέναι καὶ πυλῶν τῶν ἐν τοῖς τείχεσιν, ἵν᾽ οἱ μὲν
ἐκδημοῦντες καὶ ἐνδημοῦντες, ἀστοὶ καὶ ξένοι, τοῖς πρὸ τῶν πυλῶν
γράμμασιν ἐστηλιτευμένοις ἐντυγχάνοντες ἄληκτον ἔχωσι τὴν τῶν λεκτέων
καὶ πρακτέων μνήμην, ἑκατέρου φροντίζοντες τοῦ μήτε ἀδικεῖν μήτε
ἀδικεῖσθαι, εἰς δὲ τὰς οἰκίας εἰσιόντες καὶ πάλιν ἐξιόντες, ἄνδρες ὁμοῦ
p. 360 M. καὶ γυναῖκες καὶ τέκνα καὶ θεραπεία, | τὰ ἁρμόττοντα καὶ ἐπιβάλλοντα
δρῶσιν ὑπέρ τε ἄλλων καὶ ὑπὲρ ἑαυτῶν.

(2.) Θαυμασιώτατον δὲ κἀκεῖνο διαγορεύει τὸ μηδὲν προστιθέναι 143
καὶ ἀφαιρεῖν, ἀλλ᾽ ἐν ἴσῳ καὶ ὁμοίῳ διαφυλάττειν ἀκίνητα τὰ ἐξ ἀρχῆς
ὁρισθέντα νόμιμα· συμβαίνει γάρ, ὡς ἔοικε, τὴν μὲν πρόσθεσιν τῶν ἀδίκων,
⟨τὴν δ᾽ ἀφαίρεσιν γίνεσθαι τῶν δικαίων⟩· οὐδὲν γάρ ἐστιν ὃ παραλέλειπται
τῷ σοφῷ νομοθέτῃ πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν δικαιοσύνης.
αἰνίττεται μέντοι καὶ ταῖς ἄλλαις ἀρεταῖς ἀκρότητας· ἑκάστη γὰρ αὐτῶν 144
ἀνελλιπής ἐστι καὶ πλήρης, τὸ ἐντελὲς ἔχουσα ἐξ αὑτῆς, ὡς, εἰ γένοιτο
προσθήκη τις καὶ ἀφαίρεσις, ὅλην δι᾽ ὅλων τρέπεσθαι καὶ μεταβάλλεσθαι
πρὸς τὴν ἐναντίαν ἕξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστι· τὴν ἀνδρείαν, ἀρετὴν 145
περὶ τὰ δεινὰ πραγματευομένην, ἴσασιν οἱ μὴ παντελῶς ἄμουσοι καὶ
ἀχόρευτοι, κἂν ἐπὶ βραχὺ παιδείας προσάψωνται, τῶν ὑπομενετέων
οὖσαν ἐπιστήμην. ἀλλ᾽ ἐάν τις εἴξας ἀμαθίᾳ τῇ δι᾽ ἀλαζονείαν, ὡς δὴ 146
περιττὸς καὶ ἱκανὸς ἐπανορθοῦσθαι τὰ ἀνεπιδεᾶ, προστιθέναι ἢ ἀφαιρεῖν

1 αὐτῆς] αὐτοῖς M ἀιδίοις] ἀοιδίμοις coni. Mang. 3 πρόσθεν τῶν M (coni. Mang.), προσθέντων S: προσθέντας v φλιῶν Mang.: φίλων SM
5 καὶ ἐνδημοῦντες om. M 6 ἄληκτον] ἄληστον coni. Mang. 7 ἑκατέρου Mang.: ἑκάτεροι SM 9 θεραπεία SM (θεράπαιναι mg S): θεραπεῖαι v
10 δρῶσιν] ὁρῶσιν coni. Mang. ἄλλων M (coni. Mang.): ἀλλήλων S
11 tit. ὅτι οὐ δεῖ προστιθέναι καὶ ἀφαιρεῖν add. S mg M 12 καὶ ἀφαιρεῖν SM: ἢ ἀφαιρεῖν v καὶ ὁμοίῳ om. M 13 νόμημα S[1], corr. S[2] 14 τὴν δ᾽ ἀφαίρεσιν γίνεσθαι τῶν δικαίων supplevi παραλέλιπται S[1], corr. S[2]
16 τὰς ἄλλης ἀρετῆς coni. Mang.; scribendum fortasse κἀν ταῖς ἄλλαις ἀρεταῖς
17 αὐτῆς M ὡς SM: ὥστ᾽ (ὥστε) v 18 δι᾽ ὅλων scripsi: δι᾽ ὅλου SM (v)
19 ἐστιν S 20 εἴσασιν S 21 ὑπομενετέων SM: ὑπομενητέων v

3 Deut. 6,9. 11,20. 11 Deut. 4,2. 12,32. 19sqq. cf. *Leg. alleg. I § 68. Cic. Tusc. IV 53* . . . quo modo igitur Chrysippus? fortitudo est, inquit, scientia rerum perferendarum vel adfectio animi in patiendo ac perferendo summae legi parens sine timore.

τι τολμᾷ, σύμπασαν ἀλλάσσει τὴν εἰκόνα μετατυπώσας αἰσχρὸν ἀντὶ καλοῦ χαρακτῆρος· ἀπεργάσεται γὰρ τῇ μὲν προσθέσει θρασύτητα, τῇ δ' ἀφαιρέσει δειλίαν, μηδ' ὄνομα τῆς βιωφελεστάτης ἀνδρείας καταλιπών.

147 τὸν αὐτὸν μὲν τρόπον κἂν τῇ βασιλίδι τῶν ἀρετῶν, εὐσεβείᾳ, προσθῇ τις ὁτιοῦν μικρὸν ἢ μέγα ἢ τοὐναντίον ἀφέλῃ, καθ' ἑκάτερον ἐπαλλάξει καὶ μεταμορφώσει τὸ εἶδος· γεννήσει γὰρ ἡ μὲν πρόσθεσις δεισιδαιμονίαν, ἡ δ' ἀφαίρεσις ἀσέβειαν, ἀφανισθείσης αὖ τῆς εὐσεβείας, ἣν ἀνίσχειν καὶ ἐπιλάμπειν εὐκταῖον ἀγαθόν, ἐπειδὴ τοῦ μεγίστου τῶν ἀγαθῶν αἰτία καθέστηκεν, ἐπιστήμην ἐμποιοῦσα θεραπείας θεοῦ, ἣν πάσης ἀρχῆς καὶ ἡγεμονίας ἀρχικωτέραν καὶ βασιλικωτέραν εἶναι νομιστέον.

148 παραπλήσια δὲ τοῖς εἰρημένοις καὶ περὶ τῶν ἄλλων ἀρετῶν ἑκάστης ἔστι λέγειν· ἀλλὰ ἐπιτέμνειν εἰωθὼς τὰ μήκη τῶν λόγων ἀρκεσθήσομαι τοῖς εἰρημένοις, ἃ καὶ τῶν ἡσυχαζομένων ἱκανὰ μηνύματα γένοιτ' ἄν.

149 (3.) Ἔτι καὶ τοῦτο προσδιατέτακται κοινωφελὲς παράγγελμα, „μὴ μετακινεῖν ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πρότεροί σου“ (Deut. 19,14). τοῦτο δ', ὡς ἔοικεν, οὐ περὶ κλήρων αὐτὸ μόνον καὶ γῆς ὅρων νομοθετεῖται πρὸς πλεονεξίας ἀποκοπήν, ἀλλὰ καὶ πρὸς | φυλακὴν τῶν p. 361 M. ἀρχαίων ἐθῶν· ἔθη γὰρ ἄγραφοι νόμοι, δόγματα παλαιῶν ἀνδρῶν οὐ στήλαις ἐγκεχαραγμένα καὶ χαρτιδίοις ὑπὸ σητῶν ἀναλισκομένοις, ἀλλὰ
150 ψυχαῖς τῶν μετειληφότων τῆς αὐτῆς πολιτείας. ὀφείλουσι γὰρ παῖδες παρὰ γονέων ⟨δίχα⟩ τῶν οὐσιῶν κληρονομεῖν ἔθη πάτρια, οἷς ἐνετράφησαν καὶ ἐξ αὐτῶν σπαργάνων συνεβίωσαν, καὶ μὴ καταφρονεῖν, παρόσον ἄγραφος αὐτῶν ἡ παράδοσις· ὁ μὲν γὰρ τοῖς ἀναγραφεῖσι νόμοις πειθαρχῶν οὐκ ἂν δεόντως ἐπαινοῖτο, νουθετούμενος ἀνάγκῃ καὶ φόβῳ κολάσεως, ὁ δὲ τοῖς ἀγράφοις ἐμμένων, ἑκούσιον ἐπιδεικνύμενος τὴν ἀρετήν, ἐγκωμίων ἄξιος.

1 τι v: τε S, om. M 3 δὲ v ἀφαιρέσει scripsi: ἀφαιρήσει SM (v) 5 ἑκάτερον M: ἕτερον S ἐπαλλάξει M: ἀπαλλάξῃ S; ἀπαλλάξει v 7 δὲ v αὖ τῆς] αὐτῆς M ἣν M (coni. Mang.): ἧς S ἀνέχειν [ισ] M (ἀνίσχειν scripsi): ἀνέχειν S (v) 8 ἐπιλάμπειν M: ἀναλάμπειν S εὐκταῖον M: εὐκτέον S (v) 10 καὶ βασιλικωτέραν om. M 12 ἀλλ' Mang. 13 γένοιτ' ἄν SM: γένοιντ' ἄν v 14 tit. περὶ τοῦ μὴ παρακινεῖν ὅρια add. S mg M καὶ SM: δὲ v 16 δὲ v κλῆρον [ων] (sic) M: κλῆρον S ὅρον [ων] M: ὅρον S; ὅρου v 17 τῶν SM: om. v 20 τῶν SM: om. v 21 δίχα addidi; πρὸ add. Mang. 24 πιθαρχῶν S 25 ἑκούσιον SM: ἑκουσίαν v

Κατάστασις ἀρχόντων.

(1.) Ἔνιοι τὰς κληρωτὰς εἰσηγήσαντο ἀρχάς, ἀλυσιτελῶς τοῖς 151
πλήθεσιν· εὐτυχίαν γὰρ ἀλλ' οὐκ ἀρετὴν ὁ κλῆρος ἐμφαίνει. πολλοὶ
γοῦν πολλάκις τῶν ἀναξίων ἔλαχον, οὓς ἀνὴρ ἀγαθὸς λαβόμενος ἡγεμο-
νίας ἀποδοκιμάσαι ἂν καὶ ἐν ὑπηκόοις ἐξετάζεσθαι. καὶ γὰρ οἱ μικροὶ 152
λεγόμενοι παρά τισιν ἄρχοντες, οὓς δεσπότας ὀνομάζουσιν, οὐ πάντας
ὅσους ἂν οἷοί τε ὦσιν οἰκότριβας ἢ ἀργυρωνήτους ὑπάγονται, μόνους
δὲ τοὺς καταπειθεῖς γινομένους, ἀγεληδὸν ἔστιν ὅτε πιπράσκοντες τοὺς
ἀνιάτως ἔχοντας τὸ ἦθος ὡς καὶ δουλεύειν ἀγαθοῖς ἀνδράσιν ἀναξίους
ὄντας. ἔτι τοίνυν προσήκει δεσπότας καὶ ἡγεμόνας ὅλων πόλεων καὶ 153
ἐθνῶν ἀποφαίνειν τοὺς κλήρῳ λαχόντας, ὀλίσθῳ τινὶ τύχης, ἀβεβαίου
καὶ ἀνιδρύτου πράγματος; ἀλλ' εἰς μὲν τὴν τῶν καμνόντων ἐπιμέλειαν
κλῆρος τὸ μηδέν· ἰατροὶ γὰρ οὐ κλήρῳ λαγχάνουσιν, ἀλλ' ἐν πείρᾳ δοκι-
1 ἑτέροις [ων] F παρθένους . . . γυναῖκας (2) SMA: παρθένοι . . . γυναῖκες ceteri (Turn.) post δὲ add. αὐτοῖς G 2 μεθέσθωσαν Mang.: μεθιστωσαν S[1] ut vid., μεθιστῶσιν S[2], ἀφέσθωσαν G, μεθείσθωσαν ceteri (Turn.) 3 πήσεσθαι (sed η in ras.) S προσδοκῶντας M, προσδοκῶσιν G ἀστρατείᾳ codd. (praeter S): ἀστρατείας Turn., στρατιωτῶν (sic) S 4 δηλονότι AFP τὸ ἰουδαίων codd.: τῶν Ἰουδαίων Turn., τὸ τῶν Ἰουδαίων Mang. 6 καὶ ὑπ᾽ F ἀνανδρίας] ἀνδρείας S ἐνδιδόναι] ἐνδυαζόμενον S διακρίνειν SM δ᾽] δὲ καὶ SM 7 ἴῃ A, οιει (sic) S, δοίῃ M ἐπιβούλους ζῶντας F, ἐπιβουλεύσαντας M 8 ἡμαρτηκότων [ἠδικη] A 8. 9 εἴποιμ᾽ ἂν S: om. ceteri (Turn.) 9 ἀτιθάσσου MAH[2], ἀττιθάσσου S τὸ] τὸ μὴ A προσθήκης F 10 ποιεῖ τὰς γυναῖκας F 11 δὲ M, δ᾽ om. A ἐργάζεται [ἐν] M, ἐργάζεται S 12 ὥστ᾽ M: ὡς ceteri (v) ἐφίησιν S 13 δῃοῦντας] δεῖ οὖν τὰς S, τὰς in τοὺς corr. S[2] ἢ om. SM 14 τὴν φύσιν δὲ transp. M ἡμέροις καρποῖς P 15 μνησικακεῖν F 15. 16 δυσγένειαν AHP 16 ὡς] ἵνα A 17 ἀνασπασθῇ A δὲ SM: δ᾽ ceteri ὠφέλειαν παρέχων S 18 alt. τῶν] τὸν M βίον om. S

7—11 Escur. ibid.: τὸ κατὰ πάντων καὶ τῶν ἐλάχιστα ἢ μηδὲν ἡμαρτηκότων φονᾶν ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς καὶ τὸ προσθήκην ἀνδρῶν ποιεῖσθαι γυναῖκας πόλεμον κατασκευασάντων, ὧν ὁ βίος εἰρηνικὸς φύσει καὶ κατοικίδιος. 12 Deut. 20,19.

οὐ γὰρ ἄνθρωποι μόνον δασμοὺς φέρουσι τοῖς κυρίοις, ἀλλὰ καὶ φυτὰ
τοὺς ὠφελιμωτέρους κατὰ τὰς ἐτησίους ὥρας, ὧν ἄνευ ζῆν οὐκ ἔστιν.“
ἀγόνων δὲ καὶ ἐστειρωμένων καὶ τῶν ὅσα τῆς ἀγρίας ὕλης ἔστω 229
μηδεμία φειδὼ τοῖς ἐθέλουσι τέμνειν εἰς χαρακώματα καὶ σταυροὺς καὶ
σκόλοπας τάφροις καί, ὁπότε δέοι, κλιμάκων καὶ πύργων ξυλίνων κατα-
σκευάς· εἰς γὰρ ταῦτα καὶ τὰ τούτοις ὅμοια γένοιτ᾽ ἂν αὐτῶν χρεία
προσήκουσα.

(14.) Τὰ μὲν οὖν εἰς δικαιοσύνην ἀναφερόμενα εἴρηται. δικαιο- 230
σύνην δ᾽ αὐτὴν τίς ἂν ἀξίως ποιητὴς ἢ λογογράφος ὑμνῆσαι δύναιτο
παντὸς ἐπαίνου καὶ παντὸς ἐγκωμίου κρείττονα καθεστῶσαν; ἓν γοῦν τὸ
πρεσβύτατον ἀγαθὸν αὐτῆς, ἡ εὐγένεια, κἂν τἄλλα τις παραλιπὼν ἡσυ-
χάζῃ, γένοιτ᾽ ἂν αὐταρκέστατος ἔπαινος. ἔστι γὰρ ἰσότης, ὡς οἱ τὰ 231
φύσεως ἀκριβοῦντες ἡμῖν παρέδοσαν, μήτηρ δικαιοσύνης. ἰσότης δὲ φῶς
ἄσκιον, ἥλιος, εἰ δεῖ τἀληθὲς εἰπεῖν, νοητός, ἐπειδὴ καὶ τοὐναντίον
ἀνισότης, ἐν ᾗ τό τε ὑπερέχον καὶ τὸ ὑπερεχόμενον, σκότους ἀρχή τε
καὶ πηγή. πάντα ἰσότης τά τε κατ᾽ οὐρανὸν καὶ τὰ ἐπὶ γῆς εὖ διετάξατο 232
p. 374 M. νόμοις καὶ θεσμοῖς ἀκινήτοις. τίς γὰρ ἀγνοεῖ τοῦθ᾽, ὅτι | ἡλίῳ μεμέ-
τρηνται πρὸς νύκτας ἡμέραι καὶ πρὸς ἡμέρας νύκτες ἰσότητι διαστη-
μάτων ἀναλογούντων; τὰς μὲν καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀπὸ τοῦ συμβε- 233
βηκότος προσαγορευομένας ἰσημερίας, ἐαρινήν τε καὶ μετοπωρινήν, οὕτως
ἡ φύσις ἐτράνωσεν, ὡς καὶ τοὺς ἀμουσοτάτους αἰσθάνεσθαι τῆς ἐν τοῖς
μεγέθεσιν ἡμερῶν πρὸς νύκτας ἰσότητος. τί δέ, σελήνης περίοδοι διαυ- 234
λοδρομούσης ἀπὸ συνόδου μέχρι πλησιφαοῦς καὶ ἀπὸ τελείας ἐπὶ σύνοδον

1 μόνοι S δασμοὺς SMA: δασμὸν ceteri (v) τὰ φυτὰ G 3 τῶν ὅσα scripsi: τῷ (om. ὅσα) S, ὅσα (om. τῶν) H (v), ὅσα τῶν ceteri ἀχρίας F[1], ἀχρείας F[2] ἔστω] ἐστὶν S, ἐστὶ M 4 θέλουσι τεμεῖν S 5 τάφροις] καὶ τάφρους HP (v) 6 ταῦτα] τὰ τοιαῦτα M αὐτῶν SM: αὐτοῖς ceteri (v) 8 ἀναφαιρόμενα F 9 ἀξίως SM: om. ceteri (v) 11 ἡ εὐγένεια codd.: ἡ εὐμένεια v (Turn.); ὃ καὶ μόνον coni. Mang. τἄλλα A, τὰ ἄλλα MG 11. 12 ἡσυχάζῃ S: ἡσυχάζει FP, ἡσυχάζοι ceteri 14 νοητός SM: ποιητός FGH (Turn.), ποιητής AP 15 ἀνισότης] ἰσότης S ἐν ᾗ Mang.: ἐν ᾧ codd. 16 alt. τὰ om. M 17 τοῦτ᾽ S[1], corr. S[2] 18 αἱ ἡμέραι A ἰσότητα F 18. 19 τῶν διαστημάτων FG (Mang.) 19 τὰς μὲν οὖν A (Mang.); τὰς μέντοι vel τάς γε μὴν conicio 20 ἰσημερίαν HP, ἰσομερίαν F μεθοπωρινήν S[1] 22 ἡμερῶν codd.: τῶν ἡμερῶν Mang. ἰσότητος πρὸς νύκτας transp. A τί δὲ SM: τί δὲ αἱ F, τί δ᾽ αἱ ceteri (v) 22. 23 καὶ διαυλοδρομούσης S 23 ἀπὸ συνόδου SMG: καὶ ἀπὸ συνόδου ceteri (v) τελείας] πανσελήνου F[2]

3 Deut. 20,20.

ἆρ' οὐ διαστημάτων ἰσότητι μεμέτρηνται; καθ' ὅσα γὰρ καὶ ἡλίκα αἱ συναυξήσεις, κατὰ τοσαῦτα καὶ τηλικαῦτα αἱ μειώσεις ἐπ' ἀμφοτέραις
235 ἰδέαις τοῦ ποσοῦ, τῇ τε κατὰ πλῆθος καὶ τῇ κατὰ μέγεθος. ὥς γε μὴν ἐν τῷ καθαρωτάτῳ τῆς οὐσίας, οὐρανῷ, διαφερόντως ἰσότης τετίμηται, οὕτως καὶ ἐν τῷ γείτονι ἀέρι· τετραχῇ γὰρ τοῦ ἐνιαυτοῦ διαιρεθέντος εἰς τὰς καλουμένας ἐτησίους ὥρας, τρέπεσθαι καὶ μεταβάλλειν ὁ ἀὴρ πέφυκεν ἐν ταῖς τροπαῖς καὶ μεταβολαῖς ἄλεκτον ἐπιδεικνύμενος ἐν ἀταξίᾳ τάξιν· ἰσαρίθμοις γὰρ μησὶ διακρινόμενος εἴς τε χειμῶνα καὶ ἔαρ θέρος τε καὶ μετόπωρον, τρισὶν εἰς ἑκάστην ὥραν, ἐκπληροῖ τὸν ἐνιαυτόν, ὅς, καθάπερ αὐτὸ μηνύει τοὔνομα, αὐτὸς ἐν ἑαυτῷ πάντα περιέχει συμπεραιούμενος, ἑτέρως οὐκ ἂν τοῦτ' ἐργάσασθαι δυνηθείς,
236 εἰ μὴ ταῖς ἐτησίοις ὥραις αὐτὸν ἐπέχρησεν. ἰσότης ⟨δ'⟩ ἀπὸ τῶν οὐρανίων καὶ μεταρσίων καὶ πρὸς τἀπίγεια τέταται, τὴν μὲν ἀκραιφνῆ φύσιν ἑαυτῆς αἰθέρος οὖσαν ἀγχίσπορον ἄνω μετέωρον διαίρουσα, τὴν δ' ὥσπερ αὐγὴν ἡλίου τρόπον ⟨ἐπὶ γῆν⟩ ἀποστέλλουσα, δεύτερον
237 φέγγος. ὅσα γὰρ πλημμελεῖ μὲν τῶν παρ' ἡμῖν, ἀνισότης, ὅσα δὲ τάξιν ἔχει τὴν προσήκουσαν, ἰσότης ἀπειργάσατο, ἥτις ἐν μὲν τῇ τοῦ παντὸς οὐσίᾳ, κυριώτατα φάναι, κόσμος ἐστίν. ἐν δὲ ἄστεσιν ἡ εὐνομωτάτη καὶ πολιτειῶν ἀρίστη δημοκρατία, ἔν τε αὖ σώμασιν ὑγεία καὶ ἐν ψυχαῖς καλοκἀγαθία· καὶ γὰρ τὸ ἄνισον ἔμπαλιν νόσων

1 μεμέτρηται SMHP καὶ ἡλίκα αἱ] καὶ ἡλικίαι S, αἱ ἡλιακαὶ M 2 κατὰ] καὶ S καὶ τηλικαῦτα M: om. ceteri (v) ἡ μείωσις M 3 ταῖς εἰδέαις S τὸ πλῆθος A τὸ μέγεθος A ὥς γε] ὥστε MF 5 οὕτως SM: οὕτω ceteri (v) γείτονι] μετεκεῖνα S διαιρεθέντος S: διανεμηθέντος ceteri (v) 6 καλουμένας SM: ἐπικαλουμένας ceteri (v) μεταβάλλεσθαι (ειν supra scr.) (sic) H 7 ἄλεκτον] εκτον S[1], ἔκτην S[2] 9 μεθόπωρον S τρισὶν] τρισσὴν S[2] εἰς om. S πληροῖ A, ἐπληροι (sic) S[1], ἐπλήρου S[2] 10 ὅς, καθάπερ scripsi: ὡς καθάπερ codd.; καθάπερ v αὐτὸς] αὐτὸς γὰρ GH[2] (v) ἑαυτῶ codd.: αὑτῷ v 10. 11 πάντα περιέχει S: περιέχει τὰ πάντα M, περιέχει πάντα ceteri (v) 12 ἐτησίαις SA αὐτὸν SFP, ὑ in ὐ corr. H, ἑαυτὸν M δ' addidi 13 τἀπίγεια MH, τἀπίγεια corr. ex τἀπήγεια S: τ' ἐπίγεια FP, τὰ ἐπίγεια AG τέταται Christophorson Mang.: τέτακται codd. 14 τὴν αἰθέρος M διαίροῦσα (sic) M 15 ἐπὶ γῆν addidi 16 πλημμελεῖ] πλημμελειῶν F μὲν M mg S: om. ceteri (v) ἀνισότης SM: ἀνισότητος ceteri 18 οὐσίᾳ] ἁρμονίᾳ A δὲ SM: δ' ceteri 19 δημοκρατεία (ει corr. ex ι) S τε S: δὲ M, δ' ceteri σώματι F 20 ἔμπαλιν] πάλιν S

10 cf. Plat. Cratyl. 410[d].

καὶ κακιῶν αἴτιον. ἐπιλείψει καὶ τὸν μακροβιώτατον ὁ χρόνος, εἰ 238
πάντας ἐθελήσειε τοὺς ἐπαίνους ἰσότητος καὶ δικαιοσύνης ἣν ἐγέννησε διεξιέναι· παρό μοι δοκεῖ βέλτιον εἶναι τοῖς λεχθεῖσιν ἀρκεσθέντα, τοῦ διακινῆσαι χάριν τὴν τῶν φιλεπιστημόνων μνήμην, τὰ λοιπὰ ἐν ταῖς ἐκείνων ἀνάγραπτα ψυχαῖς καταλιπεῖν, ἱερωτάτῳ χωρίῳ θεῖα ἀγάλματα.

---

1 κακῶν HP (Turn.) ὁ χρόνος M: ὁ om. ceteri (v) 2 πάντως A 5 ἀνάγραπτα] ἀναγεγράφθαι S, ἀναγράψαι A καὶ καταλιπεῖν A, παραλιπεῖν H (v) ἱερώτατα χωρία S

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΑΡΕΤΩΝ ΑΣ ΣΥΝ ΑΛΛΑΙΣ ΑΝΕΓΡΑΨΕ ΜΩΥΣΗΣ ΗΤΟΙ ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ ΚΑΙ ΕΥΣΕΒΕΙΑΣ ΚΑΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ ΚΑΙ ΜΕΤΑΝΟΙΑΣ

Περὶ ἀνδρείας.

1 (1). Περὶ δικαιοσύνης καὶ τῶν κατ' αὐτὴν ὅσα καίρια πρότερον II p. 375
εἰπὼν μέτειμι τῶν ἑξῆς ἐπ' ἀνδρείαν, οὐχ ἣν οἱ πολλοὶ νομίζουσι τὴν ἀρειμάνιον λύτταν ὀργῇ συμβούλῳ χρωμένην, ἀλλὰ τὴν ἐπιστήμην.
2 θράσει μὲν γὰρ ἐπαιρόμενοί τινες, συμπραττούσης σωματικῆς ἰσχύος, ταχθέντες κατὰ πόλεμον ἐν ταῖς πανευχίαις ἡβηδὸν μυρίους ὅσους τῶν ἀντιπάλων κατέβαλον, ἀνοίκειον μὲν εὔφημον δ' ἀριστείας ὄνομα καρπωσάμενοι, διαφερόντως ὑπὸ τῶν τὰ τοιαῦτα | κρινόντων εὐκλεεῖς p. 376 M
νίκῃ νομισθέντες, ἄγριοι καὶ θηριώδεις ἐκ φύσεως καὶ μελέτης γεγονότες,

1 φίλωνος περὶ γ' ἀρετῶν ἃς σὺν ἄλλαις ἀνέγραψε μωυσῆς περὶ ἀνδρείας καὶ φιλανθρωπίας καὶ μετανοίας S, περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: — περὶ ἀνδρείας BEK, τοῦ αὐτοῦ φίλωνος τοῦ ἑβραίου περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας: περὶ ἀνδρείας M, φίλωνος περὶ ἀρετῶν ἤτοι ἀνδρείας καὶ εὐσεβείας καὶ φιλανθρωπίας καὶ μετανοίας VO, τοῦ αὐτοῦ περὶ ἀρετῶν, ἀνδρείας καὶ εὐσεβείας καὶ μετανοίας καὶ φιλανθρωπίας F, περὶ ἀρετῶν ἤτοι περὶ ἀνδρείας καὶ εὐσεβείας HP, τοῦ αὐτοῦ φίλωνος περὶ ἀνδρίας A, περὶ ἀνδρείας G
ὁ λόγος οὗτος ἀνακεφαλαίωσιν περιέχει τῶν ὄπισθεν εἰρημένων περὶ μωσέως ἤγουν βίου αὐτοῦ καὶ ἀρετῆς καὶ τῶν ἐκ θεοῦ πορισθέντων αὐτῷ χαρισμάτων mg V[2]OK
6. 7 πρότερον εἰπὼν] προειπὼν BEK[1]M   7 εἰπὼν] εἶπον· S   τῶν] τὸ H[2] (v), τῶν eras. VK, om. FO   ἀνδρίαν AEFGO   8 ἀρειμάνειον K, ἀρειμανίαν G, ἀριμανίαν S (ἀρειμάνειον v)   ὀργὴν B[1]E   συμβόλω VO   τὴν om. A   ἐπιστήμη BEK[1]MAPV[1]   10 ὅσους μυρίους transp. EKM   11 τῶν ἀντιπάλων κατέβαλον A: ἀνελόντες τῶν ἀντιπάλων ceteri (Turn.)   μὲν] οὐ γὰρ V[2]OF   δὲ G, δ' om. SVOF   12 ἐκαρπώσαντο V[2]OKF   τὰ om. A   ἐπικρινόντων coni. Mang.   ακλεεῖς (εὐ supra) K   13 νίκῃ VOKF: νίκην ceteri (v); νικηταὶ coni. Mang.   κομισθέντες A

αἵματος ἀνθρωπείου δεδιψηκότες. εἰσὶ δ' οἳ καὶ ἐν οἰκίᾳ διατρίβοντες, 3
τῶν σωμάτων αὐτοῖς ἢ μακραῖς νόσοις ἢ ἐπιπόνῳ γήρᾳ κατεσκελετευ-
μένων, ὑγιαίνοντες καὶ νεάζοντες τῷ κρείττονι μέρει τῆς ψυχῆς μεστοί
τε φρονήματος καὶ θαρραλεωτάτης γέμοντες εὐτολμίας, ἀμυντηρίων
ὅπλων μηδ' ὄναρ ψαύοντες, βουλευμάτων ἀγαθῶν κοινωφελεστάταις
εἰσηγήσεσι τά τε ἴδια ἑκάστων καὶ τὰ κοινὰ τῶν πατρίδων πεσόντα
πολλάκις ἀνώρθωσαν, ἀνενδότοις καὶ ἀκαμπέσι χρησάμενοι τοῖς περὶ
τοῦ συμφέροντος λογισμοῖς. οὗτοι μὲν οὖν τὴν ἀληθῆ διαπονοῦσιν 4
ἀνδρείαν ἀσκηταὶ σοφίας ὄντες, ἐκεῖνοι δὲ τὴν ψευδώνυμον ἀμαθίᾳ,
νόσῳ δυσθεραπεύτῳ, βιοῦντες, ἣν θρασύτητα κυρίως ἄν τις προσαγο-
ρεύσειεν, ὥσπερ φασὶν ἐν τοῖς νομίσμασι τὸ παράσημον ἐμφέρειαν τῆς
ἀληθοῦς εἰκόνος.

(2.) Οὐκ ὀλίγα μέντοι καὶ ἄλλα δυσυπομόνητα τῶν κατὰ τὸν 5
ἀνθρώπινον βίον ὡμολόγηται, πενία καὶ ἀδοξία καὶ πήρωσις καὶ νόσων
ἰδέαι πολύτροποι, πρὸς ἃς οἱ μὲν ὀλιγόφρονες μαλακίζονται, μηδ' ὅσον
ὑπ' ἀτολμίας ἐγερθῆναι δυνάμενοι, ὅσοι δὲ φρονήσεως ὑπόπλεῳ καὶ
γενναιότητος ἐπαποδύονται καρτερῶς καὶ σφόδρα ἐρρωμένως ἀντιφιλονει-
κοῦντες, τὰς ἀπειλὰς καὶ ἐπανατάσεις αὐτῶν πολὺν γέλωτα καὶ χλεύην
τιθέμενοι, πενίᾳ μὲν πλοῦτον ἀντιτάττοντες, οὐ τὸν τυφλὸν ἀλλὰ τὸν ὀξὺ
καθορῶντα, οὗ τὰ ἀγάλματα καὶ κειμήλια ψυχὴ πέφυκε ταμιεύειν.
μυρίους γὰρ πενία κατεπάλαισεν, οἳ τρόπον ἀθλητῶν ἀπειρηκότων ὑπ' 6
ἀνανδρίας κατέπεσον μαλακισθέντες· ἐνδεὴς δὲ παρ' ἀληθείᾳ δικαζούσῃ
τὸ παράπαν οὐδὲ εἷς ἐστι χορηγὸν ἔχων τὸν τῆς φύσεως ἀκαθαίρετον

1 δὲ K καὶ eras. V, om. OF 2 αὐτῶν VOF, αὐτοῖς om. A μακροῖς HK (v) 2. 3 κατεσκλετευμένων M, κατεσκλητευμένων H², κατεσκηλιτευμένων VO 4 θαρραλεωτάτης V²OFH: θαρραλεότητος ceteri 5 μηδ'] οὐδ' F κοινωφελεστάταις om. A 6 δ' ante εἰσηγήσεσι add. K τά τε ἴδια ἑκάστων om. A τε] δὲ SG 7 χρησάμενοι SVOF: χρώμενοι ceteri (v) 9 ἀνδρίαν AEFGO ἀμαθίᾳ v: ἀμαθίαν codd. 10 νόσον δυσθεράπευτον K βιοῦντες] νοσοῦντες BEKM; συμβιοῦντες coni. Mang. 11 post παράσημον ss. παραβάλλεσθαι K², add. προβάλλεσθαι V²OF ἐμφέρειν BEKM 13 οὐχ S¹, corr. S² δυσπόνητα A τῶν] τὸν G 14 ὁμολογεῖται S καὶ πήρωσις om. OF 15 εἰδέαι S 16 ὑπόπλεῳ V²OKF: om. A, ὑπόπλεοι ceteri (v) 17 γενναιότατοι H (Turn.) 17. 18 ἀντιφιλονικοῦντες S 18 ἐπανατάσεις AH: ἐπαναστάσεις ceteri χλεύγην S¹, corr. S² 20 οὗ] οὐ AG ἃ ante ψυχὴ add. AP² ψυχὴ VOFH²: ψυχὴν ceteri 21 κατεπάλεσεν S (αι ss. S²), κατεπάλεσεν P 21. 22 ὑπ' ἀνανδρίας EVO: ὑπ' ἀνδρίας A, δι' ἀνανδρίαν F, ἐπ' ἀνανδρείας M, ὑπ' ἀνανδρείας ceteri 22 δικάζουσι L (Turn.) 23 ἐστὶν S ἔχον M, ἔχων om. HP¹ ἀκαθαίρετον] ἀναφαίρετον coni. Mang.

πλοῦτον· ἀέρα μέν, τὴν πρώτην καὶ ἀναγκαιοτάτην καὶ συνεχῆ τροφήν,
ἀδιαστάτως μεθ' ἡμέραν τε καὶ νύκτωρ ἀναπνεόμενον, ἔπειτα δὲ πηγὰς
ἀφθόνους καὶ ποταμῶν οὐ χειμάρρων μόνον ἀλλὰ καὶ αὐθιγενῶν ῥεῖθρα
ἀέναα πρὸς ποτοῦ χρῆσιν, ἔπειτα εἰς ἐδωδὴν φορὰς παντοίων καρπῶν
καὶ δένδρων ἰδέας, αἳ τὰς ἐτησίους ὀπώρας ἀεὶ φέρουσι· τούτων γὰρ
7 ἄπορος οὐδείς, ἀλλὰ πάντες οἱ πανταχοῦ πολλὴν ἄγουσι περιουσίαν. εἰ
δέ τινες τὸν τῆς φύσεως πλοῦτον παρ' οὐδὲν θέμενοι τὸν τῶν κενῶν
δοξῶν διώκουσι, τυφλῷ πρὸ βλέποντος σκηριπτόμενοι καὶ ἡγεμόνι τῆς
8 ὁδοῦ χρώμενοι πεπηρωμένῳ, πίπτειν ἐξ ἀνάγκης ὀφείλουσιν. (3.) ὁ μὲν
δὴ σώματος δορυφόρος πλοῦτος φύσεως εὕρημα καὶ δῶρον ὢν ἤδη
λέλεκται. τὸν δὲ σεμνότερον, ὃς οὐ πᾶσιν ἀλλὰ τοῖς ἀληθῶς σεμνοῖς
καὶ θεσπεσίοις ἀνδράσι πρόσεστι, μηνυτέον. τοῦτον τὸν πλοῦτον | σοφία p. 377 M.
χορηγεῖ διὰ λογικῶν καὶ ἠθικῶν καὶ φυσικῶν δογμάτων καὶ θεωρημάτων,
ἐξ ὧν φύεσθαι τὰς ἀρετὰς συμβέβηκεν, αἳ τῆς ψυχῆς ὑποτέμνονται τὴν
πολυτέλειαν εὐκολίας καὶ ὀλιγοδείας ἔρωτας ἐντίκτουσαι κατὰ τὴν πρὸς
9 θεὸν ἐξομοίωσιν. ἔστι γὰρ ὁ μὲν θεὸς ἀνεπιδεής, οὐδενὸς χρεῖος ὤν,
ἀλλ' αὐτὸς αὐταρκέστατος ἑαυτῷ· ὁ δὲ φαῦλος πολυδεής, ἀεὶ διψῶν
τῶν ἀπόντων ἀπλήστου καὶ ἀκορέστου χάριν ἐπιθυμίας, ἣν πυρὸς τρόπον
ἀναρριπίζων καὶ ἀναφλέγων ἐπὶ πάντα μικρά τε αὖ καὶ μεγάλα τείνει·

3 μόνων (ον superscr.) K 4 ἀέναα] ἀένεα E, ἀένναα ceteri 5 εἰδέας S αἳ] αἱ $S^{1}EK^{1}$ φέρουσι $VOFAH^{2}$: φέρουσαι ceteri 6 ἄγουσιν S 7 παρ' οὐδὲν om. SVOFG θέμενοι] ἀποθέμενοι $V^{2}OF$ 7. 8 καινῶν δοξῶν E, κενοδόξων S (Mang.) 8 προσβλέποντος FH^{1}, προβλέποντι VO, ὡς βλέποντι AP^{2} 9 πεπειρωμένω M 10 δορυφορούμενος A οὐ ante φύσεως add. $V^{2}OK^{2}F$ φύσεως om. M εὕρημα K: εὕραμα G, εὕρεμα ceteri (v) ὢν] ὧν SBE, ὃν A 13 tert. καὶ om. S 15 εὐκολίας] εὐτελείας F ὀλιγοδεΐας KAP: ὀλιγοδεείας ceteri (ὀλιγοδείας v) 16 ἀνεπιδεής] ἀνενδεής $BEK^{1}M$ χρεῖος ὤν scripsi: χρεὼς (ω corr. ex ο) ὢν S, χρῄζων ceteri (v) 17 πολυδεής D (-ές D^{K}): πολυτελὴς $VOFH^{2}$, ὁ πολυτελὴς ceteri ὁ ante ἀεὶ add. BEKM ἀεὶ διψῶν] ἐπιδιψῶν S 19 ἀναρυπίζων S^{1} καὶ ἀναφλέγων om. AHP (Turn.) μικρά τε αὖ KD: τε αὖ μικρὰ D^{R}, αὖ μικρὰ AGHP (v), μικρά τε om. SBEM, τε αὖ om. VOF τείνει] τινί G, τινά D^{K}, ἀποτείνει $V^{2}OK^{2}F$

16 cf. *Clem. Alex. Paed. III 1 p. 250 P.* ἀνενδεὴς δὲ μόνος ὁ θεός. *Strom. II 18 p. 471 P.* ἀνενδεὲς μὲν γὰρ τὸ θεῖον καὶ ἀπαθές. 17—19 D^{K} fol. 82ᵛ D^{M} fol. 39ᵛ D^{L} fol. 67ʳ D^{P} fol. 24ʳ et 87ʳ Φίλωνος ἐκ τοῦ περὶ ἀρετῶν D^{R} fol. 46ʳ D^{V} p. 378 Mel. Barocc. fol. 71ʳ Φίλωνος: ὁ φαῦλος ἀεὶ πολυδεὴς — ἐπὶ πάντα μικρά τε αὖ καὶ μεγάλα τείνει.

ὁ δὲ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος, τὸ μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητόν, τὸ δὲ μὴ πολυδεὲς διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας. οὕτως μὲν πενίᾳ πλοῦτον ἀντιτάττουσιν· ἀδοξίᾳ 10
δὲ εὔκλειαν· ὁ γὰρ ἔπαινος ὁρμητήριον ἔχων καλοκἀγαθίαν καὶ ὥσπερ ἀπὸ ἀενάου πηγῆς ἐκεῖθεν ῥέων ἀνεξετάστων ἀνθρώπων οὐκ ἐνομιλεῖ πλήθεσι τὰς τῆς ψυχῆς ἀνωμαλίας ἀβεβαίοις φωναῖς ἀπογυμνοῦν εἰωθότων, ἃς ἔστιν ὅτε λημμάτων αἰσχρῶν ἐπευωνίζοντες οὐκ ἐρυθριῶσιν κατὰ τῶν ἀριστίνδην ἐπιλεγομένων. ὀλίγος δὲ τούτων ἀριθμός ἐστιν· ἀρετὴ γὰρ οὐ πολύχουν ἐν θνητῷ γένει. πηρώσει γε μὴν αἰσθήσεων, ᾗ συζῶντες 11
ἔτι μυρίοι προαπέθανον τῷ μηδὲν ἀλεξίκακον εὑρεῖν δύνασθαι φάρμακον, ἀντικάθηται φρόνησις, τὸ κρατιστεῦον τῶν ἐν ἡμῖν, ἐνομματοῦσα διάνοιαν, ἣ πρὸς ὀξυωπίαν τῶν σώματος ὀφθαλμῶν ὅλῳ, φασί, καὶ τῷ παντὶ διενήνοχεν. οἱ μὲν γὰρ τὰς ἐπιφανείας τῶν ὁρατῶν καταθεῶνται, ἅμα 12
δεόμενοι φωτὸς ἔξωθεν, ἡ δὲ καὶ διὰ βάθους χωρεῖ τῶν σωμάτων, ὅλα δι' ὅλων καθ' ἕκαστα τῶν μερῶν ἀκριβοῦσα καὶ περιαθροῦσα καὶ τὰς τῶν ἀσωμάτων φύσεις, ἃς ἐπισκοπεῖν αἴσθησις ἀδυνατεῖ· σχεδὸν γὰρ πᾶσαν ὀξυωπίαν ὀφθαλμοῦ καταλαμβάνει, μὴ προσδεομένη νόθου φωτός, ἀστὴρ οὖσα αὐτὴ καὶ σχεδόν τι τῶν ἐπουρανίων ἀπεικόνισμα καὶ μίμημα. νόσοι γε μὴν σωμάτων ὑγιαινούσης ψυχῆς ἥκιστα βλάπτουσιν· ὑγεία δὲ 13

1 ὁ ὀλιγοδεής H^1P, καὶ ὀλιγοδεής AD^L Georg. μεθόριον VOK^2FD^L Georg. 2 τὸ σῶμα $BEKMD^M$ τὸ θνητὸν V^2OKF μὴ om. M πολυδεὲς D: πολυειδὲς Georg., πολυτελὲς codd. 3 οὕτως SG: οὕτω ceteri 4 δὲ SVOFG: δ' ceteri καλοκαγαθίας (superscr. αν) K 5 ἀπὸ SVOF: ἀπ' ceteri ἀενάου BEK^2: ἀεννάου ceteri (v) 6 πλήθεσι S: πλῆθος G, πλήθει ceteri (v) 7. 8 κατὰ τῶν ἀριστίνδην ἐπιλεγομένων S: om. ceteri (Turn.) 9 θνητῶν SK^1 πληρώσει SG ᾗ συζῶντες V^2OF: αἷς ζῶντες ceteri (v) 10 μύριοι VOF προσαπέθανον V^2OF μηδὲ H (Turn.) 11 τῶν om. BEKMA διάνοια SV^1GHP, τὴν διάνοιαν V^2OK^2F 12 τῶν τοῦ σώματος BEKM (Mang.) ὅλῳ — παντί] παντάπασιν ἐγκρινομένη V^2OF φασί] φησί G, φωτὶ K παντὶ] πάντων SBEKMG 13 οἱ corr. in ἡ A καταθεᾶται (ᾶ corr. ex ῶν) A 14 δεομένη (η corr. ex οι) A 17 πᾶσαν SVOF: ἅπασαν ceteri (v) 18 ἀστὴρ οὖσα SVOF: ἃς τηροῦσα ceteri αὐτὴ SVOF: αὔτως (sic) K, αὕτη ceteri (v)

1—3 D^R fol. 212^v τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τριῶν ἀρετῶν D^M fol. 80^v D^L fol. 170^v D^P fol. 78^r et 238^r Φίλωνος D^V p. 365 Εὐαγρίου Max. Ecl. cap. 13 Io. Georgides Laur. VII 15 fol. 71^r Φίλωνος: ὁ σπουδαῖος ὀλιγοδεής — διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας.
1. 2 *Clem. Alex. Strom. II 18 p. 471 P.* ὁ γὰρ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος, τὸ μὲν ἐνδεὲς διά τε τὸ σῶμα διά τε τὴν γένεσιν αὐτὴν ἔχων, ὀλίγων δὲ διὰ τὴν λογικὴν ἐγκράτειαν δεῖσθαι δεδιδαγμένος.

ψυχῆς εὐκρασία δυνάμεών ἐστι τῆς τε κατὰ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν καὶ τὸν λόγον, ἐπικρατούσης τῆς λογικῆς καὶ ὥσπερ ἀφηνιαστὰς ἵππους
11 ἡνιοχούσης ἑκατέρας. ὄνομα ταύτης ἴδιον τῆς ὑγείας ἐστὶ σωφροσύνη, σωτηρίαν τῷ | φρονοῦντι τῶν ἐν ἡμῖν ἀπεργαζομένη· κινδυνεῦον γὰρ p. 378 M. αὐτὸ πολλάκις ὑπὸ τῆς τῶν παθῶν φορᾶς κατακλύζεσθαι ὑποβρύχιον οὐκ ἐᾷ χωρεῖν, ἀλλὰ ἀνέλκει καὶ μετέωρον ἐξαίρει ψυχοῦσα καὶ ζῳογο-
15 νοῦσα καὶ τρόπον τινὰ ἀπαθανατίζουσα. πάντα δὲ τὰ εἰρημένα ὑφηγήσεις εἰσὶ καὶ διδασκαλίαι πολλαχοῦ τῆς νομοθεσίας ἐστηλιτευμέναι, τοὺς μὲν εὐπειθεῖς μαλακώτερον ἀναπείθουσαι τοὺς δὲ ἀπειθεστέρους ἐμβριθέστερον καταφρονεῖν τῶν περὶ σῶμα καὶ ἐκτός, ἓν μὲν τέλος ἡγουμένους τὸ κατ᾿ ἀρετὴν βιοῦν, ζηλοῦντας δὲ καὶ τἄλλα ὅσα ἀγωγὰ πρὸς
16 τοῦτο. καὶ εἴ γε μὴ διὰ τῶν προτέρων ἐτύγχανον ἕκαστα διεξεληλυθὼς τῶν εἰς ἀτυφίαν, ἐπειρώμην ἂν ἀπομηκύνειν ἐν τῷ παρόντι συνυφαίνων καὶ συνείρων τὰ δοκοῦντα σποράδην κεῖσθαι ἐν τόποις διαφέρουσιν·
17 εἰρηκὼς δ᾿ ὅσα καιρὸς παλιλλογεῖν οὐ δικαιῶ. τοὺς μέντοι μὴ ἀποκνοῦντας ἀλλὰ διὰ σπουδῆς τιθεμένους ἐντυγχάνειν ταῖς πρὸ τούτων βίβλοις δεῖ νοῆσαι, ὅτι πάντα τὰ περὶ ἀτυφίας λεχθέντα σχεδόν ἐστι περὶ ἀνδρείας, ἐπειδήπερ εὐτόνου καὶ γενναίας καὶ σφόδρα νενευρωμένης ψυχῆς ἐστι καταφρονῆσαι πάντων ὅσα τῦφος εἴωθε σεμνοποιεῖν ἐπὶ διαφθορᾷ τοῦ πρὸς ἀλήθειαν βίου.

1 ἐστὶν S ἐπιθυμίαν] ἐπιμυθίαν L (Turn.) 3 ἐστὶ τῆς ὑγείας transp. A, τῆς ὑγείας om. M ὑγίας E, ὑγιείας F εὐφροσύνη A 4 σωτηρία G 5 φορᾶς VOKFH^2: φθορᾶς ceteri ὑποβρύχιον VOF: βρύχιον ceteri (v) 6 ἀλλὰ SAG: ἀλλ᾿ ceteri ψυχοῦσα B^2MGH: ψύχουσα ceteri 7 ἀθανατίζουσα BEKM πάντα VOF: πᾶν SB^1EGH^1P, πάντων B^2KMAH^2 τὰ εἰρημένα V^2OF: τούτων A, τῶν εἰρημένων ceteri 7. 8 ὑφυγήσεις εἰσὶν S 9 εὐπαθεῖς S δὲ SMFG: δ᾿ ceteri εὐπειθεστέρους M 10 τὸ σῶμα VOKHP (v), τῶν σῶμα F τῶν ἐκτὸς VOF ἓν μὲν οὖν τέλειον A 10. 11 ἡγουμένους B^2KMV^2OF (coni. Mang.): ἡγούμενοι SB^1E$V^1$$H^1$P, ἡγούμεναι H^2 (v), ἡγούμενον G, ἡγούμεθα A 11 τὸ . . . βιοῦν codd.: τὸν . . . βίον v τἄλλα FG ἀγωγὰ] ἀγαθὰ A 12 τοῦτο K (conieceram): τούτοις VOFA, τούτους ceteri (τοῦτον v) καὶ SGH: κἂν ceteri μὴ post προτέρων transp. A πρότερον GHP (v) 13 εἰς SA: ἐς ceteri (v) ἐπιρώμην S^1, ἐπὶ ῥώμην G^1 14 ἐν τόποις om. M 15 εἰρηκὼς] εἰρηνικῶς M δὲ F ὅσα καιρὸς SV^1G: ὅσα ὁ καιρὸς ἀπῄτει V^2OF, ὅσα δίδωσιν ὁ καιρὸς ceteri (v) δικαιῶν S (δικαιῶ corr. Mang.): δίκαιον ceteri μὴ om. F 16 τιθεμένοις A, τιθεμένων S τούτου A; ταύτης conicio 17 δεῖ νοῆσαι v: νοῆσαι δεῖ G, ἔστι νοῆσαι AP^2, νοῆσαι (om. δεῖ) ceteri ἀνδρίας AEFG 18 ἐπειδὴ M 19 ἐπὶ διαφορᾷ AK, ἐπειδὴ ἄφθορα G

4 Plat. Cratyl. 411e σωφροσύνη δὲ σωτηρία οὗ νῦν δὴ ἐσκέμμεθα, φρονήσεως.

(4.) Τοσαύτη δέ τίς ἐστι τῷ νόμῳ σπουδὴ καὶ φιλοτιμία περὶ τοῦ 18
γυμνάσαι καὶ συγκροτῆσαι ψυχὴν πρὸς ἀνδρείαν, ὥστε καὶ περὶ ἐσθημάτων
ὁποῖα ἐχρῆν ἀμπέχεσθαι διετάξατο ἀπειπὼν ἀνὰ κράτος ἀνδρὶ γυναικὸς
ἀμπεχόνην ἀναλαμβάνειν, ἕνεκα τοῦ μηδὲν ἴχνος ἢ σκιὰν αὐτὸ μόνον
τοῦ θήλεος ἐπὶ λύμῃ τῆς ἄρσενος γενεᾶς προσάψασθαι· βούλεται γὰρ
ἑπόμενος ἀεὶ τῇ φύσει τὰ οἰκεῖα καὶ συνῳδὰ ἀλλήλοις ἄχρι τῶν ἐσχάτων
καὶ δι' εὐτέλειαν ἀφανεστέρων εἶναι δοκούντων νομοθετεῖν. ἐπειδὴ γὰρ 19
τύπους σωμάτων ἑώρα καθάπερ ἐπὶ πλάτους χαραχθέντας ἀνομοίους
ἀνδρός τε αὖ καὶ γυναικὸς καὶ βίον ἑκατέρῳ τῶν εἰδῶν οὐ τὸν αὐτὸν
ἀπονεμηθέντα — τῷ μὲν γὰρ ὁ κατοικίδιος, τῷ δ' ὁ πολιτικὸς προσκε-
κλήρωται —, κἂν τοῖς ἄλλοις ὅσα μὴ φύσεως μὲν ἔργα ἦν, φύσει δὲ
ἀκόλουθα γνώμης ἀγαθῆς εὑρήματα, συμφέρον ἔκρινε διατάξασθαι· ταῦτα
δ' ἦν τὰ περὶ δίαιταν καὶ ἀμπεχόνην καὶ εἴ τι ὁμοιότροπον. ἠρρενῶσθαι 20
γὰρ τόν γε πρὸς ἀλήθειαν ἄνδρα κἂν τούτοις ἠξίωσε καὶ μάλιστα ἐν
ἐσθήμασιν, ἃ ἐπιφερόμενος ἀεὶ μεθ' ἡμέραν τε καὶ νύκτωρ ὀφείλει
μηδὲν ἔχειν ἀνανδρίας ὑπόμνημα. κατὰ τὰ αὐτὰ μέντοι καὶ τὴν γυναῖκα 21
379 M. ἀσκήσας τοῖς ἁρμόττουσι κόσμοις | ἐκώλυσεν ἀναλαμβάνειν ἀνδρὸς ἐσθῆτα,
πόρρωθεν ὡς ἀνδρογύνους οὕτως καὶ γυνάνδρους φυλαξάμενος· ἑνὸς γάρ,

1 δέ codd.: δή Mang. 2 ἀνδρίαν AEFG 4 ἀμπεχομένη S[1], ἀμπεχόνην corr. S[2] ἀναλαμβάνειν] ἀλλὰ λαμβάνειν S μηδὲ VOF, μηδ' A αὐτῷ K 5 θήλεως G λοίμῃ SG προάψασθαι A 6 ἀεὶ ἑπόμενος transp. A (Mang.) 7 εὐτέλειαν om. G εἶναι] αὐτῶν G ἐπειδήπερ (om. γὰρ) M 8 ἑώρα σωμάτων transp. O ἐπὶ πλάστους M (ἐπιπλάστους Mang.), ἐπὶ σανίδος F ἀνομοίως F 9 βίου K 10 κατοίκιος M 11 κἂν Mang.: καὶ codd. ἔργα μὲν transp. VOF, μὲν om. A δὲ SVOFG: δ' ceteri 12 εὑρήματα scripsi: εὑρέματα codd. (v) 14 γε] τε F τούτω A ἠξίωσεν S μάλιστ' BEMAHP 15 ἐσθήμασιν A: αἰσθήσεσιν KG[1]H[1], ἐσθήσεσιν ceteri (v) ἃ codd.: ἃς H[2] (v) περιφερόμενος coni. Mang. ἀεὶ SO, αἰεὶ VF: om. ceteri (v) μεθ' om. A νύκτα A ὀφείλειν G 16 ἀνανδρείας SBMP κατὰ] καὶ M τὰ αὐτὰ SVOFG: ταὐτὰ HP, ταῦτα BEKMA 18 ἀνδρογύμνους G οὕτως S: οὕτω ceteri

3 Deut. 22,5. cf. *Ioseph. Ant. Iud. IV § 301* φυλάσσειν δὲ μάλιστα ἐν ταῖς μάχαις, ὡς μήτε γυναῖκα ἀνδρικῇ σκευῇ χρῆσθαι μήτ' ἄνδρα στολῇ γυναικείᾳ. 3sqq. *Clem. Alex.* l. l. ἐπεὶ τίνα λόγον ἔχει τὸ ἀπειπεῖν τὸν νόμον ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν; ἢ οὐχὶ ἀνδρίζεσθαι ἡμᾶς βούλεται μήτε κατὰ τὸ σῶμα καὶ τὰ ἔργα μήτε κατὰ τὴν διάνοιαν καὶ τὸν λόγον ἐκθηλυνομένους; ἠρρενῶσθαι γὰρ τὸν ἀληθείᾳ σχολάζοντα ἔν τε ὑπομοναῖς ἔν τε καρτερίαις κἂν τῷ βίῳ κἂν τῷ τρόπῳ κἂν τῷ λόγῳ κἂν τῇ ἀσκήσει νύκτωρ τε καὶ μεθ' ἡμέραν καὶ εἴ που μαρτυρίου δι' αἵματος χωροῦντος ἐπικαταλάβοι χρ ία βούλεται.

καθάπερ ἐν ταῖς οἰκοδομίαις, ὑφαιρεθέντος ᾔδει καὶ τἄλλα μενοῦντά οὐκ
ἐν ὁμοίῳ.
22 (5.) Ἔτι τοίνυν τῶν ἀνθρωπείων πραγμάτων δυσὶ καιροῖς ἐμφερο-
μένων, εἰρήνῃ τε καὶ πολέμῳ, τὰς ἀρετὰς ἔστιν ἰδεῖν ἐν ἀμφοτέροις
ἐξεταζομένας. περὶ μὲν οὖν τῶν ἄλλων λέλεκται πρότερον καὶ αὖθις,
εἰ γένοιτό τις χρεία, λεχθήσεται· τὰ δὲ νῦν ἀνδρείαν οὐ παρέργως ἐξετα-
στέον, ἧς τὰ μὲν κατ' εἰρήνην ἔργα πολλαχοῦ τῆς νομοθεσίας ὕμνησεν
ἀεὶ τῶν καιρῶν στοχαζόμενος, περὶ ὧν ἐν τοῖς οἰκείοις τόποις ὑπεμνή-
σαμεν, τῶν δὲ κατὰ πόλεμον ἐνθένδε ποιησόμεθα τὴν ἀρχήν, ἐκεῖνο
23 προειπόντες. ὅταν ποιῆται τὸν στρατιωτικὸν κατάλογον, οὐχ ἅπασαν τὴν
νεότητα καλεῖν οἴεται δεῖν, ἀλλ' ἔστιν οὓς παραιτεῖται προστιθεὶς αἰτίας
εὐλόγους τῆς ἀστρατείας· αὐτίκα τοὺς κατεπτηχότας καὶ δειλούς, μελλή-
σοντας ὑπὸ τῆς ἐμφύτου μαλακίας ἁλίσκεσθαι καὶ δέος τοῖς ἄλλοις
24 συμμάχοις ἐμποιεῖν. τὸ γὰρ ἑτέρου κακὸν εὖ πως ὁ πλησίον ἀναμάττεσθαι
φιλεῖ, καὶ μάλιστ' ἐν πολέμῳ, τοῦ λογισμοῦ διὰ τὴν ἀγωνίαν συγκεχυ-
μένου καὶ τὰς τῶν πραγμάτων ἀντιλήψεις ἀκριβοῦν ἀδυνατοῦντος· τότε
γὰρ εὐλάβειαν μὲν τὴν δειλίαν, τὸ δὲ φοβεῖσθαι προμηθές, ἀσφάλειαν
δὲ τὴν ἀνανδρίαν εἰώθασι καλεῖν, αἴσχιστα ἔργα εὐπρεπέσι καὶ σεμναῖς
25 κλήσεσιν ἐπαμπίσχοντες. ὅπως οὖν μὴ τὰ μὲν οἰκεῖα βλάπτηται διὰ
τῆς τῶν εἰς τὸν πόλεμον ἰόντων ἀνανδρίας, ἐπικυδέστερα δὲ γίνηται τὰ
τῶν ἐχθρῶν αἱρούντων καταφρονητικῶς τοὺς ἀγεννεῖς, ὄχλον ἀργὸν εἰδὼς

1 ἤδη S   τἄλλα KFG   μενοῦντας S, μενοῦντος F, μὲν οὖν τὰ HP
3 ἀνθρωπίων S^1, corr. S^2 4 ἰδεῖν ἐστιν transp. F   5 καὶ περὶ μὲν (om. οὖν) A   6 γένηται A   ἀνδρείαν οὐ παρέργως ἐξεταστέον SVOFG: ἀνδρείαν post ἐξεταστέον transp. ceteri (v)   ἀνδρίαν AEFGO   οὐ] μὴ A
7 κατὰ A   ὕμνησα A   8 ἀεὶ SK: αἰεὶ ceteri   9 ἐνθένδ' ἐποιησάμεθα SG^1
τὴν ἀρχὴν ποιησόμεθα transp. A   10 ποιεῖτε S^1, ποιῆτε S^2G (fort. recte)
τῶν στρατιωτικῶν K   12 ἀστρατείας G: στρατείας ceteri (Turn.)   κατεπτηκότας S^1, corr. S^2 12. 13 μελήσοντας OHP   14 συμμάχειν (sic) F
εὖ πως] οὐκ οἶδ' ὅπως coni. Mang.   πλησίων K   ἀνατάττεσθαι K
15 φιλεῖ] ὀφλεῖ G^1, ὀφείλει BEK^1MA μάλιστα FHP   τῷ πολέμῳ M
17 προμηθεὺς (sic) F   18 ἀνανδρείαν SB, ἀνδρείαν VOK^2, δειλίαν F
εὐτρεπέσι G   19 ἐπαμπίσχοντος A, ἐπαμφίσχοντες SG^1 οὖν $SVOGH^2$: ἂν F, οὖν om. ceteri   20 τῆς SVOFG: τὴν ceteri (v)   τῶν om. G
τὸν om. F   ἀνανδρίας V^2OFG, ἀνανδρείας S, ἀνδρείας V^1: ἀνανδρίαν AEKHP (v), ἀνανδρείαν BM   δὲ γίνηται] λέγειν εἴτε S   γένηται A   21 αἱρόντων M; ἀναιρούντων coni. Mang.   οὖν post τοὺς add. A, post ὄχλον add. B^2M
ἀγενεῖς SKFMH

12 Deut. 20,8.

οὐκ ὠφέλιμον ἀλλ' ἐμπόδιον εἰς κατόρθωμα, ἀνεῖρξε τοὺς ἀτόλμους καὶ
ἀναπίπτοντας δειλίᾳ, καθάπερ, οἶμαι, καὶ τοῖς τὰ σώματα νοσοῦσι στρατηγὸς
οὐδεὶς ἀνάγκην ἐπιτίθησι πολεμεῖν, ὑποπαραιτουμένης ἀσθενείας. νόσος 26
δέ τις καὶ ἡ δειλία, βαρυτέρα τῶν κατὰ τὸ σῶμα, τὰς ψυχῆς δυνάμεις
καθαιροῦσα· τῶν μὲν γὰρ βραχὺν εἶναι συμβαίνει τὸν χρόνον τῆς ἀκμῆς,
ἡ δ' ἐστὶ κακὸν σύντροφον, μᾶλλον ἢ οὐχ ἧττον τῶν ἡνωμένων μερῶν
προσπεφυκὸς ἐκ πρώτης ἡλικίας ἄχρι πανυστάτου γήρως, εἰ μὴ τύχοι
θεὸς ἰώμενος· πάντα γὰρ θεῷ δυνατά. καὶ μὴν οὐδ' ἅπαντας τοὺς 27
εὐτολμοτάτους καλεῖ, κἂν σφόδρα ἐρρωμένοι καθ' ἑκάτερον σῶμα καὶ
ψυχὴν προαγωνίζεσθαι καὶ προκινδυνεύειν ἐθέλωσιν· ἀλλὰ τῆς γνώμης
αὐτοὺς ἐπαινέσας, ὅτι κοινωνικὸν καὶ πρόθυμον καὶ ἀκατάπληκτον ἦθος
ἐπιδείκνυνται, διερευνᾷ μή τισιν ἀναγκαίαις αἰτίαις ἐνδέδενται, ὧν ὁλκὸς
p. 380 M. ἡ δύναμις. εἰ γάρ τις, φησί, νεωστὶ δειμάμενος | οἰκίαν οὐκ ἔφθη 28
εἰσοικίσασθαι ἢ ἀμπελῶνα φυτεύσας νεόφυτον, αὐτὸς εἰς γῆν τὰ κλήματα
καθείς, μήπω τῆς ἐπικαρπίας καιρὸν ἔσχεν ἢ παρθένον ἐγγυησάμενος

1 ὠφέλημον S ἀνεῖρξαι S ἀτόλμους] ἀποτόμους A 2 τοῖς . . . νοσοῦσι V^{2}OFGK^{2}H^2: τοὺς . . . νοσοῦντας ceteri στρατηγὸς Mang.: στρατηγοῖς V^{2}OFGK^{2}H^2, στρατηγοὺς ceteri 3 ὑποπαραιτουμένης Mang. (-νοις Turn): παραιτουμένης F, ὑπὲρ παραιτουμένης VOK^2, ὑπὸ παραιτουμένης ceteri 4 βαρύτερον Turn. τὰς ψυχῆς] ψυχικὰς A 5 τῶν] τὸν S χρόνον συμβαίνει (om. τὸν) transp. A 6 ἡ] ἢ B, ἢ H^{1}P δέ VOF κακῶν A ἢ om. O 7 προσπεφυκὼς SF τύχη A 9 εὐτόλμους A (fort. recte) ἑκάτερον] ἕτερον SG 10 ἐθέλουσιν G, ὀφείλωσιν BEK, ὀφείλουσιν M 11 ἀκατάληπτον S, ἀκατάλακτον G 12 ἀναγκαίως (sic) αἰτίαις G, ἀναγκαίαις (om. αἰτίαις) L; ἀνάγκαις v ἐνδέδονται L (Turn.) 13 εἰ] ὁ mg F δημάμενος S^1, corr. S^2 οἰκίας F ἔφθη] ἔφθασεν conicio 14 οἰκίαν ante εἰσοικίσασθαι repet. HP (Turn.) εἰσοικίσασθαι AFKHP: εἰσοικήσασθαι ceteri κλίματα H 15 καθείς] καταθεὶς A ἐπικαρπίας AK: καρπίας SVOFG (Mang.), καρπείας BEMHP (Turn.) παρθενείαν H

13 Deut. 20,5—7. cf. *Ioseph. Ant. Iud. IV* § *298.* 13sqq. *Clem. Alex. l. l.* πάλιν εἴ τις, φησί, νεωστὶ δειμάμενος οἰκίαν οὐκ ἔφθη εἰσοικίσασθαι ἢ ἀμπελῶνα νεόφυτον ἐργασάμενος μηδέπω τοῦ καρποῦ μετείληφεν ἢ παρθένον ἐγγυησάμενος οὐδέπω ἔγημεν, τούτους ἀφεῖσθαι τῆς στρατείας ὁ φιλάνθρωπος κελεύει νόμος, στρατηγικῶς μὲν ὡς μὴ περισπώμενοι πρὸς τὰς ἐπιθυμίας ἀπρόθυμοι τῷ πολέμῳ ἐξυπηρετῶμεν (-ῶσιν?), ἐλεύθεροι γὰρ τὰς ὁρμὰς οἱ ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδυόμενοι, φιλανθρώπως δὲ ἐπειδὴ τὰ κατὰ τοὺς πολέμους ἄδηλα, ἄδικον εἶναι λογισάμενος τὸν μὲν μὴ ὄνασθαι τῶν αὑτοῦ πόνων, ἕτερον δὲ τὰ τῶν καμόντων ἀταλαιπώρως λαβεῖν. ἔοικεν δὲ ὁ νόμος καὶ τὴν τῆς ψυχῆς ἐμφαίνειν ἀνδρείαν δεῖν νομοθετῶν τὸν φυτεύσαντα καρποῦσθαι καὶ τὸν οἰκοδομησάμενον οἰκεῖν καὶ τὸν μνώμενον γαμεῖν, οὐ γὰρ ἀτελεῖς τὰς ἐλπίδας τοῖς ἀσκήσασι κατὰ τὸν λόγον τὸν γνωστικὸν κατασκευάζει· τελευτήσαντος γὰρ καὶ ζῶντος ἀνδρὸς ἀγαθοῦ οὐκ ἀπόλλυται ἐλπίς.

οὐκ ἔγημεν, ἀφείσθω πάσης στρατείας, φιλανθρώπως ὁμοῦ ⟨καὶ στρατηγι-
29 κῶς⟩ τὴν ἄδειαν εὑρισκόμενος, ἕνεκα δυοῖν· ἑνὸς μὲν ἵνα, ἐπειδὴ τὰ κατὰ
πολέμους ἄδηλα, μὴ τὰ τῶν πονησάντων ἀταλαιπώρως ἄλλοι λαμβάνωσι·
χαλεπὸν γὰρ ἔδοξεν εἶναι, τῶν ἰδίων τινὰ μὴ ἀπόνασθαι δυνηθῆναι, ἀλλ'
οἰκοδομεῖν μὲν ἕτερον, ἐνοικεῖν δὲ ἄλλον, καὶ φυτεύειν μέν τινα, τὸν δὲ
μὴ φυτεύσαντα καρποῦσθαι, καὶ μνᾶσθαι μὲν ἄλλον, γαμεῖν δὲ τὸν μὴ
μνώμενον, ὡς οὐ δεῖν ἀτελεῖς τὰς ἐλπίδας κατασκευάζειν τοῖς χρηστὰ
30 τὰ κατὰ τὸν βίον προσδοκήσασιν· ἑτέρου δὲ ἵνα μὴ σώματι στρατευόμενοι
ταῖς ψυχαῖς ὑστερίζωσιν· ἀνάγκη γὰρ αὐτῶν τὴν διάνοιαν ἐκεῖ τετάσθαι
πόθῳ τῆς ἀπολαύσεως ὧν ἀφειλκύσθησαν· ὡς γὰρ οἱ πεινῶντες ἢ διψῶντες,
ὅταν σιτίον ἢ ποτόν που παραφανῇ, διώκουσι καὶ ἐπιτρέχουσιν ἀμετα-
στρεπτὶ γλιχόμενοι μεταλαβεῖν, οὕτως οἱ περὶ νομίμου γυναικὸς ἢ οἰκίας
ἢ χωρίου κτήσεως πονηθέντες καὶ ὅσον οὔπω τῇ ἐλπίδι νομίζοντες εἰς
τὸν ἑκάστου τῆς χρήσεως ἀφῖχθαι καιρόν, ὅταν ἀφαιρεθῶσι τὴν ἀπό-
λαυσιν, σφαδάζουσιν, ὡς παρόντας μὴ παρεῖναι τῷ κρείττονι μέρει, ψυχῇ,
31 δι' οὗ συμβαίνει κατορθοῦν ἢ τοὐναντίον. (6.) τούτους οὖν καὶ τοὺς
ὁμοίους οὐκ οἴεται δεῖν εἰς τὸν στρατιωτικὸν ἄγειν κατάλογον, ἀλλ' οἷς
οὐδὲν προενεληλυθὸς ὑποικουρεῖ πάθος, ὅπως ἐλευθέροις καὶ ἀφέτοις
ὁρμαῖς ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδύωνται. καθάπερ γὰρ πανευχίας
οὐδὲν ὄφελος ἀσθενεῖ σώματι ἢ λελωβημένῳ, ἣν ἀδυνατοῦν ἀπορρίψει,
τὸν αὐτὸν τρόπον ἐρρωμένον σῶμα φθερεῖ τι κηραινούσης πάθος ψυχῆς
32 μὴ συνᾷδον τοῖς παροῦσιν. εἰς ἅπερ ἀπιδὼν οὐ μόνον λοχαγοὺς καὶ
στρατηγοὺς καὶ τοὺς ἄλλους τῆς στρατιᾶς ἡγεμόνας ἀλλὰ καὶ τῶν
στρατιωτῶν ἕκαστον ἐπικρίνει, δοκιμάζων πῶς ἔχει πρός τε σώματος

1 ἀφείσθω codd.: ἀφιέσθω Mang. πάσας M φιλανθρώπως A (cf. Clem. Al.): φιλανθρωπίαν ceteri; φιλανθρωπίας v 1. 2 καὶ στρατηγικῶς e Clem. Al. supplevit Wendl. 2 εὑρισκόμενος Wendl.: ἀνευρισκόμενος codd. ἵνα SA: ἵν' ceteri τὰ om. L (Turn.) 3 πονησάντων VOFA: πονεσάντων ceteri λαμβάνωσιν SBOHP, λαμβάνουσι G 5 οἰκονομεῖν L (Turn.) pr. δὲ SVOFG: δ' ceteri 6. 7 τὸν δὲ μὴ μνώμενον γαμεῖν transp. F 7 οὐ δεῖν] οὐδεὶς A; οὐ δέον coni. Mang. 8 τὰ A: τῶν ceteri (v) τὸν om. A 9 τὰς ψυχὰς BEKM ἐκεῖ] ἐκεῖσε coni. Wendl., οἴκοι coni. Mang. 11 διώκωσι M 12 περὶ] παρὰ F 13 τῇ ἐλπίδι A: τῆς ἐλπίδος ceteri (Turn.) 14 ἕκαστον H[1] 15 ψυχῇ V[2]OF: ψυχῆς ceteri (v) 17 στρατικὸν M 18 προενεληλυθὸς S: προεληλυθὸς ceteri (v); προεσεληλυθὸς coni. Wendl. ὑποικουρεῖ Mang.: οἰκουρεῖ codd. ὅπως om. F 19 ἐναποδύωνται A 20 οὐδενὸς F ἣν] ἦν VO, ἢ F ἀπορρίψη VOF 21 φθερεῖ Wendl. (φθείρει ipse conieci): εἰ φέρει V[2]O, εἰ φέροι F, φέρειν GH[2], φέρει ceteri; φύρει coni. Mang. τι] τῇ SGH[2] (v) (τῆς) κηραινούσης . . . ψυχῆς Mang.: κηραινούσῃ . . . ψυχῇ codd. 22 ἀφιδὼν S[1], corr. S[2] 23 στρατιᾶς VOFG: στρατείας ceteri (v)

εὐεξίαν καὶ πρὸς εὐστάθειαν λογισμοῦ, σῶμα μὲν ἐξετάζων, εἰ ὁλόκληρον, εἰ ὑγιαῖνον ὅλον δι' ὅλων, εἰ τοῖς μέρεσι καὶ μέλεσι πᾶσιν εὖ ἡρμοσμένον πρὸς τὰς ἐπιβαλλούσας ἑκάστῳ σχέσεις τε καὶ κινήσεις, ψυχὴν δέ, εἰ θαρραλεότητος καὶ εὐτολμίας ἀνάπλεως, εἰ ἀκατάπληκτος καὶ μεστὴ
p. 381 M. φρονήσεως | εὐγενοῦς, εἰ φιλότιμος καὶ ζωῆς ἀδόξου τὸν σὺν εὐκλείᾳ θάνατον προκρίνουσα. τούτων γὰρ ἕκαστον ἰδίᾳ καθ' αὑτό, εἰ δεῖ 33 τἀληθὲς εἰπεῖν, δύναμίς ἐστιν· ἀθρόα δ' εἰ συνέλθοιεν, ῥώμην ἄμαχόν τινα καὶ ἀνανταγώνιστον ἐκ πολλοῦ τοῦ περιόντος ἐπιδείξονται, κρατοῦντες ἀναιμωτὶ τῶν πολεμίων.

(7.) Τῶν δὲ λεχθέντων σαφεστάτην πίστιν αἱ ἱεραὶ βίβλοι περι- 34 έχουσιν. ἔθνος πολυανθρωπότατόν ἐστιν Ἄραβες, οἷς ὄνομα παλαιὸν ἦν Μαδιηναῖοι. οὗτοι πρὸς Ἑβραίους φιλαπεχθημόνως ἔχοντες, οὐδενὸς ἕνεκα ἑτέρου μᾶλλον ἢ ὅτι τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβουσι καὶ τιμῶσι τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων προσκεκληρωμένοι, καὶ πάσας μὲν μηχανὰς τεχνάζοντες, πάσας δὲ πείρας καθιέντες, ἵνα ἀπὸ τῆς τοῦ ἑνὸς καὶ ὄντως ὄντος τιμῆς αὐτοὺς ἀποστήσωσι καὶ μεθαρμόσωνται πρὸς ἀσέβειαν ἐξ ὁσιότητος — οὕτως γὰρ περιέσεσθαι ῥᾳδίως

1 εὐστάθειαν HP: ἀπάθειαν F, εὐπάθειαν ceteri   εἰ] εἰς A   2 pr. εἰ om. A   ὑγιαίνων G   δι' ὅλου VOF   μέλεσι καὶ μέρεσι F   πᾶσιν om. O   4 θαρραλεότητος] θαρραλεωτάτη H (v)   5 φρονήσεως] φρονήματος coni. Mang.   εἰ] ὁ F   6 ἕκαστα SVOFG   7 ἀθρόοι SVOF   εἰ συνέλθοιεν] εἰσέλθοιε M   8 ἐπιδείξωνται S, ἐπιδείξαντες V²OF   κρατοῦσιν V²OF   10. 11 παρέχουσιν conicio   11 tit. περὶ εὐσεβείας hoc loco add. G   ἄρραβες VOAH²   12 Μαδιηναῖοι] τοὺς μαδιηνέους σαρακηνοὺς λέγει adnot. S, τοὺς σαρακηνοὺς λέγει mg G   οὗτοι] οὕτως S   οὐδενὸς] μηδενὸς P   13 ἑτέρου ἕνεκα A (ἕνεκα ἑτέρου Mang.): ἕνεκα om. ceteri (Turn.)   ἀνωτάτω Mang. (cf. Clem. Al.): ἀνώτατον codd. (Turn.)   αἴτιον om. S   13. 14 σέβουσι καὶ om. K   14 tert. καὶ eras. V², om. OF   15 μηχανὰς μὲν transp. A   τεχνάσαντες V²OF   καθέντες P   ἵνα S: ἵν' ceteri   16 ὄντως om. Turn.   ἀποστήσουσι H¹P   16. 17 μεθαρμώσονται S   17 ἐξ] δι' A   οὕτως SG: οὕτω ceteri   ῥᾳδίως περιέσεσθαι transp. BKM

11 sqq. Num. cap. 25.   12 sqq. *Clem. Alex. Strom. II 18 p. 472 P.* τί δέ; οὐχὶ αἱ Μαδιηναίων γυναῖκες τῷ κάλλει τῷ σφῶν πολεμοῦντας τοὺς Ἑβραίους ἐκ σωφροσύνης δι' ἀκρασίαν εἰς ἀθεότητα ὑπηγάγοντο; προσεταιρισάμεναι γὰρ αὐτοὺς ἐκ τῆς σεμνῆς ἀσκήσεως εἰς ἡδονὰς ἑταιρικὰς τῷ κάλλει δελεάσασαι ἐπί τε τὰς τῶν εἰδώλων θυσίας ἐπί τε τὰς ἀλλοδαπὰς ἐξέμηναν γυναῖκας, γυναικῶν δὲ ἅμα καὶ ἡδονῆς ἡττηθέντες ἀπέστησαν μὲν τοῦ θεοῦ, ἀπέστησαν δὲ καὶ τοῦ νόμου, καὶ μικροῦ δεῖν ὁ πᾶς λεὼς ὑποχείριος τοῖς πολεμίοις γυναικείῳ στρατηγήματι ἐγεγόνει, ἕως αὐτοὺς κινδυνεύοντας ἀνεχαίτισε νουθετήσας φόβος.   13. 14 *Clem. Alex. Strom. II 18 p. 469 P.* ἀλλ' ἡ μὲν εὐσέβεια παντί που δήλη τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβειν καὶ τιμᾶν διδάσκουσα. καὶ δικαιοσύνην δὲ αὐτὸς ὁ νόμος παρίστησι παιδεύων τήν τε φρόνησιν διὰ τῆς τῶν αἰσθητῶν εἰδώλων ἀποχῆς καὶ τῆς πρὸς τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων προσκληρώσεως.

ὑπελάμβανον —, ἐπειδὴ μυρία καὶ λέγοντες καὶ δρῶντες ἀπειρήκεσαν,
ὥσπερ οἱ θανατῶντες ἐφ᾽ ὧν ἀπογνῶσι σωτηρίας, καί τι τοιοῦτον ἐπι-
35 νοοῦσι στρατήγημα. γυναικῶν τὰς περικαλλεστάτας μεταπεμψάμενοί
φασιν αὐταῖς· „ὁρᾶτε. ὡς ἀπερίληπτός ἐστιν ἡ τῶν Ἑβραίων πληθύς.
τῆς δὲ πληθύος ἐστὶν ἀργαλεώτερον ἐπιτείχισμα ἡ ὁμόνοια καὶ συμφωνία
τούτων· αἴτιον δὲ τῆς ὁμονοίας τὸ ἀνωτάτω καὶ μέγιστον ἡ περὶ τοῦ
ἑνὸς θεοῦ δόξα, ἀφ᾽ ἧς οἷα πηγῆς ἑνωτικῇ καὶ ἀδιαλύτῳ φιλίᾳ κέχρηνται
36 πρὸς ἀλλήλους. ἡδονῇ δ᾽ ἁλωτὸν ἄνθρωπος, καὶ μάλιστα συνουσίᾳ τῇ
πρὸς γυναῖκα. διαπρεπέσταται δ᾽ ἐστέ· καὶ φύσει μὲν ἀγωγὸν τὸ κάλλος,
37 ἡ δὲ νεότης εἰς ἀκρασίαν εὐόλισθον. ἑταιρήσεως ἢ μοιχείας ὀνόματα
μὴ δείσητε ὡς αἰσχύνην ἐποίσοντα, τὰς ἐκ τοῦ πράγματος ὠφελείας
ἀντιτιθεῖσαι, δι᾽ ἃς τὰς ἐφ᾽ ἡμέραν ἀδοξίας μεθαρμόσεσθε εἰς ἀγήρω καὶ
ἀτελεύτητον εὔκλειαν, τὰ μὲν σώματα ὅσα τῷ δοκεῖν προέμεναι, σόφισμα
κατ᾽ ἐχθρῶν καὶ στρατήγημα, παρθένους δὲ τὰς ψυχὰς διαφυλάττουσαι,
38 αἷς καὶ τὴν πρὸς τὸ μέλλον ἁγνείαν ἐπισφραγιεῖσθε. καὶ καινότατον ὁ
πόλεμος οὗτος ἕξει κλέος διὰ γυναικῶν ἀλλ᾽ οὐ δι᾽ ἀνδρῶν κατορθωθείς·
τὸ μὲν γὰρ ἡμέτερον, ὁμολογοῦμεν, γένος οὗ γενήσεται ἧττα, διὰ τὸ
πᾶσι τοῖς εἰς μάχην τοὺς ἀντιπάλους ἐπικυδεστέρους εἶναι, τὸ δ᾽ ὑμέτερον
παντελῶς τὴν νίκην οἴσει καί, τὸ μέγιστον ἀγαθόν, τὰς δίχα κινδύνων
ἀριστείας· ἀναιμωτὶ γάρ, μᾶλλον δὲ καὶ ἀκονιτί, κατὰ τὴν πρώτην

1 ὑπέλαβον A ἐπειδὴ] ἐπεὶ δὲ B^{1}EKAHP (v) καὶ μυρία transp. A καὶ λέγοντες] καταλέγοντες S 2 ἐφ᾽ ὧν] ἐπειδὰν $V^{2}OK^{2}$F; ὅταν conicio ἀπογνῶσι codd.: ἀπογνώσει (om. ἐφ᾽ ὧν) v; ἐν ἀπογνώσει (secl. ἐφ᾽ ὧν) coni. Wendl. τι] τοι M post τοιοῦτον add. γυναικῶν A 3 περιφανεστάτας A 5 ἐστὶν ἀργαλεώτερον SVOF: ἀργαλεώτερόν ἐστιν ceteri (v) ἀργαλεώ^{ερ}τατον K ἐπιτείχισμα om. A 6 ὁμονοίας] ὁμοίας M ἀνώτατον VOFH (Turn.) 8 ἡδονὴ SF ἁλωτὸς V^{2}OF ὁ ἄνθρωπος F, ἀνθρώποις S, sed ι add. S^{2} 9 γυναῖκας F, τὴν γυναῖκα K 10 ἑταιρίσεως V^{2}O 11 μὴ δείσητε ὡς] μηδεισ ἢ τέωσ S (sed accent. et spir. add. S^{2}) ἐποίσοντα] ἐ^{μ}ποιήσοντα G 12 ἐφ᾽ ἡμέραν] ἐφήμερον SVOF, ἐφημέρων H^{1}P, σήμερον G μεθαρμόσασθαι S^{2} 13 μὲν] τε A ὅσα — ψυχὰς (14) om. A τῷ] τὸ S; τῷ om. L (Turn.) 14 φυλάττουσαι A 15 ἐπισφραγιεῖσθαι SF καὶ om. SG, καινότατον καὶ transp. VOF 17 τῷ μὲν γὰρ ἡμετέρῳ ὁμολογουμένως γένει V^{2}OF; τοῦ μὲν γὰρ ἡμετέρου, ὁμολογοῦμεν, γένους γενήσεται ἧττα coni. Wendl. οὗ] οὐ SVOF τὸ om. H^{1}P 18 τοὺς ἀντιπάλους om. A ἡμέτερον $S^{1}G^{1}$ 19 παντελῶς VOKF: παντελὲς ceteri (v) οἴσει dubitanter scripsi: περιοῦσαι SG(V^{1}?), περαιώσει V^{2}OF, om. ceteri (v); περιοῦσαι ἕξετε coni. Mang., περιποιήσει Wendl. 20 καὶ om. O ἀκονητὶ $SV^{1}B^{1}$EAH

φαντασίαν αὐτὸ μόνον ὀφθεῖσαι περιέσεσθε.“ ταῦτ᾽ ἀκούσασαι, καθαροῦ 39
βίου μηδ᾽ ὄναρ ᾐσθημέναι, παιδείας ὀρθῆς ἄγευστοι, συναινοῦσιν, ἅτε
p. 382 M. πεπλασμένον ἦθος σωφροσύνης | τὸν ἄλλον χρόνον καθυποκρινάμεναι,
καὶ πολυτελέσιν ἐσθῆσι καὶ ὅρμοις καὶ οἷς ἄλλοις εἴωθε διακοσμεῖσθαι
γυνὴ πᾶσιν ἀσκηθεῖσαι καὶ τὸ ἐκ φύσεως κάλλος εὐμορφότερον ταῖς
ἐπιμελείαις ἀπεργασάμεναι — τὸ γὰρ ἀγώνισμα οὐ μικρὸν ἦν, θήρα νέων
ἀθηράτων — εἰς τοὐμφανὲς προέρχονται. καὶ πλησίον γενόμεναι βλέμ- 40
μασιν ἑταιρικοῖς καὶ στωμυλίᾳ λόγων καὶ σχέσεσι καὶ κινήσεσιν ἀκολάστοις
δελεάζουσι τῆς νεότητος τὴν ὀλιγόφρονα μοῖραν, ἀνερμάτιστα καὶ ἀνίδρυτα
ἤθη· καὶ διὰ τῆς τῶν σωμάτων αἰσχύνης ἀγκιστρευσάμεναι τὰς ψυχὰς
τῶν συνελθόντων, ἐπὶ θυσίας ἀθύτους καὶ σπονδὰς ἀσυμβάτους καλέ-
σασαι τῶν χειροκμήτων, ἀλλοτριοῦσι τῆς τοῦ ἑνὸς καὶ ὄντως ὄντος
θεραπείας θεοῦ. τοῦτο διαπραξάμεναι τοῖς ἀνδράσιν εὐαγγελίζονται· καὶ 41
ἔμελλον ἂν καὶ ἄλλους ἐπισπᾶσθαι τῶν μὴ σφόδρα βεβαίων, εἰ μὴ τοῦ
πάθους λαβὼν οἶκτον ὁ εὐεργέτης καὶ ἵλεως θεὸς ἀνυπερθέτῳ κολάσει
τῶν ἀπονοηθέντων — ἦσαν δὲ τέσσαρες πρὸς ταῖς εἴκοσι χιλιάδες —
ὥσπερ ὑπὸ χειμάρρου κατακλυσθῆναι κινδυνεύσαντας ἀνεχαίτισε φόβῳ
νουθετήσας. ὁ δὲ τοῦ ἔθνους ἡγεμὼν ἐπαντλῶν τοῖς ὠσὶ τὰ ὑπὲρ 42
εὐσεβείας δόγματα καὶ τὰς ψυχὰς τῶν ὑπηκόων τούτοις ἐπάγων ἐκ φυλῆς
ἑκάστης χιλίους ἄνδρας ἀριστίνδην ἐπιλέξας καταλέγει, δίκας ἀναπράξων
τῆς ἐνέδρας, ἣν ἐμηχανήσαντο διὰ τῶν γυναικῶν, ἐλπίσαντες μὲν ἅπασαν
τὴν πληθὺν ἄνωθεν ἐξ ἄκρας ὁσιότητος καταβαλόντες διαφθεῖραι, μόνους

1 αὐτῷ K περιέσεσθαι SG ταῦτα BKAG 3 καθυποκρινάμεναι S: καθυποκρινόμεναι ceteri (v) 4 ἐσθῆσι v: αἰσθήσεσι A^{1}P, ἐσθήσεσι ceteri εἴωθε] ἔσωθε S διακομεῖσθαι E 5 πᾶσαι P εὐμορφώτερον HP 6 ἐργασάμεναι VOF γὰρ om. M 7 ἀθηράτων codd.: εὐθηράτων H^{2} (v) τὸ ἐμφανὲς A γινόμεναι H 7. 8 βλέμμα H^{1}P 8 σχέσεσι S: ὀρχήσεσι ceteri (v) 9 ⟨ἧς⟩ ἀνερμάτιστα coni. Mang. αἴδρυτα S 10 καὶ om. K 12 χειροτμήτων S, γηροκομήτων (sic) G post ἀλλοτριοῦσι add. δὲ H^{1}P, δὴ H^{2} (v) 13 εὐαγγελίζονται om. A 13. 14 καὶ ἔμελλον ἂν καὶ ἄλλους scripsi: καὶ ἐμέλλοσαν spat. 5 fere litt. καὶ ἄλλους S, ἔμελλον ἀρὰν A mg P^{2}, καὶ — ἄλλους om. ceteri (in lacuna BEKM); καὶ ἐμέλλοσαν τοὺς ἄλλους Mang.
14 ἐπισπάσασθαι A τοὺς μὴ σφόδρα βεβαίους V^{2}K^{2}, τοὺς σφόδρα βεβαίους OF pr. μὴ om. AH^{2} (v) 16 ἀπονοηθέντων SVOFH^{2}: ἐπινοηθέντων ceteri
17 ἀναχαιτίσαι BEKMHP 18 ἐπαντλῶν S: om. ceteri (Turn.) 19 ταῖς ψυχαῖς B^{2}MV^{2}OFH^{2} (Turn.) τούτοις eras. V^{2}, om. O ἐπάγων scripsi: ἐπάδων codd.; ἐπαίρων coni. Wendl. 20 ἐπιλέξας ἀριστίνδην transp. A ἀναπράξων SGV^{1}: ἀντεισπράξων V^{2}OF, ἀναπρᾶξαι ceteri (v); ἀναπράξοντας coni. Mang.
21 ἐμηχανήσατο M τῶν om. VOF 22 ἄνωθεν om. A

43 δὲ τοὺς λεχθέντας δυνηθέντες. (8.) οἱ δὲ πρὸς πολλὰς μυριάδας ὀλίγος
ἀριθμὸς ἀντιταχθέντες, ἐμπειρίαις ἅμα καὶ εὐτολμίαις χρώμενοι, καθάπερ
αὐτός τις ἕκαστος ὅμιλος ὤν, καταφρονητικῶς πυκναῖς ἐπιτρέχοντες ταῖς
φάλαγξι καὶ τοὺς ἐν ποσὶν ἀναιροῦντες ἠρήμουν τὰ βύζην συνεστηκότα
στίφη καὶ ὅσα ἐφήδρευε πρὸς ἀναπλήρωσιν τῶν κενουμένων τάξεων,
ὡς αὐτοβοεὶ πολλὰς μυριάδας καταστορέσαι καὶ μηδένα τῆς ἀντιταχθείσης
νεότητος ἀπολιπέσθαι· κτείνουσι δὲ καὶ γυναῖκας τὰς συνεπιγραψαμένας
ἀνδρῶν γνώμαις ἀνοσίοις, ζωγρήσαντες παρθένους, ἄκακον ἡλικίαν οἰκτισά-
44 μενοι. καὶ τοσοῦτον πόλεμον κατορθώσαντες οὐδένα τῶν ἰδίων ἀπέβαλον,
ἀλλ' ὁπόσοι καὶ ὁποῖοι προῆλθον εἰς τὴν μάχην ἐπανῄεσαν ἄτρωτοι καὶ
ὁλόκληροι, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, μετὰ διπλασίονος ῥώμης·
ἡ γὰρ ἐκ τοῦ νικῆσαι χαρὰ τῆς προτέρας οὐκ ἐλάττονα τὴν ἰσχὺν
45 ἀπειργάσατο. αἴτιον δὲ οὐδὲν ἦν τούτων ἕτερον ἢ | τὸ σπουδάσαι φιλο- p. 383 M.
κινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἄρασθαι, ἐν ᾧ καὶ προαγωνίζεται
θεός, ἀήττητος ἐπικουρία, βουλὰς μὲν ἀγαθὰς ταῖς διανοίαις ὑφηγούμενος,
46 ἀλκὴν δὲ τοῖς σώμασι κραταιοτάτην ἐντιθείς. πίστις δὲ τῆς ἐκ θεοῦ
συμμαχίας τό τε ὑπ' ὀλίγων πολλὰς μυριάδας ἁλῶναι καὶ τὸ μηδένα
μὲν τῶν ἐχθρῶν διαφυγεῖν, μηδένα δὲ τῶν φίλων ἀναιρεθῆναι μήτε

1 δυνηθέντες] δυνηθῆναι BEMHP[1] (Turn.), μὴ δυνηθῆναι AP[2], διασωθῆναι K πολλοὺς F 3 ὅμιλος ἕκαστος transp. A, ἕκαστος om. BKM καταφορικῶς V[2]OF πυκναῖς SGH[2]: πυκνῶς VO, πικρῶς F, om. ceteri ἐπιτρέχων V[2]OK[2]F 3. 4 ταῖς φάλαγξι—ἀναιροῦντες SGH[2]: om. ceteri 4 ἠρήμουν A (coni. Mang.): οὐκ ἠρέμουν V[2]OK[2]F, ἠρέμουν ceteri βύζην] χύδην A mg P[2], κύκλῳ V[2]OK[2]F συνεστηκότα SAG: οὖν ἑστηκότα ceteri (Turn.) 5 ἐφέδρευε Turn. καινουμένων G post τάξεων add. ἄρδην διώλεσεν V[2]OK[2]F
6 post ὡς add. καὶ v, om. codd. αὐτοβοὶ in textu S, αὐτοβοεὶ mg S
7 ἀπολείπεσθαι VOFG καὶ τὰς γυναῖκας BEKM ἐπιγραψαμένας V[1], ἐπιδραξαμένας V[2]OF 8 ἀνοσίοις SGV[2]OFH[2]: ἀνοσίαις ceteri παρθένους om. A καὶ ἄκακον V[2]OK[2]F 8. 9 οἰκτησάμενοι (sic) A 9 ἀπέβαλλον H (Turn.), ἀπέλαβον S (βαλον ss. S[2]), προσαπέβαλον P 10 προῆλθον VOFA: συνῆλθον K, προσῆλθον ceteri (Turn.) ἐπανίεσαν SHP, ἀνήεσαν K 11 δ' BEKMHP εἰπεῖν εἰ χρὴ τἀληθές transp. M ῥώμης] σώματος P 12 προτέρας] πρότερον H (v) 13 ἀπειργάσατο SVOK[2]FG: ἐχαρίσατο ceteri (v) τούτων ἦν transp. HP (v) 14 ἐν ᾧ Mang.: ἐν ᾗ codd. 15 ἀηττήτῳ V[2]OK[2]F ἀφηγούμενος O 16 pr. δὲ om. H τῷ σώματι VOF ἐπιθείς S πίστιν VOF 16. 17 τὴν . . . συμμαχίαν VOF 17 συμμαχείας G ὑπὸ SF ὀλίγων ἐχθρῶν M πολλάς: hic desinit K alt. τὸ] τῷ G 18 μήτε SVOFG: μήτ' ceteri

13. 14 *Clem. Alex. Strom. II 18 p. 472 P.* αὐτίκα οἱ περιλειφθέντες φιλοκινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἀράμενοι κύριοι κατέστησαν τῶν πολεμίων.

ἀριθμὸν μήτε σώματος δύναμιν ἐλαττωθέντων. ὅθεν ἐν τοῖς προτρεπτι- 47
κοῖς φησιν· ἐὰν δικαιοσύνην καὶ ὁσιότητα καὶ τὰς ἄλλας ἀρετὰς ἐπι-
τηδεύῃς, βίον ἀπόλεμον βιώσῃ καὶ εἰς ἅπαν εἰρηνικόν, ἢ ἐνστάντος πολέ-
μου ῥᾳδίως τῶν ἐχθρῶν περικρατήσεις, θεοῦ στραταρχοῦντος ἀοράτως,
ᾧ δι' ἐπιμελείας ἐστὶ τοὺς ἀγαθοὺς σῴζειν ἀνὰ κράτος. μήτ' οὖν ἐὰν 48
πολλαῖς μυριάσιν ἐπιτρέχωσιν ὁ πεζὸς ὁμοῦ καὶ ἱππότης στρατὸς εὐο-
πλοῦντες μήτε ἐὰν ἐρυμνὰ καὶ ἐπίμαχα προκαταλαβόμενοι χωρία τοπο-
κρατῶσι μήτε ἐὰν ἀφθόνοις παρασκευαῖς χορηγῶνται, καταπλαγεὶς δείσῃς,
κἂν ἁπάντων ἀπορῇς ὧν ἄγουσι περιουσίαν ἐκεῖνοι, συμμάχων, ὅπλων,
τόπων εὐκαιρίας, παρασκευῶν· ἐκεῖνα γὰρ ὥσπερ ὁλκάδα πεπληρωμένην 49
παντοίων ἀγαθῶν πολλάκις ἐπιπεσὼν ἄνεμος ἐξαίφνης ἀνέτρεψε καὶ κατέ-
λυσε, τοῖς δ' εὐτελέσι καὶ λυπροῖς ὥσπερ ἀστάχυσιν ἤδη μεμυκόσιν ἐξ
αὐχμοῦ καὶ ἀνομβρίας ἐπιψεκάζων καὶ ἐπινίφων ὁ θεὸς τὰς σωτηρίους
δυνάμεις ἐμπαρέσχεν ἀνεγερθῆναί τε καὶ τελειογονῆσαι. ἐξ οὗ δῆλον, 50
ὅτι δεῖ τοῦ δικαίου καὶ ὁσίου περιέχεσθαι· οἷς μὲν γὰρ τὸ θεῖον ἔνσπονδον,
ἄκρως εὐδαίμονες, οἷς δὲ ἐχθρόν, ἐσχάτως κακοδαίμονες. τοσαῦτα καὶ
περὶ ἀνδρείας εἰς τὸ παρὸν ἀποχρώντως λελέχθω.

* * *

Περὶ φιλανθρωπίας.

(1.) Τὴν δ' εὐσεβείας συγγενεστάτην καὶ ἀδελφὴν καὶ δίδυμον 51
ὄντως ἑξῆς ἐπισκεπτέον φιλανθρωπίαν, ἧς ἐρασθεὶς ὡς οὐκ οἶδ' εἴ τις

1 ἐλαττωθέντων scripsi: ἐλαττωθέντες S, ἐλαττωθέντος G, ἐλαττωθῆναι VOF (v), ἐλαττωθεῖσαν ceteri ἐν om. VOF 1. 2 προτρεπτικοῖς] τροπικοῖς A 2 καὶ ὁσιότητα om. Turn. 2. 3 ἐπιτηδεύεις G 4 διακρατήσεις BEM 5 δι'] μετ' SVOF 7 μήτε SVOFA: μήτ' ceteri ἐρυμνὰ om. F ἀπόμαχα V²OF προκαταλαβόμενοι S: προκαταλαμβανόμενοι ceteri (v) 8 μήτε SVOFA: μήτ' ceteri χορηγῶνται] χρῶνται P 9 ἁπάντων S: om. ceteri (v) ἄγωσι F 10 τόπων om. A εὐκαιρίας] εὐχερείας Turn. 11 ἀνέστρεψε A 11. 12 κατέδυσε coni. Mang. 12 εὐτελέσι] ἀτελέσι H (v) μεμυκόσιν VOFGH²: μεμεθυκόσιν ceteri ἐξ αὐχμοῦ — δυνάμεις (14) om A 13 ἐπινείφων BEMHP τὰς om. VOF 15 δεῖ ... περιέχεσθαι scripsi: ἀεὶ (αἰεὶ VOFGH²) ... περιέχεται codd. (v) ἔνσπονδον om. F 16 δὲ SG: δ' ceteri 17 ἀνδρίας AEFG ἀποχρῶντος G, ἀποχρώντως om. P περὶ ἀνδρείας καὶ εὐσεβείας subscr. G, φίλωνος περὶ ἀνδρείας subscr. H periit sectio περὶ εὐσεβείας 18 περὶ φιλανθρωπίας SCG²: τοῦ αὐτοῦ λόγος περὶ εὐσεβείας F, περὶ εὐσεβείας καὶ φιλανθρωπίας HP, tit. om. AG¹ 19 δ' SCG²: om. ceteri εὐσεβείας SCG²: εὐσεβεία ceteri συγγενέτην S, συγγενέτιν CG² (Turn.) 20 ὡς om. S

2sqq. Deut. 28,1. 2. 7.

ἕτερος ὁ προφήτης τῶν νόμων — ὁδὸν γὰρ οἷα λεωφόρον ἄγουσαν ἐφ'
ὁσιότητα ταύτην ἠπίστατο — τοὺς ὑπ' αὐτὸν ἅπαντας ἤλειφε καὶ
συνεκρότει πρὸς κοινωνίαν, παράδειγμα καλὸν ὥσπερ γραφὴν ἀρχέτυπον
52 στηλιτεύσας τὸν ἴδιον βίον. τὰ μὲν οὖν ἐκ πρώτης ἡλικίας ἄχρι γήρως
εἰς ἐπιμέλειαν καὶ κηδεμονίαν ἑνὸς ἑκάστου καὶ πάντων ἀνθρώπων
πεπραγμένα αὐτῷ δεδήλωται πρότερον ἐν δυσὶ | συντάξεσιν, ἃς ἀνέγραψα p. 384 M.
περὶ τοῦ βίου Μωυσέως. ἑνὸς δὲ ἢ δυοῖν ὧν ἐπὶ τελευτῇ κατώρθωσεν
ἄξιόν ἐστιν ἐπιμνησθῆναι· δείγματα γάρ ἐστι τῆς συνεχοῦς καὶ ἀδιαστάτου
καλοκἀγαθίας, ἣν ἀσύγχυτον ἐνεσφραγίσατο τῇ ψυχῇ χαρακτῆρι θείῳ
53 τυπωθείσῃ. ἐπειδὴ γὰρ ἡ προθεσμία τῆς θνητῆς ζωῆς ἔμελλεν αὐτῷ
περατοῦσθαι καὶ λογίοις ἀριδήλοις ἔγνω τὴν ἐνθένδε μετανάστασιν, οὐδένα
τῶν ἄλλων ἢ βασιλέων ἢ ἰδιωτῶν ἐμιμήσατο, οἷς μία σπουδή τε καὶ
εὐχὴ κληρονόμους παῖδας καταλιπεῖν. ἀλλὰ καίτοι πατὴρ γεγονὼς δυοῖν
υἱοῖν οὐδετέρῳ τὴν ἀρχὴν ἀπέλιπεν ἡττηθεὶς εὐνοίας συγγενικῆς καὶ
πάθους φιλοικείου· καίτοι, εἰ καὶ τὰ τῶν τέκνων δι' ὑποψιῶν ἦν, ἀλλ'
ἀδελφιδῶν γοῦν οὐκ ἠπόρει καλῶν κἀγαθῶν, οἳ γέρας ἀρετῆς ἔσχον
54 τὴν ἀνωτάτω ἱερωσύνην. ἀλλ' ἴσως ἢ μεθέλκειν αὐτοὺς ἀπὸ τῆς θείας
λειτουργίας οὐκ ἐδοκίμασεν ἢ καὶ ὅπερ εἰκὸς ἐνενόησεν, ὅτι ἀμήχανον
τοὺς αὐτοὺς δύνασθαι καλῶς ἀμφοῖν ἐπιτροπεύειν, ἱερωσύνης τε καὶ
βασιλείας, ὧν ἡ μὲν ἐπαγγέλλεται θεοῦ θεραπείαν, ἡ δ' ἀνθρώπων ἐπιμέλειαν.
ἴσως δὲ καὶ κριτὴν αὑτὸν οὐκ ἠξίωσε γενέσθαι πράγματος

1 προφήτης S: πατὴρ ceteri (v) ἐπ' S 2 ταύτην] αὐτὴν S ὑπ' αὐτὸν SAH^{2}: ὑφ' αὑτὸν ceteri (v) εἴληφε SH^{1}P ἤλειφεν (εἴληφεν G^{2}) ἅπαντας transp. CG^{2} 4 ἐκ τῆς πρώτης F 5 κηδαιμονίαν SC 6 δεδήλωται] λέλεκται S δυσὶ] τρισὶ CG^{2} (Mang.) τάξεσιν F 7 τοῦ om. S μωϋσέως SCG^{2}: μωϋσέος ceteri δὲ SA: δ' ceteri δυεῖν G^{1}, δευτέρου S 8 ἄξιον ἐστὶν S: ἀναγκαῖον ceteri (v) alt. ἐστὶ S: εἰσι ceteri (v) συνεχούσης FG^{2}H^{1} ἀδιστάκτου H^{1}P 9 ἀσύγκριτον S ἐνεσφραγίσατο S: ἐπεσφραγίσατο ceteri (v) 11 περατοῦσθαι scripsi: περαιοῦσθαι codd. (περεοῦσθαι S) λόγοις P ἀριδήλοις SCG^{2}: ἀριδήλως ceteri ἔγνω S: προέγνω ceteri (Turn.) μετανάστασιν SAG^{1}: μετάστασιν ceteri (Turn.) 12 pr. ἢ om. S 13 ἀπολιπεῖν S δυεῖν G^{1} 14 υἱοῖν om. S οὐδετέρῳ SG^{1}H^{2}: θατέρῳ C^{1}G^{2}, οὐθετέρῳ ceteri ἀπέλειπεν SHP εὐνοίας συγγενικῆς Mang.: εὐνοίας συγγενείας S, εὐνοίᾳ (ἀγάπῃ A) συγγενικῇ ceteri (Turn.) καὶ] ἐκ G^{1} 15 πάθει φιλοικείῳ A (Turn.) καὶ εἰ transp. CG^{2}, καὶ om. FG^{1} ἀλλ' S: om. ceteri (v) 16 κἀγαθῶν S: καὶ ἀγαθῶν ceteri (v) οἳ καὶ γέρας S 17 καὶ τὴν S ἄνω S 18 ἐδοκήμασεν S: ἐδοκίμαζεν ceteri (v) καὶ om. S εἰκὸς] εἰκὸς ἦν FHP (v) ἐνενόησεν] οὐκ ἐνόησεν S ἀμήχανον τοῦτο CG^{2} 19 καλῶς S: om. ceteri (v) ἀμφοῖν S: ἄμφω ceteri (v) 21 αὑτὸν CA: αὐτὸν ceteri

μεγάλου· μέγιστον δ᾽ ἐστὶ τὸν εὖ πεφυκότα πρὸς ἀρχὴν δοκιμάσαι καὶ
σχεδὸν θείας δυνάμεως, ᾗ μόνῃ καθορᾶν ἦθος ἀνθρώπου ῥᾴδιον.
(2.) πίστις δὲ σαφεστάτη τοῦ δηλουμένου γένοιτ᾽ ἂν ἥδε. φίλος ἦν 55
αὐτῷ καὶ γνώριμος σχεδὸν ἐκ πρώτης ἡλικίας γενόμενος, Ἰησοῦς ὄνομα,
οὗ τὴν φιλίαν προὐξένησεν οὐδὲν τῶν παρὰ τοῖς ἄλλοις εἰωθότων, ἀλλ᾽
ἔρως ὁ οὐράνιος καὶ ἀκήρατος καὶ θεῖος ὄντως, ἐξ οὗ πᾶσαν ἀρετὴν
φύεσθαι συμβέβηκεν· οὗτος ὁμωρόφιος καὶ ὁμοδίαιτος ἦν αὐτῷ, πλὴν
ὁπότε ἐπιθειάσαντι καὶ χρησμῳδουμένῳ προσταχθείη μόνωσις· ὑπηρέτει
μέντοι καὶ τὰς ἄλλας ὑπηρεσίας ἀεὶ διαφερόντως τῷ πλήθει, μόνον οὐχ
ὕπαρχος ὢν καὶ τὰ τῆς ἡγεμονίας συνδιοικῶν. ἀλλὰ καίτοι βάσανον 56
ἀκριβῆ λαβὼν ἐκ μακρῶν χρόνων τῆς ἔν τε λόγοις καὶ ἔργοις καλοκἀγαθίας αὐτοῦ καὶ — τὸ ἀναγκαιότατον — εὐνοίας τῆς πρὸς τὸ ἔθνος, οὐδὲ
τοῦτον ᾠήθη χρῆναι καταλιπεῖν διάδοχον, δεδιὼς μή ποτε ψευδοδοξῇ
νομίζων ἀγαθὸν τὸν οὐκ ὄντα πρὸς ἀλήθειαν, ἐπειδὴ τὰ κριτήρια τῆς
ἀνθρωπίνης γνώμης ἀμυδρὰ καὶ ἀβέβαιά πως εἶναι πέφυκεν. ὅθεν οὐ 57
προπιστεύων ἑαυτῷ ποτνιᾶται καὶ καθικετεύει τὸν ἀοράτου ψυχῆς ἔφορον
p. 385 M. θεόν, ᾧ μόνῳ διάνοιαν ἔξεστιν ἀκριβῶς θεωρεῖν, | ἀριστίνδην ἑλέσθαι τὸν ἐπιτηδειότατον εἰς ἡγεμονίαν, ὃς οἷα πατὴρ ἐπιμελήσεται τῶν ὑπηκόων· καὶ τὰς καθαρὰς καὶ ὡς ἂν εἴποι τις τροπικώτερον παρθένους χεῖρας
ἀνατείνας εἰς οὐρανόν φησιν· „ἐπισκεψάσθω κύριος ὁ θεὸς τῶν πνευμάτων 58

1 δ᾽ ἐστὶν S: δ᾽ ὅτι AF, δὲ ὅτι ceteri (v) 1. 2 καὶ σχεδὸν SG^2: καὶ om. ceteri (v) 2 καθορᾶ C ἀνθρώπου S: ἀνθρώπων ceteri (v) 3 ἀδηλουμένου F, προκειμένου G^1, γενομένου A γένοιτο (om. ἂν) CG^2 4 σχεδὸν ἐκ πρώτης S: ἐκ πρώτης σχεδὸν ceteri (v) τοὔνομα S 5 τὴν πρώτην φιλίαν S οὐδὲν] οὐδεὶς S παρὰ] περὶ F τοῖς om. A 6 ἔρως] ὅρος A ὁ οὐράνιος S: ὁ om. ceteri (v) καὶ θεῖος ὄντως S: om. ceteri (v) 7 ὁμωρόφιος S^{1}AFG^1: ὁμορόφιος ceteri (Turn.) 8 μόνωσις] μόνος εἰσίῃ S 9 τὰς S: om. ceteri (v) ἀεὶ διαφερόντως τῷ πλήθει S: αἳ τῷ πλήθει διέφερον G^1, ἃς τῷ πλήθει διέφερε ceteri (v) μονονουχὶ A, μόνον οὐκ S^1, μονονοὺκ G^{1}G^2 10 ἡγεμονείας HP, οἰκονομίας A συνδιοικῶν S: διοικῶν ceteri (Turn.) 11 τῶν χρόνων A ἐν ἔργοις S 11. 12 καλοκἀγαθίας αὐτοῦ S: αὐτοῦ καλοκαγαθίας CG^2, αὐτοῦ post λόγοις (11) transp. ceteri (v)
12 τὸ ἀναγκαιότατον SCG^2: τοῦ ἀναγκαιοτάτου A (coni. Mang.), τῶν ἀναγκαιοτάτων FG^{1}HP 13 διάδοχον SF: om. ceteri (Turn.) δεδειὼς S μή ποτε S: ποτε om. ceteri (v) ψευδοδοξῇ SA: ψευδοδοξεῖ[illegible] F, ψευδοδοξεῖν CG^{2}HP, ψευδοδοξοίη G^1 16 προπιστεύων SC^{1}G^2: προσπιστεύων ceteri (v) ἀόρατον A
17 θεόν, ᾧ μόνῳ διάνοιαν ἔξεστιν ἀκριβῶς θεωρεῖν S: θεὸν μόνον (μόνον θεὸν F) ᾧ διάνοιαν ἀκριβῶς θεωρεῖν ceteri; θεὸν μόνον, ὃς διάνοιαν ἀκριβῶς θεωρεῖ v 19 ὡς εἶπέ τις S 20 ἀνατείνας εἰς οὐρανούς S (οὐρανόν scripsi): εἰς οὐρανὸν ἀνατείνας ceteri (v) φησίν· ἐπισκεψάσθω S: φησίν· ἐπισκεψάσθω δὴ CG^{2}AG^1, φησίν· ἐπισκεψάτω δὴ F, φησίν· ἐπισκεψάσθω δή, φησίν HP

20 Num. 27,16. 17.

καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς πληθύος, εἰς ἐπιμέλειαν καὶ προ-
στασίαν ποιμένα ὃς ἀνυπαιτίως ἀφηγήσεται, ἵνα μὴ γένηται σαθρὸν τὸ
59 ἔθνος οἷα ποίμνη σπορὰς ἀγελάρχην οὐκ ἔχουσα.“ καίτοι τίς οὐκ ἂν
κατεπλάγη τῶν τότε τῆς εὐχῆς ἀκούσας, „τί φής“ εἰπὼν „ὦ δέσποτα;
οὐκ εἰσὶ μέν σοι γνήσιοι παῖδες, οὐκ εἰσὶ δ' ἀδελφιδοῖ; μάλιστα μὲν
τοῖς υἱοῖς — κληρονόμοι γὰρ οὗτοι φύσει πρῶτοι — κατάλιπε τὴν
60 ἀρχήν, εἰ δ' ἀποδοκιμάζεις, τοῖς γοῦν ἀδελφιδοῖς. εἰ δὲ καὶ τούτους
ἀνεπιτηδείους ὑπείληφας τὸ ἔθνος προκρίνων τῶν συγγενεστάτων καὶ
οἰκειοτάτων, ἀλλ' ἔστι γέ σοι φίλος ἄμεμπτος βάσανον ἀρετῆς τελείας
δεδωκώς σοι τῷ πανσόφῳ· τί δὴ τοῦτον, εἰ μὴ γένους ἀλλὰ καλοκἀγαθίας
61 ἡ αἵρεσίς ἐστιν, οὐκ ἀξιοῖς δοκιμάζειν;“ ἀλλ' ἀποφανεῖται ὅτι „πάντων
μὲν κριτὴν ποιεῖσθαι θέμις θεόν, διαφερόντως δὲ τῶν μεγάλων, ἐν οἷς

1 εἰς om. S 2 ποιμένα scripsi: ποιμένος C²FG¹HP (v), ποιούμενος SC¹G²A ὃς ἀνυπαιτίως ἀφηγήσεται CG² mg F², ὃς ἂν ὑπαιτίως ὑφηγήσηται S: om. ceteri σαθρὸν om. S 3 σπορὰς scripsi: ἐπ' ὄρους S, σποράδην ceteri (v) 4 τότε] ποτὲ HP (Turn.) ἐπακούσας HP (v) ὦ S: om. ceteri (Turn.) 5 σοι] σου H¹P ἀδελφοί A μὲν S: μέντοι ceteri (v) 6 φύσει S: τῇ φύσει ceteri (v) πρῶτοι S: οἷς CG², om. G¹, πρώτοις ceteri (v) κατάλειπε HP 7 ἀδελφοῖς A τούτοις Richt. Tauchn. 9 γέ] δέ F σοι om. G¹ 10 δὴ τοῦτον] δῆτ' οὖν S εἰ] ἢ S¹, ἡ S², ἡ F¹ 11 ἀποφανῆται S (ἀποφανεῖται scripsi): ἀποκρίνεται ceteri (v) ὅτι] ὅταν A 12 κριτὴν] κρίσιν AHP (Turn.) ποιεῖσθαι θέμις θεόν G¹: ποιεῖσθαι θεὸν ἄριστον S, ποιεῖσθαι θέμις (om. θεόν) ceteri (Turn.) θέμις] θέλω P τῶν μεγάλων S: om. ceteri (v)

4sqq. *Origenes in Num. Homil. XXII 4 (t. X p. 271 Lomm.)* Sed interim videamus Mosis magnificentiam. recessurus de saeculo orat Deum, ut provideat ducem populo. quid agis, o Moses? num quid filii tibi non sunt, Gersom et Eliezer? aut si aliquid de ipsis dubitas, non sunt filii fratris magni et egregii viri? quomodo non oras Deum pro ipsis, ut eos constituat populo duces? sed discant ecclesiarum principes, successores sibi non eos qui consanguinitate generis iuncti sunt nec qui carnis propinquitate sociantur testamento signare ..., sed referre ad iudicium Dei et non eligere illum, quem humanus commendat affectus, sed Dei iudicio totum de successoris electione permittere. *Isidor. Pelus. lib. III epist. 289 (Migne t. 78 col. 963)* Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἄγαμαι τὸν θεοφιλῆ Μωυσέα, ἐν τούτῳ δὲ διαφερόντως, ὅτι παντὸς πάθους κρείττων ὢν καὶ τῆς φυσικῆς φιλοστοργίας ἐκράτησε. δύο γὰρ ἔχων υἱοὺς τεχθέντας μὲν παρ' αὐτοῦ, τῆς δὲ πατρῴας ἀρετῆς μὴ γεγονότας ζηλωτάς, οὐδένα αὐτῶν διάδοχον τῆς στρατηγίας ἐχειροτόνησεν, ἀλλὰ τὸν ἀρετῇ μᾶλλον ἢ γένει προήκοντα, τὴν ἀρετὴν προκρίνας τῆς πρὸς τὴν τοῦ καλοῦ διάκρισιν πολλάκις τυφλωττούσης φύσεως· οἱ γὰρ ἐκ πατέρων νομίζοντες δίκαιον εἶναι τὰς ἀρχὰς ἐπὶ τοὺς παῖδας καταβαίνειν τυφλώττουσι πρὸς τὴν ἀλήθειαν. *Theodoret. Quaest. in Num. 47 (Migne t. 80 col. 397)* θαυμάσαι δὲ ἄξιον τὸν προφήτην, ὅτι καὶ παῖδας ἔχων καὶ ἀδελφὸν καὶ ἀδελφιδοῦν οὐδένα τούτων ἡγεμόνα προύβάλετο, ἀλλὰ τὸν θεὸν ἤρετο καὶ τὸν ὑπ' αὐτοῦ ψηφισθέντα κεχειροτόνηκε.

τὸ εὖ γε ἢ χεῖρον μυρίους ὅσους εἰς εὐδαιμονίαν ἤγαγεν ἢ τοὐναντίον
εἰς κακοδαιμονίαν. μεῖζον δ' οὐδὲν ἀρχῆς, ἥ τὰ πόλεων καὶ χωρῶν
ὅσα κατὰ πόλεμον ἢ κατ' εἰρήνην ἐπιτέτραπται· ὡς γὰρ πρὸς εὔπλοιαν
ἀγαθοῦ καὶ τὴν γνώμην καὶ τὴν ἐπιστήμην δεῖ κυβερνήτου, τὸν αὐτὸν
τρόπον καὶ πρὸς εὐνομίαν ὑπηκόων τῶν ἑκασταχοῦ χρεία πανσόφου τινὸς
ἡγεμόνος. σοφίαν δὲ πρεσβυτέραν οὐ μόνον τῆς ἐμῆς γενέσεως ἀλλὰ 62
καὶ τῆς τοῦ κόσμου παντὸς οὖσαν οὔτε θέμις οὔτε δυνατὸν ἄλλῳ τῳ
κρίνειν ἀλλ' ἢ τῷ θεῷ καὶ τοῖς ἀδόλως καὶ καθαρῶς καὶ γνησίως αὐτῆς
ἐρῶσιν. ἐδιδάχθην δ' ἀπ' ἐμαυτοῦ μηδ' ἄλλον τινὰ τῶν ἐπιτηδείων εἶναι 63
δοκούντων εἰς ἀρχὴν δοκιμάσαι. τὴν γοῦν ἐπιμέλειαν καὶ προστασίαν
τῶν κοινῶν οὔτ' αὐτὸς ἐθελοντὴς εἱλόμην οὔθ' ὑπ' ἄλλου τινὸς ἀνθρώπων
χειροτονηθεὶς ἔλαβον, ἀλλὰ καὶ τοῦ θεοῦ χρησμοῖς ἐναργέσι καὶ λογίοις
ἀριδήλοις ἐμφανῶς θεσπίζοντος καὶ προστάττοντος ἄρχειν ἀνεδυόμην
ἱκετεύων καὶ ποτνιώμενος, εἰς τὸ μέγεθος ἀφορῶν τοῦ πράγματος, ἕως,
ἐπειδὴ πολλάκις ἐκέλευε, δείσας ἐπειθάρχησα. πῶς οὖν οὐκ ἄτοπόν 64
ἐστι μὴ τοῖς αὐτοῖς ἴχνεσιν ἐπακολουθῆσαι καὶ χρησάμενον ὅτ' ἔμελλον
ἄρχειν δοκιμαστῇ θεῷ πάλιν ἐπ' αὐτῷ μόνῳ θέσθαι τὴν χειροτονίαν
p. 386 M. τοῦ διαδόχου, μὴ | συνεφαψαμένης ἀνθρωπίνης γνώμης, ἥ τὸ εἰκὸς
συγγενέστερόν ἐστι τοῦ ἀληθοῦς, ἄλλως τε καὶ τῆς προστασίας οὐκ ἐπὶ

1 τὸ εὖ τε καὶ τὸ χεῖρον S γε] τε F, om. A ἢ om. G^2, ἢ χεῖρον om. C ἤγαγεν codd.: ἀνήγαγεν v 1. 2 ἢ τοὐναντίον εἰς κακοδαιμονίαν om. in textu S, ἢ τοὐναντίον κακοδαιμονίαν add. mg S (ante ἤγαγεν) 2 εἰς om. (S)C καὶ χωρῶν S: om. ceteri (v) 4 καὶ τὴν γνώμην om. FH^1P, ss. H^2 4. 5 τὸν αὐτὸν τρόπον καὶ om. S 5 πρὸς δ' εὐνομίαν S ὑπηκόων τῶν ἑκασταχοῦ S: τῶν ἑκασταχοῦ ὑπηκόων A, τῶν ἑκασταχοῦ om. G^1, ὑπηκόων τῶν ἑκάστου ceteri (Turn.) χρεία G^1: om. ceteri (v) 6 γενέσεως] γνώσεως S 7 τῳ om. S 8 ἀλλ' ἢ S: ἀλλ' om. ceteri (v) τῶ θεῶ S: τῷ om. ceteri (v) τοῖς] τοὺς S 9 ἐρῶσιν] ἐρῶντας S δ' om. S ἀφ' ἐμαυτοῦ S^1, ἀπεμοῦ αὐτοῦ C; ὑπ' ἐμαυτοῦ conicio 11 ἐθελοντὴς] ἑκοντὴς S οὔτ' S^1, οὔθ' corr. S^2 ὑπ' ἄλλου τινὸς S: ὑπό τινος ceteri (v) ἀνθρώπου AHP (v) 12 καὶ τοῦ θεοῦ S: om. ceteri (v) εὐαγέσι A λογισμοῖς A 13 θεοῦ ante ἐμφανῶς add. H^2 (v), post ἐμφανῶς add. θεοῦ F, τοῦ θεοῦ G^1 προστάττοντος SCG^2: προστάσσοντος ceteri 14 τῶν πραγμάτων A 15 ἐκέλευε S: ἐκέλευσε ceteri (v) ἐπιθάρχησα S 16 ἐστὶν S: ἦν ceteri (v) ὅτ'] ὅτι S 18 συνεφαπτομένης A 18. 19 ἢ τὸ εἰκὸς συγγενέστερόν ἐστιν S: ἣν εἰκὸς συγγενέστερόν ἐστι FG^2, ἣν εἰκὸς συγγενέστερον εἶναι CAH^1P, ἣν εἰκὸς συγγενεστέραν εἶναι H^2 (v), om. G^1 19 τοῦ ἀληθοῦς SG^2, τοῦ ἀ≡ηθους C: τοῦ ἤθους A, τοῦ ἀήθους FH^1P, γρ. τοῦ εὐήθους mg H^2 (v), om. G^1

6 cf. Prov. Sal. 8,22 sqq.

τῷ τυχόντι ἔθνει γενησομένης, ἀλλὰ πολυανθρωποτάτῳ μὲν τῶν ἁπανταχοῦ πάντων, ἐπάγγελμα δὲ ἐπαγγελλομένῳ μέγιστον, ἱκεσίαν τοῦ ὄντως ὄντος,
65 ὅς ἐστι ποιητὴς τῶν ὅλων καὶ πατήρ; ὅπερ γὰρ ἐκ φιλοσοφίας τῆς δοκιμωτάτης περιγίνεται τοῖς ὁμιληταῖς αὐτῆς, τοῦτο διὰ νόμων καὶ ἐθῶν Ἰουδαίοις, ἐπιστήμη τοῦ ἀνωτάτω καὶ πρεσβυτάτου πάντων αἰτίου, τὸν ἐπὶ τοῖς γενητοῖς θεοῖς πλάνον ἀπωσαμένοις· γενητὸς γὰρ οὐδεὶς ἀληθείᾳ θεός, ἀλλὰ δόξῃ μόνον, τὸ ἀναγκαιότατον ἀφῃρημένος, ἀιδιότητα."
66 (3.) Τοῦτο μὲν δὴ πρῶτον ἐναργέστατον δεῖγμα τῆς πρὸς ἅπαν τὸ ὁμόφυλον αὐτοῦ φιλανθρωπίας καὶ πίστεως· ἕτερον δὲ τοῦ λεχθέντος οὐκ ἀποδέον. ἐπειδὴ γὰρ ἀριστίνδην ὁ φοιτητὴς αὐτοῦ καὶ μιμητὴς τῶν ἀξιεράστων ἠθῶν Ἰησοῦς ἄρχων ἐδοκιμάσθη κριτηρίοις θείοις, οὐχ ὥσπερ ἂν ἕτερος ἐπὶ τῷ μὴ τοὺς υἱοὺς ἢ τοὺς ἀδελφιδοῦς αἱρεθῆναι
67 κατήφησεν, ἀλλὰ ὑποπλησθεὶς ἀλέκτου χαρᾶς, ὅτι μελλήσοι τὸ ἔθνος ἐπιτρόπῳ χρῆσθαι τὰ πάντα ἀρίστῳ — καλὸν γὰρ κἀγαθὸν ἐξ ἀνάγκης ᾔδει τὸν εὐάρεστον θεῷ —, λαβόμενος τῆς τούτου δεξιᾶς καὶ παραγαγὼν αὐτὸν εἰς ἠθροισμένον τὸ πλῆθος, μηδὲν περὶ τῆς αὐτοῦ τελευτῆς εὐλαβηθείς, ἀλλὰ ταῖς ἀρχαίαις εὐφροσύναις νέας ἑτέρας προσειληφὼς οὐ μόνον διὰ μνήμην τῶν πρότερον εὐπαθειῶν, αἷς κατακόρως διὰ παντὸς εἴδους ἀρετῆς ἐνετρύφησεν, ἀλλὰ καὶ διὰ τὴν ἐλπίδα τοῦ μέλλειν ἀθανατίζεσθαι μεταβαλὼν ἐκ φθαρτοῦ βίου εἰς ἄφθαρτον, ἱλαραῖς ὄψεσιν ἐκ

1 τῶν] τὸ F[1], τῶ F[2]G[2] ἁπανταχοῦ S: πανταχοῦ CG[2]AF, πανταχῆ G[1], ἁπανταχῆ HP (v) 2 δ᾽ A ἐπαγγελλομένου S ἱκεσίαν om. S ὄντος ὄντως transp. G[2]HP 3. 4 τῆς δοκιμωτάτοις (sic) A 4 τοῦτο S: τοῦτο καὶ ceteri (v) διὰ] ἐκ G[2] ἠθῶν S, ἐθνῶν L (Turn.) 5 ἀνωτάτω AP: ἀνωτάτου ceteri αἰτίου S: om. ceteri (v) τὸν] τῶν H[1]P 6 γενητοῖς] θνητοῖς A ἀπωσαμένους C γεννητὸς A ἀληθείας FG[1]HP 7 δόξης FG[1]HP μόνη A ἀφαιρημένος S[1] (corr. S[2]), ἀφῃρημένη A, ἀφῃρημένου FHP 8 ἐνεργέστατον S 9 πίστεως S: πίστεως ἔργον ceteri (v) 10 ἀριστίνδην S: ἄριστος ὢν ceteri (v) 11 Ἰησοῦς] ἰωσούας G[2] ἄρχειν A 12 ἕτερος S: ἔνιοι ceteri (v) ἐπὶ τῷ] ἐπεὶ S μὴ ante αἱρεθῆναι transp. A ἢ] μὴ S ἀδελφιδοῦς SG[1]: ἀδελφοὺς ceteri (v) 13 κατήφησεν] κατηφίησεν S[2], ἀνιαρόν τί φησιν A post κατήφησε add. Μωυσῆς codd. (v), omisi cum S ἀλλὰ S: ἀλλ᾽ ceteri ἀλήκτου SG[2], ἀνέκτου Richt. μέλλει A 14 χρήσασθαι A τὰ πάντα] τῶ πάντ᾽ A ἄριστα S κἀγαθὸν S: καὶ ἀγαθὸν ceteri 14. 15 εἴδη (corr. ex ἤδη) ἐξ ἀνάγκης transp. S 15 καὶ παραγαγὼν G[1]: παράγει μὲν S (Mang.), παράγει μὲν καὶ παραγαγὼν ceteri (Turn.) 16 μηδὲ A αὐτοῦ G[1]H[1]P, ἑαυτοῦ A 17 οὐ μόνον — ἱλαραῖς ὄψεσιν (20) S: om. ceteri (Turn.) 18 μνήμην scripsi: μνήμης S 19 ἀλλὰ καὶ S: καὶ om. Mang. 20 post βίου ras. 2—3 litt. in S εἰς] πρὸς conicio

15 sqq. Num. 27,22. 23.

τῆς κατὰ ψυχὴν εὐθυμίας φαιδρὸς καὶ γεγηθώς φησιν· „ἐμοὶ μὲν ἀπαλ- 68
λάττεσθαι καιρὸς ἤδη τῆς ἐν σώματι ζωῆς· ὁ δὲ τῆς ὑμετέρας ἐπι-
τροπῆς διάδοχος οὗτός ἐστιν αἱρεθεὶς ὑπὸ θεοῦ“· καὶ τὰ χρησθέντα
λόγια τῆς δοκιμασίας εὐθὺς ἐπεῖπεν, οἷς ἐπίστευσαν. καὶ πρὸς τὸν 69
Ἰησοῦν ἀποβλέψας ἀνδραγαθίζεσθαι παραινεῖ καὶ σφόδρα ἰσχύειν ἐν ταῖς
εὐβουλίαις, ἀγαθὰς μὲν γνώμας εἰσηγούμενον, ἀνενδότοις δὲ καὶ ἐρρω-
μένοις λογισμοῖς τὰ γνωσθέντα καλῶς τελειοῦντα. καὶ ταῦτ᾽ ἔλεγεν ἴσως
οὐ δεομένῳ παραινέσεως, ἀλλὰ τὸ φιλάλληλον καὶ φιλοεθνὲς πάθος οὐ
στέγων, ὑφ᾽ οὗ τρόπον τινὰ κεντριζόμενος ἃ συνοίσειν ἐνόμιζεν ἀπεγύμνου.
ἦν δὲ καὶ χρησμὸς αὐτῷ παρακαλέσαι τὸν διάδοχον καὶ εὐθαρσέστατον 70
ἀπεργάσασθαι πρὸς τὴν τοῦ ἔθνους ἐπιμέλειαν, τὸ βάρος μὴ καταδείσαντα
p. 387 M. τῆς ἀρχῆς, ἵνα τοῖς ἔπειτα γένηται κανὼν καὶ νόμος | ἅπασιν ἡγεμόσι
πρὸς ἀρχέτυπον παράδειγμα Μωυσῆν ἀποβλέπουσι καὶ μηδεὶς φθονῇ
βουλευμάτων ἀγαθῶν τοῖς διαδόχοις, ἀλλ᾽ ὑποθήκαις καὶ παραινέσεσι
τὰς ψυχὰς αὐτῶν ἀλείφωσι καὶ συγκροτῶσι. δύναται γὰρ ἀνδρὸς ἀγαθοῦ 71
παραίνεσις ἀναπεπτωκότας ταῖς γνώμαις ἐγεῖραι καὶ διάρασα εἰς ὕψος
ἐπάνω τῶν καιρῶν καὶ τῶν πραγμάτων ἱδρύσασθαι φρόνημα γενναῖον
καὶ ἀκατάπληκτον ἐνθεῖσα. τὰ δὲ ἁρμόττοντα τοῖς τε ὑπηκόοις καὶ τῷ 72
κληρονόμῳ τῆς ἡγεμονίας διαλεχθεὶς ἄρχεται τὸν θεὸν ὑμνεῖν μετ᾽ ᾠδῆς,
τελευταίαν αὐτῷ βίου τοῦ μετὰ σώματος εὐχαριστίαν ἀποδιδούς, ἀνθ᾽
ὧν ἀπὸ γενέσεως ἄχρι γήρως καιναῖς καὶ οὐ ταῖς ἐν ἔθει χάρισιν
εὐηργετεῖτο· καὶ συναγαγὼν ἄθροισμα θεῖον, τὰ στοιχεῖα τοῦ παντὸς 73

1 εὐθυμίας S: προθυμίας ceteri (Turn.) φαιδρῶς G² 2 ὑμετέρας SH², ὑμ. ex ἡμ. corr. A: ἡμετέρας ceteri (v) 3 τοῦ θεοῦ AFG¹ 4 εὐθὺς om. A ἐπεῖπεν S: ἐξεῖπεν ceteri (v) οἷς ἐπίστευσαν om. S ἐπίστευσε A 5 Ἰησοῦν] ἰωσοῦα G² ἀνδραγαθήσεσθαι A 6 εὐβουλίαις] ἐπιβουλαῖς S ἀνενδυάστοις CG² 7 τελειοῦν G² 8 φιλοεθνὲς] φιλόθεον ἐς S, φιλοκενὲς A 10 alt. καὶ S: om. ceteri (Turn.) 11 τοῦ om. F¹ 12 ἅπασι τοῖς ἡγεμόσι S 13 ἀρχέτυπον παράδειγμα S: ἀρχέτυπον om. ceteri (v) ἀποβλέποντες S 14 βουλημάτων G²FHP ἀλλὰ A 15 αὑτῶν CG²G¹ (v) ἀλείφωσιν καὶ συγκροτῶσιν S 16 διάρασα SCG²: διᾶραι ceteri (v) 17 καὶ ἐπάνω AG¹ pr. τῶν] τε H² (v) καὶ τῶν S: τῶν om. ceteri (v) 18 ἐνθεῖσα καὶ ἀκατάπληκτον transp. A ἐνθείς HP δὲ SA: γοῦν F (Mang.), τε ceteri (Turn.) τε om. CG² 20 βίου S: τοῦ βίου ceteri (v) 21 γενέσεως S: γεννήσεως ceteri (Turn.) κεναῖς F οὐ S: οὐχὶ ceteri (v) 22 εὐηργετεῖτο C, εὐεργετεῖτο S (η ss. S²): εὐηργέτητο ceteri (v)

5 Deut. 31,7. 23. 19sqq. Deut. 31,30sqq.

καὶ τὰ συνεκτικώτατα μέρη τοῦ κόσμου, γῆν τε καὶ οὐρανόν, τὴν μὲν
θνητῶν ἑστίαν, τὸν δὲ ἀθανάτων οἶκον, ἐν μέσοις τὰς ὑμνῳδίας ἐποιεῖτο
74 διὰ παντὸς ἁρμονίας καὶ συμφωνίας εἴδους, ἵνα κατακούσωσιν ἄνθρωποί
τε καὶ ἄγγελοι λειτουργοί, οἱ μὲν ὡς γνώριμοι, πρὸς τὴν τῆς ὁμοίας
εὐχαρίστου διαθέσεως διδασκαλίαν, οἱ δ' ὡς ἔφοροι θεασάμενοι κατὰ
τὴν σφῶν ἐμπειρίαν, μή τι τῆς ᾠδῆς ἐκμελές, καὶ ἅμα διαπιστοῦντες,
εἴ τις ἄνθρωπος ὢν ἐνδεδεμένος σώματι φθαρτῷ δύναται τὸν αὐτὸν
τρόπον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ τῶν ἄλλων ἀστέρων πανιέρῳ χορῷ
μεμουσῶσθαι τὴν ψυχὴν πρὸς τὸ θεῖον ὄργανον, τὸν οὐρανὸν καὶ τὸν
75 σύμπαντα κόσμον, ἁρμοσάμενος. ταχθεὶς δ' ἐν τοῖς κατὰ τὸν αἰθέρα
χορευταῖς ὁ ἱεροφάντης ἀνεκεράσατο ταῖς πρὸς θεὸν εὐχαρίστοις ὑμνῳδίαις
τὰ γνήσια πάθη τῆς πρὸς τὸ ἔθνος εὐνοίας, ἐν οἷς ἦσαν ἔλεγχοι παλαιῶν
ἁμαρτημάτων, αἱ πρὸς τὸν παρόντα καιρὸν νουθεσίαι καὶ σωφρονισμοί,
παραινέσεις αἱ πρὸς τὰ μέλλοντα διὰ χρηστῶν ἐλπίδων, αἷς ἐπακολουθεῖν
ἀναγκαῖον αἴσια τέλη.
76 (4.) Ὡς δ' ἐτέλεσε τὰς χορείας ὁσιότητι καὶ φιλανθρωπίᾳ τρόπον
τινὰ συνυφασμένας, ἤρξατο μεταβάλλειν ἐκ θνητῆς ζωῆς εἰς ἀθάνατον
βίον κἀκ τοῦ κατ' ὀλίγον συνῃσθάνετο τῆς τῶν ἐξ ὧν συνεκέκρατο δια-
ζεύξεως, τοῦ μὲν σώματος ὀστρέου | δίκην ⌜περιπεφυκότος⌝ περιαιρουμένου, p. 388 M.
τῆς δὲ ψυχῆς ἀπογυμνουμένης καὶ τὴν κατὰ φύσιν ἐνθένδε ποθούσης

1 μέρη τοῦ κόσμου S: τοῦ κόσμου μέρη ceteri (v) τε S: om. ceteri (v) 2 τὸν] τῶν C^1F^1 ἐν μέσοις τὰς S: om. ceteri (Turn.); τὰς om. Mang. 3 ἵνα κατακούσωσιν S: ἣν κατακούουσιν ceteri (v) 4 τε om. SC ἄγγελοι λειτουργοί] θεοί S γνώριμα F ὁμοίας codd.: ὁμοίως Mang. 5 εὐχαριστίαν F θεώμενοι G^1; θεασόμενοι v 5. 6 θεασάμενοι κατὰ τὴν σφῶν ἐμπειρίαν S: κ. τ. σ. ἐ. θ. ceteri (v) 6 τὴν τῶν σφῶν H^1P; σοφῶν (pro σφῶν) Turn. ἐμπορίαν G^2, ἐνέργειαν A ἀμελές A 7 ἐνδεδεμένος S: δεδεμένος ceteri (v) δύναται τὸν αὐτὸν] δυνατόν ἐστιν αὐτῷ τὸν ὅμοιον HP (Turn.) 8 τῷ SG^1H^2: om. ceteri ἄστρων S τῷ πανιέρῳ A, πανιέρῳ om. HP (Turn.) 9 τὸν οὐρανὸν om. F 10 δὲ A αἰθέρα SC: ἀέρα ceteri 11 ἱεροφάντης] ἱεράρχης F θεὸν SAG^2: τὸν θεὸν ceteri (v) 12 τὰ — εὐνοίας om. in textu S, add. mg S ἔθος F 13 αἱ om. G^1 14 αἱ om. HP τὸν μέλλοντα coni. Mang. 15. 16 αἴσια τέλη. ὡς δ' SCG^2 (δὲ S): τελείως δὲ (om. αἴσια) A, αἴσια. τελείως δὲ FG^1HP 16 ἐτέλεσε CG^2: τελέσας AG^1HP, καὶ τελέσας F, ἐτέλεσε τὰς om. S ὁσιότητα F 17 συνυφασμέναις S εἰς] πρὸς S 18 κἀκ S: καὶ ἐκ ceteri τοῦ] τῆς FG^2H^1P τῆς τῶν scripsi: τῶν F (Mang.), τῆς ceteri (Turn.) ἐξ ὧν] ἐκ τῶν S συγκέκριτο S 19 ὀστρέου SG^2 (coni. Mang.): ὀστέου ceteri περιπεφυκότος addidi (cf. *de Iosepho* § *71*) περιαιρούμενος G^2, περαιουμένου A, ἀναιρουμένου F 20 τὴν] τῆς SA post φύσιν add. τοῦ σώματος ζωῆς A ποθούσης ἐνθένδε transp. H (v), ἐνθένδε μετανάστασιν ποθούσης A

μετανάστασιν. εἶθ' ἑτοιμασάμενος τὰ πρὸς ἔξοδον οὐ πρότερον ἐστείλατο 77
τὴν ἀποικίαν ἢ τὰς τοῦ ἔθνους φυλὰς ἁπάσας εὐχαῖς ἐναρμονίοις [ἀριθμῷ
δώδεκα] γεραίραι διὰ τῆς τῶν φυλάρχων κατακλήσεως· ἃς ὅτι τελεσ-
φορηθήσονται πιστευτέον· ὅ τε γὰρ εὐξάμενος θεοφιλὴς ὅ τε θεὸς
φιλάνθρωπος ὑπὲρ ὧν τε αἱ αἰτήσεις εὐπατρίδαι καὶ εὐγενεῖς τὴν ἀνωτάτω
τεταγμένοι τάξιν, ὑπὸ στρατάρχῃ τῷ ποιητῇ πάντων καὶ πατρί. [αἰτήσεις 78
δ' ἦσαν αἱ τῶν ἀληθινῶν ἀγαθῶν, οὐ μόνον ἐν τῷ θνητῷ ὅπως
ὑπάρχωσιν αὐτοῖς βίῳ, ἀλλὰ πολὺ μᾶλλον ἐπὰν ἄνετος τοῦ τῆς σαρκὸς
δεσμοῦ γένηται ἡ ψυχή.] μόνος γὰρ Μωυσῆς τὴν πρὸς τὰ θεῖα, ὡς 79
ἔοικεν, ἐξ ἀρχῆς τὸ σύμπαν ἔθνος ὑπολαβὼν ἔχειν ἀναγκαιοτάτην
συγγένειαν, πολὺ γνησιωτέραν τῆς ἀφ' αἵματος, πάντων ἀγαθῶν ὧν δὴ
ἀνθρωπίνη φύσις χωρεῖ κληρονόμον ἀπέφηνεν, ἃ μὲν αὐτὸς εἶχεν, ἐξ
ἑτοίμου διδούς, ἃ δὲ μὴ κέκτητο, τὸν θεὸν ἱκετεύων παρασχεῖν, εἰδὼς
τὰς τῶν χαρίτων αὐτοῦ πηγὰς ἀενάους μὲν οὔσας, οὐ πᾶσι δ' ἀνειμένας,
ἀλλὰ μόνοις ἱκέταις· ἱκέται δ' εἰσὶν οἱ καλοκἀγαθίας ἐρῶντες, οἷς ἀρύτεσθαι
θέμις ἀπὸ τῶν ἱερωτάτων πηγῶν διψῶσι σοφίας.

(5.) Τὰ μὲν οὖν δείγματα τῆς τοῦ νομοθέτου φιλανθρωπίας καὶ 80
κοινωνίας, ᾗ ἐχρήσατο καὶ δι' εὐμοιρίαν φύσεως ἀγαθῆς κἀκ τῆς τῶν
ἱερῶν λογίων ὑφηγήσεως, μεμήνυται. λεκτέον δὲ ἃ καὶ τοῖς ἔπειτα
διετάξατο, εἰ καὶ μὴ πάντα — οὐ γὰρ ῥᾴδιον —, τὰ γοῦν ἀγχίσπορα
καὶ ἐγγυτάτω τῶν ἐκείνου βουλευμάτων. τὸ γὰρ ἐπιεικὲς καὶ ἥμερον 81
οὐκ ἐν ταῖς πρὸς ἀνθρώπους αὐτὸ μόνον ἱδρύεται κοινωνίαις, ἀλλ' ἐπι-

---

1 μετάστασιν HP (v) εἶτ' SH (v) τὰ om. A 2 τὴν] τὰ πρὸς S κατοικίαν H ἀριθμῷ] τὸν ἀριθμὸν S 2. 3 ἀριθμῷ δώδεκα seclusi 3 τῶν om. F φυλάρχων AH^{1}P κατακλίσεως CG^2 ἃς] αἳ A 4 πιστεύω A ὅ τε θεὸς SCG^{2}G^1: ὁ δὲ θεὸς AFHP (v) 5 ὑπὲρ ὧν τε S: ὑπὲρ ὧν CH^{1}P, ὑπὲρ δὲ ὧν G^{1}H^2 (v), καὶ ὑπὲρ ὧν AG^2, οὗπερ (sic) F 6 verba αἰτήσεις — ἡ ψυχή (9) om. S nec Philonea esse existimo 7 ὅπως] ὅταν A 8 ὑπαρχθῶσιν (sic) CG^2 αὐτοῖς FG^{1}H^2: αὐτῷ CG^{2}H^{1}P, τῷ A 9 μωσῆς γὰρ μόνος transp. F Μωυσῆς — θεῖα om. S 10 ἔχειν S: ἕξειν ceteri (v) 11 τῆς] τῶν F δὴ S: ἡ ceteri (v) 12 ἀπέφαινεν S, ἀπέφανεν AH^{1}P εἶχεν S: ἔσχεν ceteri (v) 13 κέκτητο S: ἐκέκτητο ceteri (v) 14 πηγὰς ἀεννάους S: ἀεννάους (ἀενάους C) πηγὰς ceteri (v) μὲν οὔσας S: μενούσας ceteri 15 οἰκέταις· οἰκέται A ἀρύτεσθαι G^1, ἀρύττεσθαι CAH^{1}P: ἀρύεσθαι SFG^{2}H^2 (v) 17 τὰ — φύσεως (18) om. F φιλανθρωπίας] σοφίας A 17. 18 καὶ κοινωνίας S: om. ceteri (v) 18 ᾗ A: οἷς ceteri (v) καὶ δι' S: καὶ AG^{2}HP, κατ' G^1, πρὸς C (v) εὐμοιρίας AH^{1}P 19 λογίων S: βιβλίων A, βίβλων ceteri (v) δ' F 20 εἰ καὶ CAG^2: καὶ εἰ ceteri (v) 21 γὰρ] γοῦν CAG^2 22 αὐτὸ CG^2: αὐτῷ ceteri (Turn.) ἱδρύεται S: ἵδρυται ceteri (Turn.)

---

2 sq. Deut. cap. 33.

δαψιλευόμενος ἀναχεῖ πλουσίως αὐτὸ καὶ τείνει πρός τε τὰς τῶν ἀλόγων ζῴων φύσεις καὶ πρὸς τὰς τῶν ἡμέρων δένδρων ἰδέας. ἃ δὲ περὶ ἑκάστων ἐνομοθέτησε, λεκτέον ἐν μέρει τὴν ἀρχὴν ποιησάμενον ἀπ' ἀνθρώπων.

82 (6.) Ἀπαγορεύει τοίνυν ἀδελφῷ δανείζειν, ἀδελφὸν ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ἀστὸς καὶ ὁμόφυλος ᾖ, τόκους ἐπὶ χρήμασιν οὐ δικαιῶν ἐκλέγειν ὡς ἀπὸ θρεμμά-
83 των ἔγγονα. καὶ προτρέπει μὴ διὰ τοῦτ' ἀναδύεσθαι καὶ συμβάλλειν ὀκνηρότερον, ἀλλ' ἀνειμέναις χερσὶ καὶ γνώμαις μάλιστα μὲν χαρίζεσθαι τοῖς δεομένοις, λογιζομένους ὅτι καὶ ἡ χάρις τρόπον τινὰ δάνειόν ἐστιν, ἀποδοθησόμενον ἐν καιρῷ βελτίονι ⟨ἄνευ⟩ ἀνάγκης | ἑκουσίῳ διαθέσει p. 389 M.
τοῦ λαβόντος, εἰ δὲ μὴ βούλοιντο δωρεῖσθαι, κιχράναι γοῦν ἑτοιμότατα
84 καὶ προθυμότατα, μηδὲν ἔξω τῶν ἀρχαίων ἀποληψομένους. οὕτως γὰρ οὔθ' οἱ πένητες ἔμελλον ἀπορώτεροι γίνεσθαι, πλείονα ὧν ἔλαβον εἰσφέρειν ἀναγκαζόμενοι, οὔθ' οἱ συμβάλλοντες ἀδικεῖσθαι, ἃ προήκαντο μόνα κομιζόμενοι· καίτοι γε οὐ μόνα· σὺν γὰρ τοῖς ἀρχαίοις ἀντὶ τόκων οὓς

1 ἀναχεῖ Mang.: ἀνάχει S, ἀνέχει ceteri   αὐτὸν G^2H^1, αὑτὸν G^1P, ἑαυτὸν A   τε] γε AG^1HP (Turn.)   τῶν om. S   2 δένδρων ἰδέας SA (εἰδέας S): ἰδέας δένδρων ceteri (v)   ἃ δὲ — ἀνθρώπων (4) om. F   3 ποιησάμενον CG^2: ποιησάμενος AG^1H^1P, ποιησαμένοις SH^2; ποιησαμένους v   ἀπὸ S   5 tit. περὶ τοῦ μὴ δεῖν τόκον ἀπαιτεῖν ἀδελφόν add. S mg G^2 6 τὸν] τὴν Richt. Tauchn.   γονέων om. S   ὃς] ὡς G^2, οἷος A   ἀστὸς] αὐτὸς F   6. 7 καὶ ὁμόφυλος S: ἢ ὁμόφυλος ceteri (v)   7 ᾖ] ἢ F   post τόκους add. γὰρ G^1 δικαιῶν Mang. (Clem. Al.): δικαίων G^2, δίκαιον ceteri   ἐκλέγειν] ἀμέλγειν mg H   8 τοῦτ' S: τοῦτο ceteri   10 δάνειον] δαιμόνιον S   ἐστιν S: om. ceteri (v)   11 ἄνευ add. Mang.   12 δὲ om. F   μὴ S: καὶ μὴ ceteri (sic Turn. Mang., μὴ om. Richt. Tauchn.)   βούλοιντο G^1: βούλωνται S, βούλητο G^2, βούλοιτο ceteri   13 ἀποληψόμενος A   οὕτως SCG^2: οὕτω ceteri   14 ἀπορώτεροι S: ἀπορώτατοι ceteri (v)   γίνεσθαι FG^1P 15 συμβάλλοντες SCG^2: συμβαλόντες ceteri (v)   προήκαντο S: προσῆκε ceteri (Turn.)   μόνα — κοινωνίαν (289,2) S: om. ceteri (Turn.)

5 Exod. 22,25. Lev. 25,36. 37. Deut. 23,19. cf. *Ioseph. Ant. Iud. IV* § *266.*
5 sqq. *Clem. Alex. Strom. II 18 p. 473 P.* περί τε τῆς μεταδόσεως καὶ κοινωνίας πολλῶν ὄντων ἀπόχρη μόνον τοῦτο εἰπεῖν, ὅτι ὁ νόμος ἀπαγορεύει ἀδελφῷ δανείζειν, ἀδελφὸν ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ὁμόφυλος ᾖ, ὁμογνώμων τε καὶ τοῦ αὐτοῦ λόγου κεκοινωνηκώς, οὐ δικαιῶν ἐκλέγειν τόκους ἐπὶ χρήμασιν, ἀλλὰ ἀνειμέναις χερσὶ καὶ γνώμαις χαρίζεσθαι τοῖς δεομένοις· θεὸς γὰρ ὁ κτίστης τοιᾶσδε χάριτος· ἤδη δὲ ὁ μεταδοτικὸς καὶ τόκους ἀξιολόγους λαμβάνει τὰ τιμιώτατα τῶν ἐν ἀνθρώποις, ἡμερότητα, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν.

λαβεῖν οὐκ ἠξίωσαν ἐπεισφέρονται τὰ κάλλιστα καὶ τιμιώτατα τῶν ἐν
ἀνθρώποις, ἡμερότητα, κοινωνίαν, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν,
εὔκλειαν· οἷς τίς κτῆσις ἐφάμιλλος; ἀπορώτατος μὲν οὖν καὶ ὁ μέγας 85
βασιλεὺς ἀναφανεῖται κατὰ σύγκρισιν μιᾶς ἀρετῆς· τοῦ μὲν γὰρ ὁ πλοῦτος
ἄψυχος ἐν ταμείοις καὶ μυχοῖς γῆς κατορωρυγμένος, ἀρετῆς δ' ἐν ψυχῆς
τῷ ἡγεμονικῷ· μεταποιεῖται δὲ αὐτοῦ καὶ τὸ καθαρώτατον τῆς οὐσίας,
οὐρανός, καὶ ὁ γεννητὴς τῶν συμπάντων θεός. ἔτι τοίνυν τὴν ὀβολο-
στατῶν καὶ τοκογλύφων εὔπορον ἀπορίαν ἐν λόγῳ θετέον τῶν πολυχρύσων
δοκούντων εἶναι βασιλέων οὐδ' ὄναρ ἑωρακότων τὸν βλέποντα πλοῦτον;
εἰσὶ δ' οἳ τοσαύτῃ κέχρηνται μοχθηρίας ὑπερβολῇ, ὥστε οὐκ ἔχοντες 86
ἀργύριον τροφὰς δανείζουσιν ὡς πλείους ὧν ἔδοσαν αὖθις κομιζόμενοι.
ταχὺ γ' ἂν οὗτοι μεταιτοῦσιν ἔρανον παράσχοιεν λιμὸν ἐν εὐθηνίᾳ καὶ
εὐετηρίᾳ κατασκευάζοντες καὶ τὴν ἀθλίων ἀνθρώπων γαστρὸς ἔνδειαν
προσοδευόμενοι καὶ μόνον οὐκ ἐπὶ τρυτάνης ἱστάντες σιτία καὶ ποτά, μὴ
καθέλκῃ ῥοπή. τοῖς οὖν μεθέξουσι τῆς καθ' αὐτὸν ἱερᾶς πολιτείας 87
ἀναγκαίως παραγγέλλει τὰς ἰδέας τῶν τοιούτων πόρων ἐκτρέπεσθαι·
δουλοπρεποῦς γὰρ καὶ σφόδρα ἀνελευθέρου ψυχῆς τὰ ἐπιτηδεύματα
μεταβεβληκυίας εἰς ἀγριότητα καὶ θηρίων φύσιν.

1 ἐπεισφέρονται om. v (ἔλαβον supplere voluit Mang.) 2 ἡμερότητα, κοινωνίαν om. v 3 οἷς τίς S: ἧς C, εἰς G², ὧν ceteri (Turn.) κτήσεις G² ἐφάμιλλος om. in lac. G¹ post ἐφάμιλλος add. οὐδεμία A ἀπορώτατος] προορώτατος F¹G², πραώτατος H¹P, πενιχρότατος A 4 ἀναφανεῖται S: ἀναφαίνεται ceteri (v) 5 μυχοῖς γῆς SHP: γῆς μυχοῖς CAFG¹, γῆν μυχοῖς G² ἀρετῆς δ' S: τῆς δὲ ceteri (Turn.; τῆς δὲ ἀρετῆς Mang.) 6 δὲ SG¹: δ' AH, δι' CFG²P 7 γενητὴς HP, γεννέτης S² τῆς τῶν συμπάντων οὐσίας θεός A τοίνυν] νῦν CG² 8 ἄπορον εὐπορίαν A ἐν λόγῳ θετέον S: λόγῳ θετέον CG² (v), λογοθετέον FG¹HP, λογιστεύει A τῶν S: om. ceteri (v) 9 τὸν S: om. ceteri (Turn.) βλέποντα] μέλλοντα S 10 ὥστ' A 11 ἔδοσαν] ἔλαβον S κομιζόμενοι CFG²H¹P: κομισόμενοι SAG¹H² (v); κομιούμενοι conicio 12 ταχὺ] τάχα coni. Mang. γ' ἂν SCFG¹: γὰρ AG², γοῦν HP (v) ὡς ἔρανον A ἐν om. F 12. 13 ἐν εὐετηρίᾳ καὶ ἐν εὐθηνίᾳ S 13 τὴν S: τῶν A, τῆς ceteri (v) ἄθλων F, ἀθλίας HP (Turn.) 14 pr. καὶ S: om. ceteri (v) μόνον οὐ γὰρ F σιτία om. G² alt. καὶ] ὡς A, τοῦ G¹ ποτά S: om. ceteri (v) 14. 15 μὴ καθέλκῃ ῥοπή S: μὴ καθέλκειν ῥοπὴν (πλάστιγγος add. A) ceteri (v) 15 καθ' αὐτὸν S: κατ' αὐτὸν ceteri (v) ἱερᾶς πολιτείας SF²: πολιτείας ἱερᾶς ceteri (v) 16 ἀναγκαῖον F εἰδέας S πόρων] σπόρων F, παρ' ὧν S 18 μεταβεβληκυίας S: μεταβεβληκότας FG²H¹P, μεταβεβληκότα A, μεταβεβληκότος C, μεταβεβληκέναι G¹, μεταβεβηκυίας H² (Turn.) θηρίων] θήρειον coni. Mang.

88 (7.) Ἕν τι τῶν εἰς φιλανθρωπίαν τεινόντων παράγγελμα κἀκεῖνο διατάττεται, μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι, οὐ μόνον ὅτι τὴν χρείαν ἐφ' ἣν παρελήφθη παρασχόντα δίκαιον ἦν τὸν ἐπὶ τῇ ὑπηρεσίᾳ μισθὸν ἀνυπερθέτως ἀπολαβεῖν, ἀλλ' ὅτι καί, ὡς εἶπόν τινες, ἐφημερόβιος ὢν ὁ χειροτέχνης ἢ ἀχθοφόρος, ὅλῳ τῷ σώματι κακοπαθῶν ὑποζυγίου τρόπον, ἐπὶ τῷ μισθῷ τέθειται τὴν ἐλπίδα· ὃν εἰ μὲν εὐθὺς κομίσαιτο, γήθει καὶ ῥώννυται πρὸς τὴν ἐπιοῦσαν προθυμίᾳ διπλασίονι ἐργασόμενος, εἰ δὲ μὴ κομίσαιτο, πρὸς τῷ σφόδρα ἄχθεσθαι καὶ τοὺς τόνους ὑπὸ λύπης ἐκλυθεὶς ἀναπέπτωκεν, ὡς ἀδυνατεῖν πρὸς τὰ ἐν ἔθει τῶν ἔργων ἀπαντᾶν.

89 (8.) | Ἔτι φησί· δανειστὴς μὴ ἐπεισίτω χρεωστῶν οἰκίαις ἐνέχυρόν p. 390 M
τι καὶ ῥύσιον ἐπὶ τῷ δανείῳ μετὰ βίας ληψόμενος, ἀλλ' ἐν προθύροις ἔξω παρεστὼς ἀναμενέτω κελεύων ἡσυχῇ προφέρειν. οἱ δέ, ἂν ἔχωσι, μὴ ἀναδυέσθωσαν, εἴ γε ἁρμόττει τὸν μὲν μὴ τῷ δύνασθαι καταχρῆσθαι πρὸς τὸ αὐθαδέστερον ἐφ' ὕβρει τῶν δανεισαμένων, τοὺς δὲ πρὸς ὑπόμνησιν τῆς τῶν ἀλλοτρίων ἀποδόσεως ἄξια παρέχειν ἐνέχυρα.

1 tit. περὶ μισθοῦ πένητος add. S mg G^2 ἕν τι S: ἔτι ceteri (v) τεινόντων] ὄντων S παράγγελμα] παράδειγμα A 2 διατάττεται S: διατέτακται ceteri (v) τὴν om. G^2 3 ἐφ' ἣν SC^1G^2: ἐφ' ᾗ ceteri (v) παρασχόντα δίκαιον SCG^2: δίκαιον παρασχόντα ceteri 4 λαβεῖν A ἐφημερόβιος S: ἐφήμερος ceteri (v) 6 μὲν] μὴ FG^1 εὐθὺς] ταχὺ S 7 γηθεῖ fortasse scribendum γήθει — κομίσαιτο (8) om. FG^1 καὶ ῥώννυται S: χαίρων νῦν τε (μὲν HP) καὶ ceteri (v) διπλασίονι S: om. ceteri (Turn.); διπλάσιον Mang. ἐργασόμενος S: ἐργαζόμενος ceteri (Turn.) 8 τῷ] τὸ SG^2H τοὺς τόνους SC: πρὸς πόνους A, τόνους ceteri 11 ἐπεισίτω S^2 (ἐπισίτω S^1), ἐπεισίτω (το supra scr.) A: εἰσίτω F^2 (v), αἰτείτω $CG^2F^1G^1$, αἰτήτω HP, ἐπιστῇ Clem. Al., unde ἐπιστήτω coni. Wendl. οἰκίαις codd.: οἰκίας v ἐνέχειρον F^1 12 τι S: om. ceteri (Turn.) ῥύσιον S: χρῆσιν G^1, χρυσὸν ceteri (Turn.) ἐπὶ τῷ δανείῳ om. S ἐν προθύροις] ἐπὶ θύραις S 13 παρεστὼς A: προεστὼς FG^1G^2HP (v), ἑστὼς SC κελεῦον A προσφέρειν S^2F οἱ] οἱ codd. δὲ S: δ' ceteri 14 ἀναδυέσθωσαν Wendl. (cf. Clem. Al.): ἀναδυέτωσαν codd. (v) εἴ γε SCG^2: εἶτ' H, εἶθ' AFP, εἴπερ G^1 ἁρμόττειν F τὸν] τῶ G^1 τῷ μὴ transp. S 16 παρέχειν S: παρασχεῖν ceteri (v)

2 Lev. 19,13. Deut. 24,14. 15. cf. *Ioseph. Ant. Iud IV § 288.* 2 sqq. *Clem. Alex. Strom. II 18 p. 473 P.* ἆρ' οὐ δοκεῖ σοι φιλανθρωπίας εἶναι τὸ παράγγελμα τοῦτο ὥσπερ κἀκεῖνο, μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι: ἀνυπερθέτως δεῖν διδάσκει ἐκτίνειν τὸν ἐπὶ ταῖς ὑπηρεσίαις μισθόν, παραλύεται γάρ οἶμαι ἡ προθυμία τοῦ πένητος ἀτροφήσαντος πρὸς τοὐπιόν. 11 Deut. 24,10. 11. cf. *Ioseph. Ant. Iud. IV § 268.* 11 sqq. pergit *Clem. Alex. l. l.* ἔτι, φησί, δανειστὴς μὴ ἐπιστῇ χρεώστου οἰκίᾳ ἐνέχυρον μετὰ βίας ληψόμενος, *ἀλλ'* ὁ μὲν ἔξω προφέρειν κελευέτω, ὁ δὲ ἔχων μὴ ἀναδυέσθω.

(9.) Τίς γε μὴν οὐκ ἂν ἀγάσαιτο τοῦ περὶ τοὺς θεριστὰς ἢ τρυγητὰς διατάγματος; κελεύει γὰρ ἐν μὲν τῷ ἀμήτῳ μήτε τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι μήτε πάντα τὸν σπόρον κείρειν, ἀλλ' ὑπολείπεσθαί τι τοῦ κλήρου μέρος ἄτμητον, ἅμα μὲν τοὺς εὐπόρους μεγαλόφρονας καὶ κοινωνικοὺς κατασκευάζων ἐκ τοῦ τι προϊέναι τῶν ἰδίων καὶ μὴ πᾶσι προσκεχηνέναι καὶ πάντα συμφορεῖν καὶ συγκομίζειν οἴκαδε θησαυροφυλακήσοντας, ἅμα δὲ τοὺς πένητας εὐθυμοτέρους ἀπεργαζόμενος· ἐπειδὴ γὰρ κτημάτων ἰδίων ἀποροῦσιν, ἐφίησιν αὐτοῖς εἰς τὰ τῶν ὁμοφύλων εἰσιέναι κἀκ τῶν ὑπολειφθέντων ὡς οἰκείων ἀμᾶν. 90

ἐν δὲ καιρῷ τῆς ὀπώρας πάλιν δρεπομένοις κληρούχοις προστάττει μήτε ῥῶγας ἀποπιπτούσας συλλέγειν μήτε ἐπανατρυγᾶν ἀμπελῶνας. τὰ δ' αὐτὰ καὶ τοῖς ἐλαιαλογοῦσι διατάττεται, καθάπερ φιλοστοργότατος καὶ δικαιότατος πατὴρ οὐχὶ ταῖς αὐταῖς εὐπραγίαις κεχρημένων παίδων, ἀλλὰ τῶν μὲν ἐν 91

1 tit. περὶ ἀμητοῦ καὶ τρυγητοῦ add. S mg G² τίς γε μὴν] τί δὲ μὴν F, πῶς δὲ G¹, τὴν δὲ μνήμην πῶς A ἀγάσαιτο SCH²: ἀγάσαιτό τις αὐτὸν G¹, ἄγοιτό τις AFH¹ ἢ τρυγητὰς S (καὶ τρ. Mang.): om. ceteri (Turn.) 2 διατάγματος S: κηρύγματος ἢ (καὶ G²) διατάγματος ceteri (v) ἐν μὲν τῷ ἀμήτῳ scripsi: ἐν τῷ ἀμήτω S, ἐν μὲν ἀμήτω ceteri (v) μήτε post γὰρ transp. S μήτε SH²: μηδὲ ceteri

3 πάντα — ἄτμητον (4) om. in lac. G¹ κείρειν S: κεῖραι CG²F² (v), σπεῖραι A (κ supra σ), σπεῖραι F¹HP 3. 4 ὑπολίπεσθαι (sic) S¹, ὑπολιπέσθαι C (v) 4 τι τοῦ SCG² (Clem. Al.): τὸ τοῦ FHP (v), τοῦτο A ἄτμητον CG² (Clem. Al.): ἄμητον S, ἄτ[illegible]μητον F, ἀτίμητον AHP 5 ἐκ τοῦ τι] ἐκτοστὶ (sic) A προϊέναι Clem. Al.: παριέναι codd. (v) 5. 6 πᾶσι προσκεχηνέναι καὶ om. G² 6 καὶ πάντα S: πᾶν G², καὶ μὴ πᾶν C, μηδὲ πᾶν ceteri (v) συμφορεῖν S: συμφύρειν A, συμφέρειν ceteri (Turn.) 6. 7 θησαυροφυλακήσαντας AH 7 ἅμα δὲ SCG²: ἅμα δὲ καὶ ceteri (v) 8 αὐτοὺς AG² 9 εἰσιέναι] [illegible]σιτία (sic) F κἀκ] καὶ S οἰκείων] ἰδίων A τῷ καιρῷ HP (v) 10 δρεπομένοις] δρεπάνοις C κληρούχοις SCG²: τοῖς κληρούχοις ceteri (v) ῥῶγας SG² (Clem. Al.): ῥάγας CA, ῥᾶγας ceteri (v) 11 μήτ' A ἐπανατρυγᾶν S: ἀνατρυγᾶν ceteri (v) 12 ἐλαιαλογοῦσι SAG¹HP: ἐαλογοῦσι F¹, ἐλαιολογοῦσι CG²F² (v) φιλοστοργότατος καὶ δικαιότατος scripsi: δικαιότατος S, φιλοστοργότατος ceteri (v) 13 εὐπραγίαις κεχρημένων SH: κεχρημένων εὐπραγίαις ceteri παίδων CG²: τέκνων S, τῶν παίδων ceteri (v) ἐν om. S

2 Lev. 19,9. 23,22. Deut. 24,19. cf. *Ioseph. Ant. Iud. IV § 231.* 2sqq. pergit *Clem. Alex. l. l.* ἔν τε τῷ ἀμήτῳ τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι κωλύει τοὺς κτήτορας, καθάπερ κἀν τῷ θερισμῷ ὑπολείπεσθαί τι παραινεῖ ἄτμητον, διὰ τούτου εὖ μάλα τοὺς μὲν κτήτορας εἰς κοινωνίαν καὶ μεγαλοφροσύνην συνασκῶν ἐκ τοῦ προϊέναι τι τῶν ἰδίων τοῖς δεομένοις, τοῖς πένησι δὲ ἀφορμὴν πορίζων τροφῶν. 10 Lev. 19,10. Deut. 24,20. 21. 10sqq. *Clem. Alex. l. l.* . . . ἔν τε αὐτῇ τρυγῇ τὸ ἐπιέναι πάλιν τὰ καταλειφθέντα δρεπομένους καὶ τὸ τὰς ἀποπιπτούσας ῥῶγας συλλέγειν κεκώλυκεν· τὰ δ' αὐτὰ καὶ τοῖς ἐλάας συλλέγουσι διατάσσεται.

περιουσίᾳ ζώντων, τῶν δ' εἰς ἀπορίαν ἐσχάτην περιηκόντων, οὓς ἐλεῶν καὶ
οἰκτείρων ἐπὶ τὰ κτήματα τῶν ἀδελφῶν καλεῖ μεθέξοντας ὡς ἰδίων τῶν
ἀλλοτρίων, οὐκ ἀναισχύντως ἀλλ' εἰς ἐπανόρθωσιν ἐνδείας, καὶ οὐ μόνον
92 καρποῦ μετουσίας ἀλλὰ καὶ κτημάτων ὅσα τῷ δοκεῖν. εἰσὶ δ' οἳ οὕτως
ῥυπῶσι τὰς διανοίας προστετηκότες ἀργυρισμῷ καὶ δυσθανατῶντες περὶ
πᾶσαν ἰδέαν κέρδους, τὸ πόθεν ἂν γένοιτο μὴ σκεπτόμενοι, ὥστε ἐπανα-
τρυγῶσι μὲν τοὺς ἀμπελῶνας καὶ ἐλαιῶνας, τὴν δὲ κριθοφόρον καὶ σιτο-
φόρον γῆν ἀναθερίζουσι. τὴν δουλοπρεπῆ καὶ ἀνελεύθερον μικροψυχίαν
93 αὐτῶν ἐλέγχοντες καὶ ἅμα ἀσεβοῦντες. ὀλίγα μὲν γὰρ αὐτοὶ τῶν εἰς
γεωργίαν παρέσχον, τὰ δὲ πλεῖστα καὶ ἀναγκαιότατα τῶν εἰς καρποφορίαν
καὶ εὐγονίαν ἡ φύσις, καιρίους ὑετούς, ἀέρος εὐκρασίας, τὰς τιθηνοὺς τῶν
φυομένων συνεχεῖς καὶ μαλακὰς δρόσους, ζωτικωτάτας αὔρας, ὡρῶν
τῶν ἐτησίων ἀζημίους γενέσεις, ὡς | μήτε θέρος περιφλέγοι μήτε κρυμὸς p. 391 M
περιψύχοι μήτ' ἔαρος καὶ μετοπώρου τροπαὶ βλάπτοιεν τὰ γεννώμενα.
94 καὶ ταῦτ' εἰδότες καὶ ὁρῶντες ἀεὶ τὴν φύσιν τελεσιουργοῦσαν καὶ
πλουσίαις χάρισι δωρουμένην ὅμως τὰς ἐκείνης εὐεργεσίας σφετε-
ρίζεσθαι τολμῶσι καὶ ὡς αὐτοὶ πάντων αἴτιοι μεταδιδόασιν οὐδενὸς
οὐδενί, μισανθρωπίαν ὁμοῦ καὶ ἀσέβειαν ἀσκοῦντες. οὕς, ἐπειδὴ
γνώμαις ἑκουσίοις ἀρετὴν οὐ διεπόνησαν, ἄκοντας νουθετεῖ καὶ σωφρο-

---

1 περιουσιαζόντων (sed ό ex ώ corr.) S   περιηκόντων] ὑπερρυηκότων A (fort. recte)   2 ἰδίων] οἰκείων A   3 ἀναισχύντως S: εἰς ἀναισχυντίαν ceteri (v)   4 καρπῶν HP (v)   ὅσα SG^1: ἴσα ceteri (Turn.)   τὸ S^1, τῷ corr. S^2 οὕτως SF: οὕτω ceteri   5 προστετηκότες SCG^1: προστεθεικότες ceteri   περὶ om. A   6 εἰδέαν S   μὴ σκεπτόμενοι] διασκεπτόμενοι F   7 τὴν δὲ S: τήν τε ceteri (v)   8 ἀναπαραθερίζουσι A   ἀνελευθέραν A   8. 9 μικροψυχίαν αὐτῶν S (αὐτῶν scripsi): αὐτῶν μικροψυχίαν ceteri (v)   9 ὀλίγα μὲν γὰρ αὐτοὶ S: ὀλιγαρκῆ μὲν αὐτοὶ F, ὀλιγαρκῆ αὐτοὶ G^2, ὀλιγαρκῆ (corr. in -εῖν H) αὐτοῖς HP^1, ὡς ἐπ' ὀλιγαρκία τῆ A, ὡς ἐπ' ὀλιγαρκία αὐτοὶ P^2, ὀλίγα—αὐτοὶ om. C (Turn.), ὀλίγα—γεωργίαν (10) om. in lac. G^1 τῶν om. v   9. 10 τῶν εἰς γεωργίαν] εἰς τὸν πρὸς γεωργίαν C (Turn.)   10 παρέσχον, τὰ δὲ πλεῖστα S: παρασχόν, τὰ δὲ πλεῖστα G^2, παρασχόντα πλεῖστα C (Turn.), παρέσχετο δὲ πλεῖστα AG^1H^1P, παρασχόντες πλεῖστα δὲ F, παρασχοῦσα δὲ πλεῖστα H^2 τῶν εἰς] πρὸς C (Turn.)   11 ἡ φύσις om. C (Turn.)   καιρίους S: καὶ καιροὺς G^2, καιροὺς ceteri (Turn.)   ἀέρος SC^2H^2: θέρος G^2, ἔαρος ceteri   τὰς om. C   τιθηνοὺς G^1: τιθηνὰς S, τιθηνίας ceteri (Turn.); τιθήνας Mang.   12 μαλακὰς S: μεγάλας ceteri (v)   13 τῶν] τε HP (v), om. C   θέρους AHP   παραφλέγοι F, πῦρ φλέγοι A   κρυμὸς S: κρύους HP, κρύος ceteri (v)   14 παραψύχοι F   μήτε CH   ἔαρος] ἀέρος S   μεθοπώρου S^1, corr. S^2 βλάπτοιεν S: ἐλαττοῖεν ceteri (v)   τὰ γενόμενα A   15 ταῦθ' ὁρῶντες (om. εἰδότες καὶ) HP   16 ταῖς χάρισι Mang.   χάρισι] χερσὶ coni. Mang.   δωρουμένης F   18 ἐπειδὴ S: ἐπεὶ μὴ ceteri (v)   19 ἑκουσίαις SHP (v)   οὐ διεπόνησαν S: οὐ om. ceteri (v)   νομοθετεῖ F

νίζει νόμοις ἱεροῖς, οἷς ὁ μὲν σπουδαῖος ἐθελοντής, ὁ δὲ μοχθηρὸς ἄκων πειθαρχεῖ.

(10.) Κελεύουσιν οἱ νόμοι δεκάτας μὲν ἀπό τε σίτου καὶ οἴνου καὶ 95
ἐλαίου καὶ θρεμμάτων ἡμέρων καὶ ἐρίων ἀπάρχεσθαι τοῖς ἱερωμένοις, ἀπὸ δὲ τῆς κατ᾽ ἀγροὺς ὀπώρας καὶ τῶν ἄλλων ἀκροδρύων κατὰ τὸ ἀνάλογον τῆς κτήσεως ἐν ταλάροις πλήρεσι κομίζειν σὺν ᾠδαῖς εἰς τὸν θεὸν πεποιημέναις, ἃς ἀναγράπτους στηλιτεύουσιν αἱ ἱερώταται βίβλοι, καὶ προσέτι βοῶν καὶ προβάτων καὶ αἰγῶν τὰ πρωτότοκα μὴ ὥσπερ ἴδια κατατάττειν ἐν ταῖς ἀγέλαις, ἀλλὰ καὶ ταῦτα νομίζειν ἀπαρχάς, ὅπως ἐξεθιζόμενοι τῇ μὲν τιμᾶν τὸ θεῖον τῇ δὲ μὴ πάντα κερδαίνειν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ ταῖς ἀρετῶν ἡγεμονίσιν ἐπικοσμῶνται.

Πάλιν ἐὰν ἴδῃς, φησί, τινὸς τῶν οἰκείων ἢ φίλων ἢ συνόλως ὧν 96
οἶδας ἀνθρώπων ὑποζύγιον ἐν ἐρημίᾳ πλανώμενον, ἀπαγαγὼν ἀπόδος· κἂν ἄρα τύχῃ μακρὰν ἀφεστὼς ὁ δεσπότης, μετὰ τῶν σαυτοῦ διαφύλαξον, ἄχρις ἂν ἐπανελθὼν κομίσηται παρακαταθήκην ἣν οὐκ ἔδωκεν, ἀλλ᾽ ἣν αὐτὸς ἐξευρὼν ἕνεκα φυσικῆς κοινωνίας ἀποδίδως.

1 ἐθελοντής SCG²: ἐθέλων ceteri (Turn.) μὲν om. HP, add. mg P 3 tit. περὶ δεκατῶν add. S, περὶ δεκάτης mg G² τε S: om. ceteri (v) καὶ ante οἴνου om. HP (Turn.) 4 καὶ ἡμέρων S ἐρίων] ἀγρίων S, ἱερεῖ F¹, ἱερείων F² 5 τῆς] τῶν S, τοῦ HP ἀκροδύων C 5. 6 τὸ ἀνάλογον A: τὸν ἀνάλογον S, ἀνάλογον ceteri (v) 6 κτίσεως S ταλάροις] γὰρ λασίοις καὶ S πλήρεσι SH²: πλήθουσι CG¹, πλήθεσι ceteri 7 ἀνάπτους (sic) S ἱερώταται S: ἱεραὶ ceteri (v) 8 καὶ προβάτων om. CG² 9 κατατάττει S, κατατάττων G²H¹ ἐν] μὲν S 10 ἐξεθιζόμενοι S: ἐρεθιζόμενοι HP (Turn.), ἐξερεθιζόμενοι ceteri 11 φιλανθρωπότητι A ταῖς] τῶν A ἡγεμονίσιν] ἡγεμονίαις S; ἡγεμόσι Mang. ἐπικοσμῶνται S: κοσμῶνται ceteri (Turn.) 12 tit. περὶ ὑποζυγίου πλανωμένου add. S mg G² φησί om. HP¹ (Turn.) τινὸς SFG¹H²: τινὰ ceteri 13 ἐν ἐρήμῳ S 14 κἂν S: καὶ ἂν A, καὶ ἐὰν ceteri (v) σαυτοῦ S (Clem. Al.): σῶν ceteri (v) 14. 15 φύλαξον S 16 ἕνεκα S: ὑπὸ CG², ἐκ ceteri (v) ἀποδίδωσι SAFH¹P

3 Num. 18,12. Deut. 18,4. 3sqq. pergit *Clem. Alex. l. l.* καὶ μὴν καὶ αἱ δεκάται τῶν τε καρπῶν καὶ τῶν θρεμμάτων εὐσεβεῖν τε εἰς τὸ θεῖον καὶ μὴ πάντα εἶναι φιλοκερδεῖς, μεταδιδόναι δὲ φιλανθρωπίας καὶ τοῖς πλησίον ἐδίδασκον. ἐκ τούτων γὰρ οἶμαι τῶν ἀπαρχῶν καὶ οἱ ἱερεῖς διετρέφοντο. 5 Deut. 26,1 sqq. 8 Num. 18,15.17. 12 Exod. 23,4. Deut. 22,1—3. cf. *Ioseph. Ant. Iud. IV § 274* . . . ὁμοίως καὶ περὶ βοσκημάτων οἷς ἂν ἐντύχῃ τις κατ᾽ ἐρημίαν πλανωμένοις, μὴ εὑρεθέντος τοῦ κυρίου παραχρῆμα παρ᾽ αὐτῷ φυλαττέτω μαρτυράμενος τὸν θεὸν μὴ νοσφίζεσθαι ἀλλότρια.
12sqq. *Clem. Alex. Strom. II 18 p. 475 P.* πάλιν ἐὰν ἴδῃς, φησί, τῶν οἰκείων ἢ φίλων ἢ καθόλου ὧν γνωρίζεις ἀνθρώπων ἐν ἐρημίᾳ πλανώμενον ὑποζύγιον, ἀπαγαγὼν ἀπόδος· κἂν οὖν τύχῃ μακρὰν ἀφεστὼς ὁ δεσπότης, μετὰ τῶν σαυτοῦ διαφυλάξας ἄχρις ἂν κομίσηται ἀπόδος. φυσικὴν κοινωνίαν διδάσκει τὸ εὕρημα παρακαταθήκην λογίζεσθαι μηδὲ μνησικακεῖν τῷ ἐχθρῷ.

97 (11.) Τὰ δὲ περὶ τοῦ ἑβδόμου ἔτους νομοθετηθέντα, καθ' ὃ δεῖ
τὴν μὲν χώραν ἀνίεσθαι πᾶσαν ἀργὴν ἀφιεμένην, τοὺς δὲ πένητας ἀδεῶς
τοῖς τῶν πλουσίων χωρίοις ἐπιβατεύειν δρεψομένους τὸν ἀπαυτοματισθέντα
98 καρπόν, δώρημα φύσεως, ἆρ' οὐ χρηστὰ καὶ φιλάνθρωπα; ἑξαετίαν,
φησίν, ἀπολαυέτωσαν οἱ κτήτορες ἀνθ' ὧν ἐκτήσαντο καὶ ἐγεωπόνησαν,
ἕνα δὲ ἐνιαυτὸν ἕβδομον οἱ ἀκτήμονες καὶ ἀχρήματοι, μηδενὸς τῶν κατὰ
γεωργίαν ἐπιτελεσθέντος· ἄδικον γὰρ ἦν, ἑτέρους μὲν πονεῖν, ἑτέρους δὲ
καρποῦσθαι· ἀλλ' ἵνα τρόπον τινὰ τῶν χωρίων ἀδεσπότων ἐαθέντων, μὴ
συνεφαψαμένης γεωργίας, ἄρτιαι καὶ πλήρεις αἱ χάριτες ἐκ θεοῦ μόνου
99 γίνωνται προαπαντῶσαι τοῖς δεομένοις. τί δ' ὅσα | περὶ τοῦ πεντηκοστοῦ p. 392 M
ἐνιαυτοῦ διατέτακται, οὐχὶ πᾶσαν ὑπερβάλλει φιλανθρωπίαν; καὶ τίς οὐκ
ἂν εἴποι τῶν μὴ χείλεσιν ἄκροις ἀπογευσαμένων τῆς νομοθεσίας, ἀλλ'
ἐπὶ πλέον ἑστιαθέντων καὶ ἐντρυφησάντων ἡδίστοις ἅμα καὶ καλλίστοις

---

1 tit. περὶ τοῦ ζ' ἔτους add. S mg G² καθὸ AF δεῖ] δὴ F 2 ἀνείεσθαι S πᾶσαν ἀργὴν S: ἀργὴν πᾶσαν ceteri (v) ἀφιομένην (sic) S 3 ἐπιβατεύειν S: διατραφῆναι A, om. ceteri (Turn.) δρεψομένους v: τρεφομένους S, δρεψαμένους ceteri τὸν ἀπαυτοματισθέντα S: αὐτοματισθέντα ceteri (v) 4 οὐ S: οὐχὶ ceteri (v) 5 ἀπολαβέτωσαν AF¹ οἱ κτήτορες CG¹HP: οἰκήτορες SA, οἱ οἰκήτορες FG² (v) ἀφ' ὧν ἐκέκτηντο F 6 δ' A μηδὲν H 7 ἐπιτελεσθέντος S: ἀποτελεσθέντος ceteri (v) ἄδικον S: ἄτοπον ceteri (v) 8 post καρποῦσθαι nonnulla deesse cens. Mang. 9 συνεφαψαμένους G²H¹P ἄρτιαι scripsi: ἄρτιοι codd. (v) μόνον FH (v) 10 γίνωνται G¹, γίγνωνται S: γένωνται C (Turn.), γένονται G², τίνωνται F, τείνωνται AH² (Mang.), τείνονται H¹P προαπαντῶσαι om. G², προαπαντῶσαι τοῖς δεομένοις om. S προαπαντῶσαι Mang.: προσαπαντῶσαι codd. tit. περὶ τοῦ ν' ἔτους add. S mg G² 11 διατέτακται ἐνιαυτοῦ transp. A οὐχὶ πᾶσαν S: πᾶσαν οὐχ ceteri (v) τίς οὐκ F: οὐκ om. ceteri (Turn.) 12 τῆς om. S 13 ἑστιαθέντων SAG¹H²: ἑστιασάντων ceteri ἐντρυφησάντων S: ἐπιτρυφησάντων ceteri (v)

---

1 Exod. 23,10. 11. Lev. 25,3—6. cf. *Ioseph. Ant. Iud. III § 281* δι' ἑβδόμου ἔτους ἄνεσιν δίδωσι τῇ γῇ ἀπό τε ἀρότρου (leg. ἀρότου) καὶ φυτείας . . . καὶ τῶν αὐτομάτως ἀναδοθέντων ἀπὸ τῆς γῆς κοινὴν εἶναι τοῖς θέλουσι τὴν χρῆσιν τῶν τε ὁμοφύλων καὶ τῶν ἀλλοτριοχώρων, μηδὲν ἐξ αὐτῶν φυλάττοντας· ποιεῖν δὲ τοῦτο καὶ μεθ' ἑβδόμην ἐτῶν ἑβδομάδα. 1 sqq. *Clem. Alex. Strom. II 18 p. 474 P.* ἡ γὰρ οὐχὶ διὰ μὲν τοῦ ἑβδόμου ἔτους ἀργὴν ἀνίεσθαι τὴν χώραν προστάττει, τοὺς πένητας δὲ ἀδεῶς τοῖς κατὰ θεὸν φυεῖσι καρποῖς χρῆσθαι ἐκέλευεν τῆς φύσεως τοῖς βουλομένοις γεωργούσης; πῶς οὖν οὐ χρηστὸς ὁ νόμος καὶ δικαιοσύνης διδάσκαλος; 10 Lev. 25,8 sqq. 10 sqq. pergit *Clem. Alex. l. l.* πάλιν τε αὖ τῷ πεντηκοστῷ ἔτει τὰ αὐτὰ ἐπιτελεῖν κελεύει ἃ καὶ τῷ ἑβδόμῳ, προσαποδιδοὺς ἑκάστῳ τὸ ἴδιον, εἴ τις ἐν τῷ μεταξὺ διά τινα περίστασιν ἀφῃρέθη χωρίον, τήν τε ἐπιθυμίαν τῶν κτᾶσθαι ποθούντων περιορίζων χρόνῳ μεμετρημένῳ καρπώσεως τούς τε πενίᾳ μακρᾷ ὑποσχόντας δίκην μὴ ⟨καὶ?⟩ διὰ βίου κολαζομένους ἐλεῶν.

δόγμασιν; ἐπιτελεῖται μὲν γὰρ ἃ καὶ τῷ ἑβδόμῳ, προσείληφε δὲ ἔτι 100
μείζονα. ἀνάληψιν τῶν ἰδίων κτημάτων, ἃ διὰ καιροὺς ἀβουλήτους παρεχώρησαν ἑτέροις· οὔτε γὰρ παγκτησίαν ἔχειν τῶν ἀλλοτρίων ἐφίησι, τὰς εἰς πλεονεξίαν ἐπιφράττων ὁδοὺς ἕνεκα τοῦ στεῖλαι τὴν ἐπίβουλον καὶ πάντων κακῶν αἰτίαν ἐπιθυμίαν, οὔτε τοὺς κληρούχους εἰς ἅπαν ᾠήθη χρῆναι τῶν οἰκείων ἀποστερεῖσθαι, πενίᾳ διδόντας δίκας, ἣν κολάζεσθαι
μὲν οὐ θέμις, ἐλεεῖσθαι δὲ ἀναγκαῖον. ἔστι δὲ καὶ ἄλλα μυρία τῶν ἐν 101
μέρει διατεταγμένων πρὸς τοὺς ὁμοεθνεῖς χρηστὰ καὶ φιλάνθρωπα, ὧν ἀποχρώντως ἐν ταῖς προτέραις συντάξεσιν ἐπιμνησθεὶς ἀρκεσθήσομαι τοῖς ἀρτίως εἰρημένοις, ἃ δείγματος ἕνεκα καιρίως προσπαρέλαβον.

(12.) Νομοθετήσας δὲ περὶ τῶν ὁμοεθνῶν καὶ τοὺς ἐπηλύτας 102
οἴεται δεῖν προνομίας τῆς πάσης ἀξιοῦσθαι, γενεὰν μὲν τὴν ἀφ᾽ αἵματος καὶ πατρίδα καὶ ἔθη καὶ ἱερὰ καὶ ἀφιδρύματα θεῶν γέρα τε καὶ τιμὰς ἀπολελοιπότας, καλὴν δ᾽ ἀποικίαν στειλαμένους τὴν ἀπὸ τῶν μυθικῶν πλασμάτων πρὸς τὴν ἀληθείας ἐνάργειαν καὶ τὸν σεβασμὸν τοῦ ἑνὸς καὶ
ὄντως ὄντος θεοῦ. κελεύει δὴ τοῖς ἀπὸ τοῦ ἔθνους ἀγαπᾶν τοὺς 103
ἐπηλύτας, μὴ μόνον ὡς φίλους καὶ συγγενεῖς ἀλλὰ καὶ ὡς ἑαυτούς,

1 ἃ om. S δὲ ἔτι S: δέ τινα ceteri (Turn.) 2 ἀνάληψιν S: λῆψιν ceteri (v) διά] δὴ G^2 ἀβουλήτως C 2. 3 παρεχώρησεν FG^1HP 3 πανκτησίαν S: τὴν κτῆσιν ceteri; ἀεικτησίαν coni. Mang. 4 συστεῖλαι C^2 5 κακῶν SG^1: om. ceteri (Turn.) πλεονεξίαν καὶ ἐπιθυμίαν S (Mang.) 6 ὑποστερεῖσθαι A πενίᾳ — κολάζεσθαι om. S πενίας coni. Mang., πενίᾳ ⟨μακρᾷ⟩ conicio coll. Clem. Al. 7 pr. δὲ S: δ᾽ ceteri ἔστιν S: εἰσὶ ceteri (Turn.) 9 τάξεσιν A 10 ἀρτίως SCG^2: om. ceteri (v) παραδείγματος F (Mang.) ἕνεκεν S καιρίως codd.: καιρίου Mang. προσπαρέβαλον F, παρέλαβον H (v) 11 tit. περὶ ἐπηλύτων add. S ἐπηλύτας] ἐπιλύτους P, ἐπήλυδας CH^2 (v), ἐπιλύδας G^2 12 προνομίας] προνοίας coni. Mang. τῆς πάσης S: τῆς om. ceteri (v) γενεὰν] συγγένειαν coni. Mang. ἀφ᾽] ὑφ᾽ F 13 πατρίδος F καὶ ἀφιδρύματα S: καὶ om. ceteri (v) ἐφιδρύματα A γέρα τε καὶ τιμὰς S: γεραῖραι τὲ τιμαῖς CG^2, γεραῖραι τιμαῖς AG^1HP (Turn.), γεραίρειν τιμαῖς F 14 ἀποικίαν S: εἰς ἀποικίαν ceteri (v) τὴν om. S τῶν S: om. ceteri (v) 15 πλασμάτων] πραγμάτων S ἀληθείας] τῆς ἀληθείας AFH (v) ἐνάργειαν CG^2FH^2: ἐνέργειαν ceteri καὶ τοῦ ἑνὸς G^2 ἑνὸς καὶ om. S 16 ὄντως ὄντος SCF: ὄντος ὄντως ceteri (v) δὴ τοῖς] δὲ τοὺς F τοῦ om. AF 17 ἐπιλύτας F, ἐπήλυδας CH^2 (v) alt. ὡς om. F

16 Lev. 19,33. 34. Deut. 10,19. cf. *Ioseph. c. Ap. II § 209.* 16 sqq. *Clem. Alex. l. l. p. 475 P.* τί δέ; οὐχὶ τοὺς ἐπήλυδας ἀγαπᾶν κελεύει, οὐ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλ᾽ ὡς ἑαυτοῦ (leg. ἑαυτοὺς) κατά τε σῶμα καὶ ψυχήν;

κατά τε σῶμα καὶ ψυχήν, ⟨κατὰ μὲν σῶμα⟩ ὡς οἷόν τε κοινοπραγοῦντας, κατὰ δὲ τὴν διάνοιαν τὰ αὐτὰ λυπουμένους τε καὶ χαίροντας, ὡς ἐν διαιρετοῖς μέρεσιν ἓν εἶναι ζῷον δοκεῖν, ἁρμοζομένης καὶ συμφυὲς ἀπεργα-
104 ζομένης τῆς κατ᾽ αὐτὸ κοινωνίας. οὐκέτ᾽ ἂν εἴποιμι περὶ σιτίων καὶ ποτῶν καὶ ἐσθῆτος καὶ τῶν ἄλλων ὅσα περὶ δίαιταν καὶ τὰς ἀναγκαίας χρείας, ἃ τοῖς ἐπηλύτοις δίδωσιν ὁ νόμος παρὰ τῶν αὐτοχθόνων· ἕπεται γὰρ ταῦτα πάντα θεσμοῖς τοῖς τῆς εὐνοίας τοῦ στέργοντος ὁμοίως [ἀγαπῶντος] τὸν ἐπήλυτον ὡς ἑαυτόν.

105 (13.) Ἔτι τοίνυν ἐπιτείνων καὶ ἐπελαύνων ὁλκὸν φύσει πρᾶγμα, φιλανθρωπίαν, διατάττεται καὶ περὶ μετοίκων, ἀξιῶν τοὺς μετανάστας ἐν καιροῖς γενομένους ἀπονέμειν τινὰ τοῖς ὑποδεξαμένοις τιμήν, εὖ μὲν πεποιηκόσι καὶ φιλοξένως προσενεχθεῖσι πᾶσαν. | εἰ δὲ μηδὲν ἔξω τῆς p. 393 M.
ὑποδοχῆς παράσχοιεν, μετριωτέραν· τὸ γὰρ ἐνορμίσασθαι πόλει μηδὲν προσηκούσῃ, μᾶλλον δὲ καὶ τὸ ἐπιβῆναι ἐδάφους αὐτὸ μόνον ἀλλοτρίου καθ᾽ αὑτὸ δωρεά τίς ἐστιν ἀποχρῶσα τοῖς μὴ δυναμένοις τὴν ἰδίαν
106 οἰκεῖν. ὁ δέ γε προσυπερβάλλων τοὺς ἐπιεικείας ὅρους αὐτῆς οἴεται δεῖν καὶ τοῖς κακῶς πεποιηκόσι τῶν ξενοδόχων μὴ μνησικακεῖν, εἰ καὶ

1 καὶ κατὰ ψυχὴν S κατὰ μὲν σῶμα addidi ὡς] οἷς A κοινοπραγοῦντες A, κακοπραγοῦντας HP^1 2 τὴν om. S τε om. S 3 ἓν] ἕνα S ζῷον εἶναι transp. H (v), ζῷον om. S 3. 4 καὶ συμφυὲς ἀπεργαζομένης om. S 4 τῆς κατ᾽ αὐτὸ S: αὐτὸ AG^{1}H^2 (v), αὐτῷ CFH^{1}P, αὐτῷ ex αὐτὸ corr. G^2 5 ἄλλων om. HP ὅσα περὶ] οἷα περὶ C, οἷαπερ G^2 6 χρείας] χρήσεις S ἃ τοῖς ἐπηλύτοις S (ἐπηλύταις v): τοῖς ἐπηλύταις C, αὐτοῖς ἐπιλυταῖς G^2, ἐπηλύταις αὐτοῖς ceteri (Turn.) παρὰ] περὶ AF^{1}H^{1}P 7 πάντα ταῦτα transp. CG^2, πάντα om. A θεσμοῖς τοῖς A (prob. Mang.): ἐν ἰσότητι S, ἐν ἴσοις ceteri (v) τῆς om. S, τῇ εὐνοίᾳ H^2 8 ὁμοίως om. G^1 ἀγαπῶντος SCG^2 (seclusi): καὶ ἀγαπῶντος ceteri (v) ἐπήλυτον S: ἔπηλυν ceteri (v) ἑαυτόν SCG^2: αὑτὸν ceteri 9 tit. περὶ μετοίκων add. S mg G^2 ἀποτείνων S, ἐπιτείνων om. F ἀπελαύνων SF πρᾶγμα S: om. ceteri (v) 10 φιλανθρωπίαν SCG^2: φιλανθρωπίας ceteri διατέτακται A ἀξίων F τοῖς μετανάσταις A 10. 11 ἐν καιροῖς ⟨ἀβουλήτοις⟩ coni. Mang. 11 γενομένοις AG^2 τινὰ om. H (Turn.) τοῖς ὑποδεξαμένοις SH^2: τοὺς ἀποδεξαμένους A, τοῖς ἀποδεξαμένοις ceteri 13 παράσχοιεν S: παρέχοιεν ceteri (Turn.) ἐνορμήσασθαι SHP 15 καθ᾽ αὑτὸν δωρεά S (καθ᾽ αὑτὸ scripsi): δωρεὰ κατ᾽ αὐτὸν CG^{2}H^2 (v), δωρεὰ κατὰ ταὐτὸν ceteri 16 ὁ δέ γε ὑπερβάλλων S (Mang., ego προσυπερβάλλων scripsi): τὸ δὲ προσυπερβάλλον ceteri (Turn.) τοὺς] τῆς F ἐπιεικίας S^1, corr. S^2, ἐπ᾽ οἰκείας G^2 αὐτῆς] αὐτοὺς F (Mang.) 17 ξενοδόχων] ξένων H μὴ om. SG^2 εἰ] εἰ γὰρ G^1

16 sqq. pergit *Clem. Alex. l. l.* καὶ μὴν καὶ τὰ ἔθνη τετίμηκεν καὶ τοῖς γε κακῶς πεποιηκόσιν οὐ μνησιπονηρεῖ (μισοπονηρεῖ cod., corr. Sylburg). ἄντικρυς γοῦν φησιν· „οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου κατ᾽ Αἴγυπτον", ἤτοι τὸν ἐθνικὸν ἢ καὶ πάντα τὸν κόσμικον Αἰγύπτιον προσειπών.

μὴ τὰς πράξεις, ὄνομα γοῦν ἔχουσι φιλάνθρωπον. ἄντικρυς γοῦν φησιν·
„οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου κατ' Αἴγυπτον" (Deut. 23,7).
καίτοι τί κακὸν παρέλιπον οἱ Αἰγύπτιοι, ὃ μὴ τῷ ἔθνει προσετρί- 107
ψαντο, νέα παλαιοῖς συνυφαίνοντες ἀεὶ κεκαινουργημέναις ἐπινοίαις εἰς
ὠμότητα; ἀλλ' ὅμως ἐπειδὴ τὴν ἀρχὴν ἐδέξαντο τὰς πόλεις οὐκ ἀπο-
κλείσαντες οὐδὲ τὴν χώραν ἄβατον τοῖς ἥκουσι παρασκευάσαντες, ἐχέ-
τωσαν προνομίαν, φησί, τῆς ὑποδοχῆς τὸ ἔνσπονδον· κἂν εἴ τινες 108
ἐθελήσειαν αὐτῶν μεταλλάξασθαι πρὸς τὴν Ἰουδαίων πολιτείαν, οὐχ ὡς
ἐχθρῶν παῖδας ἀσυμβάτως σκορακιστέον, ἀλλ' οὕτως προσεκτέον, ὡς
τρίτην γενεὰν καλεῖν τε εἰς ἐκκλησίαν (ibid. v. 8) καὶ μεταδιδόναι λόγων
θείων, οἷς θέμις καὶ τοὺς αὐτόχθονας καὶ εὐπατρίδας ἱεροφαντεῖσθαι.

(14.) Ταῦτα μὲν ὑπὲρ τῶν ὑποδεξαμένων [πρὸς] τοὺς μετοίκους 109
νομοθετεῖ· χρηστὰ δ' ἕτερα καὶ μεστὰ ἡμερότητος ὑπὲρ πολεμίων.
ἀξιοῖ γὰρ αὐτούς, κἂν ἐπὶ θύραις ὦσιν ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ἐν
ταῖς πανοπλίαις καὶ τὰς ἑλεπόλεις ἐφιστάντες, μήπω νομίζεσθαι πολεμίους,
ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προκαλέσωνται πρὸς εἰρήνην, ἵν' εἰ
μὲν ἐνδοῖεν, τὸ μέγιστον ἀγαθὸν εὕροιεν, φιλίαν, εἰ δὲ ἀπειθέστερον

1 pr. γοῦν] γὰρ F ἔχωσι CG^2 alt. γοῦν S (Clem. Al.): οὖν ceteri (v) φασιν F^1 2 ὅτι πάροικος ἐγένου κατ' αἴγυπτον add. mg S (Clem. Al.): om. ceteri (Turn.) κατ' Αἴγυπτον] ἐν Αἰγύπτῳ Mang. 3 παρέλιπον οἱ αἰγύπτιοι S: αἰγύπτιοι παρέλιπον ceteri (v) 3. 4 προσέτριψαν G^1, προσέτριψαν τῷ F, προσέτριψαν τὰ HP 4 συνυφαίνοντες S: ἐξυφαίνοντες CG^1 (v), ἐξυφήναντες AG^2HP, ἐξυφαίνειν F 5 ὅμως om. S ἐπειδὴ S: ἐπεὶ ceteri (v) ἐδέξαντο] ἐξέλιπον A οὔτε τὰς πόλεις οὔτε (om. οὐκ ἀποκλείσαντες) S 5. 6 ἀποκλίναντες G^2 6 τοῖς om. F ηκουσι S^1, οἰκοῦσι S^2 7 προνομίαν φησὶ S: φησὶ προνομίαν ceteri (v) κἂν] καὶ FH οἵτινες H 7. 8 εἴ τις ἐθέλοιεν (sic) S 8 μεταλλάξασθαι S: μετατάξασθαι ceteri (v) τὴν om. F 9 οὕτως SCG^2: οὕτω ceteri προσεκτέον CG^2AF: προσιτέον S, προσενεκτέον G^1HP (v) 10 τρίτην γενεὰν AF: τρίτῃ γενεᾷ ceteri (v) τε S: om. ceteri (v) 10. 11 θείων λόγων transp. H (v) 11 καὶ post θέμις add. S: om. ceteri (v) 12 ἀποδεξαμένων A πρὸς seclusit Mang. 13 tit. ὑπὲρ πολεμίων add. S mg G^2 πολεμίων S: τῶν πολεμίων ceteri (v) 15 τὰς ἑλεπόλεις ἐφιστάντες S: ταῖς πόλεσιν ἐφιστάντες CG^2FHP (Turn.), ταῖς πόλεσιν ἐπιστάντες A, ταῖς (πόλεσιν om. in lac.) ἐπιστάντες G^1 μήπως C 16 προκαλέσωνται S: προσκαλέσωνται ceteri (Turn.) 17 ἐνδοῖεν, τὸ] ἐνδοίοιντο S δ' G^2 ἀπαθέστερον S^1 ut vid., ἀπειθέστερον corr. S^2: ἀφειδέστερον coni. Wendl.

14sqq. Deut. 20,10sqq. cf. *Ioseph. Ant. Iud. IV § 296. 297.* 14—16 pergit *Clem. Alex. l. l.* τούς τε πολεμίους, κἂν ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ὦσιν ἑλεῖν τὴν πόλιν πειρώμενοι, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προ[σ]καλέσωνται πρὸς εἰρήνην.

ἐναντιοῖντο, συμμαχίαν τὴν τοῦ δικαίου προσειληφότες ἐλπίδι νίκης ἐπίωσι
110 πρὸς ἄμυναν. ἣν μέντοι καὶ ἐκ προνομῆς εὐμόρφου γυναικὸς εἰς ἐπιθυμίαν ἔλθῃς, μὴ ὡς αἰχμαλώτῳ, φησίν, ἐναπερύγῃς τὸ πάθος, ἀλλ᾽ ἡμερώτερον οἰκτισάμενος τῆς μεταβολῆς ἐπικούφισον τὴν συμφοράν,
111 μεθαρμοσάμενος πάντα πρὸς τὸ βέλτιον. ἐπικουφιεῖς δὲ τὰς μὲν τῆς κεφαλῆς τρίχας ἀποκείρας, περιελὼν δὲ ὄνυχας, ἀπαμφιάσας δὲ τὴν ἐσθῆτα ἣν ἔχουσα ἐζωγρήθη, τριάκοντα δὲ ἡμέρας ἀνεὶς καὶ ἐπιτρέψας αὐτῇ πενθῆσαι καὶ ἀποδακρῦσαι μετὰ ἀδείας πατέρα καὶ μητέρα καὶ τοὺς ἄλλους οἰκείους, ὧν ἀπεζεύχθη τεθνεώτων ἢ θανάτου χείρους ὑπομενόντων τὰς ἐν δουλείᾳ συμφοράς· μετὰ δὲ ταῦτα ὡς γαμετῇ νόμῳ
112 συνέρχου. τὴν γὰρ μέλλουσαν | εὐνῆς ἀνδρὸς ἐπιβήσεσθαι, μὴ κατὰ p. 394 M.
μισθαρνίαν ὡς ἑταίραν τὸ τῆς ὥρας ἄνθος καπηλεύουσαν ἀλλ᾽ ἢ δι᾽ ἔρωτα τοῦ συνιόντος ἢ διὰ τέκνων γένεσιν, ὅσιον θεσμῶν τῶν ἐπὶ τελείοις
113 γάμοις ἀξιοῦσθαι. πάνυ καλῶς διαταξάμενος ἕκαστα· πρῶτον μὲν γὰρ οὐκ εἴασεν ἀχάλινον φέρεσθαι τὴν ἐπιθυμίαν ἀπαυχενίζουσαν, ἀλλ᾽ ἐστείλατο τὸ σφοδρὸν αὐτῆς ἡμέρας τριάκοντα χαλάσας. δεύτερον δὲ

1 ἐπίησι S 2 εὐμόρφου — μὴ (3) om. S 3 αἰχμαλώτων G² ἐναπερύγῃς scripsi (cf. vol. IV 298,5): ἐναπερρυγεὶς S, ἐπαπερύγης CG² (v), ἐπανεγείρῃς ceteri πάθος] πλῆθος G² 5 ἐπικουφιεῖς S: ἐπικουφίσῃς CF, ἐπικουφίσεις ceteri (v) μὲν] μετὰ F¹, μὲν τὰς F² 6 τρίχας S (Clem. Al.): χαίτας ceteri (v) δ᾽ S ἀπαμφιάσας A: ἐπαμφιέσας G², ἀπαμφιέσας ceteri (v) 7 δὲ SA: δ᾽ ceteri ἐπιτρίψας A 8 ἀποδακρῦσαι S: δακρῦσαι ceteri (v) μετὰ SCG¹G²: μετ᾽ ceteri μετὰ ἀδείας post μητέρα transp. S 9 ⟨ἢ⟩ τεθνεώτων coni. Mang. ἢ] ἴσως οἷα S θανάτου SAH²: θανάτων ceteri 10 ἐν δουλείᾳ S: ἐπὶ δουλείαν AF, ἐπὶ δουλείᾳ ceteri (Turn.) ταύτην F νόμῳ] νομίμω C (v) 13 τοῦ] τούτου A συνιόντος S: συμβάντος ceteri (v) ὅσιον] ὁσίων S, ὅσον F¹, ἴσων F² 14 ⟨φαίνεται⟩ διαταξάμενος conicio διαταξάμενος ἕκαστα S: ἕκαστα διαταξάμενος ceteri (v) 15 εἷα F εἴασε χαλινον (sic) S ἀχάλινον — τὸ (16) om. F ἀπαυχενίζεσθαι S, ἀπαυ spat. 10 fere litt. G¹ 16 ἐστείλατο S: ἀνέστειλε HP (v), ἔστειλε ceteri ἡμέραις λ´ S χαλάσας S: ἐάσας ceteri (v)

2sqq. Deut. 21,10—13. cf. *Ioseph. Ant. Iud. IV § 257 sqq.* 3sqq. pergit *Clem. Alex. l. l.* ναὶ μὴν καὶ τῇ αἰχμαλώτῳ οὐ πρὸς ὕβριν ὁμιλεῖν κελεύει, ἀλλὰ τὰς λ´ ἡμέρας ἐπιτρέψας, φησί, πενθῆσαι οὓς (ὡς cod., corr. Mang.) βούλεται, μεταμφιάσας ὕστερον ὡς γαμετῇ νόμῳ συνέρχου· οὔτε (οὐ conicio, οὐδὲ Dindorf) γὰρ ἐφ᾽ ὕβρει τὰς συνουσίας οὐδὲ μὴν διὰ μισθαρνίαν ὡς ἑταίρας ἀλλ᾽ ἢ διὰ μόνην τῶν τέκνων τὴν γένεσιν γίνεσθαι τὰς ὁμιλίας ἀξιοῖ. ὁρᾷς φιλανθρωπίαν μετ᾽ ἐγκρατείας; τῷ ἐρῶντι κυρίῳ τῆς αἰχμαλώτου γεγονότι οὐκ ἐπιτρέπει χαρίζεσθαι τῇ ἡδονῇ, ἀνακόπτει δὲ τὴν ἐπιθυμίαν διαστήματι [illegible] καὶ προσέτι ἀποκείρει τῆς αἰχμαλώτου καὶ τὰς τρίχας, ἵνα τὸν ἐφύβριστον συσωπήσῃ ἔρωτα· εἰ γὰρ λογισμὸς ἀναπείθει γῆμαι, καὶ γενομένης αἰσχρᾶς ἀνθέξεται.

τὸν ἔρωτα βασανίζει, πότερον ἐπιμανὴς καὶ ἀψίκορος καὶ ὅλος τοῦ πάθους ἐστὶν ἢ μετέχει τῆς καθαρωτέρας ἰδέας, ἀνακεκραμένου λογισμοῦ· λογισμὸς γὰρ πεδήσει τὴν ἐπιθυμίαν οὐδὲν ὑβριστικὸν ἐάσας αὐτὴν ἐξεργάσασθαι, ἀλλὰ τὴν μηνιαίαν προθεσμίαν ἐπισχεῖν. τρίτον δὲ ἐλεεῖ τὴν αἰχμά- 114
λωτον, εἰ μὲν παρθένος ἐστίν, ὅτι γονεῖς οὐκ ἐγγυῶσι τὴν εὐκταιοτάτην ἁρμοζόμενοι σύνοδον, εἰ δὲ χήρα, διότι τοῦ κουριδίου στερομένη πεῖραν ἑτέρου μελλήσει λαβεῖν, καὶ ταῦτ᾽ ἐπανατειναμένου τὸν δεσποτικὸν φόβον, κἂν ἰσότητα ἐπιτηδεύῃ· τὸ γὰρ ὑπακοῦον ἀεὶ τὴν τοῦ κρατοῦντος, κἂν ἡμερώτερον ᾖ, δέδιεν ἰσχύν. ἐὰν δέ τις τῆς ἐπιθυμίας ἀποπληρωθεὶς 115
καὶ διακορὴς γενόμενος μηκέτι κοινωνεῖν ὁμιλίας ἀξιοῖ τῆς πρὸς τὴν αἰχμάλωτον, οὐ ζημιοῖ μᾶλλον αὐτὸν ἢ νουθετεῖ καὶ σωφρονίζει πρὸς βελτίωσιν ἠθῶν· κελεύει γὰρ μήτε πιπράσκειν μήτ᾽ ἔτι δούλην ἔχειν, ἀλλὰ χαρίζεσθαι μὲν ἐλευθερίαν αὐτῇ, χαρίζεσθαι δέ καὶ τὴν ἐκ τῆς οἰκίας ἀπαλλαγὴν ἀδεᾶ, ὡς μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης ἐξ ἔριδος, οἷα φιλεῖ, κατὰ ζηλοτυπίαν πάθη τι τῶν ἀνηκέστων, ἅμα καὶ τοῦ δεσπότου καινοτέροις φίλτροις ὑπηγμένου καὶ τῶν παλαιοτέρων ἀλογοῦντος.

1 βασανίζει SC^2AG^1: βασανίζειν ceteri 2 μετέχει] μέχρι H^1P τῆς] τε F καθαρωτέρας S: καθαρωτάτης ceteri (v) εἰδέας S ἀνακεκραμένος λογισμῷ G^1 λογισμὸς] λογισμοῖς G^2 3 πεδήσῃ F ἐασάμενος A, αὐτὴν ἐάσας transp. CG^2 ἐξεργάσασθαι S: ἐργάσασθαι ceteri (v) 4 ἐπισχών coni. Mang. ἐλεεῖ S: ἐλεεῖν CG^2, ἐλθεῖν FHP, εἰς λήθην ἐλθεῖν A, om. in lac. G^1 6 ἁρμοζόμενοι σύνοδον S: σύνοδον ἁρμοζομένη F, σύνοδον ἁρμοζομένην ceteri (Turn.) τοῦ κουριδίου S: τοῦ om. ceteri (Turn.) στερομένη CG^2: στερουμένη ceteri (v) 7 μελλήσει λαβεῖν SCG^2: λαβεῖν μελλήσει G^1HP (v), λαβεῖν μελήσει AF ταῦτ᾽ SA: ταῦτα ceteri ἐπανατειναμένους G^2H τὸν S: ἔτι C (v), om. A, ἐπὶ ceteri 8 pr. κἂν] καὶ S ἐπιτηδεύει SF τὴν om. A 9 ἡμερώτερον AG^1HP: ἡμερώτερος SCG^2F (v) ᾖ] ἢ G^2 δέδειεν S: δέδοικεν ceteri (v) ἀποπληρωθῇς S (-θεὶς scripsi): πληρωθῇ F, πληρωθεὶς ceteri (v) 10 διακορὴς] διάκορος S, ἀκορὴς G^2, ἀκορῆς C^1, corr. C^2 τὴν] τὸν Turn. 11 μᾶλλον SHP: μάλιστα ceteri (Turn.) αὐτὸν om. S 12 ἠθῶν SG^1G^2: ἐθῶν ceteri (Turn.) γὰρ] δὲ A μήτε ἔτι C 13 αὐτῇ] ἑαυτῇ G^2 14 οἰκίας] οἰκετίας coni. Mang. ἀδεᾶ, ὡς S: ἀδεῶς ceteri (Turn.) 15 πάθει S 16 καινοτέροις] καὶ νεωτέροις A ὑπιγμένου S^1, ι in ει corr. S^2 καὶ — ἀλογοῦντος om. C, om. in lac. G^1 τῶν παλαιοτέρων ἀλογοῦντος S: τῶν παλαιοτέρων G^2, τῶν παλαιτέρων HP, τοῖς παλαιοτέροις A, καταφρονοῦντος τῶν παλαιτέρων F mg H (v)

9 sqq. Deut. 21,14. cf. *Ioseph. Ant. Iud. IV* § 259. 9 sqq. pergit *Clem. Alex. l. l.* ἔπειτα ἐάν τις τῆς ἐπιθυμίας κατάκορος γενόμενος μηκέτι κοινωνεῖν τῇ αἰχμαλώτῳ καταξιώσῃ, μηδὲ πιπράσκειν ταύτην ἐξεῖναι διατάττεται, ἀλλὰ μηδὲ ἔτι θεράπαιναν ἔχειν, ἐλευθέραν δὲ εἶναι καὶ τῆς οἰκετείας ἀπαλλάττεσθαι βούλεται, ὡς μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης πάθῃ τι τῶν κατὰ ζηλοτυπίαν ἀνηκέστων.

116 (15.) Ἕτερα δ' ἐφ' ἑτέροις ἐπαντλῶν ὡσὶ φιληκόοις εἰς ἡμερότητα
προστάττει, κἂν ἐχθρῶν ὑποζύγια ἀχθοφοροῦντα τῷ βάρει πιεσθέντα
προπέσῃ, μὴ παρελθεῖν, ἀλλὰ συνεπικουφίσαι καὶ συνεγεῖραι, πόρρωθεν
ἀναδιδάσκων τὸ μὴ τοῖς ἀβουλήτοις τῶν ἐχθρανάντων ἐφήδεσθαι, βαρύ-
μηνι πάθος ἐπιχαιρεκακίαν εἰδώς, ἀδελφὸν ὁμοῦ καὶ ἀντίπαλον φθόνου,
συγγενὲς μὲν ὅτι ἐκ πάθους ἑκάτερον καὶ γένοιτ' ἂν ἄμφω περὶ τῶν
αὐτῶν προσερχόμενα καὶ μόνον οὐ κατακολουθοῦντα ἀλλήλοις, ἀντίπαλον
δὲ ὅτι ὁ μὲν ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λύπην, ἡ δὲ ἐπὶ τοῖς τοῦ
117 πλησίον κακοῖς ἡδονὴν ἀπεργάζεται. κἂν πλανώμενον μέντοι, φησίν,
ἐχθροῦ τινος | ἴδῃς ὑποζύγιον, τὰ τῆς διαφορᾶς παραλιπὼν ὑπεκκαύματα p. 395 M.
βαρυτέροις ἤθεσιν ἀπαγαγὼν ἀπόδος. οὐ γὰρ ἐκεῖνον μᾶλλον ὀνήσεις ἢ
σεαυτόν, ἐπειδὴ τῷ μὲν ἄλογον ζῷον καὶ οὐδενὸς ἴσως ἄξιον περιγίνεται,

1 tit. περὶ ὑποζυγίου καταπεσόντος add. S mg G^2 ἐφ' om. S ἐφ' ἑτέρων F ὡσὶ] ὡσεὶ G^2, ὡς S φιλικόοις S^1, corr. S^2 εἰς ἡμερότητα S: εἰς om. ceteri (v) 2 πιαισθέντα S, πιεσθέντα om. H 3 προπέσῃ — τοῖς (4) om. F προπέσῃ Wendl.: προσπέσῃ codd. (v) συνεπεγεῖραι S 4 τὸ δὲ μὴ A τῶν ἐχθρανάντων A: om. ceteri (Turn.); τῶν ἐχθρῶν conicio (cf. Clem. Al.), τῶν ἐχθαράντων coni. Wendl. 5 ἐπιχαιρεκακία S, τὴν ἐπιχαιρεκακίαν FP (Mang.), τὴν χαιρεκακίαν H^2 (Turn.) ἀδελφὸν ὁμοῦ καὶ S: om. ceteri (Turn.) 6 συγγενεσμένον (sic) G^2 ὅτι S: om. G^2, οὖν G^1, ὂν ceteri (Turn.) ἐκ πάθους] τὸ πάθος G^1 6. 7 περὶ τῶν αὐτῶν S: om. ceteri (v) 7 προσερχόμενον S, συνερχόμενα G^1; προσεχόμενα coni. Mang. μόνον οὐ κατακολουθοῦντα AG^{1}G^{2}H^{1}P: μονονοὺ κατακολουθοῦντας F, μονονοὺκ ἀντακολουθοῦντα CH^2 (v), μόνον συγκατακόλουθα S ἀλλήλοις SG^1: ἐκείνοις ceteri (Turn.) 8 ὁ μὲν SG^{1}H^2: ἡ μὲν ceteri λυπεῖν G^2 δ' S post ἡ δὲ add. χαρὰν H^2 (v) ἐπὶ S (Clem. Al.): om. ceteri (Turn.) 9 ἡδονὴν ἀπεργάζεται SAG^1: χαρὰν ἀπεργάζεται F, ἀπεργάζεται (om. ἡδονὴν) CG^2, κατεργάζεται HP (ἡδονὴν add. P^2) tit. περὶ πλανωμένου ὑποζυγίου add. S, περὶ ὑποζυγίου πλανωμένου mg G^2 10 ἴδοις F παραλιπὼν SD^K (Clem. Al.): καταλιπὼν ceteri (v) 11 βαρυτέροις ἤθεσιν ante τὰ (10) transp. D^K ἐκείνω S 11. 12 ὀνήσεις εἰς αὐτὸν G^2 12 σεαυτόν SD^K: σαυτόν ceteri τῷ] τὸ SF^{1}H^{1}D^K ζῷον ἄλογον transp. D^K ἴσως om. D^K

2 Exod. 23,5. Deut. 22,4. cf. *Ioseph. Ant. Iud. IV § 275.* 2 sqq. pergit *Clem. Alex. l. l. p. 476 P.* τί δέ; καὶ ἐχθρῶν ὑποζύγια ἀχθοφοροῦντα συνεπικουφίζειν καὶ συνεγείρειν προστάσσει, πόρρωθεν διδάσκων ἡμᾶς ὁ κύριος ἐπιχαιρεκακίαν μὴ ἀσπάζεσθαι μηδὲ ἐφήδεσθαι τοῖς ἐχθροῖς, ἵνα τούτοις ἐγγυμνασαμένους ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι διδάξῃ· οὔτε γὰρ φθονεῖν καὶ ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λυπεῖσθαι προσῆκεν οὔτε μὴν ἐπὶ τοῖς τοῦ πλησίον κακοῖς ἡδονὴν καρποῦσθαι. 9 Exod. 23,4. Deut. 22,1.
9—301,1 D^K fol. 73^r Φίλωνος ἐκ τοῦ περὶ τῶν ἀρετῶν: ἐὰν πλανώμενων μέντοι, ὁ νόμος φησίν, ἐχθροῦ τινος ἴδῃς ὑποζύγιον — καλοκἀγαθία. 9 sqq. pergit *Clem. Alex. l. l.* κἂν πλανώμενον μέντοι, φησίν, ἐχθροῦ τινος ὑποζύγιον εὕρῃς, τὰ τῆς διαφορᾶς παραλιπὼν ὑπεκκαύματα ἀπαγαγὼν ἀπόδος· τῇ γὰρ ἀμνηστίᾳ ἕπεται ἡ καλοκἀγαθία καὶ ταύτῃ ἡ τῆς ἔχθρας διάλυσις. ἐντεῦθεν εἰς ὁμόνοιαν καταρτιζόμεθα, ἡ δὲ εἰς εὐδαιμονίαν χειραγωγεῖ.

σοὶ δὲ τὸ μέγιστον καὶ τιμιώτατον τῶν ἐν τῇ φύσει, καλοκἀγαθία.
ἕπεται δὲ κατὰ τὸ ἀναγκαῖον ὥσπερ σκιὰ σώματι καὶ ⟨ταύτῃ⟩ τῆς ἔχθρας 118
διάλυσις· ὅ τε γὰρ εὖ πεπονθὼς ἄκων ἄγεται πρὸς τὸ ἔνσπονδον χάριτι
δουλωθείς, ὅ τε ὠφεληκὼς συμβούλῳ χρώμενος καλῇ πράξει σχεδὸν ἤδη
πρὸς καταλλαγὰς τὴν διάνοιαν τέτραπται. τοῦτο δὲ μάλιστα βούλεται 119
διὰ πάσης τῆς νομοθεσίας ὁ ἱερώτατος προφήτης κατασκευάζειν, ὁμόνοιαν,
κοινωνίαν, ὁμοφροσύνην, κρᾶσιν ἠθῶν, ἐξ ὧν οἰκίαι καὶ πόλεις ἔθνη τε
καὶ χῶραι καὶ τὸ σύμπαν ἀνθρώπων γένος εἰς τὴν ἀνωτάτω προέλθοιεν
εὐδαιμονίαν. ἀλλ' ἄχρι μὲν τοῦ παρόντος ταῦτ' εἰσὶν εὐχαί· γενήσεται 120
δέ, ὥς γε ἐμαυτὸν πείθω, καὶ ἔργα ἀψευδέστατα, τοῦ θεοῦ παρασχόντος
ὥσπερ ἐτησίους καρποὺς εὐφορίαν ἀρεταῖς, ὧν μὴ ἀμοιρήσαιμεν οἱ τὸν
πόθον αὐτῶν σχεδὸν ἀπὸ πρώτης ἡλικίας περιφέροντες.

(16.) Ἃ μὲν οὖν ἐπ' ἐλευθέροις ἔγνω, ταῦτα καὶ τὰ τούτοις 121
ἐστὶ παραπλήσια. συνῳδὰ δ' ὡς ἔοικε καὶ περὶ δούλων νομοθετεῖ,
πάλιν τῶν συντεινόντων εἰς ἡμερότητα καὶ φιλανθρωπίαν καὶ τούτοις
μεταδιδούς. θῆτας μὲν οὖν ἕνεκα χρείας τῶν ἀναγκαίων ὑποβεβληκότας 122
ἑαυτοὺς ἄλλων ὑπηρεσίαις οἴεται δεῖν ἀνάξιον μηδὲν ὑπομένειν τῆς

1 σοὶ] οἱ S τὸ] τὸν S τιμιώτατον] τελειότατον D^K ἐν S: ἐπὶ ceteri
2 ἕπεται S (Clem. Al.): ἕψεται G^1, διέξεισι C (Turn.), διέξειμι ceteri κατὰ om. H
σώματος FL^2 (Turn.) ταύτῃ addidi (cf. Clem. Al.) 3 διαλύσεις FHP
ἄγεται ἄκων transp. A 4 τε S: τ' ceteri συμβούλῳ SH^2: συμβόλῳ ceteri
(sed βουλευομένῳ F) πράξει om. in lac. G^1 5 τέτραπται S: τέταται CH^2
(Turn.), τέτακται ceteri τοῦτο] ταῦτα conicio βουλεύεται F
6 τῆς S: om. ceteri (v) ὁ om. G^2 8 ἀνθρώπων S: τῶν ἀνθρώπων ceteri (v)
προσέλθοιεν S 9 εὐχαί om. F 10 δ' S, δὲ καὶ F ὥς γε CG^1:
ὥστε S, ὥς γ' ceteri καὶ om. S ἀψευδεστατου (sic) θεοῦ S
11 ἐτησίους καρποὺς S: ἐτησίοις καρποῖς ceteri (v) ἀρεταῖς S: ἀρετῆς ceteri (v);
ἀρετῶν coni. Mang. ὧν] ὡς F μὴ ἀμοιρῆσαι μὲν A, μὴ ἀμοιρησάμενοι P,
μὴ μοιρησάμενοι G^2, οὐκ εὐμοιρησάμενοι C οἱ] ὅτι S, om. F (CG^2P)
τὸν om. Mang. 12 περιφέροντος G^2H^1P, περιφέρομεν C (Turn.) 13 ἐλευ-
θέροις SA: ἐλευθερίας ceteri (Turn.) ταῦτα om. G^2FHP, om. in lac. G^1
14 ἔστι S: om. ceteri (v) tit. περὶ δούλων add. S δὲ CAG^2
ἔοικεν CF περὶ S: τὰ A, τὰ περὶ ceteri (v); ἃ περὶ conicio 15 πάλιν τῶν S:
πάντων τῶν CH^2 (v), πάντων ceteri συνόντων in textu S, συντεινόντων mg S
pr. καὶ om. G^1 φιλανθρωπίας G^1 16 μεταδιδοὺς S: μεταδοὺς ceteri (v)
θῆτας CG^2: ὄντας S, τοὺς ceteri (v) οὖν om. F 17 αὑτοὺς S
ἀνάξιον μηδὲν SCG^2: μηδὲν ἀνάξιον (ἄξιον A) ceteri (v) τῆς] τοῖς S

16 sqq. Lev. 25,39. 40. Exod. 21,2. Deut. 15,12. 16 sqq. *Clem. Alex. l. l.* ἔτι τοὺς ⟨ἐπὶ⟩ τροφῇ δουλεύοντας ἀτιμάζεσθαι κωλύει, τοῖς τε ἐκ δανείων καταδουλωθεῖσιν ἐκεχειρίαν τὴν εἰς πᾶν δίδωσιν ἐνιαυτῷ ἑβδόμῳ.

ἐκ γένους ἐλευθερίας, παραινῶν τοῖς τυγχάνουσι τῆς διακονίας εἰς τὸ τῆς
τύχης ἀτέκμαρτον ἀφορᾶν καὶ λαμβάνειν αἰδῶ τῆς μεταβολῆς· τοὺς δ'
ἐξ ἐφημερινῶν δανείων χρεώστας τὸ τῆς προσβολῆς ὄνομα καὶ πάθος
ὑποδύντας ἢ καὶ τοὺς ἀνάγκῃ βιαστικωτέρᾳ γενομένους ἐξ ἐλευθέρων
δούλους οὐκ εἰς ἅπαν κακοπραγεῖν ἐᾷ διδοὺς ἐκεχειρίαν τούτοις τὴν
123 εἰς ἅπαν ἐνιαυτῷ ἑβδόμῳ. τοῖς μὲν γὰρ δανεισταῖς οὐ κομισαμένοις
τὸ χρέος ἢ τρόπον ἕτερον κτησαμένοις τοὺς πρότερον ἐλευθέρους
ἐξαρκεῖ, φησί, χρόνος εἰς ὑπηρεσίαν ἑξαετία· οἱ δὲ μὴ γένει δοῦλοι
χρηστῆς ἐλπίδος μὴ εἰς ἅπαν ἀμοιρείτωσαν, ἀλλ' ἴτωσαν ἐπὶ τὴν παλαιὰν
124 ἄδειαν, ἧς διὰ καιροὺς ἀβουλήτους ἐστέρηντο. κἂν ἐκ τριγονίας μέν,
| φησί, δοῦλος ἑτέρου φόβῳ δεσποτικῶν ἀπειλῶν ἢ συνειδήσει τινῶν p. 396 M.
ἁμαρτημάτων ἢ μηδὲν ἠδικηκώς, ἀμειλίκτῳ καὶ ὠμοθύμῳ χρώμενος
ἄλλως δεσπότῃ, πρὸς ⟨σὲ⟩ καταφύγῃ τευξόμενος ἐπικουρίας, μὴ περιίδῃς·
ἐκδιδόναι γὰρ ἱκέτας οὐχ ὅσιον, ἱκέτης δὲ καὶ ὁ δοῦλος ὥσπερ εἰς
ἱερὸν τὴν σὴν ἑστίαν καταπεφευγώς, ἐν ᾗ δίκαιόν ἐστιν ἀσυλίας τυγ-
χάνειν, μάλιστα μὲν εἰς ἀδόλους ἐλθὼν καταλλαγὰς τὰς χωρὶς ἐνέδρας,

1 ἐκ γένους S: εὐγενοῦς ceteri (v)   διακονίας] δουλείας A   2 τύχης] ψυχῆς S   3 ἐφημερίας S, ἡμερινῶν A   προσβολῆς SA: προβολῆς HP, περιβολῆς CG² (v), παραβολῆς F (prob. Mang.), δουλείας G¹   4 ἢ] εἰ S   βιαστικώτερον F   5 τούτοις τὴν S: om. ceteri (v)   6 εἰσάπαν ante ἐκκεχειρίαν (5) transp. A   οὐ om. F   κομισομένοις S   7 ἢ τρόπον S: ἢ τοῖς τρόπον G¹, πρὸ τῶν A, πρὸς τὸν ceteri (Turn.)   ἕτερον] πρότερον A   κτησαμένοις] χρησαμένων A   8 ἐξαρκεῖ codd.: ἀρκεῖ v   ἑξαετίας A, ἑξαετής G¹   οἱ δὲ μὴ γένει δοῦλοι S: οἵ τε μὴν δοῦλοι F, οἵ γε μὴν δοῦλοι ceteri (v)   9 χρηστῆς ἐλπίδος S: χρηστῆς CG², χρηστῶν ceteri (v)   εἰς ἅπαν μὴ transp. G¹   ἤτωσαν S (ἴτωσαν scripsi): ἰέτωσαν ceteri (v)   10 ἐστέρηντο SA: ἐστέρηνται ceteri (v)   κἂν] καὶ AHP, καὶ εἰ G¹   ἐκ τριγονίας om. in lac. G¹   τριγωνίας G², τριγενείας S   μέν om. C   11 δεσποτικῷ G²   12 ἢ add. SG¹: om. ceteri (Turn.)   καὶ ὠμοθύμῳ S: om. ceteri (Turn.)   13 ἄλλῳ S, ἀλλ' ὡς G²HP   πρὸς σὲ καταφύγῃ scripsi: προσκαταφύγῃ S, καταφυγῇ χρῆται ceteri (v)   τευξόμενος S: ὡς τευξόμενος CG² (v), προστευξόμενος ceteri   περιίδῃς S: περιίδητε ceteri (v)   14 ἐκδιδόναι S (Clem. Al.): προδιδόμεναι G², προδιδόναι ceteri (v)   οἰκέτας G¹G²HP   14. 15 ὥσπερ εἰς ἱερὰν G¹ (ἱερὸν recte coni. Mang.): ὥσπερ ὡς ἱερῷ S, ὥσπερ εἰς AFHP (v), ὥσπερ G², ὡς πρὸς C   15 τὴν σὴν ἑστίαν SCG¹G²: σὴν ἑστίαν AHP (Turn.), τὴν ἑστίαν F (Mang.)   δίκαιος coni. Wendl.   16 ἀδόλους] ἀλόγους S   ἐλθὼν καταλλαγὰς S: καταλλαγὰς ἐλθόντα ceteri (v)   τὰς S: om. ceteri (v)   χωρὶς ἐνέδρας om. G¹

10sqq. Deut. 23,15. 16.   14 pergit *Clem. Alex. l. l.* ἀλλὰ καὶ ἱκέτας ἐκδιδόναι εἰς κόλασιν κωλύει.

εἰ δὲ μή, τὸ γοῦν πανύστατον πραθείς· ἀλλαγαὶ γὰρ αἱ τῶν δεσποτῶν ἄδηλον ὅπου τὴν ῥοπὴν ἕξουσι, τοῦ δ᾽ ὁμολογουμένου κουφότερον τὸ ἄδηλον κακόν.

(17.) Ταῦτα μὲν οὖν περὶ οἰκείων καὶ ἀλλοτρίων καὶ φίλων καὶ 125
ἐχθρῶν καὶ δούλων καὶ ἐλευθέρων καὶ συνόλως ἀνθρώπων νομοθετεῖ. τὸ δὲ ἐπιεικὲς καὶ ἥμερον καὶ ἐπὶ τὴν τῶν ἀλόγων ζῴων φύσιν ἄγει μεταδιδοὺς καὶ τούτοις, ὥσπερ ἀπὸ πηγῆς εὐμενοῦς ἀρύσασθαί τινος χρηστοῦ. κελεύει γὰρ ἐν ταῖς ἡμέροις ἀγέλαις, κατά τε ποίμνας καὶ 126
αἰπόλια καὶ βουκόλια, τῆς παραχρῆμα τῶν γεννωμένων ἀπολαύσεως ἀπέχεσθαι, μήτε πρὸς ἐδωδὴν μήτε ἐπὶ προφάσει θυσιῶν λαμβάνοντας. ὠμῆς γὰρ ὑπέλαβεν εἶναι ψυχῆς, ἐφεδρεύειν ἀποκυϊσκομένοις εἰς ἀνυπέρθετον διάζευξιν ἐγγόνων τε αὖ καὶ μητέρων ἕνεκα γαστρὸς ἡδονῆς, μᾶλλον δὲ ἀηδίας ἐκτόπου τινὸς [ψυχῆς] καὶ παρηλλαγμένης. φησὶν 127
οὖν τῷ βιωσομένῳ κατὰ τὴν ἱερωτάτην αὐτοῦ πολιτείαν· „ὦ γενναῖε, πολλή τίς ἐστιν ἀφθονία σοι τῶν πρὸς ἀπόλαυσιν, οἷς μέμψις οὐ παρέπεται· συγγνωστὸν γὰρ ἂν ἦν ἴσως, ἐπειδὴ πολλὰ τῶν ἀβουλήτων

1 πανύστατον S: σπανιώτατον ceteri (Turn.) πραθείς] προσθείς F, πραθέντα G¹ ἀλλαγαὶ γὰρ αἱ τῶν S: ἀλλά τε γὰρ τὸ A, ἀλλάττεται· τὸ γὰρ C, ἀλλάττεται γὰρ τὸ ceteri (Turn.) 2 ὅπου] ὃν ὅπη G¹ ῥοπὴν] ῥωὴν G² ἕξουσιν S ὡμολογημένου HP 4 tit. διὰ τί προστάσσει τὰ γεννήματα τῶν ζώων μὴ θύειν πρὸ ς′ ἡμερῶν add. S καὶ ante φίλων om. CG² 5 καὶ ante δούλων om. C, καὶ δούλων om. S 6 δ᾽ A ἀλόγων] ἄλλων G² ζώων SCG²: om. ceteri (v) φύσιν ἄγει SG¹: τείνει φύσιν ἀεὶ F (Mang.), φύσιν ἀεὶ ceteri (Turn.); φύσιν ἀποτείνει coni. Wendl. 7 μεταδιδοὺς] μετὰ αἰδοῦς G² ὥσπερ] ὡς καθάπερ conicio εὐμενοῦς] ἀενναοῦς (ἀενάου?) coni. Mang. 7. 8 τι χρηστόν G¹ 8 ἐν ταῖς SFG¹: ἔν τε ceteri (Turn.) ἡμέραις HP τὰς ποίμνας S 9 αἰπόλια SFG¹H²: ἐπαύλεις C, ἐπαύλια ceteri τῶν om. A 10 μήτε . . . μήτε] μηδ᾽ . . . μηδ᾽ S πρὸς] εἰς S ἐπὶ προφάσει S (Clem. Al.): ἐπὶ om. ceteri (v) 11 εἰς S: om. ceteri (v) 12 αὖ om. G¹HP 13 δ᾽ A ἀηδίας S: om. in lac. G¹, ἀίδιον F, ἀιδίου ceteri (Turn.) ἐκτόπου τινὸς ψυχῆς S: ψυχῆς ἐκτόπου τινὸς ceteri ψυχῆς seclusit Mang. παρηλλαγμένην G², παρηλλαγμένου F 14 τῷ βιασαμένῳ AFHP 15 σοι τῶν CG¹G²: σίτων S, τῶν (om. σοι) AFHP 15. 16 οἷς μέμψις οὐ παρέπεται om. S 16 ἂν om. G² ἦν om. F

8 Exod. 22,30. Lev. 22,27. cf. *Ioseph. Ant. Iud. III § 236* κωλύει δὲ ὁ νόμος θύειν ζῷον αὐθημερὸν μετὰ τοῦ γεγεννηκότος ἐπὶ ταὐτό, οὐδ᾽ ἄλλως δὲ πρὶν ὀγδόην ἡμέραν γεννηθέντι διελθεῖν. 8 sqq. *Clem. Alex. l. l. p. 477 P.* ἐμοὶ δὲ δοκεῖ καὶ Πυθαγόρας τὸ ἥμερον τὸ περὶ τὰ ἄλογα ζῷα παρὰ τοῦ νόμου εἰληφέναι. αὐτίκα τῶν γεννωμένων κατά τε τὰς ποίμνας κατά τε τὰ αἰπόλια καὶ βουκόλια τῆς παραχρῆμα ἀπολαύσεως ⟨ἀπέχεσθαι⟩, μηδὲ ἐπὶ προφάσει θυσιῶν ⟨λαμβάνοντας⟩, διηγόρευσεν, ἐκγόνων τε ἕνεκα καὶ μητέρων, εἰς ἡμερότητα τὸν ἄνθρωπον κάτωθεν ἀπὸ τῶν ἀλόγων ζῴων ἀνατρέφων.

ἡ ἀπορία καὶ σπάνις δρᾶν ἀναγκάζει. σὺ δὲ καὶ διαφέρειν εἰς ἐγκρά-
τειαν καὶ τὰς ἄλλας ἀρετὰς ὀφείλεις τὴν καλλίστην τεταγμένος τάξιν,
ὑπὸ ταξιάρχῃ τῷ τῆς φύσεως ὀρθῷ λόγῳ, δι' ὃν ἡμερῶσθαί σε δεῖ
128 μηδὲν σκαιὸν τῇ διανοίᾳ παραδεχόμενον. τί δ' ἂν εἴη σκαιότερον ἢ ταῖς
περὶ τὴν ἀποκύησιν ὠδῖσιν ἐπιφέρειν ἔξωθεν ἑτέρας ἐκ τῆς παραχρῆμα
τῶν γεννωμένων διαζεύξεως; ἀνάγκη γὰρ σφαδάζειν ἀποσπωμένων, διά
τινα φυσικὴν μητέρων πρὸς ἔγγονα φιλοστοργίαν, καὶ μάλιστα ὑπὸ τὸν
τῆς κυήσεως καιρόν, ἐπειδὴ πηγάζοντες οἱ μαστοὶ σπάνει τοῦ θηλάζοντος,
ἀνακοπὴν τῆς ἐπιρροίας λαμβανούσης, σκιρροῦνταί τε καὶ κατατεινόμενοι
129 τῷ βάρει παγέντος εἴσω τοῦ γάλακτος ἀλγηδόσι πιέζονται. χάρισαι
δή, φησί, τῇ μητρὶ τὸ ἔγγονον, εἰ καὶ μὴ τὸν σύμπαντα χρόνον, | ἑπτὰ p. 397 M
γοῦν τὰς πρώτας ἡμέρας γαλακτοτροφῆσαι, καὶ μὴ ἀνωφελεῖς ἃς ἡ
φύσις ὤμβρησε πηγὰς ἐν μαστοῖς ἐργάσῃ. τὰς δευτέρας αὐτῆς χάριτας
ἀνελών, ἃς ἐκ πολλοῦ τοῦ προμηθοῦς ἡτοιμάσατο τἀκόλουθον μακρόθεν
130 αἰωνίῳ καὶ τελείᾳ φρονήσει κατιδοῦσα — προτέρα μὲν γὰρ δωρεὰ γένεσις,

1 ἡ ἀπορία S: ἡ om. ceteri (v) alt. καὶ om. FG^{1}H^{1}P 2 τὰς ἄλλας S: om. ceteri (v) 3 ὑπὸ ταξιάρχῃ—δεῖ S: om. ceteri (Turn.) δι' ὃν scripsi: δι' ὧν S; δι' ὃ coni. Mang. 4 μηδὲν S: καὶ μηδὲ A, καὶ μηδὲν ceteri (Turn.) παραδεχόμενον S: παραδέχεσθαι ceteri (Turn.) τί δ' ἂν εἴη σκαιότερον ἢ S: om. ceteri (Turn.); τί δ' ἂν (cet. om.) Mang. ταῖς S: καὶ ταῖς G^1, ἐν ταῖς ceteri (Turn.) 5 ὠδῖσι περιφέρειν H ἑτέροις F, ἑτέρας om. S ἐκ τῆς om. F 6 ἀποσπωμένων S: ἀποσπώμενον ceteri (Turn.) 7 ἔγγονα SCG^2: ἔγγονον ceteri (Turn.) μάλιστ' (sic) S 7. 8 ὑπὸ τῶν . . . καιρῶν S, τῶν etiam F 8 κτήσεως C^1, κυήσεως corr. C^2 μασθοὶ AF θηλάσοντος S 9 ἐπιρροῆς S σκιρροῦνται A, σκιροῦνται P, σκηροῦνται S: στεροῦνται F^1, στενοῦνται F^2, στειροῦνται CG^{1}G^{2}H (v) καὶ SCG^2: om. ceteri (v) κατακτεινόμενοι A 10 παγέντος εἴσω scripsi (cf. lin. 13): παγέντοσ ηλω S, om. ceteri (v) ἀλγηδόσι SCG^2: καὶ ἀλγηδόσι ceteri (v) πιεζοῦνται G^2 10. 11 χάρισαι δεῖ S (χ. δή scripsi): χάρισαι ceteri (v) 11 τῇ μητρὶ om. S εἰ—χρόνον om. S εἰ καὶ] καὶ εἰ F 12 γαλακτοτροφηθῆναι S (Mang.) 13 ὤμβρισε S πηγὰς S: πηγὰς τοῦ γάλακτος C (v), πηγὰς τὰς τοῦ γάλακτος G^1, πηγὰς τὰς ἐντὸς εἴσω τοῦ γάλακτος ceteri (et mg C^2), unde πηγὰς παγέντος εἴσω τοῦ γάλακτος sagaciter coni. Mang. (v. supra l. 10) μασθοῖς A αὐτῆς φύσεις S (αὐτῆς χάριτας scripsi): χάριτας αὐτῆς ceteri (v) 14 ἑτοιμάσας (α supra) τὸ (sic) G^2, ἑτοιμάσασα FHP^1 τἀκόλουθον] τό τ' ἀκόλουθον AFHP 15 αἰωνία CG^1 (v) τελείω FG^2 καταδιδοῦσα AP^2 πρότερον F^1 δωρεὰν in textu H, δωρεὰ mg H γένεσις S: γέννησις ceteri (v)

10 pergit *Clem. Alex. l. l.* χάρισαι γοῦν, φησί, τῇ μητρὶ τὸ ἔκγονον κἂν ἑπτὰ τὰς πρώτας ἡμέρας· εἰ γὰρ μηδὲν ἀναιτίως γίνεται, γάλα δὲ ἐπομβρεῖται ταῖς τετοκυίαις εἰς διατροφὴν τῶν ἐκγόνων, ὁ ἀποσπῶν τῆς τοῦ γάλακτος οἰκονομίας τὸ τεχθὲν ἀτιμάζει τὴν φύσιν.

δι᾽ ἧς τὸ μὴ ὂν ἄγεται πρὸς τὸ εἶναι, δευτέρα δὲ γάλακτος ἐπίρροια,
τροφὴ καιρίως μαλακωτάτη, πᾶν ἁπαλόνυχον ἄρδουσα, ὃ ποτόν ἐστιν
ὁμοῦ καὶ σιτίον· ὅσον μὲν γὰρ ὑδατῶδες τοῦ γάλακτος, ποτόν, ὅσον
δ᾽ ὑποπαχύνεται, σιτίον — προνοίᾳ τοῦ μὴ κακοπαθεῖν τὸ ἀρτίγονον,
ἐφεδρευούσης ἀεὶ χρόνοις διαφέρουσιν ἐνδείας, ἀλλ᾽ ὑπὸ μίαν καὶ τὴν
αὐτὴν προσφορὰν ἑκατέρας τροφῆς ἤδη τὰς πικρὰς δεσποίνας, δίψαν τε
καὶ πεῖναν, ἐκφεύγειν.“ τοῦτον ἀναγνόντες τὸν νόμον, οἱ χρηστοὶ καὶ 131
περιμάχητοι γονεῖς, ἐγκαλύψασθε, οἱ ἐπὶ τοῖς βρέφεσιν ἀεὶ φονῶντες,
οἱ κακὴν ἐφεδρεύοντες ἐφεδρείαν τοῖς ἀποκυομένοις εἰς ἔκθεσιν, οἱ τοῦ
σύμπαντος ἀνθρώπων γένους ἄσπονδοι πολέμιοι. τίνι γὰρ δι᾽ εὐνοίας 132
ἀφίξεσθε, γενόμενοι τῶν ἰδίων τέκνων αὐτόχειρες; οἱ τὰς πόλεις τό γ᾽ ἐφ᾽
ὑμῖν ἧκον μέρος ἐρημοῦντες, ἀπὸ τῶν ἐγγυτάτω γένους ἀρξάμενοι τῆς
ἀπωλείας, οἱ τοὺς τῆς φύσεως θεσμοὺς ἀνατρέποντες καὶ ὅσα ἂν οἰκο-

1 ἄγεται post εἶναι transp. CG^2 πρὸς S: εἰς ceteri (v) ἐπίρρυα S 2 τροφὴ καιρίοις (καιρίως Mang.) μαλακωτάτη, πᾶν ἁπαλόνυχον ἄρδουσα S: τροφὴν καιροῖς μαλακωτάτην ἐν ἁπαλοῖς μέλεσι δοῦσα AP^2 (prob. Mang.), τροφὴ καιροῖς (καιροῖς om. in lac. G^1) μαλακωτάτη ἐν ἁπαλῷ, μία δ᾽ οὖσα ceteri (v) ὃ A: om. ceteri (v) 3 ὅσον μὲν γὰρ S: ἔστι γὰρ ὅσον μὲν ceteri (v) τοῦ γαλακτώδους AFHP 4 δ᾽] θ᾽ F ὑποπαχύνεσθαι AFP τὸ ἀντίγονον A 5 ἐφεδρεῦσαν F ἀεὶ S: om. ceteri (v) ἐνδείας om. CG^2 6 προφορὰν $F^1G^1HP^1$, τροφὸν AP^2 ἑκατέρας τροφῆς ἤδη S: ἑκατέρων ἀνατροφῆς ἤδη AFH^1P, ἑκατέρων ἀνατροφῆς εἴδει CG^2, ἑκατέρων ἑνὶ τροφῆς εἴδει G^1, ἑκατέρου τοῦ τῆς τροφῆς εἴδους H^2 (v) τῆς πικρᾶς δεσποίνης A τε om. A 7 ἐκφεύγειν AG^1P^1: ἐκφεύγει FHP^1, ἐκφεύγῃ CG^2 (Turn.), ἐκφύγῃ S ἀναγνῶντες SF^1 οἱ] ὦ conicio 8 φονῶντες S: μονοῦντες G^1, πονοῦντες ceteri (Turn.) 9 ἀποκυομένοις AP^2: ἀποκυουμένοις ceteri (Turn.) εἰς S: om. ceteri (Turn.) 10 γὰρ ἂν G^1 11 ἀφίξεσθε S: γένοισθε CG^1, ἐγένεσθε ceteri (v) γινόμενοι G^1, γενόμενοι post αὐτόχειρες transp. S ἰδίων] οἰκείων F οἱ — ἀπωλείας (13) om. F γ᾽] τ᾽ S 11. 12 ἐφ᾽ ὑμῖν G^1: ἐφ᾽ ἑαυτοῖς S (Mang.), ἐπ᾽ αὐτοῖς ceteri (Turn.) 12 μέρος ἧκον transp. CG^2 ἐγγυτάτων A 13 ὅσα ἂν Mang.: ὡσ ἂν (sed ω corr. ex ο) S, ὅσα ἐν ceteri (Turn.)

7 sqq. pergit *Clem. Alex. l. l.* δυσωπείσθωσαν οὖν Ἕλληνες καὶ εἴ τις ἕτερός ἐστι τοῦ νόμου κατατρέχων, εἰ ὁ μὲν καὶ ἐπ᾽ ἀλόγων ζῴων χρηστεύεται, οἱ δὲ καὶ τὰ τῶν ἀνθρώπων ἐκτιθέασιν ἔγγονα, καίτοι μακρόθεν καὶ προφητικῶς (προνοητικῶς coni. Mang.) ἀνακόπτοντος αὐτῶν τὴν ἀγριότητα τοῦ νόμου διὰ τῆς προειρημένης ἐντολῆς· εἰ γὰρ τῶν ἀλόγων τὰ ἔκγονα διαζεύγνυσθαι τῆς τεκούσης πρὸ τῆς γαλακτουχίας ἀπαγορεύει, πολὺ πλέον ἐπ᾽ ἀνθρώπων τὴν ὠμὴν καὶ ἀτιθάσευτον προθεραπεύει γνώμην, ἵν᾽ εἰ καὶ τῆς φύσεως, μαθήσεως γοῦν μὴ καταφρονῶσιν. ἐρίφων μὲν γὰρ καὶ ἀρνῶν ἐμφορεῖσθαι ἐπιτέτραπται, καί τις ἴσως ἀπολογία τῷ διαζεύξαντι τῆς τεκούσης τὸ ἔκγονον, ἡ δὲ τοῦ παιδίου ἔκθεσις τίνα τὴν αἰτίαν ἔχει; ἐχρῆν γὰρ μηδὲ τὴν ἀρχὴν γῆμαι τῷ μηδὲ παιδοποιεῖσθαι γλιχομένῳ ἢ δι᾽ ἡδονῆς ἀκρασίαν παιδοκτόνον γεγονέναι.

δομῇ καθαιροῦντες, δι' ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς ὠμότητα γενέσει
133 φθορὰν καὶ ζωῇ θάνατον ἐπιτειχίζοντες. ἢ οὐχ ὁρᾶτε, ὅτι τῷ πάντα ἀρίστῳ νομοθέτῃ δι' ἐπιμελείας ἐγένετο μηδὲ τῶν ἀλόγων τὰ ἔγγονα διαζευχθῆναι τῆς τεκούσης, ἄχρις ἂν γαλακτοτροφηθῇ; τὸ πλέον, ὦ γενναῖοι, δι' ὑμᾶς, ἵν', εἰ καὶ μὴ τῇ φύσει, μαθήσει γοῦν ἀναδιδάσκησθε τὸ φιλοίκειον, εἰς ἄρνας καὶ ἐρίφους ἀποβλέποντες, οἳ ἐν ἀφθόνοις χορηγίαις τῶν ἀναγκαίων τρυφᾶν οὐ κεκώλυνται, τῆς φύσεως μὲν τοιαῦτα παρασκευασαμένης ἐν ἐπιτηδειοτάτοις χωρίοις, ἐξ ὧν εὐμαρεῖς τοῖς δεησομένοις αἱ ἀπολαύσεις γενήσονται, νομοθέτου δὲ μετὰ πολλῆς προμηθείας ἐφορῶντος, ἵνα μηδεὶς ἐμποδίζῃ τὰς εὐεργέτιδας καὶ σωτηρίους τοῦ θεοῦ δωρεάς.

134 (18.) Βουλόμενος δὲ πολυτρόποις ἰδέαις τὰ ἡμερότητος καὶ ἐπιεικείας σπέρματα ταῖς διανοίαις ἐγκατασπείρειν ἄλλο τίθησι διάταγμα συγγενὲς τοῖς προτέροις, ἀπαγορεύων ἡμέρᾳ τῇ αὐτῇ | συγκαταθύειν p. 398 μητέρα καὶ ἔγγονον· καὶ γὰρ εἰ θυτέον, ἀλλ' οὖν ἐν χρόνοις γε διαφέρουσιν· ὑπερβολὴ γὰρ ἀγριότητος τὴν αἰτίαν τῆς γενέσεως μετὰ

1 δι' ἀνημέρου καὶ ἀττιθάσου ψυχῆς ὠμότητα S: οἱ ἀνήμεροι καὶ ἀτίθασοι (-σσοι AFH) ψυχῆς ὠμότητι ceteri (v) 1. 2 γενέσει φθορὰν S: γεννητικῇ φθορᾶς F, γενηταὶ φθορᾶς ceteri (Turn.) 2 καὶ S: om. ceteri (Turn.) ζωὴν θανάτῳ G^1 ὁρᾶται G^1 ὅτι om. A πάντ' A, πάντων HP (Turn.) 3 μηδὲν S 4 ἄχρι C^1G^2 πλέον] πλεῖστον A 5 εἰ καὶ μὴ S: εἰ μὴ καὶ ceteri (Turn.) τῇ om. S ἀναδιδάσκεσθαι A 6 ἐρήφους S ἀφθονίαις G^2 7 τῆς φύσεως F mg H, φύσεως AG^1P: ὡς CG^2H, ἄλλως S 7. 8 τοιαῦτα S: αὐτὰ ceteri (αὐτὰς v) 8 παρασκευασαμένοις CG^2H, παρεσκευασμένους S 9 δεηθησομένοις S, δεομένοις CG^2 δὲ] δ' εἰ S 10 προμηθείας G^1: προνοίας C, ἀκριβείας S, προθυμίας ceteri (v) 12 titulum tamquam novi opusculi h. l. add. S: Φίλωνος περὶ γ' ἀρετῶν· περὶ ἡμερότητος καὶ ἐπιεικείας· περὶ τοῦ μὴ δεῖν ἐν ἡμέρα τῇ αὐτῇ θύειν μητέρα καὶ ἔγγονον· διὰ τί ἔγκυον ζῶον προστάσσει μὴ θύεσθαι, tit. περὶ τοῦ μὴ δεῖν ἡμέρα τῇ αὐτῇ θύειν μητέρα καὶ ἔγγονον add. mg G^2 πολυτρόποις ἰδέαις post σπέρματα (13) transp. HP (v) εἰδέαις S ἡμερότατα F^1, ἡμερώτατα F^2 13 ἐγκατασπεῖραι (sic) ταῖς διανοίαις transp. HP (v) 14 προτέροις ἀπαγορεύων ἡμέρα τῇ αὐτῇ S (Clem. Al.): ἀπαγορεύων—αὐτῇ om. G^1, προτέροις—αὐτῇ om. ceteri (Turn.) συγκαταθύειν S (Clem. Al.): μὴ καταθύειν ἅμα G^1, καταθύειν ceteri (Turn.) post καταθύειν add. τολμῶσι AP^2 15 post ἔγγονον add. ἐθέλουσι FL (Turn.) θυτέον S: θυτὸν ceteri (Turn.) ἐν χρόνοις γε S: γε ἐν χρόνοις ceteri (v) 16 γενέσεως S: γενήσεως A, γεννήσεως ceteri (v)

14 Lev. 22,28. cf. *Ioseph. Ant. Iud. III* § *236* (supra p. 303,8). 14 pergit *Clem. Alex. l. l. p. 478 P.* πάλιν αὖ ὁ χρηστὸς νόμος ἀπαγορεύει ἡμέρᾳ τῇ αὐτῇ συγκαταθύειν ἔκγονον καὶ μητέρα.

τοῦ ζῳογονηθέντος ἡμέρᾳ μιᾷ κτείνειν. καὶ τοῦτο τοῦ χάριν; ἢ 135
γὰρ ἐπὶ προφάσει θυσιῶν ἢ διὰ γαστρὸς ἀπόλαυσιν· εἰ μὲν οὖν ἕνεκα
θυσιῶν, ἐπέψευσται καὶ τοὔνομα· τὰ γὰρ τοιαῦτα σφάγια, οὐ θυσία.
τίς δὲ δὴ καὶ θεοῦ βωμὸς οὕτως ἀνίερα ἱερεῖα προσδέξεται; ποῖον δὲ
πῦρ οὐκ ἂν δίχα τμηθὲν ἐξ ἑαυτοῦ διασταίη φεῦγον τὴν ἐξ ἀμίκτου
πράγματος ἕνωσιν; οἶμαι ἂν αὐτὸ μηδὲ πρὸς βραχύτατον ὑπομεῖναι χρόνον,
ἀλλ' αὐτίκα σβεσθῆναι προνοίᾳ τινὶ τοῦ μὴ τὸν ἀέρα καὶ τὴν ἱερωτάτην
πνεύματος φύσιν ὑπὸ τῆς αἱρομένης φλογὸς μιαίνεσθαι. εἰ δὲ μὴ 136
θυσιῶν χάριν ἀλλὰ θοίνης, τίς οὐκ ἂν τῆς ὑπερφυοῦς γαστριμαργίας
ὀρέξεις προβάλλοιτο καινὰς καὶ παρηλλαγμένας; ἐκτόπους μὲν γὰρ
ἡδονὰς οἱ τοιοῦτοι μεταδιώκουσι. τίς δὲ ἡδονὴ κρεωφαγοῦσι, γεύ-
σασθαι σαρκῶν ἐν ταὐτῷ μητέρων καὶ ἐγγόνων; ὧν εἰ τὰ μέλη
τις ἀναμῖξαι θελήσειεν ἀναπείρων ὀβελοῖς, ἵν' ὀπτῶν ἐμφορήσαιτο, οὐκ
ἄν μοι δοκεῖ διατελεῖν ἥσυχα, ῥήξειν δὲ φωνὴν σχετλιάσαντα δι' ὑπερ-
βολὴν τοῦ καινουργηθέντος πάθους καὶ μυρία λοιδορήσεσθαι τῆς
λαιμαργίας τοῖς εὐτρεπίζουσιν ἄσιτον εὐωχίαν. ἀλλ' ὅ γε νόμος ἔξω 137

1 ζῳογονηθέντος S: ζώου γεννηθέντος CG², γεννηθέντος ζώου ceteri (v) κτείνει S τοῦτο om. S 3 ἐπέψευσται SCG²: ἔψευσται ceteri (Turn.) τὰ om. S καὶ οὐ S 4 δὴ] δεῖ S, om. A βωμὸς om. in lac. G¹ προσδέξηται S (-εται scripsi): παραδέξαιτο ceteri (v) ποῖον S: τὸ ceteri (v) 5 οὐκ ἂν] κἂν S διατμηθὲν P αυτοῦ S φεύγων G² 6 αὐτὸ] το S χρόνον ὑπομεῖναι transp. HP (v) ἀπομεῖναι F 7 ἀλλ' αὐτίκα S: αὐτίκα δὲ ceteri (v) προνοίᾳ τινὶ S: τινὶ om. ceteri (v) 8 αἱρομένης S: καιομένης ceteri (v) 9 θοίνης] τροφῆς S τίς] τί S ὑπερφυᾶς C 10 ὀρέξεις G¹: *αἰτιάσεις* A (ἑστιάσεις coni. Mang.), om. ceteri (v) προβάλοιτο C κενὰς L (Turn.), καινὰς γὰρ S ἐκτοπίους μὲν ἂν ἐκθύσαιτό τις ἡδονὰς S 11 οἱ τοιοῦτοι S: οἱ δ' οἱ τοιοῦτοι G², οἱ δὴ τοιοῦτοι ceteri (v) μεταδιώκουσι] διώκουσι F, μέντοι ἀδικοῦσι S κρεοφαγοῦσιν S, κρεηφαγοῦσι C 12 ἐν ταὐτῷ S: ἔκ τε ceteri (Turn.) μητέρων SC: τῶν μητέρων ceteri (v) τῶν ἐγγόνων G¹ ὧν S: om. ceteri (Turn.) 13 ἀναμίξας S θελήσειεν ἀναπείρων ὀβελοῖς om. S θελήσειεν CG²: θελήσει ceteri καὶ ἀναπείρων G¹ ὀβελοῖς, ἵν' scripsi: ὀβελοῖσιν CG²FHP, ὀβελοῖσι καὶ A, ὀβελίσκοις G¹ ἐμφορήσαιτο S: ἐμφορήσασθαι ceteri (v) 14 δοκεῖν S, δοκῆ (sed ῆ ex εῖ corr.) AF διατελέσειν SCG² (v) ἥσυχα CG¹: ἡσυχῆ S, ἥσυχον ceteri ῥήξει A δὲ] τὲ S σχετλιάσαντα SCG¹: σχετλιάσαν FH², σχετλιάσας AG²H¹P (Turn.) 15 λοιδορήσεσθαι S: λοιδορήσασθαι ceteri 16 ἄσιτον S: ἄδεκτον F, ἄλεκτον ceteri (v) tit. διὰ τί ἔγκυον ζῶον προστάσσει μὴ θύεσθαι add. S, περὶ τοῦ μὴ θύειν τὰ ἔγκυα ζῶα mg G² ὅ γε νόμος] ὁ γενόμενος SG²

16 sqq. *Clem. Alex. l. l.* ἄντικρυς γοῦν καὶ ὅσα τῶν ζῴων κυοφορεῖ ὁ νόμος οὐκ ἐπιτρέπει ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, μακρόθεν ἐπισχὼν τὴν εὐχέρειαν τῶν εἰς ἄνθρωπον ἀδικούντων.

τῶν περιρραντηρίων ἐλαύνει καὶ ὅσα τῶν ζῴων κυοφορεῖ. μὴ ἐπιτρέπων ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, τὰ κατὰ γαστρὸς ἐν ἴσῳ τοῖς ἀποκυηθεῖσιν ἤδη λογισάμενος, οὐκ ἐπειδὴ τὴν ἴσην ἔλαχε τάξιν ἃ μηδ' εἰς φῶς πω προῆλθεν, ἀλλ' ὑπὲρ τοῦ μακρόθεν ἐπισχεῖν τὴν εὐχέρειαν

138 τῶν εἰωθότων πάντα φύρειν. εἰ γὰρ τὰ φυτῶν τρόπον ἔτι παραυξανόμενα καὶ μέρη νομιζόμενα τῶν κυόντων, νυνὶ μὲν ἡνωμένα, μηνῶν δὲ περιόδοις αὖθις ἀποσπασθησόμενα τῆς συμφυΐας, διὰ τὴν ἐλπίδα τοῦ γενήσεσθαι ζῷα φυλάττεται τῷ περὶ τὰς μητέρας ἀνεπιβουλεύτῳ, χάριν τοῦ μὴ τὸ λεχθὲν μίασμα συμβῆναι, πῶς οὐχὶ μᾶλλον τὰ ἀποτεχθέντα καὶ καθ' αὑτὰ ψυχῆς καὶ σώματος περιγραφέντα; πάντων γὰρ ἀνοσιώτατον ἐνὶ καιρῷ καὶ ἡμέρᾳ μιᾷ ἔγγονον ὁμοῦ καὶ μητέρα κτείνειν.

139 ἐνθένδε μοι δοκοῦσιν ὁρμηθέντες ἔνιοι τῶν νομοθετῶν τὸν ἐπὶ ταῖς κατακρίτοις γυναιξὶν εἰσηγήσασθαι νόμον, ὃς κελεύει τὰς ἐγκύους, ἐὰν ἄξια θανάτου δράσωσιν, φυλάττεσθαι μέχρις ἂν ἀποτέκωσιν, ἵνα μὴ

1 pr. τῶν S: om. ceteri (v) θυσιῶν καὶ περιρραντηρίων A ἐλαύνειν F 2 ἀποτέκοι H 3 ἤδη S: om. ceteri (v) ἔλαχε τάξιν S: ἔλαχεν ἀξίαν ceteri (v) ἃ] ἂν S 4 πως S (πω scripsi): om. ceteri (v) προῆλθεν S: πρότερον ἦλθεν ceteri (v) 5 φύρειν] φέρειν A 5. 6 ἔτι παραυξόμενα S (ἔτι παραυξανόμενα scripsi): ἐμπεριαυξανόμενα ceteri (v); ἔτι περιεχόμενα coni. Mang. 6 μέρη S: μὴ ceteri (Turn.) κυόντων SCG^2: κυούντων ceteri (v) νῦν εἰ S (νυνὶ scripsi): νῦν ceteri (v) μὲν om. G^2 8 τοῦ ... ἀνεπιβουλεύτου S, τῷ ... εὐεπιβουλεύτῳ A χάριν S: om. ceteri (v) 10 καθαυτὰ S: κατ' αὐτὰ CG^2 (Turn.), κατὰ ταὐτὰ F, κατὰ ταῦτα AG^1HP τῆς ψυχῆς CG^2 11 ἐνὶ καιρῷ] ἐν καιρῷ C^1G^2, ἡλίῳ ενι S 12 ἔνθεν δέ S (ἐνθένδε recte Mang., cf. Clem. Al.): συνιέ[illegible]ναι F, συνιεῖν δὲ ceteri (Turn.) post νομοθετῶν add. ἐντεῦθεν G^1 τὸν] καὶ τὸν FL^2 (v), τὸν corr. ex τῶν S 13 εἰσηγεῖσθαι S ἐγγύους AP^2, ἐγγυούσας HP^1 ἐὰν S: om. C, κἂν A (Mang.), ἂν ceteri (Turn.) 14 δράσωσιν S: δρώσας C, δρῶσιν ceteri (v) φυλάττεσθαι S: om. $G^2H^1P^1$, μὴ ἀναιρεῖσθαι C, μὴ ἀποκτείνεσθαι AP^2, μὴ θανεῖν mg H^2 (v), μὴ ἀποθνήσκειν (post ἐγκύους l. 13) G^1, μὴ κτείνειν (post ἐγκύους) F

12 cf. Diodor. I 77,9 (de Aegyptiis) τῶν δὲ γυναικῶν τῶν καταδικασθεισῶν θανάτου τὰς ἐγκύους μὴ θανατοῦσθαι, πρὶν ἂν τέκωσι. καὶ τοῦτο τὸ νόμιμον πολλοὶ καὶ τῶν Ἑλλήνων κατέδειξαν. ἡγούμενοι π[illegible] ἀδικῆσαν τῷ ἀδικήσαντι τῆς αὐτῆς μετέχειν τιμωρίας. Plut. de sera num. vind. 7 p. 552[d] τὸν δ' ἐν Αἰγύπτῳ νόμον ἆρ' οὐκ εἰκότως ὑμῖν ἀπογράψασθαι δοκοῦσιν ἔνιοι τῶν Ἑλλήνων, ὃς κελεύει τὴν ἔγκυον, ἂν ἁλῷ θανάτου, μέχρι τέκῃ φυλάττειν; Ael. Var. Hist. V 18 ἡ ἐξ Ἀρείου πάγου βουλή, ἐπεί τινα φαρμακίδα συνέλαβον καὶ ἔμελλον θανατώσειν, οὐ πρότερον αὐτὴν ἀπέκτεινεν, πρὶν ἢ ἀπεκύησεν. 12 sqq. pergit *Clem. Alex. l. l.* (post verba ad p. 306,14 adnot.): ἐντεῦθεν καὶ Ῥωμαῖοι, εἰ καί τις ἔγκυος καταδικασθείη τὴν ἐπὶ θανάτῳ, οὐ πρότερον ἐῶσιν ὑποσχεῖν τὴν τιμωρίαν πρὶν ἢ ἐκτεκεῖν.

ἀναιρουμένων συναπόληται τὸ κατὰ γαστρός. ἀλλ' οὗτοι μὲν ἐπ' 140
399 M. ἀνθρώπων | ταῦτα ἔγνωσαν· ὁ δὲ καὶ προσυπερβάλλων ἔτι ἄχρι καὶ τῶν ἀλόγων ζῴων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵν' ἐν τοῖς ἀνομοιογενέσιν ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ χρώμεθα φιλανθρωπίας ⟨ἐν τοῖς ὁμογενέσι⟩, τοῦ μὲν λυπεῖν καὶ ἀντιλυπεῖν ἀλλήλους ἀπεχόμενοι, τὰ δ' οἰκεῖα ἀγαθὰ μὴ θησαυροφυλακοῦντες, ἀλλ' εἰς μέσον προφέροντες καθάπερ συγγενέσι καὶ ἐκ φύσεως ἀδελφοῖς τοῖς πανταχοῦ πᾶσιν. ἔτι 141
τοίνυν τὸ μὲν ἔθνος ἐπὶ μισανθρωπίᾳ διαβαλλέτωσαν, τοὺς δὲ νόμους ὡς ἄμικτα καὶ ἀκοινώνητα παραγγέλλοντας αἰτιάσθωσαν οἱ δεινοὶ συκοφάνται, φανερῶς οὕτως τῶν μὲν νόμων ἐλέου μεταδιδόντων καὶ ταῖς τῶν θρεμμάτων ἀγέλαις, τοῦ δὲ ἔθνους ταῖς ἐκ πρώτης ἡλικίας νομίμοις ὑφηγήσεσιν ὅσον ἐν ταῖς ψυχαῖς ἀπειθὲς μεθαρμοζομένου πρὸς τὸ τιθασόν. ἐπαποδύεται δὲ αὐτὸς ἑαυτῷ καὶ ἐπαγωνίζεται πολύγονος ὢν 142
ἀρετῆς καί τινι εὐτροπίᾳ χρώμενος πρὸς τὰς καλὰς ὑφηγήσεις· κελεύσας γάρ, πρὶν ἀπότιτθον γενέσθαι, μὴ ἀποσπᾶν τῆς τεκούσης μήτε ἄρνα μήτε ἔριφον μήτε ἄλλο τι τῶν ἐν ταῖς ἀγέλαις, καὶ προσδιαταξάμενος μηδὲ τῇ αὐτῇ ἡμέρᾳ κτείνειν μητέρα καὶ ἔγγονον. ἐπιδαψιλεύεται

1 τὰ SC: καὶ τὸ A, τὸ ceteri (v)   2 ταῦτ' A   pr. καὶ om. AHP (v)   ἔτι S: om. ceteri (v)   ἄχρι] ἄχρις S   3 ἀπέτεινεν Clem. Al.: ἐπέτεινεν S, ἐπιτείνειν H¹P, ἐπιτείνει H² (v), ἀποτείνει ceteri   ἐν τοῖς ἀνομοιογενέσιν S (Clem. Al.): ἐν τοῖς νόμοις πᾶσιν (πάντες G¹) ceteri (v)   4 ἀσκηθέντες coni. Mang.   4. 5 ἐν τοῖς ὁμογενέσι Clem. Al.: om. codd.   5 μὲν] μὴ F   καὶ ἀντιλυπεῖν om. S   6 μὴ om. F   7 συγγενέσιν SF   καὶ ἐκ φύσεως] ἢ οἰκείοις S   πανταχῆ HP (v)   ἔτι om. in lac. G¹   8 τοίνυν] νῦν F   ἐπὶ SA: om. ceteri (Turn.)   μισανθρωπίαν S   διαβαλέτωσαν AP   9 ὡς SFG¹P¹: μὴ ὡς ceteri (Turn.)   παραγγέλλοντες A   δεινοὶ] καινοὶ A   10 φανερῶς S: περιφανῶς ceteri (v)   οὕτω CG²G¹   11 δ' A   ταῖς S: om. ceteri (v)   12 ἀπειθὲς] ἀπηνὲς coni. Mang.   13 τιθασσόν CAF, θίασον (sic) S   ἑαυτῷ SG¹: αὐτῷ in αὐτῷ corr. H, αὐτῷ ceteri   ἐπαγωνίζεται S: ἀγωνίζεται ceteri (Turn.)   13. 14 πολύγονος ὢν ἀρετῆς S: πολύτροπος ὢν ἀρετῆς FHP, πολύτροπος ὢν εὑρετὴς G¹, πολύτροπος ὢν ἀρετῇ CG²A (v)   14 εὐτροπίᾳ] εὐφορίᾳ S   κελεύσας S: κελεύει ceteri (v)   15 ἀπότιτθον] ἑπταήμερον G¹   μήτ' A   16 προδιαταξάμενος S   17 μηδένα (μηδὲ scripsi) τῇ αὐτῇ ἡμέρᾳ κτείνειν μητέρα καὶ ἔγγονον S: μηδένα τῇ αὐ. ἡ. μ. καὶ ἔ. καταθύειν C, μηδένα . . . θύειν F, μηδένα . . . ἀναιρεῖν AP, μηδένα . . . ἔγγονον (om. verbo necandi) G², μὴ κτείνειν τῇ αὐτῇ ἡμέρᾳ μητέρα καὶ ἔγγονον G¹, μὴ θύειν τῇ . . . ἔγγονον H² (v)

2—4 pergit *Clem. Alex. l. l.* (post verba ad p. 307,16 adnot.) οὕτως ἄχρι καὶ τῶν ἀλόγων ζῴων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵνα ἐν τοῖς ἀνομογενέσιν ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ φιλανθρωπίας ἐν τοῖς ὁμογενέσι χρησώμεθα.

φάσκων· „οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρός“ (Exod. 23,19. 34,26.
143 Deut. 14,20). πάνυ γὰρ ἄτοπον ὑπέλαβεν εἶναι τὴν τροφὴν ζῶντος
ἥδυσμα γενέσθαι καὶ παράρτυσιν ἀναιρεθέντος καὶ τὴν μὲν φύσιν ἐπι-
μεληθεῖσαν αὐτοῦ τῆς διαμονῆς ὀμβρῆσαι γάλα, ὃ διὰ μαστῶν τῆς
τεκούσης οἷα δεξαμενῶν φέρεσθαι διετάξατο, τὴν δὲ τῶν ἀνθρώπων
ἀκρασίαν τοσοῦτον ἐπιβῆναι, ὡς τῷ τῆς ζωῆς αἰτίῳ καταχρήσασθαι
144 καὶ πρὸς τὴν τοῦ ὑπολοίπου σώματος ἀνάλωσιν. εἰ δή τις ἐν γάλακτι
κρέα συνέψειν ἀξιοῖ, μὴ σὺν ὠμότητι, χωρὶς δὲ ἀσεβείας ἑψέτω· μυρίαι
θρεμμάτων εἰσὶν ἀγέλαι πανταχοῦ καὶ καθ' ἑκάστην ἡμέραν ἀμελγό-
μεναι διὰ βουκόλων αἰπόλων ποιμένων, οἷς κτηνοτροφοῦσιν ἡ μεγίστη
πρόσοδός ἐστι γάλα, τῇ μὲν κεχυμένον, τῇ δὲ συνεσταλμένον τε καὶ
πηγνύμενον εἰς τυρόν· ὥστε ἀφθονίας ὑπαρχούσης τὸν ἀρνῶν ἢ ἐρίφων
ἤ τινος ἑτέρου γάλακτι μητρῴῳ κρέα συνέψοντα χαλεπὴν ἐπιδείκνυσθαι
τρόπων σκαιότητα, τὸ ἀναγκαιότατον καὶ συγγενέστατον λογικῇ ψυχῇ
πάθος ἐκτετμημένον, τὸν ἔλεον.

1 φάσκων SC: φάσκων· ἀλλ' G^2 (cf. Clem. Al.), φάσκων ἄλλο ceteri (Mang.) οὐκ S^1, corr. S^2 2 ἄτοπον ὑπέλαβεν εἶναι S: ὑπέλαβεν εἶναι δεινὸν ceteri (v) τροφὸν F 4 ὃ — διετάξατο (5) om. in textu C, add. mg C^2 ὃ] οἱ A διὰ μαστῶν SCG^1: δ' οἷα μαστῶν G^2, δ' οἷα μαστὸν FHP, δ' οἷα μασθὸν A 5 οἷα δεξαμενῶν SG^2: ὡς ἐκ δεξαμενῶν C (v), ἀναδεξαμένων GHP, ἀναδεξάμενον AF φέρεσθαι SCG^1: φέρεται ceteri 6 ἀκρισίαν G^2HP^1 ὡς τῷ] ὥστε S καταχρῆσθαι S 7 καὶ om. C ἀνάλυσιν S εἰ δή τις scripsi: εἰ δὴ τὰ S, ἐπειδὴ τὰ ceteri (Turn.); εἰ δὲ τὰ Mang. ἐπειδὴ — ἑψέτω (8) om. in textu C, add. mg C^2 ἐν γάλακτι om. G^1 ἐν SC: σὺν ceteri (Turn.) 8 χωρὶς διασεβείας (sic) S δ' A 9 εἰσὶν ἀγέλαι S: ἀγέλαι εἰσὶ ceteri (v) καὶ om. CG^2 9. 10 ἀναμελγόμεναι A 10 ποιμένων] ποιμνίων F οἷς] τοῖς S, τοῖς ex οἷς corr. H 11 ἐστὶ γάλα S: γάλα AP^2, τὸ γάλα FG^1 (Mang.), om. CG^2HP (Turn.) κεχυμένον S: ἐκκεχυμένον A, ἐγκεχυμένον ceteri (v) συνεσταλμένον τὲ S: συνιστάμενον ceteri (v) 12 ὥστ' A, ὥστε om. S; ὡς conicio τὸν scripsi: τῶν δὲ S, τῶν in τῶ corr. C^2, τῶν ceteri (v) ἢ ἐρίφων ἤ] π(ε)φωνη (sic) S 13 ante γάλακτι add. τὸν H^2 (v), om. ceteri μητρώων G^2 κρέα] γάλα A συνέψοντα SG^2H^2: ἀνέψοντα F, συνέψοντι ceteri 14 τὸ S: om. ceteri (Turn.)

1 sqq. pergit *Clem. Alex. l. l.* (οἱ δὲ καὶ περιλακτίζοντες τὰς γαστέρας πρὸ τῆς ἀποτέξεως ζῴων τινῶν, ἵνα δὴ γάλακτι ἀνακεκραμένην σάρκα θοινάζωνται, τάφον τῶν κυοφορουμένων τὴν εἰς γένεσιν κτισθεῖσαν μήτραν πεποιήκασι), διαρρήδην τοῦ νομοθέτου κελεύοντος „ἀλλ' οὐδὲ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ“· μὴ γὰρ γινέσθω ἡ τοῦ ζῶντος τροφὴ ἥδυσμα τοῦ ἀναιρεθέντος ζῴου, φησίν, μηδὲ τὸ τῆς ζωῆς αἴτιον συνεργὸν τῇ τοῦ σώματος καταναλώσει γινέσθω.

(19.) Ἄγαμαι δὲ κἀκεῖνον τὸν νόμον, ὃς καθάπερ ἐν χορῷ παν- 145
αρμονίῳ συνᾴδων τοῖς προτέροις διαγορεύει, βοῦν ἀλοῶντα μὴ φιμοῦν.
p. 400 M. οὗτος γάρ | ἐστιν ὁ πρὸ μὲν τῆς σπορᾶς [οὔσης] τῆς βαθυγείου πεδιάδος ἀνατέμνων τὰς αὔλακας καὶ προετοιμασάμενος οὐρανῷ καὶ γεωπόνῳ τὰς ἀρούρας, τῷ μὲν ἵνα καιρίως κατασπείρῃ, τῷ δ᾽ ἵνα κόλποι βαθεῖς ὑποδεξάμενοι τὰς διὰ τῶν ὑετῶν χάριτας ταμιεύωσι καὶ χορηγῶσιν ἐκ τοῦ κατ᾽ ὀλίγον τῷ σπόρῳ τροφὰς πίονας, ἄχρις ἂν σταχυηφορήσας τελειογονήσῃ τὸν ἐτήσιον καρπόν· μετὰ δὲ τὴν τελείωσιν πάλιν βοῦς ἐστι πρὸς ἑτέραν ὑπηρεσίαν ἀναγκαῖος, κάθαρσιν δραγμάτων καὶ διάκρισιν σκυβάλων ἀπὸ τοῦ γνησίου καὶ χρησίμου. ἀλλ᾽ ἐπειδὴ τὴν ⟨ἐπὶ⟩ 146
τοῖς [γῆν] ἀλοῶσι βουσὶν ἥμερον καὶ χρηστὴν πρόσταξιν εἶπον, καὶ τὸν ἐπὶ τοῖς ⟨γῆν⟩ ἀροῦσι θρέμμασι τεθέντα νόμον ἑξῆς δίειμι τῆς αὐτῆς ὄντα συγγενείας. ἀπαγορεύει γὰρ ἐν ταὐτῷ καταζευγνύναι πρὸς

1 tit. εἰς τὸ βοῦν ἀλοῶντα οὐ κημώσεις add. S ἀγαμένοις (om. δὲ) AFH^{1}P ἐκεῖνον F χορῷ] χώρῳ H^{1}P, χωρίῳ F 1. 2 συναρμονίῳ S 2 συνάδον S^2, συνῳδὸν S^1 ut vid. τοῖς πρώτοις F φημοῦν H, κημοῦν S (fort. recte) 3 verba πρὸ μὲν τῆς σπορᾶς οὔσης om. S μὲν om. G^2 οὔσης om. in lac. G^1, seclusi τῆς S: om. ceteri (v) βαθυγείας S 4 ἀνατεμὼν FG^{1}HP (v) τὰς αὔλακας S: εἰς αὔλακας ceteri (Turn.) pr. καὶ SG^1: om. ceteri (Turn.) προετοιμασμένος F οὐρανῷ] οὖν AP^2 4. 5 γεωπονῶντας ἀρούρας C 5 ἵνα — ταμιεύωσι (6) om. A κατασπείρῃ SCG^2: κατασπείρει F, κατασπείροι G^{1}HP 6 ταμιεύωσι καὶ χορηγῶσιν S: ταμιεύσωσι (σώσῃ A) καὶ χορηγήσωσιν ceteri (v) 7 καθολίγον S^1, corr. S^2 πίονας] πλείονας CG^2 ἄχρις ἂν] ὃς C σταχυηφορήσας G^1: σταχυφορήσας H, σταχυοφορήσας ceteri (v) 8 δὲ om. S 9 ἐστὶν S ἑτέραν om. S ὑπηρεσίαν ἀναγκαῖος A: ὑπηρεσίαν ἀναγκαίαν CG^{2}FG^1 (Turn.), ἀναγκαίαν ὑπηρεσίαν S, ἀναγκαῖος om. HP κάθαρσιν om. S 10 ἀλλ᾽ ἐπειδὴ — συγγενείας (13) om. in lac. G^1 10. 11 τὴν ἐπὶ τοῖς scripsi: τοῖς C (v), τὴν ceteri 11 γῆν h. l. seclusit Mang. ἀλόωσι AP βοῦς AH^{1}P, βόες F χρηστὴν Mang.: ῥητὸν AFH^{1}P, ῥητὴν ceteri εἶπον SC: εἰπὼν ceteri (v) 12 τὸν om. S γῆν h. l. inserui τεθέντων F δίειμι SCG^2: δι᾽ ἣν AH^{1}P, δι᾽ ἧς F, δίεισι H^2 τῆς] τὰ τῆς SCG^2 13 ὄντα συγγενείας S: συγγενείας ὄντα CG^2, ὄντας εὐγενείας AFHP; εὐμενείας coni. Mang. tit. περὶ τοῦ μὴ καταζευγνύειν βοῦν καὶ ὄνον add. S mg G^2 καταζευγνύναι SCG^2 (Clem. Al.): ζευγνύναι ceteri (v)

2 Deut. 25,4. cf. *Ioseph. Ant. Iud. IV* § 233 μηδὲ βοῶν ὁπότε τρίβοιεν τοὺς στάχυας ἀποδεῖν τὰ στόματα ἐπὶ τῆς ἅλωος· οὐ γὰρ εἶναι δίκαιον εἴργειν τοὺς συνειργασμένους τοῦ καρποῦ καὶ περὶ τὴν γένεσιν αὐτοῦ πονήσαντας. 2 pergit *Clem. Alex. l. l.* ὁ δὲ αὐτὸς νόμος διαγορεύει βοῦν ἀλοοῦντα μὴ φιμοῦν· δεῖ γὰρ καὶ τὸν ἐργάτην τροφῆς ἀξιοῦσθαι (cf. I Tim. 5,18). 13 Deut. 22,10. cf. *Ioseph. Ant. Iud. IV* § 228 . . . βουσὶν ἀροῦν τὴν γῆν, καὶ μηδὲν τῶν ἑτέρων ζῴων σὺν αὐτοῖς ὑπὸ ζεύγλην ἄγοντας, ἀλλὰ κατ᾽ οἰκεῖα γένη κἀκείνοις ποιεῖσθαι τὸν ἄροτον. 13 sqq. pergit *Clem. Alex. l. l.* ἀπαγορεύει τε ἐν

ἄροτον γῆς βοῦν καὶ ὄνον, οὐ μόνον τοῦ περὶ τὰ ζῷα ἀνοικείου στοχασάμενος, διότι τὸ μέν ἐστι καθαρόν, ὄνος δὲ τῶν οὐ καθαρῶν, τὰ δὲ οὕτως ἠλλοτριωμένα συνάγειν οὐ πρέπει, ἀλλ' ἐπειδὴ καὶ τὴν ἰσχὺν ἐστιν ἄνισα, προμηθεῖται δὲ τῶν ἀσθενεστέρων, ὡς μὴ πρὸς δυνατωτέρας βίας θλίβηται καὶ προσπιέζηται· καίτοι τὸ μὲν ἀσθενέστερον, ὄνος, ἔξω περιρραντηρίων ἐλαύνεται, τὸ δὲ ἐρρωμενέστερον, βοῦν, ἐν
147 ταῖς τελειοτάταις θυσίαις νόμος ἱερουργεῖν. ἀλλ' ὅμως οὔτε τῆς τῶν ἀκαθάρτων ἀσθενείας ὠλιγώρησεν οὔτε τοῖς καθαροῖς ἐφῆκεν ἰσχύϊ πρὸ δίκης χρῆσθαι, μόνον οὐκ ἄντικρυς βοῶν καὶ κεκραγὼς τοῖς ὦτα ἔχουσιν ἐν ψυχῇ, μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν, οὐδὲν ἔχοντας αἰτιάσασθαι ὅτι μὴ τὸ ἀλλογενές, ὅπερ ἐστὶν ἀναίτιον· ὅσα γὰρ μήτε κακία μήτε ἀπὸ κακιῶν ἔξω παντὸς ἐγκλήματος ἵσταται.

148 (20.) Ἐπιδαψιλευόμενος δὲ τὸ ἐπιεικὲς πάλιν πλουσίως αὐτῷ καὶ κατακόρως χρῆται, μετιὼν ἀπὸ μὲν τῶν λογικῶν ἐπὶ τὰ ἄλογα, ἀπὸ δὲ τῶν ἀλόγων ἐπὶ τὰ φυτά, περὶ ὧν αὐτίκα λεκτέον, ἐπειδὴ

1 ἄροτρον γῆς S Clem. Al. (ἄροτον corr. Potter): ἄρουραν ceteri (v) 2 οὐ] μὴ G[2] τὰ δ' S 3 οὐ πρέπει S: οὐκ εὐπρεπές ceteri (v) 4 ἐστιν om. A, εἰσιν FG[1]H δὲ SCG[2]: om. ceteri (v) 4. 5 δυνατωτέρου βίᾳ coni. Mang. 5 βίας om. S, om. in lac. A προσπιέζηται S: συνέχηται HP, πιέζηται ceteri (v) καίτοι τὸ μὲν SG[1]H[2]: καὶ τὸ μὲν CF, καὶ τοῦτο μὲν AG[2]H[1]P 6 ὁ ὄνος G[1], ὄνον G[2] περιραντηρίων SC ἐλαύνεσθαι G[2] τὸ] τὸν S δ' A βοῦν] βοῦς C (v), ὁ βοῦς G[1], om. H 6. 7 ἐν ταῖς ἱερωτάταις A 7 νόμος S: om. ceteri (v) ἱερουργεῖν] ἱερουργεῖ SH[2], ἱερουργεῖται CG[1] (v) τῆς om. AH[1]P τῶν om. FG[1] 8 ἀσθενείας S: ἀσφαλείας ceteri (v) ὠλιγώρησαν A ἀφῆκεν F ἰσχύειν AFP 9 post μόνον add. ὡς S 10 οὐδενὸς ἔχοντος HP (Turn.), οὐδὲν ἔχουσιν G[1] 11 αἰτιᾶσθαι S ὅτι τὸ μὴ S 12 κακίαι G[1], κακίας S 13 tit. περὶ τοῦ μὴ ἐκτεμεῖν τὰ ἥμερα δένδρα add. S 15 ἐπειδὴ — λέλεκται (313,2) om. C ἐπειδὴ γὰρ H[1]P, ἐπειδή γε H[2] (v)

ταὐτῷ καταζευγνύναι πρὸς ἄροτον γῆς βοῦν καὶ ὄνον, τάχα μὲν καὶ τοῦ περὶ τὰ ζῷα ἀνοικείου στοχασάμενος. δηλοῖ δ' ὅτι μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν καὶ ὑπὸ ζυγὸν ἄγειν οὐδὲν ἔχοντας αἰτιάσασθαι ὅτι μὴ τὸ ἀλλογενές, ὅπερ ἐστὶν ἀναίτιον, μήτε κακία μήτε ἀπὸ κακίας ὁρμώμενον. ἐμοὶ δὲ δοκεῖ καὶ μηνύειν ἡ ἀλληγορία, μὴ δεῖν ἐπ' ἴσης καθαρῷ καὶ ἀκαθάρτῳ πιστῷ τε καὶ ἀπίστῳ τῆς τοῦ λόγου μεταδιδόναι γεωργίας, διότι τὸ μέν ἐστι καθαρόν, ὁ βοῦς, ὄνος δὲ τῶν ἀκαθάρτων λελόγισται.
13sqq. pergit *Clem. Alex. l. l. p. 479 P.* δαψιλευόμενος δὲ τῇ φιλανθρωπίᾳ ὁ χρηστὸς λόγος [illegible] προσῆκον εἶναι διδάσκει· παρὰ γὰρ [illegible] καρπὸν ἥμερον διαφθείρειν μήτε τὸν τῆς γῆς μήτε τὸν τῆς ψυχῆς· οὐδὲ γὰρ τὴν τῶν πολεμίων χώραν [illegible]

περὶ τῶν προτέρων, ἀνθρώπων τε καὶ τῶν ὅσα ψυχῆς μεμοίραται,
λέλεκται. διείρηκε τοίνυν ἄντικρυς μήτε δενδροτομεῖν ὅσα τῆς ἡμέρου ὕλης 149
μήτε κείρειν ἐπὶ λύμῃ πρὸ καιροῦ σταχυηφοροῦσαν πεδιάδα μήτε συνόλως
καρπὸν διαφθείρειν, ἵνα περιουσίᾳ μὲν τροφῶν ἀφθόνων χορηγῆται τὸ
ἀνθρώπων γένος, περιουσίᾳ ζῇ δὲ μὴ μόνον τῶν ἀναγκαίων ἀλλὰ καὶ
τῶν πρὸς τὸν ἁβροδίαιτον βίον. ἀναγκαῖον μὲν γὰρ ὁ τοῦ σίτου καρπὸς
εἰς τροφὴν ἀνθρώπων ἀποκριθείς, πρὸς δὲ τὸν ἁβροδίαιτον βίον αἱ τῶν
ἀκροδρύων ἀμύθητοι ποικιλίαι· γίνονται δὲ ἐν ἐνδείαις αὗται πολλάκις καὶ
p. 401 M. τροφαὶ δεύτεραι. (21.) | καὶ προσυπερβάλλων οὐδὲ τὴν τῶν πολεμίων 150
χώραν τέμνειν ἐᾷ, παραγγέλλει δ᾽ ἀνέχειν δενδροτομιῶν καὶ δῃώσεων,
ἄτοπον ὑπολαβὼν εἶναι τὴν πρὸς ἀνθρώπους ὀργὴν ἀποσκήπτειν εἰς τὰ
μηδενὸς αἴτια κακοῦ. ἔπειτα δὲ ἀξιοῖ μὴ μόνον τὸ παρὸν βλέπειν, 151
ἀλλὰ καὶ τὸ μέλλον ὥσπερ ἀπὸ σκοπῆς μακρόθεν ὀξυωπίᾳ λογισμοῦ
καθορᾶσθαι, μηδενὸς ἐν ὁμοίῳ μένοντος ἀλλὰ πάντων τροπαῖς καὶ
μεταβολαῖς χρωμένων, ὡς εἰκὸς εἶναι τοὺς τέως δυσμενεῖς ἐπικηρυκευ-
σαμένους καὶ συμβατηρίων ἄρξαντας ἐνσπόνδους αὐτίκα γενέσθαι.
φίλους δὲ τροφῶν ἀναγκαίων ἀποστερεῖν χαλεπόν, μηδὲν ταμιευσαμένους 152

1 περὶ τῶν προτέρων SA: περὶ τῶν πρότερον FG^2HP, τῶν προτέρων om. G^1; πρότερον περὶ τῶν coni. Mang. τε S: om. G^1, μὲν ceteri ψυχῇ S
2 λέλεκται πρότερον G^1 διείρηκε G^2, διήρηκε S: εἴρηκε C, ἀπείρηκε ceteri (v) μήτε] μηδὲν S 3 λοίμῃ S πρὸ καιροῦ σταχυηφοροῦσαν S: σταχ. πρὸ καιροῦ ceteri (v) σταχυηφοροῦσαν SCG^1: σταχυφοροῦσαν G^2, σταχυοφοροῦσαν ceteri (v) παιδιάδα G^1 4 τροφῶν] τρυφῶν A, καρπῶν S χορηγεῖται SF, τρέφηται G^1
4. 5 τὸ τῶν ἀνθρώπων HP (v) 5 post γένος add. ἀποκριθῆς S (cf. l. 7) περιουσίᾳ ζῇ — τῶν (6) om. S περιουσιάζῃ CG^2 (περιουσίᾳ ζῇ scripsi): ζῇ ceteri τῶν ἀναγκαίων CG^2: τῷ ἀναγκαίῳ H^2, τοῖς ἀναγκαίοις AP^2, τὸν ἀναγκαῖον F$G^1H^1P^1$ 5. 6 καὶ τῶν CF^2G^2: καὶ τῷ H^2, καὶ τοῖς AP^2, καὶ τὸν $F^1G^1H^1P^1$
6 πρὸς δὲ τὸν S, πρὸς τὸν om. G^1, τὸν om. CG^2A ἀναγκαῖον — βίον (7) om. C ἀναγκαῖος S 7 ἀνθρώπων SG^2H: ἀνθρώποις ceteri (Mang.) ἀποκριθῆς (ῇ in ras.) S πρὸς δὲ τὸν SG^2H^2: πρὸς δὲ F, τὸ δ᾽ G^1, τὸν δ᾽ AH^1P βίον om. S 8 ἀκροδρύων] καρπῶν S post ποικιλίαι add. ποιοῦσιν A αὗται πολλάκις S: πολλάκις ὅτι A, πολλάκις ἔστιν ὅτε G^1, πολλάκις ὅτε ceteri (Turn.) καὶ om. v 9 δεύτεροι S οὐδὲ SG^1: οὔτε ceteri (v) τὴν codd.: om. v
10 ἀποτέμνειν S δ᾽ SA: δὲ ceteri καὶ δῃώσεων S: om. C (v), om. in lac. G^1, καὶ δὴ ὡς ἐλαιῶνα ceteri 11 ἄτοπον S: ἄδικον CG^1 (v), τοῦτον ceteri ὑπολαβὼν S: ὑπολαμβάνων ceteri (v) εἶναι om. C (v) ἀποσκώπτειν A
12 δὲ ἀξιοῖ om. S δ᾽ A βλέπειν — λογισμοῦ (13) S: om. ceteri (Turn.)
14 καθορᾶσθαι S: προσορᾶσθαι A, προορᾶσθαι ceteri (Turn.) 15 τέως] τε S
16 γενέσθαι] γενήσεσθαι coni. Mang. 17 ταμιευσαμένους] τοὺς βιασαμένους A

9 Deut. 20,19.

τῶν ἐπ' ὠφελείᾳ διὰ τὴν τοῦ μέλλοντος ἀδηλότητα. πάνυ γὰρ ἐκεῖνο καλῶς εἴρηται τοῖς παλαιοῖς, ὅτι καὶ φιλίας κοινωνητέον μὴ ἀπογινώσκοντας ἔχθραν καὶ προσκρουστέον ὡς φιλίας ἐσομένης, ἵνα ἕκαστος ἐν τῇ ἑαυτοῦ φύσει ταμιεύηταί τι τῶν εἰς ἀσφάλειαν καὶ μὴ ἀπογυμνωθεὶς ἐν ἔργοις καὶ λόγοις μετανοῇ, τῆς ἄγαν εὐχερείας, ὅτ' οὐδὲν
153 ὄφελος, αἰτιώμενος ἑαυτόν. τὸ λόγιον τοῦτο χρὴ φυλάττειν καὶ τὰς πόλεις, ἐν μὲν εἰρήνῃ προνοουμένας τῶν κατὰ πόλεμον, ἐν δὲ πολέμῳ τῶν κατ' εἰρήνην, καὶ μήτε τοῖς συμμάχοις ἀνέδην προπιστεύειν ὡς οὐ χρησομένοις μεταβολῇ πρὸς τὸ ἀντίπαλον μήτε τοῖς πολεμίοις εἰς ἅπαν ἀπιστεῖν ὡς οὐ δυνησομένοις ποτὲ μεθορμίσασθαι πρὸς τὸ ἔνσπονδον.
154 εἰ μέντοι καὶ μηδὲν ὑπὲρ ἐχθροῦ πρακτέον δι' ἐλπίδα καταλλαγῶν, οὐδὲν ἐχθρὸν φυτόν, ἀλλ' ἔνσπονδα πάντα καὶ ὠφέλιμα, τὰ δ' ἥμερα καὶ διαφερόντως ἀναγκαῖα, ὧν ὁ καρπὸς ἢ τροφή ἐστιν ἢ ἰσότιμον τροφῇ κτῆμα. τί δὴ δεῖ πεπολεμῶσθαι πρὸς τὰ μὴ πολέμια τέμνοντας ἢ καίοντας ἢ ῥίζαις αὐταῖς ἀνασπῶντας, ἅπερ αὐτὴ ἡ φύσις ὑδάτων ἐπιρροίαις καὶ εὐκρασίαις ἀέρων ἐτελειογόνησε, δασμοὺς ἐτησίους οἴσοντα ἀνθρώποις οἷα βασιλεῦσιν;

155 Ἐμέλησε δ' αὐτῷ καθάπερ ἀγαθῷ προστάτῃ τὴν ἀλειπτικὴν μὴ μόνον ζῴοις ἀλλὰ καὶ φυτοῖς ἰσχύν τε καὶ ῥώμην ἀπεργάσασθαι, καὶ

1 τῶν SCG^2: om. ceteri διὰ om. S 2 τοῖς πάλαι S κοινωνητέον] τέλεον S 4 αὐτοῦ AP^1, ἑαυτῇ S τι τῶν om. S 5 ὅτε CG^2, ὅταν H^{1}P 6 ὤφελος S^1 τὸ λόγιον SCG^2: om. ceteri 7 τῶ πολέμω F (Mang.) 8 τοῖς om. FG^1 ἀναίδην S προσπιστεύειν F^2 (v), πιστεύειν S ὡς] οὓς S 10 μεθορμήσασθαι S (μεθορμίσασθαι scripsi): μεθαρμόσασθαι ceteri (v) τὸ] τὸν SF^1 11 ὑπὲρ] κατ' G^1 τοῦ ἐχθροῦ F πρακτέον] πέπρακται ὃν S 12 οὐδὲν δὲ AP^2 (fort. recte) ἀλλ' ἔνσπονδα πάντα S: ἀλλὰ πάντα ἔνσπονδα ceteri (v) ὠφέλημα S 13 pr. ἢ] ἡ S alt. ἢ — κτῆμα (14) om. S, κτῆμα om. C (fort. recte) 14 τί δὴ δεῖ πεπολεμῶσθαι S: τί δὴ δεῖται πολεμεῖσθαι A, τί δὴ δεῖται πόλεμός τε FG^{2}HP, τί δὴ δεῖ πολεμεῖν G^1, οὐ δεῖ πολεμεῖν C (Turn.) 15 καίοντας] κείροντας coni. Mang. ἢ ῥίζαις αὐταῖς ἀνασπῶντας om. S (in fine paginae) αὐτὴ] αὐτὰ A 16 ἐπιρροαῖς S εὐκρασίαις ἀέρων S: ἀέρων εὐκρασίαις G^1, θέρους εὐκρασίαις ceteri (v) δεσμοὺς F^1, corr. F^2 18 ἐμέλλησεν S, ἐμέλλησε G^2 δὲ G^2 καθάπερ — ἀλειπτικὴν om. in lac. G^1 ἀγαθῶ προστάτῃ C: ἀγαθωτάτην G^{2}HP, ἀγαθωτάτω F, ἀγαθώτατον A, ἀγαθῶ S τὴν ἀληπτικὴν S (ἀλειπτικὴν scripsi): om. C, ἄληπτον γῆν ceteri; ἄληπτον εἶναι v, ἀθλητικὴν coni. Mang. 19 ἀπεργάσασθαι S: om. ceteri (v)

2 cf. Diog. La. I 87 (Bias) ἔλεγέ τε τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους, καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς. Soph. Ai. 678 ἐγὼ δ' ἐπίσταμαι γὰρ ἀρτίως ὅτι | ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ' ἐχθαρτέος, | ὡς καὶ φιλήσων αὖθις, ἔς τε τὸν φίλον | τοσαῦτ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι, | ὡς αἰὲν οὐ μενοῦντα. Heylbut, De Theophrasti libris Περὶ φιλίας p. 25. 26.

μάλιστα τοῖς ἡμέροις, ἐπειδὴ καὶ πλείονος ἄξια φροντίδος ἐστὶ καὶ οὐχ
ὁμοίως τοῖς ἀγρίοις εὔτονα, γεωργικῆς ἐπιστήμης δεόμενα πρὸς κραταιο-
p. 402 M. τέραν δύναμιν. κελεύει γὰρ τὰ νεόφυτα τῶν δένδρων ἐπὶ | τριετίαν 156
ἑξῆς τιθηνεῖσθαι τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ
βαρυνόμενα πιέζεσθαι καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς
δι' ἔνδειαν ἐξασθενεῖν, γυροῦν τε καὶ περισκάπτειν, ἵνα μηδὲν τῶν ἐπὶ
ζημίᾳ παραναβλαστάνῃ τὴν αὔξησιν κωλῦον· τόν τε καρπὸν οὐκ ἐᾷ
δρέπεσθαι κατὰ μετουσίαν ἀπολαύσεως, οὐ μόνον ἐπειδὴ ἀτελὴς ἐξ
ἀτελῶν ἔμελλεν ἔσεσθαι — καὶ γὰρ τῶν ζῴων ὅσα μὴ τέλεια οὐ τελειο-
γονεῖ —, ἀλλὰ καὶ διότι βλάπτεσθαι τὰ νεόφυτα καὶ τρόπον τινὰ
χαμαίζηλα ἔμελλε κωλυόμενα ἐρνοῦσθαι. πολλοὶ γοῦν τῶν γεωπόνων 157
ἔαρος ὥρας ἐπιτηροῦσι τὰ νέα τῶν δένδρων, ἵνα ὃν ἂν τέκῃ καρπὸν
εὐθὺς ἀποθλίβωσι, πρὶν ἐπίδοσιν καὶ συναύξησιν λαβεῖν, φόβῳ τῆς τῶν
τεκόντων ἀσθενείας. συμβαίνει γάρ, εἰ μὴ προφυλάξαιτό τις, ὅτε χρὴ
τελειωθέντα καρπὸν φέρειν, ἀγονεῖν ἢ ἀμβλίσκειν ἐξασθενήσαντα τῷ
πρὸ καιροῦ πονηθῆναι φοραῖς, ἃς αἱ πάλαι κληματίδες ἐπηχθισμέναι
ῥίζαις αὐταῖς ἐκτρύχουσι τὰ στελέχη. μετὰ δὲ τριετίαν, ὅταν αἱ μὲν 158

1 ἐστὶ] εἰσὶ A 2 εὔτονα S: ἔγγονα ceteri 3 νεόφυτα S (Clem. Al.): νέα φυτὰ ceteri 4 τιθηνίζεσθαι S ἀποτέμνειν G[1] 5 πιαίζεσθαι S ὑπὲρ] ὑπὸ F 6 ἀσθενεῖν S γυροῦν] γυμνοῦν S μηδέν τι A 6. 7 τῶν ἐπιζημίων G[1] 7 παραναβλαστάνῃ S: παραβλαστάνειν A, παραβλαστάνῃ ceteri (v) αὔξην S κωλυόντων CG[2] 8 ἐπειδὴ post ἀτελῶν (9) transp. AFHP ἀτελὴς] οὗτος G[1] 10 ἀλλὰ S: om. ceteri (Turn.) 11 χαμαίζηλα] χθαμαλοῦσθαι coni. Mang. ἔμελλε om. A ἑνοῦσθαι G[2] γοῦν] γὰρ A 12 ὥρας C: ὥρα ceteri (ὥρᾳ v) ἵνα S: ἵν' ceteri ἂν om. CG[2] 13 ἐπίδοσον] ἐπιδίδωσι A αὔξησιν S 14 προσφυλάξαιτο A, παραφυλάξαιτο F ὅτι χρὴ F, ὅτε χρὴ om. C, ὁ (pro ὅτε χρὴ) G[2] 15 ἀγονεῖν om. S ἢ ἐξασθενήσαντα S, ἐξασθενήσαντι A τῷ] τὸ S 16 πονηθῆναι φοραῖς S: πλησθῆναι φορᾶς ceteri (v) ἃς — στελέχη (17) om. in lac. G[1] ἃς] ὡς H (v) αἱ πάλαι] αἱ om. S, αἱ παλαιαὶ H (v); αἱ πολλαὶ coni. Mang. ἐπιχθησμέναι S (ἐπηχθισμέναι Mang.): ἐπειλυσμέναις CA, ἐπειλυμέναις HP (Turn.), ἐπιλυμέναις G[2], ἐπειλημμέναις F 17 αὐταῖς S: ταῖς ceteri (Turn.) ἐκτρύχουσι] ἐκτρέχουσι HP (Turn.) τὰ στελέχη S: ὑπὸ στελέχη ceteri (Turn.) ὅταν] ὅτι AP μὲν om. S, μὲν αἱ transp. F

3 Lev. 19,23. cf. *Ioseph. Ant. Iud. IV* § 226. 227. 3 sqq. pergit *Clem. Alex. l. l.* ναὶ μὴν καὶ γεωργικοὶ παρὰ τοῦ νόμου καὶ ταῦτα ὠφέληνται· κελεύει γὰρ τὰ νεόφυτα τῶν δένδρων ἐπὶ τριετίαν ἑξῆς τιθηνεῖσθαι τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς δι' ἔνδειαν ἐξασθενεῖν, γυροῦν (ἀροῦν cod.) τε καὶ περισκάπτειν, ὡς μηδὲν παραβλαστάνον κωλύῃ τὴν αὔξησιν· τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι ἀτελῆ ἐξ ἀτελῶν, ἀλλὰ μετὰ τριετίαν ἔτει τετάρτῳ καθιερώσοντα τὴν ἀπαρχὴν τῷ θεῷ μετὰ τὸ τελεωθῆναι τὸ δένδρον.

ῥίζαι βαθύνωσι προσεχόμεναι τῷ ἐδάφει κραταιότερον, τὸ δὲ στέλεχος ὥσπερ ἀκλινέσι θεμελίοις ἐπερηρεισμένον αὐξήσῃ σὺν εὐτονίᾳ, δυνήσεται
159 καλλικαρπεῖν ἔτει τετάρτῳ κατὰ τέλειον ἀριθμὸν τετράδα. τετράδι δὲ κελεύει μὴ δρέπεσθαι τὸν καρπὸν πρὸς ἀπόλαυσιν, ἀλλ' ὅλον αὐτὸν καθιεροῦν ἀπαρχὴν τῷ θεῷ, τῇ μὲν τῶν προγεγονότων χαριστήριον, τῇ δ' ἐλπίδα τῆς εἰς τὸ μέλλον εὐκαρπίας καὶ τοῦ μετὰ τοῦτο προσ-
160 οδεύεσθαι. ὁρᾷς ὅσον τὸ ἵλεων καὶ χρηστὸν ἐπιδείκνυται καὶ ὡς ἀνακέχυκεν αὐτὸ πρὸς πᾶσαν ἰδέαν ἀνθρώπων τὸ πρῶτον, κἂν ἀλλόφυλός τις ᾖ ἐχθρὸς ᾖ, εἶτα ζῴων ἀλόγων, κἂν μὴ τυγχάνῃ καθαρά, ἐπὶ δὲ πᾶσι σπαρτῶν ὁμοῦ καὶ δένδρων. ὅ τε γὰρ ἐν ταῖς ἀφαντάστοις φύσεσι προμαθὼν ἐπιείκειαν εἰς οὐδὲν ἂν τῶν ψυχῆς μεμοιραμένων ἐξαμάρτοι, ὅ τε μὴ ἐπιχειρῶν νεωτερίζειν περὶ τὰ ἄψυχα πόρρωθεν ἀναδιδάσκεται τῶν λογικῶν ἐπιμελεῖσθαι.

161 (22.) Τοιαύταις ὑφηγήσεσι τὰς διανοίας τῶν κατ' αὐτὸν πολιτευομένων ἐξημερώσας ὑπεροψίας καὶ ἀλαζονείας, ἀργαλεωτάτων καὶ ἐπαχθεστάτων κακῶν, διέζευξεν, ὧν ὡς μεγίστων ἀγαθῶν οἱ πολλοὶ περιέχονται, καὶ μάλιστα ὅταν πλοῦτοι καὶ δόξαι καὶ ἡγεμονίαι περιουσίας

1 βαθύνουσι A 2 ὥσπερ S: om. ceteri (Turn.) [illegible] αὐξήσῃ [illegible] H² (v), [illegible] ceteri δυνήσεται S: δύναται H² (v), δύνηται ceteri post δυνήσεται add. δὲ S 3 ἔτει — τετράδι δὲ om. in lac. G¹ ἔτει τε τετάρτω F ἀριθμὸν τετράδα. τετράδι δὲ scripsi: ἀριθμὸν τετράδα S, ἀριθμόν· τετράδι δὲ C (v), ἀριθμόν· τετράδα δὲ FG²HP, ἀριθμόν· τετράδος δὲ A 4 κελεύει δρέπεσθαι τὸν καρπὸν οὐ H² (v) 5 καθιεροῦν SCG¹: ἀφιεροῦν F², ἀφιεροῦσιν F¹, καθιεροῦσιν AG²HP ἀπαρχὴν om. S πῇ μὲν . . . πῇ δὲ (6) C 6 τῇ] τὴν S δ' S ἐλπίδα S: ἐλπίδι ceteri (v): ἐπ' ἐλπίδι coni. Mang. τοῦ S: τὸ ceteri (Turn.): τῷ Mang. 7 ὁρᾷς SC: φορὰς A, φορᾶς ceteri ὅσον — ὡς ἀνα om. in lac. G¹ ὅσοι CAG²P τὸ ἵλεων SC: τὸ ἵλεω FH, τῷ ἵλεω AG²P [illegible] AP 8 πᾶσαν S: ἅπασαν ceteri (v) εἰδέαν S κἂν] ἂν S 9 τις om. S ᾖ] καὶ A ἀλόγων SG¹G²: ἀγόνων ceteri (Turn.) ἐπὶ δὲ] ἔτι δὲ S, ἔπειτα G¹ 10 πᾶσι S: πάντων AG¹P², πάσης ceteri (Turn.) ὁμοῦ] ὁδοῦ F δένδρων φύσεως C ὅ τε γὰρ S: ὁ γὰρ ceteri (v) ταῖς ἀφαντάστοις SH²: ταῖς ἀφάτοις AG², ταῖς ἀφάντοις CH¹P, [illegible] F, ἀψύχοις tum spat. c. 12 litt. G¹ 11 οὐδὲν ἂν] οὐδένα S τῶν om. F¹, ss. F² τῆς ψυχῆς AF ἁμάρτει (sic) S, προσαρμόττοι A 12 μὴ SG¹: μηδὲ ceteri (μηδὲν v) ἐπιχειρῶν νεωτερίζειν περὶ om. S ἄψυχα G¹ 14 κατ' αὐτὸ A, κατ' αὐτῶν F¹ 14. 15 ποντευομένων S¹, corr. S² 15. 16 ἀργαλεωτέρων καὶ ἐπαχθεστέρων A 17 μάλιστα S: μάλισθ' ceteri

4 Lev. 19,24. cf. *Ioseph. Ant. Iud.* IV § 22[illegible]

ἀφθόνους χορηγῶσιν. ἀλαζονεία γὰρ φύεται καὶ ἐν ἠμελημένοις καὶ 162
ἀφανέσιν ἀνθρώποις, ὡς καὶ τῶν ἄλλων ἕκαστον ψυχῆς παθῶν τε καὶ
p. 403 M. νοσημάτων καὶ ἀρρωστημάτων, τὴν δ' ἐπὶ πλέον παραύξησιν οὐ | λαμ-
βάνει, ἀλλ' οἷα πυρὸς οὐσία διὰ σπάνιν ὕλης ἀμαυροῦται· περιφαίνεται
δ' ἐν τοῖς μεγάλοις χορηγοὺς ὡς ἔφην ἔχουσι τούτου τοῦ κακοῦ πλούτους
καὶ δόξας καὶ ἡγεμονίας, ὧν ὑποπλησθέντες καθάπερ οἱ πολὺν ἄκρατον
ἐμφορησάμενοι μεθύουσι καὶ ἐμπαροινοῦσι δούλοις ὁμοῦ καὶ ἐλευθέροις,
ἔστι δ' ὅτε καὶ ὅλαις πόλεσι· „τίκτει γὰρ κόρος ὕβριν", ὡς ὁ τῶν
παλαιῶν λόγος. διὸ παγκάλως Μωυσῆς ἱεροφαντῶν παραινεῖ πάντων 163
μὲν ἁμαρτημάτων ἀπέχεσθαι, διαφερόντως δὲ ὑπεροψίας. εἶθ' ὑπό-
μνησιν ποιεῖται τῶν μὲν ἀναφλέγειν τὸ πάθος εἰωθότων, πλησμονῆς
γαστρὸς ἀμέτρου καὶ οἰκιῶν καὶ κτημάτων καὶ θρεμμάτων ἀφθόνου
περιουσίας· γίνονται γὰρ εὐθὺς αὐτῶν ἀκράτορες, διαιρόμενοι καὶ φυσώ-
μενοι, οἷς μία θεραπείας ἐλπὶς τὸ μηδέποτε ἐκλανθάνεσθαι τοῦ θεοῦ.
καθάπερ γὰρ ἀνατείλαντος ἡλίου τὸ μὲν σκότος ἀφανίζεται, φωτὸς δὲ 164
πληροῦται τὰ πάντα, τὸν αὐτὸν τρόπον ὅταν θεός, ὁ νοητὸς ἥλιος,
ἀνάσχῃ καὶ ἐπιλάμψῃ ψυχῇ, ὁ μὲν τῶν παθῶν καὶ κακιῶν ζόφος ἀνα-
σκίδναται, τῆς δ' αὐγοειδεστάτης ἀρετῆς τὸ καθαρώτατον καὶ ἀξιέραστον

1 ἀφθόνως SA φύεται] φαίνεται S post ἠμελημένοις add. πολλάκις FH[2] (v) 1. 2 καὶ ἐν ἀφανέσιν CG[2] 3 δ' SA: δὲ ceteri παραύξησιν S: spat. c. 8 litt. καὶ παραύξησιν G[1], παραύξησιν καὶ εὐλάβειαν F, εὐλάβειαν καὶ παραύξησιν ceteri (v) 3. 4 οὐ λαμβάνει παραύξησιν transp. S 4 διὰ σπάνιν S: σπάνει ceteri (v) περιφαίνεται δ' S: καὶ περιφέρεται ceteri (Turn.) 5 χορηγὸν S ἔχουσι S[1], ἐχούσῃ S[2], om. A τούτου S: om. ceteri (Turn.) πλοῦτον S, πλούτου καὶ δόξης A 6 οἱ om. S πολὺν] πολλοὶ A 8 ἔστιν S ὁ om. CG[2] 9 μωυσῆς παγκάλως transp. S 10 δ' S 11 τῶν] τῷ S[1] μὲν om. FG[1]H (v) πλησμονῇ S 12 γαστρὸς ἀμέτρου S: τῶν τροφῶν ἀμέτρου G[1], τροφὰς ἀμέτρους C, τὰς τροφὰς ἀμέτρους AG[2]HP (v), τὰς ἀμέτρους τροφὰς F; τῆς τροφῆς ἀμέτρου coni. Mang. οἰκείων G[2] ἀφθόνου SG[1] (Mang.): ἀφθόνους ceteri 13 γίγνονται CFP αὐτῶν AFHP αὐτῶν ἀκράτορες] αὐτοκράτορες S διαιρούμενοι SAFP 14 μία] μετὰ F θεραπεία A ἐλπίσι F τοῦ θεοῦ S: θεόν AG[2], θεοῦ ceteri 15 τοῦ ἡλίου F 16 πληροῦνται A τὰ πάντα πληροῦται transp. S θεὸς ὁ νοητὸς S: θεοποίητος CG[2] (Turn.), θεότητος G[1], θεῷ ποιητὸς FH, θεῷ ποιητῇ AP 17 ἀνάσχηται H[1]P καὶ ἐπιλάμψῃ ψυχῇ om. S ψυχῇ C: ψυχή G[2], ψυχὴν ceteri (v) τῶν om. F παθῶν καὶ κακιῶν S: κακιῶν καὶ παθῶν ceteri (v) 18 αὐτοειδεστάτης S

8 Solon. frg. 8 B[4]. 11 Deut. 8,11—14.

165 εἶδος ἐπιφαίνεται. (23.) στέλλειν δ' ἔτι μᾶλλον καὶ καθαιρεῖν ὑπερ-
οψίαν ἀξιῶν τὰς αἰτίας ἐπιλέγει, δι' ἃς ἄληστον ἐχρῆν τὴν τοῦ θεοῦ
μνήμην ἀγαλματοφορεῖν. „οὗτος γάρ σοι“ φησί „δίδωσιν ἰσχὺν ποιῆσαι
δύναμιν“ (Deut. 8,18)· ἄγαν παιδευτικῶς· ὁ γὰρ ἀκριβῶς ἀναδιδαχθείς,
ὅτι δῶρον εἴληφε παρὰ θεοῦ τὸ εὔτονον καὶ ῥωμαλέον, τὴν ἰδίαν
ἀσθένειαν ἐκλογιζόμενος, ἣν πρὶν ἀπολαῦσαι τῆς δωρεᾶς εἶχε, τὸ ὑψηλὸν
καὶ ὑπέραυχον φρόνημα διώσεται καὶ εὐχαριστήσει τῷ τῆς κρείττονος
αἰτίῳ μεταβολῆς. ψυχὴ δὲ εὐχάριστος ἀλαζονείᾳ πολέμιος, ἐπεὶ καὶ
166 τοὐναντίον ἀχαριστία συγγενὲς ὑπεροψίᾳ. ἐὰν δέ, φησίν, εὐρωστῇ σοι
τὰ πράγματα, λαβὼν καὶ κτησάμενος ἰσχύν, ἣν ἴσως οὐ προσεδόκησας,
ποίει δύναμιν. τί δὲ τοῦτ' ἐστίν, ἀκριβωτέον τοῖς μὴ πάνυ συνορῶσι
τὸ δηλούμενον. πολλοὶ τὰ ἐναντία ὧν εὖ πεπόνθασι δρᾶν ἐπιχειροῦσιν·
ἢ γὰρ πλουτήσαντες πενίαν ἄλλοις κατασκευάζουσιν ἢ δόξης καὶ τιμῆς
167 ἐπὶ μέγα μετασχόντες ἀδοξίας καὶ ἀτιμίας ἑτέροις αἴτιοι γίνονται. χρὴ
δὲ καὶ τὸν φρόνιμον ἀγχίνους, ὡς ἔνι μάλιστα, τοὺς πλησιάζοντας κατα-

1 ἐμφαίνεται S, ἀναφαίνεται G¹ στέλλειν S: στέλλει ceteri δέ τι P καθαιρεῖν S: καθαιρεῖ CAFP², καθαίρει G¹G²HP¹ 2 ἀξιῶν post συλλέγειν transp. A ἐπιλέγει S: συλλέγειν ceteri δι' ἃς] δι' ὧν ἐστιν A ἐχρὴν (sic) τὴν τοῦ S: om. ceteri (v) 3 ἀγαλματοφορεῖ CG² (v), ἀγαλματοφορεῖν om. in lac. G¹ οὗτος] οὕτως S φησιν S ἰσχὺν δίδωσι transp. S ποιεῖν A 4 ἄγαν] ἀγαπᾶν S 5 ῥωμαλαῖον SH 6 λογιζόμενος G¹ τὸ S: om. ceteri (v) 7 διώσηται P, διασώσηται H¹ 8 μεταβολῆς αἰτίω transp. S ψυχὴ SG²: ψυχῇ C, ψυχῆς ceteri (Mang.) δ' SA εὐχάριστος SCG²: εὐχαρίστου ceteri (Mang.) ἀλαζονείας Turn., ἀλαζονεία Mang. 9 ἀχαριστίᾳ Mang. συγγενὴς F ὑπεροψία SH²: ὑπεροψίας ceteri (Turn.) ἐὰν δέ φησιν S (cf. Clem. Al.): om. ceteri (v) εὐρωστῇ—δηλούμενον (12) om. G¹ εὐρωστῇ S: εὐρωστεῖ ceteri (v) 10 κτησάμενος SC (Clem. Al.): κτήματος ceteri, σώματος L (κτησάμενος σώματος v) ἴσως om. H¹P προσεδόκησε AFH¹P 11 ποιεῖν AFHP τοῦτο C ἀκριβώτερον H¹P, ἀκριβέστερον AF 12 τὰ ἐναντία S: τἀναντία ceteri (v) εὖ om. A 13 πλουτίσαντες S¹, corr. S² ἢ καὶ δόξης AP² 14 ἐπὶ μέγα om. S ἀτιμίας] τιμῆς HP γίνονται SCA: γίγνονται ceteri 15 φρόνημον SH¹ ἀγχίνους S (cf. Clem. Al.): καὶ ἀγχίνουν ceteri (v) τοιούτους καὶ ante τοὺς πλησιάζοντας add. mg H (v)

3sqq. *Clem. Alex. l. l. p. 480 P.* θυσία δὲ αἰνέσεως ὑπὲρ ὁλοκαυτώματα. „οὗτος γάρ σοι“ φησί „δίδωσιν ἰσχὺν ποιῆσαι δύναμιν“. 9sqq. pergit *Clem. Alex. l. l.* ἐὰν δὲ φωτισθῇ σοι τὰ πράγματα, λαβὼν καὶ κτησάμενος ἰσχὺν ἐν γνώσει ποίει δύναμιν. ἐμφαίνει γὰρ διὰ τούτων τά τε ἀγαθὰ τάς τε δωρεὰς παρὰ τοῦ θεοῦ χορηγεῖσθαι καὶ δεῖν ἡμᾶς διακόνους γενομένους τῆς θείας χάριτος σπείρειν τὰς τοῦ θεοῦ εὐποιίας καὶ τοὺς πλησιάζοντας κατασκευάζειν καλούς τε καὶ ἀγαθούς, ἵνα ὡς ὅτι μάλιστα ὁ μὲν σώφρων τοὺς ἐγκρατεῖς, ὁ δὲ ἀνδρεῖος τοὺς γενναίους συνετούς τε ὁ φρόνιμος καὶ ⟨ὁ⟩ δίκαιος τοὺς δικαίους ἐκτελῇ.

σκευάζειν καὶ τὸν σώφρονα ἐγκρατεῖς καὶ γενναίους τὸν ἀνδρεῖον καὶ τὸν δίκαιον δικαίους καὶ συνόλως ἀγαθοὺς τὸν ἀγαθόν. ταῦτα γὰρ ὡς
p. 404 M. ἔοικε δυνάμεις, ὧν ὅ γε ἀστεῖος ὡς οἰκειοτάτων περιέξεται· | ἀδυναμία δὲ καὶ ἀσθένεια, τὰ ἐναντία, σπουδαίων ἀλλότρια ἠθῶν. ἄλλως τε καὶ 168
μάθημα ἀναδιδάσκει τῇ λογικῇ φύσει πρεπωδέστατον, μιμεῖσθαι θεὸν καθ' ὅσον οἷόν τε, μηδὲν παραλιπόντα τῶν εἰς τὴν ἐνδεχομένην ἐξομοίωσιν. (24.) ἐπειδὴ τοίνυν, φησίν, ἔλαβες ἰσχὺν παρὰ τοῦ δυνατωτάτου, μετάδος ἄλλοις ἰσχύος διαθεὶς ὃ ἔπαθες, ἵνα μιμήσῃ θεὸν τῷ παραπλήσια χαρίζεσθαι. κοινωφελεῖς γὰρ αἱ τοῦ πρώτου ἡγεμόνος δωρεαί, 169
ἃς δίδωσιν ἐνίοις, οὐχ ἵν' ἐκεῖνοι λαβόντες ἀποκρύψωσιν ἢ καταχρήσωνται πρὸς ζημίαν ἑτέρων, ἀλλ' ἵν' εἰς μέσον προενεγκόντες ὥσπερ ἐν δημοθοινίᾳ πάντας ὅσους οἷόν τε καλέσωσιν ἐπὶ τὴν χρῆσιν καὶ ἀπόλαυσιν αὐτῶν. λέγομεν οὖν καὶ τῷ πολυχρημάτῳ καὶ ἐνδόξῳ καὶ 170
εὐέκτῃ καὶ ἐπιστήμονι, πλουσίους καὶ ἐνδόξους εὐέκτας τε καὶ ἐπιστήμονας καὶ συνόλως ἀγαθοὺς ἀπεργάζεσθαι τοὺς ἐντυγχάνοντας, ἀλλὰ μὴ φθόνον καὶ βασκανίαν ἀρετῆς προτιμήσαντα τοῖς εὖ πράττειν δυναμένοις ἀντιβαίνειν. τοὺς δὲ μέγα πνέοντας ἐπιτάσει τῆς ἀλαζονείας 171

1 ἐγκρατῆ καὶ γενναῖον AFH¹P τὸν ἀνδρεῖον — δικαίους (2) om. S 2 τῶν ἀγαθῶν AP² 3 δύναμις SF (fort. recte) ὅ om. G² οἰκείων AHP (v) ἀδυναμία S (Mang.): δύναμις ceteri 3. 4 δυνάμει ὁ δὲ καὶ G² 4 τἀναντία A, τὰ ἐναντία om. G² ἤθη ἀλλότρια S 6 παραλείποντα C 7 τοίνυν] γὰρ G¹ φησίν CG²: om. ceteri (v) 7. 8 δυνατωτέρου HP (v) 8 ὃ ἔπαθες] τὸ ἐμπαθὲς CG² θεῷ HP τῷ] τὸ S 9 τὰ παραπλήσια SP 10 ἵνα A 12 πάντες S οἷόν τε] οἴονται G² καλέσωσιν S: καλέσουσιν C, καλέουσιν FG²HP, καλέωσιν A, κοινωνοὺς συγκαλῶσιν G¹ 12. 13 ἐπὶ τὴν χρῆσιν καὶ ἀπόλαυσιν S: om. ceteri (Turn.) 13 λέγωμεν H¹P, λέγω μὲν FG¹H² 14 εὐέκτῃ] εὐεκτεῖ ἢ S καὶ ἐνδόξους S: om. ceteri (v) εὐέκτας τε S: καὶ εὐέκτας ceteri (v) 15 ἀπεργάσασθαι Turn. ἐντυγχάνοντας Mang.: συντυγχάνοντας S, ἐντυχόντας ceteri 16 προτιμήσαντα SA (Mang.): προτιμήσαντας ceteri τοῖς SG¹: τοῖς τὸ G², τοῦ C, τὸ AH¹P, τῷ FH² (Turn.) 16. 17 δυνατοῖς ἀντιβαίνειν F, δυναμένοις ἀντιβαίνειν om. C 17 ἐπιτάσει τῆς ἀλαζονείας scripsi: τοῖς ἐπίτασιν τῆς ἀλαζονείας F, ἐπὶ τοῖς τὰ τῆς ἀλ. A, τοῖς ἐπὶ τὰς τῆς ἀλ. HP, τὸν ἐπὶ τὰς τῆς ἀλ. G², ὑπ' ἀλαζονείας S (Mang.), ἐπ' ἀλαζονείᾳ C ἐπιτάσει — ἔχοντας (320,1) om. in lac. G¹

5 sqq. pergit *Clem. Alex. Strom. II 19 p. 480 P.* οὗτός ἐστι ὁ κατ' εἰκόνα καὶ ὁμοίωσιν ὁ γνωστικὸς ὁ μιμούμενος τὸν θεὸν καθ' ὅσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν (ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιούς, βασιλεύων τῶν παθῶν, μεταδιδοὺς ὧν ἔχει, ὡς οἷός τέ ἐστιν εὐεργετῶν καὶ λόγῳ καὶ ἔργῳ. οὗτος „μέγιστος" φησίν „ἐν τῇ βασιλείᾳ ὃς ἂν ποιῇ καὶ διδάσκῃ",) μιμούμενος τὸν θεὸν τῷ παραπλήσια χαρίζεσθαι· κοινωφελεῖς γὰρ αἱ τοῦ θεοῦ δωρεαί.

⟨ὡς⟩ ἀθεραπεύτως εἰς ἅπαν ἔχοντας ὁ νόμος παγκάλως οὐκ ἤγαγεν εἰς
κρίσιν ἀνθρωπίνην, ἀλλὰ μόνῳ τῷ θείῳ παρέδωκε δικαστηρίῳ. φησὶ
γάρ· ὃς ἂν ἐγχειρῇ τι πράττειν μεθ' ὑπερηφανίας, „τὸν θεὸν παροξύνει“
172 (Num. 15,30). διὰ τί; ὅτι πρῶτον μὲν ἀλαζονεία ψυχῆς ἐστι κακία,
ψυχὴ δὲ ἀόρατος ὅτι μὴ θεῷ, κολαστὴς δὲ ὁ μὲν τυφλὸς ἐπίμεμπτος,
ἄγνοιαν κατήγορον ἔχων, ὁ δὲ βλέπων ἐπαινετός, ἐπιστήμῃ πάντα ὁρῶν·
ἔπειτα δὲ ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν
„οὔτε ἄνδρα οὔτε ἡμίθεον ἀλλ' ὅλον δαίμονα“ κατὰ τὸν Πίνδαρον ὑπο-
λαμβάνει ἑαυτόν, ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως βαίνειν ἀξιῶν.
173 ἔστι δ' αὐτῷ καθάπερ ἡ ψυχὴ καὶ τὸ σῶμα ἐπίληπτον κατά τε τὰς
σχέσεις καὶ κινήσεις ἁπάσας· ἀκροβατεῖ γὰρ καὶ τὸν αὐχένα μετέωρον
ἐξαίρει φρυαττόμενος καὶ πλέον τῆς φύσεως ἐπῆρται καὶ πεφύσηται καὶ
ὁρῶν παραβλέπει πλαγίαις ὄψεσι καὶ ἀκούων παρακούει. κέχρηται δὲ
τοῖς μὲν οἰκέταις ὡς θρέμμασι, τοῖς δὲ ἐλευθέροις ὡς οἰκέταις, καὶ
τοῖς μὲν συγγενέσιν ὡς ἀλλοτρίοις, τοῖς δὲ φίλοις ὡς κόλαξι, τοῖς δ'
174 ἀστοῖς ὡς ξένοις· πάντων τε οἴεται εἶναι πλουσιώτατος, ἐντιμότατος,
κάλλιστος, ἰσχυρότατος, φρονιμώτατος, σωφρονέστατος, δικαιότατος,
λογιώτατος, ἐπιστημονικώτατος· εἶτα τοὺς ἄλλους ὑπολαμβάνει πένητας,
| ἀδόξους, ἀτίμους, ἄφρονας, ἀδίκους, ἀνεπιστήμονας, καθάρματα, τὸ p. 405 M.
μηδέν. εἰκότως οὖν ὁ τοιοῦτος ἀντιδίκῳ καὶ κολαστῇ χρήσαιτ' ἄν, ὥς
φησιν ὁ ἱεροφάντης, θεῷ.

1 ὡς addidi, καὶ add. V ἀθεράπευτον F ἔχοντας SC: δυναμένοις ἔχοντας FG²HP, δυναμένοις ἔχουσιν A οὐκ om. A 2 παραδέδωκε S 3 πράττειν τι transp. F μετ' S¹, corr. S², μετὰ G² 4 ἀλαζονία S 5 δ' A, γὰρ S ὅτι μὴ θεῷ om. in lac. G¹ κολαστὴς δὲ om. in textu C, add. mg C² κολαστὴ AF, κολαστῇ G²HP δ' A ἐπίληπτος S 7 δὲ S: δ' ceteri ὅτι] οὐ A ἀλόγου ὑπόπλεως transp. S 8 οὔτ' . . . οὔθ' A ἀλλ' ὅλον S (Mang.): om. in lac. G¹, μᾶλλον ἢ ceteri 8. 9 ὑπολαμβάνειν S¹, corr. S² 10 ἡ om. S τε] δὲ AG²H¹, γε H² τὰς om. F 11 ἀκροβατεῖ SC: ἀκροβύστειός τε F, ἀκροβατεῖται G², ἀκροβατεῖ τε ceteri (v) 12 ἐπαίρει S 13 παραβλέπεται S ὄψεσιν S κέχρηται δὲ S (Mang.): καὶ χρῆται ceteri 14 θρέμμασιν S δ' A 15 κόλαξιν S 16 τε S: om. FG¹, δὲ ceteri εἶναι οἴεται transp. HP (Turn.) ἐντιμώτατος (sic) S: ἐπισημότατος H (v), ἐπιτιμότατος ceteri 17 δικαιότατος σωφρονέστερος (sic) transp. S 18 λογιώτατος SA (Mang.): λογικώτατος ceteri ἐπιστημονικώτατος om. G²H (Turn.) 20 οὖν] ἂν A καὶ κολαστῇ] καὶ om. H, κεκόλασται F

3 pergit *Clem. Alex. l. l.* ὃς δ' ἂν ἐγχειρῇ τι πράττειν μεθ' ὑπερηφανίας, τὸν θεὸν παροξύνει, φησίν· ἀλαζονεία γὰρ ψυχῆς ἐστι κακία. 8 Pind. frg. 280 (Bergk)

Περὶ μετανοίας.

(1.) Φιλάρετος καὶ φιλόκαλος καὶ διαφερόντως φιλάνθρωπος ὢν 175
ὁ ἱερώτατος Μωυσῆς προτρέπει τοὺς πανταχοῦ πάντας εὐσεβείας καὶ
δικαιοσύνης εἶναι ζηλωτάς, ἆθλα προτιθεὶς ὡς νικηφόροις μεγάλα τοῖς
μετανοοῦσι πολιτείας κοινωνίαν τῆς ἀρίστης καὶ τῶν κατ' αὐτὴν ἀπό-
λαυσιν μικρῶν τε καὶ μεγάλων. ἀγαθὰ γὰρ προηγούμενα ἐν μὲν σώμασιν 176
ἡ ἄνοσος ὑγεία, ἐν δὲ ναυσὶν ἡ ἀκίνδυνος εὔπλοια, ἐν δὲ ψυχαῖς ἡ
ἄληστος μνήμη τῶν ἀξίων μνημονεύεσθαι· δεύτερα δὲ τὰ κατ' ἐπανόρ-
θωσιν συνιστάμενα, ἥ τε ἐκ νόσων ἀνάληψις καὶ ἡ ἐκ τῶν κατὰ πλοῦν
κινδύνων εὐκταιοτάτη σωτηρία καὶ ἡ λήθης ἐκγινομένη ἀνάμνησις, ἧς
ἀδελφὸν καὶ συγγενέστατον τὸ μετανοεῖν ἐστιν, οὐκ ἐν τῇ πρώτῃ καὶ
ἀνωτάτω τεταγμένον τάξει τῶν ἀγαθῶν, ἀλλ' ἐν τῇ μετὰ ταύτην
φερόμενον δευτερεῖα. τὸ μὲν γὰρ μηδὲν συνόλως ἁμαρτεῖν ἴδιον θεοῦ, 177
τάχα δὲ καὶ θείου ἀνδρός, τὸ δὲ ἁμαρτόντα μεταβαλεῖν πρὸς ἀνυπαίτιον
ζωὴν φρονίμου καὶ τὸ συμφέρον εἰς ἅπαν οὐκ ἀγνοήσαντος. ὅθεν τοὺς 178
τοιούτους συνάγων καὶ μυσταγωγῶν προσκαλεῖται τὰς συμβατηρίους καὶ
φιλικὰς προτείνων ὑφηγήσεις, αἳ παραινοῦσιν ἀψεύδειαν ἀσκεῖν καὶ τῦφον

1 tit. περὶ μετανοίας add. SC mg G²: om. ceteri 2 φιλάρετος δὲ AH² (v) καὶ φιλάνθρωπος AHP 3 μωσῆς A 4 εἶναι FG¹G²: om. ceteri (Turn.) προτιθεὶς SG²: προθεὶς ceteri (Turn.) 5 μετανοοῦσι SCG² Par.: μέγα νοοῦσι ceteri 5. 6 ἀπολαύσειν A 6 γὰρ Par.: γὰρ καὶ S, μὲν ceteri (v) μὲν S Par.: om. ceteri (v) 7 pr. ἡ om. SCG² ἐν δὲ ναυσὶν SG² Par.: ἐν ναυσὶ δ' C, ἐν δὲ ναυμαχίαις AFH¹P, ἐν δὲ ναυτιλίαις G¹H² (v) alt. ἡ om. FHP¹ (v) 8 μνήμη] γνῶσις S τὰ] καὶ Par. κατὰ F 9 συνιστάμενα, ἥ τε ἐκ νόσων SCG², συνιστάμενα, ἡ ἐκ τῶν νόσων Par.: εἴς τε ἃ μὲν δή τε κε νοσῶν F, εἴς τε ἃ δή τε κε νόσων AHP, εἴς τε σῶμα καὶ ναυτηλίαν καὶ ψυχὴν ἡ ἐκ νόσων G¹ 10 λήθης] ἀληθὴς S Par. ἐκγινομένη scripsi: ἐγγενομένη SF, ἐγγινομένη ceteri (v); ἐκ λήθης ἐγγινομένη coni. Mang. ἧς SCG²: ὧν G¹ Par., om. ceteri 11 συγγενέστατόν τε F τὸ μετανοεῖν ἐστιν S Par.: ἐστιν om. H (v), ἐστι τὸ μετανοεῖν ceteri καὶ οὐκ S 12 τάξει τεταγμένον transp. A, τεταγμένον post ἀγαθῶν transp. Par. ἀλλ' ἐν τῇ SCG²: ἀλλ' ἔτι AFH¹P, ἀλλὰ τὰ G¹H² μετὰ ταύτην CG²: ἡμετέρα ταύτῃ (sic) S, μετ' αὐτὰ Par., μετ' αὐτὴν ceteri (Turn.) 13 μηδὲν SCG² Par. Anton.: μηδὲ ceteri (Turn.) ἁμαρτάνειν Anton. 14 ἁμαρτάνοντα F Par. Anton. μεταβάλλειν Anton. 15 φρονήμου S 16 συνάγων τε καὶ A προσκαλεῖται SCH: προκαλεῖται ceteri 17 ἀφηγήσεις HP ἀψευδιαν S¹, corr. S²

2—15 Par(isinus gr. 1630) fol. 88ᵛ Τοῦ φίλωνος περὶ μετανοίας: φιλάρετος — οὐκ ἀγνοήσαντος. 13—15 Anton. Mel. I 17 (Migne T. 136 Col. 832) Φίλωνος: τὸ μὲν μηδὲν συνόλως ἁμαρτάνειν — οὐκ ἀγνοήσαντος.

προβεβλῆσθαι καὶ ἀληθείας καὶ ἀτυφίας ὡς ἀναγκαιοτάτων καὶ εὐδαι-
μονίας αἰτίων περιέχεσθαι μυθικῶν πλασμάτων κατεξαναστάντας, ἅπερ
ἐκ πρώτης ἡλικίας ἁπαλαῖς ἔτι ψυχαῖς γονεῖς καὶ τίτθαι καὶ παιδαγωγοὶ
καὶ μυρίοι ἄλλοι τῶν συνήθων ἐνεχάραξαν πλάνον ἀνήνυτον περὶ τῆς
179 τοῦ ἀρίστου γνώσεως ἀπεργασάμενοι. τί δ' ἂν εἴη τῶν ὄντων ἄριστον
ἢ θεός; οὗ τὰς τιμὰς προσένειμαν τοῖς οὐ θεοῖς, ἐκείνους μὲν απο-
σεμνύνοντες πλέον τοῦ μετρίου, τοῦ δὲ εἰς ἅπαν οἱ κενοὶ φρενῶν
ἐκλαθόμενοι. πάντας οὖν, ὅσοι τὸν κτίστην καὶ πατέρα τοῦ παντὸς εἰ
καὶ μὴ ἐξ ἀρχῆς σέβειν ἠξίωσαν ἀλλ' ὕστερον μοναρχίαν ἀντὶ πολυ-
αρχίας ἀσπασάμενοι, φιλτάτους καὶ συγγενεστάτους ὑποληπτέον, τὸ
μέγιστον εἰς φιλίαν καὶ οἰκειότητα | παρασχομένους θεοφιλὲς ἦθος, οἷς p. 406 M
χρὴ καὶ συνήδεσθαι, καθάπερ ἂν εἰ καὶ τυφλοὶ πρότερον ὄντες ἀνέβλεψαν
ἐκ βαθυτάτου σκότους αὐγοειδέστατον φῶς ἰδόντες.
180 (2.) Τὸ μὲν οὖν πρῶτον καὶ ἀναγκαιότατον τῶν εἰς μετάνοιαν
εἴρηται. μετανοείτω δέ τις μὴ μόνον ἐφ' οἷς ἠπατήθη πολὺν χρόνον
τὰ γενητὰ πρὸ τοῦ ἀγενήτου καὶ ποιητοῦ θαυμάσας, ἀλλὰ καὶ ἐν τοῖς
ἄλλοις ὅσα περὶ βίον ἀναγκαῖα, μετιὼν ὥσπερ ἐκ τῆς φαυλοτάτης τῶν
κακοπολιτειῶν, ὀχλοκρατίας, εἰς τὴν εὐνομωτάτην πολιτείαν, δημοκρατίαν,
τοῦτο δ' ἐστὶν ἐξ ἀμαθίας εἰς ἐπιστήμην ὧν ἡ ἄγνοια αἰσχρόν, ἐξ
ἀφροσύνης εἰς φρόνησιν, ἐξ ἀκρατείας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς
181 δικαιοσύνην, ἐξ ἀτολμίας εἰς θαρραλεότητα. πάγκαλον γὰρ καὶ συμ-
φέρον αὐτομολεῖν ἀμεταστρεπτὶ πρὸς ἀρετὴν κακίαν, ἐπίβουλον δέσποιναν,

---

1 ἀποβεβλῆσθαι C   ὡς S: om. ceteri (v)   ἀναγκαιοτάτων SCH^2: ἀναγκαιοτάτω G^2, ἀναγκαιότατα G^1, ἀναγκαιότατον AFH^1P καὶ] ὡς G^1 2 αἰτίων S: αἰτιωτάτων CG^1H^2 (v), αἰτιωτάτω G^2, αἰτιώτατον AFH^1P περιέρχεσθαι A   κατεξαναθέντας F^1 3 ἁπαλαῖς] ἀπαλλαγεὶς $F^1H^1P^1$ γονεῖς S: om ceteri (Turn.)   καὶ ante τίτθαι om. C   τιτθαῖς AP^2 4 πλάνον ἀνήνυτον] πλὴν ἀνήνυτα F   6 ἢ om. AFG^1 οὗ] οἳ F   ἐκείνους S: τοὺς ceteri (Turn. Mang.)   7 τοῦ μέτρου SA   7. 8 ἐκλαθόμενοι οἱ κενοὶ φρενῶν S   8 πάντες SC^1 πατέρα CG^2H^2: δημιουργὸν S, τὸν πατέρα ceteri   9 ἠξιώθησαν (sed θησ in ras.) A   9. 10 post πολυαρχίας add. σέβειν H (Turn.)   10 φιλτάτοις καὶ συγγενεστάτοις G^2 11 φιλίαν] φιλανθρωπίαν H   οἰκειότητα SCG^2: οἰκειότατον ceteri   οἷς] ἧς F^1 12 ἂν om. S   14 ὃ μὲν AFHP   16 γεννητὰ A   ἀγεννήτου A   καὶ ποιητοῦ om. S (fort. recte)   ἐν om. G^2; ἐπὶ coni. Mang.   17 βίων A   ἀναγκαῖον C   τῆς om. S   φυλοτάτης S   18 κακοπολιτειῶν] κακοποντίων S   ὀχλοκρατείας AHP, ὀχλοκρασίας SG^2 δημοκρατείαν S^2 19 τοῦτο δ' ἐστὶν S: τουτέστιν ceteri (v)   20 ἀκρατείας] ἀκρασίας A (Mang.)   21 θαρσαλεότητα S   πάγκαλον] καλὸν S   22 αὐτομολεῖν: hic desinunt AFG^1HP, reliqua (usque ad p. 324,14) exhibent solummodo SCG^2

ἀπολιπόντας· ἅμα δ᾽ ἀναγκαῖον ἕπεσθαι, ὡς ἐν ἡλίῳ σκιὰν σώματι, καὶ τῇ
τοῦ ὄντος θεοῦ τιμῇ πᾶσαν τὴν τῶν ἄλλων ἀρετῶν κοινωνίαν. γίνονται 182
γὰρ εὐθὺς οἱ ἐπηλύται σώφρονες, ἐγκρατεῖς, αἰδήμονες, ἥμεροι, χρηστοί,
φιλάνθρωποι, σεμνοί, δίκαιοι, μεγαλόφρονες, ἀληθείας ἐρασταί, κρείττους
χρημάτων καὶ ἡδονῆς· ἐπεὶ καὶ τοὐναντίον τοὺς τῶν ἱερῶν νόμων ἀπο-
στάντας ἰδεῖν ἔστιν ἀκολάστους, ἀναισχύντους, ἀδίκους, ἀσέμνους, ὀλιγό-
φρονας, φιλαπεχθήμονας, ψευδολογίας ἑταίρους καὶ ψευδορκίας, τὴν
ἐλευθερίαν πεπρακότας ὄψου καὶ ἀκράτου καὶ πεμμάτων καὶ εὐμορφίας
εἴς τε τὰς γαστρὸς ἀπολαύσεις καὶ τῶν μετὰ γαστέρα, ὧν τὰ τέλη
βαρύταται ζημίαι σώματός τε καὶ ψυχῆς εἰσι. παγκάλους μέντοι καὶ 183
τὰς εἰς μετάνοιαν ὑφηγήσεις ποιεῖται, αἷς διδασκόμεθα μεθαρμόζεσθαι
τὸν βίον ἐξ ἀναρμοστίας εἰς τὴν ἀμείνω μεταβολήν· φησὶ γάρ, ὅτι τουτὶ τὸ
πρᾶγμα οὐχ ὑπέρογκόν ἐστιν οὐδὲ μακρὰν ἀφεστός, οὔτε κατὰ τὸν αἰθέρα
ἀνωτάτω κἂν ἐσχατιαῖς ⟨γῆς οὔτε πέραν⟩ τῆς μεγάλης θαλάττης, ὡς ἀδυνα-
τῆσαι λαβεῖν, ἀλλ᾽ ἔστιν ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ᾽ ἡμᾶς ἐνδιαι-
τώμενον, στόματι καὶ καρδίᾳ καὶ χερσί, διὰ συμβόλων λόγοις καὶ βουλαῖς
καὶ πράξεσι· λόγου μὲν ⟨γὰρ⟩ στόμα σύμβολον, καρδία δὲ βουλευμάτων,
πράξεων δὲ χεῖρες, ἐν οἷς τὸ εὐδαιμονεῖν ἐστιν. ὅταν μὲν γὰρ οἷος ὁ 184
λόγος τοιάδε ἡ γνώμη καὶ οἷον τὸ βούλευμα τοιάδε ἡ πρᾶξις, ἐπαινετὸς
καὶ τέλειος ὁ βίος, ὅταν δὲ στασιάζῃ ταῦτα ἐν ἀλλήλοις, ἀτελής τε καὶ
ψεκτός. εἰ μή τις τῆς ἁρμονίας ταύτης ἐπιλάθοιτο, εὐαρεστήσει θεῷ

1 σκιὰν om. CG² 2 τὴν om. G² 6 ἔστιν om. CG² 7 ἑταίρους C: ἑτέρους SG² 9 τῶν] τὸν G² 10 βαρύταται Mang.: βαρύτατα codd. εἰσιν SC 13 πρᾶγμα] πρόσταγμα coni. Mang. οὐκ S¹, corr. S² οὐδὲ scripsi: οὔτε codd. (v) ἀφεστὼς codd. 14 κἂν scripsi: καὶ codd.; καὶ ἐν coni. etiam Mang.; deinde ἐσχατιαῖς ⟨γῆς οὔτε πέραν⟩ τῆς μεγάλης θαλάττης supplevi 15 τῶν] τοῖς coni. Mang. coll. Clem. Al. 15. 16 ἐνδιαιτωμένων C¹G² 17 πράξεσιν S γὰρ add. Mang. 21 ἐπιλάθοιτο SG² (prob. Mang.): ἐπιλάβοιτο C (v) εὐαρεστήσει (-ση S) θεῷ SG²: om. C (v)

10sqq. pergit *Clem. Alex. l. l.* ἀφ᾽ ἧς καὶ τῶν ἄλλων κακιῶν μετανοεῖν κελεύει ἁρμοζομένοις τὸν βίον ἐξ ἀναρμοστίας πρὸς τὴν ἀμείνω μεταβολὴν διὰ τῶν τριῶν τούτων, στόματος, καρδίας, χειρῶν. σύμβολον δ᾽ ἂν εἴη ταῦτα πράξεως μὲν αἱ χεῖρες, βουλῆς δὲ ἡ καρδία, καὶ λόγου ⟨τὸ⟩ στόμα. cf. *Clem. Alex. Protrept. cap. 10 p. 85 P. (I 77,32 Stählin)* . . . οὐδέ ἐστι (ἡ ἀλήθεια) δυσπρόσιτος οὐδὲ ἀδύνατος λαβεῖν, ἀλλ᾽ ἔστιν ἐγγυτάτω, ἔνοικος ἡμῶν, ᾗ φησιν αἰνιττόμενος ὁ πάνσοφος Μωυσῆς, τρισὶ τοῖς καθ᾽ ἡμᾶς ἐνδιαιτωμένη μέρεσι, χερσὶ καὶ στόματι καὶ καρδίᾳ. σύμβολον τοῦτο γνήσιον τρισὶ τοῖς πᾶσι συμπληρουμένης τῆς ἀληθείας, βουλῇ καὶ πράξει καὶ λόγῳ. 13 Deut. 30,11—14.

γενόμενος ὁμοῦ θεοφιλὴς καὶ φιλόθεος. ὅθεν εὖ καὶ | συμφώνως τοῖς p. 407 M.
εἰρημένοις ἐχρήσθη τὸ λόγιον ἐκεῖνο· „τὸν θεὸν εἵλου σήμερον εἶναί
σοι θεόν, καὶ κύριος εἵλατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ“ (Deut.
185 26,17.18). παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις, σπεύδοντος ἀνθρώπου
μὲν θεραπεύειν τὸ ὄν, θεοῦ δὲ ἀνυπερθέτως ἐξοικειοῦσθαι τὸν ἱκέτην
καὶ προαπαντᾶν τῷ βουλήματι τοῦ γνησίως καὶ ἀνόθως ἰόντος ἐπὶ τὴν
θεραπείαν αὐτοῦ. ὁ δ' ἀληθὴς θεραπευτής τε καὶ ἱκέτης, κἂν εἷς ὢν
ἀνὴρ ἀριθμῷ τυγχάνῃ, δυνάμει, καθάπερ αὐτὸς αἱρεῖται, σύμπας ἐστὶν
186 ὁ λεώς, ἰσότιμος ὅλῳ ἔθνει γεγονώς. καὶ πέφυκεν οὕτως ἔχειν· ὡς
γὰρ ἐν νηῒ μὲν κυβερνήτης πᾶσι τοῖς ναύταις ἀντίρροπος, ἐν δὲ στρατο-
πέδῳ στρατηγὸς ἅπασι τοῖς στρατιώταις — διαφθαρέντος γοῦν ἡττᾶσθαι
συμβαίνει, καθάπερ ἂν εἰ καὶ πᾶσα δύναμις ἡβηδὸν ἑάλω —, τὸν αὐτὸν
τρόπον καὶ ὁ σοφὸς ὅλου ἔθνους ἀξιώματι ἁμιλλᾶται τείχει πεφραγ-
μένος ἀκαθαιρέτῳ, θεοσεβείᾳ.

Περὶ εὐγενείας.

187 | (1.) Διὸ καὶ τοῖς ὑμνοῦσι τὴν εὐγένειαν ὡς μέγιστον ἀγαθὸν καὶ p. 437 M.
μεγάλων ἀγαθῶν αἴτιον οὐ μετρίως ἐπιτιμητέον, εἰ πρῶτον μὲν οἴονται
τοὺς ἐκ παλαιοπλούτων καὶ παλαιενδόξων εὐγενεῖς, μηδὲ τῶν προγόνων.

1 ὁμοῦ καὶ θεοφιλὴς C (v) 2 τὸ ante τὸν add. S τὸν θεὸν S (Clem. Al.): τὸν κύριον CG^2 (v) εἵλου S (Clem. Al.): ἀντηλλάξω C (v), ἀντηλλαξάτω G^2 3 σοι] σου Clem. Al. θεόν S (Clem. Al.): εἰς θεὸν CG^2 (v) εἵλατό S (Clem. Al.): ἀντηλλάξατο CG^2 (v) αὐτοῦ S 4 τῆς διαιρέσεως S 5 τὸ ὄν S (Clem. Al.): θεόν C (v), θεῷ G^2 6 προαπαντων (sic) S βουλήματι CG^2: βουλεύματι S ἰόντος] εἰ ὄντος G^2 7 ἀληθῶς coni. Mang. ὢν] ω S^1, in ὁ corr. S^2 8 αὐτὸς αἱρεῖται corruptum; αὖθις vel ἄλλοθι εἴρηται coni. Mang., πρότερον εἴρηται coni. Wendl. 11 γ' οὖν G^2 12 πᾶσα δύναμις scripsi: πάσῃ δυνάμει codd. (v) 15 tit. περὶ εὐγενείας SCG^2HP: τοῦ αὐτοῦ περὶ εὐγενείας F 16 Διὸ καὶ τοῖς ὑμνοῦσι F: Καὶ τοῖς ὑμνοῦσι S, Τοῖς δὲ (δ' P) ὑμνοῦσι ceteri (v) ὡς καὶ S 17 εἰ om. S 18 πάλαι ἐνδόξων FG^2 μηδὲ S: μήτε ceteri (v)

1 sqq. pergit *Clem. Alex. Strom. l. l.* καλῶς οὖν ἐπὶ τῶν μετανοούντων εἴρηται τὸ λόγιον ἐκεῖνο „τὸν θεὸν εἵλου σήμερον εἶναί σου θεόν, καὶ κύριος εἵλετό σε σήμερον γενέσθαι λαὸν αὐτῷ“. τὸν γὰρ σπεύδοντα θεραπεύειν τὸ ὂν ἱκέτην ὄντα ἐξοικειοῦται ὁ θεός. κἂν εἷς ᾖ τὸν ἀριθμόν, ἐπ' ἴσης τῷ λαῷ τετίμηται· μέρος γὰρ ὢν τοῦ λαοῦ συμπληρωτικὸς αὐτοῦ γίνεται ἀποκατασταθεὶς ἐξ οὗ ἦν, καλεῖται δὲ καὶ ἐκ μέρους τὸ πᾶν. 16 sqq. cf. Wendland Philo u. die kynisch-stoische Diatribe (W. u. Kern, Beitr. z. Gesch. d. griech. Philos. u. Religion) p. 51 sqq.

ἀφ' ὧν αὐχοῦσι γενέσθαι, διὰ τὰς ἀφθόνους περιουσίας εὐδαιμονησάντων, ἐπειδὴ τὸ πρὸς ἀλήθειαν ἀγαθὸν οὐδενὶ τῶν ἐκτός, ἀλλ' οὐδὲ τῶν περὶ σῶμα, μᾶλλον δὲ οὐδὲ παντὶ μέρει ψυχῆς, ἀλλὰ μόνῳ τῷ ἡγεμονικῷ πέφυκεν ἐνδιαιτᾶσθαι. βουληθεὶς γὰρ ὁ θεὸς δι' ἡμερότητα καὶ 188 φιλανθρωπίαν καὶ παρ' ἡμῖν τοῦθ' ἱδρύσασθαι, νεὼν ἀξιοπρεπέστερον οὐχ εὗρεν ἐπὶ γῆς λογισμοῦ· κρείττων γὰρ ⟨ὢν⟩ μόνος ἀγαλματοφορεῖ τἀγαθόν, κἂν ἀπιστῶσί τινες τῶν ἢ μὴ γευσαμένων σοφίας ἢ χείλεσιν ἄκροις — ἄργυρος γὰρ καὶ χρυσὸς τιμαί τε καὶ ἀρχαὶ καὶ σώματος
p. 438 M. | εὐεξία μετ' εὐμορφίας ⟨ἐξαρκεῖν⟩ ἐοίκασι τοῖς ἐν ταῖς ἡγεμονίαις ἐπὶ χρειῶν τεταγμένοις πρὸς τὴν οἷα βασιλίδος ἀρετῆς ὑπηρεσίαν — * * * αὐγοειδέστατον φῶς μὴ ἰδόντες. ἐπειδὴ τοίνυν ἡ εὐγένεια κεκαθαρμένης 189 διανοίας καθαρσίοις τελείοις κλῆρος οἰκεῖος, χρὴ μόνους λέγειν εὐγενεῖς τοὺς σώφρονας καὶ δικαίους, κἂν τύχωσιν ἐξ οἰκοτρίβων ἢ ἀργυρωνήτων γεγονότες· τοῖς δὲ ἐξ ἀγαθῶν πονηροῖς γεγονόσιν ἄβατον ἔστω τὸ εὐγενείας χωρίον. ἄοικος γὰρ καὶ ἄπολις ὁ φαῦλος, ἐκ πατρίδος ἀρετῆς 190 ἐληλαμένος, ἣ καὶ τῷ ὄντι σοφῶν ἀνδρῶν ἐστι πατρίς· τούτῳ κατὰ τὸ ἀναγκαῖον ἕπεται δυσγένεια, κἂν εἰ πάππων ἢ προγόνων γένοιτο τοὺς βίους ἀνεπιλήπτων, ἀλλοτρίωσιν ἐπιτηδεύοντι καὶ πορρωτάτω τῆς εὐγενείας διαζευγνύντι ἑαυτὸν ἔν τε λόγοις καὶ ἔργοις. ἀλλὰ γὰρ πρὸς τῷ 191 μὴ πεφυκέναι τοὺς πονηροὺς εὐγενεῖς ἔτι καὶ πάντας αὐτοὺς ὁρῶ

1. 2 εὐδαιμονισάντων F 3 δ' S 3. 4 ἡγεμονικωτάτω S 4 δι' S: διὰ ceteri 5 καὶ παρ' ἡμῖν om. H^{1}P τοῦθ' S^2: τοῦτ' S^{1}G^{2}HP, om. F Barb. 6 οὐχ εὗρεν ἐπὶ γῆς S: ἐπὶ γῆς οὐχ εὗρεν ceteri (v) κρείττων γὰρ ὢν μόνος scripsi: κρείττων γὰρ μόνος F, κρείττων γὰρ ὁ νόμος G^2, κρεῖττον (κρείττω H^2)· ὁ γὰρ νόμος HP, παρὸν ὁ νόμος S; κρείττω· ὁ γὰρ νοῦς v, κεκαθαρμένων γὰρ ὁ νοῦς coni. Mang. 7 τἀγαθὸν S: τὸ ἀγαθὸν G^{2}HP, om. F ἐπιστῶσι F pr. ἢ S: om. ceteri 8 pr. καὶ] ἢ S 9 εὐεξία S: εὐεξίαι ceteri (v) ἐξαρκεῖν e. gr. addidi ἐοίκασι SF: om. G^{2}HP (Turn.) 10 lacunam indicavi 11 αὐγοειδέστατον φῶς μὴ ἰδόντες om. S αὐγ.] ἀνειδέστατον H^{1}P 12 καθαρσίοις S (Mang.): καὶ καθαρσίοις ceteri χρὴ μόνους S: μόνους χρὴ H^2 (v), μόνους δὲ χρὴ ceteri 13 ἢ] καὶ FN 14 δ' HP γεγονόσιν om. S (fort. recte) 15 ὁ φαῦλος S: πᾶς φαῦλος ceteri (v) 16 ἐληλασμένος G^{2}HP ἣ scripsi: εἰ S, ἥτις ceteri (v) τοῦτο F^1 17 κἂν εἰ FNG^{2}H^2: κἂν ἢ SH^{1}P (v) ἢ] καὶ HP προγόνων SFNG^2: προπάππων HP (v) 18. 19 ἐπιτηδεύων καὶ πορρω τα της (sic) συγγενείας διαζευγνὺς S 19 ἀλλὰ] ἅμα S πρὸς om. S τῷ] τὸ SG^{2}H 20 μὴ om. G^2 πονηροὺς] μοχθηροὺς FNG^2

4—6 Maximi Eclog. cod. Barb. I 158: βουληθεὶς — λογισμοῦ κρείττω. 12—329,12 N fol. 189^r: μόνους χρὴ λέγειν — καθ' ὅσον οἷόν τε ἦν.

πολεμίους ἀσυμβάτους εὐγενείᾳ καθαιροῦντας τὸ προγονικὸν ἀξίωμα καὶ
192 ὅσον ἐν τῷ γένει λαμπρὸν ἐξαμαυροῦντάς τε καὶ σβεννύντας. (2.) διό
μοι δοκοῦσι φιλοστοργότατοι πατέρες ἀπορρήσεις χρηματίζειν καθ' υἱῶν
ἀποσχοινίζοντες αὐτοὺς τῆς οἰκίας καὶ συγγενείας, ὅταν τὴν ἐκ φύσεως
ἐν τοῖς γεννήσασι περιττὴν καὶ ὑπερβάλλουσαν εὔνοιαν ἡ ἐν ἐκείνοις
193 μοχθηρία κατακρατήσῃ. τὸ δ' ἀληθὲς τοῦ λόγου ῥᾴδιον καὶ ἀφ'
ἑτέρων διαγνῶναι. τί τῷ τὰς ὄψεις πεπηρωμένῳ γένοιτ' ἂν εἰς τὸ
βλέπειν ὄφελος ὀξυωπία προγονική; ἢ πρὸς ἑρμηνείαν τῷ παρειμένῳ
γλῶτταν τὸ γονεῖς ἢ πάππους γενέσθαι μεγαλοφώνους; τί δ' ὀνίνησι
πρὸς εὐτονίαν τὸν ἐκ μακρᾶς καὶ φθινάδος νόσου κατεσκελετευμένον,
ἐὰν οἱ τοῦ γένους ἀρχηγέται δι' ἀθλητικὴν ῥώμην ἐν Ὀλυμπιονίκαις ἢ
περιοδονίκαις γράφωνται; μένουσι γὰρ οὐδὲν ἧττον αἱ τοῦ σώματος
κῆρες ἐν ὁμοίῳ βελτίωσιν οὐκ ἐνδεχόμεναι διὰ τὰς τῶν οἰκείων εὐπρα-
194 γίας. τὸν αὐτὸν δὴ τρόπον οὔτε τοῖς ἀδίκοις δίκαιοι γονεῖς οὔτε
ἀκολάστοις σώφρονες οὔτε συνόλως ἀγαθοὶ πονηροῖς ὄφελος· οὐδὲ γὰρ
οἱ νόμοι τοῖς παρανομοῦσιν, ὧν εἰσιν αὐτοὶ κολασταί· νόμοι δέ τινες
195 ἄγραφοι καὶ οἱ βίοι τῶν ζηλωσάντων τὴν ἀρετήν. ὅθεν οἶμαι τὴν
εὐγένειαν, εἰ θεὸς αὐτὴν εἰς ἀνθρωπόμορφον ἰδέαν ἐτύπωσε, στᾶσαν
πρὸς τοὺς ἀφηνιαστὰς ἀπογόνους ταῦτα ἂν εἰπεῖν· „τὸ συγγενὲς οὐχ
αἵματι μετρεῖται μόνον, πρυτανευούσης ἀληθείας, ἀλλὰ πράξεων ὁμοιότητι
καὶ θήρᾳ τῶν αὐτῶν. ὑμεῖς δὲ τἀναντία ἐπετηδεύσατε, τὰ μὲν ἐμοὶ
φίλα νομίσαντες ἐχθρά, τὰ δὲ | δυσμενῆ φίλα· παρ' ἐμοὶ μὲν γὰρ p. 439 M.
αἰδὼς καὶ ἀλήθεια μετριοπάθειά τε καὶ ἀτυφία καὶ ἀκακία τίμια, παρ'

1 εὐγενείᾳ S: εὐγένειαν ceteri (v): εὐγενείας Maug. 2 ὅσοι S 3 ἀπορρήσεις FN: ἀπαρνήσεις ceteri (v) καθ' S^{2}: κατ' S^{1}, κατὰ $FG^{2}H^{2}$, καὶ τὰ $H^{1}P$ 4 οἰκείας S post οἰκίας add. πατρίδος G^{2} καὶ del. S^{2} 5 γεννήσασιν S, γεννήμασι P ἔννοιαν FN 6 κατακρατήσῃ N: κατακρατήσοι F, κατακρατήσειε $G^{2}P$, κατακρατήσειεν SH (v) 7 τῷ om. S 7. 8 τὸ βλέπειν] τὰς ὄψεις HP (Turn.) 8 ὤφελος S^{1}, corr. S^{2} ὀξυωπία προγονική S: ὀξυωπίας προγονικῆς ἐστερημένω ceteri (v) παρημένω S 9 τὸ codd.: om. v ὀνήνησι (sic) S: ὀνήσει ceteri (v) 10 φθεινάδος S (φθινάδος scripsi): φθεινώδους P, φθινώδους ceteri (v) κατεσκηλιτευμένον S 12 περιοδονίκαις] περίοδον καὶ S γράφωνται FNP: γράφονται $S^{2}G^{2}H$ (v), στράφονται S^{1} 13 κήραις SG^{2}, κῆραι FNHP οἰκιῶν N 14 τοῖς om. FN 15 ὤφελος S^{1}, corr. S^{2} οὐδὲ S: οὔτε ceteri (v) 16. 17 νόμοι δέ τινες ἄγραφοι καὶ S: νόμοι δὲ τίνες ἂν εἶεν ἄγραφοι ἢ ceteri (v) 17 τὴν ἀρετήν S: τὴν om. ceteri (v) οἶμαι: hic incipit C οἶμαι] οι S 18 εἰδέαν S ἐτύπωσε] διαπλάσει (sic) S καταστᾶσα (sic) S 19 ταῦτ' CG^{2} 20 μόνον om. S πράξεως S 21 θηρατῶν αὐτῶν S 22 ἐχθρά] αἰσχρὰ HP τὰ δὲ codd.: τὰ δὲ καὶ Maug. 23 μετροπάθεια HP τιμία $G^{2}HP$

ὑμῖν δὲ ἄτιμα· κἀμοὶ μὲν ἐχθρὰ τὸ ἀναίσχυντον, τὸ ψεῦδος, ἡ ἀμετρία
τῶν παθῶν, ὁ τῦφος, αἱ κακίαι, ὑμῖν δὲ οἰκειότατα. τί δὴ μελετήσαντες 196
ἀλλοτρίωσιν τὴν δι᾽ ἔργων τὴν ἐν λόγῳ συγγένειαν εὐπρεπὲς ὄνομα
ὑποδυόμενοι καθυποκρίνεσθε; παραγωγὰς γὰρ καὶ κεκομψευμένας ἀπάτας
οὐκ ἀνέχομαι, διότι ῥᾴδιον μὲν καὶ τῷ τυχόντι εὐπροσώπους λόγους
εὑρεῖν, ἤθη δ᾽ ὑπαλλάξασθαι πονηρὰ χρηστοῖς οὐ ῥᾴδιον. εἰς ἅπερ 197
ἀφορῶσα καὶ νῦν ἐχθροὺς νομίζω καὶ αὖθις ἡγήσομαι τοὺς τὰ τῆς
ἔχθρας ὑπεκκαύματα ζωπυρήσαντας καὶ μᾶλλον τῶν εἰς δυσγένειαν
ὀνειδιζομένων ὑποβλέψομαι· τούτοις μὲν γὰρ ἀπολογία τὸ μηδὲν οἰκεῖον
ἔχειν ⟨παράδειγμα⟩ καλοκἀγαθίας, ὑπόδικοι δ᾽ ὑμεῖς οἱ ἐκ μεγάλων
φύντες οἴκων, οἷς αὔχημα καὶ κλέος τὰ λαμπρὰ γένη· παριδρυμένων
γὰρ καὶ τρόπον τινὰ συμπεφυκότων ἀρχετύπων ἀγαθῶν οὐδὲν ἀπο-
μάξασθαι καλὸν διενοήθητε."

Ὅτι δὲ ἐν ἀρετῆς κτήσει τίθεται τὸ εὐγενὲς καὶ τὸν ἔχοντα ταύτην 198
εὐγενῆ μόνον ὑπείληφεν, ἀλλ᾽ οὐχ ὅστις ἂν καλῶν καὶ ἀγαθῶν γένηται
γονέων, δῆλον ἐκ πολλῶν. (3.) αὐτίκα τοὺς ἐκ τοῦ γηγενοῦς φύντας 199
τίς οὐκ ἂν εὐπατρίδας εἴποι καὶ εὐπατριδῶν ἀρχηγέτας; οἳ γένος
ἐξαίρετον ἔλαχον παρὰ τοὺς ἔπειτα, βλαστήσαντες ἐκ τῶν πρώτων
νυμφίων ἀνδρός τε καὶ γυναικὸς τότε πρῶτον εἰς ὁμιλίαν κοινὴν ἐπὶ
σπορᾷ τοῦ ὁμοίου συνελθόντων. ἀλλ᾽ ὅμως δυοῖν γενομένων ὁ πρεσβύ-
τερος ὑπέμεινε τὸν νεώτερον δολοφονῆσαι καὶ τὸ μέγιστον ἄγος, ἀδελφο-

1 δὲ S: δ᾽ ceteri ἄτιμα SC²G²: ἀτιμία ceteri κἀμοὶ S: καὶ ἐμοὶ ceteri ἐχθρὰ] αἰσχρὰ HP τὸ ἀναίσχυντον Mang.: τὸ ἀναισχύντατον S, τὰ ἀναίσχυντα ceteri (Turn.) τὸ ante ψεῦδος om. S 2 ἡ κακία S 4 καὶ κεκομψευμένας N: καὶ om. ceteri, καὶ post κεκομψευμένας ss. H² (sic v) κεκομψευσμένας F ἀπατᾶς H¹P, ἀπάτης C 5 διότι] διὸ S πρὸς ante εὐπροσώπους add. P 6 ἤθη] ἢ S ὑπαλλάξασθαι S: ὑπαλλάξαι ceteri (v) 7 τὰ C: τὰς S, κατὰ FG²HP, τοὺς corr. in τὰ κατὰ N 8 ἔχθρας codd.: ἐχθρᾶς v ἐκκαύματα S ζωπυρήσοντας N 9 ὑποβλέψομαι C: ἀποβλέψομαι ceteri 10 παράδειγμα add. Wendl. (v. sup. p. 251,1) 11 περιϊδρυμένων S 12. 13 ἀπομάξασθε S 14 ὅτι om. C δ᾽ S ἐν om. HP (Turn.) ἐν ἀρετῆς δὲ transp. C κτίσει F τίθετε G²H² (Turn.) καὶ om. G² 15 ὑπείληφεν S: ὑπειλήφαμεν C, ὑπελείφατε F, ὑπειλήφατε ceteri (v) ὥς τις F ἂν om. FN 16 γονέων] προγόνων S γονέων: hic desinit C 17 εὐπατριδῶν FG²: ἐκπατρίδων (sic; εὐ ss.) S, εὐπατρίδων ceteri (v) οἳ] οἷς H¹P γένος] γέρας coni. Mang. 18 βλαστήσαντες H²: βλαστῶντας S, βλαστήσαντας ceteri 19 τε om. S καινὴν S 20 σπορὰν S γενομένοιν S (sed οι ex ω corr.) 21 ὑπέμεινεν S ἄγος] ἄλγος H

6 sqq. Gen. cap. 4.

200 κτονίαν, ἐργασάμενος πρῶτος αἵματι ἀνθρωπίνῳ τὴν γῆν ἐμίανε. τί δὴ τοῦτον ὤνησεν ἡ εὐγένεια τὴν ἐν τῇ ψυχῇ δυσγένειαν ἐπιδειξάμενον; ἣν καὶ ὁ τῶν ἀνθρωπίνων πραγμάτων ἔφορος θεὸς ἰδὼν ἐστύγησε καὶ προβαλλόμενος ὥρισε τιμωρίας, οὐκ εὐθὺς ἀνελών, ὅπως ἀναισθήτως ἔχῃ συμφορῶν, ἀλλὰ μυρίους ἐπικρεμάσας τοὺς ἐν αἰσθήσει θανάτους λύπαις καὶ φόβοις ἐπαλλήλοις εἰς κακῶν ὀδυνηροτάτων ἀντίληψιν.

201 Ἐγένετο δέ τις τῶν μετὰ ταῦτα σφόδρα δοκίμων ἀνὴρ ὁσιώτατος, οὗ τὴν εὐσέβειαν ἀνάγραπτον ἠξίωσεν ⟨εἶναι⟩ ἐν ἱεραῖς βίβλοις ὁ τοὺς νόμους διαταξάμενος· ὃς ἐν τῷ μεγάλῳ κατακλυσμῷ, τῶν πόλεων ἀφανιζομένων πανωλεθρίᾳ — καὶ γὰρ τῶν ὀρῶν τὰ ὑψηλότατα | τῇ p. 440 M συναυξήσει καὶ ἐπιτάσει τῆς περὶ τὴν φορὰν πλημμύρας κατεπίνετο —, μόνος μετὰ τῶν οἰκείων διασῴζεται τῆς καλοκἀγαθίας ἆθλον ἀράμενος,
202 οὗ μεῖζον οὐκ ἔστιν εὑρεῖν. ἀλλὰ καὶ τούτῳ τριῶν γενομένων παίδων καὶ συναπολελαυκότων τῆς πατρῴας δωρεᾶς εἷς ἐτόλμησε τὸν αἴτιον τῆς σωτηρίας πατέρα κατακερτομεῖν γέλωτα καὶ χλεύην, εἴ τι παρεσφάλη μὴ καθ' ἑκούσιον γνώμην, τιθέμενος καὶ τοῖς μὴ εἰδόσιν ἀπογυμνῶν ἃ κρύπτειν θέμις ἐπὶ τῇ τοῦ γεννήσαντος αἰσχύνῃ. τοιγαροῦν οὐκ ὤνατο τῆς λαμπρᾶς εὐγενείας ἐπάρατος γενόμενος καὶ τοῖς μετ' αὐτὸν ἀρχὴ κακοδαιμονίας· ὧν ἄξιον ἦν τυγχάνειν τὸν ἠμεληκότα γονέων τιμῆς.

1 ἀνθρωπείῳ S (ει corr. ex ι) μιαίνει S 2 δὴ om. FN ἡ om. F τῇ om. HP (v) 3 ἣν om. FN ὁ om. G^2HP (v) ἀνθρωπίων S ἐστύγησεν S 4 προβαλόμενος F (v) ὥρισε τιμωρίας S: τιμωρίας ὥρισεν ceteri (v) 6 λύπας καὶ φόβους ἐπαλλήλους coni. Mang. ἐπαλλήλοις om. FN 7 σφόδρα om. S δοκήμων S 8 ἀνάγραπτον om. S εἶναι addidi (ἐστηλιτεῦσθαι conieceram) ἐν om. S 9 ὃς ἐν S: ἐν γοῦν ceteri (v) 10 πανολεθρία SG^2 ὀρῶν S: ὀρέων ceteri (v) 11 καὶ ἐπιτάσει om. FN; καὶ ἐπιδόσει coni. Mang. τὴν] τῆς S^1, corr. S^2 πλημμύρης S κατεπίνοντο S, κατεπιαίνετο N 12 μόνος om. FN σώζεται S εὑράμενος SN 14 συναπηλαυκότων S εἷς] ἧς S^1, corr. S^2 15 χλεύγην S^1 εἴ τι περ ἐσφάλη F 15. 16 μὴ παρεσφάλη transp. S, μὴ παρεσφάλη μὴ G^2P 16 ἰδόσιν S 17 ἃ κρύπτειν] ἀποκρύπτειν S ἦν θέμις N τοιγαροῦν] τοῖς γὰρ οὖν S 17. 18 οὐκ ὤνατο S: ἀπὸ ceteri (v); οὐκ ἀπώνατο coni. Mang. 18 τοῖς] τῆς F 18. 19 μετ' αὐτὴν H^1P 19 ἀρχϊκακοδαιμονίας ἐστὶν F (ἐστιν add. etiam N) ἀρχὴν SH^1P τυχεῖν S

7sqq. Gen. 6,9sqq. 12 *Clem. Alex. Strom. II 19 p. 481P.* Νῶε δὲ ὁ μὴ οὕτω γενόμενος ὡς ὁ Ἀδὰμ ἐπισκοπῇ θείᾳ διασῴζεται· φέρων γὰρ αὑτὸν ἀνέθηκε τῷ θεῷ. 13sqq. Gen. 9,18sqq.

Ἀλλὰ τί τούτων μεμνῆσθαι προσῆκεν ἀφέμενον τοῦ πρώτου καὶ 203
γηγενοῦς; ὃς ἕνεκα εὐγενείας οὐδενὶ θνητῷ σύγκριτος, χερσὶ μὲν θείαις
⟨εἰς⟩ ἀνδριάντα τὸν σωματοειδῆ τυπωθεὶς ἀκρότητι τέχνης πλαστικῆς,
ψυχῆς δὲ ἀξιωθεὶς ἀπ᾽ οὐδενὸς ἔτι τῶν εἰς γένεσιν ἡκόντων, ἐμπνεύ-
σαντος θεοῦ τῆς ἰδίας δυνάμεως ὅσον ἐδύνατο δέξασθαι θνητὴ φύσις,
ἆρ᾽ οὐχ ὑπερβολή τις εὐγενείας μηδεμιᾷ τῶν ἄλλων ὅσαι διωνομάσθησαν
εἰς σύγκρισιν ἐλθεῖν δυναμένη; τῶν μὲν γὰρ τὸ κλέος ἐκ προγόνων 204
εὐτυχίας — ἄνθρωποι δὲ οἱ πρόγονοι, ζῷα ἐπίκηρα καὶ φθαρτά, καὶ
αἱ τούτων ἀβέβαιοι καὶ ἐφήμεροι τὰ πολλὰ εὐπραγίαι —, τοῦ δὲ
πατὴρ [μὲν] θνητὸς οὐδείς, ὁ δὲ αἴδιος θεός· οὗ τρόπον τινὰ γενό- 205
μενος εἰκὼν κατὰ τὸν ἡγεμόνα νοῦν ἐν ψυχῇ, δέον ἀκηλίδωτον τὴν
εἰκόνα φυλάξαι καθ᾽ ὅσον οἷόν τε ἦν ἐπακολουθήσαντα ταῖς τοῦ γεννή-
σαντος ἀρεταῖς, προτεθέντων εἰς αἱρέσεις καὶ φυγὰς τῶν ἐναντίων,
ἀγαθοῦ καὶ κακοῦ καὶ καλοῦ καὶ αἰσχροῦ καὶ ἀληθοῦς καὶ ψευδοῦς,
τὰ μὲν ψευδῆ καὶ αἰσχρὰ καὶ κακὰ προθύμως εἵλετο, τῶν δὲ ἀγαθῶν
καὶ καλῶν καὶ ἀληθῶν ὠλιγώρησεν· ἐφ᾽ οἷς εἰκότως θνητὸν ἀθανάτου
βίον ἀνθυπηλλάξατο μακαριότητος καὶ εὐδαιμονίας σφαλεὶς καὶ ῥᾷστα
μετέβαλεν εἰς ἐπίπονον καὶ κακοδαίμονα ζωήν.

1 προσῆκον P 2 γηγενοῦς] εὐγενοῦς S ἕνεκεν N 3 εἰς add. Turn., om. codd. σωματοειδῆ] σώματος ἤδη S ἀκρότητι δὲ τέχνης N 4 δ᾽ S γέννησιν HP (v) 5 ἰδίας FN: θείας ceteri (Turn.) ἐδύνατο S: ἠδύνατο ceteri (v) 6 ἆρ᾽ οὐχ S: ἦν ἆρ᾽ οὐχ F, ἦν ἄρ᾽ οὐχ ceteri (v) τις FN: τῆς ceteri (v) μηδεμιᾷ scripsi: μὴ δὲ μία S, μηδεμιᾶς ceteri (v) ὅσαι διωνομάσθησαν scripsi: ὅσα διωνομάσθη S, ἀϊδίων (ἰδίων N) ὀνομασθεῖσαν ceteri; αἱ (sic) δὴ ὠνομάσθησαν v 7 δυναμένη S: δυναμένης ceteri (v) τῶν S: ὧν ceteri 8 εὐτυχίας FG^{2}: εὐτυχία N, εὐτυχίαις S, ἀτυχίας HP, εὐτυχίας (γενείας supra) L; εὐγενείας v ἐπίκαιρα S 9 αἱ τούτων post τὰ πολλὰ transponendum videtur 10 μὲν seclusi ὁ δὲ αἴδιος S: οὐδὲ αἴτιος ἀλλ᾽ ἢ ceteri (v) οὗ] ὁ $H^{1}P$ 12 ἐπακολουθήσαντα HP: ἐπακολουθήσαντος FG^{2}, ἐπακολουθήσεται S^{1}, -θήσαιε S^{2} 13 προτεθέντων S: προστεθέντων $G^{2}HP$, προστιθέντων F 14 ἀγαθοῦ τε καὶ S (Mang.) 15 alt. καὶ] ἢ F εἵλατο S 16 ἀληθινῶν S^{2} (λη et ιν in ras.) εἰκότως] εἰκὼς S ἀθανάτου S (Clem. Al): ἀντ᾽ ἀθανάτου ceteri (v) 17 σφαλεὶς codd.: ἀποσφαλεὶς v καὶ ῥᾷστα v (Turn.): αἳ ῥᾷστα F, ἐραστὰ ceteri 18 μετέβαλον F

1 sqq. Gen. cap. 3. 10 sqq. *Clem. Alex. l. l.* (ante verba ad p. 328,12 adnot.) αὕτη δὲ ἡ εὐγένεια ἐν τῷ ἑλέσθαι καὶ συνασκῆσαι τὰ κάλλιστα διαδείκνυται· ἐπεὶ τί τὸν Ἀδὰμ ὠφέλησεν ἡ τοιαύτη αὐτοῦ εὐγένεια; πατὴρ δὲ αὐτοῦ θνητὸς οὐδείς, αὐτὸς γὰρ ἀνθρώπων τῶν ἐν γενέσει πατήρ. τὰ μὲν αἰσχρὰ οὗτος προθύμως εἵλετο ἑπόμενος τῇ γυναικί, τῶν δὲ ἀληθῶν καὶ καλῶν ἠμέλησεν, ἐφ᾽ οἷς θνητὸν ἀθανάτου βίον, ἀλλ᾽ οὐκ εἰς τέλος, ἀνθυπηλλάξατο.

206 (4.) Ἀλλ' οὗτοι μὲν ἔστωσαν κοινοὶ πᾶσιν ἀνθρώποις ὅροι τοῦ
μὴ ἐπὶ μεγάλοις γένεσι σεμνύνεσθαι τοὺς καλοκἀγαθίας ἀμοιροῦντας·
Ἰουδαίοις δὲ καὶ ἕτεροι δίχα τῶν κοινῶν ἐξαίρετοι. τῶν γὰρ τοῦ γένους
ἀρχηγετῶν εἰσιν οὓς αἱ τῶν προγόνων ἀρεταὶ συνόλως οὐδὲν ὤνησαν
⟨ἐπ'⟩ ἐπιλήπτοις καὶ | ὑπαιτίοις πράξεσιν ἁλόντας, εἰ καὶ πρὸς ἑτέρου p. 441 M.
μηδενὸς ἐλεγχθέντας, ἀλλ' οὖν ὑπὸ τοῦ συνειδότος, ὃ μόνον ἐξ ἁπάντων
207 δικαστήριον τέχναις λόγων οὐ παράγεται. πολύπαις ἦν ὁ πρῶτος ἐκ
τριῶν παιδοποιησάμενος γυναικῶν, οὐ δι' ἡδονῆς ἀπόλαυσιν, ἀλλὰ δι'
ἐλπίδα τοῦ πληθῦναι τὸ γένος· ἀλλ' ἐκ πολλῶν εἷς μόνος ἀπεδείχθη
κληρονόμος τῶν πατρῴων ἀγαθῶν, οἱ δ' ἄλλοι πάντες γνώμης ὑγιοῦς
σφαλέντες καὶ μηδὲν τῶν τοῦ γεννήσαντος ἀπομαξάμενοι διῳκίσθησαν
208 ἀλλοτριωθέντες τῆς ἀοιδίμου εὐγενείας. πάλιν ἐκ τοῦ δοκιμασθέντος
κληρονόμου δύο δίδυμοι γεννῶνται μηδὲν [ὅτι μὴ χεῖρας καὶ ταύτας
ἕνεκά τινος οἰκονομίας] ὅμοιον ἐπιφερόμενοι, μήτε τοῖς σώμασι μήτε
ταῖς γνώμαις· ὁ μὲν γὰρ νεώτερος καταπειθὴς ἀμφοτέροις τοῖς γονεῦσιν
ἦν καὶ οὕτως εὐάρεστος, ὡς καὶ θεοῦ τυχεῖν ἐπαινέτου, ὁ δὲ μείζων
ἀπειθής, [ἐκ] τῶν γαστρὸς καὶ τῶν μετὰ γαστέρα ἡδονῶν ἀκρατῶς
ἔχων, ὑφ' ὧν ἀνεπείσθη καὶ πρεσβείων ἐξίστασθαι τῷ μετ' αὐτὸν καὶ
μετανοεῖν εὐθὺς ἐφ' οἷς ἐξέστη καὶ φονᾶν κατὰ τοῦ ἀδελφοῦ καὶ μηδὲν
209 ἕτερον ἢ δι' ὧν λυπήσει τοὺς γονεῖς πραγματεύεσθαι. τοιγαροῦν τῷ
μὲν εὐχὰς τίθενται τὰς ἀνωτάτω, βεβαιοῦντος ἁπάσας θεοῦ καὶ μηδεμίαν
ἀξιώσαντος ἀτελῆ καταλιπεῖν, τῷ δὲ κατ' ἔλεον χαρίζονται τὴν ὑπήκοον

1 καινοὶ G[2] 2 τοὺς καλοκἀγαθίας om. S 3 ἰουδαῖοι H[1]P δίχα om. HP 5 ἐπ' add. Turn., om. codd. 5. 6 εἰ—ἐλεγχθέντας SF: om. G[2]HP 7 δικαστηρίων F πρώτως H[2] 9 μόνος] μὲν S 10 πατρίων S 12 ἀοιδήμου S εὐγενείας] συγγενείας Mang. ex Clem. Al. 13. 14 verba ὅτι μὴ—οἰκονομίας seclusi 14 ὅμοιον om. F περιφερόμενοι coni. Mang. 15 ἀμφοτέροις τοῖς γονεῦσιν S: τοῖς γονεῦσιν ἀμφοτέροις ceteri (v) 16 pr. καὶ om. S οὕτως FG[2]HP (coni. Mang.), οὗτος S: ὄντως v 16. 17 μείζων ἀπειθὴς ἐκ τῶν om. S 17 ἐκ seclusi; καὶ coni. Mang. τῆς γαστρὸς S 17. 18 ἀκρατῶς ἔχων] ἀκρατὴς S 18 πρεσβείων S: πρεσβειῶν ceteri τῷ v (Turn.): τῶν codd. 19 φονᾶν] φόνον F 21 τίθεται H[1]P ἁπάσας S: αὐτὰς ceteri (v) 22 κατ' ἔλαιον F

7 sqq. *Clem. Alex. l. l.* τόν τε Ἀβραὰμ ἐκ τριῶν παιδοποιησάμενον γυναικῶν, οὐ δι' ἡδονῆς ἀπόλαυσιν, δι' ἐλπίδα δέ, οἶμαι, τοῦ πληθῦναι τὸ γένος ἐν ἀρχῇ, εἷς μόνος διαδέχεται κληρονόμος τῶν πατρῴων ἀγαθῶν, οἱ δὲ ἄλλοι διῳκίσθησαν τῆς συγγενείας (l. εὐγενείας). ἔκ τε αὐτοῦ διδύμων γενομένων ὁ νεώτερος κληρονομεῖ εὐάρεστος τῷ πατρὶ γενόμενος καὶ τὰς εὐχὰς λαμβάνει, δουλεύει δὲ ὁ πρεσβύτερος αὐτῷ· ἀγαθὸν γὰρ μέγιστον τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον. 9 Gen. 24,36. 25,5. 6. 15 Gen. 25,27. 18 Gen. 25,29—34. 27,27 sqq.

τάξιν, ἵνα δουλεύῃ τῷ ἀδελφῷ, νομίζοντες, ὅπερ ἐστίν, ἀγαθὸν εἶναι τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον. καὶ εἴ γε ὑπέμεινε τὴν δουλείαν ἄσμενος, 210
δευτερείων ἂν ἠξιοῦτο ὡς ἐν ἄθλοις ἀρετῆς· νυνὶ δὲ ἀπαυθαδισάμενος καὶ δραπετεύσας τῆς καλῆς ἐπιστασίας αὐτῷ τε καὶ τοῖς ἀπογόνοις μεγάλων αἴτιος ὀνειδῶν ἐγένετο, ὡς τὸν ἀβίωτον αὐτοῦ βίον ἐστηλιτεῦσθαι πρὸς σαφέστατον ἔλεγχον τοῦ μηδὲν τὴν εὐγένειαν ὠφελεῖν τοὺς ἀναξίους εὐγενείας.

(5.) Οὗτοι μὲν οὖν εἰσι τῆς ἐπιλήπτου τάξεως, οὓς ἐξ ἀγαθῶν 211
πονηροὺς γενομένους ὤνησαν μὲν οὐδὲν αἱ πατέρων ἀρεταί, αἱ δ' ἐν τῇ ψυχῇ κακίαι μυρία ἔβλαψαν. ἔχω δ' εἰπεῖν ἑτέρους τὴν ἐξ ἐναντίας ἀμείνω τεταγμένους τάξιν, οἷς πρόγονοι μὲν ὑπαίτιοι, ζηλωτὸς δὲ καὶ ἀνάπλεως εὐφημίας ὁ βίος. τοῦ τῶν Ἰουδαίων ἔθνους ὁ πρεσβύτατος 212
γένος μὲν ἦν Χαλδαῖος, πατρὸς δὲ ἀστρονομικοῦ τῶν περὶ τὰ μαθήματα
p. 442 M. διατριβόντων, οἳ τοὺς ἀστέρας θεοὺς νομίζουσι καὶ τὸν | σύμπαντα οὐρανόν τε καὶ κόσμον, παρ' οὓς τό τε εὖ καὶ τὸ χεῖρον ἑκάστοις φασὶν ἀποβαίνειν, οὐδὲν ἔξω τῶν αἰσθητῶν αἴτιον ὑπολαμβάνοντες εἶναι. τούτου δὲ τί ἂν εἴη χαλεπώτερον ἢ μᾶλλον ἀπελέγξαι τὴν ἐν 213
τῇ ψυχῇ δυσγένειαν δυνάμενον δι' ἐπιστήμης τῶν πολλῶν καὶ δευτέρων καὶ γενητῶν εἰς ἀνεπιστημοσύνην ἰούσῃ τοῦ ἑνὸς καὶ πρεσβυτάτου καὶ ἀγενήτου καὶ ποιητοῦ τῶν ὅλων καὶ διά τε ταῦτα ἀρίστου καὶ διὰ μυρία ἄλλα, ἃ διὰ μέγεθος ἀνθρώπινος λογισμὸς οὐ χωρεῖ; ὧν ἔννοιαν 214

1 ἀγαθὸν ⟨μέγιστον⟩ Wendl. coll. Clem. Al. 2 εἴ γε] εἴτε S ἀσμένως S (sed ω ex ο corr.) 3 ἠξιούτω G^2 ἀπαυθαδισάμενος scripsi: αὐθαδησάμενος S, ἀπαυθαδίσας HP, ἀπαυθαδιάσας FG^2 (v) 4 δραπετεύσας S: ἀποδρὰς ceteri (Turn.) τῆς καλῆς ἐπιστασίας S: om. ceteri (Turn.) αὐτῷ SF τε om. S 6 τοῦ] τῷ H^{1}P 9 pr. αἱ om. S 10 μυρίαι F τὴν codd.: τοὺς v 11 οἷς FH^2: ἧς ceteri 12 ἀνάπλεος S ὁ βίος S: ὁ τούτων βίος ceteri (v) τῶν om. FE Ἰουδαίων] ἰδαίων S 13 γένος scripsi: γένει FE, γένους ceteri (v) χαλδαῖος FG^{2}E: χαλδαίου ceteri (v) 14 νομίζουσιν S 15 οὓς] οἷς HP alt. τὸ om. SF ἑκάστοις om. F 16 φασὶν FE: φησὶν ceteri (v) ἀποβαίνειν FE: ἀποβαίνει ceteri ὑπολαμβάνων H^{1}P 17 εἴη] ἢ HP 18 δυνάμενον suspectum 19 γεννητῶν FHP ἰούσῃ Mang.: om. S, ἰούσης ceteri πρεσβύτου S, πρεσβυτέρου F 20 ἀγενήτου FG^{2}E: γενήτου S, γεννητοῦ HP (Mang.) 21 διὰ om. S ἀνθρωπίνοις λογισμοῖς S οὐ χωρεῖ; ὧν] οὐ χωρων S ὧν (S)G^{2}H^{1}P: ὃν FEH^2 (v) ἔννοιαν S: ἐν νῷ ceteri (v)

12—332,13 E (= Philonis quod fertur opusc. περὶ κόσμου II p. 602,13—603,6 Mang.): καὶ ὁ τοῦ Ἰουδαίων ἔθνους πρεσβύτατος γένει μὲν ἦν Χαλδαῖος — τὸ προνοοῦν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ.

λαβὼν καὶ ἐπιθειάσας καταλείπει μὲν πατρίδα καὶ γενεὰν καὶ πατρῷον οἶκον, εἰδὼς ὅτι μένοντος μὲν αἱ τῆς πολυθέου δόξης ἐγκαταμενοῦσιν ἀπάται ἀνήνυτον κατασκευάζουσαι τὴν τοῦ ἑνὸς εὕρεσιν, ὅς ἐστιν ἀΐδιος μόνος καὶ ὅλων πατὴρ νοητῶν τε αὖ καὶ αἰσθητῶν, εἰ δὲ μετανασταίη, μεταναστήσεται καὶ τῆς διανοίας ἡ ἀπάτη μεθαρμοσαμένης τὴν ψευδῆ
215 δόξαν εἰς ἀλήθειαν. ἅμα δὲ καὶ τὸν πόθον ὃν ἐπόθει γνῶναι τὸ ὂν προσανερρίπισε λόγια χρησθέντα, οἷς ποδηγετούμενος ἐπὶ τὴν τοῦ ἑνὸς ἀοκνοτάτῃ σπουδῇ ζήτησιν ᾔει· καὶ οὐ πρότερον ἀνῆκεν ἢ τρανοτέρας λαβεῖν φαντασίας, οὐχὶ τῆς οὐσίας — τοῦτο γὰρ ἀμήχανον —, ἀλλὰ
216 τῆς ὑπάρξεως αὐτοῦ καὶ προνοίας. διὸ καὶ πιστεῦσαι λέγεται τῷ θεῷ πρῶτος, ἐπειδὴ καὶ πρῶτος ἀκλινῆ καὶ βεβαίαν ἔσχεν ὑπόληψιν, ὡς ἔστιν ἓν αἴτιον τὸ ἀνωτάτω καὶ προνοεῖ τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ. κτησάμενος δὲ πίστιν, τὴν τῶν ἀρετῶν βεβαιοτάτην, συνεκτᾶτο καὶ τὰς ἄλλας ἁπάσας, ὡς παρὰ τοῖς ὑποδεξαμένοις νομίζεσθαι βασιλεύς, οὐχὶ ταῖς παρασκευαῖς — ἰδιώτης γὰρ ἦν —, ἀλλὰ τῷ περὶ τὴν ψυχὴν
217 μεγέθει, φρονήματος ὢν βασιλικοῦ. καὶ δῆτα θεραπεύοντες αὐτὸν διετέλουν ὡς ἄρχοντα ὑπήκοοι τὸ περὶ πάντα μεγαλεῖον τῆς φύσεως αὐτοῦ καταπληττόμενοι τελειοτέρας οὔσης ἢ κατὰ ἄνθρωπον· οὐδὲ γὰρ

1 ἐπιθιάσας S[1], corr. S[2] καταλιπεῖν HP γενεὰν] συγγένειαν coni. Mang. 2 ἐγκαταμενοῦσιν S: ἐγκαταμένουσιν H[1] (Turn.), ἐγκαταμένουσαι ceteri (Mang.) 3 ἀπάται om. S ἀνήνυτον S: ἔννοιαν ἀνήνυτον ceteri (v); διάνοιαν ἀνήνυτον coni. Mang. κατασκευάζουσαι S: κατασκευάζουσιν ceteri (v) τὴν S: εἰς τὴν ceteri (v) 4 ὅλων S: τῶν ἄλλων ceteri (v) αὖ S: om. ceteri (v) μεταναστείη (sic) Turn. 5 μεταναστήσεται] μεταναστῆναί τε FE τὴν ἀπάτην FE μεθαρμοσαμένης E (Mang.): μεθαρμοσάμενος F, μεθαρμοσαμένη ceteri 7 χρησθέντα S: τὰ χρησθέντα ceteri (v) 8 ἀοκνοτάτη σπουδῇ S: ἀοκνοτάτην σπουδὴν ceteri (Turn.) καὶ ζήτησιν FEHP ᾔει] εἴη S[1]G[2], ἴη S[2] τρανωτέρας SG[2]PE 10 καὶ τῆς προνοίας E διὸ καὶ FE: δίκαιον S, δίκαιον· διὸ καὶ G[2]HP; ἦ δίκαιον· διὸ καὶ v 11 ἐπειδὴ καὶ πρῶτος om. S ἀκλινῆ] ἀκριβῆ E ὡς] ὅς SP 12 τὸ] τῷ S ἀνώτατον τὸ προνοοῦν E 13 δ' S πίστιν Mang.: ἐπιστήμην codd. τῶν S: om. ceteri (v) ἀρετὴν H[1]P βεβαιότητα F συνεκτᾶται (sic) F 14 καὶ SH[2]: ὡς G[2], ὡς καὶ FH[1]P πάσας F 15 τῆς παρασκευῆς F τὴν om. SP 16 φρονήματος ⟨μεστὸς⟩ vel ⟨ὑπόπλεως⟩ coni. Mang. δῆτα S: δὴ ceteri (v) 17 διετέλεσαν S τῷ . . . μεγαλείῳ S μεγαλεῖον om. F 18 καταπληττόμενοι om. F

1 Gen. 12,1. 10 Gen. 15,6. 14 Gen. 23,6. 14 sqq. *Clem. Alex. Strom. II 19 p. 482 P.* πάλιν τε αὖ βασιλέα τὸν σοφὸν διδάσκων τοὺς μὴ ὁμοφύλους ποιεῖ λέγοντας αὐτῷ „βασιλεὺς παρὰ θεοῦ σὺ ἐν ἡμῖν εἶ“ (Gen. 23,6), ἐθελουσίῳ γνώμῃ τῶν ἀρχομένων διὰ ζῆλον ἀρετῆς ὑπακουόντων τῷ σπουδαίῳ.

ὁμιλίαις ἐχρῆτο ταῖς αὐταῖς, ἀλλ᾽ ἐπιθειάζων τὰ πολλὰ σεμνοτέραις· ὁπότε γοῦν κατασχεθείη, μετέβαλλε πάντα πρὸς τὸ βέλτιον, τὰς ὄψεις, τὴν χρόαν, τὸ μέγεθος, τὰς σχέσεις, τὰς κινήσεις, τὴν φωνήν, τοῦ θείου πνεύματος, ὅπερ ἄνωθεν καταπνευσθὲν εἰσῳκίσατο τῇ ψυχῇ, περι- p. 443 M. τιθέντος τῷ μὲν | σώματι κάλλος ἐξαίρετον, τοῖς δὲ λόγοις πειθώ, τοῖς δ᾽ ἀκούουσι σύνεσιν. ἆρ᾽ οὐκ ἂν εἴποις τὸν μετανάστην τουτονί, τὸν 218 πάντων ἔρημον οἰκείων καὶ φίλων, εὐγενέστατον εἶναι, τῆς πρὸς θεὸν συγγενείας ὀρεχθέντα καὶ σπουδάσαντα μηχανῇ πάσῃ γνώριμον αὐτῷ γενέσθαι καὶ ταχθέντα μὲν τάξιν ἀρίστην τὴν ἐν προφήταις, πιστεύσαντα δὲ μηδενὶ τῶν ἐν γενέσει πρὸ τοῦ ἀγενήτου καὶ πάντων πατρός, καὶ βασιλέα δέ, ὡς ἔφην, παρὰ τοῖς ὑποδεξαμένοις νομισθέντα, μήθ᾽ ὅπλοις μήτε στρατιωτικαῖς δυνάμεσιν, ὡς ἐνίοις ἔθος, λαβόντα τὴν ἀρχήν, ἀλλὰ χειροτονίᾳ θεοῦ τοῦ φιλαρέτου τοὺς εὐσεβείας ἐραστὰς αὐτοκρατέσιν ἐξουσίαις γεραίροντος ἐπ᾽ ὠφελείᾳ τῶν συντυγχανόντων; οὗτος 219 ἅπασιν ἐπηλύταις εὐγενείας ἐστὶ κανών, δυσγένειαν μὲν τὴν ἐξ ἀλλοκότων νόμων καὶ ἐκθέσμων ἐθῶν, ἃ λίθοις καὶ ξύλοις καὶ συνόλως ἀψύχοις ἰσοθέους ἀπένειμε τιμάς, καταλιποῦσι, καλὴν δ᾽ ἀποικίαν στειλαμένοις πρὸς ἔμψυχον τῷ ὄντι καὶ ζῶσαν πολιτείαν, ἧς ἔφορος καὶ ἐπίσκοπος ἀλήθεια.

(6.) Ταύτην τὴν εὐγένειαν οὐ μόνον θεοφιλεῖς ἄνδρες ἀλλὰ καὶ 220 γυναῖκες ἐζήλωσαν, ἀπομαθοῦσαι μὲν ἀμαθίαν τὴν σύντροφον περὶ τιμῆς τῶν χειροκμήτων, παιδευθεῖσαι δὲ τὴν περὶ μοναρχίας ἐπιστήμην, ᾗ

1 αὐταῖς] αὐτοῦ F ἐπιθιάζων S 2 οὖν F μετασχεθείη G^2 μετέβαλλε SG^2: μετέβαλε FHP (Turn.) 3 χρόαν SP: χροιὰν ceteri (v) 4 εἰσῳκίσατο FG^2HP: εἴσω κατῳκήσατο S (εἰσῳκήσατο Mang.) 4. 5 περιτιθέντος G^2: περιτεθέντος ceteri 5 ἐξαίρετον] ἐξαίσιον FL^2 (Turn.) πιθῶ S 6 εἴποις S: εἴποι τις ceteri (v) τουτονί] τοῦτον εἰ S alt. τὸν] τῶν S 8 συγγενείας S: εὐγενείας ceteri (Turn.) αὐτῷ] αὐτὸ FG^2 9 καὶ ταχθέντα SF: καταχθέντα G^2, καταδεχθέντα HP ἀρίστην τὴν S: τὴν ἀρίστην ceteri (v) 10 δὲ SF: om. ceteri (v) ἀγενήτου S: ἀγεννήτου ceteri 10. 11 καὶ βασιλέα S: καὶ post ἔφην transp. ceteri (v) 11 δ᾽ S ὅπλων H (Turn.) 13 φιλαρέτου S: παναρέτου ceteri (v) τοὺς S: καὶ τοὺς ceteri (v); ⟨τοῦ⟩ τοὺς conicio εὐσεβείας SG^2: εὐσεβεῖς ceteri (Turn.) 14 γεραίροντας H^1P, γεραίροντες L (Turn.) ἐντυγχανόντων S 15 ἐπηλύταις S: ἐπηλύτοις ceteri (v) ἐστὶ κανών S: ἐστὶν ὁ κανών ceteri (v) δυσγένειαν μὲν om. F 16 νόμων S: νομίμων ceteri (v) ἐθ▒ῶν S καὶ ante συνόλως om. F 17 ἰσοθέοις G^2 ἀπένειμε — ἔμψυχον (18) om. F ἀπένειμε v: ἀπένειμαν SG^2, ἀπένειμον (sic) H^2, ἀπέλιπον H^1P 18 ἧς] οἷς S 20 ταύτης G^2H^1P 22 χειροκμήτων HP: χειροτμήτων SG^2, χειροδμήτων F τὴν om. HP (Turn.)

221 μοναρχεῖται ὁ κόσμος. Θάμαρ ἦν τῶν ἀπὸ τῆς Παλαιστίνης Συρίας
γύναιον, ἐν οἰκίᾳ καὶ πόλει τραφὲν πολυθέῳ γεμούσῃ ξοάνων καὶ
ἀγαλμάτων καὶ συνόλως ἀφιδρυμάτων. ἀλλ' ἐπειδὴ καθάπερ ἐκ σκότους
βαθέος ἐδυνήθη βραχεῖαν αὐγὴν ἀληθείας ἰδεῖν, θανάτου κινδύνῳ πρὸς
εὐσέβειαν ηὐτομόλησεν ὀλίγα φροντίσασα τοῦ ζῆν, εἰ μὴ μέλλοι καλῶς
ζῆν· τὸ δὲ καλῶς ἀνέφερεν ἐπ' οὐδὲν ἕτερον ἢ τὴν θεραπείαν καὶ
222 ἱκεσίαν τοῦ ἑνὸς αἰτίου. καίτοι δυσὶν ἀδελφοῖς ἀμφοτέροις πονηροῖς ἐν
μέρει γημαμένη, κουριδίῳ μὲν τῷ προτέρῳ, τῷ δ' ὑστέρῳ κατ' ἐπι-
δικασίας νόμον, γενεὰν τοῦ προτέρου μὴ καταλιπόντος, ἀλλ' ὅμως
ἀκηλίδωτον διαφυλάξασα τὸν ἑαυτῆς βίον ἴσχυσε καὶ τῆς προσηκούσης
τοῖς ἀγαθοῖς εὐφημίας ἐπιλαχεῖν καὶ τοῖς μετ' αὐτὴν ἅπασιν εὐγενείας
ἀφορμὴ γενέσθαι. ἀλλ' αὕτη μέν, εἰ καὶ ἀλλόφυλος, ἀλλ' οὖν γε
223 ἐλευθέρα καὶ ἐξ ἐλευθέρων καὶ οὐκ ἀσήμων ἴσως. θεράπαιναι δὲ τῶν
ὑπὲρ Εὐφράτην ἐν ἐσχατιαῖς τῆς Βαβυλῶνος γεννηθεῖσαι προικίδιαι μὲν
ἐδόθησαν γαμουμέναις ταῖς τροφίμαις, ἄξιαι δὲ κριθεῖσαι | παρελθεῖν p. 444 M
εἰς εὐνὴν ἀνδρὸς σοφοῦ τὸ μὲν πρῶτον ἐκ παλλακίδων εἰς γαμετῶν
ὄνομα καὶ σχῆμα παρῆλθον καὶ ἀντὶ θεραπαινίδων ἰσότιμοι ταῖς
δεσποίναις ὀλίγου δέω φάναι κατέστησαν ὑπ' ἐκείνων, ὅπερ ἦν ἀπιστό-
τατον, πρὸς τὸ αὐτὸ ἀξίωμα παραπεμφθεῖσαι· φθόνος γὰρ οὐκ εἰσοικί-
ζεται σοφῶν ψυχαῖς, οὗ μὴ παρόντος κοινοπραγοῦσι τῶν ἀγαθῶν.
224 οἱ δ' ἐκ τούτων νόθοι παῖδες γνησίων οὐδὲν διήνεγκαν, οὐ μόνον
παρὰ τῷ γεννήσαντι — θαυμαστὸν γὰρ οὐδέν, εἰ τοῖς μὴ ὁμογαστρίοις

---

1 τῶν] τὸν G² τῆς om. S συρίης FG²P 2 οἰκίᾳ (corr. ex οἰκείᾳ) καὶ πόλει S: οἰκείᾳ πόλει ceteri (v) γεμούσῃ] γένους ἢ S 3 ἐπειδὴ] ἐπεὶ F ἐκ om. S 4 ἠδυνήθη F ἰδεῖν SP: ἐνιδεῖν FG²H (Turn.) θανάτῳ P 5 ηὐτομόλησεν SG²HP: ηὐτόνησεν F (Mang.) 6 οὐδένα FG²P ἢ τὴν S: ἢ ἐπὶ τὴν ceteri (v) 7 καίτοι S: καὶ τοῖς ceteri 8 ὑστέρῳ S: ὕστερον ceteri (v) 8. 9 κατ' ἐπιδικασίας νόμον scripsi: κατ' ἐπιδικασίαν νόμου S, καὶ ἔχοντι ἐπιδικασίας νόμου ceteri (καὶ ἔχοντι ἐπιδικασίας νόμῳ v) 9 μὴ S: om. ceteri 10 ἀκηλίδοτον S αὐτῆς S τῆς om. G² (v) 11 μετ' αὐτὴν F: μεθ' αὐτὴν ceteri (v) 12 ἀφορμὴ S: ἀρχὴ ceteri (v) γε om. S 13 καὶ οὐκ ἀσήμων ἴσως S: ἴσως καὶ οὐκ ἀσήμων G²HP (v), καὶ οὐκ ἀσήμων om. F θεράπαινα H¹P 14 γενηθεῖσαι H², γενηθεῖσα H¹P προικιδία P, προικίδια H¹ 15 τροφίμαις S: τροφιμαίαις ceteri (v) 16 σοφοῦ] σοφιστοῦ HP (Turn.) 18 ὀλίγον S¹ ut vid., corr. S² 18. 19 ἀπιστότατον] ἀπόστατον H¹P 19 τὸ om. H¹P αὐτὸ om. S 20 ἀγαθῶν] ἄθλων F 22 μὴ S: om. ceteri (Turn.)

---

1 Gen. 38,6 sqq. 13 Gen. 29,24. 29. 30,3—13.

ὁ πάντων κοινὸς πατὴρ τὴν αὐτὴν εὔνοιαν παρεῖχεν —, ἀλλὰ καὶ παρὰ
ταῖς μητρυιαῖς· αἱ μὲν γὰρ τὸ ⟨πρὸς⟩ προγονοὺς μῖσος ἀναιρούμεναι
εἰς ἄλεκτον μεθηρμόσαντο κηδεμονίαν· οἱ δὲ προγονοὶ τῇ κατ' ἀντί- 225
δοσιν εὐνοίᾳ τὰς μητρυιὰς ὡς φύσει μητέρας ἐξετίμησαν· ἀδελφοί τε
μέρει ἡμίσει τοῦ γένους νομισθέντες οὐκ ἐφ' ἡμισείᾳ στέργειν ἀλλήλους
ἠξίωσαν, ἀλλ' εἰς τὸ διπλάσιον τὸ τοῦ φιλεῖν καὶ ἀντιφιλεῖσθαι πάθος
συναυξήσαντες καὶ τὸ δοκοῦν ὑστερίζειν προσανεπλήρωσαν τοῖς ἐξ ἀμφοῖν
γεγονόσιν εἰς ἁρμονίαν καὶ κρᾶσιν ἠθῶν συνδραμεῖν σπουδάσαντες.

(7.) Τί τοίνυν μεταδοτέον τοῖς ὡς ἴδιον ἀγαθὸν τὸ ἀλλότριον, 226
εὐγένειαν, ὑποδυομένοις; οἳ δίχα τῶν εἰρημένων ἐχθροὶ δικαίως ⟨ἂν⟩
νομισθεῖεν καὶ τοῦ τῶν Ἰουδαίων ἔθνους καὶ τῶν πανταχοῦ πάντων,
τοῦ μὲν ὅτι διδόασι τοῖς ὁμοφύλοις ἐκεχειρίαν ὀλιγωρεῖν ὑγιαίνοντος
⟨βίου καὶ⟩ βεβαίου πεποιθήσει προγονικῆς ἀρετῆς, τῶν δ' ὅτι, κἂν ἐπ'
αὐτὴν φθάσωσιν ἀκρότητα καλοκἀγαθίας, οὐδὲν ὠφεληθήσονται διὰ τὸ
μὴ τυχεῖν γονέων καὶ πάππων ἀνεπιλήπτων. ἧς οὐκ οἶδ' εἴ τις 227
βλαβερωτέρα γένοιτ' ἂν εἰσήγησις, εἰ μήτε τοῖς ἐξ ἀγαθῶν πονηρευομένοις ἐπακολουθήσει τιμωρὸς δίκη μήτε τοῖς ἐκ πονηρῶν ἀγαθοῖς ἕψεται τιμή, τοῦ νόμου δοκιμάζοντος ἕκαστον αὐτὸν ἐφ' ἑαυτοῦ καὶ μὴ συγγενῶν ἀρεταῖς ἢ κακίαις ἐπαινοῦντος ἢ κολάζοντος.

1 ὁ πάντων κοινὸς S: ἁπάντων μόνος ceteri (v) παρεῖχεν F: παρέχειν SG²HP (παρέχει Turn.) 1. 2 παρὰ ταῖς μητρυιαῖς] τοῖς ἐκ μητρυιῶν F 2 τὸ πρὸς προγονοὺς scripsi: τοὺς προγόνους SG²HP, τοῖς προγόνοις F; τὸ εἰς προγόνους Turn. (v) μῖσος ἀναιρούμεναι] μισοῦσαι· αἱ δ' οὐ μόνους S 3 ἄλεκτον S: ἄληκτον ceteri (v) κηδαιμονίαν S πρόγονοι codd. (v) 4 ὡς φύσει] ὥς φησι F 5 μέρει ἡμίσει scripsi: μέρει ἥμισυ S, μέρει ἥμισυ τῇ μίξει G², μέρει τῇ μίξει F, μόνῃ τῇ μίξει HP (v) νομισθέντες S (Mang.): μερισθέντες ceteri ἐφ' ἡμισείᾳ στέργειν S: ἐφ' ἡμισείας στοργῆς ceteri (v) στοργῆς: desinit F prima manus, reliqua supplevit man. rec. ἀλλήλοις S 6 ἀντιφιλεῖν Vat. 379
9 τί τοίνυν μεταδοτέον Vat. 379: ἔτι τοίνυν μεταδοτέον αὐτοῦ SG²H² (v), ἔτι τοίνυν μεταδοτέον αὐτοῖς H¹P; λόγου pro αὐτοῦ coni. Wendl., αὖ τοῦ ⟨λόγου⟩ Mang.
10 ἂν addidi 11 καὶ τοῦτο ἰουδαίων ἔθνος H¹P 12 ἐκκεχειρίαν H ὑγιαίνοντος Vat. 379: ὑγιαινούσης ceteri (v) 13 βίου καὶ βεβαίου scripsi: βεβαίου Vat. 379, καὶ οὐ S, βεβαίου καὶ οὐ G²HP (v); (ὑγιαίνοντος) βίου (pro βεβαίου) coni. Mang. τῶν] τοῦ (corr. ex τὸ) S 13. 14 ἐπ' αὐτὴν om. HP (Turn.)
14 εἰς ἀκρότητα Turn. 16 εἰ om. S εἰ μήτε] ἐπὰν δὲ Vat. 379
17 ἐπακολουθήσῃ G², ἐπακολουθήσωσι Vat. 379 μήτε S: οὔτε G²HP (v), οὐκοῦν Vat. 379 18 ἕψεται S: ἕχεται G²HP, ἔρχεται Vat. 379 (Turn.) δοκιμάζοντος S Vat. 379: δικάζοντος G²HP (v) ἕκαστον αὐτὸν G²H² Vat. 379: αὐτὸν ἕκαστον S, ἕκαστον αὐτῶν H¹P ἐφ' ἑαυτοῦ SHP: ἀφ' ἑαυτοῦ G² Vat. 379 καὶ om. HP (v) 19 μὴ ⟨ἐπὶ⟩ coni. Wendl. ἢ κακίαις om. HP (Turn.)

ΠΕΡΙ ΑΘΛΩΝ ΚΑΙ ΕΠΙΤΙΜΙΩΝ ΚΑΙ ΑΡΩΝ

1 (1.) Τῶν μὲν οὖν διὰ τοῦ προφήτου Μωυσέως λογίων τρεῖς ἰδέας II p. 408
εἶναι συμβέβηκε, τὴν μὲν περὶ κοσμοποιίας, τὴν δὲ ἱστορικήν, τὴν δὲ
τρίτην νομοθετικήν. ἡ μὲν οὖν κοσμοποιία παγκάλως πᾶσα καὶ θεοπρεπῶς
μεμήνυται, λαβοῦσα τὴν ἀρχὴν ἀπὸ γενέσεως οὐρανοῦ καὶ λήξασα εἰς
ἀνθρώπου κατασκευήν· ὁ μὲν γὰρ ἀφθάρτων τελειότατος, ὁ δὲ θνητῶν.
ἀθάνατα δὲ καὶ θνητὰ ἐν γενέσει συνυφαίνων ὁ ποιητὴς εἰργάσατο τὸν
κόσμον, τὰ μὲν [γενόμενα] ⟨ὡς⟩ ἡγεμονικά, τὰ δ' ὡς ὑπήκοα [καὶ] γενησό-
2 μενα. τὸ δὲ ἱστορικὸν μέρος ἀναγραφὴ βίων ἐστὶ σπουδαίων καὶ πονηρῶν
καὶ τὰ ὁρισθέντα ἑκατέροις ἐπιτίμια καὶ γέρα ἐν ἑκάσταις γενεαῖς. τοῦ δὲ
νομοθετικοῦ τὸ μὲν καθολικωτέραν ὑπόθεσιν ἔχει, τὸ δ' ἕτερον ⟨τῶν κατὰ⟩
μέρος νομίμων εἰσὶν ἐντολαί· κεφάλαια μὲν δέκα, ἅπερ λέγεται κεχρησ-
μῳδῆσθαι οὐ δι' ἑρμηνέως ἀλλ' ἐν τῷ ὑψώματι τοῦ ἀέρος σχηματι-
ζόμενα καὶ ἄρθρωσιν ἔχοντα λογικήν, τὰ δ' ἄλλα τὰ κατ' εἶδος [μέρη]
3 διὰ τοῦ | προφήτου θεσπισθέντα. περὶ ὧν ἁπάντων ὅσα καιρὸς ἐν ταῖς p. 409 M.
προτέραις συντάξεσι διεξελθὼν καὶ προσέτι τῶν ἀρετῶν ἃς ἀπένειμεν

1 tit. περὶ ἄθλων καὶ ἐπιτιμίων HP (καὶ ἀρῶν addidi ex Euseb. Hist. eccl. II 18,5), τοῦ αὐτοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων F, τοῦ αὐτοῦ φίλωνος περὶ ἄθλων καὶ ἐπιτιμιῶν A 2 τῶν scripsi: τὰς codd. (v) ante διὰ add. τῶν AHP (v), omisi cum F μωϋσέος P, μωσέως FAH λογίων om. F 3 μὲν FA: μὲν γὰρ HP (v) τῆς κοσμοποιίας A δ' F 4 παγκάλως πᾶσα A: πᾶσα om. F, πᾶσα παγκάλως P (γρ. καλῶς mg P[2]), πᾶσα καλῶς H (Turn.) 5 λαβοῦσα F: λαχοῦσα AHP (v) 6 θνητῶν F: θνητῶν φθαρτός HP (v), θνητῶν φθαρτικώτατος A; καὶ φθαρτῶν coni. Mang. 8 γενόμενα seclusi et ὡς addidi, deinde καὶ seclusi; ὑποταγησόμενα pro γενησόμενα coni. Mang. 9 δ' F ἀναγραφὴ βίων ἐστὶ σπουδαίων καὶ πονηρῶν codd.: ἀναγραφὴ πονηρῶν καὶ σπουδαίων βίων ἐστὶ v 10 ἐπίτιμα H καὶ γέρα F: καὶ om. AHP ἐν om. H ἑκάστοις H γενεαῖς ⟨περιέχει⟩ vel ⟨μηνύει⟩ conicio 11 καθολικωτέραν ὑπόθεσιν A: καθολικώτερον τὴν ὑπόθεσιν FHP; καθολικωτέραν τὴν ὑπόθεσιν v 11. 12 τῶν κατὰ μέρος scripsi: τῶν κατὰ om. codd.; τῶν ἐν μέρει coni. Mang. 12 νομίμων] νόμων P (fort. recte) μὲν scripsi: δὲ AHP (v), om. F 14 δὲ F alt. τὰ om. A μέρη seclusit Mang. 16 διελθὼν A ἃς ἀπένειμεν] αἳ βραβεύουσιν A

εἰρήνῃ τε καὶ πολέμῳ μέτειμι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὰ προτεθέντα
καὶ τοῖς ἀγαθοῖς ἆθλα καὶ τοῖς πονηροῖς ἐπιτίμια. συνασκήσας γὰρ 4
ὑφηγήσεσι καὶ προτροπαῖς μαλακωτέραις καὶ πάλιν ἐπανατάσεσι καὶ
νουθεσίαις ἐμβριθεστέραις τοὺς κατ' αὐτὸν πολιτευομένους ἐκάλεσεν εἰς
τὴν ὧν ἐπαιδεύθησαν ἐπίδειξιν· οἱ δὲ παρελθόντες ὥσπερ εἰς ἱερὸν
ἀγῶνα γυμνὴν τὴν ἑαυτῶν προαίρεσιν ἀνέφηναν εἰς ἐναργέστατον ἔλεγχον
τῆς ἀληθείας. εἶτα οἱ μὲν ἀθληταὶ τῷ ὄντι ἀρετῆς ἀνευρίσκοντο μὴ 5
ψεύσαντες τῆς ἐπ' αὐτοῖς χρηστῆς ἐλπίδος τοὺς ἀλείπτας νόμους, οἱ δὲ
ἄνανδροι καὶ ἀγεννεῖς ὑπὸ τῆς ἐμφύτου μαλακίας τὰς ψυχάς, πρὶν ἢ
δυνατώτερόν τι ἀντιβιάσασθαι, προκαταπίπτοντες αἰσχύνῃ καὶ γέλως
θεατῶν ἐγίνοντο. δι' ἣν αἰτίαν οἱ μὲν βραβείων καὶ κηρυγμάτων καὶ 6
τῶν ἄλλων ὅσα νικῶσι δίδοται μετελάμβανον, οἱ δὲ οὐκ ἀστεφάνωτοι
μόνον ἀπῄεσαν, ἀλλὰ καὶ ἧτταν ἐπονείδιστον ἐνδεξάμενοι τῶν ἐν τοῖς
γυμνικοῖς ἀγῶσιν ἀργαλεωτέραν· ἐκεῖ μὲν γὰρ ἀθλητῶν σώματα κλίνεται
ῥαδίως ὀρθοῦσθαι δυνάμενα, ἐνταῦθα δὲ ὅλοι βίοι πίπτουσιν, οὓς ἅπαξ
ἀνατραπέντας μόλις ἔστιν ἀνεγεῖραι.

Τῆς δὲ προνομίας καὶ τιμῆς καὶ τοὐναντίον κολάσεως τάξεις ἐναρ- 7
μονίους ὑφηγεῖται, κατ' ἄνδρας, κατ' οἴκους, κατὰ πόλεις, κατὰ χώρας
καὶ ἔθνη, κατὰ κλίματα γῆς μεγάλα. (2.) πρότερον δ' ἐρευνητέον τὰ
ἐπὶ τιμαῖς, ἐπειδὴ καὶ λυσιτελέστερα καὶ ἡδίω πρὸς ἀκρόασιν, ἀρχὴν
λαμβάνοντας τὴν ἀφ' ἑνὸς ἑκάστου τῶν ἐν μέρει. φασὶ τὸν παλαιὸν 8
ἐκεῖνον Τριπτόλεμον Ἕλληνες ἀρθέντα μετέωρον ἐπὶ πτηνῶν δρακόντων
τὸν τοῦ σίτου καρπὸν εἰς ἅπασαν τὴν γῆν κατασπείρειν, ἀντὶ βαλανη-
φαγίας ἵν' ἔχῃ τὸ ἀνθρώπων γένος ἥμερον καὶ ὠφέλιμον καὶ ἡδίστην

1 προταθέντα coni. Mang. 2 ἐπιτίμια corr. ex ἐπίτιμα H 3 ἐπαναστάσεσι F 4 κατ' αὐτὸν FP: ὑπ' αὐτὸν AH (ὑπ' αὐτοῦ v) 5 ἐπαιδεύθησαν FP: ἐνομοθέτησεν AH (v) ἀπόδειξιν A 6 post ἀγῶνα add. τοῖς κατ' αὐτὸν A (cf. l. 4) γυμνὴν P: om. FAH (v) 7 εἶθ' F ἀθληταὶ] ἀσκηταὶ coni. Mang. τῷ ὄντι FP: om. AH (v) 8 δ' F 9 ἄνανδροι F: ἄνανδροι καὶ μαλακοὶ AHP (v) ἀγενεῖς H ἢ P, ἢ om. F 10 τι δυνατώτερον transp. F βιάσασθαι P, ἀναβιώσασθαι L (ἀναβιάσασθαι Turn.) 11 ἐγίνοντο F: ἐγένοντο AHP (v) pr. καὶ om. Turn. 12 δ' F 13 ἀπίεσαν P ἐπονείδιστον codd.: ὑπονείδιστον Turn. ἐνδειξάμενοι AP 14 ἀργαλεώτερον A 15 δυνάμενοι A δ' F 16 μόλις F: μόγις AHP (v) ἐγεῖραι F 19 καὶ ἔθνη FHP: καὶ κατὰ ἔθνη A (κατὰ ἔθνη Mang.) 20 pr. καὶ om. A ἥδιστα F[2] 21 λαμβάνοντας A: λαβόντας FHP (v) ἐφ' ἑνὸς ἑκάστου A (ἀφ' ἑ. ἑ. scripsi): ἀφ' ἑκάστου HP, ἐφ' ἑκάστου F (v) 23 ἅπασαν] ἅπαν F[1] 24 ἔχοι F

8—11 D[R] fol. 138[v] Φίλωνος: οἱ ἄνανδροι ὑπὸ—γέλως ἑαυτῶν (sic) γίνονται.
22 cf. Apollod. Bibl. I 5,2. Himer. Or. 25,3.

τροφήν. τοῦτο μὲν οὖν ὥσπερ πολλὰ καὶ ἄλλα τοῖς εἰωθόσι τερατεύεσθαι
μύθου πλάσμα ὂν ἀπολελείφθω σοφιστείαν πρὸ σοφίας καὶ γοητείαν πρὸ
9 ἀληθείας ἐπιτετηδευκόσιν. ἐξ ἀρχῆς γὰρ ἅμα τῇ πρώτῃ γενέσει τῶν ὅλων
ὁ θεὸς προευτρεπίσατο τὰ ἐπιτήδεια πᾶσι τοῖς ζῴοις ἐκ γῆς ἀνείς, καὶ
μάλιστα τῷ γένει τῶν ἀνθρώπων, ᾧ τὴν ἐφ' ἅπασι τοῖς γηγενέσιν ἡγεμονίαν
ἐχαρίζετο. τῶν γὰρ θείων ἔργων οὐδὲν ὀψίγονον, ἀλλὰ καὶ ὅσα τέχναις καὶ
ἐπιμελείαις ὕστερον τελειοῦσθαι δοκεῖ. πάντως ἡμίεργα προϋπόκειται προ-
μηθείᾳ φύσεως, ὡς μὴ ἀπὸ σκοποῦ τὰς | μαθήσεις ἀναμνήσεις εἶναι p. 410 M.
10 λέγεσθαι. ταῦτα μὲν οὖν ὑπερκείσθω· τὴν δ' ἀναγκαιοτάτην σπορὰν
ἐπισκεπτέον, ἣν ὁ ποιητὴς ἐν ἀρετώσῃ χώρᾳ κατέσπειρε, λογικῇ ψυχῇ.
11 ταύτης δ' ὁ πρῶτος σπόρος ἐστὶν ἐλπίς, ἡ πηγὴ τῶν βίων. ἐλπίδι μὲν
γὰρ κέρδους ὁ χρηματιστὴς ἐπαποδύεται πολυτρόποις ἰδέαις πορισμῶν,
ἐλπίδι δ' ὁ ναύκληρος εὐπλοίας περαιοῦται τὰ μακρὰ πελάγη· ἐλπίδι
δόξης καὶ ὁ φιλότιμος αἱρεῖται πολιτείαν καὶ κοινῶν πραγμάτων ἐπι-
μέλειαν· δι' ἐλπίδα βραβείων καὶ στεφάνων καὶ οἱ τῶν σωμάτων
ἀσκηταὶ τοὺς γυμνικοὺς ἀγῶνας διαθλοῦσιν· ἐλπὶς εὐδαιμονίας καὶ τοὺς
ἀρετῆς ζηλωτὰς ἐπαίρει φιλοσοφεῖν, ὡς ταύτῃ δυνησομένους καὶ τὴν
τῶν ὄντων φύσιν ἰδεῖν καὶ δρᾶσαι τὰ ἀκόλουθα πρὸς τὴν τῶν ἀρίστων
βίων θεωρητικοῦ τε καὶ πρακτικοῦ τελείωσιν, ὧν ὁ τυχὼν εὐθύς ἐστιν
12 εὐδαίμων. ἔνιοι μὲν οὖν τὰ ἐλπίδος σπέρματα ἢ ὡς πολέμιοι τὰς ἐν
τῇ ψυχῇ κακίας ζωπυρήσαντες ἐνέπρησαν ἢ ὡς ἀμελεῖς τέχνης τῆς
γεωργικῆς ὑπὸ ῥᾳθυμίας διέφθειραν. εἰσὶ δ' οἳ καὶ δόξαντες ἐπιμελεῖ-
σθαι, φιλαυτίαν πρὸ εὐσεβείας ἀσπασάμενοι, τὰς αἰτίας τῶν κατορθω-
13 μάτων ἀνέθηκαν ἑαυτοῖς. ὑπαίτιοι δὲ πάντες οὗτοι· μόνος δ' ἀποδοχῆς
ἄξιος ὁ ἀναθεὶς τὴν ἐλπίδα θεῷ καὶ ὡς αἰτίῳ τῆς γενέσεως αὐτῆς καὶ

1 οὖν om. P 2 ⟨ἅτε⟩ ante μύθου fort. inserendum μύθου πλάσμα ὂν F: κατὰ πλάσμα οἷον μῦθος ὢν A, κατὰ πλάσμα οἷον μύθου ὂν HP; οἷον πλάσμα μύθου ὂν Mang. σοφιστείαν πρὸ σοφίας FP: πρὸ σοφίας om. AH (add. mg. H)
2. 3 καὶ γοητείαν ἔχον, οὐ μὴν ἀφορῶν πρὸς ἀλήθειαν (om. ἐπιτετηδευκόσιν) A
3. 4 ὁ τῶν ὅλων θεὸς A 4 προευτρεπίσατο FHP: ηὐτρεπίσατο A (Mang.) τοῖς ζῴοις F: τοῖς om. AHP (v) ἀνεὶς FA (Mang.): ἀνιεὶς HP 5 γηγενέσιν] γένεσιν F 6 ἀλλ' ὅσα F 7. 8 πρόκειται προμαθούσης φύσεως A (Mang.)
8 ἀναμνήσεις om. H (Turn.) 9 δὲ A 11 μὲν F: om. AHP (v)
12 καὶ πολυτρόποις H 13 μακρὰ om. F 16 ἀσκηταὶ F: ἀθληταὶ AHP (Turn.) διαθλοῦσιν FHP: ἐναθλοῦσιν A, ἀθλοῦσιν L (Turn.) 18 τἀκόλουθα F
19 θεωρητικήν τε καὶ πρακτικὴν A εὐθύς ἐστιν F: ἐστιν εὐθὺς AHP (v)
22 διεφθάρησαν A 22. 23 ἐπιμελεῖσθαι FA: ἐπιμεμελῆσθαι HP (v)
24 αὐτοῖς F ὑπαίτιοι—θεῷ (25) om. A δὲ P 25 γεννήσεως A αὐτῆς] αὐτοῖς A

ὡς ἀσινῆ καὶ ἀδιάφθορον ἱκανῷ μόνῳ διαφυλάξαι. τί οὖν ἆθλον πρό-
κειται τῷ στεφανωθέντι τὸν ἀγῶνα τοῦτον; τὸ μικτὸν ἐκ θνητῆς καὶ
ἀθανάτου φύσεως ζῷον, ὁ ἄνθρωπος, οὐθ' ὁ αὐτὸς οὐθ' ἕτερος ὢν τοῦ
λαβόντος. τοῦτον Χαλδαῖοι μὲν προσονομάζουσιν Ἐνώς, εἰς δ' Ἑλλάδα 14
γλῶτταν μεταληφθείς ἐστιν ἄνθρωπος, τὸ κοινὸν ὄνομα τοῦ γένους
ἴδιον λαβών, ἆθλον ἐξαίρετον, ὡς δέον μηδένα νομίζεσθαι τὸ παράπαν
ἄνθρωπον, ὃς ἂν μὴ ἐπὶ θεὸν ἐλπίζῃ.

(3.) Μετὰ δὲ τὴν ἐλπίδος νίκην ἀγὼν δεύτερός ἐστιν, ἐν ᾧ μετά- 15
νοια ἀγωνίζεται τῆς μὲν ἀτρέπτου καὶ ἀμεταβλήτου καὶ ἀεὶ κατὰ ταὐτὰ
καὶ ὡσαύτως ἐχούσης φύσεως ἀμοιρήσασα, ζήλῳ δὲ καὶ ἔρωτι τοῦ
βελτίονος ἐξαίφνης κατασχεθεῖσα καὶ σπεύδουσα καταλιπεῖν μὲν τὴν σύν-
τροφον πλεονεξίαν καὶ ἀδικίαν, μεθορμίσασθαι δὲ πρὸς σωφροσύνην καὶ
δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετάς. ἆθλα καὶ ταύτῃ προτίθεται διττὰ 16
ἐπὶ διττοῖς κατορθώμασιν, ἀπολείψει μὲν αἰσχρῶν, αἱρέσει δὲ τῶν καλ-
p. 411 M. λίστων. τὰ δ' ἆθλα ἀποικία καὶ μόνωσις· φησὶ | γὰρ ἐπὶ τοῦ τὰς μὲν
σώματος νεωτεροποιίας ἀποδράντος, αὐτομολήσαντος δὲ πρὸς ψυχήν·
„οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός“ (Gen. 5,24). αἰνίττεται 17
δὲ ἐναργῶς διὰ μὲν τῆς μεταθέσεως τὴν ἀποικίαν, διὰ δὲ τοῦ μὴ εὑρί-
σκεσθαι τὴν μόνωσιν· καὶ σφόδρα οἰκείως· εἰ γὰρ τῷ ὄντι ἄνθρωπος
καταπεφρόνηκεν ἡδονῶν καὶ ἐπιθυμιῶν καὶ ἐπάνω τῶν παθῶν ἀψευδῶς
ἔγνωκεν ἵστασθαι, [πρὸς] μετανάστασιν εὐτρεπιζέσθω φεύγων ἀμετα-
στρεπτὶ καὶ οἶκον καὶ πατρίδα καὶ συγγενεῖς καὶ φίλους. ὁλκὸν γὰρ ἡ 18
συνήθεια, ὡς δέος εἶναι, μὴ καταμείνας ἁλῷ τοσούτοις ἐν κύκλῳ φίλτροις
ἀποληφθείς, ὧν αἱ φαντασίαι τὴν ἐγγενομένην ἡσυχίαν τῶν αἰσχρῶν
ἐπιτηδευμάτων πάλιν ἀνακινήσουσι καὶ μνήμας ἐναύλους, ὧν ἐπιλελῆσθαι

1 ἀδιάφορον Turn. 3 alt. οὔτε HP 4 προσονομάζουσιν F: ὀνομάζουσιν AHP (Turn.) εἰς δ' ἑλλάδα AHP: ὃς εἰς ἑλλάδα F (Mang.) 5 γλῶσσαν A μεταληφθείς] μεταβληθείς L (Turn.) 7 ἐλπίσῃ F 9 ἀμεταβλήτου FA: ἀμετανοήτου HP (v) κατὰ τὰ αὐτὰ P, κατ' αὐτὰ A 13 καὶ ταύτῃ FA: γὰρ ταύτῃ HP; γὰρ ταῦτα v 13. 14 διπλᾶ ἐπὶ διπλοῖς A 15 ἀποικία] ἀποίκιλλα· μετάθεσίς τε A 16 σώματος A: τοῦ σώματος FHP (v) 17 ηὑρίσκετο A 18 pr. δὲ om. F ἐναργῶς FA: καὶ ἐναργῶς HP (v) 19 οἰκείως] εἰκότως conicio 19—21 ἄνθρωπος καταπεφρόνηκεν ἡδονῶν καὶ ἐπιθυμιῶν καὶ ἐπάνω — ἵστασθαι F: ἐπάνω — ἵστασθαι ἄνθρωπος (δὲ add. A) καταφρονήσας ἡδονῶν καὶ ἐπιθυμιῶν AHP (v) 21 πρὸς μετανάστασιν F (πρὸς seclusi): om. AHP (v) 23 δέος] δέον H[1]P μεταμείνας F 24 ἐναποληφθείς coni. Mang. ἐγγινομένην A, γενομένην F

4 sqq. Gen. 4,26. cf. *de Abrahamo* § 7 sqq.

19 καλὸν ἦν, ἐνεργάσονται. πολλοὶ γοῦν ἀποδημίαις ἐσωφρονίσθησαν, ἔρωτας
ἐκμανεῖς καὶ λελυττηκότας θεραπευθέντες, οὐκέτι τῆς ὄψεως χορηγεῖν
δυναμένης τῷ πάθει τῆς ἡδονῆς τὰ εἴδωλα· τῇ γὰρ διαζεύξει κατὰ
20 κενοῦ βαίνειν ἀνάγκη, μηκέτι παρόντος ὑφ' οὗ διερεθισθήσεται. κἂν
μεταναστῇ μέντοι, τοὺς τῶν πολλῶν θιάσους ἐκτρεπέσθω μόνωσιν
ἀσπαζόμενος· πέφυκε γὰρ καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ὅμοια τοῖς οἴκοι
δίκτυα, οἷς ἀνάγκη περιπείρεσθαι τοὺς ἀπροοράτως ἔχοντας καὶ ταῖς
τῶν πολλῶν χαίροντας ὁμιλίαις· ὅ τι γὰρ ἄτακτον, ἄκοσμον, πλημμελές,
ὑπαίτιον, τοῦτο ὄχλος ἐστί, μεθ' οὗ φέρεσθαι τῷ νῦν πρῶτον μετοικισα-
21 μένῳ πρὸς ἀρετὴν ἀλυσιτελέστατον. ὡς γὰρ τοῖς ἐκ νόσου μακρᾶς
ἀρχομένοις ἀναλαμβάνειν εὐάλωτά πώς ἐστι τὰ σώματα μήπω πρὸς
ἰσχὺν παγέντα κραταιοτέραν, οὕτως καὶ οἷς ἡ ψυχὴ νῦν πρῶτον ὑγιά-
ζεται πλαδῶσιν οἱ νοεροὶ τόνοι καὶ κραδαίνονται, ὡς δέος εἶναι, μὴ
πάλιν ἐξορμήσῃ τὸ πάθος, ὃ πέφυκεν ἐκ τῆς τῶν εἰκαιοτέρων συνδιαι-
τήσεως ἀνερεθίζεσθαι.
22 (4.) Μετὰ δὲ τοὺς μετανοίας ἀγῶνας τρίτα ἆθλα τίθεται δικαιο-
σύνης, ἧς ὁ μεταποιησάμενος λαμβάνει γέρα διττά, τὸ μὲν σωτήριον ἐν
κοινῇ φθορᾷ, τὸ δὲ ταμίαν καὶ φύλακα γενέσθαι ἐξ ἑκάστης ζῴων
ἰδέας ἡρμοσμένων ζυγάδην εἰς δευτέραν γένεσιν ἀντὶ τῆς ἀπολλυμένης.
23 ἠξίωσε γὰρ ὁ ποιητὴς τὸν αὐτὸν καὶ τέλος γενέσθαι τῆς κατακρίτου
γενεᾶς καὶ ἀρχὴν τῆς ἀνυπαιτίου, διδάσκων τοὺς ἀπρονόητον εἶναι τὸν

1 ἐργάσονται A 2 οὐκέτι τῆς ὄψεως] ἔτι τῆς ὄψεως οὐ A 3 τῷ πάθει] τὰ πάθη L (Turn.) 4 ἐρεθισθήσεται F 6 ἀσπαζόμενος codd.: ἀσπασάμενος Turn. γὰρ om. A οἴκοις A 7 ἀπροοράτως F: ἀπροόπτως AHP (v) 9 ἐστί om. L (Turn.) πρῶτον FA: om. HP (Turn.) 10 ὡς γὰρ] ὥσπερ Escur. μακρὰν H^{1}P 11. 12 μήπω πρὸς ἰσχὺν παγέντα κραταιοτέραν FP: om. AH Escur. (v) 12 οὕτως FA: οὕτω HP Escur. οἷς — ὑγιάζεται] ψυχῇ ὑγιαζομένῃ A (prob. Mang.) νῦν πρῶτον F: ὡς νῦν πρότερον HP, ἄρτι πρώτως Escur. 13 νοεροὶ] ἱεροὶ A εἶναι] ὂν Escur. 14 πάλιν ἐξομήσῃ (sic) Escur. (ἐξορμήσῃ scripsi): παλινδρομήσῃ FAHP (v) τῶν F Escur.: om. AHP (v) 16 δὲ om. F μετανοίας F: τῆς μετανοίας AHP (v) τρίτα] τρία L^1 (Turn.) 18 φύλαξ H (Turn.) γενέσθαι A: om. FHP^1, add. mg P^2 ἐξ ἑκάστης codd.: ἐξ om. v 19 ἡρμοσμένων AH^2: ἡρμοσμένον FH^{1}P, ἡρμοσμένου L (Turn.) ζυγάδην Mang.: ζυγὰ δ' ἦν F, ζυγὰ δὲ ἦν AHP 20 κατακρίτου] καταρρύπου (sic) D^R, καραρύπον (sic) D^H

10—15 Escur. X — I — 13 fol. 237^v: ὥσπερ τοῖς ἐκ νόσου μακρᾶς — ἀνερεθίζεσθαι.
20—341,3 D^R fol. 128^v Φίλωνος ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων D^H fol. 242^r Φίλωνος: τὸν δικαιοσύνης μεταποιησάμενον Νῶε ἠξίωσεν ὁ ποιητὴς τὸν αὐτὸν — ἑνὸς ἀνδρὸς δικαιοσύνης οὐκ ἄξια ἠξίωσαν.

κόσμον λέγοντας ἔργοις, οὐ ῥήμασιν, ὅτι καθ' ὃν εἰσηγήσατο νόμον ἐν
p. 412 M. τῇ φύσει τῶν ὅλων αἱ σύμπασαι μυριάδες τῶν ἀνθρώπων | μετὰ ἀδικίας
ζήσασαι ἑνὸς ἀνδρὸς οὐκ ἄξιαι δικαιοσύνῃ συμβιοῦντος. τοῦτον Ἕλληνες
μὲν Δευκαλίωνα, Χαλδαῖοι δὲ Νῶε ἐπονομάζουσιν, ἐφ' οὗ τὸν μέγαν
κατακλυσμὸν συνέβη γενέσθαι.

Μετὰ δὲ τὴν τριάδα ταύτην ἑτέρα τριὰς ὁσιωτέρα καὶ θεοφιλεστέρα 24
γίνεται μιᾶς συγγενείας· πατὴρ γὰρ καὶ υἱὸς καὶ υἱωνὸς ἐπὶ τὸ αὐτὸ τέλος
ἔσπευσαν τοῦ βίου ⟨τὸ⟩ τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων εὐαρεστῆσαι, κατα-
φρονήσαντες μὲν ὧν θαυμάζουσιν οἱ πολλοί, δόξης καὶ πλούτου καὶ
ἡδονῆς, γελάσαντες δὲ καὶ τῦφον, ὃς ἐκ ψευσμάτων ἀεὶ συνυφαίνεται καὶ
καταποικίλλεται πρὸς ἀπάτην τῶν ὁρώντων. οὗτός ἐστιν ὁ γόης, ὁ τὰ 25
ἄψυχα θεοπλαστῶν, ὁ μέγας καὶ δυσάλωτος ἐπιτειχισμός, οὗ τοῖς
σοφίσμασι καὶ στρατηγήμασι πᾶσα πόλις δελεάζεται προκαταλαμβάνοντος
τὰς τῶν νέων ψυχάς· εἰσοικισάμενος γὰρ ἐκ πρώτης ἡλικίας ἄχρι
γήρως ἐνίδρυται, πλὴν οἷς ἂν ὁ θεὸς αὐγὴν ἐπιλάμψῃ τῆς ἀληθείας·
ἀληθείᾳ δὲ τῦφος ἀντίπαλον, ὃς μόλις μὲν ἀλλ' οὖν κραταιοτέρᾳ δυνάμει
νικηθεὶς ὑπεξίσταται. τουτὶ δὲ τὸ γένος ἀριθμῷ μέν ἐστιν ὀλίγον, 26
δυνάμει δὲ πολὺ καὶ μέγιστον, ὡς μηδ' ἅπαντα τὸν τῆς γῆς κύκλον
αὐτὸ χωρεῖν δύνασθαι, φθάνειν δ' εἰς οὐρανόν· ἱμέρῳ γὰρ τοῦ θεωρεῖν
καὶ τοῖς θείοις ἀεὶ συνεῖναι κατεσχημένον ἀλέκτῳ, τὴν ὁρατὴν ὅταν
ἅπασαν φύσιν διερευνήσῃ καὶ διεξέλθῃ, πρὸς τὴν ἀσώματον καὶ νοητὴν
εὐθὺς μέτεισιν, οὐδεμίαν τῶν αἰσθήσεων ἐπαγόμενον, ἀλλ' ὅσον μὲν τῆς
ψυχῆς ἄλογον μεθιέμενον, τῷ δ' ὃ κέκληται νοῦς καὶ λογισμὸς μόνῳ
προσχρώμενον. ὁ μὲν οὖν ἡγεμὼν τῆς θεοφιλοῦς δόξης, ὁ πρῶτος ἐκ 27
τύφου μεθορμισάμενος πρὸς ἀλήθειαν, διδακτικῇ χρησάμενος ἀρετῇ

---

2 τῶν ἀνθρώπων D: τῶν om. codd. (v) μετ' F 3 ζήσασαι D: om. codd. (Turn.) ἑνὸς ἀνδρὸς δικαιοσύνης οὐκ ἄξια ἐβίωσαν D[R] 8 τὸ addidi; τὸ pro τῷ scribere voluit Mang. 9 καὶ δόξης A 11 ἐστιν] ἦν F 14 εἰσοικησάμενος H 15 ἐνίδρυται F: ἐνιδρύεται AHP (v) ἐπιλάμψῃ] ἐπιπέμψῃ conicio 16 ἀλήθεια δὲ τύφου A ὃς] ἢ F μόλις F: μόγις AHP (v) 17 νικηθεὶς HP: κινηθεὶς FA κινηθεὶς δυνάμει transp. F τουτὶ F: τοῦτο AHP (v) ἀριθμῶν H[1]P ὀλίγων P 18 τὸν τῆς γῆς κύκλον F: τῆς γῆς τὸν κύκλον A, τῆς γῆς κύκλον HP (v) 19 φθάνειν codd.: φθάνει Mang. post οὐρανὸν add. F verba (interpolata) καὶ τὰ πέρατα τοῦ κόσμου, μᾶλλον δὲ καὶ τὴν μετὰ κόσμου (κόσμον?) οὐσίαν ἱμέρῳ γὰρ τοῦ θεωρεῖν F: καὶ γὰρ τοῦ θεωρεῖν ἔρωτι A (Mang.), καὶ τοῦ θεωρεῖν HP (Turn.) 20 συνεῖναι A: συνιέναι FHP (Turn.) κατισχημένον A ἀλέκτως L (ἀλέκτως ὂ Turn.) 21 διερευνήσας διεξέλθῃ A 25 μεθορμισάμενος FH: μεθορμησάμενος P, μεθαρμοσάμενος A (Mang.) πρὸς] εἰς F διδακτῇ vel διδασκαλικῇ coni. Mang.

πρὸς τελείωσιν, ἆθλον αἴρεται τὴν πρὸς θεὸν πίστιν· τῷ δὲ κατ' εὐμοιρίαν φύσεως αὐτήκοον καὶ αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ τὴν ἀρετὴν βραβεῖον ἀναδίδοται χαρά· τοῦ δ' ἀσκητοῦ καὶ πόνοις ἀτρύτοις καὶ ἀκαμπέσι περιποιησαμένου τὸ καλὸν ὁ στέφανός ἐστιν ὅρασις θεοῦ. τοῦ δὲ πιστεύειν θεῷ καὶ διὰ παντὸς τοῦ βίου χαίρειν καὶ ὁρᾶν ἀεὶ τὸ ὂν τί ἂν ὠφελιμώτερον ἢ σεμνότερον ἐπινοήσειέ τις;

28 (5.) Ἐπαυγασώμεθα δ' αὐτῶν ἕκαστον ἀκριβέστερον, μὴ τοῖς ὀνόμασι παραχθέντες, ἀλλὰ διακύψαντες εἴσω καὶ ταῖς διανοίαις ἐμβαθύναντες. ὁ μὲν τοίνυν ἀψευδῶς πιστεύσας θεῷ τὴν ἐν τοῖς ἄλλοις ὅσα γενητὰ καὶ φθαρτὰ κατείληφεν ἀπιστίαν, ἀρξάμενος ἀπὸ τῶν ἐν αὐτῷ μέγα πνεόντων, λογισμοῦ τε καὶ αἰσθήσεως· ἑκατέρῳ γὰρ ἴδιον | συνέδριον καὶ δικαστήριον προσκεκλήρωται, τῷ μὲν εἰς τὴν τῶν νοητῶν p. 413 M. ἐπίσκεψιν, οὗ τέλος ἀλήθεια, τῇ δὲ εἰς τὴν τῶν ὁρατῶν, οὗ τέλος δόξα.
29 τὸ μὲν οὖν ἀνίδρυτον καὶ πεπλανημένον τῆς δόξης ἐνθένδε δῆλον· εἰκόσι γὰρ καὶ πιθανοῖς ἐφορμεῖ· πᾶσα δὲ εἰκὼν ὁμοιότητι εὐπαραγώγῳ ψεύδεται τὸ ἀρχέτυπον. ὅ τε ἡγεμὼν αἰσθήσεως λογισμὸς τὰς κρίσεις οἰόμενος ἀνῆφθαι τῶν νοητῶν καὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων ἁλίσκεται περὶ πολλὰ κηραίνων· ὅταν γὰρ μυρίοις οὖσι τοῖς κατὰ μέρος ποιῆται τὰς προσβολάς, ἀδυνατεῖ καὶ ἐξασθενεῖ καὶ ἀπαγορεύει καθάπερ ἀθλητὴς
30 ὑπὸ ῥώμης δυνατωτέρας ἐκτραχηλιζόμενος. ὅτῳ δ' ἐξεγένετο πάντα μὲν σώματα πάντα δ' ἀσώματα ὑπεριδεῖν καὶ ὑπερκῦψαι, μόνῳ δ' ἐπερείσασθαι καὶ στηρίσασθαι θεῷ μετ' ἰσχυρογνώμονος λογισμοῦ καὶ ἀκλινοῦς καὶ βεβαιοτάτης πίστεως, εὐδαίμων καὶ τρισμακάριος οὗτος ὡς ἀληθῶς.

31 Μετὰ πίστιν προὔκειτο τῷ περιπεποιημένῳ τὴν ἀρετὴν ἐκ φύσεως ἀκονιτὶ καὶ νικηφορήσαντι χαρὰ τὸ ἆθλον· ὠνομάσθη γάρ, ὡς μὲν ἂν

1 καὶ ἆθλον A αἴρεται FA (Mang.): αἱρεῖται HP θεὸν A: τὸν θεὸν FHP (v) 2 καὶ αὐτοδίδακτον om. A 3 βραβεῖον om. Turn. 4 καὶ ⟨ἤθεσιν⟩ ἀκαμπέσι e. gr. conicio 5 τοῦ βίου om. A 6 ἐπινοήσειε F: ἐπινοήσῃ AHP 7 ἐπαυγασώμεθα A: ἐπαυγασόμεθα FHP (v) 8. 9 ἐμβαθύνοντες HP 10 γεννητὰ A ἀρξάμενος F: ἀρξάμενος δὲ AHP (v) 11 αὐτῶ codd.: αὐτῷ v 12 τῷ μὲν — δόξα (13) om. F τῷ] τὸ H¹P 13 οὗ τέλος — ὁρατῶν om. L (Turn.) τῇ] τὸ H¹P, τῶ H² 14 ἀνίδρυτον A: αἴδρυτον FHP (Turn.) τῆς δόξης A: τῆς om. FHP (v) 15 ὁμοιότητι A (Mang.) ὁμοιότητος FHP εὐπαραγώγω H¹P: εὐπαραγώγου FH², καὶ παραγώγω A 16 ὅτι F 17 κατὰ om. Richt. 19 ἢ ἀπαγορεύει A 21 πάντα δ' ἀσώματα om. L (Turn.) 21. 22 ὑπερείσασθαι HP (Turn.) 23 οὗτος ὡς ἀληθῶς scripsi: ὡς ἀληθῶς F, οὗτος ἀληθῶς AHP (v) 24 προὔκειτο HP: προϋπέκειτο FA περιπεποιημένω codd.: περιποιουμένῳ v

9 Gen. 15,6.

εἴποιεν Ἕλληνες, γέλως, ὡς δὲ Χαλδαῖοι προσονομάζουσιν, Ἰσαάκ· γέλως δὲ σημεῖον ἐπὶ τοῦ σώματος φανερὸν ἀφανοῦς τῆς κατὰ διάνοιαν χαρᾶς ἐστι. χαρὰν δὲ τῶν εὐπαθειῶν ἀρίστην καὶ καλλίστην εἶναι 32 συμβέβηκεν, ὑφ' ἧς ὅλη δι' ὅλων εὐθυμίας ἡ ψυχὴ καταπίμπλαται, γεγηθυῖα μὲν ἐπὶ τῷ πατρὶ καὶ ποιητῇ τῶν συμπάντων θεῷ, γεγηθυῖα δὲ καὶ ἐπὶ τοῖς ἄνευ κακίας δρωμένοις, κἂν μὴ τυγχάνῃ καθ' ἡδονὴν ὄντα, ὡς καλῶς γινομένοις καὶ ἐπὶ τῇ τῶν ὅλων διαμονῇ. καθάπερ 33 γὰρ ἰατρὸς μὲν ἐν ταῖς μεγάλαις καὶ ἐπισφαλέσι νόσοις ἔστιν ὅτε μέρη σωμάτων ἀφαιρεῖ στοχαζόμενος τῆς τοῦ λοιποῦ σώματος ὑγείας, κυβερνήτης δὲ χειμώνων ἐπιγινομένων ἀποφορτίζεται προνοίᾳ τῆς τῶν ἐμπλεόντων σωτηρίας, καὶ μέμψις οὔτε τῷ ἰατρῷ τῆς πηρώσεως οὔτε τῷ κυβερνήτῃ τῆς ἀποβολῆς ἕπεται, τοὐναντίον δὲ ἔπαινος ἑκατέρῳ τὸ συμφέρον πρὸ τοῦ ἡδέος ἰδόντι καὶ κατορθώσαντι, τὸν αὐτὸν τρόπον καὶ 34 τὴν τῶν ὅλων φύσιν ἀεὶ θαυμαστέον καὶ τοῖς ἐν τῷ κόσμῳ πραττομένοις ἅπασιν ἄνευ τῆς ἑκουσίου κακίας εὐαρεστητέον ἐξετάζοντας, οὐκ εἴ τι μὴ καθ' ἡδονὴν ἰδίαν συμβέβηκεν, ἀλλ' εἰ τρόπον εὐνόμου πόλεως ὁ κόσμος ἡνιοχεῖταί τε καὶ κυβερνᾶται σωτηρίως. μακάριος οὖν καὶ οὗτος 35 οὐχ ἧττον τοῦ προτέρου, συννοίας καὶ κατηφείας ἀμέτοχος ὤν, ἄλυπόν τε καὶ ἄφοβον ζωὴν καρπούμενος, αὐστηροῦ καὶ αὐχμηροῦ βίου μηδ' ὄναρ
p. 414 M. προσαψάμενος διὰ τὸ | πάντα τόπον τῆς ψυχῆς αὐτοῦ χαρᾷ προκατέχεσθαι.

(6.) Μετὰ τὸν αὐτομαθῆ δὲ καὶ πλουσίᾳ χρησάμενον τῇ φύσει 36 τρίτος ὁ ἀσκητὴς τελειοῦται λαμβάνων γέρας ἐξαίρετον ὅρασιν θεοῦ. πάντων γὰρ τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἐφαψάμενος καὶ πᾶσιν

1 προονομάζουσιν L (Turn.) 2 φανερὸν F: om. AHP 3 τε καὶ F 4 ἀφ' ἧς A κατεμπίπλαται A 5 συμπάντων F: ἁπάντων AHP (v) 6 κακίας ⟨ἑκουσίου⟩ coni. Mang. coll. l. 15 8 γὰρ om. F 8. 9 μέρη σωμάτων F: σωμάτων μέρη AHPD^H (v) 9 ἀφαιρεῖται A τῆς τοῦ λοιποῦ σώματος A: om. FHPD^H (Turn.) 10. 11 πλεόντων AD^H 12 ἀποβολῆς] βλάβης F δ' F 13 εἰδότι D^H 14 φύσιν] προνοητικὴν δύναμιν D^H καὶ] ἐπὶ D^H 15 ἄνευ—εὐαρεστητέον om. D^H εὐεργετητέον A 15. 16 οὐκ εἴ τι] οὐκέτι P, ἐπεὶ D^H 16 ἰδίαν FD^H: om. AHP (v) ἀλλ' εἰ FA: ἀλλ' ἢ HPD^H τρόπῳ A πόλεως ὡς HP 17 τε om. FD^H καὶ κυβερνᾶται σωτηρίως AD^H: σωτηρίως καὶ κυβερνᾶται FHP σωτηρίως om. Mang. 19 αὐστηροῦ καὶ αὐχμηροῦ F: αὐχμηροῦ καὶ αὐστηροῦ AHP (v) βίου om. A 20 αὐτοῦ FA: αὐτῷ HP (v) 21 τὸν] τὴν L (Turn.) αὐτομαθεῖ coni. Mang. πλουσίᾳ FAP²: πλουσίῳ HP¹ (v) 22 ὁ om. A

7—17 D^H fol. 337ʳ Φίλωνος: καθάπερ ἰατρὸς—καὶ κυβερνᾶται σωτηρίως.
23—345,5 N fol. 159ᵛ: πάντων—ἄνω προῆλθον.

ἐνομιλήσας οὐ παρέργως καὶ μηδένα πόνον ἢ κίνδυνον παρελθών, εἴ
πως δυνηθείη τὴν ἀκέραστον ἀλήθειαν ἰχνηλατῆσαι, παρὰ τῷ θνητῷ
γένει πολὺν ζόφον ἀνεύρισκε κατὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ αἰθέρα·
καὶ γὰρ ὁ αἰθὴρ καὶ ὁ σύμπας οὐρανὸς νυκτὸς αὐτῷ παρεῖχε φαντασίαν,
ἐπειδὴ πᾶσα ἡ αἰσθητὴ φύσις ἀόριστος· τὸ δ' ἀόριστον ἀδελφὸν σκότους
37 καὶ συγγενές. καταμύσας οὖν τὸ τῆς ψυχῆς ὄμμα τὸν ἔμπροσθεν
αἰῶνα τοῖς συνεχέσιν ἄθλοις μόλις ἤρξατο διοίγνυσθαι καὶ τὴν ἐπι-
σκιάσασαν διακρίνειν καὶ ἀποβάλλειν ἀχλύν· καθαρωτέρα γὰρ αἰθέρος
ἀσώματος ἐξαίφνης ἐπιλάμψασα αὐγὴ τὸν νοητὸν κόσμον ἀνέφηνεν
38 ἡνιοχούμενον. ὁ δ' ἡνίοχος ἀκράτῳ φέγγει περιλαμπόμενος ἐν κύκλῳ
δυσόρατος καὶ δυστόπαστος ἦν, ταῖς μαρμαρυγαῖς τῆς ὄψεως ἀμυδρουμένης·
ἡ δέ, καίτοι πολλοῦ ῥέοντος εἰς αὐτὴν πυρός, ἀντεῖχεν ἔρωτι ἐκτόπῳ
39 τοῦ θεάσασθαι. γνήσιον δὲ ἵμερον καὶ πόθον ἰδὼν ὁ πατὴρ καὶ σωτὴρ
ἠλέησε καὶ κράτος δοὺς τῇ τῆς ὄψεως προσβολῇ τῆς ἑαυτοῦ θέας
οὐκ ἐφθόνησε, καθ' ὅσον οἷόν τε ἦν χωρῆσαι γενητὴν καὶ θνητὴν
40 φύσιν, οὐχὶ τῆς ὅ ἐστιν ἐμφαινούσης, ἀλλὰ τῆς ὅτι ἔστιν. ἐκεῖνο μὲν
γάρ, ὃ καὶ ἀγαθοῦ κρεῖττον καὶ μονάδος πρεσβύτερον καὶ ἑνὸς εἰλικρι-
νέστερον, ἀμήχανον ὑφ' ἑτέρου θεωρεῖσθαί τινος, διότι μόνῳ θέμις
αὐτῷ ὑφ' ἑαυτοῦ καταλαμβάνεσθαι. (7.) τὸ δ' ὅτι ἔστιν, ὑπάρξεως
ὄνομα καταληπτὸν ὄν, ἢ οὐ πάντες ἢ οὐχ ὁδῷ τῇ βελτίονι καταλαμ-
βάνουσιν· ἀλλ' οἱ μὲν ἄντικρυς ἀπεφήναντο μηδ' ὅλως εἶναι τὸ θεῖον,
οἱ δὲ ἐνεδοίασαν ἐπαμφοτερίσαντες ὡς οὐκ ἔχοντες εἰπεῖν, εἴτε ἔστιν

1 παρεισελθών HP (Turn.) 1. 2 εἴ πως] ὅπως N 2 περὶ N
3 γένει FN: βίω καὶ γένει AHP (v) 4 καὶ γὰρ καὶ ὁ A 6 καταμύσαν A
οὖν scripsi (sic N): γοῦν FAHP (v) 7 μόλις scripsi: μόγις codd. (v)
διοιγνύναι conicio 7. 8 ἐπισκιάσασαν AFN: ἐπισκοτήσασαν HP (v)
9 ἀσώματος om. N 11 ἦν om. N 13 δ' FN ἥμερον F
ἵμερον καὶ om. D καὶ πόθον A: om. FNHP (Turn.) πατὴρ καὶ σωτὴρ
FND: σωτὴρ A, πατὴρ HP (v) 14 αὐτοῦ A 15 τε ND: τ' FHP, om. A
γεννητὴν A καὶ θνητὴν om. D[R] 16 pr. τῆς om. D[C] ὅ D[R] (ὅ in
οἷον corr. D[C]): ὅς codd. (v); οἷος coni. Mang. alt. τῆς om. D[C] ἐκείνω D[R]
μὲν om. A 17 ὃ καὶ—εἰλικρινέστερον om. D ἑνὸς om. Turn.
18 θεωρεῖσθαι τινὸς D: τινὸς θεωρεῖσθαι codd. (v) μόνω AH[1]PND: μόνον FH[2] (v)
19 αὐτῶ A: αὐτὸ FNPD, αὐτὸν H (v) ὑφ' ἑαυτοῦ FND[C]: ὑφ' αὐτοῦ AHP, καθ'
ἑαυτὸ D[R] 20 ὄνομα A: ὀνόματι FNHP; ἔννοιαν κατάληπτον (sic) οὖσαν coni. Mang.
τῇ om. F 22 δ' F ἐνεδίασαν (οι supra) F, ἐνεδύασαν N, ἐνεδοίαζον H[1]P ὡς] ἢ N

13—19 D[C] fol. 44[v] D[R] fol. 55[v] (praecedit excerptum ex libro *de mutatione nominum* § 15): γνήσιον πόθον ἰδὼν ὁ πατὴρ καὶ σωτὴρ — καταλαμβάνεσθαι.

εἴτε μή, οἱ δὲ καὶ ἔθει μᾶλλον ἢ λογισμῷ τὰς περὶ ὑπάρξεως θεοῦ
κομίσαντες ἐννοίας παρὰ τῶν τρεφόντων ἔδοξαν εὐστόχως εὐσεβεῖν δεισι-
δαιμονίᾳ τὴν εὐσέβειαν χαράξαντες. εἰ δέ τινες καὶ δι' ἐπιστήμης 41
ἴσχυσαν φαντασιωθῆναι τὸν ποιητὴν καὶ ἡγεμόνα τοῦ παντός, τὸ λεγό-
μενον δὴ τοῦτο κάτωθεν ἄνω προῆλθον. ὥσπερ γὰρ εἰς εὔνομον πόλιν
τόνδε τὸν κόσμον παρελθόντες καὶ θεασάμενοι γῆν μὲν ἀρετῶσαν ὀρεινὴν
καὶ πεδιάδα, σπαρτῶν καὶ δένδρων καὶ καρπῶν ἔτι δὲ καὶ παντοίων
p. 415 M. ζῴων | ἀνάπλεων, ἐπὶ δ' αὐτῆς ἀνακεχυμένα πελάγη καὶ λίμνας καὶ
ποταμοὺς αὐθιγενεῖς τε καὶ χειμάρρους, καὶ ἀέρος καὶ πνευμάτων
εὐκρασίας, καὶ τῶν ἐτησίων ὡρῶν τὰς ἐναρμονίους μεταβολάς, καὶ ἐπὶ
πᾶσιν ἥλιον καὶ σελήνην πλάνητάς τε καὶ ἀπλανεῖς ἀστέρας καὶ τὸν
σύμπαντα οὐρανὸν ἐν τάξεσι μετὰ τῆς οἰκείας στρατιᾶς ἡρμοσμένον,
κόσμον ἀληθινὸν ἐν κόσμῳ περιπολοῦντα, θαυμάσαντες καὶ κατα- 42
πλαγέντες εἰς ἔννοιαν ἦλθον ἀκόλουθον τοῖς φανεῖσιν, ὅτι ἄρα τοσαῦτα
κάλλη καὶ οὕτως ὑπερβάλλουσα τάξις οὐκ ἀπαυτοματισθέντα γέγονεν,
ἀλλ' ὑπό τινος δημιουργοῦ κοσμοποιοῦ, καὶ ὅτι πρόνοιαν ἀναγκαῖον
εἶναι· νόμος γὰρ φύσεως ἐπιμελεῖσθαι τὸ πεποιηκὸς τοῦ γεγονότος.
ἀλλ' οὗτοί γε οἱ θεσπέσιοι καὶ τῶν ἄλλων διενηνοχότες, ὅπερ ἔφην, 43
κάτωθεν ἄνω προῆλθον οἷα διά τινος οὐρανίου κλίμακος, ἀπὸ τῶν
ἔργων εἰκότι λογισμῷ στοχασάμενοι τὸν δημιουργόν. εἰ δέ τινες ἐδυνή-
θησαν αὐτὸν ἐξ ἑαυτοῦ καταλαβεῖν ἑτέρῳ μηδενὶ χρησάμενοι λογισμῷ
συνεργῷ πρὸς τὴν θέαν, ἐν ὁσίοις καὶ γνησίοις θεραπευταῖς καὶ θεο-
φιλέσιν ὡς ἀληθῶς ἀναγραφέσθωσαν. τούτων ἐστὶν ὁ Χαλδαϊστὶ μὲν 44
προσαγορευόμενος Ἰσραήλ, Ἑλληνιστὶ δὲ ὁρῶν θεόν, οὐχ οἷός ἐστιν

1 θεοῦ ὑπάρξεως transp. FN 2 κομίσαντες A: νομίσαντες HP (Turn.), λαβόντες FN περὶ N 3 χαράξαντες AFN: ἐγχαράξαντες HP (v) 4 τοῦ παντός FNHP: τοῦδε τοῦ παντός A (Mang.) 5 ἔννομον A 6 παρελθόντες FA (Mang.): παρεληλυθότες HP ἀρετῶσαν Mang.: ἑστῶσαν codd. 7 καὶ καρπῶν om. A 7. 8 παντοίων ζῴων F: ζῴων παντοίων AHP (v) 8 ἀνάπλεω F ἀνακεχυμένα HP: ἐπικεχυμένα FA πελάγη om. HP (Turn.) λίμνας F: λιμένας AHP 9 καὶ αὐθιγενεῖς A καὶ ἀέρος καὶ πνευμάτων FA: καὶ ἀέρος om. HP (Turn.); καὶ πνευμάτων καὶ ἀέρος Mang. 10 ἐναρμονίους om. A alt. καὶ om. F 11 pr. καὶ om. F τε καὶ A: τε om. HP (v), τε καὶ om. F 12 ἡρμοσμένον FA: om. HP (v) 15 ὑπερβάλλουσα τάξις FAH[1]P: ὑπερβάλλοντα τάξει H[2] (v) 16 ⟨καὶ⟩ κοσμοποιοῦ conicio 17 πεποιηκότος H[1]P τοῦ γεγονότος codd.: τοῦ om. v 18 οἱ θεσπέσιοι FA: οἱ om. HP (v) ὅπερ FAP (Turn.): ὁπότε H; ὥσπερ Mang. 19 οἷα HP: οἷον A, ἵνα F διά FA: δή HP (Turn.) 19. 20 ἀπὸ τῶν ἔργων FA mg P[2]: om. HP (Turn.) 20. 21 ἠδυνήθησαν codd. 21 λογισμῷ FA: om. HP (Turn.) 22 καὶ γνησίοις om. L (Turn.), καὶ γνησίοις — ἀληθῶς (23) om. F 23 ὡς om. A

ὁ θεός — τοῦτο γὰρ ἀμήχανον, ὡς ἔφην —, ἀλλ' ὅτι ἔστιν, οὐ παρ'
ἑτέρου τινὸς μαθών, οὐχὶ τῶν κατὰ γῆν, οὐχὶ τῶν κατ' οὐρανόν, οὐχὶ
τῶν ὅσα στοιχεῖα ἢ συγκρίματα θνητά τε αὖ καὶ ἀθάνατα, ἀλλὰ παρ'
αὐτοῦ μόνου μετακληθεὶς τὴν ἰδίαν ὕπαρξιν ἀναφῆναι θελήσαντος ἱκέτῃ.
45 πῶς δ' ἡ προσβολὴ γέγονεν, ἄξιον διά τινος εἰκόνος ἰδεῖν. τὸν αἰσθητὸν
τοῦτον ἥλιον μὴ ἑτέρῳ τινὶ θεωροῦμεν ἢ ἡλίῳ; τὰ δὲ ἄστρα μή τισιν
ἄλλοις ἢ ἄστροις θεωροῦμεν; καὶ συνόλως τὸ φῶς ἆρ' οὐ φωτὶ βλέπεται;
τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ θεὸς ἑαυτοῦ φέγγος ὢν δι' αὐτοῦ μόνου
θεωρεῖται, μηδενὸς ἄλλου συνεργοῦντος ἢ δυναμένου συνεργῆσαι πρὸς
46 τὴν εἰλικρινῆ κατάληψιν τῆς ὑπάρξεως αὐτοῦ. στοχασταὶ μὲν οὖν οἱ
ἀπὸ τῶν γεγονότων τὸν ἀγένητον καὶ γεννητὴν τῶν ὅλων σπεύδοντες
θεωρεῖν, ὅμοιόν τι δρῶντες τοῖς ἀπὸ δυάδος μονάδος φύσιν ἐρευνῶσι,
δέον ἔμπαλιν ἀπὸ μονάδος — ἀρχὴ γὰρ αὕτη — δυάδα σκοπεῖν· ἀλή-
47 θειαν δὲ μετίασιν οἱ τὸν θεὸν θεῷ φαντασιωθέντες, φωτὶ φῶς. (8.) τὸ
μὲν οὖν μέγιστον ἆθλον εἴρηται. πρὸς δὲ τούτοις λαμβάνει βραβεῖον ὁ
ἀσκητὴς λεχθῆναι μὲν οὐκ εὔφημον, νοηθῆναι δὲ ἄριστον· ὀνομάζεται
δὲ τὸ βραβεῖον πλάτους νάρκη (Genes. 32,25) συμβολικῶς· ἀλαζονεία
μὲν γὰρ καὶ ὑπεροψία | διὰ τοῦ πλάτους ἐμφαίνεται, χεομένης τῆς ψυχῆς p. 416 M.
ἄμετρον ἐφ' ἃ μὴ δεῖ χύσιν, διὰ δὲ τῆς νάρκης μετεώρου καὶ πεφυση-
48 μένου πράγματος, οἰήσεως, συστολή. σύμφορον δὲ οὐδὲν οὕτως ὡς τὸ
κεχαλασμένον καὶ ἀνειμένον τῶν ὁρμῶν ἀνακοπῆναί τε καὶ ναρκῆσαι
παρεθὲν τοὺς πνευματικοὺς τόνους, ἵν' ἡ τῶν παθῶν ἄμετρος ἰσχὺς
ἐξασθενήσασα πλάτος ἐμπαράσχῃ ψυχῆς τῷ βελτίονι μέρει.
49 Προσεξεταστέον δὲ ὅτι καὶ οἰκειότατον ἑκάστῳ τῶν τριῶν ἀπενε-
μήθη τὸ ἆθλον. τῷ μὲν γὰρ ἐκ διδασκαλίας τελειωθέντι πίστις, ἐπειδὴ

1 οὐ om. A παρ'] ὑπὸ A 2 οὐχὶ τῶν κατ' οὐρανόν om. F
3 ἢ συγγράμματα (sic) A 4 μόνου AHP: μόνον F (v) μετακληθεὶς FA: καταβληθεὶς HP (v): καταληφθεὶς vel κατηχηθεὶς coni. Mang. οἰκέτῃ HP (οὐκέτι Turn.) 6 ἢ om. HP 7 ἄλλοις ἢ FA: ἄλλοισιν HP ἢ πάλιν ἄστροις A συνόλως om. L (Turn.) 8 δὴ om. A ἑαυτοῦ] αὐτοῦ F δι' αὐτοῦ F: δι' αὐτοῦ HP (v), δι' ἑαυτοῦ A 11 ἀγέννητον A καὶ γεννητὴν τῶν ὅλων FA: om. HP (v) 12 δρῶσι A φύσιν μονάδος transp. A post μονάδος add. ἄρχεσθαι A mg P[2] 13 ἀρχὴ γὰρ αὕτη] αὕτη γὰρ ἐν ἀρχῇ F δυάδα A: δυάδος FHP (Turn.) 16 δ' F 17 πλάτους om. H[1]P (Turn.) νάρκη A: νάρκ$^{\text{η}}$α F, νάρκα HP (v); cf. Lob. Phryn. p. 331 18 μὲν FA: om. HP (v) τοῦ om. F 19 καὶ μετεώρου AP[2] 20 $^{\text{συ}}$στολή F (συ ss. F[2]) σύμφορον] συμφέρον coni. Mang. δ' F 22 παρεθὲν FHP: παρεθέντα A (παραθὲν Turn.) 23 ἀσθενήσασα A 24 προσεξεταστέον] προσθετέον coni. Mang. δ' F

τὸν μανθάνοντα πιστεῦσαι δεῖ τῷ διδάσκοντι περὶ ὧν ὑφηγεῖται· δύσκολον γάρ, μᾶλλον δ' ἀδύνατον ἀπιστοῦντα παιδεύεσθαι. τῷ δὲ κατ' εὐμοιρίαν 50
φύσεως ἐπ' ἀρετὴν φθάσαντι χαρά· χαρτὸν γὰρ ἡ εὐφυΐα καὶ τὰ φύσεως δῶρα, τῆς διανοίας εὐθιξίαις καὶ εὐσκόποις ἐπιβολαῖς προσγανουμένης, ἐν αἷς ἀπόνως εὑρίσκει τὰ ζητούμενα, καθάπερ ὑποβολέως ἔνδοθεν ὑπηχοῦντος· ἡ γὰρ σύντομος τῶν ἀπορουμένων εὕρεσις χαρτόν. τῷ δὲ 51
δι' ἀσκήσεως περιποιησαμένῳ φρόνησιν ὅρασις· μετὰ γὰρ τὸν ἐν νεότητι πρακτικὸν βίον ὁ ἐν γήρᾳ θεωρητικὸς βίος ἄριστος καὶ ἱερώτατος, ὃν οἷα κυβερνήτην παραπέμψας ἐπὶ πρύμναν ὁ θεὸς ἐνεχείρισε τοὺς οἴακας ὡς ἱκανῷ πηδαλιουχεῖν τὰ ἐπίγεια· χωρὶς γὰρ θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πραττομένων καλόν.

(9.) Ἑνὸς ἔτι μνησθεὶς ἀνδρός, στοχαζόμενος τοῦ μὴ μακρηγορεῖν, 52
ἐπὶ τὰ ἀκόλουθα τῶν λόγων τρέψομαι. ὁ δ' ἀνὴρ οὗτος τοὺς ἱεροὺς ἀγῶνας ἐξῆς στεφανωθεὶς ἐκηρύχθη· λέγω δὲ ἱεροὺς οὐ τοὺς παρὰ πολλοῖς νομιζομένους — ἀνίεροι γὰρ οὗτοί γε βίαις καὶ ὕβρεσι καὶ ἀδικίαις ἀντὶ τῶν ἀνωτάτω τιμωριῶν γέρα καὶ τιμὰς προτείνοντες —, ἀλλ' οὓς ἡ ψυχὴ πέφυκε διαθλεῖν, φρονήσει μὲν ἠλιθιότητα καὶ πανουργίαν ἐλαύνουσα, σωφροσύνῃ δὲ ἀσωτίαν καὶ φειδωλίαν, ἀνδρείᾳ δὲ θρασύτητα καὶ δειλίαν, καὶ ταῖς ἄλλαις ἀρεταῖς τὰς ἀντιθέτους κακίας, αἳ μήθ' ἑαυταῖς μήτε ἄλλαις συμφέρουσιν. πᾶσαι μὲν οὖν αἱ ἀρεταὶ 53
παρθένοι, καλλιστεύει δὲ ὡς ἐν χορῷ παραλαβοῦσα τὴν ἡγεμονίαν ἡ εὐσέβεια, ἣν ἐκληρώσατο διαφερόντως ὁ θεολόγος Μωυσῆς, δι' ἣν μετὰ

2 γάρ] μὲν γὰρ A παιδεύεσθαι FAP: παιδευθῆναι H (v) 4 εὐθιξίαις F: εὐθηξίαις HP, ἐν εὐεξίαις A καὶ κόπεις (sic) καὶ ἐπιβουλαῖς A προγανουμένης conicio 5 αἷς] οἷς codd. (v) εὑρίσκει] ἂν εὑρίσκῃ A 6 χαρτόν] χαρτή A 7 περιπεποιημένω F φρόνησις F 8 πρακτικὸν] πνικὸν (i. e. πνευματικὸν) A βίος ἄριστος D[R], ἄριστος βίος F: βίος om. AHP (v) 9 κυβερνήτην D (v): κυβερνήτης codd. παραπέμψας FAD: ἄνωθεν παραπέμψας HP (v) ἐπὶ πρύμναν παραπέμψας transp. A, ἐπὶ πρύμναν om. D 10 ἱκανὸν D πηδαλιουχῆσαι A 13 τἀκόλουθα F τῶν λόγων HP: τὸν λόγον FA 14 ἑξῆς F: om. AHP (v) δ' F 14. 15 παρὰ πολλοῖς A: παρ' ἄλλοις FHP (v) 17 μὲν om. L (Turn.) 18 pr. δ' F ἀνδρεία codd.: ἀνδρίᾳ v 19 ἀντιθέους (sic) A 20 μήθ' FA: μήτε HP μήτε FHP: μήτ' A συμφέρουσιν scripsi: συμφέρονται codd. (v) αἱ om. A 21 δ' F 21. 22 ἡ εὐσέβεια A: ἡ δικαιοσύνη F, ἡ εὐσέβεια καὶ δικαιοσύνη HP (v) 22 μωσῆς codd. δι' ἣν FAH[1]P: διὸ H[2] (v)

7—11 D[R] fol. 131[r] τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων Anton. Mel. II 17 Col. 1056 Φίλωνος: μετὰ τὸν ἐν νεότητι πρακτικὸν βίον — οὐδὲν τῶν πραττομένων καλόν.
10. 11 D[P] fol. 97[v] Φίλωνος: χωρὶς θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πραττομένων καλόν.

μυρίων ἄλλων, ἅπερ ἐν τοῖς γραφεῖσι περὶ τοῦ κατ᾽ αὐτὸν βίου μεμή-
νυται, τεττάρων ἄθλων ἐξαιρέτων τυγχάνει, [τυχὼν] βασιλείας, νομο-
54 θεσίας, προφητείας, ἀρχιερωσύνης. βασιλεύς τε γὰρ γέγονεν, οὐκ ἔθει
τῷ καθεστῶτι μετὰ | στρατιᾶς τε καὶ ὅπλων ναυτικῆς τε καὶ πεζικῆς p. 417 M.
καὶ ἱππικῆς δυνάμεως, ἀλλ᾽ ὑπὸ θεοῦ χειροτονηθεὶς ἑκουσίῳ γνώμῃ τῶν
ἀρχομένων, ὃς τοῖς ὑπηκόοις ἐνειργάσατο τὴν ἑκούσιον αἵρεσιν. ἄναυδος
γὰρ καὶ ἀκτήμων καὶ ἀχρήματος μόνος οὗτος βασιλεὺς ἡμῖν ἀνεγράφη,
πρὸ τοῦ τυφλοῦ τὸν βλέποντα πλοῦτον ἀσπασάμενος καί, εἰ δεῖ μηδὲν
55 ὑποστειλάμενον εἰπεῖν, τὸν θεοῦ κλῆρον ἰδίαν οὐσίαν ὑπολαμβάνων. ὁ δ᾽
αὐτὸς γίνεται καὶ νομοθέτης· δεῖ γὰρ τὸν βασιλέα προστάττειν καὶ
ἀπαγορεύειν· νόμος δὲ οὐδέν ἐστιν ἕτερον ἢ λόγος προστάττων ἃ χρὴ
καὶ ἀπαγορεύων ἃ μὴ χρή. ἐπεὶ δ᾽ ἄδηλον τὸ ἐν ἑκατέρῳ συμφέρον —
ἀγνοίᾳ γὰρ πολλάκις κελεύομεν ἃ μὴ δεῖ καὶ ἀπαγορεύομεν ἃ δεῖ πράτ-
τειν —, οἰκεῖον ἦν τρίτον λαβεῖν, προφητείαν, εἰς τὸ ἄπταιστον· ἑρμη-
νεὺς γάρ ἐστιν ὁ προφήτης ἔνδοθεν ὑπηχοῦντος τὰ λεκτέα τοῦ θεοῦ,
56 παρὰ θεῷ δ᾽ οὐδὲν ὑπαίτιον. τέταρτον δ᾽ ἀρχιερωσύνην, δι᾽ ἧς προφη-
τεύων ἐπιστημονικῶς θεραπεύσει τὸ ὂν καὶ τὰς ὑπὲρ τῶν ὑπηκόων
κατορθούντων μὲν εὐχαριστίας, εἰ δὲ διαμαρτάνοιεν, εὐχὰς καὶ ἱκεσίας
ἱλασκόμενος ποιήσεται. ταῦτα μιᾶς ὄντα ἰδέας ἀλληλουχεῖν ὀφείλει
τοῖς ἁρμονίας δεσμοῖς ἑνωθέντα καὶ περὶ τὸν αὐτὸν ἐξετάζεσθαι, ὡς ὅ
γέ τινος τῶν τεττάρων ὑστερίζων ἀτελὴς εἰς ἡγεμονίαν. χωλὴν ἀνημμένος
κοινῶν πραγμάτων ἐπιμέλειαν.
57 (10.) Ἅλις μὲν δὴ τῶν καθ᾽ ἕκαστον ἄνδρα τιθεμένων ἄθλων·
τίθεται δὲ καὶ ὅλοις οἴκοις καὶ πολυανθρώποις συγγενείαις. αὐτίκα τοῦ
ἔθνους εἰς δώδεκα φυλὰς διανεμηθέντος ἰσάριθμοι ταῖς φυλαῖς εἰσιν
ἡγεμόνες, οὐ μόνον μιᾶς οἰκίας ἢ συγγενείας, ἀλλὰ καὶ γνησιωτέρας

---

1 κατὰ FH[1]P αὐτὸν βίου] τὸν βίον F 1. 2 μεμήνυται om. A
2 τεττάρων δ᾽ H[1]P τυγχάνει om. FA τυχὼν seclusi (cf. Mang.)
4 pr. τε om. F 6 τὴν ἑκούσιον αἵρεσιν A: τὴν εἰς τὸ ἑκούσιον αἵρεσιν FHP (v): σπουδὴν εἰς τὴν ἑκούσιον αἵρεσιν coni. Mang. ἄναυδος HP: ἄναυλος FA
7 καὶ ἀκτήμων F: καὶ ἀνούσιος καὶ ἀκτήμων AP, καὶ ἀνακούσιος καὶ ἀκτήμων H; ἀνάκουστος (pro ἀνακούσιος) coni. Cotelier βασιλέων F 8 τοῦ τυφλοῦ F: τοῦ om. AHP (v) 9 θεοῦ] τοῦ θεοῦ A ἰδίας F 10 τοῦτο τοῦ πλάτωνος adnot. mg H 11 δ᾽ F ἕτερον om. F ἃ χρὴ] ἃ δεῖ A
12 ἐπεὶ — ἃ μὴ δεῖ (13) om. F 13 ἃ δεῖ] ἃ χρὴ F 14 τρίτον λαβεῖν FAP: λαβεῖν τρίτον H (v) 15 τοῦ om. F 16 παρὰ θεῷ δ᾽ F: παρὰ δὲ θεῷ AHP (v) ἀρχιερωσύνη F 17 θεραπεύει A ὑπὲρ F: om. AHP (v)
20 τοῖς codd.: τῆς v 21 γε om. Turn. ἀνειμένος A 25 ἔθνους om. A post ἰσάριθμοι add. γὰρ A εἰσιν] ἦσαν coni. Mang.

οἰκειότητος· ἀδελφοὶ γὰρ ὁμοπάτριοι πάντες· ὁ δὲ τούτων πάππος καὶ πρόπαππος σὺν τῷ πατρὶ γεγόνασιν ἀρχηγέται τοῦ ἔθνους. ὁ μὲν οὖν 58 πρῶτος πρὸς ἀλήθειαν ἐκ τύφου μεταθέμενος καὶ τῆς ἐν τοῖς μαθήμασι Χαλδαϊκῆς τερθρείας ὑπεριδὼν ἕνεκα τελειοτέρας ὄψεως, ἣν θεασάμενος ἑλχθεὶς ἠκολούθησε τῇ φαντασίᾳ, καθάπερ τὸν σίδηρόν φασιν ὑπὸ λίθου τῆς μαγνήτιδος ἕλκεσθαι, ἀντὶ σοφιστοῦ γενόμενος ἐκ διδασκαλίας σοφός, πολλοὺς μὲν ἔσχε παῖδας, ἅπαντας δὲ πλὴν ἑνὸς ὑπαιτίους, ὃς τὰ πείσματα τοῦ γένους ἐκδησάμενος ἀσφαλῶς ἐνωρμίσατο. τῷ δ' υἱῷ πάλιν αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ φύσιν δύο 59 συνέβη παῖδας γενέσθαι, τὸν μὲν ἄγριον καὶ ἀτίθασον, θυμοῦ γέμοντα καὶ ἐπιθυμίας καὶ συνόλως τὸ τῆς ψυχῆς ἄλογον μέρος ἐπιτετειχικότα
p. 418 M. τῷ λογικῷ, τὸν δ' ἥμερον καὶ φιλάνθρωπον, καλοκἀγαθίας | ἐραστὴν ἰσότητός τε καὶ ἀτυφίας, ἐν βελτίονι τεταγμένον τάξει, λογισμοῦ προαγωνιστήν, ἀφροσύνης ἀντίπαλον· οὗτός ἐστιν ὁ τρίτος τῶν ἀρχηγετῶν, 60 ὁ πολύπαις τε καὶ μόνος εὔτεκνος, ἀσινὴς ἐν ἅπασι τοῖς μέρεσι τῆς οἰκίας, οἷά τις γεωργὸς εὐδαίμων ἅπασαν τὴν σπορὰν ἐπιδὼν σῶον ἥμερόν τε καὶ καρποφόρον. (11.) ἔχει δ' ἕκαστος τῶν τριῶν τὴν ῥητὴν 61 διήγησιν σύμβολον διανοίας ἀφανοῦς, ἣν ἐπισκεπτέον. αὐτίκα παντὶ τῷ διδασκομένῳ συμβαίνει μετιόντι πρὸς ἐπιστήμην ἀπολιπεῖν ἀμαθίαν· ἀμαθία δὲ πολύχουν. διὰ τοῦτο ὁ πρῶτος λέγεται πολύπαις μέν, οὐδένα δὲ τῶν ἄλλων ἀξιώσας υἱὸν αὑτοῦ χρηματίζειν πλὴν ἑνός· τρόπον γάρ τινα καὶ ὁ μανθάνων ἀποκηρύττει τὰ τῆς ἀμαθίας ἔκγονα καὶ ὡς ἐχθρὰ καὶ δυσμενῆ παραιτεῖται. φύσει γε μὴν πάντες οἱ 62 ἄνθρωποι, πρὶν τελειωθῆναι τὸν ἐν αὐτοῖς λόγον, κείμεθα ἐν μεθορίῳ

2 σὺν τῷ πατρὶ om. F 3 πρὸς] εἰς F μετατιθέμενος A 5 ἑλχθεὶς scripsi: θελχθεὶς codd. (v) 6 μαγνίτιδος F 7 post σοφός interpung. et οὗτος ante πολλοὺς add. AHP (v), οὗτος om. FN 7. 8 πλὴν ἑνὸς ὑπαιτίους FNHP (Turn.): οὐ καλοὺς πλὴν ἑνὸς ἀνυπαιτίου A (Mang.) 8 ὃς FNHP (Turn.): ᾧ A (Mang.) 9 φύσιν κτησαμένῳ transp. A 10 γίνεσθαι H^{1}P ἀτίθασσον FA 11 ἐπιτετειχηκότα H 12 δὲ v ἐραστὴν Mang.: ἐργάτην codd. 13 βελτίονι FN: τῇ βελτίονι AHP (v) 15 ἅπασι A 16 ἐπιδὼν] ἐπιδιδοὺς AP^2 σῶον om. N 17 δ'] μὲν οὖν conicio 18 post διήγησιν videntur deesse nonnulla; διήγησιν ⟨ταύτην· ἔστι δὲ καὶ⟩ e. gr. suppleo διανοίας] ἐννοίας vel ὑπονοίας coni. Mang. 19 πρὸς F: εἰς AHP (v) 20 διὰ τοῦθ' F 21 δὲ FH^2: καὶ H^{1}P, om. A υἱὸν A: υἱῶν FHP (Turn.) αὐτοῦ codd. (v) πλὴν ἑνὸς χρηματίζειν transp. F 23 γε μὴν] μὲν οὖν F οἱ om. HP (πάντες οἱ om. Turn.) 24 αὐτοῖς codd.

1—17 N fol. 160^r: ἀδελφοὶ — καρποφόρον.

κακίας καὶ ἀρετῆς πρὸς μηδέτερά πω ταλαντεύοντες· ἐπειδὰν δὲ πτερυ-
ξάμενος ὁ νοῦς ὅλῃ τῇ ψυχῇ διὰ πάντων αὐτῆς τῶν μερῶν φαντασιωθῇ
τὸ ἀγαθόν, ἄφετος πρὸς αὐτὸ καὶ πτηνὸς ὁρμᾷ τὸ συγγεγεννημένον
ἀδελφὸν κακὸν ὀπίσω καταλιπών, ὃ καὶ ἀποφεύγει τὴν ἐναντίαν ὁδὸν
63 ἀμεταστρεπτί. τοῦτ᾽ ἐστὶν ὃ αἰνίττεται φάσκων υἱοὺς δύο γεγενῆσθαι
διδύμους τῷ φύσεως εὐμοίρου λαχόντι· παντὸς γὰρ ἀνθρώπου κατ᾽
ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχή, κακόν, ὡς ἔφην, καὶ
ἀγαθόν, ἑκάτερον φαντασιουμένη· μακαρίας δὲ καὶ εὐδαίμονος ὅταν
τύχῃ μερίδος, ὁλκῇ μιᾷ ῥέπει πρὸς τὸ ἀγαθόν, μήτ᾽ ἐπὶ θάτερά ποτε
64 ταλαντεύσασα μήτ᾽ ἐπαμφοτερίσασα πρὸς τὸ ἰσόρροπον. ἡ δ᾽ ἀγαθῆς μὲν
φύσεως ἀγαθῆς δὲ καὶ παιδεύσεως ἐπιλαχοῦσα κἀκ τρίτου συνασκηθεῖσα
τοῖς τῆς ἀρετῆς θεωρήμασιν, ὡς μηδὲν αὐτῶν ἐξ ἐπιπολῆς πλαδᾶν, ἔγκολλα
δ᾽ εἶναι καὶ ἐντετυπωμένα τὰ πάντα καθάπερ νεύροις τισὶν ἑνωθέντα, κτᾶται
μὲν ὑγείαν, κτᾶται δὲ δύναμιν, οἷς εὔχροια μὲν ἐξ αἰδοῦς, εὐεξία δὲ καὶ
65 κάλλος ἐπιγίνεται. γενομένη δὲ πλήρωμα ἀρετῶν ἥδε ἡ ψυχὴ διὰ τριῶν
τῶν ἀρίστων, φύσεως καὶ μαθήσεως καὶ ἀσκήσεως, οὐδὲν ἐν ἑαυτῇ
καταλιποῦσα κενὸν εἰς πάροδον ἄλλων, γεννᾷ τέλειον ἀριθμόν, διττὰς
υἱῶν ἑξάδας, ἀπεικόνισμα καὶ μίμημα τοῦ ζῳδιακοῦ κύκλου, πρὸς τὴν
τῶν ἐνταῦθα βελτίωσιν. οὗτός ἐστιν ὁ ἀσινὴς οἶκος, ὁ τέλειος καὶ
συνεχὴς ἐν ταῖς ῥηταῖς γραφαῖς καὶ ἐν ταῖς καθ᾽ ὑπόνοιαν ἀλληγορίαις,
ὃς ἔλαβεν ἆθλον, καθάπερ εἶπον, ἡγεμονίαν τῶν τοῦ ἔθνους | φυλῶν. p. 419 M.
66 ἐκ τοῦδε τοῦ οἴκου χρόνοις εἰς πολυανθρωπίαν ἐπιδόντος εὔνομοι
πόλεις ἐκτίσθησαν, διδασκαλεῖα φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιό-

1 μηδ᾽ ἕτερα F πως A 3 πρὸς αὐτὸν A συγγεγεννημένον P: συγγεγενημένον FAH (v) 5 τοῦτ᾽ ἔσθ᾽ F 7 ὡς] ὃ A 8 ἑκάτερα A 9 ὁλκῇ] ἀλκῇ A ῥέποι HP ἐπὶ θάτερα FA: ἐπὶ θάτερον HP (v) 11 δὲ καὶ FHP: καὶ om. A (v) συνασκηθεῖσα] πολλάκις συγγυμνασθεῖσα ss. F²; ἐνασκηθεῖσα coni. Mang. 12 μηδὲ H πλαδᾶν scripsi: ἐπιπλαδᾶν codd. (v), ἐπιπολάζειν ss. F² 13 τὰ om. A 14 οἷς] ᾗ H² (Turn.) μὲν om. F 15 ἥδε FA: ἡ δὲ H¹P, ἡ δὲ H², om. v ψυχὴ — ἐν ἑαυτῇ (16) om. A 16 καὶ μαθήσεως F: καὶ om. HP (v) ἐν ἑαυτῇ F: ἐν om. HP (Turn.); ἐν αὑτῇ Mang. 17 λιποῦσα A; ἀπολιποῦσα coni. Mang. πᾶν κενὸν A καινὸν L (Turn.) 19. 20 καὶ συνεχὴς HP: ὁ συνεχῶς F, κύκλος καὶ (sic) A; καὶ καλὸς coni. Mang. 21 ὅς] ἧς A ἡγεμονίαν AHP: ἡγεμονίας F (v) 22 ἐκ τοῦδε F: ἐκ τοῦδε οὖν AHP (v) ἐπιδόντος F: ἐπιδιδόντος AHP (v) 23 post ἐκτίσθησαν add. καὶ HP (v) διδασκαλεῖα Mang.: διδασκαλία HP¹, διδασκαλίαι AP², διδασκαλίας F

6—8 D^{P} fol. 376^{v} Φίλωνος: παντὸς ἀνθρώπου κατ᾽ ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχή, κακὸν καὶ ἀγαθόν, ἑκάτερον φαντασιούμενον.

τητος, ἐν οἷς καὶ ἡ τῆς ἄλλης ἀρετῆς μεταποίησις μεγαλοπρεπῶς διερευνᾶται.

(12.) Τὰ μὲν οὖν ἀπονεμηθέντα πάλαι τοῖς ἀγαθοῖς ἆθλα κοινῇ 67
τε καὶ ἰδίᾳ λέλεκται τυπωδέστερον, ἀφ' ὧν καὶ τὰ παραλειφθέντα
δύναιτ' ἄν τις εὐμαρέστατα συνορᾶν. ἑξῆς δὲ τὰς προτεθείσας τοῖς
πονηροῖς κολάσεις [ἐν μέρει] πάλιν ἐπισκεπτέον γενικώτερον, ἐπεὶ τὰς
κατὰ μέρος ἀναγράφειν οὐ καιρός. ἐγένετό τις κατ' ἀρχὰς εὐθύς, ὅτ' 68
οὔπω τὸ τῶν ἀνθρώπων γένος ἐπλήθυνεν, ἀδελφοκτόνος. οὗτός ἐστιν
ὁ πρῶτος ἐναγής, ὁ πρῶτος καθαρευούσῃ τῇ γῇ μίασμα προσβαλὼν
ἄηθες ἀνθρωπείου αἵματος, ὁ πρῶτος ἀνιεῖσαν καὶ βλαστάνουσαν γένη
ζῴων καὶ φυτῶν καὶ οἷς εὐτοκεῖ πᾶσι τεθηλυῖαν τῆς εὐτοκίας ἐπισχών,
ὁ πρῶτος φθορὰν γενέσει καὶ θάνατον ζωῇ καὶ πένθος χαρᾷ καὶ κακὰ
ἀγαθοῖς ἐπιτειχίσας. τί ἂν οὖν παθὼν ἀξίαν ἐδεδώκει δίκην, ὃς διὰ 69
μιᾶς πράξεως οὐδὲν τῶν βιαίων καὶ ἀσεβῶν παρέλιπεν; ἴσως ἂν εἴποι
τις· ἀναιρεθείς. ὁ λογισμὸς οὗτος ἀνθρώπου τὸ μέγα δικαστήριον οὐ
βλέποντος· ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι τὸν
θάνατον, ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόλις οὗτός ἐστιν ἀρχή. ἐπεὶ 70
τοίνυν καινὸν τὸ ἔργον, ἔδει καὶ τὴν ἐπ' αὐτῷ τιμωρίαν καινὴν εὑρεθῆναι. τίς οὖν ἐστιν αὕτη; ζῆν ἀποθνῄσκοντα ἀεὶ καὶ τρόπον τινὰ
θάνατον ἀθάνατον ὑπομένειν καὶ ἀτελεύτητον. θανάτου γὰρ διττὸν εἶδος·
τὸ μὲν κατὰ τὸ τεθνάναι, ὅπερ ἀγαθόν ἐστιν ⟨ἢ⟩ ἀδιάφορον, τὸ δὲ κατὰ

1 ἐν οἷς καὶ om. HP (ἐν οἷς om. Turn.) ἧς (sic) F (οἷς supra) ἡ FA: om. HP (v) μεταποίησις FHP: πόνησις A 5 εὐμαρέστατα scripsi: εὐμαρέστερον codd. (v) 6 ἐν μέρει seclusi τὰς] πάσας conicio 8 τὸ om. Turn. τῶν ἀνθρώπων] ἀνθρώπινον F 8. 9 ὁ πρῶτος ἐστὶν transp. A 9 μίασμα codd.: τὸ μίασμα Mang. ἐμβαλὼν A 10 ἄηθες FAP: ἄπειθες (sic) H (Turn.) ἀνθρωπείου FA: τοῦ ἀνθρωπείου HP (v) ἀνιεῖσαν A: ἀνεῖσαν FHP (Turn.) 11 καὶ ante οἷς om. HP (Turn.) 13 τί ἂν οὖν] ἂν om. F, τίνα οὖν coni. Mang. δεδώκει FA 14 παρέλιπεν FA: παρέλειπεν HP (v) 15 ἀναιρεθείς F: ἀναιρεθεὶς θάνατον HP (Turn.), ἀναιρεθεὶς θᾶττον A (Mang.) ὁ λογισμὸς δ' HP (v), δ' om. FA ἀνθρώπου A: ἀνθρώπινος FHP (v) 16 πέρα HP νομίζουσιν εἶναι D[M] 16. 17 τὸν θάνατον D: τὸν om. codd. (v) 17 μόλις F: μόγις AHPD (v) οὗτός ἐστιν D: ἐστὶν οὗτος codd. (v) 20 ἀθάνατον om. L (Turn.) 21 ἢ ἀδιάφορον v (ἢ add. Turn.): ἢ om. FHP, ἢ ἀδιάφορον om. A

7 sqq. Gen. cap. 4. 12. 13 N fol. 160v: πρῶτος—ἐπιτειχίσας. 16. 17 D[M] fol. 287v Φίλωνος ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμίων λόγου D[H] fol. 334v D[V] p. 730 Mel. Barocc. fol. 259 Φίλωνος: ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι τὸν θάνατον ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόγις οὗτός ἐστιν ἀρχή (ἡ ἀρχή Bar.)

τὸ ἀποθνήσκειν, ὃ δὴ κακὸν πάντως καὶ ὅσῳ χρονιώτερον βαρύτερον.
71 πῶς οὖν ὁ θάνατος αὐτῷ συνδιαιωνίζει, σκόπει. τεττάρων ὄντων ἐν τῇ ψυχῇ παθῶν, δυοῖν μὲν περὶ τὸ ἀγαθὸν ἐνεστὸς ἢ μέλλον, ἡδονῆς καὶ ἐπιθυμίας, δυοῖν δὲ περὶ τὸ κακὸν παρὸν ἢ προσδοκώμενον, λύπης καὶ φόβου, τὴν μὲν τοῦ ἀγαθοῦ ῥίζαις αὐταῖς ἐξέτεμε συζυγίαν, ἵνα μηδ' ἐκ τύχης ἡσθῇ ποτε ἢ ἐπιθυμήσῃ τινὸς ἡδέος, τὴν δὲ τοῦ κακοῦ μόνην
72 ἐνεφύτευσεν εἰς λύπην εὐθυμίας ἀμιγῆ καὶ φόβον ἄκρατον. φησὶ γάρ, ὅτι ἀρὰν ἐπηράσατο τῷ ἀδελφοκτόνῳ, ὡς | „στένειν καὶ τρέμειν ἀεί" p. 420 M. (Gen. 4,12), καὶ σημεῖον ἔθετο αὐτῷ μὴ ἀναιρεθῆναι πρός τινος (ib. v. 15), ἵνα μὴ ἅπαξ ἀποθάνῃ, διαιωνίζῃ δέ, ὡς εἶπον, ἀποθνήσκων ἐν ἀλγηδόσι καὶ ἀνίαις καὶ συμφοραῖς ἀδιαστάτοις καί, ὃ δὴ πάντων ἀργαλεώτατον, αἰσθάνηται τῶν ἰδίων κακῶν καὶ ἐπὶ τοῖς ἐν χερσὶν ἄχθηται καὶ τὴν φορὰν τῶν μελλόντων προορώμενος μὴ δύνηται φυλάξασθαι, τῆς ἐλπίδος ἐκτετμημένης αὐτῷ, ἣν ὁ θεὸς ἀνθρώπων γένει κατέσπειρεν, ἵν' ἔχοντες συμφυὲς παραμύθιον ἐπελαφρίζωνται τὰς ἀνίας
73 οἱ μὴ ἀνίατα δράσαντες. ὥσπερ οὖν τῷ συναρπασθέντι ὑπὸ χειμάρρου φοβερὸν μὲν τὸ πλησίον ῥεῦμα ᾧ κατασύρεται, φοβερώτερον δὲ τὸ ἄνωθεν ἐπιφερόμενον, ὃ τῇ μὲν βίᾳ συντόνως ἐπωθεῖ καὶ ἀλήκτως, τῇ δ' ἐπαναστάσει μετεωριζόμενον ἐπικλύζει, τὸν αὐτὸν τρόπον καὶ τῶν κακῶν ἀνιαρὰ μὲν τὰ ἐν χερσίν, ἀργαλεώτερα δὲ τὰ ἐκ φόβου ῥέοντα· χορηγεῖ γὰρ ὁ φόβος καθάπερ ἐκ πηγῆς τὰ ὀδυνηρά.

74 (13.) Ταῦτα μέν ἐστι τὰ ὁρισθέντα κατὰ τοῦ πρώτου γεγονότος ἀδελφοκτόνου· ὡρίσθη δὲ καὶ ἐπ' οἰκίαις ἕτερα συνθεμέναις κοινοπραγίαν ἁμαρτημάτων. ἦσάν τινες νεωκόροι καὶ ἱερόδουλοι τὴν πυλωρῶν τεταγ-

3 δυοῖν] δυοῖν θάτερον A ἐνεστὸς H²: ἐνεστὼς FAH¹P μέλλων H¹P 5 ῥίζαν ἐν αὐταῖς ἐξέτεμε συζυγίαις A μηδ'] μὴ A 6 μόνην FAP: μόνον H (v) 7 εὐθυμία A φόβου L (Turn.) ἑκάτερα καὶ ἄκρατον A 8 ἐπηράσατο FAH¹P: ἐπηρᾶτο H² (v) ὡς om. F ἀεὶ καὶ τρέμειν transp. F 9 αὐτῷ] αὐτὸν F μὴ ἀναιρεθῆναι om. A 10 διαιωνίζει P δ' F 11 ἀλγηδόναις (sic) H 13 φθορὰν H (Turn.) 14 ὁ θεὸς F: ὁ om. AHP (v) 15 ἐγκατέσπειρεν voluit Mang. ἐπελαφρίζονται F (-ωνται scripsi): ἐπελαφρίζοιντο AHP (v) τὰς] τῆς A 16 τῶν συναρπασθέντων N χειμάρου A 18. 19 ὃ τῇ ἀναστάσει μετεωριζόμενον (cet. om.) H 19 ἐπικλύζῃ F 22 ἐστι om. A πρώτου] ᾱου L; αὖ Turn. 23 κοινοπραγία HP (-ίᾳ Turn.) 24 ἦσάν τινες FA: ἦσαν τέ τινες HP; ἦσαν δέ τινες v, δή pro δέ coni. Mang. post τινες add. τεταγμένοι AHP (v), om. F τὴν] τῶν A

16—21 N fol. 160v: ὥσπερ — ὀδυνηρά. 24 sqq. Num. cap. 16.

μένοι τάξιν· οὗτοι φρονήματος ὑποπλησθέντες ἀλόγου τοῖς ἱερεῦσιν
ἐπανέστησαν, ἀξιοῦντες τὰ ἐκείνων γέρα σφετερίζεσθαι. προστησάμενοι 75
δὲ τῆς συστάσεως ἡγεμόνα τὸν πρεσβύτατον, ὃς καὶ τοῦ τολμήματος
μετ' ὀλίγων τῶν συναπονοηθέντων εἰσηγητὴς ἐγένετο, καταλιπόντες τὰ
προπύλαια καὶ τὰς ἐσχατιὰς ἐπὶ τῶν ἀδύτων ἐχώρουν τοὺς χρησμοῖς
ἀξιωθέντας τῆς ἱερωσύνης μεθιστάντες. ταραχὴ μὲν οὖν, ὡς εἰκός, 76
ἐπεῖχε τὴν πληθὺν ἅπασαν, ἅτε κινουμένων τῶν ἀκινήτων καὶ παρα-
σπονδουμένων τῶν νόμων καὶ τοῦ περὶ τὸ ἱερὸν κόσμου σύγχυσιν λαμ-
βάνοντος ὑπ' ἀταξίας δεινῆς. ἐφ' οἷς ὁ τοῦ ἔθνους ἐπιμελητὴς καὶ 77
προστάτης ἠγανάκτει. καὶ τὸ μὲν πρῶτον ἤθει βαρυτέρῳ χρώμενος
χωρὶς ὀργῆς — ἦν γὰρ καὶ τὴν φύσιν ἀόργητος — λόγοις ἀναδιδάσκειν
ἐπειρᾶτο μεταβάλλεσθαι καὶ τοὺς ταχθέντας ὅρους μὴ ὑπερβαίνειν μηδὲ
νεωτερίζειν εἰς τὰ ἅγια καὶ καθωσιωμένα, ὧν αἱ τοῦ ἔθνους ἐλπίδες
ἐκκρέμανται. ἐπεὶ δ' οὐδὲν ἤνυεν, ἀλλ' ἐκεκώφηντο πρὸς ἅπαντα νομί- 78
ζοντες αὐτὸν ἡττηθέντα φιλοικείου πάθους ἀρχιερέα μὲν τὸν ἀδελφὸν
καταστῆσαι, τοῖς δ' ἀδελφιδοῖς ἐγχειρίσαι τὴν ἱερωσύνην, δεινὸν οὐχὶ
p. 421 M. τοῦθ' ὑπελάμβανε καίπερ ὂν δεινόν, ἀλλ' ἐκεῖνο | παγχάλεπον, εἰ δόξει
τῶν λογίων, καθ' ἃ γέγονεν ἡ αἵρεσις τῶν ἱερέων, ἀλογεῖν. * * *

⟨Περὶ εὐχῶν καὶ εὐλογιῶν.⟩

(14.) * * * μαρτυρία δὲ σαφὴς ἐν τοῖς ἱεροῖς ἀνάκειται γράμμασι. 79
λέγε τὰς εὐχὰς πρότερον, ἃς „εὐλογίας" εἴωθεν ὀνομάζειν. ἐάν, φησί,
τὰς θείας ἐντολὰς φυλάττητε καταπειθεῖς γινόμενοι τοῖς προστάγμασι

2 ἀξιοῦντες — σφετερίζεσθαι post ἡγεμόνα (3) transp. A σφετερίζεσθαι FA: σφετερίσασθαι HP (v) 3 συστάσεως FH: στάσεως AP πρεσβύτερον A 4 συναπονηθέντων A 5 ἐπὶ] ἄχρι coni. Mang. 5. 6 τὸν χρησμοῖς ἀξιωθέντα A 6 τὴν ἱερωσύνην H 7 ἐπεῖχε codd.: ἐπέσχε v 7. 8 παρανομουμένων voluit Mang. 8. 9 λαβόντος A 10 βαρύτερον H[1]; πραοτέρῳ coni. Mang. 12 μεταβάλλεσθαι codd.: μεταβαλέσθαι Turn. 14 ἐκρέμαντο H (Turn.) ἐπεὶ δ' F: ἀλλ' ἐπεὶ δ' HP, ἀλλ' ἐπειδὴ A (v) ἐκκεκώφηντο A (ἐκεκώφωντο Mang.) 17 τοῦθ' F: τοῦτο AHP (v) ὑπελάμβανεν H 18 καθ' ἅπερ A post ἀλογεῖν multa deesse videri recte animadvertit Mangey; interciderunt finis capitis *de poenis* (περὶ ἐπιτιμίων) et initium capitis *de benedictionibus* (περὶ εὐχῶν καὶ εὐλογιῶν) 19 tit. περὶ εὐχῶν καὶ εὐλογιῶν addidi 21 λέγε FH[1]P[1]: λέγειν AH[2]P[2] (v); λέγει coni. Mang. εἴωθεν εὐλογίας transp. A 22 γινόμενοι F: γενόμενοι AHP (v)

21 sqq. Ex. 23,22. Lev. 26,3 sqq. Deut. 7,12 sqq. 28,1 sqq. 30,1 sqq.

καὶ τὰ διαγορευόμενα μὴ μέχρις ἀκοῆς καταδέχησθε, ἀλλὰ διὰ τῶν τοῦ
80 βίου πράξεων ἐπιτελῆτε, πρώτην δωρεὰν ἕξετε νίκην κατ' ἐχθρῶν. οὐ
γὰρ ὑπέρογκοι καὶ βαρύτεραι τῆς τῶν χρησομένων δυνάμεως αἱ προσ-
τάξεις εἰσὶν οὐδὲ μακρὰν τὸ ἀγαθὸν ἀφέστηκεν, ἢ πέραν θαλάττης ἢ ἐν
ἐσχατιαῖς γῆς, ὡς δεῖσθαι πολυχρονίου καὶ καματηρᾶς ἀποδημίας, οὐδ'
ἐξαίφνης ἐστείλατο τὴν ἐνθένδε εἰς οὐρανὸν ἀποικίαν, ἵνα τις μετέωρος
καὶ πτηνὸς ἀρθεὶς μόλις ἐφικέσθαι τούτων δυνηθῇ· πλησίον δ' ἐστὶ καὶ
ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἕκαστον ἡμῶν ἐνιδρυμένον, „στόματι
καὶ καρδίᾳ καὶ χερσί", τροπικώτερον λόγῳ καὶ διανοίᾳ καὶ πράξεσιν.
81 ἐὰν γὰρ οἷα τὰ βουλεύματα τοιοῦτοι οἱ λόγοι καὶ οἷα τὰ λεγόμενα τοιαίδε
αἱ πράξεις ὦσι, καὶ ταῦτα ἀλλήλοις ἀντακολουθῇ δεθέντα ἁρμονίας
ἀλύτοις δεσμοῖς, εὐδαιμονία κρατεῖ, τουτέστιν ἡ ἀψευδεστάτη σοφία καὶ
φρόνησις, σοφία μὲν [γὰρ] πρὸς θεραπείαν θεοῦ, φρόνησις δὲ πρὸς
82 ἀνθρωπίνου βίου διοίκησιν. ἄχρι μὲν οὖν λέγεται μόνον τὰ τῶν νόμων
παραγγέλματα, βραχείας ἢ οὐδεμιᾶς ἀποδοχῆς τυγχάνει· προσγενομένων
δ' ἀκολούθων καὶ ἑπομένων ἔργων ἐν τοῖς τοῦ βίου πᾶσιν ἐπιτηδεύμασιν,
ὥσπερ ἐκ ζόφου βαθέος εἰς φῶς ἀναχθέντα περιλαμφθήσεται δι' εὐκλείας
83 καὶ εὐφημίας. τίς γὰρ οὐκ ἂν εἴποι καὶ τῶν φύσει βασκάνων, ὅτι
σοφὸν ἄρα γένος καὶ ἐπιστημονικώτατον μόνον τοῦτ' ἐστίν, ᾧ τὰς θείας
παραινέσεις ἐξεγένετο μὴ κενὰς καὶ ἐρήμους ἀπολιπεῖν τῶν οἰκείων
84 πράξεων, ἀλλὰ πληρῶσαι τοὺς λόγους ἔργοις ἐπαινετοῖς; τοῦτο τὸ γένος
οὐ μακρὰν ἀπῴκισται θεοῦ, φαντασιούμενον ἀεὶ τὰ αἰθέρια κάλλη καὶ
ποδηγετούμενον ὑπ' ἔρωτος οὐρανίου, ὡς, κἂν εἰ πύθοιτό τις, ποῖον
ἔθνος μέγα, προσφυῶς ἄν τινας ἀποκρίνασθαι· ᾧ ὁ θεός ἐστιν ἐπήκοος
ἱεροπρεπεστάτων εὐχῶν καὶ ταῖς ἀπὸ καθαροῦ τοῦ συνειδότος κατακλήσεσι
συνεγγίζων.

2 πρώτην FAP: πρὸς τὴν H (Turn.) 3. 4 προστάξεις] πράξεις A 4 τἀγαθὸν F θαλάττης F: θαλάσσης AHP (v) 5 οὐδὲ HP 6 ἐνθένδε F: ἐντεῦθεν AHP (v) οὐρανὸν F: οὐρανοὺς AHP (v) 8 ἐγγύτατα L (ἐγγύτατον Turn.) τῶν codd.: τοῖς Mang. ἐνιδρυμένων A 9 τροπικώτερον F: om. AHP (v) 10 λεγόμενα] βουλεύματα A τοιαίδε HP: τοιαίδε καὶ A, τοιαῦται F 11 ἁρμονίας] ἐναρμονίως A 13 σοφία F: σοφίαν AHP γὰρ seclusi φρόνησις F: φρόνησιν AHP δὲ om. P 14 ἀνθρώπου H¹P νόμων] νοημάτων P 15 ἢ] δὲ A προσγινομένων A 19 ἐπιστημονικώτερον A 21 post πληρῶσαι add. καὶ A 24 τινας ἀποκρίνασθαι FA: τιν' ἀνταποκρίνασθαι HP (v) ἐπήκοος v (Turn.): ὑπήκοος codd. 25 τοῦ καθαροῦ transp. A

2sqq. Deut. 30,11—14. 19 cf. Deut. 4,6. 23—26 Deut. 4,7.

(15.) Ἐπεὶ δ᾽ ἐχθρῶν διττὸν εἶδος, τὸ μὲν ἀνθρώπων ἐκ πλεο- 85
νεξίας ἐπιτηδεύσει γεγονός, τὸ δὲ θηρίων ἄνευ ἐπιτηδεύσεως ἀλλοτριότητι χρώμενον φυσικῇ, περὶ ἑκατέρου λεκτέον ἐν μέρει, καὶ πρότερόν γε τοῦ κατὰ τοὺς φύσει πολεμίους θήρας· οὗτοι γὰρ οὐ μιᾶς πόλεως ἢ ἔθνους ἑνός, ἀλλὰ τοῦ σύμπαντος ἀνθρώπων γένους δυσμενεῖς εἰσιν, οὐ
p. 422 M. πρὸς | ὡρισμένου χρόνου μῆκος, ἀλλὰ τὸν ἀόριστον καὶ ἀπερίγραφον αἰῶνα. τούτων οἱ μὲν ὡς δεσπότην ἄνθρωπον δεδιότες ὑποπτήσσουσιν 86
ἐγκότῳ μίσει, οἱ δὲ τολμηταὶ καὶ θρασύτεροι προεπιχειροῦσι καιροφυλακοῦντες, εἰ μὲν ἀσθενέστεροι τυγχάνουσιν, ἐξ ἐνέδρας, εἰ δὲ δυνατώτεροι, φανερῶς. ἄσπονδος γὰρ καὶ ἀκήρυκτος εἷς πόλεμος οὗτος, ὡς λύκοις 87
πρὸς ἄρνας, καὶ πᾶσι θηρίοις πρὸς πάντας ἀνθρώπους, ἐνύδροις τε καὶ χερσαίοις· ὃν θνητὸς μὲν οὐδεὶς δυνατὸς καθαιρεῖν, ὁ δ᾽ ἀγένητος μόνος καθαιρεῖ, ὅταν κρίνῃ τινὰς σωτηρίας ἀξίους, εἰρηνικοὺς μὲν τὸ ἦθος, ὁμοφροσύνην δὲ καὶ κοινωνίαν ἀσπαζομένους, οἷς φθόνος ἢ συνόλως οὐκ ἐνῴκησεν ἢ τάχιστα μετανέστη τὰ ἴδια προφέρειν εἰς μέσον ἀγαθὰ διεγνωκόσιν εἰς κοινὴν μετουσίαν καὶ ἀπόλαυσιν. εἰ γὰρ ἐπιλάμψειέ ποτε 88
τῷ βίῳ τὸ ἀγαθὸν τοῦτο καὶ δυνηθείημεν τὸν καιρὸν ἰδεῖν ἐκεῖνον, ἐν ᾧ χειροήθη ποτὲ γενήσεται τὰ ἀτίθασα. πολὺ δὲ πρότερον τὰ ἐν τῇ ψυχῇ θηρία τιθασευθήσεται, οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν· ἢ οὐχὶ εὔηθες ὑπολαμβάνειν, ὅτι τὰς ἀπὸ τῶν ἐκτὸς θηρίων βλάβας ἐκφευξόμεθα τὰ ἐν αὑτοῖς εἰς δεινὴν ἀγριότητα ἀεὶ συγκροτοῦντες; ὅθεν οὐκ ἀπελπιστέον, ὅτι ἐξημερωθέντων τῶν κατὰ διάνοιαν καὶ τὰ ζῷα ἡμερωθήσεται.

2 γεγονός FAP: γένος H (Turn.) 3 προτέρου F γε om. A 4 τοῦ FAH¹P (Mang.): τὸ H² (v) οὐδεμιᾶς A 5 ἑνός F: om. AHP (v) δυσμενεῖς ⟨πολέμιοι⟩ coni. Mang. 6 πρὸς ὡρισμένου A (Mang.): πρὸς ὡρισμένον FH² (Turn.), προωρισμένον H¹P 8 θρασύτεροι] πραΰτεροι A προσεπιχειροῦσι A 9 μὲν FA: μὲν οὖν HP (v) τυγχάνουσιν F: τυγχάνοιεν AHP (v) alt. εἰ] οἱ P 12 οὐδεὶς μὲν θνητὸς transp. A δυνατὸς F: δύναται HP (v), om. A καθαιρεῖν H²: καθαίρειν F, καθαίρει AH¹P ἀγέννητος codd. (v) 13 καθαιρεῖ H²: καθαίρει FAH¹P μὲν om F 14 ὁμοφροσύνην] ὁμοφρονικοὺς F 14. 15 οὐκ ἐνῴκησεν F: οὐ συνῴκησεν AHP (v) 15 προσφέρειν AP ἀγαθὰ εἰς μέσον transp. F 16 εἰς — ἀπόλαυσιν om. F εἰ γὰρ] εἴθε γὰρ coni. Mang. 17 τἀγαθὸν F 18 pr. τὰ om. L (Turn.) ἀτίθασα HP: ἀτίθασσα FA (v) πολὺ δὲ scripsi: πολύ γε AH (v), πολὺ γὰρ FP 19 τιθασευθήσεται HP: τιθασσευθήσεται FA (v) εὑρεῖν F: οὐδέν HP (Turn.), εὑρεῖν οὐδέν A (Mang.) 20 εὔηθες] ᾠήθης A ἀπὸ A: ὑπὸ FHPD (v) φευξόμεθα A 21 τὰ δ᾽ AH² αὐτοῖς codd. συγκροτοῦντες ἐσόμεθα A 22 τὰ ⟨ἔξω⟩ vel ⟨ἐκτὸς⟩ ζῷα coni. Mang.

20. 21 D^R fol. 229^r Φίλωνος: εὔηθες — ἀγριότητα πρὸς ἀλλήλους συγκινοῦντες.

89 τότε μοι δοκοῦσιν ἄρκτοι καὶ λέοντες καὶ παρδάλεις καὶ τὰ παρ' Ἰνδοῖς, ἐλέφαντές τε καὶ τίγρεις, καὶ ὅσα ἄλλα τὰς ἀλκὰς καὶ τὰς δυνάμεις ἀήττητα μεταβαλεῖν ἐκ τοῦ μονωτικοῦ τε καὶ μονοτρόπου πρὸς τὸ σύννομον· κἀκ τοῦ πρὸς ὀλίγον μιμήσει τῶν ἀγελαίων ἡμερωθήσεται πρὸς τὴν ἀνθρώπου φαντασίαν, μηκέτι ὡς πρότερον ἀνερεθισθέντα, καταπλαγέντα δ' ὡς ἄρχοντα καὶ φύσει δεσπότην εὐλαβῶς ἕξει, ἔνια δὲ καὶ τοῦ χειροήθους ἅμα καὶ φιλοδεσπότου τῇ παραζηλώσει, καθάπερ τὰ Μελιταῖα τῶν κυνιδίων ταῖς κέρκοις μεθ' ἱλαρωτέρας κινήσεως προσσαί-
90 νοντα. τότε καὶ τὰ σκορπίων γένη καὶ ὄφεων καὶ τῶν ἄλλων ἑρπετῶν ἄπρακτον ἕξει τὸν ἰόν· φέρει καὶ ποταμὸς ὁ Αἰγύπτιος ὅμοια τοῖς οἰκήτορσι τῆς χώρας ἀνθρωποβόρα ζῷα, τοὺς κροκοδείλους λεγομένους καὶ ποταμίους ἵππους, φέρει καὶ τὰ πελάγη μυρίας ἰδέας ἀργαλεωτάτων ζῴων· παρ' οἷς ἅπασιν ἱερὸς καὶ ἄσυλος γένοιτ' ἂν ὁ σπουδαῖος, ἀρετὴν τιμήσαντος
91 θεοῦ καὶ γέρας αὐτῇ παρασχόντος τὸ ἀνεπιβούλευτον. (16.) οὕτως μὲν ὁ πρεσβύτερος καὶ χρόνῳ καὶ φύσει καταλυθήσεται πόλεμος, ἡμερωθέντων καὶ μεταβαλόντων τῶν θηρίων πρὸς τὸ τιθασόν. ὁ δὲ | νεώτερος καὶ p. 423 M.
ἐπιτηδεύσει γενόμενος ἐκ πλεονεξίας ῥᾳδίως διαλυθήσεται. τῶν ἀνθρώπων, ὥς γέ μοι δοκεῖ, δυσωπηθέντων, εἰ μελλήσουσιν ἀγριώτεροι ζῴων ἀλόγων ἐξετάζεσθαι, ὅτε τὰς ἀπὸ τῶν ἀλόγων ζημίας καὶ βλάβας ἐκπεφεύγασιν.
92 αἴσχιστον γάρ, ὡς εἰκός, φανεῖται, τὰ μὲν ἰοβόλα καὶ ἀνθρωποβόρα καὶ ἄμικτα καὶ ἀκοινώνητα ἔνσπονδα γεγενῆσθαι μεταβαλόντα πρὸς εἰρήνην.

1 καὶ παρδάλεις om. A   παρ' Ἰνδοῖς ⟨ζῷα⟩ coni. Mang.   3 μεταβαλεῖν v (Turn.): μεταβάλλειν codd.   μονητικοῦ F   3. 4 πρὸς τὸ σύννομον] καὶ σύννομα ἔσται A   4 ἡμερωθήσεται codd.: ἡμερωθήσεσθαι v   5 μηκέθ' F   6 δὲ A   ἕξει ss. P²: ἕξειν FAHP¹ (v)   7 τοῦ FA: τῆς τοῦ HP   τοῦ φιλοδεσπότου A   τῇ F (v): τέ AHP: τῇ fort. secludendum (Wendl.) vel τι scribendum   8. 9 προσσαίνοντα Mang.: προσσαίνοντι codd.   9 τὰ A: om. FHP (v)   10 post ἰόν add. F: οὐδενὸς ἀνθρώπων ζημία   φέρει F: om. AHP (v)   αἰγύπτου A   ὅμοια AH¹P: ὅμορα FH² (v); ὅμοια ⟨καὶ βλαβερὰ⟩ conicio, ἥμερα coni. Mang.   12 φέρει HP: φέρη F, om. A; οἴσει coni. Mang.   εἰδέας F   ἀργαλεωτάτων F: ἀργαλεωτάτων αὐτῇ A, om. HP (v): ἀργαλεωτέρων ἔτι coni. Mang.   13 ἅπασιν F: πᾶσιν AHP (v)   ὁ ἱερὸς A, ὁ eras. F   14 αὐτῇ F: om. AHP (v)   τὸ om. A   οὕτω F   16 μεταβαλόντων A: μεταβαλλόντων FH², καταβαλλόντων H¹P   τιθασόν HP: τιθασσόν FA (v)   18 γέ μοι FA: γ' ἐμοὶ H² (v), ἔμοιγε H¹P   19 τῶν ἀλόγων scripsi: τῶν ἄλλων codd. (v); τῶν αὐτῶν coni. Mang.   βλάβας καὶ ζημίας F   20 ὡς om. L (Turn.)   τὰ μὲν γὰρ A   21 μεταβαλόντα FP: μεταβαλλόντα (sic) H, μεταβάλλοντα A (v)

1 sqq. cf. Iesai. 11,6 sqq.

τὸ δὲ ἥμερον φύσει ζῷον, ἄνθρωπον, κοινωνίας καὶ ὁμονοίας συγγενές, ἀσπονδεὶ φονᾶν κατὰ τῶν ὁμοίων. ἢ τὸ παράπαν οὖν, φησίν, οὐ διελεύ- 93
σεται πόλεμος διὰ χώρας εὐσεβῶν, ἀλλ' αὐτὸς καταρρυήσεται καὶ συντριβήσεται πρὸς ἑαυτόν, πρὸς οἵους ἔσοιτο ὁ ἀγὼν αἰσθανομένων τῶν ἀντιπάλων, ἅτε χρωμένους ἀνανταγωνίστῳ συμμαχίᾳ τοῦ δικαίου· μεγαλοπρεπὲς γὰρ καὶ περίσεμνον ἀρετὴ καὶ μόνη καθ' ἡσυχίαν ἱκανὴ φορὰς μεγάλων ἐξευμαρίζειν κακῶν. ἢ κἂν μεμηνότες τινὲς ἄττωσιν ἀκαθέκτῳ 94
καὶ ἀπαρηγορήτῳ χρώμενοι τῇ τοῦ πολεμεῖν ἐπιθυμίᾳ, μέχρι μὲν συνίστανται, καταλαζονεύσονται θρασυνόμενοι, πρὸς δὲ χειρῶν ἅμιλλαν ἥκοντες αἰσθήσονται κενὸν αὔχημα αὐχήσαντες, ὡς μὴ δυνάμενοι νικᾶν· ῥώμῃ γὰρ ἀντιβιασθέντες κραταιοτέρᾳ φεύξονται προτροπάδην πρὸς πεντάδων ἑκατοντάδες καὶ πρὸς ἑκατοντάδων μυριάδες, πολλαῖς ὁδοῖς οἱ κατὰ μίαν ἐπελθόντες. ἔνιοι δέ, μηδὲ διώκοντος μηδενὸς ὅτι μὴ φόβου, τὰ νῶτα 95
τοῖς ἀντιπάλοις εἰς βολὰς εὐσκόπους ἐπιστρέψουσιν, ὡς εὐμάρειαν εἶναι πάντας ἡβηδὸν ἀναιρεθέντας πεσεῖν. „ἐξελεύσεται γὰρ ἄνθρωπος," φησὶν ὁ χρησμός, καὶ στραταρχῶν καὶ πολεμῶν ἔθνη μεγάλα καὶ πολυάνθρωπα χειρώσεται, τὸ ἁρμόττον ὁσίοις ἐπικουρικὸν ἐπιπέμψαντος τοῦ θεοῦ· τοῦτο δ' ἐστὶ θάρσος ψυχῶν ἀκατάπληκτον καὶ σωμάτων ἰσχὺς κραταιοτάτη, ὧν καὶ θάτερον φοβερὸν ἐχθροῖς, ἄμφω δὲ εἰ συνέλθοι, καὶ παντελῶς ἀνυπόστατα. ἐνίους δὲ τῶν ἐχθρῶν ἀναξίους ἔσεσθαί 96

1 δὲ F: δ' AHP ἄνθρωπον F: τὸν ἄνθρωπον AHP (v) 2 ἀσπονδεὶ F (coni. Mang.): ἀσπονδεῖ H¹P, ἀσπονδεῖν AH² (v) οὖν, φησίν om. HP (Turn.) 4 ἔσοιτο FA: ἐστὶν HP (v) post ἀγὼν add. ὡς ἀηττήτους A mg P², καὶ ὡς ἀηττήτους Mang. 4. 5 ἀντιπάλων] πολεμίων A 5 ἀνταγωνίστω A 6 πάνσεμνον A (Mang.) τῶν σοφῶν ἡ ἀρετὴ D ἱκανὴ φορὰς om. in lac. D^R D^L 7 ἐξευμενίζειν A τινὲς om. F ἄττωσιν F: λυττῶσιν AHP (v) ἀκαθέκτω F: αὐθεκάστω AHP (v) 9 καταλαζονεύσονται HP: καταλαζονεύονται FA καταθρασυνόμενοι A 10 καινὸν HP 11 κραταιότερον H 12 ἑκατοντάδες] ἑκατόν, τὰ δ' F καὶ πρὸς et μυριάδες om. F 13 μηδὲ διώκοντος μηδενὸς A (Mang.): μηδὲ διώκοντος H (Turn.), μηδὲν διώκοντος P, οὐδὲ διώκοντος οὐδενὸς F 14 ἐπιστρέψουσιν FHP: ἀντιστρέψουσιν A (Mang.) εὐμάρειαν codd.: εὐμαρίαν v 16 καὶ στραταρχῶν FHP: καταστραταρχῶν A (Mang.) πολέμων F ἔθνη F: ἔθνη τε AHP (v) 18 τοῦ θεοῦ F: θεοῦ AHP (v) θάρσος codd. (Mang.): θράσος v 19 ὧ F θάτερα F 20 ἀνυπόστατα Mang.: ἀνυπόστατον codd.

2 sq. Lev. 26,5. 5—7 D^H fol. 120^v Φίλωνος ἐκ τοῦ περὶ ἄθλων καὶ ἐπιτιμιῶν D^L fol. 37^v D^R fol. 33^v Φίλωνος: μεγαλοπρεπὲς καὶ περίσεμνον τῶν σοφῶν ἡ ἀρετὴ καὶ μόνη καθ' ἡσυχίαν ἱκανὴ φορὰς μεγάλων ἐξευμαρίζειν κακῶν. 11 Lev. 26,7. 8. 12 Deut. 28,7. 15 Num. 24,7.

φησιν ἥττης τῶν ἀνθρώπων, οἷς σμήνη σφηκῶν ἀντιτάξειν ἐπ᾽ ὀλέθρῳ
97 αἰσχίστῳ προπολεμοῦντα τῶν ὁσίων. τούτους δ᾽ οὐ μόνον τὴν ἐν
πολέμῳ νίκην ἀναιμωτὶ βεβαίως ἕξειν, ἀλλὰ καὶ κράτος ἀρχῆς ἀνανταγώνιστον ἐπ᾽ ὠφελείᾳ τῶν | ὑπηκόων, ἣ γένοιτ᾽ ἂν δι᾽ εὔνοιαν ἢ φόβον p. 424 M.
ἢ αἰδῶ. τρία γὰρ ἐπιτηδεύουσι τὰ μέγιστα καὶ συντείνοντα πρὸς ἡγεμονίαν ἀκαθαίρετον, σεμνότητα καὶ δεινότητα καὶ εὐεργεσίαν, ἐξ ὧν ἀποτελεῖται τὰ λεχθέντα· τὸ μὲν γὰρ σεμνὸν αἰδῶ κατασκευάζει, τὸ δὲ δεινὸν φόβον, τὸ δὲ εὐεργετικὸν εὔνοιαν, ἅπερ ἀνακραθέντα καὶ ἁρμοσθέντα ἐν ψυχῇ καταπειθεῖς ἄρχουσιν ὑπηκόους ἀπεργάζεται.
98 (17.) Ταῦτα μὲν δὴ πρῶτά φησι συμβήσεσθαι τοῖς ἑπομένοις θεῷ
καὶ περιεχομένοις ἀεὶ καὶ πανταχοῦ τῶν προσταγμάτων αὐτοῦ καὶ
ἑκάστῳ τῶν τοῦ βίου μερῶν ταῦτα ἐφαρμόττουσιν, ὡς μηδὲν νόσῳ
πλαζόμενον ἐκδιαιτᾶσθαι· δεύτερον δὲ πλοῦτον, ὃς κατὰ τὸ ἀναγκαῖον
99 εἰρήνῃ καὶ ἀρχῇ ἕπεται. πλοῦτος δὲ ὁ μὲν τῆς φύσεως εὐτελής ἐστι
τροφὴ καὶ σκέπη· τροφὴ μὲν οὖν ἄρτος καὶ ναματιαῖον ὕδωρ, ὃ πανταχοῦ
τῆς οἰκουμένης ἀνακέχυται· σκέπης δὲ διττὸν εἶδος, τὸ μὲν ἀμπεχόνη,
τὸ δὲ οἰκία, διὰ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους παρακολουθούσας ζημίας·
ὧν ἑκάτερον, εἴ τις ἐθελήσειε τὴν περίεργον καὶ περιττὴν ἀφελεῖν πολυ-
100 τέλειαν, εὐποριστότατον. οἳ δ᾽ ἂν ζηλώσωσι τὸν λεχθέντα πλοῦτον
ἀσπασάμενοι τὰ φύσεως δῶρα, μὴ τὰ τῆς κενῆς δόξης, ὀλιγοδεΐαν καὶ ἐγκράτειαν ἀσκήσαντες, ἕξουσι κατὰ πολλὴν περιουσίαν καὶ τὸν τῆς ἀβροδιαίτου τροφῆς πλοῦτον οὐκ ἐπιτηδεύσαντες· ἐπιπηδήσει γὰρ ὡς

1 τῶν ἀνθρώπων F: τῶν om. AHP (v) 1. 2 ἐπ᾽ αἰσχίστω ὀλέθρω transp. F 2 τούτους scripsi: τοῦτο codd. (τοῦτον v) 3. 4 ἀνταγώνιστον A 4 ἣ γένοιτ᾽ ἂν FA: οἳ γένοιντ᾽ ἂν HP (v) 6 δειλότητα F 8 δειλὸν FH[2] δὲ F: δ᾽ AHP 9 ἐν τῇ ψυχῇ A 10 φησι om. A 11 πανταχῇ HP 12 ἑκάστω F: ἐφ᾽ ἑκάστω HP, ἀφ᾽ ἑκάστου A; ἀφ᾽ ἑκάστων v ταῦτ᾽ F μηδὲν scripsi: μηδένα codd. [illegible] νόσῳ] νόσῳ (sic) coni. Mang. 13 πλαζόμενον codd. (Mang.): πλαζομένου Turn. 14 ἕπεται] παρέπεται conicio δ᾽ F 15 ὃ πανταχοῦ scripsi (sic etiam Wendl.): ἀ πανταχοῦ (sic) FH, ἁπανταχοῦ P, ἃ πανταχοῦ A (v) 16 σκέπη H 17 δὲ F: δ᾽ AHP κρυμοῦ] κρύους F 18 ἑκάτερον F: ἑκάτερα HP, ἑκατέρας A (ἑκατέρα v) θελήσειε F ἀφαιρεῖν A 18. 19 πολυτέλειαν] τὸν λεχθέντα πλοῦτον A 19 εὐποριστότατον ἕξει A τὸν λεχθέντα πλοῦτον F: τὰ λεχθέντα AHP (v) 20 τῆς om. A ὀλιγοδεΐαν codd.: ὀλιγόδειαν v 21 περιουσίαν] τὴν ἐξουσίαν A 22 ἐπιπηδήσει A: ἐπιτηδεύσει FHP; ἐπελεύσεται v (Turn.)

1 Ex. 23,28. Deut. 7,20. 14sqq. cf. Wendland Beitr. z. Gesch. d. griech. Philos. u. Religion p. 9. 15sq.

πρὸς ἐπιτηδειοτάτους καὶ σεμνοὺς τῆς ἁρμοττούσης χρήσεως ἐπιστήμονας, ἀποδρὰς ἄσμενος τὰς τῶν ἀκολάστων καὶ ὑβριστῶν συνδιαιτήσεις, ἵνα μὴ χορηγῇ τοῖς ἐπὶ βλάβῃ τῶν πλησίον ζῶσι παρελθὼν τοὺς
κοινωφελεῖς. λόγιον γάρ ἐστιν ὅτι τοῖς τὰς ἱεροπρεπεῖς ἐντολὰς φυλάτ- 101
τουσιν ὁ μὲν οὐρανὸς ὀμβρήσει καιρίους ὑετούς, ἡ δὲ γῆ καρπῶν παντοδαπῶν οἴσει φοράν, ἡ μὲν πεδιὰς σπαρτῶν, ἡ δ᾽ ὀρεινὴ τῶν ἀκροδρύων, καὶ ὅτι χρόνος οὐδεὶς ἀπολειφθήσεται κενὸς εὐεργεσίας, ἀλλὰ τῷ συνεχεῖ καὶ ἐπαλλήλῳ τῶν τοῦ θεοῦ χαρίτων „καταλήψεται ὁ μὲν ἄμητος
τρύγητον, καταλήψεται δὲ ὁ τρύγητος σπόρον“ (Lev. 26, 5), ὡς ἀνελ- 102
λιπῶς καὶ ἀδιαστάτως ἀεὶ τὰ μὲν συγκομίζειν, τὰ δὲ ἐλπίζειν, ἐφεδρευόντων ἑτέροις ἑτέρων, ἵνα τοῖς πέρασι τῶν προτέρων αἱ τῶν ὑστέρων ἀρχαὶ συνάπτουσαι κύκλον τινὰ καὶ χορείαν ἀποτελῶσιν ἀνεπιδεᾶ παντὸς
ἀγαθοῦ. τὸ γὰρ πλῆθος τῶν γινομένων ἐξαρκέσει καὶ πρὸς τὴν παραυτίκα 103
χρῆσιν καὶ ἀπόλαυσιν καὶ πρὸς τὴν τοῦ μέλλοντος ἄφθονον περιουσίαν, νέων ἐπακμαζόντων παλαιοῖς καὶ τὴν ἐκείνων ἔνδειαν προσαναπληρούντων·
p. 125 M. ἔστι δὲ ὅτε καὶ ὑπ᾽ εὐφορίας ἀλέκτου τῶν πάλαι συγκομισθέντων φροντίσει τὸ παράπαν οὐδείς, ἀλλ᾽ ἀταμίευτα καὶ ἀθησαύριστα καταλεί-
ψουσι τοῖς βουλομένοις ἀφέντες τὴν χρῆσιν ἀδεᾶ. οἷς μὲν γὰρ ὁ ἀλη- 104
θινὸς πλοῦτος ἐν οὐρανῷ κατάκειται διὰ σοφίας καὶ ὁσιότητος ἀσκηθείς, τούτοις καὶ ὁ τῶν χρημάτων ἐπὶ γῆς περιουσιάζει, προνοίᾳ καὶ ἐπιμελείᾳ θεοῦ τῶν ταμείων ἀεὶ πληρουμένων, ἐκ τοῦ τὰς ὁρμὰς τῆς διανοίας

1 σεμνοὺς] συγγενεῖς coni. Mang. ἁρμοττούσης F: ἁρμοζούσης AHP (v) 2 ἀποδρὰς ἄσμενος] ἀποδρασάμενος F 3 τοῖς codd. (Mang.): τοὺς Turn. 5. 6 καρπῶν παντοδαπῶν οἴσει F: παντοδαπῶν καρπῶν οἴσει AHP (παντοδαπῶν οἴσει καρπῶν Mang.), καρπῶν om. L (παντοδαπὸν οἴσει Turn.) 6 ἡ μὲν πεδιὰς σπαρτῶν om. PL (Turn.) ἡ δ᾽ F, ἡ δὲ A: καὶ ἡ HP (Turn.) 7 οὐδεὶς] οὐδεὶς ἔρημος F 8 ἄμητος F: ἀμητὸς AHP (v) 9 τὸν τρυγητόν P τρυγητόν codd. (v) καταλήψεται om. F δὲ ὁ AH: ὁ δὲ F, ὁ om. P τρυγητὸς codd. (v) 9. 10 ὡς ἀνελλιπῶς om. A 11 ἑτέροις ἑτέρων F: ἑτέρων ἑτέροις AHP (v) ὑστέρων FA: ὕστερον HP (v) 12 ἀποτελῶσιν ἀνεπιδεᾶ F: ἀποτελῶσι μὴ ἐπιδεᾶ AHP (v) 13 πρὸς] εἰς F 16 δ᾽ F ὅτε (corr. ex ὅτι) F: ὅπου AHP (v) ὑπ᾽ om. A ἀλέκτου τῶν] ἀλέκτων A 17 φροντιεῖ conicio 18. 19 ὁ ἀληθινὸς codd.: ὁ om. D[M] (v) 19 ἐν οὐρανοῖς (ἀνθρώποις D[M]) ἀπόκειται D ἀσκηθείς om. D; αὐξηθείς coni. Mang., ἄσκησιν conicio 20 γῆς om. N (in fine lineae) προνοίᾳ δὲ A 21 ἐκ] ἕνεκα conicio

4 sqq. Lev. 26,3. 4. Deut. 11,13. 14. 18—360,4 D[P] fol. 368v Φίλωνος D[M] fol. 275v D[R] fol. 276r Φίλωνος ἐκ τοῦ περὶ εὐχῆς καὶ εὐλογιῶν: οἷς ὁ ἀληθινὸς πλοῦτος — εὐοδεῖν πέφυκεν ἡ κτῆσις. 18—360,6 N fol. 160v: οἷς μὲν ὁ ἀληθινὸς πλοῦτος — κατὰ τὸ ἀναγκαῖον ἕπεται.

καὶ τῶν χειρῶν τὰς ἐπιβολὰς μὴ ἐμποδίζεσθαι πρὸς τὴν τῶν ἀεὶ σπου-
105 δαζομένων καλῶν κατόρθωσιν. οἷς δὲ ὁ κλῆρος οὐκ ἔστιν οὐράνιος δι' ἀσέβειαν καὶ ἀδικίαν, οὐδὲ τῶν ἐπὶ γῆς ἀγαθῶν εὐοδεῖν πέφυκεν ἡ κτῆσις· ἀλλὰ κἂν προσγένηται, τάχιστα ἀπεπήδησεν, ὡς παραγενομένη τὴν ἀρχὴν οὐκ ἐπ' ὠφελείᾳ τῶν λαβόντων, ἀλλ' ὑπὲρ τοῦ βαρῦναι τὴν ἀνίαν σφοδρότερον, ἥτις ἐκ τοῦ στέρεσθαι κατὰ τὸ ἀναγκαῖον ἕπεται.
106 (18.) τότε δή, φησίν, ὑπὸ τῆς ἄγαν εὐφορίας καὶ ἀφθονίας ὃ νῦν ὑπομένεις ἐργάσῃ· νῦν μὲν γὰρ μήτε τῶν νόμων μήτε τῶν πατρίων ἐθῶν αἰδῶ ποιούμενος ἀλλὰ πάντων ἀθρόως ἀλογῶν ὑστερίζεις μὲν τῶν ἀναγκαίων, θεραπεύεις δὲ τὰς τῶν δανειστῶν καὶ ὀβολοστατῶν οἰκίας
107 ἐπὶ πολλῷ δανειζόμενος· τότε δ', ὥσπερ ἔφην, δράσεις τοὐναντίον. ὑπὸ γὰρ ἀφθόνου περιουσίας αὐτὸς ἄλλοις δανειεῖς, καὶ οὐκ ὀλίγα οὐδ' ὀλίγοις, ἀλλὰ πολλὰ καὶ πολλοῖς, ὅλοις μὲν οὖν ἔθνεσι, πάντων καὶ τῶν κατὰ πόλιν καὶ τῶν κατὰ χώραν εὐτυχῶς ἀπαντώντων. τῶν μὲν κατὰ πόλιν ἀρχαῖς καὶ τιμαῖς καὶ εὐδοξίαις διά τε εὐδικίας καὶ εὐβουλίας καὶ τοῦ διὰ λόγων καὶ πράξεων κοινωφελοῦς, τῶν δὲ κατ' ἀγρὸν εὐφορίαις καὶ τῶν ἀναγκαίων, σίτου, οἴνου, ἐλαίου, καὶ τῶν πρὸς ἁβροδίαιτον βίον, ταῦτα δ' ἐστὶ τὰ ἀμύθητα γένη τῶν ἀκροδρύων καὶ ἔτι βουκολίων
108 αἰπολίων τῶν ἄλλων θρεμμάτων εὐτοκία. ἀλλὰ τί τούτων ὄφελος, εἴποι τις ἄν, τῷ μὴ μέλλοντι κληρονόμους καὶ διαδόχους ἀπολιπεῖν;

1 τῶν χειρῶν τὰς ἐπιβολὰς D: τὰς τῶν χειρῶν ἐπιβολὰς codd. (v) ἐπιβουλὰς PDM 2 καλῶν add. D: om. codd. (v) 3 καὶ ἀδικίαν D: ἢ ἀδικίαν codd. (v) post ἀδικίαν add. καὶ γηίνας μερίμνας ἀπρεπεῖς D 4 κτίσις P ἀπεπήδησεν] ἀπεδήμησεν A 6 σφοδρώτερον H ἥτϊ (sic) A τὸ ἀναγκαῖον codd: τὸ om. v 7 δή FA: δέ HP (v) εὐφορίας καὶ ἀφθονίας F: εὐφορίας HP (v), ἀφθονίας A ὃ] ὂν F 8 ἐργάσῃ codd.: ἐργάζῃ v 9 ἀθρόον A 10 βωλοστατῶν (sic) A 11 ἐπὶ πολὺ A ὥσπερ] ὡς F 12 γὰρ
σεις
om. F ἀφθόνου] φθόνου A δανειεῖς F: δανιεῖς HP (v), δανιεῖς A (γρ. δανείσεις, ὅτι τὸ δανείζω ῥῆμα περισπώμενον μέλλοντα οὐ ποιεῖ· βαρβαρισμὸς γάρ ἐστι adnot. mg A man. rec.) οὐδ'] ἐν A 13 ἀλλὰ—χώραν (14) om. HP 14 pr. πόλιν F: χώραν A χώραν F: πόλιν A ἀπαντώντων FHP (Turn.): ἐχόντων ἁπάντων A (Mang.) 15 εὐδικίας H (coni. Mang.): εὐδικίας corr. ex εὐδοκίας L, εὐδοκίας FAP (v) εὐβουλίας] εὐσεβείας Turn. 16 κατ' ἀγρὸν AHP: κατὰ χώραν F 16. 17 καὶ τῶν ἀναγκαίων F: καὶ om. AHP (v) 17 καὶ ἐλαίου A (Mang.) 18 βουκόλων A 19 αἰπόλων F[1], corr. F[2] 20 καὶ διαδόχους ἀπολιπεῖν F: ἀπολιπεῖν καὶ διαδόχους A, καὶ διαδόχους om. HP (Turn.)

12 Deut. 15,6. 28,12. 13. 14 Deut. 28,3. 16sqq. Deut. 7,13. 28,4.

διὰ τοῦτο ἐπισφραγιζόμενος τὰς εὐεργεσίας φησίν· οὐδεὶς ἄγονος οὐδὲ
στεῖρα γενήσεται, πάντες δὲ οἱ θεραπευταὶ θεοῦ γνήσιοι νόμον ἐκπληρώσουσι
φύσεως τὸν ἐπὶ παιδοποιΐᾳ· καὶ γὰρ ἄνδρες ἔσονται πατέρες καὶ πατέρες 109
εὔπαιδες καὶ γυναῖκες ἔσονται μητέρες καὶ μητέρες εὔτεκνοι, ὡς ἕκαστον
οἶκον πλήρωμα εἶναι πολυανθρώπου συγγενείας, μηδενὸς ἐλλειφθέντος ἢ
μέρους ἢ ὀνόματος τῶν ὅσα ἐπιφημίζεται τοῖς προσήκουσι, καὶ πρὸς
τοὺς ἄνω, γονεῖς, θείους, πάππους, καὶ πρὸς τοὺς κάτω πάλιν ὁμοίως,
p.426 M. ⟨υἱούς⟩, ἀδελφούς, ἀδελφιδοῦς, υἱωνούς, θυγατριδοῦς, ἀνεψιούς, | ἀνεψιαδοῦς, τοὺς ἐξ αἵματος πάντας. ὠκύμορος δ' ἢ ἀτελὴς οὐδεὶς ἂν γένοιτο 110
τῶν κοσμουμένων τοῖς νόμοις οὐδέ τινος ἡλικίας ἄμοιρος ὧν ὁ θεὸς ἔνειμεν ἀνθρώπων γένει· ἀλλ' ἐκ βρέφους ἐπανιὼν ἑξῆς ὥσπερ δι' ἀναβαθμῶν, τεταγμέναις χρόνων περιόδοις ἑκάστης ἡλικίας τοὺς ὁρισθέντας ἀριθμοὺς συνεκπληρώσας, ἐπὶ τὴν τελευταίαν ἀφίξεται τὴν θανάτῳ μᾶλλον δ' ἀθανασίᾳ γειτνιῶσαν, ὁ πρὸς ἀλήθειαν εὔγηρως, εὔπαιδα καὶ πολύπαιδα οἶκον ἀνθ' αὑτοῦ καταλιπών. (19.) τοῦτ' ἐστὶν ὅπερ εἶπέ 111
που προθεσπίζων, ὅτι „τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσεις" (Exod. 23, 26), παγκάλως χρησάμενος τοῖς ὀνόμασι κυρίοις ἅμα καὶ προσφυέσιν. ὁ μὲν γὰρ ἀμαθὴς καὶ ἔκνομος „οὔτ' ἐν λόγῳ," φασίν, „οὔτ' ἐν ἀριθμῷ", τῷ δὲ παιδείας καὶ νόμων ἱερῶν μεταποιουμένῳ πρώτη χάρις ἐστὶν ἐλλογίμῳ καὶ δοκίμῳ φανέντι μεταλαχεῖν ἀριθμοῦ

1 διὰ τοῦτο ἐπισφραγιζόμενος F: διὰ τοῦτο post φησὶ transp. A, διὰ τοῦτο om. HP (ἐπισφρ. διὰ τοῦτο Mang.) 3 ἐπὶ παιδογονίᾳ F ἔσονται ἄνδρες transp. A 3. 4 καὶ πατέρες εὔπαιδες om. A 4 καὶ γυναῖκες ἔσονται μητέρες καὶ μητέρες εὔτεκνοι F: καὶ γυναῖκες μητέρες εὔτεκνοι A (Mang.), καὶ μητέρες εὔτεκνοι (cet. om.) HP (Turn.) 4. 5 ἑκάστου (ου in ras. m. 2) τὸν οἶκον F 6 ὅσα] ἃ F ἐπιφημίζεται F: ἐπιφημίζεσθαι AHP 7 πάππους F: πάππους, προπάππους AHP πρὸς om. F κάτω πάλιν] κατὰ πόλιν A ὁμοίως codd.: ὁμοίους v 8 υἱούς addidi (υἱούς pro ὁμοίους coni. Mang.) ἀνεψιαδοῦς scripsi: ἀνεψιδοῦς codd. (v) 9 δ' F: om. AHP ἂν om. F 10 κοσμουμένων τοῖς νόμοις F: κοσμουμένων νόμοις A (Mang.), κόσμου πενομένων νόμοις HP (κ. γενομένων v. Turn.) ὧν FA: ὢν HP; ἣν coni. Mang. ὁ θεὸς codd.: θεὸς v 12 ἑκάστων H 13 συνεκπλήσας F 14 ὁ codd.: ἡ L (ἢ v) 14. 15 καὶ πολύπαιδα οἶκον F: οἶκον καὶ πολύπαιδα A (Mang.), καὶ πολύπαιδα om. HP (Turn.) 15 ἀντ' αὐτοῦ A 16 προθεσπίζων FA: θεσπίζων HP (v) ἀναπληρώσεις A: ἀναπλήσεις FHP (v); ἀναπληρώσω LXX 17. 18 κυρίως ἅμα καὶ προσφυῶς F 18 φασίν scripsi: φησίν codd. (v) 19 μεταποιουμένῳ] ἁπτομένω A

1 Exod. 23,26. Deut. 7, 14. 18. 19 οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ: Orac. ap. Phot. (Suid.) s. v. ὑμεῖς, ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι. Schol. Theocr. 14,48. Iamblich. Vit. Pythag. 35 (259).

112 καὶ τάξεως. ὑπερφυῶς δὲ ἔχει καὶ ἡ πλήρωσις οὐ μηνῶν ἢ ἐνιαυτῶν
ἀλλ' ἡμερῶν, ὡς δέον ἑκάστην ἡμέραν τοῦ σπουδαίου μηδὲν ἔρημον καὶ
κενὸν ἐᾶν εἰς πάροδον ἁμαρτημάτων, ἀλλὰ πᾶσι τοῖς μέρεσι καὶ διαστή-
μασιν ἑαυτῆς καλοκἀγαθίας πεπληρῶσθαι· κρίνεται γὰρ οὐ ποσότητι
ἀλλὰ ποιότητι ἡ ἀρετὴ καὶ τὸ καλόν. ὅθεν ἰσότιμον καλῷ βίῳ σοφοῦ
113 καὶ μίαν ἡμέραν ὑπέλαβεν εἶναι κατορθουμένην. τοῦτ' ἐστὶν ὃ καὶ ἐν
ἑτέροις αἰνίττεται φάσκων εὐλογίας ἄξιον ἔσεσθαι καὶ εἰσιόντα καὶ ἐξιόντα
τὸν τοιοῦτον ἄνδρα, διότι πάσαις μὲν ταῖς κινήσεσι πάσαις δὲ ταῖς
σχέσεσιν ὁ σπουδαῖος ἐπαινετός, ἔνδον τε καὶ ἔξω, πολιτικὸς ὁμοῦ καὶ
οἰκονόμος, ὡς τὰ μὲν ἔνδον ἐξορθοῦν οἰκονομικῶς, τὰ δ' ἔξω πολιτικῶς,
114 ᾗ συμφέρον ἐπανορθοῦσθαι. ἐὰν μὲν οὖν εἷς ἀνὴρ τυγχάνῃ τοιοῦτος
ὢν ἐν πόλει, τῆς πόλεως ὑπεράνω φανεῖται, ἐὰν δὲ πόλις, τῆς ἐν κύκλῳ
χώρας, ἐὰν δὲ ἔθνος, ἐπιβήσεται πᾶσιν ἔθνεσιν ὥσπερ κεφαλὴ σώματι
τοῦ περιφαίνεσθαι χάριν, οὐχ ὑπὲρ εὐδοξίας μᾶλλον ἢ τῆς τῶν ὁρώντων
ὠφελείας· αἱ γὰρ συνεχεῖς τῶν καλῶν παραδειγμάτων φαντασίαι παρα-
πλησίας εἰκόνας ἐγχαράττουσι ταῖς μὴ πάνυ σκληραῖς καὶ ἀποκρότοις
115 ψυχαῖς. ὅθεν εἴρηται πρὸς τοὺς ἐθέλοντας μιμεῖσθαι τὰ σπουδαῖα καὶ
θαυμαστὰ κάλλη μὴ ἀπογινώσκειν τὴν ἀμείνω μεταβολὴν μηδὲ τὴν
ὥσπερ ἐκ διασπορᾶς ψυχικῆς ἣν εἰργάσατο κακία πρὸς ἀρετὴν καὶ
116 σοφίαν ἐπάνοδον· ἵλεως γὰρ ὅταν ᾖ ὁ θεός, ἐξευμαρίζεται πάντα. | γίνεται p. 427 M.

1 ὑπερφυῶς — ἡμερῶν (2) om. HP (Turn.) μηνῶν] μονῶν A 2 ὡς δέον FHP: ὡς δὲ A (ὡς δὴ Mang.) 2. 3 ἔρημον καὶ κενὸν ἐᾶν AHP: ἔχειν ἔρημον καὶ κενὸν F 4 ἑαυτῆς FAH¹P: αὐτῆς H² (v) 4. 5 ποσότητος ... ποιότητος H (Turn.) 5 καλῷ] ὅλῳ coni. Mang., ὅλῳ ⟨φαύλου⟩ βίῳ ipse conicio 6 ὑπέλαβεν F: ὑπέλαβον AHP (v) κατορθουμένην FHP: κατωρθωμένην A 7 αἰνίττεται φάσκων om. A 9 πολιτικὸς FA: πολιτικός τε HP (v) 10 ὡς A: om. FHP (v) ἐξορθοῦν codd.: ἐξορθῶν Mang. δὲ A 11. 12 τοιοῦτος ὢν om. A 14 μᾶλλον om. A 15. 16 παραπλησίους A 16 σκληραῖς] σκϊραῖς F 17 ὅθεν F: ὅθεν ὥσπερ A, ὥσπερ H¹P, ὅπερ H² (v) εἴρηται H²: εὕρηται FAH¹P 18 τὰ θαυμαστὰ F ἀπογινώσκειν scripsi: ἀπογινώσκεσθαι codd. μηδὲ F: μήτε AHP (v) τὴν] τῆς F 19 ψυχικῆς FHP: ψυχῆς A (Mang.) κακίαν A 20 ἐξευμαρίζει conicio

5. 6 cf. *Quaest. in Exod. II* § *20* Optimum utique non mensibus neque secundum numeros (?annos?) supputare vitam cultorum dei sed diebus, qui sunt plane aequi honoris cum ipso aeterno supputati ac connumerati. *Posidon. ap. Senec. Epist. 78,25* unus dies hominum eruditorum plus patet quam imperitis longissima aetas. *Cic. Tusc. V 5* est autem unus dies bene et ex praeceptis tuis (scil. philosophiae) actus peccanti immortalitati anteponendus. 7 Deut. 28,6.

δὲ ἵλεως τοῖς αἰδουμένοις καὶ μεθορμιζομένοις ἐξ ἀκρασίας εἰς ἐγκράτειαν καὶ τὰ μὲν τῆς ὑπαιτίου ζωῆς κακίζουσι καὶ ὅσα ἐναπεμάξαντο ταῖς ψυχαῖς αἰσχρὰ εἴδωλα μυσαττομένοις, εὐδίαν δὲ παθῶν ἐζηλωκόσι καὶ γαλήνην καὶ εἰρήνην βίου μετατρέχουσι. καθάπερ οὖν ἀνθρώπους 117
ἐν ἐσχατιαῖς ἀπῳκισμένους ῥᾳδίως ⟨ἂν⟩ ἑνὶ κελεύσματι συναγάγοι ὁ θεὸς ἀπὸ περάτων εἰς ὅ τι ἂν θελήσῃ χωρίον, οὕτω καὶ τὸν νοῦν ἐξ ἄλης πολυχρονίου πάντῃ πλανηθέντα καὶ κακωθέντα πρὸς ἡδονῆς καὶ ἐπιθυμίας, δεσποινῶν ἐκτετιμημένων, ἐλεῶν ὁ σωτὴρ ἐξ ἀνοδίας εἰς ὁδὸν εὐπετῶς ἂν ἀγάγοι, ἀμεταστρεπτὶ φεύγειν διεγνωκότα φυγήν, οὐ τὴν ἐπονείδιστον λεγομένην, ἀλλὰ τὴν σωτήριον, ἣν οὐκ ἄν τις ἁμάρτοι λέγων καθόδου κρείττονα.

(20.) Τὰ μὲν οὖν ἐκτὸς ἀγαθὰ εἴρηται, νῖκαι κατ' ἐχθρῶν, κράτη 118
πολέμων, εἰρήνης βεβαιώσεις καὶ τῶν κατ' εἰρήνην ἀγαθῶν περιουσίαι, πλοῦτοι καὶ τιμαὶ καὶ ἀρχαὶ καὶ τὰ παρεπόμενα τοῖς εὖ πράττουσιν ἐγκώμια, διὰ παντὸς στόματος καὶ φίλων καὶ δυσμενῶν ἐπαινουμένοις, τῶν μὲν διὰ φόβον, τῶν δὲ δι' εὔνοιαν· λεκτέον δὲ καὶ τὰ τούτων οἰκειότερα, τὰ περὶ σῶμα. φησὶν οὖν, ὅτι τοῖς ἀρετὴν διαπονοῦσι καὶ 119
τοὺς ἱεροὺς νόμους ἡγεμόνας τῶν κατὰ τὸν βίον λόγων καὶ ἔργων προστησαμένοις ἰδίᾳ τε καὶ κοινῇ περιέσται τὸ εἰς ἅπαν ἄνοσον· εἰ δὲ καὶ γένοιτό τις ἀσθένεια, τοῦ μὲν κακῶσαι χάριν οὐκ ἂν γένοιτο, τοῦ δ' ὑπομνῆσαι τὸν θνητὸν ὅτι θνητός ἐστιν, εἰς ὑπεραύχου φρονήματος κατάλυσιν καὶ βελτίωσιν ἠθῶν· ὑγείᾳ δ' ἕψεται καὶ εὐαισθησία καὶ τὸ ἐν ἅπασι τοῖς μέρεσιν ὁλόκληρον καὶ παντελές, εἰς τὰς πρὸς ὃ γέγονεν

1 μεθορμιζομένοις F: μεθαρμοζομένοις AHP (v)   4 γαλήνην καὶ εἰρήνην F: εἰρήνην καὶ γαλήνην AHP (v)   5 αἰσχατιαῖς F   ἂν add. Turn., om. codd.   ὁ θεὸς FA: θεὸς HP (v)   6 ἀπὸ περάτων om. P   ἐξ ἄλης H[2]: ἐξ ἄλλης FH[1]P, ἐκ ζάλης A   7 καὶ κακωθέντα om. HP (Turn.)   8 ἐκτετιμημένων F: ἐκτετμημένων HP (Turn.), ἐκτεταμένων A (Mang.)   ἐλεῶν AH[2]: ἔλεον FH[1]P   8. 9 εὐπετῶς εἰς ὁδὸν transp. A   9 ἂν ἀγάγοι v (Turn.): ἀναγάγοι FHP, ἀναγάγῃ A   φεύγειν διεγνωκότα A: διεγνωκότα φυγεῖν F, φεύγειν (φυγεῖν) om. HP   10 ἁμάρτοι FA: ἁμάρτῃ HP (v)   11 καθόδου] καθόλου A   12 εἴρηται v (Turn.): εἴρηνται codd.   κράτη FA: κράτος HP (v)   13 πολεμίων A   βεβαιώσεις scripsi: βεβαίωσις codd.   14 παρεπόμενα] πρέποντα A   15 ἐπαινούμενα A   17 σῶμα F: τὸ σῶμα AHP (v)   ἐπιπονοῦσι A   18. 19 συστησαμένοις F   20 οὐκ ἂν γένοιτο F: οὐκ ἂν γένοιτ' ἂν AHP (v)   21 ἐστιν] εἶ A   23 γέγονεν A: προγέγονεν FP (v), προ(σ)γέγονεν H, προσγέγονεν L

19 Deut. 7,15.

120 ἕκαστον ἀκωλύτους ὑπηρεσίας. ἐδικαίωσε γὰρ ὁ θεὸς γέρας τῷ σπουδαίῳ παρασχεῖν εὖ συνῳκοδομημένην καὶ συνηρμοσμένην ἐκ θεμελίων ἄχρι στέγους οἰκίαν — οἰκία δὲ ψυχῆς συμφυεστάτη σῶμα — διά τε πολλὰ τῶν εἰς τὸν βίον ἀναγκαίων καὶ χρησίμων καὶ μάλιστα διὰ τόνδε
121 τὸν καθάρσεσι τελείαις νοῦν καθαρθέντα· ⟨ὃν⟩ καὶ μύστην γεγονότα τῶν θείων τελετῶν καὶ συμπεριπολοῦντα ταῖς τῶν οὐρανίων χορείαις καὶ περιόδοις ἐγέραρεν ὁ θεὸς ἠρεμίᾳ, βουληθεὶς ἀμέθεκτον εἶναι, κηραίνοντα περὶ μηδὲν πάθος ὧν αἱ τοῦ σώματος γεννῶσιν ἀνάγκαι ἐπιτιθέμεναι κατὰ πλεονεξίαν παθῶν δυναστείας· | ἢ γὰρ περιέψυξέ τι ἢ p. 428 M.
περιέφλεξε[ν οὐρανὸς] καὶ αὐχμηρὸν ἢ τοὐναντίον ῥοῶδες ἀπειργάσατο· δι' ὧν ἁπάντων ὁ νοῦς εὐθύνειν ἀδυνατεῖ τὴν τοῦ καθ' αὑτὸν βίου
122 πορείαν. ἐνδιαιτώμενος δὲ ὑγιεινῷ σώματι κατὰ πολλὴν εὐμάρειαν ἐνδιατρίψει καὶ ἐνσχολάσει τοῖς σοφίας θεωρήμασι, μακαρίας καὶ εὐδαίμονος ζωῆς ἐπιλαχών· οὗτός ἐστιν ὁ πολὺν ἄκρατον σπάσας τῆς εὐεργέτιδος τοῦ θεοῦ δυνάμεως καὶ λόγων ἱερῶν καὶ δογμάτων ἑστια-
123 θείς· οὗτος ᾧ φησιν ὁ προφήτης τὸν θεὸν „ἐμπεριπατεῖν" οἷα βασιλείῳ, καὶ γάρ ἐστι τῷ ὄντι βασίλειον καὶ οἶκος θεοῦ σοφοῦ διάνοια· τούτου καλεῖται θεὸς ἰδίως ὁ τῶν συμπάντων θεός, καὶ λαὸς ἐξαίρετος πάλιν οὗτος, οὐ τῶν κατὰ μέρος ἀρχόντων, ἀλλὰ τοῦ ἑνὸς καὶ πρὸς ἀλή-
124 θειαν ἄρχοντος, ἁγίου ἅγιος· οὗτός ἐστιν ὁ πρὸ μικροῦ πολλαῖς μὲν ἡδοναῖς, πολλαῖς δ' ἐπιθυμίαις, μυρίαις δ' ἀνάγκαις κακιῶν καὶ ἐπι-

1. 2 τῷ σπουδαίῳ F: τοῖς σπουδαίοις AHP (v) 2 συνηρμοσμένην καὶ συνοικοδομουμένην οἰκίαν A 3 ἄχρι] μέχρι F οἰκίαν h. l. om. A συμφυέστατον H (Turn.) διά τε FHP: ἅτε A (Mang.) 4 post χρησίμων add. ἐνεργοῦν ὦ A (ἐνεργοῦν recepit Mang.) τόνδε FA: om. HP (v) 5 ὃν add. Mang. 5. 6 τῶν θείων om. A 6 συμπεριπολοῦντα F: μόνον σ. AH^{1}P, μόναις σ. H^2 (v) τῶν οὐρανίων A: τῶν om. FHP (v) 7 ἠρεμίᾳ] εὐημερίᾳ coni. Wendl. ἀμέθεκτον] ἀμέθελκτον coni. Mang, ⟨νόσων⟩ vel ⟨νοσημάτων⟩ vel ⟨κακιῶν⟩ ἀμέθεκτον conicio 8 γεννῶσιν ἀνάγκαι Mang.: ἀνάγκαι (om. γεννῶσιν) A, γεννῶσι δυνάμεις FHP (v) 9 δυναστείαν coni. Mang. τι A: τις FHP (Turn.) 10 περιέφλεξεν οὐρανὸς A (Mang.): αὖον FHP (Turn.); οὐρανὸς seclusi 15 τοῦ om. A 16 οὗτος ᾧ] τούτων οὖν A φησιν: hic desinit F, cetera supplevit man. rec. (Iacobus Diassorinus) 18 ἐξαίρετος A: ἐξαίρετος χάριτι HP (ἐξαιρέτῳ χάριτι v)

16—18 Lev. 26,12. 17. 18 D^R fol. 195^v Anton. Mel. II 87 Col. 1209 Φίλωνος: οἶκος θεοῦ σοφοῦ διάνοια· τούτου καλεῖται θεὸς ἰδίως ὁ τῶν συμπάντων, ὥς (ὅ D^R) φησιν ὁ προφήτης, ὡς (ᾧ?) θεὸς (ὁ θεὸς D^R) ἐμπεριπατεῖ οἷα βασιλείῳ (16). D^R fol. 137^r Φίλωνος: ἔστι γὰρ τῷ ὄντι βασίλειον καὶ οἶκος θεοῦ σοφοῦ διάνοια, ὥς φησιν ὁ προφήτης τὸν θεὸν ἐμπεριπατεῖν οἷα βασιλείῳ. τούτου καλεῖται θεὸς ὁ τῶν συμπάντων ἴδιος.

θυμιῶν ὑπεζευγμένος· τούτου τὰ κακὰ τῆς δουλείας συνέτριψεν ὁ θεὸς
εἰς ἐλευθερίαν ἐξαιρούμενος· οὗτος ὁ μὴ ἀπαρρησιάστου τυχὼν εὐερ-
γεσίας ἀλλὰ διαβεβοημένης καὶ περιηγγελμένης πάντῃ διὰ τὴν τοῦ
προασπίζοντος ἐξουσίαν, ὑφ᾽ ἧς οὐχ ὑπεσύρη πρὸς τὰ οὐραῖα, ἀλλ᾽ ἐπὶ
κεφαλὴν ἄνω παρεπέμφθη. ταῦτα δ᾽ ἀλληγορεῖται τροπικῶς ἐξενεχθέντα· 125
καθάπερ γὰρ ἐν ζῴῳ κεφαλὴ μὲν πρῶτον καὶ ἄριστον, οὐρὰ δ᾽ ὕστατον
καὶ φαυλότατον, οὐ μέρος συνεκπληροῦν τὸν τῶν μελῶν ἀριθμόν, ἀλλὰ
σόβησις τῶν ἐπιποτωμένων, τὸν αὐτὸν τρόπον κεφαλὴν μὲν τοῦ ἀνθρω-
πείου γένους ἔσεσθαί φησι τὸν σπουδαῖον εἴτε ἄνδρα εἴτε λαόν, τοὺς
δὲ ἄλλους ἅπαντας οἷον μέρη σώματος ψυχούμενα ταῖς ἐν κεφαλῇ καὶ
ὑπεράνω δυνάμεσιν.

Αὗται μὲν αἱ ὑπὲρ τῶν ἀνθρώπων τῶν ἀγαθῶν εἰσιν εὐχαὶ καὶ 126
τοὺς νόμους ἔργοις ἐπιτελούντων, ἃς φησι τελεσφορηθήσεσθαι χάριτι
τοῦ φιλοδώρου θεοῦ τὰ καλὰ διὰ τὴν πρὸς αὑτὸν ὁμοιότητα σεμνο-
ποιοῦντος καὶ γεραίροντος· τὰς δὲ κατὰ τῶν ἐκνόμων καὶ ἀθέσμων
ὁρισθείσας ἀρὰς ἐπισκεπτέον.

Περὶ ἀρῶν.

II.429 M. (1.) | Πρώτην ἀρὰν ὡς κουφότατον κακὸν ἀναγράφει πενίαν καὶ 127
ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων καὶ μετουσίαν παντελοῦς ἀπορίας·
τὸν γὰρ σπόρον, φησίν, ἀτελῆ μὲν ὄντα δηώσουσι, τελειωθέντα δ᾽
ἀμήσουσιν ἐξαίφνης ἐπελθόντες πολέμιοι, διττὴν ἐργασάμενον συμφοράν,
λιμὸν μὲν φίλοις, ἐχθροῖς δὲ περιουσίαν· λυπεῖ γὰρ μᾶλλον ἢ οὐχ
ἧττον τῶν ἰδίων κακῶν τῶν δυσμενῶν τὰ ἀγαθά. καὶ ἡσυχαζόντων δὲ 128

1 συνεζευγμένος A τῆς δουλείας HP: κἂν τῇ δουλείᾳ A (Mang.) 3 ἀλλὰ διαβεβοημένης om. H (Turn.) 4 ἐξουσίαν codd.: ὑπερουσίαν Turn. ὑφ᾽ om. Turn. 6. 7 ὕστατόν τε καὶ A 7 ⟨μέρος⟩ οὐ μέρος coni. Mang. τῷ τῶν μελῶν ἀριθμῷ H^2 (Turn.) ἀλλὰ AHP: om. v 8 σόβησις AP: σόβητρον H (v) μὲν A: om. HP (v) 8. 9 ἀνθρωπείου AHP: ἀνθρωπίνου v 9 εἴτ᾽ ἄνδρα A 14 φιλοδώρου A: φιλαρέτου HP (om. Turn.) αὐτὸν codd. 16 ὁρισθείσας A mg P^2: om. HP (Turn.) 17 tit. περὶ ἀρῶν H, τοῦ αὐτοῦ περὶ ἀρῶν P, τοῦ αὐτοῦ φίλωνος περὶ ἀρῶν A 19 ἀπορίας HP: ἀπωλείας A 21 ἀμύσουσιν H^1P ἐργασάμενον scripsi: ἐργασάμενοι codd., ἐργασόμενοι v 23 τῶν δυσμενῶν τὰ ἀγαθά A: τὰ δυσμενῶν ἀγαθά HP (v) δὲ A: μὲν HP (v)

1 Lev. 26,13. 4 Deut. 28,13. 18sqq. Lev. 26,16. Deut. 28,20.

τῶν ἐχθρῶν οὐχ ἡσυχάσουσιν αἱ ἐκ φύσεως ἀργαλεώτεραι ζημίαι· σὺ μὲν γὰρ κατασπείρεις τὴν βαθύγειον τῆς πεδιάδος, ἀκρίδων δὲ νέφος ἐξαίφνης καταπτάμενον ἐκθερίσει καὶ τὰ ὑπολειφθέντα πολλοστὸν εἰς συγκομιδὴν ἔσται μέρος τῶν σπαρέντων· καὶ σὺ μὲν ἀμπελῶνα φυτεύεις δαπάναις ἀφειδέσι ⟨καὶ⟩ κακοπαθείαις ἀτρύτοις, ἃς εἰκὸς γεωπόνους ἀναδέχεσθαι, τελειωθέντα δὲ ἤδη καὶ βλαστάνοντα καὶ βρίθοντα ὑπ'
129 εὐφορίας σκώληκες ἐπιγενόμενοι τρυγήσουσι. τοὺς ἐλαιῶνας ὅταν ἴδῃς εὐθηνοῦντας καὶ καρπῶν ἄφθονον πλῆθος, ἡσθήσῃ, ὥσπερ εἰκός, δι' ἐλπίδα συγκομιδῆς εὐτυχοῦς, ὅταν δὲ ἄρξῃ συγκομίζειν, αἰσθήσῃ τῆς ἀτυχίας μᾶλλον ἢ τῆς ἀσεβείας· τὸ μὲν γὰρ ἔλαιον καὶ ὅσον πῖον ἐκρυήσεται σύμπαν ἀφανῶς, ὁ δ' ἐκτὸς ὄγκος αὐτὸς εἰς ἀπάτην ψυχῆς κενὸς κενῆς ὑπολειφθήσεται. καὶ συνόλως ὅσα σπαρτὰ ἢ δένδρα καρποῖς
130 αὐτοῖς ἐξαναλωθήσεται πρὸς ἐρυσίβης. (2.) ἐφεδρεύουσι δὲ καὶ ἄλλαι συμφοραὶ δίχα τῶν εἰρημένων, ἐνδείας καὶ ἀπορίας δημιουργοί. δι' ὧν γὰρ ἀνθρώποις ἡ φύσις ἐχορήγει τὰ ἀγαθά, στειρωθήσεται, γῆ καὶ οὐρανός, ἡ μὲν ἀμβλίσκουσα καὶ τελειογονεῖν ἀδυνατοῦσα τοὺς καρπούς, ὁ δὲ μεταβεβηκὼς εἰς ἀγονίαν, τῶν ἐτησίων ὡρῶν μὴ χειμῶνος, μὴ θέρους, μὴ ἔαρος, μὴ μετοπώρου πρὸς τὰς οἰκείας τάξεις ἀνιόντων, ἀλλ' εἰς ἄποιον καὶ πεφορημένην σύγκρισιν βιασθέντων ἀποκριθῆναι δεσποτικοῦ
131 κράτους ἀρχῇ. οὐ γὰρ ὄμβρος, οὐχ ὑετός, οὐ λεπτὴ ψακάς, οὐ βραχεῖα λιβάς, οὐ δρόσος, οὐκ ἄλλο τι τῶν αὔξειν δυναμένων ἐπιγενήσεται, τοὐναντίον δὲ ὅσα λυμαντικὰ μὲν φυομένων, φθοροποιὰ δὲ καρπῶν καταπεπανθέντων καὶ ἵνα μὴ τελειωθῇ παρεσκευασμένα· „θήσω" γάρ φησι „τὸν οὐρανὸν ὑμῖν χαλκοῦν καὶ τὴν γῆν σιδηρᾶν" (Lev. 26, 19.

1 ἡσυχάσουσιν HP (coni. Mang.): ἡσυχάζουσιν A (v) post ἀργαλεώτεραι add. δὲ v, om. codd. 2 γὰρ om. A κατασπερεῖς coni. Mang. τὴν βαθύγειον H: τὸ βαθύγειον P, τὸ βαθύγαιον A 3 ἐκθεριεῖ conicio 4 ἀμπελῶνας A φυτεύεις codd.: φυτεύσεις v 5 καὶ add. Mang. γεωπόνους A: γεωπόνοις HP
β′ α′
6 βρίθοντα καὶ βλαστάνοντα A 8 εὐθηνοῦντας H^2: εὐθυνοῦντας H^1P, ἀσθενοῦντας A ἡσθήσῃ A: ἴσθι P, ἴθι H (Turn.) 9 δὲ A: om. HP (v) 10 ἀσεβείας codd. εὐσεβείας v; ἀσεβείας corruptum, ἀφθονίας vel εὐθηνίας conicio, εὐπαθείας coni. Mang. 11 αὐτὸς] αὖος coni. Mang., αὐτὸ ⟨μόνον⟩ conicio 13 ἐφεδρεύουσι codd.: ἐφεδρεύσουσι v 15 ἀνθρώποις ἡ φύσις A: ἡ φύσις ἀνθρώποις HP (v) 18 μὴ ἔαρος om. A ἀνιόντων A: ἰόντων HP (Turn.) 19 σύγκρισιν] σύγχυσιν conicio βιασθέντων ἀποκριθῆναι A: ἀποκριθῆναι βιασθέντων HP (v) 23 παρεσκευασμένα A: παρεσκευασμένων HP 24 ἡμῖν H (Turn.)

2 Deut. 28,38. 4 Deut. 28,39. 10 Deut. 28,40. 12. 13 Deut. 28,42.

p. 430 M. cf. Deut. 28,23), αἰνιττόμενος τὸ μηδέτερον αὐτῶν | τὰ οἰκεῖα καὶ πρὸς
ἃ γέγονεν ἐπιτελέσειν ἔργα· ποῦ γὰρ ἢ σίδηρος ἐσταχυηφόρησεν ἢ ὑετὸν 132
ἤνεγκε χαλκός, ὧν χρεία τὰ ζῷα καὶ μάλιστα τὸ ἐπίκηρον καὶ πολλῶν
ἐπιδεές, ἄνθρωπος; μηνύει δ' οὐ μόνον ἀφορίαν καὶ τῶν ἐτησίων ὡρῶν
φθοράν, ἀλλὰ καὶ πολέμων γενέσεις καὶ τῶν ἐν τούτοις ἀφορήτων καὶ
ἀμυθήτων κακῶν· χαλκὸς γὰρ καὶ σίδηρος πολεμιστηρίων ὅπλων ὗλαι.
καὶ γῆ μέντοι κονιορτὸν οἴσει καὶ χοῦς ἄνωθεν ἐξ οὐρανοῦ καταχθήσεται 133
βαρύτατον ἐπιφέρων καρπὸν εἰς τὴν διὰ πνίγους ἀπώλειαν, ἵνα μηδὲν
παραλειφθῇ τῶν ἐπ' ὀλέθρῳ. πολυάνθρωποι μὲν ἐρημωθήσονται συγ-
γένειαι, κεναὶ δὲ αἱ πόλεις ἐξαπιναίως οἰκητόρων ἔσονται, μνημεῖα
παλαιᾶς μὲν εὐτυχίας προσκαίρου δὲ βαρυδαιμονίας ὑπολειφθεῖσαι πρὸς
νουθεσίαν τῶν δυναμένων σωφρονίζεσθαι. (3.) τοσαύτη δὲ ἐφέξει 134
σπάνις τῶν ἀναγκαίων, ὥστε ἀλλοτριωθέντες τούτων τρέψονται ἐπ'
ἀλληλοφαγίας, οὐ μόνον ὀθνείων καὶ μηδὲν προσηκόντων, ἀλλὰ καὶ τῶν
οἰκειοτάτων καὶ φιλτάτων· ἅψεται γὰρ καὶ πατὴρ υἱοῦ σαρκῶν καὶ
μήτηρ σπλάγχνων θυγατρὸς καὶ ἀδελφῶν ἀδελφοὶ καὶ γονέων παῖδες·
ἀεὶ δὲ οἱ ἀσθενέστεροι τῶν δυνατωτέρων κακαὶ καὶ ἐπάρατοι τροφαί·
τὰ Θυέστεια παιδιὰ [καὶ] συγκρινόμενα ταῖς ὑπερβολαῖς τῶν συμφορῶν,
ἃς μεγαλουργήσουσιν οἱ καιροί. μετὰ γὰρ τῶν ἄλλων, ὥσπερ τοῖς ἐν 135
εὐτυχίαις ποθεινὸς ὁ βίος εἰς ἀπόλαυσιν ἀγαθῶν, οὕτως καὶ τοῖς βαρυ-
δαίμοσιν ἐκείνοις ἔρως πολὺς ἐνιδρυθήσεται τοῦ ζῆν πρὸς ἀμέτρων καὶ
ἀπαύστων κακῶν μετουσίαν, ἁπάντων ἀνιάτων. ἧττον γὰρ χαλεπὸν
ἀπαλγήσαντας ἐπιτεμεῖν θανάτῳ τὰς ἀνίας, ὃ τοῖς μὴ λίαν φρενοβλαβέσιν
ἔθος δρᾶν· οἱ δ' ἐκ παραπληξίας ἐθέλοιεν ἂν καὶ μακροβιώτατοι γενέσθαι,
τῆς ἀνωτάτω βαρυδαιμονίας ἀπλήστως καὶ ἀκορέστως ἔχοντες. τοιαῦτα 136

2 ἐσταχυηφόρησεν scripsi: ἐσταχυφόρησεν codd. 2. 3 ὑετὸν ἤνεγκε χαλκός A: χαλκοῦς (sic) ὑετὸν ἤνεγκε HP (χαλκὸς ὑετὸν ἤνεγκε v) 3 ὧν om. H (Turn.) 4 ὡρῶν] καρπῶν coni. Mang. 5 γενέσεις] κινήσεις coni. Mang. 7 μέντοι] μὲν A ἐξ οὐρανοῦ ἄνωθεν transp. A 8 καρπὸν] κακὸν conicio διαπνίγουσαν ἀπώλειαν A 8. 9 ἵνα—ὀλέθρῳ] ἵνα μηδενὸς παραλειφθέντος A 12 δ' A 13 ἀλλοτριωθέντες] ἐλαττωθέντες conicio 14 ἀλληλοφαγίαις H[1]P ὀθνείων Mang.: ἐθνῶν codd. 16 γονέως H[1]P 17 ἀεὶ δὲ] ἔσονται coni. Mang. 18 τὰ θυέστεια A, τὰ θυέστια HP: τὰ Θυέστου v παιδιὰ scripsi (*ludus* vertit Mang.): παιδία codd. (v) καὶ seclusit Mang. 19 τοῖς A: om. HP (v) 20 ὁ βίος ποθεινὸς transp. A 21 καὶ] ἢ A 22 ἧττον γὰρ χαλεπὸν scripsi: ἧττον γὰρ codd.; αἱρετώτερον γὰρ coni. Mang. 23 ἀνίας] ἠνίας H (Turn.) 24 καὶ om. A

7 Deut. 28,24. 9 Lev. 26,31. 15 Lev. 26,29. Deut. 28,53.

τὸ κουφότατον εἶναι δοκοῦν τῶν κακῶν, ἀπορία, προσεργάζεσθαι πέφυκεν. ὅταν θεήλατος ἐπάγηται δίκη· καὶ γὰρ εἰ χαλεπὰ ῥῖγος, δίψος, ἔνδεια τροφῆς, ἀλλ' εὐκταιότατα γένοιτ' ἂν ἐπὶ καιρῶν, εἰ μόνον ἀνυπέρθετον φθορὰν ἐργάσοιτο· χρονίζοντα δὲ καὶ τήκοντα ψυχήν τε καὶ σῶμα τῶν τετραγῳδημένων, ἃ δι' ὑπερβολὰς μεμυθεῦσθαι δοκεῖ, βαρύτερα πέφυκε καινουργεῖν.

137 (4.) Δουλεία τοῖς ἐλευθέροις ἀφορητότατόν ἐστιν, ὑπὲρ ἧς σπου-
δάζουσιν ἀποθνήσκειν οἱ σώφρονες | ἀγωνιζόμενοι φιλοκινδύνως πρὸς p. 431 M.
τοὺς ἐπανατεινομένους δεσποτείαν· ἀφόρητον δὲ καὶ ἐχθρὸς ἄμαχος· εἰ
δ' ὁ αὐτὸς ἀμφότερα γένοιτο, δεσπότης ὁμοῦ καὶ πολέμιος, τίς ἂν ὑπο-
σταίη ⟨τὸν⟩ τὸ μὲν δύνασθαι ἀδικεῖν ἐκ δεσποτικῆς ἐξουσίας, τὸ δὲ μηδὲν
138 συγγινώσκειν ἐξ ἀσυμβάτου δυσμενείας περιπεποιημένον; ἐχθροῖς οὖν
φησι δεσπόταις εἰς τὸ ἀνηλεὲς χρήσεσθαι τοὺς ἀλογοῦντας νόμων ἱερῶν,
οὐ μόνον ἐξ ἐπιθέσεως τῆς ἐκείνων ὑπαχθέντας, ἀλλὰ καὶ γνώμαις
ἑκουσίοις ἐκδόντας αὑτοὺς ἕνεκα τῶν ἀβουλήτων, ἃ λιμὸς καὶ σπάνις
τῶν ἀναγκαίων ἀπεργάζεται· τὰ γὰρ ἐλάττω κακὰ φυγῇ μειζόνων αἱρετὰ
139 νομίζουσί τινες, εἰ δή τι βραχὺ τῶν εἰρημένων ἐστί. δουλεύοντες ⟨γὰρ⟩
πικρῶν μὲν ἐπιταγμάτων ὑπηρεσίας ἀναδέξονται τοῖς σώμασι, πικροτέρων
δὲ θεαμάτων ἀνίαις κατατεινόμενοι τὰς ψυχὰς ἀπαγορεύσουσιν· ὄψονται
γὰρ ὧν συνῳκοδόμησαν ἢ κατεφύτευσαν ἢ περιεποιήσαντο κληρονόμους
γεγονότας ἐχθρούς, ἀλλοτρίων ἀπολαύοντας ἀγαθῶν καὶ ἑτοίμων· ὄψονται
καὶ τὰ πίονα τῶν ἰδίων θρεμμάτων εὐωχουμένους, ἱερεύοντας καὶ
παραρτύοντας εἰς ἀπόλαυσιν ἡδίστην, οἱ στερόμενοι τοὺς ἀφελομένους·
ὄψονται καὶ γυναῖκας, ἃς ἠγάγοντο κουριδίας ἐπὶ γνησίων παίδων σπορᾷ,

1 δοκούντων κακῶν H   κακῶν] ἀρῶν A   2 ῥῖγος suspectum; πνῖγος conicio
3 γένοιντ' A   μόνην A   4 ἐργάσοιτο om. A; ἐργάσαιτο conicio
5 βαρύτερα Mang.: βαρύτατα codd. (βαρύτατον v)   7 ἀφορητότατος H
7. 8 σπουδάζουσιν ἀποθνήσκειν AHP: σπουδάζουσιν om. L (ἀποθνήσκουσιν Turn., ἀποθνήσκειν σπουδάζουσιν Mang.)   9 δεσποτείαν HP: δεσπότας A   ἀφόρητος A
11 τὸν addidi   μηδὲν A: μηδενὶ HP (v)   12 περιπεποιημένον Mang.: περιπεποιημένος codd.   13 ἀνηλεὲς AHP: ἀνηλεὲς in ἀνηλεῶς corr. L (ἀνηλεῶς v); καὶ τοῖς ἀνηλεέσι coni. Mang.   χρήσεσθαι v: χρήσασθαι codd.   14 ἐπιθεσίας (sic) A   γνώμαις scripsi: νόμοις codd.; σπονδαῖς coni. Mang.   15 αὐτοὺς H[1]P   ἕνεκα codd. (Mang.): ἕνεκεν v   ἃ λιμὸς A: ἃ καὶ λιμὸς HP (v)   17 γὰρ add. Mang.   22 ἱερεύοντας Mang.: ἱεροῦντας codd.   23 οἱ στερόμενοι AP (Mang.): ὑστερούμενοι H (v)   τοὺς ἀφελομένους Mang.: τοῖς ἀφελομένοις codd. (τῆς ἀφελομένης v)   24 ἃς] οὓς P   κουριδίας H: κουριδίοις AP; scribendum fortasse κουριδίους   σπορᾷ A: σπορὰν HP (Turn.)

13 Deut. 28,48.   20 Deut. 28,30.   22 Deut. 28,31. 51.   24 Deut. 28,30.

σώφρονας ⟨καὶ⟩ οἰκουροὺς καὶ φιλάνδρους ἑταιρῶν τρόπον ὑβριζομένας.
καὶ πρὸς μὲν ἄμυναν ὁρμήσουσιν, ἔξω δὲ τοῦ σφαδάζειν οὐδὲν ἐργάσα- 140
σθαι δυνήσονται πᾶσαν ἰσχὺν ἐκτετμημένοι καὶ ἐκνενευρισμένοι· προ-
κείσονται γὰρ σκοποὶ τοῖς ἐθέλουσιν ἄγειν, φέρειν, ἁρπάζειν, ὑβρίζειν,
τιτρώσκειν, εἰς βλάβας, εἰς αἰκίας, εἰς πανωλεθρίαν, ὡς μηδὲν ἀφεθῆναι
τῶν βλημάτων κωφόν, ἀλλ' εὔσκοπα καὶ εὔστοχα πάντα.

Ἐπάρατοι μὲν ἐν πόλεσι καὶ κώμαις, ἐπάρατοι δ' ἐν οἰκίαις καὶ ἐπαύ- 141
λεσιν ἔσονται· ἐπάρατος μὲν ἡ πεδιὰς καὶ ὅσα κατεβλήθη σπέρματα, ἐπά-
ρατος δὲ ἡ βαθύγειος τῆς ὀρεινῆς καὶ ὅσα γένη δένδρων ἡμέρων· ἐπάρατοι
τῶν θρεμμάτων αἱ ἀγέλαι, στειρωθήσονται γὰρ πρὸς ἀγονίαν· ἐπάρατοι
πάντες οἱ καρποί, τῷ γὰρ κυριωτάτῳ τῆς ἀκμῆς ἀνεμόφθοροι γενή-
σονται. τὰ πλήρη ταμεῖα τροφῶν καὶ χρημάτων κενωθήσεται· πόρος 142
οὐδεὶς εὐοδήσει, τέχναι πᾶσαι, πραγματεῖαι πολύτροποι, βίων ἰδέαι
μυρίων τοῖς χρωμένοις οὐδὲν ὄφελος· ἀτελεῖς γὰρ αἱ τῶν σπουδαζομένων
p. 432 M. | ἐλπίδες ἔσονται καὶ συνόλως ὅτου ἐφάψονται διὰ πονηρῶν ἐπιτηδευ-
μάτων ἢ ἔργων, ὧν κεφαλὴ καὶ τέλος ἀπόλειψις θεραπείας θεοῦ· τὰ
γὰρ ἀσεβείας καὶ παρανομίας ἐπίχειρα ταῦτα.

(5.) Καὶ πρὸς τούτοις αἱ σωματικαὶ νόσοι μέλος ἕκαστον καὶ μέρος 143
ἰδίᾳ κατεργαζόμεναι καὶ διεσθίουσαι καὶ πάλιν ὅλα δι' ὅλων καταξαί-
νουσαι, πυρετοῖς, ῥίγεσι, φθινάσι τηκεδόσι, ψώραις ἀγρίαις, ἰκτέροις,
σφακελίζουσιν ὀφθαλμοῖς, ἕλκεσιν ὑποπύοις ⟨καὶ⟩ ἑρπηνώδεσι κατὰ πάσης
χεομένοις τῆς δορᾶς, κακώσεσι τῶν ἐντοσθίων, ἀνατροπαῖς στομάχου,
τῶν ἐν πνεύμονι πόρων ἀποφράξεσιν ὑπὲρ τοῦ μὴ εὐοδεῖν τὴν ἀναπνοήν
— πάρεσις γλώσσης, κώφωσις ὤτων, πήρωσις ὀφθαλμῶν, τῶν ἄλλων

1 καὶ addidi ἑταιρῶν A, ἑταίρων HP: ἑτέρων L (Turn.) ὑβριζομένας A: ἀφαιρομένας H[1]P, ἀφαιρουμένας H[2] (Turn.) 2 καὶ] κἂν A μὲν om. A ὁρμήσωσιν A 2. 3 ἐργάσεσθαι H[2], ἐργάσασθαι om. A (fort. recte) 6 κλημάτων A εὔστοχα καὶ εὔσκοπα A 7 pr. καὶ om. HP 10 ἀγονίας A 11 ἀνεμοφθόροι H (v) 11. 12 γενήσονται] γεγόνασι A 12 κενωθήσεται scripsi: κενωθήσονται codd. πόρος] σπόρος P 13 εὐοδήσει scripsi: εὐοδώσει codd. 14 μυρίαι coni. Mang. ὤφελος L (Turn.) 15 ὅτου] ὅτων conicio 16 ἀπόλειψις A: ἀπόδειξις HP (Turn.) 19 ἐσθίουσαι A 20 φθινάσι HP: φθινώδεσι A 21 ὑποπύοις A: ὑποποιοῖς H[1]P, ὑποποίοις H[2] καὶ add. Mang. πᾶσι (sic) P 23 εὐωδεῖν P 24 κώφωσις ὤτων A: κωφὸν οὖς HP (Turn.)

2 Deut. 28,32. 7 Deut. 28,16. 8sqq. Deut. 28,18. 12 Deut. 28,17. 18sqq. Lev. 26,16. Deut. 28,22. 27.

ἀμυδρότης αἰσθήσεων καὶ σύγχυσις, καίτοι δεινὰ ὄντα, συγκρινόμενα
144 βαρυτέροις οὐ φαίνεται δεινά —, τοῦ μὲν ἐν φλεψὶν αἵματος ἀποβαλόντος
ὅσον ἦν ἐν αὐτῷ ζωτικόν, τοῦ δ᾿ ἐν ἀρτηρίαις πνεύματος τὴν ἔξωθεν
ἀπὸ τοῦ συμφυοῦς ἀέρος μηκέθ᾿ ὁμοίως ἐπιδεχομένου σωτήριον κρᾶσιν,
145 τῶν δὲ νεύρων ἀνεθέντων καὶ χαλασθέντων· οἷς ἐπακολουθεῖ τῆς ἁρμονίας
καὶ συμφωνίας τῶν μελῶν πάρεσις πρότερον πονηθέντων ἁλμυροῦ καὶ
πάνυ πικροῦ φορᾷ ῥεύματος εἴσω παραδυομένου καί, ὁπότε στενοῖς ἐγκατακλεισθείη
πόροις εὐμαρεῖς διεξόδους οὐκ ἔχουσι, θλιβομένου τε καὶ
θλίβοντος εἰς πικρῶν καὶ δυσυπομονήτων γένεσιν ἀλγηδόνων, ἐξ ὧν
φύεται τὰ ποδαγρικὰ καὶ ἀρθριτικὰ πάθη καὶ νοσήματα, πρὸς ἃ σωτήριον
οὐδὲν ἐπενοήθη φάρμακον, ἀλλ᾿ ἔστιν ἀνθρωπίναις ἐπινοίαις ἀνίατα.
146 ταῦτα ὁρῶντες ἔνιοι καταπλαγήσονται, πῶς οἱ πρὸ μικροῦ πίονες εὔσαρκοί
τε καὶ εὐεξίᾳ μάλιστα θάλλοντες οὕτως αἰφνίδιον ἐκτακέντες ῥικνοὶ
γεγόνασιν ἶνες αὐτὸ μόνον καὶ λεπτὴ δορά, καὶ πῶς γυναῖκες ἁβροδίαιτοι
καὶ πανάπαλοι διὰ τὴν ἐκ πρώτης ἡλικίας συναυξηθεῖσαν τρυφὴν ὑπὸ
147 κακώσεως δεινῆς ἅμα ταῖς ψυχαῖς καὶ τὰ σώματα ἐξηγρίωνται. τότε
δὴ τότε διώξονται μὲν ἐχθροὶ καὶ μάχαιρα ἐκδικήσει δίκην, οἱ δ᾿ εἰς
τὰς πόλεις καταφεύγοντες, ὅταν ἐν ἀσφαλεῖ γεγενῆσθαι νομίσωσιν,
ἐλπίδος ἀπάτῃ φενακισθέντες ἤβηδὸν ἀπολοῦνται προκαταδύντες ἐνέδραις
ἐχθρῶν.
148 (6.) Κἂν ⟨εἰ⟩ ἐπὶ τούτοις μὴ σωφρονίζοιντο πλαγιάζοντες καὶ τὰς
ἐπ᾿ ἀλήθειαν ἀγούσας εὐθυτενεῖς ὁδοὺς ἐκτρεπόμενοι, δειλία καὶ φόβος
ταῖς ψυχαῖς αὐτῶν ἐνιδρυθήσεται, καὶ φεύξονται μὲν οὐδενὸς διώκοντος,
φήμαις δὲ οἷα φιλεῖ ψευδέσι πεσοῦνται προτροπάδην, φύλλου τε κτύπος
| κουφότατος δι᾿ ἀέρος φερόμενος τοσαύτην ἀγωνίαν καὶ πτοίαν ἐργάσεται, p. 433 M.

1. 2 συγκρινόμενα — δεινά om. HP[1] (Turn.) 3 ἐν ante αὐτῷ om. A τοῦ δ᾿ codd.: τοῦ δ᾿ ἑτέρου v (Turn.) 4 ἀποδεχομένου A 7 εἴσω παραδυομένου A: εἰσπαραδυομένου HP (v): παρεισδυομένου conieceram 9 καὶ om. Turn. ἀλγηδόνων γένεσιν transp. A 10 τὰ om. P ἀρθρητικὰ L (Turn.) 14 αὐτὸ H[2]: αὐτοὶ AH[1]P 15 πανάπαλοι HP: παράπολοι A συνασκηθεῖσαν coni. Mang. τροφὴν P 17 καὶ μάχαιρα A (καὶ ss. P[2]): μάχαιρα HP (μάχαιρα δ᾿ Turn., μάχαιρα δὲ Mang.) 18 ἐν ἀσφαλείᾳ A 19 προκαταδύντες scripsi: προκαταδύντων codd. 21 εἰ addidi πλησιάζοντες A 22 ἐπ᾿ ἀλήθειαν H: ἐπ᾿ ἀληθείᾳ AP ἀγούσας H[2]: ἀναγούσας H[1]P, ἀλγούσας A 23 ἐνιδρυθήσεται codd.: ἐνιδρυθήσονται Mang. 24 φύλλου codd. (Mang.): φύλλων Turn. τε A, ss. P: om. H (Turn.) 25 πτοίαν] ποίαν A

15 πανάπαλοι Hom. Od. ν 223. 17 Lev. 26,25. 21 sqq. Lev. 26,23. 36.

ὅσην ὁ τραχύτατος πόλεμος ἐκ δυνατωτέρων ἐχθρῶν, ὡς καὶ τέκνα γονέων καὶ γονεῖς τέκνων καὶ ἀδελφοὺς ἀδελφῶν ὑπεριδεῖν, ἐκ μὲν τῆς ἀλλήλων ἐπιβοηθείας ἅλωσιν προσδοκήσαντας, σωτηρίαν δ' ἐκ τοῦ ἑαυτοὺς ἀποδιδράσκειν ἕκαστον. πονηρῶν δὲ ἀνθρώπων ἀτελεῖς ἐλπίδες· 149
μᾶλλον γὰρ ἢ οὐχ ἧττον οἱ διαπεφευγέναι δόξαντες τῶν προκαταληφθέντων ἁλώσονται. κἂν διαλάθωσι μέντοι τινές, ἐφεδρείαν δ' ἕξουσι τῶν φύσει πολεμίων· οὗτοι δέ εἰσιν ἀγριώτατοι θῆρες ἐξ ἑαυτῶν εὐοπλοῦντες, οὓς ὁ θεὸς ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς ἐδημιούργει πρὸς ἀνθρώπων τῶν μὲν δυναμένων νουθετεῖσθαι φόβον τῶν δὲ ἀνιάτως ἐχόντων ἀπαραίτητον δίκην. ἀπιστήσουσι μὲν οἱ θεασάμενοι τὰς αὐτοῖς 150
θεμελίοις ἀναιρεθείσας πόλεις, εἰ πώποτε ᾠκίσθησαν· ἐν εἴδει δὲ παροιμίας θήσονται τὰς ἐκ λαμπρῶν εὐτυχημάτων ἐξαπιναίους κακοπραγίας. ὅσαι καὶ ἀνεγράφησαν καί εἰσιν ἄγραφοι. παρελεύσονται καὶ μέχρι σπλάγχνων 151
αἱ τηκεδόνες ἀθυμίας τε καὶ ἀδημονίας ἐμποιοῦσαι σὺν ἐκθλίψει. ζωὴν ἀνίδρυτον καὶ κρεμαμένην ὥσπερ ἐξ ἀγχόνης ἐργάσονται φόβου διαδοχαὶ μεθ' ἡμέραν τε καὶ νύκτωρ τὴν ψυχὴν ἄνω καὶ κάτω κλονοῦσαι, ὡς πρωίας μὲν ἑσπέραν ἑσπέρας δὲ ὄρθρον εὔχεσθαι διὰ τὰς καὶ ἐγρηγορότων κακώσεις ἐμφανεῖς καὶ κοιμωμένων ἐξ ὀνειράτων ἀποτροπαίους φαντασίας. ὁ μὲν ἔπηλυς ἄνω ταῖς εὐτυχίαις μετέωρος ἀρθεὶς περί- 152
βλεπτος ἔσται, θαυμαζόμενος καὶ μακαριζόμενος ἐπὶ δυσὶ τοῖς καλλίστοις, τῷ τε αὐτομολῆσαι πρὸς θεὸν καὶ τῷ γέρας λαβεῖν οἰκειότατον τὴν ἐν οὐρανῷ τάξιν βεβαίαν, ἣν οὐ θέμις εἰπεῖν, ὁ δ' εὐπατρίδης παρακόψας τὸ νόμισμα τῆς εὐγενείας ὑποσυρήσεται κατωτάτω πρὸς αὐτὸν τάρταρον

1 τραχύτατος A: βραχύτατος H¹P, βαρύτατος H² (v) 3 βοηθείας A προσδοκήσαντας AP: προσδοκήσαντες H (v) 4 ἑαυτοὺς HP: ὡς αὐτοὺς A (Mang.) ἕκαστον A (Mang.): ἕκαστοι HP δὲ A: δ' HP 5 δόξαντες] δόξαις H 6 μέντοι AP: μὲν H (om. Turn.) ἐφεδρείαν A: ἐφεδρίαν HP δ' codd.: om. v 7 ἀγριώτατοι scripsi: ἀγριώτεροι codd. 9 μὲν codd.: μὴ Turn. δ' A 10 μὲν HP: δὲ A (Mang.); μὴ Turn, δὴ coni. Mang. 11 εἰ πώποτε H: ἢ πώποτε P, ἢ εἰ πώποτε A (εἴ ποτε v) 11. 12 παροιμίας θήσονται A: παροιμιασθήσονται HP, παροιμιωθήσονται L (Turn.) 13 εἰσιν] ὅσαι coni. Mang. 14 αἱ τηκεδόνες A: ἄσθμα καὶ τηκεδόνες HP (Turn.); καὶ ἄσθμα post παρελεύσονται (13) add. Mang. (sed cf. eius adnot.) 15 ἀίδρυτον codd. post ἐργάσονται interpung. v 16 νύκτωρ A (Mang.): νύκτα HP κλονοῦσαι Mang.: κλίνουσιν HP, κατακλινοῦσιν A (κλινοῦσιν v) ὡς A: ἕως HP 17 καὶ om. A 18 ἀποτροπαῖον A 20 καὶ μακαριζόμενος om. A 21 τῷ ... τῷ A: τό ... τὸ HP 23 τῆς om. A

2 Lev. 26,37. 7 Lev. 26,22. 10 Lev. 26, 31. 32. 11 sqq. Deut. 28,37. 61. 14 sqq. Deut. 28,66. 67. 19 sqq. Deut. 28,43.

καὶ βαθὺ σκότος ἐνεχθείς, ἵνα ταῦτα ὁρῶντες τὰ παραδείγματα πάντες
ἄνθρωποι σωφρονίζωνται, μανθάνοντες ὅτι τὴν ἐκ δυσγενείας ἀρετὴν
φυομένην θεὸς ἀσπάζεται, τὰς μὲν ῥίζας ἐῶν χαίρειν, τὸ δὲ στελεχωθὲν
ἔρνος, ὅτι μετέβαλεν ἡμερωθὲν πρὸς εὐκαρπίαν, ἀποδεχόμενος.
153 (7.) Οὕτως καθάπερ ὑπὸ πυρὸς δαπανηθεισῶν τῶν πόλεων καὶ
τῆς χώρας ἐρημωθείσης, ἄρξεταί ποτε διαπνεῖν καὶ ἀνακύπτειν ἡ πολλὰ
γυμνασθεῖσα καὶ τραχηλισθεῖσα γῆ πρὸς οἰκητόρων ἀφορήτου βίας, οἳ
τὰς παρθένους | ἑβδομάδας ὑπερορίους καὶ τῆς χώρας καὶ τῆς αὐτῶν p. 434 M.
διανοίας ἀπήλασαν. μόνας γὰρ ἢ τό γε ἀσφαλέστερον εἰπεῖν πρώτας
ἀνέδειξεν ἑορτὰς ἡ φύσις τὰς ἑβδομάδας ἡμερῶν τε καὶ ἐνιαυτῶν, πρὸς
154 ἀνάπαυλαν ἀνθρώποις μὲν τὰς ἡμερῶν, τῇ δὲ χώρᾳ τὰς ἐνιαυτῶν. οἱ
δ' ὅλον τοῦτον παρακαλυψάμενοι τὸν νόμον, τοὺς ἅλας, τὰς σπονδάς,
τὸν ἐλέου βωμόν, τὴν κοινὴν ἑστίαν, ἐξ ὧν φιλία καὶ ὁμόνοια ἡρμόζετο
— πάντα γὰρ δι' ἑβδομάδος καὶ ἑβδομάς —, ἐβάρυναν μὲν ἀνθρώπους
ἀσθενεστέρους οἱ δυνατώτεροι συνεχέσι καὶ ἀδιαστάτοις ἐπιτάγμασιν,
ἐβάρυναν δὲ καὶ τὰς ἀρούρας ἀεὶ κέρδη μεταδιώκοντες ἐκ πλεονεξιῶν
ἄδικα, ταῖς ἐπιθυμίαις ἐφιστάντες ἀχαλίνους καὶ ἀδίκους ὁρμὰς εἰς τὸ
155 ἀκόρεστον. ἀντὶ γὰρ τοῦ παρασχεῖν μὲν ἀνθρώποις, κατὰ τὸν ἀψευ-
δέστατον λόγον ἀδελφοῖς, ὧν μία μήτηρ ἡ κοινὴ φύσις, τὰς προστεταγ-
μένας δι' ἓξ ἡμερῶν ἐκεχειρίας, παρέχειν δὲ καὶ τῇ χώρᾳ τὰς δι' ἓξ
ἐνιαυτῶν ἀνέσεις μήτε σποραῖς μήτε φυτείαις βαρύνοντας, ἵνα μὴ
156 καμάτοις ἐπαλλήλοις ἀπαγορεύσῃ, ἀμελήσαντες τουτωνὶ τῶν χρηστῶν
παραινέσεων εἰς ἡμερότητα προκαλουμένων τὰ μὲν σώματα καὶ τὰς
ψυχὰς ὧν ἐδύναντο πάντων ἀνάγκαις ἀτρύτοις ἐπίεσαν, τῆς βαθυγείου δὲ
τὴν ἰσχὺν ὑπετέμοντο φοραῖς ταῖς ὑπὲρ δύναμιν ἀπλήστως προσοδευόμενοι

2 δυσγενείας Mang.: δυσμενείας codd. 3 φυομένην v (Turn.): φθιομένην H[1]P, φθινομένην H[2], οὐ φθειρομένην A (prob. Mang.) στελεχωθὲν A: στελεχόθεν HP (Turn.) 4 ἡμερωθὲν om. A πρὸς] εἰς A 6 διαναπνεῖν P 7 γυμνωθεῖσα A 8 ἑβδομάδας AH[2]: ἑβδόμας H[1]P αὐτῶν codd. 9 ἀπήλαυσαν P 10 ἀπέδειξεν A 11 pr. τὰς] τῶν H 12 περικαλυψάμενοι A τὰς ἁλιστὰς σπονδάς H 13 ἐλέου A: ἐλαίου HP (Turn.) βωμόν AP: ζωμόν H (Turn.) 14 δι' ἑβδομάδων coni. Mang. 16 κέρδος P 17 ἐφιστάντες scripsi: ἐπιστάντες codd.; ἐπιστήσαντες v ἐς HP (Turn.) 19. 20 προτεταγμένας A 20 ἐκκεχειρίας H παρέχειν H: παρέχει AP; παρασχεῖν coni. Mang. 23 μὲν A: μὲν γὰρ H[1]P, γὰρ expunxit H[2] 24 ἠδύναντο codd. (v) τῆς βαθυγαίου (sic) δὲ A: τῆς δὲ βαθυγείου HP (v) 25 προοδευόμενοι A

5 sqq. Lev. 26,33—35.

καὶ δασμοῖς οὐκ ἐτησίοις μόνον ἀλλὰ καὶ ἐφημέροις ὅλην δι' ὅλων
ἐκτραχηλίζοντες. ὑπὲρ ὧν οἱ μὲν τὰς λεχθείσας ἀρὰς καὶ δίκας ἀνα- 157
πλήσουσιν, ἡ δ' ἐκνευρισθεῖσα χώρα καὶ μυρίας ὑπομείνασα κακώσεις,
ἀποφορτισαμένη τὸ τῶν ἀσεβῶν οἰκητόρων ἄχθος, ἐπελαφρισθήσεται·
καὶ ὅταν ἐν κύκλῳ περιβλεψαμένη μηδένα θεάσηται τῶν καθελόντων
αὐτῆς τὸ μεγαλαύχημα καὶ ἀξίωμα, ἀλλὰ κενὰς μὲν αὐτῆς τὰς ἀγορὰς
θορύβων καὶ πολέμων καὶ ἀδικημάτων, πλήρεις δὲ ἡσυχίας καὶ εἰρήνης
καὶ δικαιοσύνης, ἀνηβήσει καὶ ἐπακμάσει καὶ τοὺς τῶν ἱερῶν ἑβδομάδων
καιροὺς ἑορτώδεις ἠρεμήσει καὶ ἀναπαύσεται συλλεγομένη καθάπερ
ἀθλητὴς προηγωνισμένος δύναμιν. εἶθ' οἷα μήτηρ φιλόστοργος οἰκτιεῖται 158
μὲν υἱοὺς καὶ θυγατέρας οὓς ἀπέβαλεν, οἳ καὶ ἀποθανόντες καὶ ζῶντες
ἔτι μᾶλλον ὀδύναι τοῖς τοκεῦσιν ἐγένοντο· πάλιν δὲ νεάσασα εὐφορήσει
καὶ τέξεται γενεὰν ἀνεπίληπτον, ἐπανόρθωμα τῆς προτέρας· ἡ γὰρ
p. 435 M. ἔρημος, ᾗ φησιν ὁ προφήτης, εὔτεκνός | τε καὶ πολύπαις, ὅπερ λόγιον
καὶ ἐπὶ ψυχῆς ἀλληγορεῖται. πολλὴ μὲν γὰρ ὅταν ᾖ, παθῶν καὶ 159
κακιῶν ἀνάπλεως, οἷα περικεχυμένων αὐτῇ τέκνων, ἡδονῶν, ἐπιθυμιῶν,
ἀφροσύνης, ἀκολασίας, ἀδικίας, ἀσθενεῖ καὶ νοσεῖ καὶ ἐπικήρως ἔχουσα
θανατᾷ, στειρωθεῖσα δὲ καὶ ἀγονήσασα τούτων ἢ καὶ ἀποβαλοῦσα ἀθρόα
γίνεται μὲν ἐκ μεταβολῆς ἁγνὴ παρθένος, παραδεξαμένη δὲ τὸν θεῖον 160
σπόρον διαπλάττει καὶ ζῳογονεῖ περιμαχήτους φύσεις, θαυμαστὰ κάλλη,
φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην, ὁσιότητα, εὐσέβειαν, τὰς
ἄλλας ἀρετάς τε καὶ εὐπαθείας, ὧν οὐ μόνον ἡ γένεσις εὔτεκνος ἀγαθόν,
ἀλλὰ καὶ ἡ προσδοκία τῆς γενέσεως ἐλπίδι προγανοῦσα τὴν ἀσθένειαν.
ἐλπὶς δὲ χαρὰ πρὸ χαρᾶς ἐστιν, εἰ καὶ ἐνδεὴς παρὰ τελείαν, ἀλλά τοι 161

2 ἀρὰς AH²: ἀρετὰς H¹P 3 χώρα om. Turn. 4 ἀσεβῶν om. A ἐπελαφρισθήσεται H²: ἀπελαφρισθήσεται AH¹P 6 alt. αὐτῆς A (coni. Mang.): αὐτοῦ HP ἀγορὰς] ἀγροὺς coni. Mang. 7 ἀδικημάτων καὶ πολέμων transp. A 8 ἐπακμάσει AH²: ἐπακμάζει H¹P 9 ἠρεμίσει H 11 οὓς codd.: ἃς Turn. 12 ὀδύναι τοῖς τοκεῦσιν HP: τοῖς τοκεῦσι πένθος A (Mang.) 13 τῆς προτέρας H¹P: τῆς πρότερον H² (v), om. A ἡ γὰρ] οὐ γὰρ A 14 ἔρημος om. A τε] γε ἡ A 18 ἀτονήσασα (sic) A ἀθρόα codd.: ἀθρόως v 20 περιμαχήτους φύσεις AHP: περιμάχεται φύσεις L; περιμάχητα φύσει v καὶ ante θαυμαστὰ add. Turn. (v), om. codd. 21 ἀνδρίαν A ὁσιότητα om. A 22 εὔτεκνος Mang.: εὔτεκνον codd. 23 προγανοῦσα AP²: προγανῦσα H (Turn.), προγανεῖσα P¹ ἀσθένειαν] διάνοιαν coni. Mang. 24 ἐνδεὲς H¹P παρὰ τελείαν HP: παρατέλεια A

13. 14 cf. Iesai. 54,1 εὐφράνθητι στεῖρα . . ., ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

τῆς ἐπιγινομένης καθ' ἑκάτερα βελτίων, ὅτι τε τὸ αὐχμηρὸν ἀναχαλᾷ
καὶ λιπαίνει τῶν φροντίδων καὶ ὅτι φθάνουσα τὸ μέλλον καὶ πλῆρες
ἀγαθὸν εὐαγγελίζεται.
162 (8.) Τὰς μὲν οὖν ἀρὰς καὶ τιμωρίας, ἃς ὑπομένειν ἄξιον τοὺς τῶν
ἱερῶν νόμων δικαιοσύνης καὶ εὐσεβείας ὑπερορῶντας καὶ ταῖς πολυθέοις
δόξαις ὑπαχθέντας, ὧν ἀθεότης τὸ τέλος, λήθῃ τῆς συγγενοῦς καὶ
πατρίου διδασκαλίας, ἣν ἐκ πρώτης ἡλικίας ἐπαιδεύθησαν τὴν τοῦ ἑνὸς
φύσιν τὸν ἀνωτάτω νομίζειν θεόν, ᾧ δεῖ μόνῳ προσκεκληρῶσθαι τοὺς
ἄπλαστον ἀλήθειαν ἀντὶ πεπλασμένων μύθων μεταδιώκοντας, οὐδὲν
163 ὑποστειλάμενος δεδήλωκα. ἐὰν μέντοι μὴ ἐπ' ὀλέθρῳ δέξωνται τὰς
δυνάμεις μᾶλλον ἢ νουθεσίᾳ καὶ καταιδεσθέντες ὅλῃ ψυχῇ μεταβάλωσι,
κακίσαντες μὲν αὑτοὺς τῆς πλάνης, ἐξαγορεύσαντες δὲ καὶ ὁμολογήσαντες
ὅσα ἥμαρτον καθ' αὑτοὺς διανοίᾳ κεκαθαρμένῃ τὸ πρῶτον εἰς τὸ τοῦ
συνειδότος ἀψευδὲς καὶ ἀνύπουλον, ἔπειτα καὶ γλώττῃ πρὸς βελτίωσιν
τῶν ἀκουόντων, εὐμενείας τεύξονται τῆς τοῦ σωτῆρος καὶ ἵλεω θεοῦ τῷ
γένει τῶν ἀνθρώπων ἐξαίρετον παρασχομένου καὶ μεγίστην δωρεάν, τὴν
πρὸς τὸν αὐτοῦ λόγον συγγένειαν, ἀφ' οὗ καθάπερ ἀρχετύπου γέγονεν
164 ὁ ἀνθρώπινος νοῦς· κἂν γὰρ ἐν ἐσχατιαῖς ὦσι γῆς δουλεύοντες παρὰ
τοῖς αἰχμαλώτους αὐτοὺς ἀπάγουσιν ἐχθροῖς, ὥσπερ ἀφ' ἑνὸς συνθήματος
ἡμέρᾳ μιᾷ πάντες ἐλευθερωθήσονται, τῆς ἀθρόας πρὸς ἀρετὴν μεταβολῆς
κατάπληξιν ἐργασαμένης τοῖς δεσπόταις· μεθήσονται γὰρ αὐτοὺς αἰδε-
165 σθέντες κρειττόνων ἄρχειν. (9.) ὅταν δὲ τύχωσι τῆς ἀπροσδοκήτου
ταύτης ἐλευθερίας, οἱ πρὸ μικροῦ σποράδες ἐν Ἑλλάδι καὶ βαρβάρῳ
κατὰ νήσους καὶ κατὰ ἠπείρους ἀναστάντες | ὁρμῇ μιᾷ πρὸς ἕνα συντε- p. 436 M.
νοῦσιν ἀλλαχόθεν ἄλλοι τὸν ἀποδειχθέντα χῶρον, ξεναγούμενοι πρός
τινος θειοτέρας ἢ κατὰ φύσιν ἀνθρωπίνην ὄψεως, ἀδήλου μὲν ἑτέροις,

1 καθ' ἕτερα A 2 λιπαίνει] λύει coni. Mang. 8 δεῖ] δὴ P 9 μύθων om. A 10 δεδήλωκα H^{2}: δεδήλωκεν $AH^{1}P$ 11 δυνάμεις corruptum; δυσμενείας conicio, ἐπανατάσεις coni. Mang. μεταβάλωσι A: μεταβάλλωσι HP 12 αὑτοὺς H^{2}: αὐτοὺς $AH^{1}P$ 13 καθ' αὑτοὺς A: καθ' αὑτῶν HP, καθ' ἑαυτῶν L (Turn.) 15 τοῦ A: ἐκ τοῦ HP (v) καὶ om. Richt. 16 καὶ om. H (Turn.) τὴν] ταῖς Richt. 16. 17 τὴν πρὸς τὴν αὐτοῦ συγγένειαν (om. λόγον) A 18 ἀνθρώπινος codd.: ἀνθρώπειος v 21 μεθήσονται] μαθήσονται L (Turn.) 22. 23 ἀπροσδοκήτου ταύτης om. A 23 σποράδην A 24 καὶ om. $H^{1}P$ alt. κατὰ om. A 24. 25 συντενοῦσιν Mang.: συν-τείνουσιν codd. 26 ἀνθρωπίνην Mang.: ἀνθρωπίνης codd.

13 sqq. Lev. 26,40. 44. Deut. 30,1—5.

μόνοις δὲ τοῖς ἀνασῳζομένοις ἐμφανοῦς, τρισὶ χρησάμενοι παρακλήτοις 166
τῶν πρὸς τὸν πατέρα καταλλαγῶν, ἑνὶ μὲν ἐπιεικείᾳ καὶ χρηστότητι τοῦ
παρακαλουμένου συγγνώμην πρὸ τιμωρίας ἀεὶ τιθέντος, δευτέρῳ δὲ τῇ
τῶν ἀρχηγετῶν τοῦ ἔθνους ὁσιότητι, ὅτι ταῖς ἀφειμέναις σωμάτων ψυχαῖς
ἄπλαστον καὶ γυμνὴν ἐνδεικνύμενοι πρὸς τὸν ἄρχοντα θεραπείαν τὰς ὑπὲρ
υἱῶν καὶ θυγατέρων ἱκετείας οὐκ ἀτελεῖς εἰώθασι ποιεῖσθαι, γέρας αὐτοῖς
παρέχοντος τοῦ πατρὸς τὸ ἐπήκοον ἐν εὐχαῖς, τρίτῳ δὲ δι᾽ ὃ μάλιστα 167
καὶ ἡ τῶν λεχθέντων εὐμένεια φθάνει προαπαντῶσα, τοῦτο δέ ἐστι
βελτίωσις τῶν ἀγομένων εἰς σπονδὰς καὶ συμβάσεις, οἳ μόλις ἐξ ἀνοδίας
εἰς ὁδὸν ἐδυνήθησαν ἐλθεῖν, ἧς τὸ πέρας οὐδὲν ἕτερον ἢ εὐαρεστεῖν τῷ
θεῷ καθάπερ υἱοὺς πατρί. παραγενομένων δὲ πολισθήσονται πάλιν αἱ 168
ἐρείπιοι γενόμεναι πρὸ μικροῦ καὶ ἡ ἔρημος οἰκισθήσεται καὶ ἡ στει-
ρωθεῖσα γῆ μεταβαλεῖ πρὸς εὐγονίαν· αἵ τε πατέρων καὶ προγόνων
εὐτυχίαι βραχὺ μέρος εἶναι νομισθήσονται διὰ τὰς ἀφθόνους τῶν ἐν
χερσὶ περιουσίας, αἳ καθάπερ ⟨ἀπ᾽⟩ ἀενάων πηγῶν τῶν τοῦ θεοῦ χαρί-
των ῥέουσαι βαθὺν πλοῦτον ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ περιποιήσουσι
φθόνου κρείττονα. μεταβολὴ δὲ πάντων ἐξαπιναίως ἔσται· τρέψει γὰρ 169
ὁ θεὸς τὰς ἀρὰς ἐπὶ τοὺς ⟨τῶν⟩ μετανενοηκότων ἐχθρούς, οἵτινες κακο-
πραγίαις τοῦ ἔθνους ἐφήδοντο κατακερτομοῦντες καὶ ἐπιχλευάζοντες, ὡς
αὐτοὶ μὲν ἀκαθαίρετον ἕξοντες κλῆρον εὐτυχίας, ὃν παισὶ καὶ ἐκγόνοις
κατὰ διαδοχὴν ἀπολείψειν ἤλπισαν, αἰεὶ δὲ ἐποψόμενοι τοὺς ἀντιπάλους
ἐν βεβαίῳ καὶ ἀκλινεῖ δυστυχίᾳ ταμιευθησομένῃ καὶ ταῖς ἔπειτα γενεαῖς,
ὑπὸ φρενοβλαβείας οὐ συνιέντες ὅτι καὶ τῆς πρὸ μικροῦ λαμπρότητος 170
ἀπέλαυσαν οὐ δι᾽ αὑτοὺς ἀλλὰ διὰ νουθεσίαν ἑτέρων, οἷς τὰ πάτρια
καταλύσασι φάρμακον ἀνευρέθη σωτήριον, λύπη, τὰ τῶν δυσμενῶν

1 χρησάμενοι codd.: χρησόμενοι v 3 ante συγγνώμην add. ὃς H^2 (v) τιθέντος AP: τίθεται H (v) δευτέρῳ A: δευτέρου HP 5 ἐνδεικνύμενοι HP (Turn.): ἐνδεικνυμέναις A (ἐπιδεικνυμέναις Mang.) 6 εἰώθασι HP: εἰωθὸς A; ἔθος coni. Mang. αὐτοῖς HP: αὐταῖς A 7 παρέχοντες P ὑπήκοον A τρίτον A 10 ἠδυνήθησαν codd. (v) 11 πολισθήσονται] πόλεις κτισθήσονται coni. Mang. 12 γινόμεναι H^{1}P 15 ἀπ᾽ add. Mang. ἀεννάων codd. (v) τῶν A: om. HP (v) 16 πᾶσι om. A 17 τρέψει H: τρέπει AP 18 ἀρὰς AH^2: ἀρετὰς H^{1}PL (Turn.) τῶν addidi 20 ἀκαθαίρετον] ἀναφαίρετον coni. Mang. κλῆρον Mang.: καιρὸν codd. καιρὸν ἕξοντες transp. A ἐγγόνοις A 21 ἀντιπάλους] ἀεννάους A 22 ταμιευσομένη A 24 ἀπήλαυσαν codd. (v) αὑτοὺς AH^2: αὐτοὺς H^{1}P (ἑαυτοὺς v) 25 ἂν εὑρεθῇ A τὰ codd.: om. v

13. 14 Deut. 30,5. 17. 18 Deut. 30,7.

ἀγαθὰ περιαλγήσασι· κλαύσαντες οὖν καὶ στενάξαντες τὴν ἰδίαν τροπὴν
ἐπὶ τὴν ἀρχαίαν καὶ προγονικὴν ἀνακάμψουσιν εὐτυχίαν διαυλοδρομή-
171 σαντες, οἷς μὴ εἰς ἅπαν ἐξοκεῖλαι συνέβη. οἱ δὲ γελάσαντες τὰς ὀλο-
φύρσεις ἐκείνων καὶ δημοτελεῖς ἑορτὰς ἄγειν ψηφισάμενοι τὰς ἀποφράδας
αὐτῶν καὶ τὰ πένθη κατευωχηθέντες καὶ συνόλως | τὴν ἑτέρων κακοδαι- p. 437 M.
μονίαν εὐδαιμονήσαντες, ὅταν ἄρξωνται κομίζεσθαι τὰ ἐπίχειρα τῆς
ὠμότητος, αἰσθήσονται διότι οὐκ εἰς ἀφανεῖς καὶ ἠμελημένους ἐξημάρ-
τανον, ἀλλ᾽ εἰς εὐπατρίδας ἔχοντας ἐναύσματα τῆς εὐγενείας, ἀφ᾽ ὧν
172 ἀναρριπισθέντων ἐξέλαμψεν ἡ πρὸ μικροῦ σβεσθεῖσα εὔκλεια. καθάπερ
γὰρ ὑποτμηθέντων τῶν στελεχῶν, ὅταν μὴ ἀφαιρεθῶσιν αἱ ῥίζαι, νέα
ἔρνη βλαστάνει, ὑφ᾽ ὧν τὰ γεράνδρυα παρευημερεῖται, τὸν αὐτὸν τρόπον
καὶ ἐν ψυχαῖς βραχυτάτου σπέρματος τῶν εἰς ἀρετὴν ὑπολειφθέντος,
ἄλλων περιαιρεθέντων, οὐδὲν ἧττον ἀπὸ τοῦ βραχέος φύεται τὰ τιμιώ-
τατα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, δι᾽ ἃ πάλιν εὐανδροῦσαι [αἱ]
πόλεις συνοικίζονται καὶ ἔθνη πρὸς πολυανθρωπίαν ἐπιδίδωσιν.

3 ἐξοκεῖλαι A: ἐξωκεῖλαι HP (Turn.) γελάσαντες HP: τελέσαντες A 4 ἀποφράδας HP: ἀποσφραγῖδας A 5 τὴν] τῆς P 6 εὐδαιμονίσαντες Turn. κομίζειν A τἀπίχειρα HP 7 διότι] ὅτι conicio 8 ἐναύσματα HP: ἀναβάσματα A 9 σβεσθεῖσα HP: συνεθισθεῖσα A 10 τῶν om. HP (Turn.) μὴ om. H[1]P 11 βλαστάνει scripsi: βλαστάνουσιν codd. τὰ μελάνδρυα A. 12 βραχυτάτου σπέρματος A: βραχύτατον σπέρμα HP (βραχυτάτων σπερμάτων Turn.) ὑπολειφθέντος A: ὑπολειφθέντων HP (Turn.) 13 περαιωθέντων A 14 αἱ seclusi 15 συνοικίζονται om. A ἐπιδιδόασιν A

PHILONIS OPERA

PHILONIS ALEXANDRINI

OPERA QVAE SVPERSVNT

EDIDERVNT

LEOPOLDVS COHN ET PAVLVS WENDLAND

VOL. VI

CONTINENS QVOD OMNIS PROBVS LIBER SIT
DE VITA CONTEMPLATIVA
DE AETERNITATE MVNDI
IN FLACCVM
LEGATIO AD GAIVM

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMXV

PHILONIS ALEXANDRINI

OPERA QVAE SVPERSVNT

VOL. VI

EDIDERVNT

LEOPOLDVS COHN ET SIGOFREDVS REITER

BEROLINI

TYPIS ET IMPENSIS GEORGII REIMERI

MCMXV

πρότερον οὐδὲ εἷς ζητεῖ· μυρίαι γὰρ αἱ ἀνθρώπων τύχαι, καὶ πολλοὶ
πολλάκις καιροῖς ἀβουλήτοις τῶν σφόδρα ἀστείων τὴν ἐκ γένους ἀπέβαλον
ἐλευθερίαν· ἀλλ' ἔστιν ἡ σκέψις περὶ τρόπων, οὓς οὔτ' ἐπιθυμίαι οὔτε
φόβοι οὔθ' ἡδοναὶ οὔτε λῦπαι κατέζευξαν, ὥσπερ ἐξ εἱρκτῆς προεληλυθότων
καὶ δεσμῶν οἷς ἐπεσφίγγοντο διαφειμένων. ἀνελόντες οὖν ἐκποδὼν τὰς 19
προφασιστικὰς εὑρεσιλογίας καὶ τὰ φύσεως μὲν ἀλλότρια δόξης δ' ἠρτημένα
ὀνόματα οἰκοτρίβων ἢ ἀργυρωνήτων ἢ αἰχμαλώτων τὸν ἀψευδῶς ἐλεύθερον
ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι, κἂν μυρίοι γράφωσι
δεσπότας ἑαυτούς. ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον οὐδὲν τῶν
πυθοχρήστων διαφέρον·

„θεὸς ἐμὸς ἄρχων, θνητὸς δ' οὐδείς".

τῷ γὰρ ὄντι μόνος ἐλεύθερος ὁ μόνῳ θεῷ χρώμενος ἡγεμόνι, κατ' ἐμὴν δὲ 20

1 εὐσκόπως] εὐκόλως F   ἐφαρμόττομεν M, ἐφαρμόσωμεν AQT   δουλεία μὲν τοίνυν M   2 ψυχῶν] ψυχῆς HP (Turn.)   3 κακίαι M: κακία ceteri (Turn.)   καταυτὰ M (κατὰ ταὐτὰ scripsi): κατὰ ταὐτὸν F, κατὰ τὰ αὐτὰ ceteri (v)   ἐλευθερίαι M (ἐλευθερία scripsi): ἡ ἐλευθερία ceteri (v)   4 σωμάτων] σώμασιν M   ἀπ'] ἐπ' F   δυνατωτέρων] σωμάτων δυνατωτέρων H (v)   5 ἐκκεχειρίαν APQT   δυναστείας] διανοίας HP (Turn.), δυναστείας mg P   οὖν] δὴ M   6 μυρίων AQT   αἱ M: om. ceteri (v)   τύχαι M: ψυχαὶ ceteri (Turn.)   πολλοῖς F   7 καιροῖς] καὶ τοῖς QT   σφόδρ' FGH   8 σκῆψις HP, post σκέψις add. τούτων F   9 οὔτε ἡδοναὶ M   εἰρκτῆς MPT   10 ἐκποδὼν] ἐκ ποδῶν FG, ἐκ προγόνων M   11 προφητικὰς G; σοφιστικὰς coni. Mang.   εὑρεσιλογίας] ἐλευθερίας H mg P (v)   εὑρησιλογίας G   12 ἢ ἀργυρωνήτων ἢ M: καὶ ἀργυρωνήτων (om. altero ἢ) ceteri (Turn.)   13 ἐπιζητῶμεν AQT   14 ἀναφθέγγεται F   14. 15 τῶν πυθοχρήστω A   16 ἐμὸς codd.: ἐμοὶ v   θνητὸς] θνητῶν HP (v)   δ' MA: δὲ ceteri (v)   οὐδείς AQT: οὐδὲ εἷς ceteri (v)   17 μόνῳ] μόνος QT   δὲ om. QT

1 sqq. *Ambros. Epist. 37, 24* ... gemina enim servitus est, altera corporis, animarum altera: domini autem corporis quidem homines, animarum autem malitiae et passiones, a quibus sola animi libertas sapientem vindicat, ut servitio ei liceat exire.
13 Philo de post. Caini § 138 τοῦτο δ' ἐστὶ τὸ δογματικώτατον (τὸ δόγμα τὸ Στωικὸν coni. Wendl.), ὅτι ὁ σοφὸς μόνος ἐλεύθερός τε καὶ ἄρχων, κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας.   14 sqq. *Ambros. Epist. 37, 28* Quis est qui Sophoclea in medium ferat carmina dicentia: „Iupiter mihi praeest, nullus autem hominum?"   16 Soph. frg. 688, 3 ap. Arist. Eth. Eud. 7, 10 p. 1242ᵃ 37, ubi Ζεὺς ἐμὸς ἄρχων. fortasse etiam Philo Ζεὺς scripsit, si quidem Ambrosius Philonem transscribens vertit *Iupiter.*

διάνοιαν καὶ τῶν ἄλλων ἡγεμών, ἐπιτετραμμένος τὰ περίγεια, οἷα μεγάλου βασιλέως, θνητὸς ἀθανάτου, διάδοχος. ἀλλ' ὁ μὲν περὶ ἀρχῆς τοῦ σοφοῦ λόγος εἰς καιρὸν ἐπιτηδειότερον ὑπερκείσθω, τὸν δὲ περὶ
21 ἐλευθερίας τὰ νῦν ἀκριβωτέον. εἰ δή τις εἴσω προελθὼν τῶν πραγμάτων ἐθελήσειε διακύψαι, γνώσεται σαφῶς, ὅτι οὐδὲν ἄλλο ἄλλῳ συγγενὲς οὕτως, ὡς αὐτοπραγία ἐλευθερίᾳ, διότι πολλὰ μὲν τῷ φαύλῳ τὰ ἐμποδών, φιλαργυρία, φιλοδοξία, φιληδονία, τῷ δ' ἀστείῳ τὸ παράπαν οὐδέν, ἐπανισταμένῳ καὶ ἐπιβεβηκότι καθάπερ ἐν ἄθλων ἀγῶνι τοῖς
22 καταπαλαισθεῖσιν, ἔρωτι, φόβῳ, δειλίᾳ, λύπῃ, τοῖς ὁμοιοτρόποις. ἔμαθε γὰρ ἀλογεῖν ἐπιταγμάτων, ὅσα οἱ ψυχῆς παρανομώτατοι ἄρχοντες ἐπιτάττουσι, διὰ ζῆλον καὶ πόθον ἐλευθερίας, ἧς τὸ αὐτοκέλευστον καὶ ἐθελουργὸν κλῆρος ἴδιος. ἐπαινεῖται παρά τισιν ὁ τὸ τρίμετρον ἐκεῖνο ποιήσας

„τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;"

ὡς μάλα συνιδὼν τὸ ἀκόλουθον· ὑπέλαβε γάρ, ὅτι οὐδὲν οὕτως δουλοῦσθαι

1 διάνοιαν] γνώμην vel ἔννοιαν coni. Mang. τῶν] τὴν H² (Turn.) ἡγεμών M: ἡγεμονίαν ceteri (Turn.) ἐπιτετραμένος M τῶν περιγείων H² (Turn.) 2 ἀρχῆς] τῆς ἀρχῆς HP (v) 3 τοῦ σοφοῦ M: om. ceteri (Turn.) ἐπιτηδειότατον A ὑποκείσθω QT 4—6 τὰ νῦν — ἐλευθερίᾳ om. QT 4 τὰ νῦν] τὰ om. P 5 ἄλλῳ om. MA 6 εὐγενὲς A οὕτως om. M ἐλευθερίας A τῶν φαύλων M 7 καὶ φιληδονία F 8 ἐπανισταμένω M: ἐπανεσταλμένω FGHP, ἐπανεσταλμένον AQT καὶ ἐπιβεβηκότι MF: κατεπιβεβηκότι ceteri ἄθλων] ἀθλητῶν conicio, cf. 8, 5 ἐν ἀγῶνι παγκρατιαστῶν ἀγῶνι τοῖς] ἀγωνιστοῖς L; ἀγωνισταῖς v 9 ὁμοτρόποις M 10 ἀλογεῖν] ἄλλο F 11 ἧς] οἷς A 12 τὸ τρίμετρον] τὸ τριμερὲς QT, τὸ τρίτον μέρος G τὸ om. Mang. 13 τίς δ' ἐστὶ scripsi (cf. testim.): τίς γάρ ἐστι codd.; τίς ἔστι v ὤν om. AQT 14 ἀπέλαβε T οὕτως M: οὕτω ceteri (v)

6 cf. Diog. La. VII 121 εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας, τὴν δὲ δουλείαν στέρησιν αὐτοπραγίας. 7 cf. Plut. Stoic. repugn. 33 οὐδεὶς γὰρ φύεται ἀνθρώποις πόλεμος ἄνευ κακίας· ἀλλὰ τὸν μὲν φιληδονία, τὸν δὲ πλεονεξία, τὸν δὲ φιλοδοξία τις ἢ φιλαρχία συρρήγνυσιν. 8 *Ambros. Epist. 37,30* ... insurgit enim sapiens quasi victor debellatis a se ac triumphatis libidini, timori, ignaviae, maestitudini ceterisque vitiis, donec ea de possessione suae mentis eliminet et omnibus terminis finibusque suis propulset atque arceat. 10 cf. *Cic. Parad. V 1* refrenet primum libidines, ... ceteras animi labes repellat, tum incipiat aliis imperare, cum ipse improbissimis dominis, dedecori ac turpitudini, parere desierit. *Seneca Epist. 37,4* humilis res est stultitia, abiecta, sordida, servilis, multis affectibus et saevissimis subiecta. hos tam graves dominos, interdum alternis imperantes interdum pariter, dimittit a te sapientia, quae sola libertas est. 13 Eur. frg. 958 laud. a Chrysippo ap. Plut. de aud. poet. 13 τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν. cf. Plut. de consol. ad Apollon. 10. Clem. Alex. Strom. IV 7 p. 586 P. Cic. ad Att. IX 2ª,2. 14 cf. Epict. Diss. III 26, 38 ἆρ' οὖν ἐνθυμῇ, ὅτι κεφάλαιον τοῦτο πάντων τῶν κακῶν τῷ ἀνθρώπῳ καὶ ἀγεννείας καὶ δειλίας οὐ θάνατός ἐστι, μᾶλλον δ' ὁ τοῦ θανάτου φόβος;

πέφυκε διάνοιαν, ὡς τὸ ἐπὶ θανάτῳ δέος, ἕνεκα τοῦ πρὸς τὸ ζῆν ἱμέρου. (4.) χρῆν δὲ λογίσασθαι, ὅτι οὐχ ὁ τοῦ θανεῖν μόνον ἄφροντις ὢν 23 ἀδούλωτος, ἀλλὰ καὶ ὁ τοῦ πένεσθαι καὶ ἀδοξεῖν καὶ ἀλγεῖν καὶ τῶν p. 449 M. ἄλλων ὅσα οἱ πολλοὶ κακὰ νομίζουσι, κακοὶ τῶν | πραγμάτων ὄντες αὐτοὶ κριταί, οἵτινες ἐκ τῶν χρειῶν δοκιμάζουσι τὸν δοῦλον εἰς τὰς ὑπηρεσίας ἀφορῶντες, δέον εἰς τὸ ἀδούλωτον ἦθος. ὁ μὲν γὰρ ἀπὸ ταπεινοῦ καὶ 24 δουλοπρεποῦς φρονήματος ταπεινοῖς καὶ δουλοπρεπέσι παρὰ γνώμην ἐγχειρῶν τὴν ἑαυτοῦ δοῦλος ὄντως· ὁ δὲ πρὸς τὸν παρόντα καιρὸν ἁρμοζόμενος τὰ οἰκεῖα καὶ ἑκουσίως ἅμα καὶ τλητικῶς ἐγκαρτερῶν τοῖς ἀπὸ τύχης καὶ μηδὲν καινὸν τῶν ἀνθρωπίνων εἶναι νομίζων, ἀλλ' ἐξητακὼς ἐπιμελῶς, ὅτι τὰ μὲν θεῖα αἰωνίῳ τάξει καὶ εὐδαιμονίᾳ τετίμηται, τὰ δὲ θνητὰ πάντα σάλῳ καὶ κλύδωνι πραγμάτων διαφερόμενα πρὸς ἀνίσους ῥοπὰς ταλαντεύει, καὶ γενναίως ὑπομένων τὰ συμπίπτοντα φιλόσοφος εὐθύς ἐστι καὶ ἐλεύθερος. ὅθεν οὐδὲ παντὶ τῷ προστάττοντι ὑπακούσεται, κἂν αἰκίας 25 καὶ βασάνους καί τινας φοβερωτάτας ἀπειλὰς ἐπανατείνηται, νεανιευσάμενος δὲ ἀντικηρύξει·

---

1 πέφυκεν εἰς διάνοιαν QT τὸ MF²H²: om. ceteri 2 χρῆν MFAQT: χρὴ GHP (v) λογίσασθαι M: λελογίσθαι ceteri (v) οὐ τοῦ θανεῖν (om. ὁ) AQT ὢν M: ὁ QT, om. ceteri (Turn.) 4 κακὰ νομίζουσι] κακίζουσι M 5 χρειῶν] τριῶν AQT 6 ἀπὸ τοῦ ταπεινοῦ Q 9 καὶ ἑκουσίως M: καὶ om. ceteri (Turn.) ἑκούσια F 10 τῶν ἀνθρωπίνων M: ἀπ' ἀνθρώπων ceteri (v) 12 διαφερόμενα] φερόμενα G 13 εὐθύς ἐστι Mang.: om. M, εὐθὺς T, εὐθύς τε ceteri (v) 14 προστάσσοντι G 15 φοβερωτάτας M: φοβερωτέρας ceteri (v) νεανιευσάμενος M: νεανιευόμενος ceteri (v) 16 δ' M ἀντικηρύττει F

---

6. 7 cf. *Cic. Parad. V 1, 35* non enim ita dicunt eos esse servos, ut mancipia, ... sed si servitus sit, sicut est, oboedientia fracti animi et abiecti et arbitrio carentis suo.
8 sqq. cf. *Cic. Tusc. III 30* et nimirum haec est illa praestans et divina sapientia et perceptas penitus et pertractatas res humanas habere, nil admirari cum acciderit, nihil antequam evenerit non evenire posse arbitrari. *V 81* sapientis est enim proprium nihil quod paenitere possit facere, ... nihil ita exspectare quasi certo futurum, nihil cum acciderit admirari, ut inopinatum ac novum accidisse videatur, omnia ad suum arbitrium referre, suis stare iudiciis. *Seneca Epist. 91,15* itaque formetur animus ad intellectum patientiamque sortis suae et sciat nihil inausum esse fortunae. Diog. La. VII 123 ἔτι τε τὸν σοφὸν οὐδὲν θαυμάζειν τῶν δοκούντων παραδόξων.
11. 12 cf. *Cic. de nat. deor. II 56* nulla igitur in caelo nec fortuna nec temeritas nec erratio nec vanitas est, contraque omnis ordo, veritas, ratio, constantia; quaeque his vacant, ementita et falsa plenaque erroris, ea circum terras infra lunam, quae omnium ultima est, in terrisque versantur.

„ὄπτα, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς οὐρανόν,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.“

26 (5.) ἤδη ποτ' εἶδον ἐν ἀγῶνι παγκρατιαστῶν τὸν μὲν ἐπιφέροντα
τὰς πληγὰς καὶ χερσὶ καὶ ποσὶ καὶ πάσας εὐσκόπως καὶ μηδὲν παρα-
λελοιπότα τῶν εἰς τὸ νικᾶν ἀπειρηκότα καὶ παρειμένον καὶ πέρας ἀστε-
φάνωτον ἐξελθόντα τοῦ σταδίου, τὸν δὲ τυπτόμενον, ὑπὸ πυκνότητος
σαρκῶν πεπιλημένον, στρυφνόν, ναστόν, ὄντως γέμοντα πνεύματος ἀθλητικοῦ,
δι' ὅλων νενευρωμένον, οἷα πέτραν ἢ σίδηρον, οὐδὲν μὲν πρὸς τὰς πληγὰς
ἐνδόντα, τὴν δὲ τοῦ ἀντιπάλου δύναμιν τῷ καρτερικῷ καὶ παγίῳ τῆς
27 ὑπομονῆς καθῃρηκότα μέχρι παντελοῦς νίκης. ὅμοιον δή τι τούτῳ
πεπονθέναι μοι δοκεῖ ὁ ἀστεῖος· τὴν γὰρ ψυχὴν εὖ μάλα κραταιωθεὶς
ἰσχυρογνώμονι λογισμῷ θᾶττον ἀναγκάζει τὸν βιαζόμενον ἀπειπεῖν ἢ
ὑπομένει τι δρᾶσαι τῶν παρὰ γνώμην. ἀλλ' ἄπιστον ἴσως τοῖς μὴ πεπον-
θόσιν ἀρετὴν τὸ λεγόμενον· καὶ γὰρ ἐκεῖνο τοῖς τοὺς παγκρατιαστὰς οὐκ
28 εἰδόσι, γέγονε δ' οὐδὲν ἧττον ἐπ' ἀληθείας. εἰς ταῦτα δ' ἀπιδὼν 'Αντι-

1 ὄπτα codd. (sic etiam Artemid. IV 59): πίμπρα H² (v) κάτεσθε M (κατέσθιε Artemid.) σάρκα Q 2 κελαινὸν] ἐρεμενὸν (sic, pro ἐρεμνὸν) M πρόσθεν FAQT 3 εἶσιν] εἰσὶν M ἄστρα] ἄκρα F καὶ γῆ PAQT δ' scripsi: τ' codd. (v) ἄνεισ' FG: ἄνεισιν M, ἄνω HP (v), ἂν AQT ἐς M: εἰς ceteri (v) οὐρανόν] αἰθέρα mg F²; cf. § 99 4 θῶπα MAQ ἀπαντλῆσαι A 5 πότ' codd.: ποτὲ v 6 καὶ ante πάσας secludit Wendl. εὔσκοπον (ως supra) F μηδὲν] μὲν δὴ AQT 7 τῶν] τὸν AQT post νικᾶν add. τεταγμένον QT καὶ παρειμένον om. HP (Turn.) 10 δι' ὅλων MFAQT: δι' ὅλου GHP (v); ὅλον δι' ὅλων coni. Mang. οἷον AQT πέτραν M: πέτρον ceteri (v) ἢ codd.: καὶ v 11 ἐνδιδόντα AQT τοῦ om. F καρτερικῷ MF: καρτερῷ GHP (v), κρατερῷ AQT 12 παντελῶς F² δή τι MGAQT: τι om. FHP (Turn.) τοῦτο A 14 βιαζόμενον M: βιασάμενον ceteri (Turn.) 15 ὑπομένει GAQT: ὑπομένειν MFHP; ἀναγκάσει et ὑπομενεῖ coni. Mang. δράσειν M δρᾶσαι τῶν om. AQT, τῶν om. F 16 ἀρετῇ M; πεπονθόσι πρὸς ἀρετὴν coni. Mang., προσπεπονθόσιν ἀρετῇ Wilamowitz λεγόμενον] γινόμενον QT ἐκεῖνο MFGH¹P: καὶ ἐκεῖνο H² (Turn.), κἀκεῖνο AQT (Mang.) παγκρατιαστῶν (in ras.) F 17 εἰδόσι codd.: ἰδοῦσι v γέγονε δ'] γέγονεν M alterum δ'] δὲ M post ἀπιδὼν add. καὶ mg F

1 sqq. Eur. frg. 687. 5 sqq. cf. *Seneca de const. sap. 9,5* sic in certaminibus sacris plerique vicerunt caedentium manus obstinata patientia fatigando: ex hoc puta genere sapientem eorum, qui exercitatione longa ac fideli robur perpetiendi lassandique omnem inimicam vim consecuti sunt. *de ira II 14, 2* nec est difficile vincere animum, cum athletae quoque in vilissima sui parte occupati tamen ictus doloresque patiantur, ut vires caedentis exhauriant.

σθένης δυσβάστακτον εἶπεν εἶναι τὸν ἀστεῖον· ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον καὶ φερόμενον, ⟨οὕτως⟩ ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος ἔχον ἀσάλευτον. ὁ δὲ δὴ τῶν Ἰουδαίων νομοθέτης τὰς τοῦ σοφοῦ 29
p. 450 M. χεῖρας | βαρείας εἰσάγει (Exod. 17, 12), διὰ συμβόλων τὰς πράξεις αἰνιττόμενος οὐκ ἐπιπολαίως ἀλλὰ παγίως ἐρηρεισμένας ἀπὸ διανοίας ἀρρεποῦς. πρὸς οὐδενὸς οὖν ἀναγκάζεται, ἅτε καταπεφρονηκὼς μὲν ἀλγηδόνων, 30
καταπεφρονηκὼς δὲ θανάτου, νόμῳ δὲ φύσεως ὑπηκόους ἔχων ἅπαντας ἄφρονας· ὅνπερ γὰρ τρόπον αἰγῶν μὲν καὶ βοῶν καὶ προβάτων αἰπόλοι καὶ βουκόλοι καὶ νομεῖς ἀφηγοῦνται, τὰς δ' ἀγέλας ἀμήχανον ἐπιτάξαι ποιμέσι, τὸν αὐτὸν τρόπον οἱ μὲν πολλοὶ θρέμμασιν ἐοικότες ἐπιστάτου καὶ ἄρχοντος δέονται, ἡγεμόνες δ' εἰσὶν οἱ ἀστεῖοι τὴν τῶν ἀγελαρχῶν τεταγμένοι τάξιν. Ὅμηρος μὲν οὖν „ποιμένας λαῶν" εἴωθε καλεῖν τοὺς 31
βασιλέας, ἡ δὲ φύσις τοῖς ἀγαθοῖς κυριώτερον τουτὶ τοὔνομα ἐπεφήμισεν, εἴ γε ἐκεῖνοι ποιμαίνονται τὸ πλέον ἢ ποιμαίνουσιν — ἄκρατος γὰρ αὐτοὺς ἄγει καὶ εὐμορφία πέμματά τε καὶ ὄψα καὶ τὰ μαγείρων καὶ σιτοποιῶν ἡδύσματα, ἵνα τὰς ἀργύρου καὶ χρυσοῦ καὶ τῶν σεμνοτέρων ἐπιθυμίας παραλείπω —, τοῖς δ' ὑπ' οὐδενὸς συμβέβηκε δελεάζεσθαι, νουθετεῖν δὲ καὶ ὅσους ἂν αἴσθωνται πάγαις ἡδονῆς ἁλισκομένους.

2 οὕτως addidi   ἐρηρϊσμένον[ει] A, ἐρηρεισμένη HP   ἀκλινὴς HP
5 ἐρηρϊσμένας[ει] A   ἀπὸ] ὑπὸ QT   7 ἅπαντας M: πάντας ceteri (v)
8 ὅνπερ] ὃν Q   9 τὰς] τούτων F   δὲ M   10 ante τὸν αὐτὸν τρόπον add. καὶ v, om. codd.   τὸν αὐτὸν τρόπον om. F   11 τὴν om. M
13 βασιλεῖς AQT   κυριώτερόν τι ante τοῖς ἀγαθοῖς transp. AQT   τουτὶ M: τι ceteri   τοὔνομα ἐπευφήμισε H, ἐπευφήμησε τοὔνομα QT   14 εἴ γε MT: εἶτ' FGHP, εἰτ' A, εἰτ' corr. in εἴγ' Q   ποιμαίνοντα A   τὸ om. M
15 αὐτοὺς] αὐτὸς Turn.   18 post δὲ add. μᾶλλον G (Mang.)   καὶ ⟨κολάζειν⟩ coni. Wilamowitz   ἂν] ἐὰν M   πάγαις ἡδονῆς] πάσαις ἡδοναῖς AQT

---

1 Antisth. frg. 74 Mullach.   4 Exod. 17, 12 αἱ δὲ χεῖρες Μωυσῆ βαρεῖαι. cf. Leg. alleg. III § 45.   12 Hom. Il. A 263 al.   13 cf. Diog. La. VII 122 οὐ μόνον δ' ἐλευθέρους εἶναι τοὺς σοφοὺς ἀλλὰ καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη, καθά φησι Χρύσιππος κτλ. Stob. Ecl. II 7, 11[m] καὶ μόνον εἶναι τὸν σοφὸν βασιλέα τε καὶ βασιλικόν, τῶν δὲ φαύλων μηδένα· τὴν γὰρ βασιλείαν ἀρχὴν ἀνυπεύθυνον εἶναι καὶ τὴν ἀνωτάτω καὶ τὴν ἐπὶ πάσαις. *Cic. de rep. I 51* quodsi liber populus deliget, quibus se committat, deligetque ... optimum quemque, certe in optimorum consiliis posita est civitatium salus, praesertim cum hoc natura tulerit, non solum ut summi virtute et animo praeessent imbecillioribus, sed ut hi etiam parere summis velint. Epict. Diss. I 29, 13 διὰ τοῦτο καὶ ὁ τοῦ θεοῦ νόμος κράτιστός ἐστι καὶ δικαιότατος· τὸ κρεῖσσον ἀεὶ περιγινέσθω τοῦ χείρονος.

32 (6.) Ὅτι δ' οὐχ αἱ ὑπηρεσίαι μηνύματ' εἰσὶ δουλείας, ἐναργεστάτη
πίστις οἱ πόλεμοι· τοὺς γὰρ στρατευομένους ἰδεῖν ἔστιν αὐτουργοὺς ἅπαν-
τας, οὐ μόνον τὰς πανοπλίας κομίζοντας, ἀλλὰ καὶ ὅσα πρὸς τὴν ἀναγκαίαν
χρῆσιν ὑποζυγίων τρόπον ἐπηχθισμένους, εἶτ' ἐφ' ὑδρείαν ἐξιόντας καὶ
33 φρυγανισμὸν καὶ χιλὸν κτήνεσι. τὰ γὰρ πρὸς τοὺς ἐχθροὺς ἐν ταῖς
στρατείαις τί δεῖ μακρηγορεῖν, τάφρους ἀνατεμνόντων ἢ τείχη κατασκευα-
ζόντων ἢ τριήρεις ναυπηγουμένων ἢ ὅσα ὑπουργίας ἢ τέχνης πάντα
34 χερσὶ καὶ τῷ ἄλλῳ σώματι ὑπηρετούντων. ἔστι δέ τις καὶ κατ' εἰρήνην
πόλεμος τῶν ἐν τοῖς ὅπλοις οὐκ ἀποδέων, ὃν ἀδοξία καὶ πενία καὶ δεινὴ
σπάνις τῶν ἀναγκαίων συγκροτοῦσιν, ὑφ' οὗ βιασθέντες ἐγχειρεῖν καὶ τοῖς
δουλοπρεπεστάτοις ἀναγκάζονται, σκάπτοντες, γεωπονοῦντες, βαναύσους
ἐπιτηδεύοντες τέχνας, ὑπηρετοῦντες ἀόκνως ἕνεκα τοῦ παρατρέφεσθαι,
πολλάκις δὲ καὶ κατὰ μέσην ἀγορὰν ἀχθοφοροῦντες ἐν ἡλικιωτῶν καὶ
35 συμφοιτητῶν καὶ συνεφήβων ὄψεσιν. ἕτεροι δ' εἰσὶν ἐκ γένους δοῦλοι
τὰ τῶν ἐλευθέρων εὐμοιρίᾳ τύχης μετιόντες· ἐπίτροποι γὰρ οἰκιῶν καὶ
κτημάτων καὶ μεγάλων οὐσιῶν, ἔστι δ' ὅτε καὶ τῶν ὁμοδούλων ἄρχοντες
καθίστανται, πολλοὶ δὲ καὶ γυναῖκας καὶ παῖδας ὀρφανοὺς δεσποτῶν
ἐπετράπησαν, φίλων καὶ συγγενῶν προκριθέντες εἰς πίστιν· ἀλλ' ὅμως
εἰσὶ δοῦλοι, δανείζοντες, ὠνούμενοι, προσόδους ἐκλεγόμενοι, θεραπευό-
36 μενοι. τί οὖν θαυμαστόν, εἰ καὶ κατὰ τοὐναντίον ὀλίσθῳ τις εὐτυχίας | p.451 M.
δουλικὰς χρείας ἐπιτελεῖ; τὸ δ' ὑπακούειν ἑτέρῳ τὴν ἐλευθερίαν ἀφαιρεῖται.
καὶ πῶς πατρὸς μὲν ἢ μητρὸς ἐπιταγμάτων παῖδες ἀνέχονται, γνώριμοι
δὲ ὧν ὑφηγηταὶ διακελεύονται; δοῦλος γὰρ ἑκὼν οὐδείς. οἵ γε μὴν

1 paragraphos 32—40 hoc loco seclusit et ante paragraphum 147 transponendas esse censuit Massebieau   αἱ om. M   μηνύματα M   ἐναργεστάτη om. M   4 εἶτ' codd.: ἅτ' H[2] (v)   εἶτ' ἐφ' ὑδρείαν om. in ras. F   ὑδρίαν M   5 post ἐχθροὺς add. αὐτῶν M (fortasse addendum post τάφρους l. 6)   5. 6 ἐν τῇ στρατείᾳ F   6 ἀνατεμνόντων] ἀνορυττόντων in ras. F[2]   8 τῷ ἄλλῳ] τῷ ὅλῳ coni. Mang.   9 τοῖς ὅπλοις M: τοῖς om. ceteri (Turn.)   10 ἀφ' οὗ M   ἐγχειρεῖν καὶ τοῖς] ἐγχειροῦσι καίτοι FGH[1]P   12 ἐπιτηδεύοντας A   ὑπηρετοῦντες ἀόκνως M: om. ceteri (Turn.)   παρατρέφεσθαι MG: περιτρέφεσθαι FAHP, τρέφεσθαι QT   13 δὲ om. FGHP (Turn.)   14 καὶ συνεφήβων om. G   ἅτεροι Q   δ' om. T   15 μετιόντες] ἐπιόντες QT   15. 16 καὶ κτημάτων M: καὶ om. ceteri (v)   16 τῶν ὁμοδούλων M: τῶν om. ceteri (v)   19 προσόδους] παρόδους QT   20 εἰ καὶ M: καὶ om. ceteri (Turn.)   τις GHQT (coni. Mang.): τῆς MFAP (v)   ἀτυχίας AQT   21 ἐπιτελεῖν M   τὸ codd.: τῷ H[2] (v)   ἑτέρῳ MQT: ἑτέρων ceteri (v)   23 δ' M   ὧν M: ὧν ἂν ceteri (v)   ὑφηγηταὶ Mang.: ἀφηγοῦνται M, ὑφηγῶνται ceteri   διακελεύονται codd.: διακελεύωνται v

τοκέες οὐ τοσαύτην ὑπερβολὴν ἐπιδείξονταί ποτε μισοτεκνίας, ὥσθ' ἃ
μόνα σύμβολα δουλείας ἐστί, τὰς ὑπηρεσίας, ἀναγκάσαι ἂν παῖδας τοὺς
ἑαυτῶν ὑπομένειν. εἰ δέ τινας ὑπ' ἀνδραποδοκαπήλων ἐπευωνιζομένους 37
ἰδών τις οἴεται δούλους εὐθὺς εἶναι, πολὺ διαμαρτάνει τῆς ἀληθείας·
οὐ γὰρ ἡ πρᾶσις ἢ κύριον ἀποφαίνει τὸν πριάμενον ἢ τὸν πραθέντα
δοῦλον, ἐπεὶ καὶ πατέρες υἱῶν τιμὰς κατέθεσαν καὶ υἱοὶ πολλάκις πατέρων
ἢ κατὰ λῃστείας ἀπαχθέντων ἢ κατὰ πόλεμον αἰχμαλώτων γενομένων,
οὓς οἱ τῆς φύσεως νόμοι τῶν κάτωθεν ὄντες βεβαιότεροι γράφουσιν
ἐλευθέρους. ἤδη δέ τινες καὶ προσυπερβάλλοντες εἰς τοὐναντίον περι- 38
ήγαγον τὸ πρᾶγμα, δεσπόται γενόμενοι τῶν πριαμένων ἀντὶ δούλων· ἔγωγ'
οὖν ἐθεασάμην πολλάκις εὔμορφα παιδισκάρια καὶ φύσει στωμύλα δυσὶν
ὁρμητηρίοις, ὄψεως κάλλει καὶ τῇ περὶ λόγους χάριτι, πορθοῦντα τοὺς
κεκτημένους· ἑλεπόλεις γὰρ ταῦτα ψυχῶν ἀνιδρύτων καὶ ἀνερματίστων,
μηχανημάτων ἁπάντων ὅσα ἐπ' ἀνατροπῇ τειχῶν κατασκευάζεται σθενα-
ρώτερα. σημεῖον δέ· θεραπεύουσιν, ἱκετεύουσιν, εὐμένειαν ὡς παρὰ 39
τύχης καὶ ἀγαθοῦ δαίμονος αἰτεῖσθαι γλίχονται, καὶ παρορώμενοι μὲν
σφαδάζουσιν, εἰ δ' αὐτὸ μόνον τὸ βλέμμα ἵλεων θεάσαιντο, γεγηθότες

1 τοκῆες M; de forma τοκέες cf. Lobeck Phryn. p. 69 οὐ om. AQT ἐνδείξονται GAQT 2 μόνα] μόνον H (v) τὰς ὑπηρεσίας FGHP[1]: τὰ τῆς ὑπηρεσίας AQTP[2], πρὸς ὑπηρεσίας M ἀναγκάσαι ἂν] ἀναγκαῖα M 3 τινες A 5 ἢ κύριον M: ἢ om. ceteri (v) 7 λῃστείας MFG: λῃστείαν ceteri 8 τῶν κάτωθεν] τῶν καθεστώτων coni. Mang. 9 ἐλευθερίους A τινα[ες] A, τινὰ QT 10 γῖνόμενοι[ε] A 10. 11 ἔγωγ' οὖν codd.: ἐγὼ γοῦν v 11 πολλάκις M: om. ceteri (Turn.) παιδαρίσκια A φύσει στωμύλα] φύσεις τῶν μυλάδων M 12 ποθοῦντα M, ἐπόρθει Urbin. 12. 13 τοὺς κεκτημένους M Urbin.: om. ceteri (Turn.) 13 ταῦτα MGAQT Urbin.: ταυτά γε FHP (v) ἀνιδρύτων MGQT Urbin.: ἀϊδρύτων FAHP (Turn.) 14 ὅσα—κατασκευάζεται om. Urbin. 14. 15 σθεναρώτερα QT, σθεναρώτατα[ερ] M: σθεναρώτατα ceteri (v) 17 δὲ M ἵλεων] ἵλεω M, νέων F θεάσοιντο M, θεάσονται G

5 Clem. Alex. Paed. III 11 p. 288 P. τὸ δὲ εὐγενὲς τῆς ἀληθείας ... οὐ πράσει καὶ ὠνῇ τὸν δοῦλον, ἀλλὰ τῇ γνώμῃ τῇ ἀνελευθέρῳ διακέκρικεν. 6 sqq. *Ambros. Epist. 37, 13* ... non videmus plerumque in potestatem piraticam vel immanium barbarorum redactos parentes a filiis redimi pecunia? numquid leges pecuniae potiores quam leges naturae? 11 sqq. *Ambros. Epist. 37, 12* non fecit igitur eum (Ioseph) servum venditio ... verum si pretium spectes, multos invenies qui emerunt sibi puellulas formae elegantioris, quarum amore capti turpi servitio sese dederunt. cf. Cic. Parad. V 2, 36. Epict. Diss. IV 1, 15 sqq. 21. 12—14 Cod. Urbin. gr. 125 fol. 308[v]: ὄψεως κάλλει—σθεναρώτατα.

40 ἀνορχοῦνται. εἰ μὴ καὶ τὸν λέοντας ὠνησάμενον δεσπότην φατέον εἶναι λεόντων, ὅς, εἰ μόνον ἐπανατείναιντο τὰς ὄψεις, οἵους ἐπρίατο κυρίους ὁ δύστηνος, ὡς χαλεποὺς καὶ ὠμοθύμους, αὐτίκα παθὼν εἴσεται. τί οὖν; οὐκ οἰόμεθα τὸν σοφὸν ἀδουλωτότερον εἶναι λεόντων, ἐλευθέρᾳ καὶ ἀτρώτῳ ψυχῇ τὴν ἀλκὴν ἔχοντα μᾶλλον ἢ εἰ σώματι φύσει δούλῳ καὶ εὐτονίᾳ κραταιοτάτῃ ἰσχύος ἀφηνιάζοι;

41 (7.) Μάθοι δ' ἄν τις τὴν ἐλευθερίαν, ἣ περὶ τὸν σπουδαῖόν ἐστι, καὶ ἐξ ἑτέρων· δοῦλος εὐδαίμων πρὸς ἀλήθειαν οὐδείς· τί γὰρ ἀθλιώτερον ἢ πάντων ἄκυρον εἶναί τινα καὶ ἑαυτοῦ; ὁ δέ γε σοφὸς εὐδαίμων, ἕρμα καὶ πλήρωμα καλοκἀγαθίας ἐπιφερόμενος, ἐν ᾗ τὸ κῦρός ἐστιν ἁπάντων·

42 ⟨ὥστ'⟩ ἀναμφιβόλως καὶ ἐξ ἀνάγκης ὁ σπουδαῖος ἐλεύθερός ἐστι. πρὸς τούτοις τίς οὐκ ἂν εἴποι τοὺς φίλους τῶν θεῶν ἐλευθέρους εἶναι; εἰ μὴ
τοῖς μὲν τῶν βασιλέων ἑταίροις | ἄξιον οὐ μόνον ἐλευθερίαν ἀλλὰ καὶ p.452 M.
ἀρχὴν ὁμολογεῖν συνεπιτροπεύουσι καὶ συνδιέπουσι τὴν ἡγεμονίαν, τοῖς δὲ θεῶν τῶν ὀλυμπίων δουλείαν ἐπιφημιστέον, οἳ διὰ τὸ φιλόθεον εὐθὺς γενόμενοι θεοφιλεῖς, ἴσῃ ἀντιτιμηθέντες εὐνοίᾳ παρ' ἀληθείᾳ δικαζούσῃ, καθάπερ οἱ ποιηταί φασι, πανάρχοντές τε καὶ βασιλέες βασιλέων εἰσί.

---

1 post ἀνορχοῦνται quaedam deesse videri censuit Mang. 2—4 ὅς—λεόντων om. QT 2 ὅς MFGA: om. HP (Turn.) ἐπανατείναιντο scripsi: ἐπανατείναιτο M, ἐπανατείνοιτο G, ἐπανατείνονται F, ἐπανατείνοι AHP (v) 4 ἀδουλωτότερον M: ἀδουλώτερον H, ἀδουλότερον ceteri (v) ἐλευθέρα M: ἐλευθερίῳ F, ἐλευθερία ceteri (v) 5 ἀτρώτῳ] ἀτρέπτῳ AQT ἢ om. M εἰ MH²: om. ceteri σώματι φύσει δούλῳ QT: σώμασι φύσει δούλοις MGHP (v), σωμάτων φύσει δούλοις F, σώματος φύσει δουλείας A καὶ] ἐν A 6 κραταιοτάτῃ] ἀκμαιοτάτῃ M κραταιοτάτῃ ἰσχύος suspectum propter hiatum ἀφηνιάζοι M: ἀφηνιάζει FHP, ἀφηνιάζειν GAQT 7 ἐλευθερίαν v (corr. Turn.): ἀλήθειαν codd. 9 καὶ ἑαυτοῦ] ἐξ αὐτοῦ F γε om. M καὶ εὐδαίμων M 10 ἐστι τῶν ἁπάντων F 11 ὥστ' add. Wilamowitz καὶ MG: τ' ceteri (Turn.) 12 τίς MFG: ἔτι ceteri (v) post εἴποι add. τις H² (v), om. ceteri τῶν θεῶν scripsi (cf. l. 15): τοῦ θεοῦ codd. (v) 13 οὐ M: μὴ ceteri (v) 14 ὁμολογεῖν scripsi: συνομολογεῖν codd. (v) 15 θεῷ ATHP τῶν] τὴν L (Turn.) οἳ] οἷς M φιλόθεον] ὤφειλον M 17 βασιλέες βασιλέων M: βασιλέων βασιλῆες ceteri (v)

---

1 sqq. *Ambros. Epist.* 37, 13 ... plerique emptores leonum sunt, et tamen non dominantur leonibus, sed ita subiciuntur vice versa, ut si exasperatos eos excutere cervice toros viderint, fugiant et delitescant. cf. Diog. La. VI 75 (de Diogene Cynico) οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων· δούλου γὰρ τὸ φοβεῖσθαι, τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι. 9 Cic. Parad. II ὅτι αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. cf. Diog. La. VII 128. 15 sqq. cf. Diog. La. VI 37 et 72 (de Diogene Cynico) πάντα τῶν σοφῶν εἶναι λέγων ...· πάντα τῶν θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν.

νεανικώτερον δ' ὁ τῶν Ἰουδαίων νομοθέτης προσυπερβάλλων, ἅτε γυμνῆς ὡς 43
λόγος ἀσκητὴς φιλοσοφίας, τὸν ἔρωτι θείῳ κατεσχημένον καὶ τὸ ὂν μόνον
θεραπεύοντα οὐκέτ' ἄνθρωπον ἀλλὰ θεὸν ἀπετόλμησεν εἰπεῖν (Exod. 7, 1)·
ἀνθρώπων μέντοι θεόν, οὐ τῶν τῆς φύσεως μερῶν, ἵνα τῷ πάντων
καταλίπῃ πατρὶ τὸ θεῶν εἶναι βασιλεῖ καὶ θεῷ. ἆρ' ἄξιον τὸν προνομίας 44
τοσαύτης τετυχηκότα δοῦλον ἢ μόνον ἐλεύθερον εἶναι νομίζειν; ὃς εἰ
καὶ θείας οὐκ ἠξίωται μοίρας καθ' αὑτόν, ἀλλά τοι διά τὸ φίλῳ θεῷ χρῆ-
σθαι πάντως ὤφειλεν εὐδαιμονεῖν· οὔτε γὰρ ἀσθενὴς ὁ ὑπέρμαχος οὔτε φιλι-
κῶν ἀμελὴς δικαίων θεὸς ἑταιρεῖος ὢν καὶ τὰ κατὰ τοὺς ἑταίρους ἐφορῶν.
ἔτι τοίνυν, ὥσπερ τῶν πόλεων αἱ μὲν ὀλιγαρχούμεναι καὶ τυραννούμεναι 45
δουλείαν ὑπομένουσι χαλεποὺς καὶ βαρεῖς ἔχουσαι δεσπότας τοὺς ὑπαγο-
μένους καὶ κρατοῦντας, αἱ δὲ νόμοις ἐπιμεληταῖς χρώμεναι καὶ προστάταις
εἰσὶν ἐλεύθεραι, οὕτως καὶ τῶν ἀνθρώπων, παρ' οἷς μὲν ὀργὴ ἢ
ἐπιθυμία ἤ τι ἄλλο πάθος ἢ καὶ ἐπίβουλος κακία δυναστεύει, πάντως
εἰσὶ δοῦλοι, ὅσοι δὲ μετὰ νόμου ζῶσιν, ἐλεύθεροι. νόμος δὲ ἀψευδὴς 46
ὁ ὀρθὸς λόγος, οὐχ ὑπὸ τοῦ δεῖνος ἢ τοῦ δεῖνος, θνητοῦ φθαρτός, ἐν
χαρτιδίοις ἢ στήλαις, ἄψυχος ἀψύχοις, ἀλλ' ὑπ' ἀθανάτου φύσεως ἄφ-
θαρτος ἐν ἀθανάτῳ διανοίᾳ τυπωθείς. διὸ καὶ θαυμάσαι ἄν τις τῆς 47
ἀμβλυωπίας τοὺς τρανὰς οὕτω πραγμάτων ἰδιότητας μὴ συνορῶντας, οἳ
μεγίστοις μὲν δήμοις Ἀθήναις καὶ Λακεδαίμονι πρὸς ἐλευθερίαν αὐταρ-

1 δὲ M τῶν ἰουδαίων ὁ νομοθέτης M γυμνῆς] γνησίας coni. Mang. 2 κατισχημένον MAQT 3 ἀλλὰ θεὸν M: om. ceteri (Turn.) 4 θεὸν] θεῶν M 5 καταλείπῃ HP (v) θεῶν MG: θεὸν ceteri (v); τούτων coni. Mang. βασιλεῖ καὶ θεῷ] βασιλέα καὶ θεὸν coni. Mang. ἆρ' MFA: ἄρα ceteri (v) προνομίας] προνοίας AQT 6 ὃς] ὅπερ Q 7 καθ' ἑαυτὸν G φίλον HP 8 ὑπέρμαχος] ὕπαρχος F 9 θεὸς om. AQT τὰ MF²: om. ceteri (Turn.) ἑτέρους A ἀφορῶν P 10 καὶ τυραννούμεναι om. AQT 11 τοὺς] τὰς F 13 ἐλεύθεροι MGT οὕτως MF: οὕτω ceteri (v) ὀργὴ M: ἂν ὀργὴ ceteri (v) 13. 14 ἢ ἐπιθυμία M: καὶ ἐπιθυμία ceteri (Turn.) 14 ἐπίβουλος] ἐπιβουλῆς F, ἐπιβουλὰς H¹P, ἐπὶ βουλὰς G δυναστεύει M: δυναστεύσει AQT, δυναστεύσῃ FGHP (Turn.) πάντων M 15 δὲ post νόμος om. M 16 ὁ om. P¹, ss. P² alterum τοῦ om. F φθαρτός] γραπτός F 17 ὑπὸ M 19 οὕτω] εἶναι M 20 ἀθήναις καὶ λακεδαίμονι MGPAQT: ἀθήναις καὶ λακεδαίμοσι F, ἀθήναις καὶ λακεδαιμόνιοι H (sed οι add. H²), ἀθηναίων καὶ λακεδαιμονίων L (v) ἐλευθερίαν] εὐδαιμονίαν mg P

3 Exod. 7, 1 ἰδοὺ δέδωκά σε θεὸν Φαραώ. 15 sqq. *Ambros. Epist. 37, 32* illi autem liberi sunt, qui legibus vivunt. lex autem vera sermo rectus, lex vera non insculpta tabulis nec aere incisa, sed impressa mentibus atque infixa sensibus. cf. de migr. Abrah. § 130. de Josepho § 29. de praem. et poen. § 55. Stob. Ecl. II 7, 11ᵈ. Cic. de leg. I 6, 18.

κεστάτους εἶναί φασι τοὺς Σόλωνος καὶ Λυκούργου νόμους κρατοῦντάς τε καὶ ἄρχοντας, πειθαρχούντων αὐτοῖς τῶν πολιτευομένων, σοφοῖς δὲ ἀνδράσι τὸν ὀρθὸν λόγον, ὃς καὶ τοῖς ἄλλοις ἐστὶ πηγὴ νόμοις, οὐχ ἱκανὸν εἶναι πρὸς μετουσίαν ἐλευθερίας ὑπακούουσι πάντων, ἅττ' ἂν ἢ προστάττῃ ἢ ἀπαγο-
48 ρεύῃ. πρὸς τοίνυν τοῖς εἰρημένοις ἐναργεστάτη πίστις ἐλευθερίας ἰσηγορία, ἣν οἱ σπουδαῖοι πάντες ἄγουσι πρὸς ἀλλήλους. ὅθεν καὶ τὰ τρίμετρα φιλοσόφως ἐκεῖνά φασιν εἰρῆσθαι·

| „οὐ γὰρ μετεῖναι τῶν νόμων δούλοις ἔφυ.“ p.453 M.

καὶ πάλιν·

„δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.“

49 καθάπερ οὖν ὁ μουσικὸς νόμος ἅπασι τοῖς ἐπιτετηδευκόσι μουσικὴν ἰσηγορίας τῆς ἐν τῇ τέχνῃ μεταδίδωσι καὶ ὁ γραμματικὸς ἢ ὁ γεωμετρικὸς γραμματικοῖς ἢ γεωμέτραις, οὕτω καὶ ὁ ἐν τῷ βίῳ νόμος τοῖς ἐμπείροις
50 τῶν βιωτικῶν. οἱ δὲ σπουδαῖοι πάντες ἔμπειροι τῶν κατὰ τὸν βίον πραγμάτων εἰσίν, ὁπότε καὶ τῶν ἐν ἁπάσῃ τῇ φύσει· καὶ εἰσί τινες αὐτῶν ἐλεύθεροι, ὥστε καὶ ὅσοι τούτοις ἰσηγορίας μετέχουσιν. οὐδεὶς ἄρα τῶν
51 σπουδαίων δοῦλος, ἀλλ' ἐλεύθεροι πάντες. (8.) ἀπὸ δὲ τῆς αὐτῆς ἀφορμῆς καὶ ὅτι δοῦλος ὁ ἄφρων ἐστίν, ἐπιδειχθήσεται. ὥσπερ γὰρ ὁ κατὰ μουσικὴν νόμος οὐ δίδωσιν ἰσηγορίαν ἀμούσοις πρὸς μεμουσωμένους οὐδ' ὁ κατὰ γραμματικὴν ἀγραμμάτοις πρὸς γραμματικοὺς οὐδὲ συνόλως

---

2 δ' A   3 πηγῆς M   νόμοις om. M   4 ὑπακούουσι MFGHP¹: τοῖς ὑπακούουσι AQTP² (Mang.)   ἅττ' HPQT: ἅτ' GA, ὅτ' F, ἔτι M   prius ἢ om. M   4. 5 προστάττῃ ἢ (ἡ M) ἀπαγορεύῃ codd.: προστάττει ἢ ἀπαγορεύει H²; προτάττει ἢ ἀπαγορεύει v   5 τοίνυν] τὴν ἐπὶ M   ἰσηγορία codd.: ἡ ἰσηγορία Mang.   6 τὰ om. QT   τρίμετρα] τρία μέτρα HP¹ (Turn.)   7 φασὶν ἐκεῖνα transp. A   8 τὸν νόμον F; τῶν λόγων coni. Mang.   8. 9 ἔφυ. καὶ πάλιν Mang.: ἔφη· καὶ πάλιν GF²AH², ἐφῆκε· πάλιν F¹H¹PQT, ἐφῆκεν πάλιν M   11 νόμος M (coni. Ausfeld): λόγος ceteri (v)   μουσικῆς M   12 τῇ om. HP (Turn.)   ὁ γεωμέτρης QT (coni. Mang.)   ὁ ante γεωμετρικὸς om. v   13 τῷ om. M   14 οἱ δὲ σπουδαῖοι πάντες M: οἳ δεσποτείας οἱ πάντες G, οἳ δεσπόταις οἱ πάντες H¹P, οἱ δεσπόται οὐ πάντες H², ἢ δεσπόταις οἳ πάντες AQT, οἳ πάντες F (οἱ δὲ δεσπόται ἅπαντες Turn., οἱ δὲ σπουδαῖοι ἅπαντες Mang.)   15 εἰσίν] εἰσί v   ἐν πάσῃ QT   verba καὶ εἰσί—μετέχουσιν (16) delenda censet Ausfeld   καὶ ante εἰσί] κἂν M   16 τούτοις] τῆς P   18 ὁ ante ἄφρων om. M   ἀποδειχθήσεται F   20 οὐδ'] ὁ δ' Q

---

8 frg. trag. adesp. 326.   10 frg. trag. adesp. 304 laud. etiam ap. M. Antoninum XI 30.

ὁ τεχνικὸς πρὸς τεχνίτας ἀτέχνοις, οὕτως οὐδ' ὁ βιωτικὸς νόμος ἰσηγο-
ρίας μεταδίδωσι τοῖς κατὰ τὸν βίον ἀπείροις πρὸς ἐμπείρους. τοῖς δ' ἐλευθέ- 52
ροις ἡ ἐκ νόμου πᾶσιν ἰσηγορία δίδοται· καὶ εἰσί τινες τῶν σπουδαίων
ἐλεύθεροι· καὶ τῶν βιωτικῶν ἄπειροι μὲν οἱ φαῦλοι, ἐμπειρότατοι δ' οἱ
σοφοί· οὐκ ἄρ' εἰσί τινες τῶν φαύλων ἐλεύθεροι, δοῦλοι δὲ πάντες.
ὁ δὲ Ζήνων, εἰ καί τις ἄλλος ὑπ' ἀρετῆς ἀχθείς, νεανικώτερον ἀποδείκνυσι 53
περὶ τοῦ μὴ εἶναι τοῖς φαύλοις ἰσηγορίαν πρὸς ἀστείους. φησὶ γάρ·
„οὐκ οἰμώξεται μὲν ὁ φαῦλος, ἐὰν ἀντιλέγῃ τῷ σπουδαίῳ; οὐκ ἄρ'
ἐστὶν ἰσηγορία τῷ φαύλῳ πρὸς σπουδαῖον." οἶδ' ὅτι πολλοὶ τοῦ λόγου 54
κατακερτομήσουσιν ὡς αὐθαδείᾳ τὸ πλέον ἐρωτηθέντος ἢ συνέσει. μετὰ
δὲ τὴν χλεύην παυσάμενοι τοῦ γέλωτος ἢν ἐθελήσωσι διακύψαι καὶ τὸ
λεγόμενον σαφῶς ἐρευνῆσαι, καταπλαγέντες αὐτοῦ τὸ ἀψευδὲς εἴσονται,
ὅτι ἐπ' οὐδενὶ μᾶλλον οἰμώξεταί τις ἢ τῷ μὴ πειθαρχεῖν τῷ σοφῷ.
ζημία γὰρ χρημάτων ἢ ἀτιμία ἢ φυγαὶ ἢ αἱ διὰ πληγῶν ὕβρεις ἢ ὅσα 55
ὁμοιότροπα βραχέα καὶ τὸ μηδὲν ἀντιτιθέμενα κακίαις καὶ ὧν αἱ κακίαι
δημιουργοί. τοὺς δὲ πολλούς, οὐ συνορῶντας τὰς ψυχῆς βλάβας διὰ
λογισμοῦ πήρωσιν, ἐπὶ μόναις ταῖς ἐκτὸς συμβέβηκεν ἄχθεσθαι, τὸ
κριτήριον ἀφῃρημένους, ᾧ μόνῳ καταλαβεῖν ἔστι διανοίας ζημίαν. εἰ δὲ 56
p.454 M. δυνηθεῖεν ἀναβλέψαι, θεασάμενοι τὰς δι' ἀφροσύνης ἀπάτας καὶ τὰς ἐκ |
δειλίας ἐπηρείας καὶ ὅσα ἀκολασία παρῴνησεν ἢ ἀδικία παρηνόμησεν, ἐπὶ

---

1 τεχνικὸς] τεχνίτης FA ἀτέχνους M 2 ἀπείροις] ἀπόροις T 3 ἡ ἐκ νόμου] ἓν ὄνομα M verba καὶ εἰσί τινες τῶν σπουδαίων ἐλεύθεροι delenda censet Ausfeld τῶν ante σπουδαίων om. H (Turn.) 5 οὐκ ἄρ'] οὐκ ἄρα A, οὐ γὰρ M 6 ἀχθείς] ἀπαχθείς HP (Turn.) 8 ὠμώξεται M μὲν codd.: om. v οὐκ ἄρ'] οὐκ ἄρα A, οὐ γὰρ M 9 πολλοὶ om. HP (Turn.) 10 ἐρωτηθέντος M (ἐρωτηθέντος v): ἔρωτι θέντες GT, ἐρωτηθέντες ceteri 11 ἢν ἐθέλωσι F ante διακύψαι add. τὸ M 11. 12 τὸ ante λεγόμενον om. A 12 σαφῶς] σοφῶς Mang. ἑρμηνεῦσαι FQT καταπλαγέντες] καταλαβόντες coni. Mang. αὐτοῦ M: αὐτὸ ceteri 13 ἐπ'] ἐν M τῷ σοφῷ M: τῷ om. ceteri (Turn.) 14 ἢ αἱ φυγαὶ Q ἢ ἡ διὰ πληγῶν ὕβρις M 15 καὶ τὸ μηδὲν MFGHP: ἢ τὸ μηδὲν ἔβλαψαν AQT (Mang.) αἱ κακίαι M: αἱ om. ceteri (Turn.) 16 τὰς ψυχῆς M: τὰς τῶν ψυχῶν AQT, ψυχῶν (om. τὰς) ceteri 18 ᾧ μόνῳ M: ἢ μόνον F[1], ᾧ μόνον F[2], δι' οὗ (ὃ H[1]) μόνον HP (v), δι' οὗ μόνου AQT, καὶ οἰομένους G ἔστι] ἐστι δυνατὸν F 19 ἀντιβλέψαι QT θεασάμεναι M, θεώμενοι H (Turn.) δι' ἀφροσύνης MHP: δι' ἀφροσύνην ceteri 20 ἐπηρείας] ἀπορίας AQT (Mang.)

---

1. 2 cf. Epict. Diss. IV 1, 117 καὶ οὕτως ἐφ' ἑκάστης ὕλης τὸν ἔμπειρον τοῦ ἀπείρου κρατεῖν πᾶσα ἀνάγκη. ὅστις οὖν καθόλου τὴν περὶ βίον ἐπιστήμην κέκτηται, τί ἄλλο ἢ τοῦτον εἶναι δεῖ τὸν δεσπότην; 8 Zeno frg. 228 (Arnim).

ταῖς τοῦ ἀρίστου συμφοραῖς λύπης ἀπαύστου γεμισθέντες οὐδὲ παρηγο-
57 ρίας δι' ὑπερβολὰς κακῶν ἀνέξονται. ἔοικε δὲ ὁ Ζήνων ἀρύσασθαι τὸν λόγον ὥσπερ ἀπὸ πηγῆς τῆς Ἰουδαίων νομοθεσίας, ἐν ᾗ δυοῖν ὄντοιν ἀδελφοῖν, τοῦ μὲν σώφρονος, τοῦ δ' ἀκολάστου, λαβὼν οἶκτον ὁ κοινὸς ἀμφοῖν πατὴρ τοῦ μὴ ἐπ' ἀρετὴν ἥκοντος εὔχεται, ἵνα δουλεύσῃ τῷ ἀδελφῷ, τὸ δοκοῦν μέγιστον εἶναι κακόν, δουλείαν, ἀγαθὸν τελεώτατον ὑπολαμβάνων ἄφρονι, τὸ μὲν αὐτεξούσιον ἀφῃρημένῳ πρὸς τὸ μὴ σὺν ἀδείᾳ πλημμελεῖν, ἐκ δὲ τῆς τοῦ προεστῶτος προστασίας βελτιωθησομένῳ τὸ ἦθος.
58 (9). Τὰ μὲν οὖν λεχθέντα πρὸς τὴν τοῦ ζητουμένου διασύστασιν ἔμοιγε ἀποχρῶντα ἦν. ἐπεὶ δὲ τὰ ποικίλα τῶν νοσημάτων ἰατροῖς ἔθος ποικιλωτέραις ἰᾶσθαι θεραπείαις, ἀνάγκη καὶ τοῖς παραδόξοις νομιζομένοις τῶν προβλημάτων διὰ τὸ ἄηθες ἐπάγειν πίστεις ἐπαλλήλους προσεγχρίοντας· μόλις γὰρ ἔνιοι συνεχείᾳ πληττόμενοι τῶν ἀποδείξεων αἰσθάνονται.
59 λέγεται τοίνυν οὐκ ἀπὸ σκοποῦ, ὅτι ὁ φρονίμως πάντα ποιῶν εὖ ποιεῖ

1 ante λύπης add. καὶ M 2 ὑπερβολὴν AQT δ' M 3 ἀπὸ πηγῆς codd.: ἀπὸ τῆς πηγῆς v δυεῖν G ὄντοιν] ὄντων conicio 4 δὲ M 5 τῷ ἀδελφῷ] τἀδελφῶ A 6 κακὸν εἶναι transp. M δουλείας A, δούλου T 7 μὲν] δὲ F πρὸς τῶ QT 8 πλημμελεῖν P, πλημμελῆ G δὲ om. F βέλτιον θησομένω AQT 9 οὖν om. QT σύστασιν QT 10 ἀποχρώντως AQT 11 ποικιλοτέραις AQT post ποικιλωτέραις add. εἰώθασι HP, sed rursus expunxit H θεραπείαις ἰᾶσθαι transp. HP (v) τῶν παραδόξων νομιζομένων QT, τῶν παραδόξων λογιζομένων A 12 διὰ ante τῶν προβλημάτων transp. AQT ἄηθες] ἀληθὲς MQT ἐπαλλήλαις H[1]P, ἐπ' ἀλλήλαις F, ἐπ' ἀλλήλους T, πρὸς ἀλλήλους M 12. 13 προσεγχρίοντας MFGP[1]: προσεγ-ππ-χρίοντας H, προσεγχρίπτοντας T, προσεγχρίμπτοντας AQP[2] (v) 13 γὰρ] μὲν QT πληττόμενοι] πλαττόμενοι F[1]GH[2]P[1], πραττόμενοι H[1] (φραττόμενοι Turn.) 14 πάντα ante ποιῶν om. H (Turn.) εὖ ποιεῖ—πάντα ποιῶν (17, 1) om. AQT

3sqq. Gen. 27, 40 καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. 14 sqq. *Ambros. Epist. 37, 19* ... sapiens omnia quae facit bene facit: qui autem bene facit omnia, recte facit omnia: qui vero recte facit omnia, utique inoffense et irreprehensibiliter et sine damno et commotione sui facit omnia, cui igitur hoc subest, ut inoffense faciat omnia, faciat irreprehensibiliter, faciat sine commotione sui, sine damno, nihil insipienter facit, sed sapienter omnia, qui autem sapienter facit, nihil habet quod metuat; metus enim in peccato est: ubi autem nulla formido, ibi libertas: ubi libertas, ibi potestas faciendi quod vult. solus ergo sapiens liber est. Stob. Ecl. II 7, 11g (ἀρέσκει τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωικοῖς φιλοσόφοις) ... καὶ τὸν μὲν σπουδαῖον ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως καὶ σωφρόνως καὶ κατὰ τὰς ἄλλας ἀρετάς, τὸν δὲ φαῦλον κατὰ τοὐναντίον κακῶς (Zeno frg. 216 Arnim). II 7, 11i ... πάντα τε εὖ ποιεῖ ὁ νοῦν ἔχων, καὶ γὰρ φρονίμως καὶ ἐγκρατῶς ... ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενος συνεχῶς, ὁ δὲ φαῦλος ... πάντα κακῶς ποιεῖ ...

πάντα, ὁ δ' εὖ ποιῶν πάντα ὀρθῶς ποιεῖ πάντα, ὁ δ' ὀρθῶς πάντα ποιῶν καὶ ἀναμαρτήτως καὶ ἀμέμπτως καὶ ἀνεπιλήπτως καὶ ἀνυπευθύνως καὶ ἀζημίως, ὥστ' ἐξουσίαν σχήσει πάντα δρᾶν καὶ ζῆν ὡς βούλεται· ᾧ δὲ ταῦτ' ἔξεστιν, ἐλεύθερος ἂν εἴη. ἀλλὰ μὴν πάντα φρονίμως ποιεῖ ὁ ἀστεῖος· μόνος ἄρα ἐστὶν ἐλεύθερος. καὶ μὴν ὃν μὴ ἐνδέχεται μήτ' 60 ἀναγκάσαι μήτε κωλῦσαι, ἐκεῖνος οὐκ ἂν εἴη δοῦλος· τὸν δὲ σπουδαῖον οὐκ ἔστιν οὔτ' ἀναγκάσαι οὔτε κωλῦσαι· οὐκ ἄρα δοῦλος ὁ σπουδαῖος. ὅτι δ' οὔτ' ἀναγκάζεται οὔτε κωλύεται, δῆλον· κωλύεται μὲν γὰρ ὁ μὴ τυγχάνων ὧν ὀρέγεται, ὀρέγεται δ' ὁ σοφὸς τῶν ἀπ' ἀρετῆς, ὧν ἀποτυγχάνειν οὐ πέφυκε. καὶ μὴν εἰ ἀναγκάζεται, δῆλον ὅτι ἄκων τι ποιεῖ· ἐν οἷς δὲ αἱ πράξεις, ἢ ἀπ' ἀρετῆς εἰσι κατορθώματα ἢ ἀπὸ κακίας

1 δὲ M πάντα post ποιεῖ om. M πάντα ποιῶν] ποιῶν πάντα F 2 καὶ ante ἀμέμπτως om. AQT ἀμέμπτως τὲ καὶ QT καὶ ante ἀνεπιλήπτως om. A ἀνεπιλήπτως MAT: ἀνεπιπλήκτως ceteri (v) 3 ὥστ'] οὗτος AQT ἐξουσία F σχήσει om. F 4 ταῦτα FG 5 ἄρα] γὰρ T 6—7 ἐκεῖνος—κωλῦσαι MG: om. ceteri (Turn.) 6 ἐκεῖνος post δοῦλος transp. G τὸν M: εἰ G 7 οὔτ' ἀναγκάσαι οὔτε κωλῦσαι MG: ἀναγκάσαι οὐδὲ κωλῦσαι Mang. 8 οὔτ'] οὐκ M μὲν om. P 9 δὲ M 10 ποιεῖ] ἐποίει M 11 ἐν οἷς] ἀνθρώποις coni. Arnim ἡ πρᾶξις M εἰσι] ἐστι FGAT

2 Diog. La. VII 122 ἔτι καὶ ἀναμαρτήτους (εἶναι τοὺς σοφούς), τῷ ἀπεριπτώτους εἶναι ἁμαρτήματι. 5sqq. *Ambros. Epist. 37, 20* etenim qui neque cogi potest neque prohiberi, is nequaquam servus: sapientis autem neque cogi neque prohiberi: non est igitur servus sapiens. prohibetur enim qui non fungitur iis quae desiderat: quae autem desiderat sapiens nisi ea quae virtutis et disciplinae sunt, sine quibus esse non potest? ... quod si cogitur, manifestum est quod invitus faciat. in omnibus autem factis aut a virtute correctiones sunt aut a malitia prolapsiones aut media et indifferentia. virtutis non coactus sed voluntarius exsecutor est sapiens, quoniam omnia quae placent agit, malitiae fugitans, nec somnium eius admittit. indifferentibus ita non movetur, ut nullis momentis sicut vulgus hominum huc atque illuc inclinetur, sed tamquam in statera mens eius aequa lance pendeat, ut neque ad voluptaria propendeat neque omnino ad ea quae sunt aversanda vel leviter studium inclinet suum, sed immobilis maneat affectu. unde liquet, quia nihil invitus facit sapiens neque cogitur, quia si servus esset cogeretur: liber est igitur sapiens. cf. *Cic. Parad. V 1, 34* soli igitur hoc contingit sapienti, ut nihil faciat invitus, nihil dolens, nihil coactus. Epict. Diss. I 12, 9 ἐλεύθερος γάρ ἐστιν, ᾧ γίνεται πάντα κατὰ προαίρεσιν καὶ ὃν οὐδεὶς δύναται κωλῦσαι. IV 1, 1 ἐλεύθερός ἐστιν ὁ ζῶν ὡς βούλεται, ὃν οὔτ' ἀναγκάσαι ἔστιν οὔτε κωλῦσαι οὔτε βιάσασθαι. IV 1, 128 ὁ ἀκώλυτος ἄνθρωπος ἐλεύθερος, ᾧ πρόχειρα τὰ πράγματα ὡς βούλεται· ὃν δ' ἔστιν ἢ κωλῦσαι ἢ ἀναγκάσαι ἢ ἐμποδίσαι ἢ ἄκοντα εἴς τι ἐμβαλεῖν, δοῦλός ἐστι. Stob. Ecl. II 7, 11g παρ' ὃ καὶ οὔτε ἀναγκάζεται (ὁ σπουδαῖος) ὑπό τινος οὔτε ἀναγκάζει τινά, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος οὔτ' αὐτὸς βιάζει τινά κτλ.

61 ἁμαρτήματα ἢ μέσα καὶ ἀδιάφορα. τὰ μὲν οὖν ἀπ' ἀρετῆς οὐ βιασθεὶς ἀλλ' ἑκὼν — αἱρετὰ γάρ ἐστιν αὐτῷ πάνθ' ἃ δρᾷ —, τὰ δ' ἀπὸ κακίας ἅτε φευκτὰ οὐδ' ὄναρ πράττει· οὐδὲ μὴν τὰ ἀδιάφορα εἰκός, πρὸς ἃ καθάπερ ἐπὶ πλάστιγγος ἡ διάνοια ἰσορροπεῖ, δεδιδαγμένη μήτε ὡς ὁλκὸν ἔχουσι δύναμιν ἐνδιδόναι μήθ' ὡς ἀποστροφῆς ἀξίοις δυσχεραίνειν. ἐξ ὧν ἐστι δῆλον, ὅτι οὐδὲν ἄκων ποιεῖ οὐδ' ἀναγκάζεται· δοῦλος δ' εἴπερ ἦν, ἠναγκάζετ' ἄν· ὥστ' ἐλεύθερος ἂν εἴη ὁ ἀστεῖος.

62 (10.) Ἐπεὶ δέ τινες τῶν | ἥκιστα κεχορευκότων Μούσαις λόγων p.455 M.
ἀποδεικτικῶν οὐ συνιέντες, οἳ τὰς καθόλου τῶν πραγμάτων ἐμφάσεις παριστᾶσιν, εἰώθασιν ἐρωτᾶν· τίνες οὖν ἢ πρότερον γεγόνασιν ἄνδρες ἢ νῦν εἰσιν, ὁποίους ἀναπλάττετε; καλόν γε ἀποκρίνασθαι, ὅτι καὶ πάλαι τινὲς ἦσαν οἳ τῶν καθ' ἑαυτοὺς ἀρετῇ διέφερον, ἡγεμόνι μόνῳ θεῷ χρώμενοι καὶ κατὰ νόμον, τὸν ὀρθὸν φύσεως λόγον, ζῶντες, οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ἐλευθέρου φρονήματος ἀναπιμπλάντες, καὶ ἐφ' ἡμῶν αὐτῶν ἔτ' εἰσιν ὥσπερ εἰκόνες ἀπὸ ἀρχετύπου

1. 2 καὶ ἀδιάφορα — αἱρετὰ γὰρ om. F διάφορα T ἀπ'] ἐπ' H[1]P οὐ om. H[1], ss. H[2] 2 αἱρετὰ] ἀρεταὶ HP[1] (Turn.) ante ἐστιν add. καὶ F ἐστιν] εἰσιν H (v) αὐτῷ ἐστὶ transp. M πάνθ' ἃ FGA: πάντα M, πάνθ' ὅσα HP (v), πάνθ' ὅσα ἂν QT ἀπὸ] ὑπὸ T 4 ἰσορρεπεῖ M μήθ' ὡς A, μὴ τέως F 5 ἐνδιδόναι] εἰδέναι QT μήθ'] μήδ' FH[2] (μήτ' v) ἀποστροφῆς — δῆλον] ἀποστραφῆναι, ὡς δῆλον M (cf. l. 8) 6 ποιεῖ MFG: om. ceteri δ'] τ' QT 7 ἠναγκάζετο (om. ἂν) M ὥστε M ἐλεύθερος] ἐκτὸς M 8 ἐπεὶ δέ GAQT: ἐπειδή MFH[1]P, ἐπειδὴ δέ H[2] (v) post τινες add. ἀξιοῦσι δυσχεραίνειν ἐξ ὧν ἐστι M (cf. l. 5) κεχορευκότων codd.: συγκεχορευκότων v; cf. de aetern. mundi § 55. de post. Caini § 137 8. 9 post λόγων ἐπιδεικτικῶν deesse δύναμιν coni. Mang.; sed cf. e. gr. Herod. I 47. IV 113. Thuc. I 3, 4 9 οἳ] οὐ MQT τὰς] τὰ H[1]P 10 παριστῶσιν G, ἱστῶσιν AQT, παριστᾶσιν om. M ἢ ante πρότερον om. M 11 ἀναπλάττετε GAQTH[2]: ἀναπράττετε M, ἀναπλάττεται FH[1]P, ἀναπλάττεσθαι L (ἀναπλάττεσθε v) γε om. M ὅτι MH[2]: διότι ceteri 12 οἳ om. F οἳ τῶν καθ' ἑαυτοὺς M: τῶν καθ' αὑτοὺς οἳ ceteri (v) ἀρετῇ διέφερον] ἀρετῶν διαφέροντες F 13 τὸν ὀρθῶς M, τῶν ὀρθῶν G λόγων G 14 φρονήματος ἐλευθέρου τοὺς πλησιάζοντας transp. M 14. 15 ἀναπιμπλῶντες MAQT 15 ἔτ' M: ἔτι ceteri (v) εἰσὶν ἔτι transp. F ἀπ' A, ἀπὸ om. M

15 sqq. *Seneca de const. sap. 7, 1* Non est quod dicas, ita ut soles, hunc sapientem nostrum nusquam inveniri. non fingimus istud humani ingenii vanum decus nec ingentem imaginem falsae rei concipimus, sed qualem conformamus, exhibuimus, exhibebimus, raro forsitan magnisque aetatium intervallis unum; neque enim magna et excedentia solitum ac vulgarem modum crebro gignuntur. *Epist. 42, 1* nec est mirum ex intervallo magna generari: mediocria et in turbam nascentia saepe fortuna producit, eximia vero ipsa raritate commendat.

γραφῆς, σοφῶν ἀνδρῶν καλοκἀγαθίας, τυπωθέντες. οὐ γάρ, εἰ αἱ τῶν 63
ἀντιλεγόντων ψυχαὶ κεχηρεύκασιν ἐλευθερίας, ὑπ' ἀφροσύνης καὶ τῶν ἄλλων κακιῶν δουλαγωγηθεῖσαι, διὰ τοῦτο καὶ τὸ τῶν ἀνθρώπων γένος. εἰ δὲ μὴ κατὰ στίφη μεγάλα προΐασιν ἀγεληδόν, θαυμαστὸν οὐδέν· πρῶτον μέν, ὅτι τὰ λίαν καλὰ σπάνια, εἶτ' ἐπειδὴ τὸν τῶν εἰκαιοτέρων ἐκτρεπόμενοι πολὺν ὅμιλον θεωρίᾳ τῶν τῆς φύσεως σχολάζουσιν, εὐχόμενοι μέν, εἴ πως ἐνῆν, ἐπανορθώσασθαι τὸν βίον — κοινωφελὲς γὰρ ἡ ἀρετή —, τὸ δὲ ἀδυνατοῦντες, πλημμυρούντων κατὰ πόλεις ἀλλοκότων πραγμάτων, ἃ ψυχῆς πάθη ⟨καὶ⟩ κακίαι συνηύξησαν, ἀποδιδράσκουσιν, ὡς μὴ τῇ
ῥύμῃ τῆς φορᾶς καθάπερ ἀπὸ χειμάρρου βίας κατασυρεῖεν. ἡμᾶς δέ, 64
εἰ βελτιώσεως ζῆλός τις ἦν, ἰχνηλατεῖν ἔδει τὰς τούτων καταδύσεις καὶ ἱκέτας καθεζομένους παρακαλεῖν, ἵνα τεθηριωμένον τὸν βίον προσελθόντες ἐξημερώσωσιν, ἀντὶ πολέμου καὶ δουλείας καὶ κακῶν ἀμυθήτων εἰρήνην καὶ ἐλευθερίαν καὶ τὴν τῶν ἄλλων ἀγαθῶν ἀφθονίαν περιρρεο-
μένην καταγγείλαντες. νυνὶ δὲ χρημάτων μὲν ἕνεκα πάντας μυχοὺς 65
ἐρευνῶμεν καὶ γῆς στρυφνὰς καὶ ἀποκρότους φλέβας ἀναστέλλομεν, καὶ μεταλλεύεται μὲν πολλὴ τῆς πεδιάδος, μεταλλεύεται δὲ οὐκ ὀλίγη τῆς ὀρεινῆς, χρυσὸν καὶ ἄργυρον, χαλκόν τε καὶ σίδηρον, καὶ τὰς ἄλλας
ὕλας ἀναζητούντων. θεοπλαστοῦσα δὲ ἡ κενὴ δόξα τὸν τῦφον ἄχρι καὶ 66
βυθοῦ κατέβη θαλάττης διερευνωμένη, μή τι τῶν πρὸς αἴσθησιν ἀφανὲς

1 σοφῶν om. M   καλοκἀγαθία MA   2 ὑπὸ M   3 κακιῶν] κακῶν FHP (Turn.)   τὸ τῶν MP: τῶν om. GH (v), τὸ τῶν om. FAQT   4 μεγάλα MFG: om. ceteri (Turn.)   5 καλὰ σπάνια] καλῶς πάνυ M   τῶν οἰκειοτέρων AQTL (Turn.)   5. 6 ἐντρεπόμενοι AQT   6 σχολάζουσιν] ἐνσχολάζουσιν coni. Mang.; sed cf. de opif. mundi § 128. de vita Mos. II § 211   εὐχομένων F   7 εἴ πως] εἴπερ G, ὡς F   8 τὸ δὲ] τὸ δ' AQT, τῷ δὲ M; τοῦτο δὲ coni. Mang.   ἀδυνατοῦντες G (Mang.): ἀδυνατεῖν MH^{2} (Turn.), ἀδυνατοῦν ceteri   ἀλλοκότων] ἀλλὰ καὶ τῶν M   9 πάθει A   καὶ add. Mang.   κακίαι Mang.: κακίαις M, κακία ceteri (κακίᾳ v)   συνηύξησαν M (coni. Mang.): συνηυξήθησαν ceteri (v)   ἀποδιδράσκειν M   10 ἀπὸ] ὑπὸ coni. Ausfeld   βία M   κατασυρεῖεν MG (Mang.): κατασύρειν FAH^{1}P, κατασύρῃ QT, κατασυρῆναι H^{2} (Turn.)   11 ζῆλός τις M: τις ζῆλος ceteri (v)   12 παρακλεῖν (sic) A   12. 13 παρελθόντες M   13 πολέμων A   καὶ ante κακῶν om. M   14. 15 περιρρεομένην G: om. M, περιρρεομένους ceteri   15 καταγγείλαντας A, ἀπαγγείλαντες H^{2} (v)   νῦν M   πάντας om. AT   16 καὶ γῆς τε M   στριφνὰς FH^{1}P   17 μεταλεύεται (bis) M   πολλὴ] πολὺ MQT   δ' MFA, δὲ καὶ Q   18 χρυσόν τε καὶ QT (sed in Q τε rursus expunctum)   19 ἐπιζητούντων A   θεοπλαστοῦσα] θεοπλάστους τῶν M   δ' MA, δὲ om. QT   20 βυθοῦ M: βυθὸν FA, βυθῶν ceteri   κατέβη MQT: om. ceteri (Turn.)   θαλάσσης MT   post θαλάττης add. κατήγαγε G

15 sqq. cf. de migr. Abrah. § 217.

ἐναπόκειταί που καλόν· καὶ λίθων ποικίλων καὶ πολυτελῶν ἀνευροῦσα
ἰδέας, τὰς μὲν πέτραις προσπεφυκυίας, τὰς δ' ὀστρέοις, αἳ καὶ τιμαλ-
67 φέστεραι γεγόνασιν, ὄψεως ἀπάτην ἐξετίμησε. φρονήσεως δὲ ἢ σωφρο-
σύνης ἢ ἀνδρείας ἢ δικαιοσύνης ἕνεκα γῆ μὲν ἀπόρευτός ἐστι καὶ ἡ
βάσιμος, πελάγη δὲ ἄπλωτα τὰ καθ' ἑκάστην ὥραν τοῦ ἔτους ναυκλήροις
68 ἐμπλεόμενα. καίτοι τίς ἢ μακρᾶς ὁδοιπορίας ἢ τοῦ θαλαττεύειν ἐστὶ | p. 456 M.
χρεία πρὸς ἔρευναν καὶ ζήτησιν ἀρετῆς, ἧς τὰς ῥίζας ὁ ποιῶν οὐ μακ-
ρὰν ἀλλ' οὑτωσὶ πλησίον ἐβάλετο; καθάπερ καὶ ὁ σοφὸς τῶν Ἰουδαίων
νομοθέτης φησίν· „ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν
ταῖς χερσί σου" (Deut. 30, 14), αἰνιττόμενος διὰ συμβόλων λόγους, βουλάς,
69 πράξεις, ἃ δὴ πάντα γεωργικῆς τέχνης δεῖται. οἱ μὲν οὖν ἀργίαν πό-
νου προτιμήσαντες οὐ μόνον τὰς βλάστας ἐκώλυσαν, ἀλλὰ καὶ τὰς ῥίζας
ἀφαυάναντες ἔφθειραν· οἱ δὲ σχολὴν μὲν βλαβερὸν ἡγούμενοι, πονεῖν
δὲ ἐθέλοντες, ὥσπερ εὐγενῆ μοσχεύματα γεωργοῦντες, τῷ συνεχεῖ τῆς
ἐπιμελείας οὐρανομήκεις ἐστελέχωσαν ἀρετάς, ἀειθαλῆ καὶ ἀθάνατα ἔρνη
καρπὸν φέροντα εὐδαιμονίαν οὐδέποτε λήγοντα ἤ, ὥς τινες, οὐ φέροντα,
ἀλλ' αὐτὰ ὄντα εὐδαιμονίαν, ἃ Μωυσῆς ὀνόματι συνθέτῳ καλεῖν εἴωθεν
70 ὁλοκαρπώματα. ἐπὶ μὲν γὰρ τῶν ἐκ γῆς βλαστανόντων οὔθ' ὁ καρπός
ἐστι δένδρα οὔτε τὰ δένδρα καρπός, ἐπὶ δὲ τῶν ἐν ψυχῇ φυομένων
ὅλα δι' ὅλων εἰς καρποῦ φύσιν μεταβέβληκε τὰ ἔρνη, τὸ φρονήσεως,
71 τὸ δικαιοσύνης, τὸ ἀνδρείας, τὸ σωφροσύνης. (11.) ἔχοντες οὖν τοιαύτας

1 καλῶν QT ποικίλων καὶ M: om. ceteri (v) 2 δὲ M ὀστρέοις] ἀλλοτροις (sic) M 2. 3 αἳ καὶ τιμαλφέστεραι] καὶ μὴ ἀσφαλέστεραι M (γρ. κἂν mg M) 3 ἀπάτην om. M ἐξετίμησαν FHP (Turn.) δὲ ἢ] δὴ M
ει
4 ἀνδρίας A, ἀνδρίας FG (v) γῆς H ἡ] εἰ QT 5 πελάγους H (Turn.) δ' F 6 ἐμπλεόμενα] ἐκπλεόμενα H (v) ἐστὶ] ἔνεστι M 8 οὑτωσὶ] οὕτω σοι H[2] (Turn.) ἐβάλετο A: ἐβ ..... (lac. 5—6 litt.) G, ἐβούλετο F, ἐβάλλετο ceteri (v) 9 σου post καρδίᾳ om. M ἐν ante ταῖς om. M 10. 11 καὶ βουλὰς καὶ πράξεις M (βουλάς, πράξεις scripsi): πράξεις, βουλάς ceteri (v) 11 δὴ πάντα] διὰ παντὸς AQT post πάντα ss. οὐ F[2] 13 ἀφαυάναντες] ἀφρύναντες M βλαβερὸν codd.: βλαβερὰν H[2] (v) 14 θέλοντες M 16 εὐδαιμονίαν MAQT: εὐδαιμονίας FGHP (v) οὔτε ποτέ M 17 εὐδαιμονίαν MGQT: εὐδαιμονία FAHP (Turn.) εἴωθε καλεῖν ὀνόματι συνθέτῳ transp. AQT καλεῖν εἴωθεν] καλεῖ M 18 γὰρ om. FGHP (Turn.) οὔθ' ὁ M: οὐ et ras. 2 litt. G, οὐδ' ὁ ceteri 19 ἐστι δένδρα οὔτε τὰ δένδρα καρπός M: om. ceteri (Turn.) ἐκ ψυχῆς F 20 δι' ὅλων M: δι' ὅλου ceteri (Turn.) 21 τὸ σωφροσύνης, τὸ ἀνδρίας, τὸ δικαιοσύνης transp. F
ει
ἀνδρίας A, ἀνδρίας FG (v)

17 cf. de Cherubim § 84. Quaest. in Genes. II § 52.

παρ' ἑαυτοῖς ἀφορμὰς οὐκ ἐρυθριῶμεν ἔνδειαν σοφίας ἀνθρώπων γένει
καταγγέλλοντες, ἣν δυνατὸν ἦν ἐκφυσήσαντας καθάπερ ἐν ὕλῃ σπινθῆρα
τυφόμενον ζωπυρῆσαι; ἀλλὰ γὰρ πρὸς ἃ μὲν σπεύδειν ἐχρῆν ὡς συγγε-
νέστατα καὶ οἰκειότατα, πολὺς ὄκνος καὶ ῥᾳθυμία συνεχής, ὑφ' ὧν τὰ
καλοκἀγαθίας σπέρματα διαφθείρεται, ὧν δὲ εἰκὸς ἦν ὑστερίζειν, ἵμερος
καὶ πόθος ἄπληστος. διὰ τοῦτο πλουσίων μὲν καὶ ἐνδόξων καὶ ταῖς 72
ἡδοναῖς χρωμένων μεστὴ γῆ καὶ θάλαττα, φρονίμων δὲ καὶ δικαίων καὶ
ἀστείων ὀλίγος ἀριθμός· τὸ δὲ ὀλίγον, εἰ καὶ σπάνιον, οὐκ ἀνύπαρκτον.
μάρτυς δὲ ἡ Ἑλλὰς καὶ ἡ βάρβαρος· ἐν τῇ μὲν γὰρ οἱ ἑτόμως ἑπτὰ 73
σοφοὶ προσονομασθέντες ἤνθησαν, καὶ ἄλλων πρότερον καὶ αὖθις ὡς
εἰκὸς ἀκμασάντων, ὧν ἡ μνήμη παλαιοτέρων μὲν ὄντων μήκει χρόνων
ἠφανίσθη, νεαζόντων δὲ ἔτι διὰ τὴν ἐπιπολάζουσαν τῶν συνόντων ὀλιγω-
ρίαν ἐξαμαυροῦται. κατὰ δὲ τὴν βάρβαρον, ἐν ᾗ πρεσβευταὶ λόγων καὶ 74
ἔργων, πολυανθρωπότατα στίφη καλῶν καὶ ἀγαθῶν ἐστιν ἀνδρῶν· ἐν
Πέρσαις μὲν τὸ μάγων, οἳ τὰ φύσεως ἔργα διερευνώμενοι πρὸς ἐπίγνωσιν
τῆς ἀληθείας καθ' ἡσυχίαν τὰς θείας ἀρετὰς τρανοτέραις ἐμφάσεσιν
ἱεροφαντοῦνταί τε καὶ ἱεροφαντοῦσιν· ἐν Ἰνδοῖς δὲ τὸ γυμνοσοφιστῶν, οἳ
457 M. πρὸς τῇ φυσικῇ καὶ τὴν ἠθικὴν φιλοσοφίαν | διαπονοῦντες ὅλον ἐπίδειξιν
ἀρετῆς πεποίηνται τὸν βίον.

(12.) Ἔστι δὲ καὶ ἡ Παλαιστίνη Συρία καλοκἀγαθίας οὐκ ἄγονος, 75

1 παρ' ἑαυτοῖς M: πρὸς αὑτοῖς G, πρὸς αὑτοῖς FH¹P, πρὸς αὑτῆς H² (v), πρὸς αὑτοὺς AQT; πρὸς αὑτὴν coni. Mang. ἔνδειαν] ἐν διανοίᾳ M ἀνθρώπων γένη M, γένει ἀνθρώπων transp. F 2 ἐκφυσήσαντα H (Turn.) 3 τυφώμενον MT 4 ὄκνος M: ὁ ὄκνος ceteri (v) 5 διαφθείρονται M δ' M ἦν om. L (Turn.) 7 καὶ ante ἀστείων om. FG 8 δ' MA, δὲ om. QT 9 δ' M ἐν τῇ M: ἐν ᾗ ceteri (praeter G); ἐν μὲν γὰρ τῇ ἑλλάδι G ^{οι}ἑτόμως A, ἑτοίμως QT 9. 10 ἑπτὰ σοφοὶ προσονομασθέντες M: προονομασθέντες ἑπτὰ σοφοὶ ceteri (v) 10. 11 ὡς εἰκὸς om. M 11 μήκει χρόνων] μικροῖς ἂν M 12 ἠφανίσθη M: οὐκ ἠφανίσθη (ἠφανήθη F) ceteri (v) νεαζόντων] κραζόντων F δ' M 13 πρεσβευταὶ λόγων καὶ ἔργων FH²: πρεσβευταὶ λόγων ἔργων GH¹P, πρεσβευταὶ λόγων ἔργῳ AQT, προσέταξε λόγων ἔργα M 14 πολυανθρωπότατα AQT: πολυανθρωπότερα ceteri (Turn.) ἐστιν ἀνδρῶν] ἐστι παρ' ὧν M 14. 15 ἐν περσίδι M 15 οἳ] καὶ GH¹P, οἳ om. F 16 τῆς ἀληθείας MAQT: τῆς om. ceteri (v) καθ' ἡσυχίαν τὰς θείας om. AT καθ'] μεθ' G τρανοτέρας GT (τρανωτέραις v) 17 ἐν ἰνδοῖς M: ἐπ' ἰνδοῖς ceteri (Turn.) 18 ἠθικὴν] ὑλικὴν AQ 20 παλαιστίνης AQT, ἐν Παλαιστίνῃ Eus Συρία] καὶ συρία H² (v); cf. de virt. (de nobil.) § 221 ἄγονος] ἄμοιρος HP

20—26, 8 Euseb. Praep. Evang. VIII 12, 1—19 ἀπὸ δὲ τοῦ Περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι τὰ οὕτως ἔχοντα παραθήσομαι· ἔστι δὲ καὶ — σαφέστατον δεῖγμα.

ἣν πολυανθρωποτάτου ἔθνους τῶν Ἰουδαίων οὐκ ὀλίγη μοῖρα νέμεται.
λέγονταί τινες παρ' αὐτοῖς ὄνομα Ἐσσαῖοι, πλῆθος ὑπερτετρακισχίλιοι,
κατ' ἐμὴν δόξαν — οὐκ ἀκριβεῖ τύπῳ διαλέκτου Ἑλληνικῆς — παρώνυ-
μοι ὁσιότητος, ἐπειδὴ κἀν τοῖς μάλιστα θεραπευταὶ θεοῦ γεγόνασιν, οὐ
ζῷα καταθύοντες, ἀλλ' ἱεροπρεπεῖς τὰς ἑαυτῶν διανοίας κατασκευάζειν
76 ἀξιοῦντες. οὗτοι τὸ μὲν πρῶτον κωμηδὸν οἰκοῦσι τὰς πόλεις ἐκτρεπό-
μενοι διὰ τὰς τῶν πολιτευομένων χειροήθεις ἀνομίας, εἰδότες ἐκ τῶν
συνόντων ὡς ἀπ' ἀέρος φθοροποιοῦ νόσον ἐγγινομένην προσβολὴν ψυχαῖς
ἀνίατον· ὧν οἱ μὲν γεωπονοῦντες, οἱ δὲ τέχνας μετιόντες ὅσαι συνερ-
γάτιδες εἰρήνης, ἑαυτούς τε καὶ τοὺς πλησιάζοντας ὠφελοῦσιν, οὐκ ἄργυρον
καὶ χρυσὸν θησαυροφυλακοῦντες οὐδ' ἀποτομὰς γῆς μεγάλας κτώμενοι
δι' ἐπιθυμίαν προσόδων, ἀλλ' ὅσα πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρείας
77 ἐκπορίζοντες. μόνοι γὰρ ἐξ ἁπάντων σχεδὸν ἀνθρώπων ἀχρήματοι καὶ
ἀκτήμονες γεγονότες ἐπιτηδεύσει τὸ πλέον ἢ ἐνδείᾳ εὐτυχίας πλουσιώτατοι
νομίζονται, τὴν ὀλιγοδεΐαν καὶ εὐκολίαν, ὅπερ ἐστί, κρίνοντες περιουσίαν.
78 βελῶν ἢ ἀκόντων ἢ ξιφιδίων ἢ κράνους ἢ θώρακος ἢ ἀσπίδος οὐδένα
παρ' αὐτοῖς ἂν εὕροις δημιουργὸν οὐδὲ συνόλως ὁπλοποιὸν ἢ μηχανοποιὸν
ἤ τι τῶν κατὰ πόλεμον ἐπιτηδεύοντα· ἀλλ' οὐδὲ ὅσα τῶν κατ' εἰρήνην

---

1 ἣν] ἡ T πολυανθρώπου T ἔθνους] γένους HP (Turn.) τῶν] τοῦ G 2 λέγονται δέ τινες Eus codd. nonnulli ὄνομα Ἐσσαῖοι] ὀνομαστοὶ M ὑπὲρ τετρακισχίλιοι codd.: ὑπὲρ τετρακισχιλίους Eus codd. nonnulli (v) 3 διαλέκτου ἑλληνικῆς MGQT Eus: διαλέκτῳ ἑλληνικῇ FAHP (Turn.) 5 ἀλλὰ M τὰς ἑαυτῶν om. AQ 6 μὲν MT Eus: μέντοι ceteri (Turn.) 7 εἰδότες] δεδιότες coni. Mang. 8 ὡς] ὥσπερ QT ἀπ' ἀέρος M Eus: ἀπ' om. ceteri (Turn.) νόσων G, νόσου T 9 μετιόντες] συνόντες M 9. 10 συνεργάτιδες] συνεργάται τῆς F (H¹P¹) 11 μεγάλας γῆς transp. AQT 12 τοῦ βίου χρείας M Eus: χρείας τοῦ βίου ceteri (v) 14 ἀκτήμονες] ἀκτήματοι A, ἀκτήματοι αὐτοὶ Eus γεγονότες] ὄντες M πλέον M Eus cod. I: πλεῖον ceteri (v) post πλεῖον add. διαζῶσιν AQT ἢ] καὶ F, ἢ om. A ἐνδείᾳ εὐτυχίας πλουσιώτατοι] ἐν ἐνδείας ἡλικίᾳ, εὐτυχίαν πλουσιωτάτην AQT πλουσιώτεροι M, πλουσιώτατον H 15 νομίζονται] νομίζοντες MAQT ὀλιγοδεΐαν MF²AQT: ὀλιγοδέειαν F¹GHP Eus (ὀλιγόδειαν v) καὶ εὐκολίαν ὅπερ ἐστί om. Eus codd. nonnulli 17 εὕροις ἂν transp. AT εὕροις] ἴδοις Eus codd. nonnulli οὐδὲ συνόλως ὁπλοποιὸν ἢ μηχανοποιὸν ἤ M Eus: ἢ ὁπλοποιὸν ἢ μηχανοποιὸν ἢ συνόλως ceteri (v) 18 τι τῶν κατὰ πόλεμον] τῶν κατὰ πόλεμόν τι G, τι om. HP¹ (Turn.) ἐπιτηδεύοντα] ἐπιτηδεύματα L (Turn.), ἐπιτηδευμάτων Eus codd. nonnulli οὐδ' A Eus alterum τῶν MG: om. ceteri Eus (Turn.)

---

2 Joseph. Antiqu. XVIII § 20 ... καὶ τάδε πράσσουσιν ἄνδρες ὑπερτετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. 4. 5 Joseph. Antiqu. XVIII § 19 ... εἰς δὲ τὸ ἱερὸν ἀναθήματα στέλλοντες θυσίας οὐκ ἐπιτελοῦσι διαφορότητι ἁγνειῶν. 9. 10 συνεργάτιδες: Eur. El. 100 φόνου συνεργάτιν.

εὐόλισθα εἰς κακίαν· ἐμπορίας γὰρ ἢ καπηλείας ἢ ναυκληρίας οὐδ' ὄναρ
ἴσασι, τὰς εἰς πλεονεξίαν ἀφορμὰς ἀποδιοπομπούμενοι. δοῦλός τε παρ' 79
αὐτοῖς οὐδὲ εἷς ἐστιν, ἀλλ' ἐλεύθεροι πάντες ἀνθυπουργοῦντες ἀλλήλοις·
καταγινώσκουσί τε τῶν δεσποτῶν, οὐ μόνον ὡς ἀδίκων, ἰσότητα λυμαινομένων, ἀλλὰ καὶ ὡς ἀσεβῶν, θεσμὸν φύσεως ἀναιρούντων, ἣ πάντας
ὁμοίως γεννήσασα καὶ θρεψαμένη μητρὸς δίκην ἀδελφοὺς γνησίους, οὐ
p. 458 M. λεγομένους ἀλλ' ὄντας ὄντως, | ἀπειργάσατο· ὧν τὴν συγγένειαν ἡ ἐπίβουλος πλεονεξία παρευημερήσασα διέσεισεν, ἀντ' οἰκειότητος ἀλλοτριότητα
καὶ ἀντὶ φιλίας ἔχθραν ἐργασαμένη. φιλοσοφίας τε τὸ μὲν λογικὸν ὡς 80
οὐκ ἀναγκαῖον εἰς κτῆσιν ἀρετῆς λογοθήραις, τὸ δὲ φυσικὸν ὡς μεῖζον
ἢ κατὰ ἀνθρωπίνην φύσιν μετεωρολέσχαις ἀπολιπόντες, πλὴν ὅσον αὐτοῦ
περὶ ὑπάρξεως θεοῦ καὶ τῆς τοῦ παντὸς γενέσεως φιλοσοφεῖται, τὸ
ἠθικὸν εὖ μάλα διαπονοῦσιν ἀλείπταις χρώμενοι τοῖς πατρίοις νόμοις,
οὓς ἀμήχανον ἀνθρωπίνην ἐπινοῆσαι ψυχὴν ἄνευ κατοκωχῆς ἐνθέου.
τούτους ἀναδιδάσκονται μὲν καὶ παρὰ τὸν ἄλλον χρόνον, ἐν δὲ ταῖς ἑβδόμαις διαφερόντως. ἱερὰ γὰρ ἡ ἑβδόμη νενόμισται, καθ' ἣν τῶν ἄλλων 81
ἀνέχοντες ἔργων, εἰς ἱεροὺς ἀφικνούμενοι τόπους, οἳ καλοῦνται συναγωγαί,
καθ' ἡλικίας ἐν τάξεσιν ὑπὸ πρεσβυτέροις νέοι καθέζονται, μετὰ κόσμου
τοῦ προσήκοντος ἔχοντες ἀκροατικῶς. εἶθ' εἷς μέν τις τὰς βίβλους 82
ἀναγινώσκει λαβών, ἕτερος δὲ τῶν ἐμπειροτάτων ὅσα μὴ γνώριμα παρελ-

2 ἀποδιοπομπούμενοι] ἀποδίδονται ποιούμενοι M 3 ἀλλὰ A 4 τε] τὸ M ἰσότητα MG Eus: ὁσιότητος F, ὁσιότητα ceteri (Turn.) 5 ἀσεβῶν] δυσεβῶν (sic) T 6 θρεψαμένη M: θρέψασα ceteri Eus (v) δίκην] τρόπον M Eus ἀδελφοὺς] ὡς ἀδελφοὺς HP (v) 7 ἀλλ'] ἀλλὰ καὶ M ὄντως ὄντας transp. AT ὧν τὴν συγγένειαν M Eus: τὴν δὲ συγγένειαν FH (Turn.), τὴν συγγένειαν δὲ GPAQT 9 τε M Eus: δὲ ceteri (Turn.) ὡς om. M 11 κατ' FAQT αὐτοῦ] αὐτῶν F, αὐτῆς T 12 περὶ] τε T φιλοσοφεῖν M ante τὸ add. καὶ A 13 διακονοῦσιν G ἀλείπταις χρώμενοι] ἀεὶ ὑπισχνούμενοι M τοὺς πατρίους νόμους M, τοῖς πατρῴοις νόμοις F Eus 14 ἀνθρωπίνην ἐπινοῆσαι] ἔστι νοῆσαι ἀνθρωπίνην M κατοκωχῆς scripsi: κατακοχῆς M, κατοχῆς G Eus codd. plerique, κατακωχῆς corr. ex καταδοχῆς H, κατακωχῆς ceteri Eus codd. EI (v) ἐνθέου] ἐνθέτου T 15 τοῦτο T ἀναδιδάσκοντας QT, ἀναδιδάσκοντες H (Turn.) α α
περὶ A, περὶ QT 15. 16 ἑβδόμαις] ἑβδόμοις H (Turn.), βουλαῖς M 16 διαφερόντως M Eus: μάλιστα διαφερόντως ceteri (Turn.) ἡ om. P 17 ἀνέχονται G, ἀντέχονται HP, ἀπέχονται L (Turn.) εἰς ἱεροὺς MFGHP Eus: εἰς ἱεροὺς δὲ G, καὶ εἰς ἱεροὺς AQT (Mang.) 18 καθ' ἡλικίαν Eus codd. nonnulli πρεσβυτέρους Q καθίζονται Q 19 ἀκροαματικῶς G εἶθ' εἷς μέν τις scripsi: εἶθ' ὁ μὲν codd. (v), εἷς μέν τις Eus 20 ἀναγινώσκειν M ἅτερος A ἐμπειροτέρων A

θῶν ἀναδιδάσκει· τὰ γὰρ πλεῖστα διὰ συμβόλων ἀρχαιοτρόπῳ ζηλώσει
83 παρ' αὐτοῖς φιλοσοφεῖται. παιδεύονται δὲ εὐσέβειαν, ὁσιότητα, δικαιο-
σύνην, οἰκονομίαν, πολιτείαν, ἐπιστήμην τῶν πρὸς ἀλήθειαν ἀγαθῶν καὶ
κακῶν καὶ ἀδιαφόρων, αἱρέσεις ὧν χρὴ καὶ φυγὰς τῶν ἐναντίων, ὅροις
καὶ κανόσι τριττοῖς χρώμενοι, τῷ τε φιλοθέῳ καὶ φιλαρέτῳ καὶ φιλανθρώ-
84 πῳ. τοῦ μὲν οὖν φιλοθέου δείγματα παρέχονται μυρία· τὴν παρ' ὅλον
τὸν βίον συνεχῆ καὶ ἐπάλληλον ἁγνείαν, τὸ ἀνώμοτον, τὸ ἀψευδές, τὸ πάντων
μὲν ἀγαθῶν αἴτιον, κακοῦ δὲ μηδενὸς νομίζειν εἶναι τὸ θεῖον· τοῦ δὲ
φιλαρέτου τὸ ἀφιλοχρήματον, τὸ ἀφιλόδοξον, τὸ ἀφιλήδονον, τὸ ἐγκρατές, τὸ
καρτερικόν, ἔτι δὲ ὀλιγοδεΐαν, ἀφέλειαν, εὐκολίαν, τὸ ἄτυφον, τὸ νόμιμον, τὸ
εὐσταθές, καὶ ὅσα τούτοις ὁμοιότροπα· τοῦ δὲ φιλανθρώπου εὔνοιαν,
ἰσότητα, τὴν παντὸς λόγου κρείττονα κοινωνίαν, περὶ ἧς οὐκ ἄκαιρον
85 βραχέα εἰπεῖν. πρῶτον μὲν τοίνυν οὐδενὸς οἰκία τίς ἐστιν ἰδία, ἣν
οὐχὶ πάντων εἶναι κοινὴν συμβέβηκε· πρὸς γὰρ τῷ κατὰ θιάσους συνοικεῖν
86 ἀναπέπταται καὶ τοῖς ἑτέρωθεν ἀφικνουμένοις τῶν ὁμοζήλων. εἶτ'
ἐστὶ ταμεῖον ἓν πάντων καὶ δαπάναι ⟨κοιναί⟩, καὶ κοιναὶ μὲν ἐσθῆτες,
κοιναὶ δὲ τροφαὶ συσσίτια πεποιημένων· τὸ γὰρ ὁμωρόφιον ἢ ὁμοδίαιτον

1 ἀναδιδάσκει] ἀναγινώσκει HP¹ (Turn.) ζηλώσει] ζήλω AT 2 δὲ] τε M εὐσέβειαν om. HP (Turn.) 3 πολιτείας A καὶ ἐπιστήμην Eus codd. plerique 4 ὅροις] νόμοις Eus 5 τῷ τοῦ φιλοθέου καὶ φιλαρέτου καὶ φιλανθρώπου M φιλανθρώπῳ καὶ φιλαρέτῳ transp. PQT 6. 7 δείγματα μυρία παρέχει ἡ παρ' ὅλον τὸν βίον συνεχὴς καὶ ἐπάλληλος ἁγνεία Eus 7 ἐπάλληλον] ἀμετάλληλον AT 10 ὀλιγοδεΐαν A: ὀλιγοδεεΐαν (sic) H, ὀλιγοδέειαν P Eus, ὀλιγόδειαν FGQT (v), ὀλίγον εἶναι M ἀφέλειαν] φιλίαν M τὸ νόμιμον] τὸ κόσμιον coni. Mang. 11 post φιλανθρώπου add. δείγματα Eus codd. nonnulli (Mang.) 11. 12 εὔνοια, ἰσότης, ἡ παντὸς λόγου κρείττων κοινωνία Eus codd. nonnulli 12 τὴν om. HP¹ (Turn.) 13 τοίνυν] οὖν Eus codd. nonnulli οὐδενὸς] οὐδενὸς ἑνὸς Eus οὐδενός ἐστιν οἰκία ἰδία (om. τις) M 14 πάντων εἶναι κοινὴν Eus: καὶ πάντων M, πάντων εἶναι ceteri (v) πρὸς] καὶ M γὰρ] δὲ A τῷ FGH¹PQ Eus: τὸ MATH² συνοικεῖν] συνοικία M 16 καὶ δαπάναι—ἐσθῆτες om. M κοιναὶ post δαπάναι addidi 17 συσσίτια] συνιάται (sic) M ὁμορόφιον M ἢ ὁμοδίαιτον om. M

14 Joseph. Bell. Jud. II § 124 ... καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς πάντ' ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους. 16 sqq. Joseph. Bell. Jud. II § 122 καταφρονηταὶ δὲ πλούτου· καὶ θαυμάσιον αὐτοῖς τὸ κοινωνικόν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινα παρ' αὐτοῖς ὑπερέχοντα· νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασιν μήτε πενίας ταπεινότητα φαίνεσθαι μήθ' ὑπεροχὴν πλούτου, τῶν δ' ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. Antiqu. XVIII § 20 ... τὰ χρήματά τε κοινά ἐστιν αὐτοῖς, ἀπολαύει δὲ οὐδὲν ὁ πλούσιος τῶν οἰκείων μειζόνως ἢ ὁ μηδ' ὁτιοῦν κεκτημένος.

ἢ ὁμοτράπεζον οὐκ ἄν τις εὕροι παρ' ἑτέροις μᾶλλον ἔργῳ βεβαιούμενον·
459 M. | καὶ μήποτ' εἰκότως· ὅσα γὰρ ἂν μεθ' ἡμέραν ἐργασάμενοι λάβωσιν ἐπὶ μισθῷ, ταῦτ' οὐκ ἴδια φυλάττουσιν, ἀλλ' εἰς μέσον προτιθέντες κοινὴν τοῖς ἐθέλουσι χρῆσθαι τὴν ἀπ' αὐτῶν παρασκευάζουσιν ὠφέλειαν. οἵ τε 87
νοσοῦντες οὐχ ὅτι πορίζειν ἀδυνατοῦσιν ἀμελοῦνται, τὰ πρὸς τὰς νοσηλείας ἐκ τῶν κοινῶν ἔχοντες ἐν ἑτοίμῳ, ὡς μετὰ πάσης ἀδείας ἐξ ἀφθονωτέρων ἀναλίσκειν. αἰδὼς δ' ἐστὶ πρεσβυτέρων καὶ φροντίς, οἷα γονέων ὑπὸ γνησίων παίδων χερσὶ καὶ διανοίαις μυρίαις ἐν ἀφθονίᾳ τῇ πάσῃ γηροτροφουμένων. (13.) τοιούτους ἡ δίχα περιεργίας Ἑλληνικῶν 88
ὀνομάτων ἀθλητὰς ἀρετῆς ἀπεργάζεται φιλοσοφία, γυμνάσματα προτιθεῖσα τὰς ἐπαινετὰς πράξεις, ἐξ ὧν ἡ ἀδούλωτος ἐλευθερία βεβαιοῦται. σημεῖον 89
δέ· πολλῶν κατὰ καιροὺς ἐπαναστάντων τῇ χώρᾳ δυναστῶν καὶ φύσεσι καὶ προαιρέσεσι χρησαμένων διαφερούσαις — οἱ μὲν γὰρ πρὸς τὸ ἀτίθασον ἀγριότητα θηρίων ἐκνικῆσαι σπουδάσαντες, οὐδὲν παραλιπόντες τῶν εἰς ὠμότητα, τοὺς ὑπηκόους ἀγεληδὸν ἱερεύοντες ἢ καὶ ζῶντας ἔτι μαγείρων τρόπον κατὰ μέρη καὶ μέλη κρεουργοῦντες ἄχρι τοῦ τὰς αὐτὰς ὑπομεῖναι συμφορὰς ὑπὸ τῆς τὰ ἀνθρώπεια ἐφορώσης δίκης οὐκ ἐπαύσαντο· οἱ 90
δὲ τὸ παρακεκινημένον καὶ λελυττηκὸς εἰς ἑτέρας εἶδος κακίας μεθαρμοσάμενοι, πικρίαν ἄλεκτον ἐπιτηδεύσαντες, ἡσυχῇ διαλαλοῦντες, ἠρεμαιοτέρας φωνῆς ὑποκρίσει βαρύμηνι ἦθος ἐπιδεικνύμενοι, κυνῶν ἰοβόλων τρόπον προσσαίνοντες, ἀνιάτων γενόμενοι κακῶν αἴτιοι, κατὰ πόλεις μνημεῖα τῆς

---

1 μᾶλλον om. HP (Turn.) 2 μήποτε M, μήτε Eus καθ' ἡμέραν QT ἐργαζόμενοι AQT 3 ταῦτα A, ταῦτ' om. M κοινῇ G 4 παρασκευάζει HP[1] 5 νοσοῦντες M Eus: νοσηλεύοντες ceteri (Turn.) ὅτι] ὅσον ἐστὶ F ἀμελοῦντες H[1]P τὰ M: om. ceteri Eus (v) 5. 6 πρὸς τὰς νοσηλείας] πρὸς τὴν χρείαν M 6 ὡς] οὓς M ἀδείας πάσης transp. F 7 ante ἀναλίσκειν add. ἔξεστιν M δ' ἐστὶ] δ' ἔτι AQT, τε ἐστὶ M post πρεσβυτέρων add. καὶ τιμὴ HP (v), om. ceteri Eus 8 γονέων ὑπὸ om. HP (Turn.) 9 περιεργείας HP (Turn.) 10 ἀθλητὰς] ἀσκητὰς coni. Mang. ante γυμνάσματα add. ὡς ATP[2] προστιθεῖσα HP 11 σημείων T 12 καιροὺς] καιροὺς πολλοὺς A, πολλοὺς QT δυναστῶν MQT Eus: δυνατῶν ceteri (v) 13 προαιρέσει H[1]P, προαιρέσεις H[2] πρὸς] εἰς Eus ἀτίθασσον GAQ (v) 14 ἀγριότητι A θηρίων] τῶν θηρίων AQT ἐκνικῆσαι om. M παραλειπόντες (sic) F, παραλείποντες G, παρέλιπον AT 15 post ὠμότητα add. θηρίων F 16 μέρη καὶ μέλη MF Eus: μέλη καὶ μέρη ceteri (v) τοῦ om. A 17 post ὑπὸ add. τοῦ H[1]P τἀνθρώπεια A 18 ἑτέρας] ἕτερον HPQ (v) 19 διαλαλοῦντες] δὲ λαλοῦντες AQT ἠρεμωτέρας M 20 ἐπιδεικνύμενοι codd. Eus: δεικνύμενοι v ἰοβόλων] ὑπούλων coni. Mang. 21 προσαίνοντες MFT κακῶν γενόμενοι transp. M μνημεῖον A

ἑαυτῶν ἀσεβείας καὶ μισανθρωπίας ἀπέλιπον τὰς τῶν πεπονθότων ἀλή-
91 στους συμφοράς —. ἀλλὰ γὰρ οὐδεὶς οὔτε τῶν σφόδρα ὠμοθύμων οὔτε τῶν
πάνυ δολερῶν καὶ ὑπούλων ἴσχυσε τὸν λεχθέντα τῶν Ἐσσαίων ἢ ὁσίων
ὅμιλον αἰτιάσασθαι, πάντες δὲ ἀσθενέστεροι τῆς τῶν ἀνδρῶν καλοκἀγαθίας
γενόμενοι καθάπερ αὐτονόμοις καὶ ἐλευθέροις οὖσιν ἐκ φύσεως προσηνέχ-
θησαν, ᾄδοντες αὐτῶν τὰ συσσίτια καὶ τὴν παντὸς λόγου κρείττονα
κοινωνίαν, ἣ βίου τελείου καὶ σφόδρα εὐδαίμονός ἐστι σαφέστατον δεῖγμα.
92 (14.) Χρὴ δ', ἐπειδὴ τὰς ἐν τοῖς πλήθεσιν ἀρετὰς οὐκ οἴονταί τινες
εἶναι τελείας, ἀλλ' ἄχρι συναυξήσεως καὶ ἐπιδόσεως αὐτὸ μόνον ἵστασθαι,
μάρτυρας βίους τῶν κατὰ μέρος ἀνδρῶν ἀγαθῶν παραγαγεῖν, οἳ σαφέσ-
93 ταται πίστεις ἐλευθερίας εἰσί. Κάλανος ἦν Ἰνδὸς γένος τῶν γυμνοσο-
φιστῶν· οὗτος καρτερικώτατος τῶν κατ' αὐτὸν ἁπάντων | νομισθεὶς οὐ p.460 M.
μόνον ὑπὸ τῶν ἐγχωρίων ἀλλὰ καὶ πρὸς ἀλλοφύλων, ὃ δὴ σπανιώτατόν
ἐστιν, ἐχθρῶν βασιλέων ἐθαυμάσθη, λόγοις ἐπαινετοῖς σπουδαῖα ἔργα
94 συνυφήνας. Ἀλέξανδρος γοῦν ὁ Μακεδὼν βουλόμενος ἐπιδείξασθαι τῇ
Ἑλλάδι τὴν ἐν τῇ βαρβάρῳ σοφίαν, καθάπερ ἀπ' ἀρχετύπου γραφῆς
ἀπεικόνισμα καὶ μίμημα, τὸ μὲν πρῶτον παρεκάλει Κάλανον συναπο-
δημῆσαι, μέγιστον περιποιήσοντα κλέος ⟨ἐν⟩ ὅλῃ Ἀσίᾳ καὶ ὅλῃ Εὐρώπῃ.

---

1 ἑαυτῶν AQ Eus: om. T, αὐτῶν ceteri (αὑτῶν v) ἀπέλιπον τὰς] ἀπολιπόντες M 1. 2 ἀλήστους] ἀλήπτους M, ἀλέκτους AT 2 prius οὔτε Eus: οὐδὲ codd. (v) σφόδρα MFT Eus: σφόδρ' ceteri (v) alterum οὔτε M Eus: οὐδὲ ceteri (v) 4 ὅμιλον post λεχθέντα (3) transp. HPQ (v) δ' A Eus 5 γενόμενοι om. QT καὶ ἐλευθέροις om. M 5. 6 προηνέχθησαν FGHP 6 αὐτῶν] αὐτὸν M (αὑτῶν v) συσσίτια] σιτία M 7 ἣ] ἣν AQT ἐστι] εἶναι AQT σαφέστατον M Eus: om. ceteri δεῖγμα MHP Eus: δόγμα ceteri 9 τελείους T ἀλλὰ M ἄχρι om. M αὐτὸ] αὐτῶν QT 10 ἀγαθῶν] χρὴ A
αι
πάραγαγεῖν] πειθαρχεῖν ἢ παραγαγεῖν F 10. 11 σαφέστατοι πίστεις M, σαφεστάτη πίστις AQT 11 Ἰνδὸς] ἰνδῶν T 12 κατ' αὐτὸν M: καθ' αὑτὸν ceteri (v) 13 ὑπὸ τῶν ὑπεγχωρίων M (ὑπὸ τῶν ἐγχωρίων scripsi): ὑπ' ἐγχωρίων ceteri (v) post ἀλλοφύλων addendum censuit καὶ Mang. 14 ἐθαυμαστώθη F 16 βαρβάρων M ἀπ' ἀρχετύπου] καὶ ἀρχέτυπον M 17 Κάλανον] κάλον M 17. 18 συναποδημήσειν M (συναποδημεῖν Mang.) 18 περιποιήσαντα HP ἐν ante ὅλῃ addidi

---

15 sqq. *Ambros. Epist. 37, 34* non enim ego de contemptu mortis libros philosophorum depromo aut gymnosophistas Indorum, quorum prae ceteris Calani laudatur responsum Alexandro, cum eum iuberet sequi: qua me, inquit, laude dignum Graeciam petere poscis, si possum cogi facere quod nolo? et vere plenus auctoritatis sermo, sed magis mens plena libertatis.

ὡς δ' οὐκ ἔπειθεν, ἀναγκάσειν ἔφη συνακολουθεῖν· ὁ δὲ εὐθυβόλως πάνυ 95 καὶ εὐγενῶς „τίνος οὖν" εἶπεν „ἄξιόν με τοῖς Ἕλλησιν ἐπιδείξεις, Ἀλέξανδρε, εἴ γε ἀναγκασθήσομαι ποιεῖν ἃ μὴ βούλομαι;" ἆρ' οὐ γέμων μὲν παρρησίας ὁ λόγος, πολὺ δὲ μᾶλλον ἐλευθερίας ὁ νοῦς; ἀλλὰ γὰρ καὶ ἐν τοῖς βεβαιοτέροις φωνῶν γράμμασιν ἤθους ἀδουλώτου τύπους ἐστηλίτευσεν ἀριδήλους. μηνύει δὲ ἡ πεμφθεῖσα ἐπιστολὴ τῷ βασιλεῖ· 96

„Κάλανος Ἀλεξάνδρῳ.

Φίλοι πείθουσί σε χεῖρας καὶ ἀνάγκην προσφέρειν Ἰνδῶν φιλοσόφοις οὐδ' ἐν ὕπνοις ἑωρακότες ἡμέτερα ἔργα. σώματα μὲν γὰρ μετοίσεις ἐκ τόπου εἰς τόπον, ψυχὰς δὲ οὐκ ἀναγκάσεις ποιεῖν ἃ μὴ βούλονται μᾶλλον ἢ πλίνθους καὶ ξύλα φωνὴν ἀφεῖναι. πῦρ μεγίστους τοῖς ζῶσι σώμασι πόνους καὶ φθορὰν ἐργάζεται· τούτου ὑπεράνω ἡμεῖς γινόμεθα, ζῶντες καιόμεθα. οὐκ ἔστι βασιλεὺς οὐδὲ ἄρχων, ὃς ἀναγκάσει ἡμᾶς

1 ἀναγκάσειν M: ἀναγκαστὶ FGHP, ἀναγκασθι$^{\text{στὶ}}$ L, ἀναγκασθήσῃ AQT (v) ἔφη συνακολουθεῖν] ἔφησεν ἀκολουθεῖν M 2 οὖν M: ἕνεκα Q, ἕνεκεν ceteri (Turn.) εἰπεῖν HP ἄξιον] ἄξων AQT ἐπιδείξαις A 4 παρρησίας codd. (Turn.): ἐλευθερίας Mang. ἐλευθερίας M: om. ceteri (v) ἀλλὰ γὰρ M: γὰρ om. ceteri (v) 5 γράμμασιν M: πράγμασιν ceteri (Turn.) τύπους] τούτους M 6 ἐστηλίτευσαν A, ἐστήλωσεν QT ἀριδήλως M δ' MA, δὲ καὶ F 8 πείθουσί σε M: σε om. ceteri (v) 9 ὕπνοις M: ὕπνῳ ceteri (v) ἑωρακόσιν AQT ἡ$^{\text{ὑ}}$μέτερα A, ὑμέτερα QT μὲν γὰρ M: μὲν om. ceteri (v) οἴσεις AQT 10 δ' MA οὐκ ἀναγκάσεις M (Clem. Alex.): οὐ δύνασαι ceteri (Turn.) 11 μᾶλλον ἢ M: ἢ μᾶλλον ceteri (Turn.) 11. 12 ζῶσι σώμασι GHP: ζῶσι om. MAQT, σώμασι om. F 12 post τούτου add. δ' G γινώμεθα F 13 ζῶντες ⟨γὰρ⟩ conicio (cf. Ambros.) οὐδὲ M: οὔτε ceteri (v)

6 sqq. *pergit Ambros. l. l.* denique et epistolam scripsit. „Calanus Alexandro. (35.) Amici persuadent tibi manus et necessitatem inferre Indorum philosophis, ne in somnis quidem videntes nostra opera. corpora enim transferes de loco ad locum, animas non coges facere quod nolunt, non magis quam saxa et ligna vocem emittere. maximum ignis viventibus corporibus dolorem [inurit et] gignit (et) corruptionem: super hunc nos sumus, viventes enim exurimur. non est rex neque princeps, qui extorqueat nobis facere quod non proposuimus. nec similes sumus Graeciae philosophorum, qui verba pro rebus meditati sunt ad opinionis celebritatem: nobis res sociae verbis et verba rebus: res celeres et sermones breves: in virtute nobis libertas beata est." Clem. Alex. Strom. IV 7 p. 586 P. Ἰνδῶν οἱ φιλόσοφοι Ἀλεξάνδρῳ λέγουσι τῷ Μακεδόνι· „σώματα μὲν μετάξεις ἐκ τόπου εἰς τόπον, ψυχὰς δ' ἡμετέρας οὐκ ἀναγκάσεις ποιεῖν ἃ μὴ βουλόμεθα. πῦρ ἀνθρώποις μέγιστον κολαστήριον· τούτου ἡμεῖς καταφρονοῦμεν."

ποιεῖν ἃ μὴ προαιρούμεθα. Ἑλλήνων δὲ φιλοσόφοις οὐκ ἐξομοιούμεθα, ὅσοι αὐτῶν εἰς πανήγυριν λόγους ἐμελέτησαν, ἀλλὰ λόγοις ἔργα παρ' ἡμῖν ἀκόλουθα καὶ ἔργοις λόγοι· *** βραχεῖς ἄλλην ἔχουσι δύναμιν καὶ μακαριότητα καὶ ἐλευθερίαν περιποιοῦντες."

97 Ἐπὶ δὴ τοιαύταις ἀποφάσεσι καὶ γνώμαις ἆρ' οὐκ ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι, ὅτι „θᾶττον ἂν ἀσκὸν βαπτίσαι τις πλήρη πνεύματος ἢ βιάσαιτο τῶν σπουδαίων ὁντινοῦν ἄκοντα δρᾶσαί τι τῶν ἀβουλήτων"; ἀνένδοτος γὰρ ψυχὴ καὶ ἀήττητος, ἣν ὁ ὀρθὸς λόγος δόγμασι παγίοις ἐνεύρωσε.

98 (15.) Τῆς δὲ σπουδαίων ἐλευθερίας μάρτυρές εἰσι ποιηταὶ καὶ συγγραφεῖς, ὧν ταῖς γνώμαις Ἕλληνες ὁμοῦ καὶ βάρβαροι σχεδὸν ἐξ αὐτῶν σπαργάνων ἐντρεφόμενοι βελτιοῦνται τὰ ἤθη, πᾶν ὅσον ἐξ ὑπαιτίου τροφῆς καὶ διαίτης ἐν ταῖς ψυχαῖς κεκιβδήλευται μεταχαραττόμενοι πρὸς
99 τὸ δόκιμον. ἴδε γοῦν οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς·

| „πίμπρα, κάταιθε σάρκας, ἐμπλήσθητί μου p. 461 M.
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα γῆ τ' ἄνεισ' εἰς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον."

τῷ γὰρ ὄντι θωπεία μὲν καὶ κολακεία καὶ ὑπόκρισις, ἐν οἷς λόγοι γνώμαις διαμάχονται, δουλοπρεπέστατα, τὸ δὲ ἀνόθως καὶ γνησίως ἐκ
100 καθαροῦ τοῦ συνειδότος ἐλευθεροστομεῖν εὐγενέσιν ἁρμόττον. πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς, ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ,

2 πανήγυριν] πάντα M 3 post λόγοι lacunam indicavi; ⟨ἔργα μὲν ταχέα καὶ λόγοι⟩ βραχεῖς, ἀλλ' ἔχουσι δύναμιν conicio (cf. Ambros.), βραχεῖς μέν, ἀλλὰ μεγάλην ἔχουσι δύναμιν coni. Wilamowitz βραχεῖς ἄλλην M: βραχεῖαν ceteri (Turn.) 4 περιποιοῦνται AQ 5 δὴ M: om. ceteri (Turn.) ἀποφάνσεσι FG 6 ἂν om. HP^{1} (Turn.) τις G: om. ceteri (v) 7 ἢ] εἰ M βιάσαι FGA τῶν σπουδαίων MG: τὴν τοῦ σπουδαίου A, τὸν σπουδαῖον ceteri (v); τὸν σπουδαῖον ὁστισοῦν coni. Wilamowitz ὁντιναοῦν M ὁντινοῦν — ἀήττητος (8) om. AT ἄκοντα] ἄγοντα M ante δρᾶσαι add. ἢ M 8 ψυχὴ καὶ ἀήττητος M: καὶ ἀήττητος ψυχή ceteri (v) ψυχήν A, ψυχῇ T ὁ ὀρθὸς AQTP^{2}: ὁ om. ceteri (v) 11 καὶ βάρβαροι ὁμοῦ transp. A 12 βελτιοῦντες H^{1}PQT 14 γοῦν] γὰρ AQ οἷα ἃ (sic) M παρ' Εὐριπίδῃ] παρ' ἐλπίδα AQ 16 πρόσθεν FAT 17 εἶσιν] εἰσὶν MGH^{1}, εἴσιν P τ'] δ' T ἄνεισ'] ἂν εἴσ P, ἂν ὡς M, ἄνω A εἰς om. MH^{1}P 18 θῶπα M ἀπαντλῆσαι A 19 μὲν M: om. ceteri (v) καὶ κολακεία om. A λόγοις M 20 γνώμαις] γνῶναι (sic) M δ' A ἀνόθως καὶ om. M 21 ἁρμόττον. πάλιν] ἁρμόττον πᾶσι. M 22 σπουδαῖον om. M ὅτι om. MAT

6. 7 Zeno frg. 218 (Arnim). 15 Eur. frg. 687.

καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὢν ἀλλὰ καὶ δεσπότης ἐσόμενος τοῦ πριαμένου; ὁ γοῦν Ἑρμῆς πυνθανομένῳ μέν, εἰ 101
φαῦλός ἐστιν, ἀποκρίνεται·

„ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον
πρὸς σχῆμα σεμνὸς κοὐ ταπεινὸς οὐδ' ἄγαν
εὔογκος ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν
ἰδόντι λαμπρὸς καὶ ξύλῳ δραστήριος. —
οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας
αὑτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν
πᾶς τις δέδοικεν. ὄμμα γὰρ πυρὸς γέμεις,
ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.“

εἶτ' ἐπιλέγει·

„τὸ εἶδος αὐτό σου κατηγορεῖ
σιγῶντος, ὡς εἴης ἂν οὐχ ὑπήκοος,
τάσσειν δὲ μᾶλλον ἢ 'πιτάσσεσθαι θέλοις.“

ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη, διέδειξεν ἔργοις 102
τὸ τῆς φύσεως ἀδούλωτον· τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ πρόφασιν εὐωχεῖτο, πολὺν δ' οἶνον ἐκφορήσας ἀθρόον εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεῖ δὲ ἀφικομένῳ καὶ 103

1 ὡς om. M 2 δεσπόταις F[1] γοῦν] γὰρ G πυνθανομένω μέν M: πυνθανομένοις ἡμῖν ceteri (Turn.) εἰ M: ὡς ceteri (Turn.) 3 ἀποκρίνεται om. M 4 ἥκιστα φαῦλος om. M φαύλως H[1]P 5 πρὸς σχῆμα A: πρόσχημα ceteri (v); τὸ σχῆμα Herwerden (Nauck) κοὐ FGQ: καὶ οὐ ceteri 5. 6 οὐδ' ἄγαν — δοῦλος om. M 6 εὔογκος] εὐοίκους H[1]P 6—8 ὡς — οἴκους om. HP, add. mg H 7 ξύλῳ] ζήλω L (Turn.) 8 οὐδεὶς δ' ἐς] οὐ δεῖσθαι M ἐς οἴκους] εἰς οἴκου AT δεσπότην ἀμείνονα AQT 9 αὐτοῦ codd. δὲ HPT δ' εἰσορῶν] διορῶν M 10. 11 πᾶς — ταῦρος om. M 10 πᾶς τις] ἃ πᾶς F γέμει≡ F 11 ὡς λέοντος transp. G ἐμβολήν] ἐντολήν M 12 εἶτα F 13 τὸ εἶδος codd.: τὸ ἦθος H[2] (v); τό γ' εἶδος coni. Elmsley αὐτό Elmsley: αὐτοῦ MFGHP (v), om. AQT σου Mang.: οὐ F, οὗ ceteri κατηγορεῖ codd.: κατηγορῶ Mang. 14 σιγῶντος ὡς εἴης ἂν om. M εἴης ἂν codd.: ἂν εἴης Mang. 15 δὲ τάσσειν transp. M ἢ 'πιτάσσεσθαι FG: ἢ ἐπιτάσσεσθαι ceteri (v) θέλεις AQT 16 δὲ om. H[1]P Συλέως] συλλέγειν AQT, λέγω M 17 τὸν] τῶν A ἐκεῖ ταύρων] ἐξ ἑταίρων M 18 Διὶ πρόφασιν εὐωχεῖτο] διευωχεῖτο πρόφασιν M ἐκφορήσας MF: ἐκσυμφορήσας G, ἐμφορήσας AQT mg H[2] mg P[2] (v), om. H[1]P[1] 19 ἀθρόον] ἄθρουν FGAHP, ἄθρους M, om. QT (ἄθροον v) εὖ om. M Συλεῖ δὲ ἀφικομένῳ] συνδιαφικομένω M Συλεῖ] σελεῖ A δ' A

4 Eur. frg. 688 (v. 1—4). 689 (5—8). versus 5—8 Sylei potius verba esse monuit Nauck. 13 Eur. frg. 690.

δυσανασχετοῦντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ τῇ περιττῇ καταφρονήσει μηδὲν μήτε τῆς χρόας μήτε ὧν ἔπραττε μεταβαλὼν εὐτολμότατά φησι·

„κλίθητι καὶ πίωμεν, ἐν τούτῳ δέ μου
τὴν πεῖραν εὐθὺς λάμβαν', εἰ κρείσσων ἔσῃ."

104 τοῦτον οὖν πότερον δοῦλον ἢ κύριον ἀποφαντέον τοῦ δεσπότου, μὴ μόνον ἀπελευθεριάζειν ἀλλὰ καὶ ἐπιτάγματα ἐπιτάττειν τῷ κτησαμένῳ καὶ εἰ ἀφηνιάζοι τύπτειν καὶ προπηλακίζειν, εἰ δὲ καὶ βοηθοὺς ἐπάγοιτο, πάντας ἄρδην ἀπολλύναι τολμῶντα; γέλως οὖν ἂν εἴη καὶ φλυαρία πολλὴ τὰ κατὰ τὰς λεγομένας ὠνὰς γράμματα, ἐπειδὰν τῇ καθ' ὧν γράφεται παρευημερηθῇ σθεναρωτέρᾳ δυνάμει, χαρτιδίων ἀγράφων ἀκυρότερα, ὑπὸ σέων ἢ χρόνου ἢ εὐρῶτος εἰς ἅπαν διαφθαρησόμενα.

105 (16.) | Ἀλλ' οὐ χρή, φήσει τις, τὰς τῶν ἡρώων παράγειν εἰς p. 462 M. πίστιν ἀρετάς· μείζους γὰρ ἢ κατὰ ἀνθρωπίνην φύσιν γενομένους Ὀλυμπίοις ἁμιλλᾶσθαι, μικτῆς γενέσεως, ἀθανάτων καὶ θνητῶν ἀνακραθέντων σπερμάτων, ἐπιλαχόντας, ἡμιθέους εἰκότως προσαγορευθέντας, τοῦ θνητοῦ μίγματος ὑπὸ τῆς ἀφθάρτου μερίδος κατακρατηθέντος, ὡς μηδὲν εἶναι παράδοξον, εἰ τῶν ἐπ' αὐτοῖς δουλείαν τεχναζόντων ὠλιγώρουν. ἔστω
106 ταῦτα. μὴ καὶ Ἀνάξαρχος ἢ Ζήνων ὁ Ἐλεάτης ἥρωες ἢ ἐκ θεῶν; ἀλλ'

1 δυσανασχετοῦνθ' G, δυσαναισχυντοῦντι F τε] γε M ῥᾳθυμίᾳ] βλασφημία AQT 1. 2 καὶ τῇ M: καὶ ἐπὶ τῇ ceteri (v) 2 μήθ' ὧν M ἔπραττε] ἐπέτρεπε M 3 μεταβαλὼν MFA: καταβαλὼν ceteri (Turn.) εὐτολμώτατα H 4 κλίθητι om. M πίνωμεν F δέ μου] μὲν F 5 πεῖραν] χεῖρα M εὐθὺς AP²: ἐκ θεοῦ M, εὐθὺ ceteri (v) λάμβαν' εἰ G (coni. Mang.): λάμβανε MFH¹P, λάμβανε καὶ AQTH² (v) κρείσσων] κρεῖττον MH¹P, κρείττων ceteri ἔσῃ] ἔτι M 6 ἀποφαντέον τοῦ δεσπότου M: τοῦ δεσπότου ἀποφαντέον ceteri (v) ante μὴ add. ὡς AQT 7 ἐπίταγμα A ἐπιτάττειν M: ἐπιτάσσειν ceteri (v) post κτησαμένῳ add. τολμῶντα, ὡς Mang. (cf. l. 9) 8 ἀφηνιάζει AQT εἰ δὲ om. M 9 ἄρδην] ἆρ' οὖν M τολμῶντα M: om. ceteri (v) γέλως] ὡς M ἂν οὖν transp. FG εἴη om. M καὶ φλυαρία εἴη transp. F πολλὴ om. AT 10 τῇ G: om. ceteri (v) ὧν] ἃ AQT γράφηται FH¹P 11 παρευημερηθῇ M: παρευημερηθείη ceteri (Turn.) σθεναρώτερον F¹ χαρτίδια T ἀκυρώτερα MFGA 12 ὑπὸ σέων G: ὑπόψεων M, ὑπὸ σητῶν ceteri (v) χρόνου] χρόνων HP (v) ἢ εὐρῶτος ἢ χρόνου transp. AQT εἰσάπαν M, ἐσάπαν A τὰ διαφθαρησόμενα M 13 παράγειν] παρασκευὰς M ἐς A 14 ἢ] καὶ F κατ' FG φύσιν] οὐσίαν M 15 post ἁμιλλᾶσθαι add. δεῖ A μικτῆς] τῆς A καὶ] ἢ AT 16 ἡμιθέου εἰκότως προσαγορευθέντος P 19 μὴ καὶ] καὶ μὴν AQT

4 Eur. frg. 691. 13 sqq. cf. Cic. de offic. I 118 sq.

ὅμως ὑπὸ τυράννων ὠμοθύμων καὶ τὴν φύσιν πικρῶν ἔτι μᾶλλον ἐπ' αὐτοῖς ἐκθηριωθέντων στρεβλούμενοι κεκαινουργημέναις αἰκίαις, ὥσπερ ἀλλότρια ἢ ἐχθρῶν ἐπιφερόμενοι σώματα, μάλα καταφρονητικῶς ἠλόγουν τῶν φοβερῶν. τὴν γὰρ ψυχὴν ἐθίσαντες ἐξ ἀρχῆς δι' ἐπιστήμης ἔρωτα 107
τῆς μὲν πρὸς τὰ πάθη κοινωνίας ἀφίστασθαι, παιδείας δὲ καὶ σοφίας περιέχεσθαι, μετανάστιν μὲν σώματος εἰργάσαντο, φρονήσει δὲ καὶ ἀνδρείᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς σύνοικον ἀπέφηναν. τοιγαροῦν ὁ μὲν κρινόμενος 108
καὶ κατατεινόμενος ὑπὲρ τοῦ τι τῶν ἀρρήτων ἐκλαλῆσαι, πυρὸς καὶ σιδήρου, τῶν ἐν τῇ φύσει κραταιοτάτων, φανεὶς δυνατώτερος, ἀποτραγὼν τοῖς ὀδοῦσι τὴν γλῶτταν εἰς τὸν βασανιστὴν ἠκόντισεν, ἵνα μηδ' ἄκων ἃ καλὸν ἡσυχάζειν φθέγξηται βιασθείς. ὁ δὲ πληκτικώτατα εἶπε· 109
„πτίσσε τὸν Ἀναξάρχου ἀσκόν· Ἀνάξαρχον γὰρ οὐκ ἂν δύναιο." αὗται γέμουσαι θράσους αἱ εὐτολμίαι τὴν ἡρωϊκὴν εὐγένειαν οὐ μετρίως ὑπερβάλλουσι, διότι τοῖς μὲν τὸ κλέος ἐν τοῖς φυτεύσασιν ἀκούσιον, τῶν δ' ἐν ἑκουσίοις ἀρεταῖς, αἳ τοὺς ἀδόλως χρωμένους ἀθανατίζειν πεφύκασι.

(17.) Παλαιστὰς οἶδα καὶ παγκρατιαστὰς πολλάκις ὑπὸ φιλοτιμίας 110
καὶ τῆς εἰς τὸ νικᾶν σπουδῆς, ἀπαγορευόντων αὐτοῖς τῶν σωμάτων, μόνῃ ψυχῇ διαπνέοντας ἔτι καὶ διαθλοῦντας, ἣν ἐθίσαντες καταφρονητικῶς ἔχειν τῶν φοβερῶν ἐγκαρτεροῦσιν ἄχρι τῆς τοῦ βίου τελευτῆς. εἶτ' 111
οἰόμεθα τοὺς μὲν ἀσκητὰς τῆς ἐν σώμασιν εὐτονίας ἐπιβεβηκέναι φόβῳ

1 τὴν φύσιν M: τῇ φύσει ceteri (v) πικρῶν] μικρῶν M ἔτι om. G
2 αἰκίαις] αἰτίαις PQT 3 ἀλλοτρίων AQT ἠλόγουν] ἢ λόγους T
4 δι' ἐπιστήμης ἔρωτα] ἐπιστήμης ἔρωτι M 5 τῆς πρὸς μὲν M 6 περιέχεσθαι GH: παρέχεσθαι MFP, ἔχεσθαι AQT μετανάστιν] μεταναστεῖν FHP; μετανάστασιν [ει] Mang. σώματος] τοῦ σώματος H (v) ἀνδρία A, ἀνδρίᾳ FG
7 ἀπέφηναν] ἀπέδειξαν M ὁ μὲν om. M κρινόμενος M: κρεμάμενος ceteri (v)
8 τι om. M ἀρρήτων] ἀπορρήτων PT 9 δυνατότερος M 9. 10 ἀποτραγὼν MF: ἀποτρώγων ceteri (v) 10 ἠκόντισεν] προσέπτυσεν coni. Mang.
11 ἃ καλὸν ἡσυχάζειν M: ἡσυχῇ λόγον F, λόγον ἡσυχῇ ceteri (Turn.) φθέγξηται FGHP: φθέγξοιτο M (Mang.), φθέγγηται AQT πληκτικώτατα HAQT (Turn.)
12 πτίσσε] πίττε HL (sed πτῆσσε mg L), πίπτε F[1], τύπτε AP ἀσκὸν] θύλακον scribi voluit Mang. 13 γέμουσι A θάρσους A 14 ὑπερβάλλουσι v: ὑπερβάλλουσαι codd. τοῖς μὲν] τῆς μὲν FAP τῶν] τὸ M 15 ἐν om. AQT
15. 16 πεφύκασι παλαιστάς. Οἶδα Turn. (Richt.) 16 παγκρατιστὰς AHP (v) φιλοτιμίας] φιλονεικίας M 18 διαπλέοντας Q ἣν] ἵν' M 19 θλιβερῶν [φο] H ἐγκαρτερῶσιν M τῆς om. AQT τοῦ] καὶ QT 20 φόβου M

7 sqq. cf. Cic. Tusc. II 52. Valer. Max. III 3, 4 [Dio Chrys.] 37, 45. Diog. La. IX 27. 59. Clem. Alex. Strom. IV 7 p. 589 P. Tertull. Apolog. 50.

θανάτου ἢ δι' ἐλπίδα νίκης ἢ ὑπὲρ τοῦ μὴ τὴν ἰδίαν ἧτταν ἐπιδεῖν,
τοὺς δὲ τὸν ἀόρατον νοῦν γυμνάζοντας ἐν ἑαυτοῖς, ὃς ἀψευδῶς ἄνθρωπός
ἐστιν οἶκον ἐπιφερόμενος τὸ αἰσθητὸν εἶδος, καὶ | λόγοις μὲν τοῖς ἐκ p. 463 M.
φιλοσοφίας ἔργοις δὲ τῆς ἀρετῆς ἀλείφοντας οὐχ ὑπὲρ ἐλευθερίας
ἐθελήσειν ἀποθνήσκειν, ἵν' ἐν ἀδουλώτῳ φρονήματι τὴν εἱμαρμένην
112 ἀνύσωσι πορείαν; ἐν ἀγῶνί φασιν ἱερῷ δύο ἀθλητὰς ἰσορρόπῳ κεχρημένους ἀλκῇ, τὰ αὐτὰ ἀντιδρῶντάς τε καὶ ἀντιπάσχοντας, μὴ πρότερον
ἀπειπεῖν ἢ ἑκάτερον τελευτῆσαι.

„δαιμόνιε, φθίσει σε τὸ σὸν μένος“,

113 εἴποι τις ἂν ἐπὶ τῶν τοιούτων. ἀλλὰ γὰρ οὖν κοτίνων μὲν χάριν καὶ
σελίνων εὐκλεὴς ἀγωνισταῖς ἡ τελευτή, σοφοῖς δὲ οὐ πολὺ μᾶλλον
ἐλευθερίας, ἧς ὁ πόθος ταῖς ψυχαῖς μόνον, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐνίδρυται
καθάπερ τι μέρος ἡνωμένον οὐ τῶν ἐπιτυχόντων, οὗ διακοπέντος ἅπασαν
114 τὴν κοινωνίαν φθείρεσθαι συμβέβηκε; Λακωνικοῦ παιδὸς ᾄδεται παρ'
οἷς ἔθος ἰχνηλατεῖν ἀρετὰς τὸ ἐκ γένους ἢ φύσεως ἀδούλωτον· ἐπειδὴ
γὰρ αἰχμάλωτος ἀπαχθεὶς ὑπό τινος τῶν Ἀντιγόνου τὰς μὲν ἐλευθέρας
χρείας ὑπέμενε, ταῖς δὲ δουλικαῖς ἠναντιοῦτο φάσκων οὐχὶ δουλεύσειν,
καίτοι μήπω τοῖς Λυκούργου νόμοις παγίως ἐντραφῆναι διὰ τὴν ἡλικίαν
δυνηθείς, ὅτι μόνον αὐτῶν ἐγεύσατο, τοῦ παρόντος ἀβιώτου βίου θά-

2 ἀόρατον] ἀκήρατον coni. Mang. ἑαυτοῖς] αὐτοῖς AT ὃς] ὅσον F 3 ἀποφερόμενος AQT τοῖς] τῆς F 3. 4 ἐκ φιλοσοφίας] εἰς φιλοσοφίαν GH (Turn.) 5 εἱμαρμένης FG 6 φησιν F 7 ταὐτὰ δρῶντάς τε καὶ πάσχοντας M 8 τελευτήσειν AQT 10 εἴποι τις ἂν M: εἴποι ἄν τις ceteri (v) οὖν codd. (ἦν G): ὑπὲρ v μὲν χάριν M: om. ceteri (v) 11 εὐκλεὴς] εὐκλεείης M ἡ τελευτή] ἥδε λύπη M δ' M πολὺ] πολλῷ H (v) 12 ἐλευθερία AT ἧς] οἷς F μόνον] μᾶλλον F ἐνίδρυται[β] εἰ δεῖ ταληθὲς[α] εἰπεῖν H ἵδρυται M 13 ἡνωμένον codd. (Mang.): ἡνωμένων Turn. οὐ τῶν ἐπιτυχόντων om. in lac. G οὐ τῶν] οὗ τῶν ATP, αὐτῶν M post ἐπιτυχόντων add. ἔστιν AQT οὗ eras. F πᾶσαν T 14 ᾄδεται] εἴρηται AQT 15 ἔθος ἰχνηλατεῖν M: ἰχνηλατεῖν ἔθος ceteri (v) ἀρετὰς M: τὰς ἀρετὰς ceteri (v) 16 ἀπαχθεὶς codd.: ἀπήχθη v τῶν ἀντιγόνων M 17 ὑπέμενε M: ὑπέμενεν AQTP, ὑπέμεινεν FGH (Turn.) ταῖς δὲ δουλικαῖς M: ἐν δὲ τοῖς δουλικοῖς H (Turn.), ἐν δὲ ταῖς δουλικαῖς ceteri 18 παγίοις M 19 ὅτι] ὅτι μὴ F τοῦ om. M ἀβιώτου βίου M: βιωτοῦ βίαιον PT, βιότου βίαιον AQH (v), βίου βίαιον FG

9 Hom. Il. Z 407. 14 sqq. *Seneca Epist. 77, 14* exempla nunc magnorum virorum me tibi iudicas relaturum? puerorum referam. Lacon ille memoriae traditur impubis adhuc, qui captus clamabat 'non serviam' sua illa dorica lingua et verbis fidem imposuit: ut primum iussus est servili fungi et contumelioso ministerio, . . inlisum parieti caput rupit.

νατον εὐτυχέστερον κρίνας, ἀπογνοὺς ἀπολύτρωσιν, ἄσμενος ἑαυτὸν διεχρήσατο. λέγεται δὲ καὶ πρὸς Μακεδόνων ἁλούσας Δαρδανίδας γυναῖκας 115
αἴσχιστον κακὸν δουλείαν ὑπολαβούσας οὓς ἐκουροτρόφουν παῖδας εἰς τὸ βαθύτατον τοῦ ποταμοῦ ῥίπτειν ἐπιφωνούσας· „ἀλλ' ὑμεῖς γε οὐ δουλεύσετε, πρὶν δ' ἄρξασθαι βίου βαρυδαίμονος, τὸ χρεὼν ἐπιτεμόντες ἐλεύθεροι τὴν ἀναγκαίαν καὶ πανυστάτην ὁδὸν περαιώσεσθε.“ Πολυξένην 116
δὲ ὁ τραγικὸς Εὐριπίδης ἀλογοῦσαν μὲν θανάτου φροντίζουσαν δὲ ἐλευθερίας εἰσάγει δι' ὧν φησιν·

„ἑκοῦσα θνήσκω, μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως,
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατε.“

(18.) εἶτ' οἰόμεθα γυναίοις μὲν καὶ μειρακίοις, ὧν τὰ μὲν φύσει 117
ὀλιγόφρονα τὰ δὲ ἡλικίᾳ εὐολίσθῳ χρώμενα, τοσοῦτον ἐλευθερίας ἔρωτα ἐντήκεσθαι, ὡς ὑπὲρ τοῦ μὴ ταύτην ἀφαιρεθῆναι πρὸς θάνατον ὡς ἐπ' ἀθανασίαν ὁρμᾶν, τοὺς δὲ σοφίας ἀκράτου σπάσαντας οὐκ εὐθὺς ἐλευθέ-
p. 464 M. ρους εἶναι, | πηγήν τινα εὐδαιμονίας τὴν ἀρετὴν ⟨ἐν⟩ ἑαυτοῖς περιφέροντας, ἣν ἐπίβουλος οὐδεμία πώποτε δύναμις κατέζευξε τὸν ἀρχῆς καὶ βασιλείας ἔχουσαν αἰώνιον κλῆρον; ἀλλὰ γὰρ καὶ δήμους ὅλους ἀκούομεν ὑπὲρ 118
ἐλευθερίας ἅμα καὶ πίστεως τῆς πρὸς ἀποθανόντας εὐεργέτας αὐθαί-

1 προκρίνας P   ἀσμένως MAQT   αὐτὸν F   2 Μακεδόνων] λακεδαιμονίων M   ἁλούσας M: om. ceteri (Turn.)   δαρδανίδας M: τὰς δαρδανίδας ceteri (v)   γυναῖκας om. AQT   3 κακῶν FG   δουλείας A
4 ῥιπτεῖν M   5 δ' ἄρξασθαι G: δ'ἄρξεσθε (corr. ex δ'ἄρξασθαι) A, δράξασθαι M, ἄρξασθαι F, δὲ ἄρξασθαι HPQT   τὸ χρεὼν M: om. in lac. 6—7 litt. G, τροχέων ceteri (Turn.)   6 πανυστάτην καὶ ἀναγκαίαν transp. Q, ἀναγκαίαν καὶ om. T   περαιώσασθε FAQ   7 δ' MA   τραγικὸς MFG: τραγῳδὸς AHP (Turn.), τραγῳδικὸς QT   δ' MA   9 τις] πως M   ἅψαιτο QT
ο ὸς
χρωτὸς F   10 γὰρ] δὲ AQT   δέριν F, δέρρϊν A   11 μ' G: ἔχουσαν M, μ' οὖσαν ceteri (Turn.)   11. 12 ὡς—κτείνατε G: om. ceteri (Turn.)
13 εἶτ' οἰόμεθα] ἐγγυώμεθα M   14 ὀλιγότροφα AT   δ' M   15 πρὸς θάνατον M: εἰς θάνατον ceteri (v)   16 ἀθανασίας P   ἀκράτως AQT
17 πηγήν τινα M: γῆν τινα FG, ἀμιγῆ τὴν ceteri (Turn.)   εὐδαιμονίας τὴν ἀρετὴν MFG: εὐδαιμονίαν τῆς ἀρετῆς ceteri (Turn.)   ἐν add. Mang.   περιφέροντες
ας
H, ἐπιφέροντες P   18 δύναμις πώποτε transp. AQT   ἀρχῆς] ἐξ ἀρχῆς M
19 γὰρ om. A   19. 20 ὑπὲρ ἐλευθερίας ἀκούομεν transp. M   20 πρὸς om. T
εὐεργέτας] ἐλευθερίας M

9 sqq. Eur. Hec. 548 sqq.

ρετον πανωλεθρίαν ὑποστάντας, ὥσπερ φασὶν οὐ πρὸ πολλοῦ Ξανθίους. ἐπειδὴ γὰρ εἷς τῶν ἐπιθεμένων Ἰουλίῳ Καίσαρι, Βροῦτος, ἐπιὼν ἐπ᾽ αὐτοὺς ἐστράτευσε, δεδιότες οὐ πόρθησιν ἀλλὰ ⟨δουλείαν⟩ τὴν ὑπ᾽ ἀνδροφόνου κτείναντος ἡγεμόνα καὶ εὐεργέτην — ἀμφότερα γὰρ ἦν αὐτῷ Καῖσαρ — ἀπεμάχοντο μὲν ἐφ᾽ ὅσον οἷοί τε ἦσαν δυνατῶς τὸ
119 πρῶτον, ὑπαναλούμενοι δὲ ἐκ τοῦ κατ᾽ ὀλίγον ἔτ᾽ ἀντεῖχον. ὡς δὲ ἅπασαν τὴν ἰσχὺν ἐδαπάνησαν, γύναια καὶ γονεῖς καὶ τέκνα συνελάσαντες εἰς τὰς σφῶν οἰκίας ἕκαστοι καθιέρευον· καὶ σωρηδὸν τὰ σφάγια νήσαντες, πῦρ ἐνέντες καὶ ἑαυτοὺς ἐπικατασφάξαντες, ἐλεύθεροι τὸ πεπρωμένον
120 ἀπ᾽ ἐλευθέρου καὶ εὐγενοῦς φρονήματος ἐξέπλησαν. ἀλλ᾽ οὗτοι μὲν πικρὰν ἀμείλικτον τυραννικῶν ἐχθρῶν ἀποδιδράσκοντες πρὸ ἀδόξου βίου τὸν μετ᾽ εὐκλείας θάνατον ᾑροῦντο. οἷς δὲ ἐπέτρεπε ζῆν τὰ πράγματα τὰ τυχηρά, τλητικῶς ὑπέμενον τὴν Ἡράκλειον εὐτολμίαν ἀπομιμούμενοι·
121 καὶ γὰρ ἐκεῖνος τῶν Εὐρυσθέως ἐπιταγμάτων διεφάνη κρείττων. ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης ὕψει καὶ μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥσθ᾽ ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόλις τὰς ἀναγκαίας αὐτῷ παρεῖχον τροφάς, οὔθ᾽ ὑπὸ τῆς παρούσης τύχης γναμφθεὶς οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας „ἀτοπώτατον οὖν“ ἔφη „γίνεται, δελφάκια μὲν ἢ προβάτια, ὁπότε μέλλοι πιπράσκεσθαι, τροφαῖς ἐπι-

1 φησὶν F ξανθίους H: ξανθία FGP, ξανθίσας M, ξάνθον AQT 2 ἐπιτιθεμένων F ἐπιὼν AQT: σκηπίων M, καὶ ἐπιὼν ceteri (v) 3 δουλείαν add. Mang., om. codd. 4. 5 ἦν αὐτῷ καῖσαρ M: αὐτῷ καῖσαρ ἦν ceteri (v) 5 post μὲν add. αὐτῷ AQT τ᾽ A 6 ὑπανελόμενοι P δ᾽ A ἔτ᾽ ἀντεῖχον F²: ἐπαντεῖχον M, ἔτ᾽ ἀντίσχον F¹GH (v), ἔτ᾽ ἀνίσχον P, ἔτ᾽ ἀνεῖχον QT, ἔτ᾽ ἀνέχον A ὡς δ᾽ M 7 ἐδαπάνησαν M: ἐδαπανήθησαν ceteri (v) 8 τὰ σφάγια νήσαντες] ἐφοδιάσαντες M νήσαντες] στήσαντες H (Turn.) (στί supra lin.), θύσαντες L 9 ἐνιέντες M ἐπικαταφλέξαντες F 10 ἐλευθέρου καὶ εὐγενοῦς M: εὐγενοῦς καὶ ἐλευθέρου ceteri (v) ἐξέπλησαν] ἐξέπλησαν H (τ supra lin.) (ἐξέτλησαν v), ἐξεσύλησαν M: ἐξετέλεσαν coni. Mang. 12 μετ᾽ εὐκλείας] σὺν εὐκλείᾳ M ᾑροῦντο] ἡγοῦντο AT δ᾽ M τὰ πράγματα ζῆν transp. M 13 τλητικῶς corr. ex πληκτικῶς A ὑπέμειναν H (ε ο supra lin.) 14 τῶν om. F εὐρυσθέος P ἐπιταγμάτων om. M ἐφάνη P 15 γοῦν] γὰρ T, δὲ A ὕψει] ὄψει H (Turn.) τοσούτου MFA 16 ἐχρήσατο] ἐγεύσατο A ὥσθ᾽ ἁλοὺς ὑπὸ λῃστῶν] ὥστ᾽ ἄλλους ὑποπλήττων M γλίσχρως om. M μόλις scripsi (cf. M): μόγις codd. (v) μόλις τὰς] μάλιστ᾽ M 17 αὐτῷ παρεῖχον MA: αὐτῷ om. T, παρεῖχον αὐτῷ ceteri (v) γναμφθεὶς M: καμφθεὶς ceteri (Turn.) 18 οὖν MPQ: om. ceteri (Turn.) γίγνεται M 19 πρόβατα F μέλλει QT

1 sqq. cf. Appian. Bell. civ. IV 76—80. Cass. Dio 47, 34.

μελεστέραις πιαίνειν εἰς εὐσαρκίαν, ζῴων δὲ τὸ ἄριστον, ἄνθρωπον, ἀσιτίαις κατασκελετευθέντα καὶ συνεχέσιν ἐνδείαις ἐπευωνίζεσθαι.“ λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπειδὴ μεθ' ἑτέρων αἰχμαλώτων ἔμελλεν 122 ἀπεμπολεῖσθαι, καθίσας πρότερον ἠρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον. ἑνὸς δὲ οὐχ ὑπομένοντος, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, „οὐ παύσῃ τῆς συννοίας; χρῶ τοῖς παροῦσιν“ ἔφη·

„καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.“

465 M. | εἶτ' ἐπινεανιευόμενος πρὸς τὸν πυθόμενον τῶν ὠνητικῶς ἐχόντων „τί 123 οἶδας;“ „ἄρχειν“ εἶπεν „ἀνθρώπων,“ ἔνδοθεν, ὡς ἔοικε, τῆς ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. ἤδη δὲ καὶ πρὸς

1 πιαίνειν εἰς εὐσαρκίαν M: εἰς εὐσαρκίαν πιαίνειν ceteri (v) ζώου (ων) Q ἄνθρωπον] ἔνεστιν T 2 ἀσιτίαις] ὡς εἶναι M κατασκελετευθέντα FGQT: κατασκελευθέντα P, κατασκελωθέντα A, κατεσκληκευθέντα H (κατεσκληκευθέντα [illegible]), κατασκευασθέντα M καὶ συνεχέσιν ἐνδείαις (post κατασκ.) M: om. ceteri (Turn.) ἐπευωνίζειν conicio 3 αἰχμαλώτων M: om. ceteri (Turn.) 4 ἀπεμπωλεῖσθαι QT μάλα MA 5 ἑνὸς] υἱὸς T δ' MA οὐχ ὑπομένοντος M: οὐ λυπουμένου ὄντος FGAP, οὐ μόνον λυπουμένου ὄντος QT, οὐ μόνον λυπουμένου H (v) 5. 6 καὶ σφόδρα — τῆς συννοίας om. M 6 χρῶ τοῖς παροῦσιν ἔφη M: ἔφη· χρῶ τοῖς παροῦσι ceteri (v) 7 τ' om. codd. ἠΰκομος] εὔκομος M, ἡ ἠΰκομος G, ἡ εὔκοσμος AT μνήσατο codd. σίτου] σου M 8 τῇ] ἧς M περ] περὶ F ὤλοντο MAH 9 υἱέες FG: υἱεῖς MHP, υἱοὶ AQT ἡβῶντες M, ἡβόωντες P, ἡβώωντες H[1]QT 10 εἶτ' M: καὶ AQT, om. ceteri (Turn.) ἐπινεανιευόμενος δὲ G, ἐπινεανιευόμενοι FH πρὸς τὸν πυθόμενον τῶν ὠνητικῶς ἐχόντων M: τῶν ὠνητικῶς ἐχόντων τινὶ G, τινι τῶν ὠνητικῶς ἐχόντων ἐρωτήσαντι AQT, τῶν ὠνητικῶς ἐχόντων (cet. om.) FHP 11 εἶπεν ἄρχειν transp. G 12 ὑπαρχούσης F δὲ om. F

7 sqq. Hom. Il. Ω 602 sqq. 10 sqq. Diog. La. VI 29 φησὶ δὲ Μένιππος ἐν τῇ Διογένους Πράσει, ὡς ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη, τί οἶδε ποιεῖν· ἀπεκρίνατο „ἀνδρῶν ἄρχειν“. VI 74 καὶ πρᾶσιν ἤνεγκε γενναιότατα· πλέων γὰρ εἰς Αἴγιναν καὶ πειραταῖς ἁλούς, ὧν ἦρχε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη „ἀνθρώπων ἄρχειν“. ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπόρφυρον, τὸν προειρημένον Ξενιάδην, ἔφη· „τούτῳ με πώλει, οὗτος δεσπότου χρῄζει“. Stob. Ecl. III 3, 52 Διογένης πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος, „τί ἐπίστασαι;“ „ἀνθρώπων“ ἔφη „ἄρχειν“. Suid s. v. Διογένης[1]· ... πλέων δὲ ὑπὸ καταποντιστῶν ληφθεὶς ἐπράθη, κηρυττόμενος δὲ καὶ ἐρωτώμενος, τί εἰδείη, „ἄρχειν ἀνθρώπων“ ἔφη. καὶ θεασάμενος Κορίνθιον πλούσιον ἄσωτον „τούτῳ με“ ἔφη „πώλησον, δεσπότου γὰρ δεῖται“. cf. Clem. Alex. Paed. III 3 p. 261 P.

χαριεντισμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐφ' ᾗ οἱ ἄλλοι συννοίας
124 γέμοντες κατήφουν, ἐτράπετο. λέγεται γοῦν, ὅτι θεασάμενός τινα τῶν ὠνουμένων, ὃν θήλεια νόσος εἶχεν, ἐκ τῆς ὄψεως οὐκ ἄρρενα προσελθὼν ἔφη· „σύ με πρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς,“ ὡς τὸν μὲν δυσωπηθέντα ἐφ' οἷς ἑαυτῷ συνῄδει καταδῦναι, τοὺς δὲ ἄλλους τὸ σὺν εὐτολμίᾳ εὐθυβόλον ἐκπλήττεσθαι. ἆρά γε τῷ τοιούτῳ δουλείαν, ἀλλ' οὐ μόνον ἐλευθερίαν δίχα ἀνυπευθύνου ἡγεμονίας ἐπιφημιστέον;
125 ζηλωτὴς δὲ τῆς τούτου παρρησίας ἐγένετό τις Χαιρέας τῶν ἀπὸ παιδείας. Ἀλεξάνδρειαν γὰρ οἰκῶν τὴν πρὸς Αἰγύπτῳ, δυσχεράναντός ποτε Πτολεμαίου καὶ ἀπειλήσαντος οὐ μετρίως, τῆς ἐκείνου βασιλείας οὐδὲν ἐλάττονα τὴν ἐν τῇ ἑαυτοῦ φύσει νομίσας ἐλευθερίαν, ἀντέλεξεν·

„Αἰγυπτίοισιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
οὐδ' ὄθομαι κοτέοντος.“

126 ἔχουσι γάρ τι βασιλικὸν αἱ εὐγενεῖς ψυχαί, τὸ λαμπρὸν πλεονεξίᾳ τύχης οὐκ ἀμαυρούμεναι, ὃ προτρέπει καὶ τοῖς τἀξίωμα ὑπερόγκοις ἐξ ἴσου
127 διαφέρεσθαι. ἀλαζονείᾳ παρρησίαν ἀντιτάττον. Θεόδωρον λόγος ἔχει τὸν ἐπικληθέντα ἄθεον ἐκπεσόντα τῶν Ἀθηνῶν καὶ πρὸς Λυσίμαχον ἐλθόντα, ἐπειδή τις τῶν ἐν τέλει τὸν δρασμὸν ὠνείδισεν, ἅμα καὶ τὰς αἰτίας ἐπιλέγων, ὅτι ἐπὶ ἀθεότητι καὶ διαφθορᾷ τῶν νέων καταγνωσθεὶς ἐξέπεσεν,
128 „[οὐκ] ἐξέπεσον“ φάναι, „τὸ δ' αὐτὸ ἔπαθον τῷ Διὸς Ἡρακλεῖ. καὶ

1 χαριέντισμὸν] χάριν σεισμὸν M   συνήθους] συνωθούσης M   ἐκκεχειρίας APT   ἐκεχειρίας corruptum; εὐχερείας coni. Mang.   ἐφ' ᾗ AQT: ἔφη FP, ἐφ' ᾧ H (v), ἐφ' οἷς M, κἂν G   οἱ ἄλλοι] οἷα M   2 γοῦν] οὖν A   2. 3 τῶν ὠνουμένων om. AQT   3 οὐκ ἄρρενα] ὡς οὐκ εἰς ἄρρενα P   4 ἔφη· σύ] ἔφη^{σε} M   με πρίω] μ' ἐπρίω L (Turn.), μετρίως M   σὺ γάρ] οὐ γὰρ M   5 συνῄδει] σύνοιδε H (v)   καταδῦναι] κατα ... (spat. 5—6 litt.) G   6 σὺν εὐτολμίᾳ] μετ' εὐτολμίας conicio   6. 7 ἆρά γε (γ' A) ἐλευθερίαν τῷ τοιούτῳ δούλῳ, ἀλλ' οὐδὲ (οὐ δὴ QT) μόνην ἐλευθερίαν AQT   7 οὐ] οὐδὲ (A)FP   μόνον M: μόνην ceteri (v)   δίχ' A   ἡγεμονείας P   9 ἀλεξάνδρ^{αν} A   τὴν πρὸς Αἰγύπτῳ om. F   πρὸς αἴγυπτον P   δυσχεράνοντος P   12 ἀλογίζω P   13 ὄθομαι] αἴθομαι AP   15 ὃ] αἷς A, καὶ P   προτρέπει MPT: πρέπει ceteri (Turn.)   τἀξίωμα M: τὸ ἀξίωμα ceteri (v)   16 ἀλαζονείαν A   παρρησία M, παρουσίαν A   ἀντιτάττ^{ω}ον M, ἀντιτάττων H, ἀντιτάττουσαι AP²   17 ⌐ἐκπεσόντα τῶν ἀθηνῶν τὸν μοναχὸν (sic) ἐπικληθέντα ἄθεον transp. AQT   18 δρασμὸν] διωγμὸν F² in ras.   ὠνείδιζεν M   19 διαφορᾷ A   ἐξέπεσε M   20 οὐκ seclusi Mangeii sententiam secutus   ἐξέπεσον] ἔπεσον AQT, om. M   φάναι] ἔφη P

12 Hom. Il. Α 180. 181.

γὰρ ἐκεῖνος ἐξετέθη πρὸς τῶν Ἀργοναυτῶν, οὐκ ἀδικῶν, ἀλλ' ὅτι μόνος πλήρωμα καὶ ἕρμα καθ' αὑτὸν ὢν ἐναυβάρει, δέος παρασχὼν τοῖς συμπλέουσι, μὴ τὸ σκάφος ὑπέραντλον γένηται. κἀγὼ διὰ τοῦτο μετανέστην, ὕψει καὶ μεγέθει τῆς ἐμῆς διανοίας τῶν πολιτευομένων Ἀθήνησιν οὐ δυνηθέντων συνδραμεῖν, ἅμα καὶ φθονηθείς.“ προσανερομένου δὲ Λυσι- 129
μάχου· „μὴ καὶ ἐκ τῆς πατρίδος ἐξέπεσες φθόνῳ;“ πάλιν ἀποκρίνασθαι· „φθόνῳ μὲν οὔ, φύσεως δὲ ὑπερβολαῖς, ἃς ἡ πατρὶς οὐκ ἐχώρει.
466 M. καθάπερ γὰρ Σεμέλης, ἡνίκα Διόνυσον ἐκύει, τὸν ὡρισμένον ἄχρι τῆς | 130
ἀποτέξεως χρόνον ἐνεγκεῖν οὐ δυνηθείσης, καταπλαγεὶς Ζεὺς τὴν τοῦ κατὰ γαστρὸς φύσιν ἠλιτόμηνον ἐξελκύσας ἰσότιμον τοῖς οὐρανίοις ἀπέφηνε θεοῖς, οὕτω κἀμέ, τῆς πατρίδος βραχυτέρας οὔσης ἢ ὥστε δέξασθαι φιλοσόφου φρονήματος ὄγκον τοσοῦτον, δαίμων τις ἢ θεὸς ἀναστήσας εἰς εὐτυχέστερον τόπον Ἀθήνας ἀποικίσαι διενοήθη.“

(19.) Τῆς δὲ ἐν σοφοῖς ἐλευθερίας, ὥσπερ καὶ τῶν ἄλλων ἀνθρωπίνων 131
ἀγαθῶν, κἂν τοῖς ἀλόγοις ζῴοις παραδείγματα σκοπῶν ἄν τις εὕροι. οἱ γοῦν ἀλεκτρυόνες οὕτως εἰώθασι φιλοκινδύνως ἀγωνίζεσθαι, ὥστε ὑπὲρ

1 τῶν] τὸν F 2 ἕρμα] ἔρυμα M ἐναυβάρει GHP[1]: ἐ≡βάρει F, ἐναυβάτει M (prob. Mang.), ἐναυάγει AQTP[2] 3 μετανέστην FGHP: μετανάστης MAQT 4. 5 ὕψει — δυνηθέντων om. AQT 5 post συνδραμεῖν add. μὴ θελήσας ἀθηναίοις AQT ἅμα M: ἀλλὰ ceteri (v) προσαναφερομένου L 6 μὴ om. M ἐξέπεσε ATP[2], ἐκπέσας M πάλιν om. H (Turn.), om. in lac. M ἀποκρίνεσθαι M (α supra ε) 7 δ' MA πατρὶς] πάτριος HP[1] 8 σεμέλην M 9 καταπλαγεὶς] καταλαβὼν coni. Mang. 9. 10 Ζεὺς — φύσιν om. T 10 ἠλιγόμηνον A ἐξελκύσας M: ἐξετέλεσε καὶ A, ἐξέκαυσε καὶ ceteri (v) ἀπέφανε A, ἐναπέφηνε P 11 ἢ om. M 12 φιλοσόφου] φιλοτιμίαν AQT ὄγκον τὲ τοσοῦτον AQT τις om. M 13 ἀθηνῶν AQT ἀποικῆσαι M 14 τῆς] τοῖς G δ' A 15 κἂν H: ἐν ceteri ἄν τις σκοπῶν transp. M εὕροι om. M 16 οὕτως] ὄντως M, ὅπως F φιλοκινδύνως] φιλωδύνως M, φιλογύνως G, φιλοτίμως F ὑπὲρ] ὑπὸ QT

1 sqq. Apollod. Bibl. I 9, 19, 3 Φερεκύδης δὲ αὐτὸν (Ἡρακλέα) ἐν Ἀφεταῖς τῆς Θεσσαλίας ἀπολειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης μὴ δύνασθαι φέρειν τὸ τούτου βάρος. Schol. Apoll. Rh. I 1290 Ἀντίμαχος ἐν τῇ Λύδῃ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. 5 sqq. Plut. de exilio 16 ... θαυμαστὸν γάρ, εἰ Θεόδωρος ἀπαρρησίαστος ἦν, ὅς, Λυσιμάχου τοῦ βασιλέως εἰπόντος πρὸς αὐτὸν 'ἡ πατρίς σε τοιοῦτον ὄντ' ἐξέβαλε', 'ναί', εἶπε, 'μὴ δυναμένη φέρειν ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον'. Diog. La. II 102 ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, 'λέγε μοι, Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν;' καὶ ὅς, 'ὀρθῶς ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε'.

τοῦ μὴ εἶξαι καὶ παραχωρῆσαι, κἂν ἡττῶνται ταῖς δυνάμεσιν, οὐχ
132 ἡττώμενοι ταῖς εὐτολμίαις ἄχρι θανάτου παραμένουσιν. ὃ συνιδὼν
Μιλτιάδης ὁ τῶν Ἀθηναίων στρατηγός, ἡνίκα βασιλεὺς ὁ Περσῶν ἅπασαν
τὴν ἀκμὴν τῆς Ἀσίας ἀναστήσας μυριάσι πολλαῖς διέβαινεν ἐπὶ τὴν
Εὐρώπην, ὡς ἀναρπάσων αὐτοβοεὶ τὴν Ἑλλάδα, συναγαγὼν ἐν τῷ πανα-
θηναϊκῷ τοὺς συμμάχους ὀρνίθων ἀγῶνας ἐπέδειξε, λόγου παντὸς δυνα-
τωτέραν ὑπολαμβάνων ἔσεσθαι τὴν διὰ τῆς τοιαύτης ὄψεως παρακέλευσιν·
133 καὶ γνώμης οὐχ ἥμαρτε. θεασάμενοι γὰρ τὸ τλητικὸν καὶ φιλότιμον
ἄχρι τελευτῆς ἐν ἀλόγοις ἀήττητον, ἁρπάσαντες τὰ ὅπλα πρὸς τὸν πόλεμον
ὥρμησαν, ὡς ἐχθρῶν ἀγωνιούμενοι σώμασι, τραυμάτων καὶ σφαγῶν
ἀλογοῦντες, ὑπὲρ τοῦ καὶ ἀποθανόντες ἐν ἐλευθέρῳ γοῦν τῷ τῆς πατρίδος
ἐδάφει ταφῆναι. προτροπῆς γὰρ εἰς βελτίωσιν οὐδὲν οὕτως αἴτιον, ὡς
134 ἡ τῶν ἀφανεστέρων ἐλπίδος μείζων κατόρθωσις. τοῦ δὲ περὶ τοὺς
ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων·

„οὐδ' ὅ γε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅ γε δουλοσύνας προβέβουλε."

135 τοὺς οὖν σοφοὺς τί οἰόμεθα οὐκ ἀσμενέστατα δουλείας ἀντικαταλλάξεσθαι
τελευτήν; τὰς δὲ τῶν νέων καὶ εὐφυῶν ψυχὰς ἆρ' οὐκ ἄτοπον λέγειν
ἐν ἄθλοις ἀρετῆς ὀρνίθων ἐλαττοῦσθαι καὶ μόλις φέρεσθαι τὰ δευτερεῖα;

2 ἡττώμενοι MP: ἡττῶνται ceteri (v) ἄχρι MG: ἀλλ' ἄχρι F, ἄχρι γὰρ ceteri (v) 4. 5 τὴν εὐρώπην M: τῆς εὐρώπης ceteri (Turn.) 6 ἀγῶνας M: ἀγῶνα ceteri (v) ὑπέδειξε AQT 7 ὑπολαμβάνων M: ὑπολαβὼν ceteri (v) 8 ἥμαρτεν M θεασάμενος A 9 τελευτῆς] τελε τὰς ὡς (sic) M τὰ om. M 10 ἀγωνιούμενοι] ἐναγωνιούμενοι H (v) σώμασιν P 10. 11 ἀλογοῦντες τραυμάτων καὶ σφαγῶν transp. P 11 ἀλογούντων T ἀποθανόντας M ἐν om. M ἐν ἐλευθερίᾳ AQT γοῦν τῶ codd.: τῷ γοῦν v 12 προτροπὴ M γὰρ] δὲ QT 13 ἐλπίδων P τοὺς] τὰς T 15 οὐδ' ὅ γε GHP: οὐδέ γε τὸ M, οὐδ' εἴ γε F, οὐδ' ὅτε A, οὐδ' ὅτι QT τυπεὶς MGQ: τύπτεις FHP, τύπτει AT διφυεῖς APQT: διαφυεῖς FH, διαφυεὶς M, διαφ εἶς G ἀλκῆς MQT 17 δ' ὅ γε] δ' ὅτε A, δέ γε M δουλοσύνης AQT 18 οὐκ om. QT ἀντικαταλλάξεσθαι scripsi: ἀντικαταλλάξασθαι MFG, ἀνταλλάξασθαι ceteri (ἀνταλλάξεσθαι v) 19 νέων] εὐγενῶν coni. Mang. 20 ὀρνιθίων M μόλις] μόγις F

3 sqq. eandem quam de Miltiade Philo historiolam de Themistocle narrat Aelianus Var. Hist. II 28; cf. etiam (de Socrate et Iphicrate) Diog. La. II 30. 15 sqq. Ion trag. frg. 53.

Καὶ μὴν οὐδ᾽ ἐκεῖνό τις τῶν ἐπὶ βραχὺ παιδείας ἀψαμένων ἀγνοεῖ, 136
ὅτι καλὸν μὲν πρᾶγμα ἐλευθερία, αἰσχρὸν δὲ δουλεία, καὶ ὅτι τὰ μὲν καλὰ
πρόσεστι τοῖς ἀγαθοῖς, τὰ δ᾽ αἰσχρὰ τοῖς φαύλοις· ἐξ ὧν ἐναργέστατα
παρίσταται τὸ μήτε τινὰ τῶν σπουδαίων δοῦλον εἶναι, κἂν μυρίοι τὰ
δεσποτῶν σύμβολα προφέροντες ἐπανατείνωνται, μήτε τῶν ἀφρόνων
ἐλεύθερον, κἂν Κροῖσος ἢ Μίδας ἢ ὁ μέγας βασιλεὺς ὢν τυγχάνῃ.
p. 467 M. (20.) | τὸ δὲ ἐλευθερίας μὲν ἀοίδιμον κάλλος δουλείας δὲ ἐπάρατον 137
αἶσχος ὑπὸ τῶν παλαιοτέρων καὶ πολυχρονιωτέρων καὶ ὡς ἐν θνητοῖς
ἀθανάτων, οἷς θέμις ἀψευδεῖν, πόλεών τε καὶ ἐθνῶν μαρτυρεῖται.
βουλαί τε γὰρ καὶ ἐκκλησίαι καθ᾽ ἑκάστην σχεδὸν ἡμέραν ἀθροίζονται 138
περὶ τίνος μᾶλλον ἢ ἐλευθερίας παρούσης μὲν βεβαιώσεως, εἰ δ᾽ ἀπείη,
κτήσεως; ἡ δ᾽ Ἑλλὰς καὶ βάρβαρος κατὰ ἔθνη στασιάζουσι καὶ πολε-
μοῦσιν ἀεὶ τί βουλόμεναι ὅ τι μὴ δουλείαν μὲν ἀποδιδράσκειν, ἐλευθερίαν
δὲ περιποιεῖσθαι; διὸ κἂν ταῖς μάχαις ἡ λοχαγῶν καὶ ταξιαρχῶν καὶ 139
στρατηγῶν μεγίστη παρακέλευσις ἥδ᾽ ἐστί· „κακῶν τὸ βαρύτατον, ἄνδρες
σύμμαχοι, δουλείαν ἐπιφερομένην ἀπωσώμεθα· τοῦ καλλίστου τῶν ἐν
ἀνθρώποις ἀγαθῶν, ἐλευθερίας, μὴ περιίδωμεν. ἥδ᾽ ἐστὶν ἀρχὴ καὶ
πηγὴ τῆς εὐδαιμονίας, ἀφ᾽ ἧς αἱ κατὰ μέρος ῥέουσιν ὠφέλειαι.“ διό 140
μοι δοκοῦσιν οἱ τῶν Ἑλλήνων ὀξυδερκέστατοι διάνοιαν Ἀθηναῖοι —
ὅπερ γὰρ ἐν ὀφθαλμῷ κόρη ἢ ἐν ψυχῇ λογισμός, τοῦτ᾽ ἐν Ἑλλάδι
Ἀθῆναι — τὴν ἐπὶ ταῖς Σεμναῖς Θεαῖς πομπὴν ὅταν στέλλωσι, δοῦλον
μηδένα προσπαραλαμβάνειν τὸ παράπαν, ἀλλὰ δι᾽ ἐλευθέρων ἕκαστα

1 paragraphos 136—143 ante paragraphum 32 transponendas esse coniecit Krell ante τις add. εἴποι M ἀγνοεῖ om. M 3 δὲ M 4 τὸ] τὸ δὲ F μυρίοι] τινες AQT 5 προσφέροντες QT ἐπανατείνονται MP μήτ᾽ ἀφρόνων AT 6 τυγχάνοι H 7 paragraphos 137—143 aliunde huc illatas esse censuit Massebieau δ᾽ A κάλλος] κάκιον T δὲ (post δουλείας) MQT: δ᾽ A, τε ceteri 8 ἐν om. FGP 9 ἀθανατωτέρων M
σοὶ
11 παρὰ F περὶ τίνος] περί τινος Mang. 12 κατὰ] καὶ τὰ MF 12. 13 πολεμοῦσι MP 13 ἀεὶ om. M, ante καὶ πολεμοῦσι transp. P ὅ τι μὴ] ἢ τὸ M, ὅτι χρὴ AP[2] 14 περιποιήσασθαι M κἂν] καὶ QT 16 ἀπωσόμεθα P 17 ἐλευθερίας om. et post περιίδωμεν add. τὸ δ᾽ ἔστιν ἐλευθερία P 19 ὀξυδορκέστατοι P, ὀξυδερκέστεροι M τὴν διάνοιαν T 20 γὰρ ss. F[2] ὀφθαλμοῖς F ψυχαῖς P τοῦτο MA 21 ἀθηναῖοι P[2], ἀθῆναι οἱ M 22 προσπαραλαμβάνειν M: παραλαμβάνειν P, προσλαμβάνειν ceteri (v)

2 Stob. Ecl. II 7, 11g (de Stoicis) καθόλου δὲ τοῖς μὲν σπουδαίοις πάντα τἀγαθὰ ὑπάρχειν, τοῖς δὲ φαύλοις πάντα τὰ κακά. 21 Σεμναὶ Θεαί intellegendae sunt Demeter et Persephone; erat autem servis ad Thesmophoria aditus Athenis illicitus: Arist. Thesmophor. 294.

τῶν νενομισμένων ἀνδρῶν τε καὶ γυναικῶν ἐπιτελεῖν, καὶ οὐχ οἵων ἂν τύχῃ, ἀλλὰ βίον ἐζηλωκότων ἀνεπίληπτον· ἐπεὶ καὶ τὰ πρὸς τὴν ἑορτὴν πέμματα τῶν ἐφήβων οἱ δοκιμώτατοι σιτοπονοῦσι, πρὸς εὐδοξίας καὶ
141 τιμῆς, ὅπερ ἐστί, τὴν ὑπηρεσίαν τιθέμενοι. πρῴην ὑποκριτῶν τραγῳδίαν ἐπιδεικνυμένων καὶ τὰ παρ' Εὐριπίδῃ τρίμετρα διεξιόντων ἐκεῖνα

„τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον.
κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομιζέτω“,

τοὺς θεατὰς ἅπαντας εἶδον ἐπ' ἄκρων ποδῶν ὑπ' ἐκπλήξεως ἀναστάντας καὶ φωναῖς μείζοσι καὶ ἐκβοήσεσιν ἐπαλλήλοις ἔπαινον μὲν τῆς γνώμης, ἔπαινον δὲ καὶ τοῦ ποιητοῦ συνείροντας, ὃς οὐ μόνον τὴν ἐλευθερίαν
142 ἔργοις ἀλλὰ καὶ τοὔνομα αὐτῆς ἐσέμνυνεν. ἄγαμαι καὶ τῶν Ἀργοναυτῶν, οἳ σύμπαν ἀπέφηναν ἐλεύθερον τὸ πλήρωμα μηδένα μηδὲ τῶν εἰς ἀναγκαίας ὑπηρεσίας προσέμενοι δοῦλον, ἀδελφὴν ἐλευθερίας αὐτουργίαν ἐν
143 τῷ τότε ἀσπασαμένων. εἰ δὲ καὶ ποιηταῖς προσέχειν ἄξιον — διὰ τί δὲ οὐ μέλλομεν; παιδευταὶ γὰρ οὗτοί γε τοῦ σύμπαντος βίου, καθάπερ ἰδίᾳ γονεῖς παῖδας καὶ οὗτοι δημοσίᾳ τὰς πόλεις σωφρονίζοντες —, οὐδ' ἡ Ἀργὼ ναυαρχοῦντος Ἰάσονος ἐπέτρεπεν ἐπιβαίνειν οἰκέταις,

1 ἐπιτελούντων A   οἵων] ὃν M   2 τύχοι AH (Turn.)   τὴν om. AQT
4 τραγῳδίας AT   5 τὰ om. QT   εὐριπίδι AP   6 τοὐλεύθερον γὰρ Stob.: τὸ ἐλευθερίας γὰρ QT, τὸ γὰρ ἐλευθερίας A, τὸ ἐλεύθερον γὰρ ceteri (τ' ἐλεύθερον γὰρ v)
7 σμίκρ'] μικρὰ M, σμικρὸν AT, σμικρὰ ceteri   μεγάλα MFHP   νομιζέτω] νομίζεται Stob.   8 τοὺς θεατὰς MG: τοὺς οὖν θεατὰς ceteri (v)   ἅπαντας om. M   εἶδον] ἦδον M   ἐπ' ἄκρων M: ἀπ' ἄκρων ceteri   ἀναστάντες (ες corr. ex ος?) M   9 καὶ ante φωναῖς om. FQT   ἐπαλλήλαις M, ἐπ' ἀλλήλους T
10 καὶ om. AQT   συνείροντες M, συνείροντος P   11 ἄγαμαι καὶ τὸ τῶν Ἀργοναυτῶν coni. Mang.   12 μηδὲ M: μητὲ ex μηδὲ corr. H, μήτε ceteri (v)
τῶν εἰς M: τῶν ἰδίας μήτε τῶν G, τῶν ἰδίας FP, τῆς ἰδίας HAQT (Turn.)
13 post ὑπηρεσίας add. ἕνεκα G   προέμενοι M, προσιέμενοι FA   δούλων G
ἀδελφὴν MGQ: ἀδελφὸν ceteri (v)   ἐλευθερία QT, ἐλεύθερον A   αὐτουργίαν M: λειτουργίαν ceteri (Turn.)   14 εἰ δὲ] εἴ γε G (εἰ δὴ v)   ποιητῇ AQT
ἄξιον M: ὅσιον ceteri (Turn.)   15 δ' M   οὗτοί γε om. M, post τοῦ σύμπαντος transp. QT   16 ἰδίᾳ] οἷα M   παῖδας M (coni. Mang.): παιδὸς ceteri (v)   καὶ ante οὗτοι videtur delendum   δημοσίᾳ om. T
δημοσία τὰς πόλεις M: τὰς πόλεις δημοσία ceteri (v)   σωφρονίζοντες M: σωφρονίζουσιν ceteri (v)   17 οὐδ' ἡ] οὐ δὴ FHPT   ἀργοναυταρχοῦντος HP (ἀργοναυαρχοῦντος Turn.)   ἐπέτρεπεν] ἐπέγραπτεν (sic) F   ἐπιβαίνειν ἐπιτρέπει οἰκέτην A, οὐκ ἐπιτρέπει ἐπιβαίνειν οἰκέτην QT

6 Eur. frg. 275, 3. 4 (ap. Stob. Ecl. IV 8, 3).

p. 468 M. μεμοιραμένη | ψυχῆς καὶ λογισμοῦ, φύσις οὖσα φιλελεύθερος. ὅθεν καὶ ὁ Αἰσχύλος ἐπ' αὐτῆς εἶπε·

„ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερόν, αὔδασον, ξύλον;“

Ἐπανατάσεων δὲ καὶ ἀπειλῶν, ἃς σοφοῖς ἀνδράσιν ἐπανατείνονται 144 καὶ ἀπειλοῦσί τινες, ἥκιστα φροντιστέον καὶ τὰ ὅμοια λεκτέον Ἀντιγενίδᾳ τῷ αὐλητῇ. καὶ γὰρ ἐκεῖνόν φασιν, ἐπειδή τις τῶν ἀντιτέχνων ὀργισθεὶς εἶπεν „ὠνήσομαί σε,“ βαθεῖ ἤθει φάναι· „κἀγὼ τοιγαροῦν διδάξω σε αὐλεῖν.“ ἄξιον οὖν καὶ τῷ σπουδαίῳ πρὸς μὲν τὸν ἔχοντα ὠνητικῶς 145 λέγειν· „σωφροσύνην ἄρα ἀναδιδαχθήσῃ“, πρὸς δὲ τὸν ἀπειλοῦντα φυγήν· „πᾶσα γῆ μοι πατρίς“, πρὸς δὲ τὸν χρημάτων ζημίαν· „ἀρκεῖ μετρία βιοτά μοι“, πρὸς δὲ τὸν πληγὰς ἢ θάνατον ἐπανατεινόμενον· „οὐ 146 μορμολύττεταί με ταῦτα, οὐδ' εἰμὶ πυκτῶν ἢ παγκρατιαστῶν ἐλάττων, οἵτινες ἀμαυρὰ εἴδωλα ἀρετῆς ὁρῶντες, ἅτε σωμάτων αὐτὸ μόνον εὐεξίαν διαπονήσαντες, ἑκάτερα τλητικῶς ὑπομένουσιν· ὁ γὰρ ἡγεμὼν σώματος ἐν ἐμοὶ νοῦς ἀνδρείᾳ τονωθεὶς οὕτω σφόδρα νενεύρωται, ὡς ἐπάνω πάσης ἀλγηδόνος ἵστασθαι δύνασθαι.“

(21.) Φυλακτέον οὖν τὸν τοιοῦτον θῆρα συλλαμβάνειν, ὃς οὐκ ἀλκὴν 147 μόνον ἀλλὰ καὶ ὄψιν φοβερὸς ὢν τὸ δυσάλωτον καὶ μὴ εὐκαταφρόνητον δείκνυται.

1 μεμοιραμένης M, μεμοιρασμένη P ψυχῆς M: καὶ ψυχῆς ceteri (v) φύσις GH: φύσιν A, φύσει ceteri 2 ἐπ' αὐτῆς MGP: ἐπ' αὐτοῖς AQT (Turn.), ἐπ' αὐταῖς F, ἐπ' αὐτοὺς H 3 ποῦ δ' ἐστὶν v: ποῦ γ' ἐστὶν G, ποῦ ἐν F, ποῦ ἔνεστιν MP, που· ἔνεστιν AQT, ποῦ δὴ ἔνεστιν H Ἀργοῦς] αὐδοῦς A, αἰδοῦς QT ἱερὸ (sic) M αὔδασον v: δαπὲν (sic) M, αὔδασαι G, αὔδασε ceteri 4 ἐπανατάσεων M: ἐπαναστάσεων ceteri (Turn.) 5 ἀντιγεννίδα F, ἀντιγενίδη AT 6 ἐκεῖνος AT φησιν P ὀργισθεὶς om. P 7 βαθεῖ ἤθει M: βᾶθι ἤθει F, βᾶθι ἴθι HP (Turn.), βῆθι ἴθι AQT, βάσκ' ἴθι G 8 τὸν σπουδαῖον A ὠνητικῶς] νωμητικῶς M 9 φυγήν] ὑπερορίαν A; φυγὴν ὑπερορίαν Mang. 10 τὸν om. MFH χρημάτων] τὴν χρημάτων MF, τὴν τῶν χρημάτων H (v) 11 βιοτή P ἢ θάνατον M: καὶ θάνατον ceteri (v) ἐπανατεινάμενον M 12 μορμολύττεται HQ: μορμολύττει ceteri 13 ὁρῶντες] ἰδόντες A αὐτὸ] αὐτοῖς F 14 εὐεξίας M, εὐεξίας FHP διαπονήσαντες] δαπανήσαντες AQ ἑκάτερα FGA: ἑκάτερον ceteri (Turn.) 15 ἀνδρείᾳ MP: ἀνδρίᾳ FGH (v), ἀνδρείως AQT τονωθεὶς] τὸ νωθρὸν F σφοδρῶς AQT 17—19 verbis φυλακτέον — δείκνυται sententiarum conexum turbari nemo non videt; paragraphos 32—40, ut supra dixi, huc transponi voluit Massebieau 17 τὸν om. M ἀλκὴν] ἄλλην M, ἀκμὴν F

3 Aesch. frg. 20. 5 sqq. fugit Philonis locus Maximilianum Dinse, qui de Antigenida Thebano musico disseruit (Berol. 1856). 10 cf. frg. trag. adesp. 318 τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς. 10. 11 ἀρκεῖ μετρία βιοτά μοι: Eur. frg. 893, 1.

148 Ἀσυλία τόπων πολλάκις οἰκετῶν τοῖς καταφεύγουσιν ἄδειαν καὶ
ἐκεχειρίαν ὡς ἰσοτίμοις καὶ ἰσοτελέσι παρέσχετο· καὶ τοὺς ἐκ προπάππων
καὶ τῶν ἄνω προγόνων κατά τινα συγγενικὴν διαδοχὴν παλαιοδούλους
ἔστιν ἰδεῖν, ὅταν ἐν ἱεροῖς ἱκέται καθέζωνται, μετὰ πάσης ἀδείας ἐλευθερο-
149 στομοῦντας. εἰσὶ δ' οἳ καὶ τοῖς κτησαμένοις οὐκ ἐξ ἴσου μόνον ἀλλὰ
καὶ ἐκ πολλοῦ τοῦ περιόντος εὐτόνως ἅμα καὶ καταφρονητικῶς δια-
φέρονται περὶ τῶν δικαίων· οὓς μὲν γὰρ ὁ τοῦ συνειδότος ἔλεγχος, κἂν
ὦσιν εὐπατρίδαι, πέφυκε δουλοῦσθαι, οἳ δὲ τὴν τοῦ σώματος ἄδειαν ἐκ
τῆς περὶ τὸν τόπον ἀσυλίας πεπορισμένοι ψυχῆς, ἣν ὁ θεὸς ἐκ πάντων
ἀχείρωτον ἐδημιούργησεν, ἐλεύθερα καὶ εὐγενῆ σφόδρα ἀναφαίνουσιν ἤθη·
150 εἰ μὴ λίαν οὕτω τίς ἐστιν ἀλόγιστος, ὡς χωρία μὲν θάρσους αἴτια καὶ
παρρησίας ὑπολαμβάνειν εἶναι, τὸ δὲ τῶν ὄντων θεοειδέστατον, ἀρετήν,
μηκέτι, δι' ἣν καὶ τοῖς | χωρίοις καὶ τοῖς ἄλλοις ὅσα φρονήσεως μετέχει p.469 M
151 τὸ ἱεροπρεπὲς ἐγγίνεται. καὶ μὴν τοῖς μὲν εἰς ἀσύλους τόπους καταφεύ-
γουσιν, ἐκ μόνων τῶν τόπων περιπεποιημένοις ἀσφάλειαν, ἐκ μυ-
ρίων ἄλλων ἀγωγίμοις συμβέβηκε γίνεσθαι, δώρων γυναικός, ἀδοξίας
τέκνων, ἔρωτος ἀπάτης, τοῖς δὲ εἰς ἀρετὴν ὥσπερ εἰς ἀκαθαίρετον
καὶ ἐρυμνότατον τεῖχος ἀλογεῖν βλημάτων, ὧν αἱ ἐφεδρεῖαι τῶν
152 παθῶν βάλλουσι καὶ τοξεύουσι. ταύτῃ τις πεφραγμένος τῇ δυνάμει
μετὰ παρρησίας ἂν εἴποι, ὅτι οἱ μὲν ἄλλοι πρὸς τῶν τυχόντων
ἁλίσκονται.

1 ἀσυλίαι AQ ἀσυλία τόπων] ἃς ἰδία τόπον M οἰκετῶν] ἔοικε τῶν A; ἱκετῶν Turn. καταφεύγουσιν MFA: καταφυγοῦσιν ceteri (v) τοῖς καταφυγοῦσιν οἰκετῶν transp. P 2 ὡς om. M ἰσοτελέσι] ὁμοτελέσι T παρέσχετο FG: παρέχονται P, παρέσχοντο ceteri (παρέχει Mang.) 3 ἄνω MA: ἔτι ἄνω ceteri (v) παλαιοδούλοις M 4 ἰδεῖν ἐστιν transp. M οἱ ἱκέται A καθέζονται MA 4. 5 ἐλευθεροστομοῦντες MAQT ἀδείας post ἐλευθεροστομοῦντες transp. A 5 εἰσὶ δ' οἳ M: εἰσὶν οἳ ceteri (v) 6 ἅμα] ἄγαν A 7 περί τε τοῦ δικαίου M οὓς] τοὺς G, οἷς F γὰρ om. M 8 οἳ δὲ] εἰ δ' οἱ F, οὐδὲ M, οἱ δὲ ceteri 9 ψυχὴν (ἣν ex ἧς corr.) M ἐκ πάντων om. AT 10 ἐλευθέραν M ἀναφαίνουσαν H ἤθει M 11 ⟨πόσῳ μᾶλλον ἐλευθεροστομήσει ὁ σπουδαῖος;⟩ ante εἰ μὴ add. Wilamowitz εἰ μὴ M: εἰ om. ceteri (Turn.) ἐστιν] ἔστω GAQ αἴτια] ἤ αἰτιά τινα M 12 τὸ] τὴν M 13 οὐκέτι P καὶ τοῖς χωρίοις om. AT 14. 15 καταφυγοῦσιν M 15 μόνων M: om. AQT, μὲν FGHP (Turn.) περιπεποιημένους M, πεποιημένοις GT, τὲ πεποιημένοις A 16 ἀγωγίμων F γενέσθαι M δῶρον M εὐδοξία M 17 δ' A εἰς ἀρετὴν] εἰς τὴν ἀρετὴν T, ἴσα φαίνειν (sic) M 18 ὧν HP[1]Q: ἃ AP[2]T, ὡς FG, ὅσα M αἱ] ὅσαι αἱ F, αἱ om. M ἐφεδρίαι M 19 βάλλουσιν τοξεύουσι T 20 εἴπῃ M ὅτι] εἴ τι T

„ἐγὼ δ' ἐμαυτοῦ“ κατὰ τὸν τραγικόν „καὶ κλύειν ἐπίσταμαι,
ἄρχειν θ' ὁμοίως, τἀρετῇ σταθμώμενος
τὰ πάντα.“

λέγεται γοῦν ὁ Πριηνεὺς Βίας ἀπειλοῦντι Κροίσῳ μάλα καταφρονητικῶς 153
ἀνταπειλῆσαι ἐπεσθίειν τῶν κρομμύων, αἰνιττόμενος τὸ κλαίειν, ἐπεὶ
δάκρυα κινεῖ ἡ κρομμύων βρῶσις. οὕτως οἱ σοφοὶ βασιλικώτερον οὐδὲν 154
ἀρετῆς νομίζοντες, ἣ τοῦ βίου παντὸς αὐτοῖς ταξιαρχεῖ, τὰς ἄλλων ἡγε-
μονίας ὡς ὑπηκόων οὐ δεδίασι. παρ' ὃ τοὺς διχόνους καὶ δολεροὺς
ἅπασιν ὀνομάζειν ἔθος ἀνελευθέρους τε καὶ δουλοπρεπεῖς. ὅθεν κἀκεῖνα 155
εὖ πεφώνηται·

„οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.“

τὸ γὰρ πλάγιον καὶ ποικίλον καὶ ἀπατηλὸν ἦθος ἀγενέστατον, ὥσπερ
⟨εὐγενὲς⟩ τὸ εὐθὺ καὶ ἄπλαστον καὶ ἀνύπουλον, λόγων βουλεύμασι καὶ
βουλευμάτων λόγοις συνᾳδόντων. ἄξιον δὲ καταγελᾶν τῶν ἐπειδὰν 156

1 ἐγὼ] ἐὰν T δὲ MAHP, sequitur in M spat. c. 6 litt. ἐμαυτῷ AQ, μὲν τοῦ M καὶ κλύειν M: καὶ λύειν FHP (Turn.), καὶ et spat. c. 4—5 litt. G, κελεύειν AQT mg P[2] 2 ante ἄρχειν add. καὶ P ἄρχειν] ἀρχὴν M θ'] δ' FAQT ὁμοῖος M τἀρετῇ Nauck: τὰ ἀρετῆς M, τῇ ἀρετῇ ceteri (v) 3 τὰ om. M, τὰ πάντα om. QT 4 γοῦν] δ' οὖν F 5 ἀπειλῆσαι T ἐπεσθίων AP κρομύων FG ἐπεὶ MFGP: ἐπειδὴ HAQT 6 ἡ om. AT κρομύων FG 7 ἄλλων M: τῶν ἄλλων ceteri (v) 7. 8 ἄλλων ἡγεμονίας] ἀπειλὰς G ἡγεμονίας om. H 8 ὡς M: om. Q, τῶν ceteri (Turn.) post δεδίασι deesse quaedam animadvertit Mang. παρὸ FAHP, παρὰ M διχόνους] δεινόγλους M post δολεροὺς add. οὓς M 9 τε] τινας M 10 εὖ πεφώνηται M: ἐκπεφώνηται ceteri (Turn.) 11 δουλεία M εὐθείη T, ἡ εὐθείη A, ἣ εὐθείη P 12 καὶ αὐχένα FG, τε καὶ αὐχένα M ἔχει v: ἔχουσα codd. (Vind.) 13 πλάγιον] παλαιὸν M καὶ ante ἀπατηλὸν om. AHP, post ἦθος add. H 14 εὐγενὲς hoc loco addidi τὸ εὐθὺ] τὸ εὐθὲς F, τὸ εὐγενὲς M post ἀνύπουλον add. εὐγενέστατον G Vind. (v), ἐλεύθερον M 14. 15 βουλεύμασι καὶ βουλευμάτων Mang.: βουλήμασι καὶ βουλημάτων codd. 15 post συνᾳδόντων add. εὐγενέστατον QT ἄξιον δὲ AQT: δὲ om. ceteri (v); ἄξιον οὖν coni. Mang. δ' post τῶν add. F

1 frg. trag. adesp. 327. 4 sqq. Diog. La. I 83 θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα, ἵνα ἥκοι παρ' αὐτόν, „ἐγὼ δὲ“ φησίν „Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν“ [ἴσον τῷ κλαίειν]. Suid. κρόμμυα ἐσθίειν· ἴσον τῷ κλαίειν. Ἀλυάττῃ γὰρ πέμψαντι πρὸς Βίαντα τὸν σοφόν, ἵνα θᾶττον παρ' αὐτὸν ἥκοι, „ἐγὼ“ φησίν „Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν“. 11. 12 Theogn. Eleg. v. 535. 536. 11—14 Vindob. hist. gr. 67 fol. 58r: περὶ οἰκετῶν: Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκα, ἀλλ' αἰεὶ σκολιεὶ καὶ αὐχένα λοξὸν ἔχουσα· τὸ γὰρ πλάγειον καὶ ποικίλον καὶ ἀπατηλὸν ἦθος ἀγενέστατον, ὥσπερ τὸ εὐθὺ καὶ ἄπλα(στον) καὶ ἀνύπουλον εὐγενέστατον.

ἀπαλλαγῶσι δεσποτικῆς κτήσεως ἐλευθερωθῆναι νομιζόντων· οἰκέται μὲν
γὰρ οὐκέθ᾽ ὁμοίως ⟨ἂν⟩ εἶεν οἵ γε ἀφειμένοι, δοῦλοι δὲ καὶ μαστιγίαι
πάντες, ὑπακούοντες οὐκ ἀνθρώπων — ἧττον γὰρ ἂν ἦν τὸ δεινόν —,
ἀλλὰ καὶ τῶν ἐν ἀψύχοις ἀτιμοτάτων, ἀκράτου, λαχάνων, πεμμάτων,
ὅσα ἄλλα σιτοπόνων τε καὶ ὀψαρτυτῶν περιεργίαι κατὰ γαστρὸς τῆς
157 ταλαίνης δημιουργοῦσιν. ὁ γοῦν Διογένης ἰδών τινα τῶν λεγομένων
ἀπελευθέρων ἁβρυνόμενον καὶ πολλοὺς αὐτῷ συνηδομένους, θαυμάσας
τὸ ἄλογον καὶ ἄκριτον, „ὅμοιον" εἶπεν „ὡς εἴ τις ἀνακηρύξειέ τινα τῶν
οἰκετῶν ἀπὸ ταύτης τῆς ἡμέρας εἶναι γραμματικὸν ἢ γεωμέτρην ἢ
μουσικόν, οὐδ᾽ | ὄναρ τῶν τεχνῶν ἐπῃσθημένον." ὡς γὰρ ἐπιστήμονας p. 470 M.
οὐ ποιεῖ τὸ κήρυγμα, οὕτως οὐδὲ ἐλευθέρους — ἐπεὶ μακάριον ἦν τι —,
ἀλλὰ μόνον οὐκ οἰκέτας.
158 (22.) Ἀνελόντες οὖν τὴν κενὴν δόξαν, ἧς ὁ πολὺς ὅμιλος ἀνθρώπων
ἀπῃώρηται, καὶ ἀληθείας ἱερωτάτου κτήματος ἐρασθέντες μήτε τοῖς
λεγομένοις ἀστοῖς πολιτείαν ἢ ἐλευθερίαν μήτε τοῖς οἰκότριψιν ἢ ἀργυ-
ρωνήτοις δουλείαν ἐπιψηφίσωμεν, ἀλλὰ γένη καὶ δεσποτικὰ γράμματα
159 καὶ συνόλως σώματα παρελθόντες ψυχῆς φύσιν ἐρευνῶμεν. εἰ μὲν γὰρ
πρὸς ἐπιθυμίας ἐλαύνεται ἢ ὑφ᾽ ἡδονῆς δελεάζεται ἢ φόβῳ ἐκκλίνει ἢ
λύπῃ στέλλεται ἢ ὑπ᾽ ὀργῆς τραχηλίζεται, δουλοῖ μὲν αὐτήν, δοῦλον δὲ
καὶ τὸν ἔχοντα μυρίων δεσποτῶν ἀπεργάζεται· εἰ δὲ φρονήσει μὲν
ἀμαθίαν, σωφροσύνῃ δ᾽ ἀκολασίαν, δειλίαν δὲ ἀνδρείᾳ καὶ πλεονεξίαν
δικαιοσύνῃ κατηγωνίσατο, τῷ ἀδουλώτῳ καὶ τὸ ἀρχικὸν προσείληφεν.

1 ἐλευθερωθῆναι] ἐλευθέρωσιν M 2 ἂν add. Wilamowitz εἶεν] εἶναι εἰ F, εἶεν om. AQT δὲ] τὲ M 3 πάντες] πάντως coni. Wilamowitz ὑπακούοντες corr. ex ὑπάκοντες F[2] ἂν MFG: om. ceteri (Turn.) 4 καὶ om. HP (fortasse recte) ἐν om. AH ἀψύχοις] αὐχμοῖς AQT λαχάνου M πεμμάτων Mang. (non M): σπερμάτων codd. (Turn.) 5 ὅσ᾽ A ὅσα ἄλλα] τῶν ἄλλων ὅσα conicio σιτοπόνων Mang.: om. in lac. G, πεμμάτων M, πομάτων QT, σπερμάτων FAHP (Turn.) ὀψαρτυμάτων AQT περιεργίαι MG: περιεργία FHP, περιεργίας AQT 9 γεωμέτρην Mang.: γεωμετρικὸν codd. (Turn.) 10 τῶν τέχνης QT, τεχνῶν om. F 11 οὐδ᾽ A ἐπεὶ] ἐπειδὴ AQT ἦν τί M (τι scripsi): ἦν ceteri (v) 12 μόνον οὐκ M: οὐκ om. ceteri (Turn.) 13 οὖν] τοίνυν HP (v) 15 ἀστοῖς] ἀστίοις A, αὐτοῖς Q οἰκοτρίβαις M alterum ἢ om. AQL (Turn.) 15. 16 ἀργυρωνήταις AQT 16 ἐπιψηφίσωμεν F γένη om. G 18 πρὸς ἐπιθυμίαν M 19 λύπη] φόβω M στέλλεται] συστέλλεται AHP (v) ὀργῆς M: ἀπορίας ceteri (v) τραχηλιάζεται AQT δουλοῖ M: δούλην ceteri (v) αὐτὴν codd. 21 δειλίαν δ᾽ A ἀνδ[ει]ρία A, ἀνδρία FG 22 προσείληφεν codd.: προσείληφε v

ὅσαι δὲ μηδετέρας ἰδέας πω μετεσχήκασι, μήτε τῆς καταδουλουμένης 160
μήτε δι' ἧς ἐλευθερία βεβαιοῦται, γυμναὶ δέ εἰσιν ἔτι, καθάπερ αἱ τῶν κομιδῆ νηπίων, ταύτας τιθηνοκομητέον, ἐνστάζοντας τὸ μὲν πρῶτον ἀντὶ γάλακτος ἁπαλὰς τροφάς, τὰς διὰ τῶν ἐγκυκλίων ὑφηγήσεις, εἶτ' αὖθις κραταιοτέρας ὧν φιλοσοφία δημιουργός, ἐξ ὧν ἀνδρωθεῖσαι καὶ εὐεκτήσασαι πρὸς τέλος αἴσιον, οὐ Ζηνώνειον μᾶλλον ἢ πυθόχρηστον, ἀφίξονται, τὸ ἀκολούθως τῇ φύσει ζῆν.

---

1 μηδ' ἑτέρας MFH καταδουλουμένης] κατεδουλωμένης T, κατεδουλωμένης corr. ex καταδουλωμένης H, καταδεδουλωμένης L (v) 2 δι' ἧς] δ' ἧς A δ' εἰσὶν MA 3 νηπίων κομιδῆ transp. F τιθηνοκομεῖται M ἐνστάζοντας scripsi: προτάττων τὰς M, ἐντάττοντας ceteri (v); ἐπιτάττοντας coni. Wilamowitz τὸ μὲν] μὲν τὸ M 4 διὰ om. AQT αὖθις MAQT: αὖ τῆς FHP, αὖ τὰς G (v)
αι
5 prius ὧν] ὢν M φιλοσοφίας M 6 ὅσιον P οὐ] ἢ F Ζηνώνειον] ζῆν ὄνειον corr. in ζῆν ὄνειαρ (ut vid.) M, ζήνειον AT 7 τὸ] τῷ MA φίλωνος περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον subscr. T

---

3 cf. de agric. § 9. de congr. erud. gr. § 19. 6 Zeno fr. 179 (Arnim).
6 πυθόχρηστον: cf. *Cic. de fin. V 79* quia, cum a Zenone, inquam, hoc magnifice tamquam ex oraculo editur: 'virtus ad beate vivendum se ipsa contenta est'.

ΦΙΛΩΝΟΣ
ΠΕΡΙ ΒΙΟΥ ΘΕΩΡΗΤΙΚΟΥ
Η ΙΚΕΤΩΝ
(ΠΕΡΙ ΑΡΕΤΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ)

1 (1.) | Ἐσσαίων πέρι διαλεχθείς, οἳ τὸν πρακτικὸν ἐζήλωσαν καὶ II p.471 M. διεπόνησαν βίον ἐν ἅπασιν ἢ — τὸ γοῦν φορητότερον εἰπεῖν — τοῖς πλείστοις μέρεσι διενεγκόντες, αὐτίκα καὶ περὶ τῶν θεωρίαν ἀσπασαμένων ἀκολουθίᾳ τῆς πραγματείας ἑπόμενος τὰ προσήκοντα λέξω, μηδὲν οἴκοθεν ἕνεκα τοῦ βελτιῶσαι προστιθείς, ὃ δρᾶν ἔθος ἐν σπάνει καλῶν ἐπιτηδευμάτων ἅπασι τοῖς ποιηταῖς καὶ λογογράφοις, ἀλλ' ἀτεχνῶς αὐτῆς περιεχόμενος τῆς ἀληθείας, πρὸς ἣν οἶδ' ὅτι καὶ ὁ δεινότατος εἰπεῖν ἀπαγορεύσει. διαθλητέον δὲ ὅμως καὶ διαγωνιστέον· οὐ γὰρ δεῖ τὸ μέγεθος τῆς τῶν ἀνδρῶν ἀρετῆς αἴτιον ἀφωνίας γενέσθαι τοῖς μηδὲν
2 καλὸν ἡσυχάζεσθαι δικαιοῦσιν. ἡ δὲ προαίρεσις τῶν φιλοσόφων εὐθὺς ἐμφαίνεται διὰ τῆς προσρήσεως· θεραπευταὶ γὰρ καὶ θεραπευτρίδες

Tit. Φίλωνος ἱκέται ἢ περὶ ἀρετῶν δ΄ C, φίλωνος περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῶν τὸ δ΄ MG, τοῦ αὐτοῦ περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῶν τὸ δ΄ F, Φίλωνος ἰουδαίου περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῆς τὸ τέταρτον A, περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῶν HP (v), περὶ βίου θεωρητικοῦ Arm

1 διαλεχθείς] *disputaturus* Lat 2 τὸ γοῦν φορητότερον εἰπεῖν] *ne mediocrius ad-[illegible]* Lat φορητότερον] ἀφορητότερον CHP Arm (Conyb.), εὐφορητότερον mg C (Turn.) 3 διενεγκόντων A 4 τῆς] τῇ F 5 ἐν om. Mang. 6 τοῖς om. Arm 8 δὲ ὅμως] δ' ὁμοίως A, οὖν F in ras. 11 διὰ] ἀπὸ A θεραπευτρίδαις P, θεραπευτίδες A

11 sqq. Euseb. Hist. eccl. II 17, 3 πρῶτόν γέ τοι τὸ μηθὲν πέρα τῆς ἀληθείας οἴκοθεν καὶ ἐξ ἑαυτοῦ προσθήσειν (l. 5), οἷς ἱστορήσειν ἔμελλεν, ἀπισχυρισάμενος (scil. Φίλων) ἐν ᾧ ἐπέγραψεν λόγῳ Περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν, θεραπευτὰς αὐτοὺς καὶ τὰς σὺν αὐτοῖς γυναῖκας θεραπευτρίδας ἀποκαλεῖσθαί φησιν, τὰς αἰτίας ἐπειπὼν τῆς τοιᾶσδε προσρήσεως, ἤτοι παρὰ τὸ τὰς ψυχὰς τῶν προσιόντων αὐτοῖς τῶν ἀπὸ κακίας παθῶν ἰατρῶν δίκην ἀπαλλάττοντας ἀκεῖσθαι καὶ θεραπεύειν ἢ τῆς περὶ τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας τε καὶ θρησκείας ἕνεκα.

ἐτύμως καλοῦνται. ἤτοι παρόσον ἰατρικὴν ἐπαγγέλλονται κρείσσονα τῆς
κατὰ πόλεις — ἡ μὲν γὰρ σώματα θεραπεύει μόνον, ἐκείνη δὲ καὶ
ψυχὰς νόσοις κεκρατημένας χαλεπαῖς τε καὶ δυσιάτοις, ἃς ἐγκατέσκη-
ψαν ἡδοναὶ καὶ ἐπιθυμίαι καὶ λῦπαι καὶ φόβοι πλεονεξίαι τε καὶ ἀφρο-
σύναι καὶ ἀδικίαι καὶ τὸ τῶν ἄλλων παθῶν καὶ κακιῶν ἀνήνυτον πλῆθος —
p.472 M. ἢ παρόσον ἐκ φύσεως καὶ τῶν ἱερῶν νόμων | ἐπαιδεύθησαν θεραπεύειν
τὸ ὄν, ὃ καὶ ἀγαθοῦ κρεῖττόν ἐστι καὶ ἑνὸς εἰλικρινέστερον καὶ μονάδος
ἀρχεγονώτερον. οἷς τίνας συγκρίνειν ἄξιον τῶν ἐπαγγελλομένων εὐσέβειαν; 3
ἆρά γε τοὺς τὰ στοιχεῖα τιμῶντας, γῆν, ὕδωρ, ἀέρα, πῦρ; οἷς καὶ
ἐπωνυμίας ἔθεντο ἑτέρας ἕτεροι, τὸ μὲν πῦρ Ἥφαιστον παρὰ τὴν ἔξαψιν.
οἶμαι, καλοῦντες, Ἥραν δὲ τὸν ἀέρα παρὰ τὸ αἴρεσθαι καὶ μετεωρίζεσθαι
πρὸς ὕψος, τὸ δὲ ὕδωρ Ποσειδῶνα τάχα που διὰ τὸ ποτόν, τὴν δὲ γῆν
Δήμητραν, παρόσον μήτηρ εἶναι δοκεῖ πάντων φυτῶν τε καὶ ζῴων.
ἀλλὰ τὰ μὲν ὀνόματα σοφιστῶν ἐστιν εὑρήματα, τὰ δὲ στοιχεῖα ἄψυχος 4
ὕλη καὶ ἐξ ἑαυτῆς ἀκίνητος, ὑποβεβλημένη τῷ τεχνίτῃ πρὸς ἁπάσας
σχημάτων καὶ ποιοτήτων ἰδέας. ἀλλὰ τοὺς τὰ ἀποτελέσματα, ἥλιον, 5
σελήνην ἢ τοὺς ἄλλους ἀστέρας πλάνητας ἢ ἀπλανεῖς ἢ τὸν σύμπαντα
οὐρανόν τε καὶ κόσμον; ἀλλὰ καὶ ταῦτα οὐκ ἐξ ἑαυτῶν γέγονεν, ἀλλ'
ὑπό τινος δημιουργοῦ τελειοτάτου τὴν ἐπιστήμην. ἀλλὰ τοὺς ἡμιθέους; 6
ἢ τοῦτό γε καὶ χλεύης ἄξιον· πῶς γὰρ ἂν ὁ αὐτὸς ἀθάνατός τε καὶ
θνητὸς εἴη; δίχα τοῦ καὶ τὴν ἀρχὴν τῆς τούτων γενέσεως ἐπίληπτον
εἶναι, μειρακιώδους ἀκρασίας ἀνάπλεων, ἣν τολμῶσιν οὐκ εὐαγῶς

1 κρείττονα A 2 ἐκείνη δὲ] ἡ δὲ M 3 τε om. CF (v) ἃς] αἷς C
3. 4 ἐγκατέσκηψαν scripsi (coni. etiam Wendl.): κατέσκηψαν codd. (v); cf. quod det. pot. insid. sol. § 178 4 ἡδοναί τε καὶ Mang. καὶ ante λῦπαι om. HP (Turn.) 5 ἀνήνυτον] ἀνηκέστων A 7 τὸ ὂν ὄντως Arm ἐστὶν C
8 οἷς τίνας] οὓς τίνι vel οὓς τίσιν Arm τινὰς MA 9 ἆρα] οὐκ ἄρα CMAP
τιμ.
τολμῶντας A (τιμ. ss. man. rec.) 10 ἕτεροι] ἕτερος A μὲν τὸ πῦρ transp. F
12 διὰ τὸ ποτὸν εἶναι Arm 13 δήμητρα G πάντων δοκεῖ εἶναι Arm
ζῴων τε καὶ φυτῶν Arm 14 ἐστιν om. G εὑρέματα A 15 αὑτῆς A
ὑποβεβλημένα (sed α in ras.) F 16 τοὺς] τὰς F 17 πλανήτας ἀστέρας transp. A πλάνητας MH¹P: πλανήτας ceteri (v) ἢ ante τὸν om. Turn.
18 καὶ post ἀλλὰ om. M γεγόνασιν corr. ex γέγονας F 19 ὑπό] ἀπό M
20 ἢ τοῦτο Arm: ἡ τοῦτο codd. (Turn.); ἢ om. Mang. ἂν om. F
21 δίχα καὶ τοῦ MGHP ἀνεπίληπτον F 22 ἀκρασίας] ἀκοῆς M, διανοίας HP
ἀνάπλεων om. in lac. M εὐαγῶς] εὐλόγως A

10 sqq. cf. Diod. Sic. I 12. Plut. de Is. et Osir. 32 p. 363 d. Cornut. Theol. c. 3. 4. 19. 28. 16 sq. cf. Diod. I 11. Diog. La. I 10.

προσάπτειν ταῖς μακαρίαις καὶ θείαις δυνάμεσιν, εἰ γυναιξὶ θνηταῖς ἐπιμα-
7 νέντες ὡμίλησαν οἱ παντὸς πάθους ἀμέτοχοι καὶ τρισευδαίμονες. ἀλλὰ
τοὺς τὰ ξόανα καὶ ἀγάλματα; ὧν αἱ οὐσίαι λίθοι καὶ ξύλα, τὰ μέχρι πρὸ
μικροῦ τελείως ἄμορφα, λιθοτόμων καὶ δρυοτόμων τῆς συμφυΐας αὐτὰ
διακοψάντων, ὧν τὰ ἀδελφὰ μέρη καὶ συγγενῆ λουτροφόροι γεγόνασι καὶ
ποδόνιπτρα καὶ ἄλλα ἄττα τῶν ἀτιμοτέρων, ἃ πρὸς τὰς ἐν σκότῳ χρείας
8 ὑπηρετεῖ μᾶλλον ἢ τὰς ἐν φωτί. τῶν μὲν γὰρ παρ' Αἰγυπτίοις οὐδὲ
μεμνῆσθαι καλόν, οἳ ζῷα ἄλογα καὶ οὐχ ἥμερα μόνον ἀλλὰ καὶ θηρίων
τὰ ἀγριώτατα παραγηόχασιν εἰς θεῶν τιμὰς ἐξ ἑκάστου τῶν κάτω σελήνης,
χερσαίων μὲν λέοντα, ἐνύδρων δὲ τὸν ἐγχώριον κροκόδειλον, ἀεροπόρων
9 δὲ ἴκτινον καὶ τὴν Αἰγυπτίαν ἶβιν. καὶ ταῦτα ὁρῶντες γεννώμενα καὶ
τροφῆς χρείαν ἔχοντα καὶ περὶ ἐδωδὴν ἄπληστα καὶ μεστὰ περιττωμάτων
ἰοβόλα τε καὶ ἀνθρωποβόρα καὶ νόσοις ἁλωτὰ παντοίαις καὶ οὐ μόνον
θανάτῳ τῷ κατὰ φύσιν ἀλλὰ καὶ βιαίῳ πολλάκις διαφθειρόμενα προσκυ-
νοῦσιν, οἱ ἥμεροι τὰ ἀνήμερα καὶ ἀτίθασα καὶ οἱ λογικοὶ τὰ ἄλογα καὶ
οἱ συγγένειαν ἔχοντες πρὸς τὸ θεῖον τὰ μηδ' ἂν Θερσίτῃσι | συγκριθέν- p.473M.
τα, οἱ ἄρχοντες καὶ δεσπόται τὰ ὑπήκοα φύσει καὶ δοῦλα.
10 (2.) Ἀλλ' οὗτοι μέν, ἐπειδήπερ οὐ τοὺς ὁμοφύλους μόνον ἀλλὰ
καὶ τοὺς πλησιάζοντας ἀναπιμπλᾶσι φλυαρίας, ἀθεράπευτοι διατελείτωσαν
ὄψιν, τὴν ἀναγκαιοτάτην τῶν αἰσθήσεων, πεπηρωμένοι· λέγω δὲ οὐ τὴν
σώματος, ἀλλὰ τὴν ψυχῆς, ᾗ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος μόνη γνωρίζεται.

1 εἰ corr. in αἰ H², οἱ L γυναιξὶν C 2 ⌐οἱ ἀμέτοχοι παντὸς πάθους Arm τρισδαίμονες (ευ) A (ευ ss. man. rec.) 3 τοὺς om. CMHP¹ Lat (Turn.) post ἀγάλματα add. σέβοντας A (Mang.) 4 τελέως A δρυτόμων CA (Mang.) 6 ποδόνιπτα A ἄλλ' ἄττα A 7 ὑπερτερεῖ F ἢ πρὸς τὰς MG 8 ἄλογα ζῷα Arm Lat (Conyb.); cf. de decal. § 76 καὶ ante θηρίων om. C 9 παραγειόχασιν C, παραγνώκασιν (ωκ ex οχ corr.) H ante ἐξ add. καὶ M τῶν κατὰ σελήνην F 10 μὲν om. C κροκώδειλον C¹ ἀεροπόρον H 11 ἰκτῆνον F, ἰκτῖνα GA ἴβιν codd. (v) 12 μετὰ περιττωμάτων F, περιττωμάτων μεστὰ HP (v) 13 ἰοβόλα] ἐπίβουλα coni. Mang. μόνῳ CM 14 τῷ om. F βιαίῳ CA Arm: βιαίως ceteri (Turn.) 15 ἀνήμερα καὶ om. C ἀτίθασσα CMA (v) 16 θερσίτησι C¹ Arm: θηρσί τισι ceteri (v), *monstris* Lat 17 καὶ δοῦλα φύσει Arm, καὶ δοῦλα om. H 19 πλησιάζοντας αὐτοῖς Conybeare ex Arm Lat φλυαρίας om. A ἀθεράπευτοι M Arm Lat: αὐτοὶ ἀθεράπευτοι FGHP (v), αὐτῆς, ἀθεράπευτοι CA διαλειπέτωσαν F 20. 21 τὴν τοῦ σώματος M (Mang.), τοῦ σώματος P 21 τὴν τῆς ψυχῆς M (Mang.), τῆς ψυχῆς FP τὸ ante ψεῦδος om. v μόνη om. M Arm (Conyb.)

7 sqq. Aristid. Apolog. p. 107 ed. Harris (Texts and Studies I) Αἰγύπτιοι δὲ ... ἔτι καὶ ἄλογα ζῷα παρεισήγαγον θεοὺς εἶναι χερσαῖά τε καὶ ἔνυδρα καὶ τὰ φυτὰ καὶ βλαστά.

τὸ δὲ θεραπευτικὸν γένος βλέπειν ἀεὶ προδιδασκόμενον τῆς τοῦ ὄντος 11
θέας ἐφιέσθω καὶ τὸν αἰσθητὸν ἥλιον ὑπερβαινέτω καὶ μηδέποτε τὴν
τάξιν ταύτην λειπέτω πρὸς τελείαν ἄγουσαν εὐδαιμονίαν. οἱ δὲ ἐπὶ 12
θεραπείαν ἰόντες οὔτε ἐξ ἔθους οὔτε ἐκ παραινέσεως ἢ παρακλήσεώς τινων, ἀλλ' ὑπ' ἔρωτος ἁρπασθέντες οὐρανίου, καθάπερ οἱ βακχευόμενοι καὶ κορυβαντιῶντες ἐνθουσιάζουσι, μέχρις ἂν τὸ ποθούμενον ἴδωσιν.
εἶτα διὰ τὸν τῆς ἀθανάτου καὶ μακαρίας ζωῆς ἵμερον τετελευτηκέναι 13
νομίζοντες ἤδη τὸν θνητὸν βίον ἀπολείπουσι τὰς οὐσίας υἱοῖς ἢ θυγατράσιν εἴτε καὶ ἄλλοις συγγενέσιν, ἑκουσίῳ γνώμῃ προκληρονομούμενοι, οἷς δὲ μὴ συγγενεῖς εἰσιν, ἑταίροις καὶ φίλοις· ἔδει γὰρ τοὺς τὸν βλέποντα πλοῦτον ἐξ ἑτοίμου λαβόντας τὸν τυφλὸν παραχωρῆσαι τοῖς ἔτι τὰς διανοίας τυφλώττουσιν. Ἀναξαγόραν καὶ Δημόκριτον Ἕλληνες ᾄδουσιν, ὅτι 14
φιλοσοφίας ἱμέρῳ πληγέντες μηλοβότους εἴασαν γενέσθαι τὰς οὐσίας· ἄγαμαι τοὺς ἄνδρας καὶ αὐτὸς γενομένους χρημάτων κρείττονας. ἀλλὰ πόσῳ βελτίονες οἱ μὴ θρέμμασιν ἐμβόσκεσθαι τὰς κτήσεις ἀνέντες, ἀλλὰ τὰς ἀνθρώπων ἐνδείας, συγγενῶν ἢ φίλων, ἐπανορθωσάμενοι καὶ ἐξ ἀπόρων εὐπόρους ἀποφήναντες; ἐκεῖνο μὲν γὰρ ἀπερίσκεπτον — ἵνα μὴ μανιῶδες ἐπ' ἀνδρῶν, οὓς ἡ Ἑλλὰς ἐθαύμασεν, εἴπω τὸ ἔργον —, τοῦτο
δὲ νηφάλιον καὶ μετὰ φρονήσεως ἠκριβωμένον περιττῆς. οἱ πολέμιοι 15

1 τὸ θεραπευτικὸν δὲ H   προδιδασκόμενον Conybeare (p. 200): προσδιδασκόμενον codd. (v)   2 ἀφιέσθω M   αἰσθητὸν] νοητὸν Arm   3 δ' AH   4 οὔτ' (bis) FA   οὔτε ἐκ] ἢ C   παραινέσεως ἢ παρακλήσεως CFGA Lat: παρακλήσεως ἢ παραινέσεων M (Mang.), παραινέσεως ἢ om. HP (Turn.), ἢ παρακλήσεως om. Arm   5 ἀναρπασθέντες A   6 μέχρι C   7 καὶ μακαρίας om. Arm   ἵμερον ex ἥμερον corr. F[2]   8 ἤδη om. Arm   8. 9 υἱοῖς — ἄλλοις om. Arm   9 προκληρονομούμενοι Arm, *praehereditati* Lat: προσκληρονομούμενοι codd. (v)
ῶν ῶν
10 μὴ] μηδὲ A   11 τὸν τυφλὸν M   12 Ἕλληνες om. M   13 ἱμέρῳ φιλοσοφίας transp. A   πλησθέντες A   μηλοβότας A   14 αὐτὸς MA Arm (Mang. Conyb.): αὐτοὺς ceteri Lat   γινομένους A   κρείττους C (v)   15 βελτίονες] κρείττονες HP   16 ἀνθρώπων] ἀνθρωπίνας M   17 μὴ] μὴ μόνον HP (v)   18 ἡ ἑλλὰς οὓς transp. A   ἡ om. F   19 νηφάλιόν τε καὶ M   μετὰ om. M   περιττῆς] περὶ ≡ ἧς C, περὶ ἧς G, γρ. περὶ ἧς P, περιττῆς. περὶ ἧς M

8 Euseb. Hist. eccl. II 17, 5 ὅμως δ' οὖν ἐν πρώτοις τὴν ἀπόταξιν αὐτοῖς τῆς οὐσίας μαρτυρεῖ, φάσκων ἀρχομένους φιλοσοφεῖν ἐξίστασθαι τοῖς προσήκουσι τῶν ὑπαρχόντων.
12 cf. Philo de provid. II § 12. 13. Plat. Hipp. mai. 283a. Plut. Pericl. 16. de vitando aere alieno 8 p. 831f. Cic. Tusc. V 114. Diog. La. II 6. Suid. Ἀναξαγόρας. de Democrito: Cic. de fin. V 87. Hor. Epist. I 12, 12. Lactant. Inst. div. III 23. Orig. c. Cels. II 84.

τί πλέον δρῶσιν ἢ κείρουσι καὶ δενδροτομοῦσι τὴν τῶν ἀντιπάλων χώραν,
ἵνα σπάνει τῶν ἀναγκαίων πιεσθέντες ἐνδῶσι; τοῦτο οἱ περὶ Δημόκριτον
τοῖς ἀφ' αἵματος εἰργάσαντο χειροποίητον ἔνδειαν καὶ πενίαν αὐτοῖς κατα-
σκευάσαντες, οὐκ ἐξ ἐπιβουλῆς ἴσως, ἀλλὰ τῷ μὴ προϊδέσθαι καὶ περι-
16 αθρῆσαι τὸ τοῖς ἄλλοις συμφέρον. πόσῳ δὴ κρείττους οὗτοι καὶ θαυμα-
σιώτεροι, χρησάμενοι μὲν οὐκ ἐλάττοσι ταῖς πρὸς φιλοσοφίαν ὁρμαῖς,
μεγαλόνοιαν δὲ ὀλιγωρίας προτιμήσαντες καὶ χαρισάμενοι τὰς οὐσίας,
ἀλλὰ μὴ διαφθείραντες, ἵνα καὶ ἑτέρους καὶ ἑαυτοὺς ὠφελήσωσι, | τοὺς p.474 M.
μὲν ἐν ἀφθόνοις περιουσίαις, ἑαυτοὺς δὲ ἐν τῷ φιλοσοφεῖν; αἱ γὰρ
χρημάτων καὶ κτημάτων ἐπιμέλειαι τοὺς χρόνους ἀναλίσκουσι· χρόνου
δὲ φείδεσθαι καλόν, ἐπειδὴ κατὰ τὸν ἰατρὸν Ἱπποκράτην „ὁ μὲν βίος
17 βραχύς, ἡ δὲ τέχνη μακρή." τοῦτό μοι δοκεῖ καὶ Ὅμηρος αἰνίξασθαι
ἐν Ἰλιάδι κατὰ τὴν ἀρχὴν τῆς τρισκαιδεκάτης ῥαψῳδίας διὰ τούτων
τῶν ἐπῶν·

„Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων,"

ὡς τῆς μὲν περὶ βίον σπουδῆς καὶ χρηματισμὸν ἀδικίαν γεννώσης διὰ τὸ ἄνισον, δικαιοσύνην δὲ τῆς ἐναντίας προαιρέσεως ἕνεκα ἰσότητος, καθ' ἣν ὁ τῆς φύσεως πλοῦτος ὥρισται καὶ παρευημερεῖ τὸν ἐν ταῖς κεναῖς δόξαις.

1 τί πλέον om. M   δρῶσιν] ποιοῦσιν A   ἢ κείρουσι om. in lac. M   κείρουσι] καίουσι A   2 ἐνδῶσιν C   3 ἑαυτοῖς F   4 μὴ om. F   προΐεσθαι A   5 δὴ] δ' ἂν A   οὗτοι κρείττους transp. A   6 ταῖς] τοῖς H   φιλοσοφίαν] φαντασίαν CG mg F, φιλοσοφίαν mg C[2]   ὁρμαῖς] ὁρῶσι H   8 τοὺς Arm Lat (Conyb.): καὶ τοὺς codd. (v)   9 ἐν τῷ om. C   10 ἐπιμέλειαι] ἐπιθυμίαι Max.   χρόνους] χρωμένους HP[1] Arm (Conyb.)   11 ἰατρὸν om. Arm   12 αἰνίξεσθαι HP, αἰνίττεσθαι A   13 κατ' ἀρχὴν F   ιγ' M   διὰ] καὶ H   15 τὲ M, τ' om F   ἀγαυῶν] ἀγανῶν C, ἀγαθῶν HP   16 γαλακτοφάγων MAHP, γλαγοφάγων G   τ' ἀβίων τε C   ante δικαιοτάτων add. καὶ MH   τ' ἀνθρώπων F   17 περὶ om. F[1], ss. F[2]   περὶ τὸν βίον A   καὶ ἀδικίαν A, καὶ ss. P[2]   διὰ] καὶ A   18 δικαιοσύνης F   ante τῆς add. διὰ MFHP, spat. 2 litt. G   19 τῆς om. F   ὥριστο A   τὸν] τῶν MFH[1]P

9—11 D[K] fol. 240[r] Φίλωνος ἐκ τοῦ περὶ βίου θεωρητικοῦ Maxim. Ecl. cap. 12 Flor. Paris. nr. 20 Φίλωνος: αἱ (ἐκ add. Max.) χρημάτων καὶ κτημάτων ἐπιμέλειαι (ἐπιθυμίαι Max. Flor. Paris.) τοὺς χρόνους ἀναλίσκουσι· χρόνου δὲ φείδεσθαι καλόν. D[R] fol. 193[r] D[V] p. 563 Φίλωνος: χρόνου φείδεσθαι καλόν. D[M] fol. 215[v] Φίλωνος: χρόνον φοβεῖσθαι καλόν.
10—12 Clem. Alex. Strom. V 4, 22 p. 658 P. ... οἷον ἀμέλει τὸ „χρόνου φείδου", ἤτοι ἐπεὶ ὁ βίος βραχὺς καὶ οὐ δεῖ τὸν χρόνον τοῦτον εἰς μάτην καταναλῶσαι.
11 Hippocr. Aphor. I 1.   15 Hom. Il. Ν 5. 6.

ὅταν οὖν ἐκστῶσι τῶν οὐσιῶν, ὑπ' οὐδενὸς ἔτι δελεαζόμενοι φεύγουσιν 18
ἀμεταστρεπτὶ καταλιπόντες ἀδελφούς, τέκνα, γυναῖκας, γονεῖς, πολυαν-
θρώπους συγγενείας, φιλικὰς ἑταιρείας, τὰς πατρίδας, ἐν αἷς ἐγεννήθησαν
καὶ ἐτράφησαν, ἐπειδὴ τὸ σύνηθες ὁλκὸν καὶ δελεάσαι δυνατώτατον.
μετοικίζονται δὲ οὐκ εἰς ἑτέραν πόλιν, ὥσπερ οἱ πρᾶσιν αἰτούμενοι παρὰ 19
τῶν κεκτημένων ἀτυχεῖς ἢ κακόδουλοι δεσποτῶν ὑπαλλαγήν, οὐκ ἐλευθε-
ρίαν, αὑτοῖς ἐκπορίζοντες — πᾶσα γὰρ πόλις, καὶ ἡ εὐνομωτάτη, γέμει
θορύβων καὶ ταραχῶν ἀμυθήτων, ἃς οὐκ ἂν ὑπομείναι τις ἅπαξ ὑπὸ σοφίας
ἀχθείς —, ἀλλὰ τειχῶν ἔξω ποιοῦνται τὰς διατριβὰς ἐν κήποις ἢ μονα- 20
γρίαις ἐρημίαν μεταδιώκοντες, οὐ διά τινα ὠμὴν ἐπιτετηδευμένην
μισανθρωπίαν, ἀλλὰ τὰς ἐκ τῶν ἀνομοίων τὸ ἦθος ἐπιμιξίας ἀλυσιτελεῖς
καὶ βλαβερὰς εἰδότες.

(3.) Πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τὸ γένος — ἔδει γὰρ 21
ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον —, πλεο-
νάζει δὲ ἐν Αἰγύπτῳ καθ' ἕκαστον τῶν ἐπικαλουμένων νόμων καὶ
μάλιστα περὶ τὴν Ἀλεξάνδρειαν. οἱ δὲ πανταχόθεν ἄριστοι καθάπερ εἰς 22

1 οὐσιῶν corr. ex οἰκιῶν A ἔτι] ὡς A 2 τέκνα om. Lat, γυναῖκας τέκνα transp. Arm γονεῖς γυναῖκας transp. A 3 ἑταιρίας CF 3. 4 ἐγεννήθησαν καὶ om. HP[1] 4 ὁλκὸν] ἕλκον MP, ἐλ^{κτι}…κὸν F (κτι ss. man. rec.), ἕλκειν A δελεάσασθαι F 5 δὲ om. A verba οὐκ εἰς ἑτέραν πόλιν om. in lac. M ὡς F οἱ om. F 6 ἀτυχαῖς F κακόδουλοι] κακότητα M ὑπαλλαγάς A 7 αὐτοῖς MFH[1]P προσεκπορίζοντες F καὶ ἡ] κἂν ἡ coni. Mang. 8 post θορύβων add. καὶ κηρῶν G (Mang. Conyb.), om. ceteri Lat. ὑπομεῖναι A, ὑπομείνοι C ὑπὸ σοφίας ἅπαξ transp. F 9 ἀχθείς om. Arm 9. 10 μοναγρίαις scripsi: μοναγρίοις codd. (v); cf. de Abrah. § 23. Alciphr. 2, 2 10 ἠρεμίαν Arm 10. 11 οὐ — μισανθρωπίαν] οὐ τὴν μόνωσιν ἐπιτετηδεύκασι διὰ μισανθρωπίαν Arm; οὐ δή τινα ὠμὴν ἐπιτετηδευκότες μισανθρωπίαν coni. Wendl. 11 τὰς] διὰ τὰς CM (v) ἐκ secludendum censuit Mang. 13 τὸ γένος] τοῦτο τὸ γένος Mang. ἔδει] ἐπ^{ει}ειδὴ F (εἰ ss. F[2]) 14 καὶ τὴν (ante Ἑλλάδα) om. Turn. 15 δ' A Eus ἑκάστην F νόμων] νομῶν C[2]H[2] (v), μονῶν Exc. Euseb.

9—12 pergit Euseb. l. l. ἔπειτα πάσαις ἀποταξαμένους ταῖς τοῦ βίου φροντίσιν, ἔξω τειχῶν προελθόντας, ἐν μοναγρίοις καὶ κήποις τὰς διατριβὰς ποιεῖσθαι, τὰς ἐκ τῶν ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς καὶ βλαβερὰς εὖ εἰδότας. 13—52, 3 Euseb. Hist. eccl. II 17, 7 τὰ παραπλήσια δὲ τούτοις μαρτυρήσας τοῖς δηλουμένοις ὁ Φίλων συλλαβαῖς αὐταῖς ἐπιφέρει λέγων· Πολλαχοῦ μὲν οὖν — καὶ ἀέρος εὐκρασίας. Exc. ex Eusebio in codd. Dionys. Areop. Φίλωνος περὶ τῶν ἐκ περιτομῆς πιστευσάντων ἐν Αἰγύπτῳ Χριστιανῶν ἅμα καὶ μοναχῶν ἐκ τοῦ ἐπιγεγραμμένου αὐτῷ λόγου περὶ βίου θεωρητικοῦ ἢ περὶ ἱκετῶν: Πολλαχοῦ μὲν — καὶ ἀέρος εὐκρασίας.

πατρίδα [θεραπευτῶν] ἀποικίαν στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον, ὅπερ ἐστὶν ὑπὲρ λίμνης Μαρείας κείμενον ἐπὶ γεωλόφου χθαμαλωτέρου.
23 σφόδρα εὐκαίρως, ἀσφαλείας τε ἕνεκα καὶ ἀέρος εὐκρασίας. τὴν μὲν οὖν ἀσφάλειαν αἱ ἐν κύκλῳ παρέχουσιν ἐπαύλεις τε καὶ κῶμαι, | p.475 M τὴν δὲ περὶ τὸν ἀέρα εὐκρασίαν αἱ ἔκ τε τῆς λίμνης ἀνεστομωμένης εἰς τὴν θάλατταν καὶ τοῦ πελάγους ἐγγὺς ὄντος ἀναδιδόμεναι συνεχεῖς αὖραι, λεπταὶ μὲν αἱ ἐκ τοῦ πελάγους, παχεῖαι δὲ αἱ ἀπὸ τῆς λίμνης, ὧν ἡ
24 μῖξις ὑγιεινοτάτην κατάστασιν ἀπεργάζεται. αἱ δὲ οἰκίαι τῶν συνεληλυθότων σφόδρα μὲν εὐτελεῖς εἰσι, πρὸς δύο τὰ ἀναγκαιότατα σκέπην παρέχουσαι, πρός τε τὸν ἀφ᾽ ἡλίου φλογμὸν καὶ τὸν ἀπ᾽ ἀέρος κρυμόν· οὔτε δὲ ἐγγύς, ὥσπερ αἱ ἐν τοῖς ἄστεσιν, — ὀχληρὸν γὰρ καὶ δυσάρεστον τοῖς ἐρημίαν ἐζηλωκόσι καὶ μεταδιώκουσιν αἱ γειτνιάσεις — οὔτε πόρρω, δι᾽ ἣν ἀσπάζονται κοινωνίαν καὶ ἵνα, εἰ λῃστῶν γένοιτο ἔφοδος, ἀλλήλοις
25 ἐπιβοηθῶσιν. ἐν ἑκάστῃ δέ ἐστιν οἴκημα ἱερόν, ὃ καλεῖται σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδὲν εἰσκομίζοντες, μὴ ποτόν, μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν καὶ ὕμνους καὶ τὰ ἄλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύ-
26 ξονται καὶ τελειοῦνται. ἀεὶ μὲν οὖν ἄληστον ἔχουσι τὴν τοῦ θεοῦ

1 θεραπευτῶν seclusit Ed. Schwartz (om. Lat) στέλλονται ἀποικίαν transp. M 2 ὑπὲρ] ἐπὶ M Μαρείας] μαρέας C[1] Arm (Conyb.), μαρίας C[2]FH[2]Lat (v) χθαμαλώτερον A 3 εὐκαίρως Eus Arm (Conyb.): εὐκαίρου codd. (v) τε om. Mang. ἀέρων M 4 περιέχουσιν F 5 αἱ C Arm (Conyb.): om. ceteri (v) τε om. C 6 καὶ αἱ τοῦ πελάγους Arm 7 τοῦ om. C αἱ post δὲ om. MF post λίμνης verba ἀνεστομωμένης εἰς τὴν θάλατταν iterum exhibent HP (v), om. ceteri Arm Lat 8 δ᾽ A 9. 10 πρὸς δύο — παρέχουσαι om. Lat 10 ἀπ᾽ ἀέρος CM: ἀπὸ ἀέρος ceteri (v) 11 δὲ] γὰρ A Arm (Conyb.) αἱ om. F Arm (Conyb.) 12 ἠρεμίαν Arm ἐζηλωκόσι καὶ om. CM Arm (Conyb.) 13 γίνοιτο A, sed ι corr. ex ε 14 ἐν ἑκάστῃ δέ CG Arm: ἑκάστω δέ (om. ἐν) ceteri, ἐν ἑκάστῃ δὲ οἰκίᾳ Eus et Exc. Euseb. (Mang.) οἴκημα om. Mang. καὶ] *sive* Lat; nescio an ἢ pro καὶ scribendum sit 16 σῖτον A (Mang.) μηδέ τι C[2] Eus: μηδέν τι ceteri 17 ἀναγκαῖον M 18 τἄλλα F, τᾶλλα A 18. 19 συναύξεται καὶ τελειοῦται Exc. Euseb. 19 τελοῦνται A οὖν om. A

8 sqq. cf. Muson. p. 107, 16 (Hense) ἐπεὶ δὲ σκέπης ἕνεκα καὶ τὰς οἰκίας ποιούμεθα, φημὶ καὶ ταύτας δεῖν ποιεῖσθαι πρὸς τὸ τῆς χρείας ἀναγκαῖον, ὡς ἀπερύκειν μὲν κρύους, ἀπερύκειν δὲ θάλπους τὸ σφοδρόν. εἶναι δ᾽ ἡλίου καὶ ἀνέμων ἐπικούρημα τοῖς δεομένοις. 14—19 pergit Euseb. l. l. (9) εἶθ᾽ ἑξῆς τὰς οἰκήσεις αὐτῶν ὁποῖαί τινες ἦσαν διαγράψας περὶ τῶν κατὰ χώραν ἐκκλησιῶν ταῦτά φησιν· ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν — συναύξονται καὶ τελειοῦνται. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν — συναύξεται καὶ τελειοῦται.

μνήμην, ὡς καὶ δι᾿ ὀνειράτων μηδὲν ἕτερον ἢ τὰ κάλλη τῶν θείων ἀρετῶν καὶ δυνάμεων φαντασιοῦσθαι· πολλοὶ γοῦν καὶ ἐκλαλοῦσιν ἐν ὕπνοις ὀνειροπολούμενοι τὰ τῆς ἱερᾶς φιλοσοφίας ἀοίδιμα δόγματα. δὶς 27
δὲ καθ᾿ ἑκάστην ἡμέραν εἰώθασιν εὔχεσθαι, περὶ τὴν ἕω καὶ περὶ τὴν ἑσπέραν, ἡλίου μὲν ἀνίσχοντος εὐημερίαν αἰτούμενοι τὴν ὄντως εὐημερίαν, φωτὸς οὐρανίου τὴν διάνοιαν αὐτῶν ἀναπλησθῆναι, δυομένου δὲ ὑπὲρ τοῦ τὴν ψυχὴν τοῦ τῶν αἰσθήσεων καὶ αἰσθητῶν ὄχλου παντελῶς ἐπικουφισθεῖσαν, ἐν τῷ ἑαυτῆς συνεδρίῳ καὶ βουλευτηρίῳ γενομένην, ἀλήθειαν ἰχνηλατεῖν. τὸ δὲ ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα 28
σύμπαν αὐτοῖς ἐστιν ἄσκησις· ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι φιλοσοφοῦσι τὴν πάτριον φιλοσοφίαν ἀλληγοροῦντες, ἐπειδὴ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσιν ἀποκεκρυμμένης φύσεως ἐν ὑπονοίαις δηλουμένης. ἔστι δὲ αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν, οἳ τῆς 29
αἱρέσεως ἀρχηγέται γενόμενοι πολλὰ μνημεῖα τῆς ἐν τοῖς ἀλληγορουμένοις
p. 476 M. ἰδέας ἀπέλιπον, οἷς καθάπερ τισὶν ἀρχετύποις | χρώμενοι μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον· ὥστε οὐ θεωροῦσι μόνον, ἀλλὰ καὶ ποιοῦσιν

1 ἕτερα F   2 ἀρετῶν καὶ om. HP[1], ἀρετῶν ss. P[2]   γοῦν AP: om. H, οὖν ceteri (v)   3 δόγματα] δράγματα F   4 περὶ τὴν ἕω] πρὸς τὴν ἕω F   5 ὄντος G   6 ὑπὲρ om. F   7 prius τοῦ] τούτου F[2]   αἰσθητῶν] αἰσθητοῦ F   ὄχλου FGA Arm (Conyb.): ὄγκου ceteri (v), γρ. ὄγκου mg G   8 κουφισθεῖσαν A   γινομένην A   9 ἀληθείας A   δ᾿ A, δὲ om. F   μέχρις ἑσπέρας HP Eus, μέχρι ἑσπέρας C: μέχρι (μέχρις F) τῆς ἑσπέρας MFGA (Mang.)   10 αὐτοῖς ἐστιν Eus: ἐστὶν αὐτοῖς codd. (v)   τοῖς ἱερωτάτοις HP (Turn.)   11 τὴν πάτριον φιλοσοφοῦσι σοφίαν Eus codd. nonnulli   φιλοσοφίαν] νομοθεσίαν Arm (Conyb.)   12 νομίζουσιν ἀποκεκρυμμένης om. in lac. M   φύσεως ἀποκεκρυμμένης transp. HP (v)   13 ἔστιν C   δ᾿ A Eus   συγγράμματα παλαιῶν om. in lac. M   συγγράμμασι F   τῶν ἀνδρῶν M   13. 14 τῆς αἱρέσεως αὐτῶν Eus   14 ἐν τοῖς ἀλληγορουμένοις codd. Eus Arm: ἀλληγορουμένης Mang. (sic Venetus 41 Oxon. Coll. Novi)   15. 16 τῆς προαιρέσεως αὐτῶν Arm   16 τρόπον] τύπον coni. Mang.   ὥστ᾿ A Eus (v)

9—16 pergit Euseb. l. l. καὶ μεθ᾿ ἕτερά φησιν· (10) τὸ δ᾿ ἐξ ἑωθινοῦ — τῆς προαιρέσεως τὸν τρόπον. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: τὸ δὲ ἐξ ἑωθινοῦ — τῆς προαιρέσεως τὸν τρόπον.   16—54, 2 pergit Euseb. l. l. (12) ταῦτα μὲν οὖν ἔοικεν εἰρῆσθαι τῷ ἀνδρὶ τὰς ἱερὰς ἐξηγουμένων αὐτῶν ἐπακροασαμένῳ γραφάς. τάχα δ᾿ εἰκός, ἅ φησιν ἀρχαίων παρ᾿ αὐτοῖς εἶναι συγγράμματα, εὐαγγέλια καὶ τὰς τῶν ἀποστόλων γραφὰς διηγήσεις τέ τινας κατὰ τὸ εἰκὸς τῶν πάλαι προφητῶν ἑρμηνευτικάς, ὁποίας ἥ τε πρὸς Ἑβραίους καὶ ἄλλαι πλείους τοῦ Παύλου περιέχουσιν ἐπιστολαί, ταῦτ᾿ εἶναι. (13) εἶτα πάλιν ἑξῆς περὶ τοῦ νέους αὐτοὺς ποιεῖσθαι ψαλμοὺς οὕτως γράφει· ὥστ᾿ οὐ θεωροῦσι μόνον — ἀναγκαίως χαράσσοντες. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: ὥστε οὐ θεωροῦσι μόνον — ἀναγκαίως χαράσσοντες.

ᾄσματα καὶ ὕμνους εἰς τὸν θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν, ἃ
30 ῥυθμοῖς σεμνοτέροις ἀναγκαίως χαράττουσι. τὰς μὲν οὖν ἓξ ἡμέρας
χωρὶς ἕκαστοι μονούμενοι παρ' ἑαυτοῖς ἐν τοῖς λεχθεῖσι μοναστηρίοις
φιλοσοφοῦσι, τὴν αὔλειον οὐχ ὑπερβαίνοντες, ἀλλ' οὐδὲ ἐξ ἀπόπτου θεω-
ροῦντες· ταῖς δὲ ἑβδόμαις συνέρχονται καθάπερ εἰς κοινὸν σύλλογον
καὶ καθ' ἡλικίαν ἑξῆς καθέζονται μετὰ τοῦ πρέποντος σχήματος, εἴσω
τὰς χεῖρας ἔχοντες, τὴν μὲν δεξιὰν μεταξὺ στέρνου καὶ γενείου, τὴν δὲ
31 εὐώνυμον ὑπεσταλμένην παρὰ τῇ λαγόνι. παρελθὼν δὲ ὁ πρεσβύτατος
καὶ τῶν δογμάτων ἐμπειρότατος διαλέγεται, καθεστῶτι μὲν τῷ βλέμματι,
καθεστώσῃ δὲ τῇ φωνῇ, μετὰ λογισμοῦ καὶ φρονήσεως, οὐ δεινότητα
λόγων ὥσπερ οἱ ῥήτορες ἢ οἱ νῦν σοφισταὶ παρεπιδεικνύμενος, ἀλλὰ τὴν
ἐν τοῖς νοήμασι διηρευνηκὼς καὶ διερμηνεύων ἀκρίβειαν, ἥτις οὐκ ἄκροις
ὠσὶν ἐφιζάνει, ἀλλὰ δι' ἀκοῆς ἐπὶ ψυχὴν ἔρχεται καὶ βεβαίως ἐπιμένει.
καθ' ἡσυχίαν δὲ οἱ ἄλλοι πάντες ἀκροῶνται, τὸν ἔπαινον νεύμασιν ὄψεως
32 ἢ κεφαλῆς παραδηλοῦντες αὐτὸ μόνον. τὸ δὲ κοινὸν τοῦτο σεμνεῖον, εἰς
ὃ ταῖς ἑβδόμαις συνέρχονται, διπλοῦς ἐστι περίβολος, ὁ μὲν εἰς ἀνδρῶνα, ὁ
δὲ εἰς γυναικωνῖτιν ἀποκριθείς· καὶ γὰρ καὶ γυναῖκες ἐξ ἔθους συνακροῶνται
33 τὸν αὐτὸν ζῆλον καὶ τὴν αὐτὴν προαίρεσιν ἔχουσαι. ὁ δὲ μεταξὺ τῶν
οἴκων τοῖχος τὸ μὲν ἐξ ἐδάφους ἐπὶ τρεῖς ἢ τέσσαρας πήχεις εἰς τὸ ἄνω
συνῳκοδόμηται θωρακίου τρόπον, τὸ δὲ ἄχρι τέγους ἀνάγειον ἀχανὲς
ἀνεῖται, δυοῖν ἕνεκα, τοῦ τε τὴν πρέπουσαν αἰδῶ τῇ γυναικείᾳ φύσει
διατηρεῖσθαι καὶ τοῦ τὴν ἀντίληψιν ἔχειν εὐμαρῆ καθεζομένας ἐν ἐπηκόῳ,
34 μηδενὸς τὴν τοῦ διαλεγομένου φωνὴν ἐμποδίζοντος. (4.) ἐγκράτειαν δὲ

1 εἰς τὸν θεὸν codd. Eus (Turn. Mang.): τὸν om. Richt. Tauchn. (errat Conyb.) παντοίων] τοιούτων F 1. 2 ἃ ῥυθμοῖς codd.: ἀριθμοῖς vel ῥυθμοῖς (om. ἃ) Eus codd. 2 ἀναγκαίως] εὐαγῶς coni. Mang. χαράττουσιν C, χαράσσοντες Eus 3 χωρὶς om. Arm 4 αὔλιον C[1]A οὐδ' FA 5 δ' A
δὲ
ταῖς ἑβδόμαις F (δὲ ss. F[2]) 6 ἑξῆς om. Arm 7 δ' A 8 τῇ] τῷ A παρελθὼν] προελθὼν HP ὁ πρεσβύτερος A, πρεσβύτερός τις Arm, *unus senior* Lat 9 τῶν om. A μὲν] γε μὴν F 10 δεινότητι A, δεινότητος F 11 post ῥήτορες add. ἐνδεικνύμενος M παρεπιδεικνύμενος om. M τὴν ex τὸν corr. H 12 νοήμασι] μνήμασι P διηρευνηκὼς] διηρμηνευκὼς in textu H, corr. mg H 14 δ' FG 15 παραδηλοῦντες] παραδεικνῦντες F αὐτῷ A, αὐτῷ ex αὐτὸ corr. H 19 οἴκων C (*cellularum* Lat): οἰκιῶν ceteri (v) τέτταρας FA εἰς τὰ ἄνω F 20 συνῳκοδόμητο A, εὖ ᾠκοδόμηται Arm θωρακίου CA: θωρακείου ceteri (v) τὸ ἄχρι δὲ στέγους A ἀνάγειον] ἀνώγεον A (Mang.) ἀχανὲς] τάχ' ἂν A 21 ἀνεῖται codd.: ἀνίεται Mang. δυεῖν G 23 μηδενὸς CFG Arm: ὡς μηδενὸς ceteri (v)

ὥσπερ τινὰ θεμέλιον προκαταβαλλόμενοι τῆς ψυχῆς τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς. σιτίον ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκαιτο πρὸ ἡλίου δύσεως, ἐπεὶ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς κρίνουσιν εἶναι, σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας, ὅθεν τῷ μὲν ἡμέραν, ταῖς δὲ νυκτὸς βραχύ τι μέρος ἔνειμαν. ἔνιοι δὲ καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς 35 πλείων ὁ πόθος ἐπιστήμης ἐνίδρυται· τινὲς δὲ οὕτως ἐνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ σοφίας ἑστιώμενοι πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγούσης, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν καὶ μόλις δι' ἓξ ἡμερῶν ἀπογεύεσθαι τροφῆς ἀναγκαίας, ἐθισθέντες ὥσπερ φασὶ τὸ τῶν
477 M. τεττίγων | γένος ἀέρι τρέφεσθαι, τῆς ᾠδῆς, ὥς γε οἶμαι, τὴν ἔνδειαν ἐξευ-
11 μαριζούσης. τὴν δὲ ἑβδόμην πανίερόν τινα καὶ πανέορτον εἶναι νομίζοντες 36 ἐξαιρέτου γέρως ἠξιώκασιν, ἐν ᾗ μετὰ τὴν τῆς ψυχῆς ἐπιμέλειαν καὶ τὸ σῶμα λιπαίνουσιν, ὥσπερ ἀμέλει καὶ τὰ θρέμματα, τῶν συνεχῶν πόνων ἀνιέντες. σιτοῦνται δὲ πολυτελὲς οὐδέν, ἀλλὰ ἄρτον εὐτελῆ, καὶ ὄψον 37 ἅλες, οὓς οἱ ἁβροδίαιτοι παραρτύουσιν ὑσσώπῳ, ποτὸν δὲ ὕδωρ ναματιαῖον αὐτοῖς ἐστιν· ἃς γὰρ ἡ φύσις ἐπέστησε τῷ θνητῷ γένει δεσποίνας, πεινάν

1 προκαταβαλλόμενοι codd. Eus: προκαταβαλόμενοι v τῆς ψυχῆς C (*cordis* Lat): τῇ ψυχῇ ceteri Eus Arm (v) 2 σιτίον Eusebii codd. plerique et Lat: σιτίον δὲ codd. Arm (v) οὐδεὶς] οὐδενὸς A προενέγκαιτο HP 3 ἐπεὶ Eus: ἐπειδὴ codd. (v) φωτὸς ἄξιον Eusebii codd. nonnulli 4 τοῦ σώματος Eus Arm Lat: σωματικὰς codd. (v) τῷ F (τὸ ss. F²) ἡμέραν] ἡμέρας A (v) νυκτὸς om. A 4. 5 νυκτὸς βραχύ τι μέρος] βραχύ τι μέρος τῆς νυκτὸς HP (v) 5 ἔνειμαν] ἀπένειμαν Eusebii cod. A et Exc. Eus. codd. nonnulli 6 ὁ ante πόθος om. A ἐνευφραίνονται codd.: ἀνευφραίνονται v 7 ἑστιώμενοι] εὐφραινόμενοι M 8 καὶ ante πρὸς om. F μόγις Eus 10 γένος] γένους Turn. Mang. Richt. γε om. C 11 πανέορτον] πανέρωτον A εἶναι νομίζοντες C Arm: νομίζοντες εἶναι ceteri (v) 12 τῆς ante ψυχῆς om. CGHP (Turn. Conyb.) 14 ἀλλ' FA 15 ἄλας MF, ἄλας A (ε ss.) ἁβροδίαιτοι] ἁβροδιαίτατοι H (v) ποτὸν δὲ CM Arm, ποτὸν δ' ceteri: δὲ om. v 16 ἐπέστησε] ὑπέστησε HP (v) θνητῷ] γενητῷ P

54, 23—55, 9 pergit Euseb. l. l. (14) πολλὰ μὲν οὖν καὶ ἄλλα, περὶ ὧν λόγος, ἐν ταὐτῷ διέξεισιν, ἐκεῖνα δ' ἀναγκαῖον ἐφάνη δεῖν ἀναλέξασθαι, δι' ὧν τὰ χαρακτηριστικὰ τῆς ἐκκλησιαστικῆς ἀγωγῆς ὑποτίθεται. (15) εἰ δέ τῳ μὴ δοκεῖ τὰ εἰρημένα ἴδια εἶναι τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας, δύνασθαι δὲ καὶ ἄλλοις παρὰ τοὺς δεδηλωμένους ἁρμόττειν, πειθέσθω κἂν ἀπὸ τῶν ἑξῆς αὐτοῦ φωνῶν, ἐν αἷς ἀναμφήριστον, εἰ εὐγνωμονοίη, κομίσεται τὴν περὶ τοῦδε μαρτυρίαν. γράφει γὰρ ὧδε· ἐγκράτειαν δ' ὥσπερ τινὰ θεμέλιον — ἀπογεύεσθαι τροφῆς ἀναγκαίας ἐθισθέντες. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: ἐγκράτειαν δὲ ὥσπερ τινὰ θεμέλιον — ἀπογεύεσθαι τροφῆς ἀναγκαίας ἐθισθέντες. 9. 10 cf. quod omnis prob. lib. sit § 8. 14 sqq. cf. Wendland, Philo u. die kynisch-stoische Diatribe p. 8 sqq.

τε καὶ δίψαν, ἀπομειλίσσονται, τῶν εἰς κολακείαν ἐπιφέροντες οὐδέν, ἀλλ᾽ αὐτὰ τὰ χρήσιμα, ὧν ἄνευ ζῆν οὐκ ἔστι. διὰ τοῦτο ἐσθίουσι μέν, ὥστε μὴ πεινῆν, πίνουσι δέ, ὥστε μὴ διψῆν, πλησμονὴν ὡς ἐχθρόν τε καὶ
38 ἐπίβουλον ψυχῆς τε καὶ σώματος ἐκτρεπόμενοι. ἐπεὶ δὲ καὶ σκέπης διττὸν εἶδος, τὸ μὲν ἐσθής, τὸ δὲ οἰκία, περὶ μὲν οἰκίας εἴρηται πρότερον, ὅτι ἐστὶν ἀκαλλώπιστος καὶ αὐτοσχέδιος, πρὸς τὸ χρειῶδες αὐτὸ μόνον εἰργασμένη· καὶ ἐσθὴς δὲ ὁμοίως εὐτελεστάτη, πρὸς ἀλέξημα κρυμοῦ τε καὶ θάλπους, χλαῖνα μὲν ἀπὸ λασίου δορᾶς παχεῖα χειμῶνος, ἐξωμὶς
39 δὲ θέρους ἢ ὀθόνη. συνόλως γὰρ ἀσκοῦσιν ἀτυφίαν, εἰδότες τῦφον μὲν τοῦ ψεύδους ἀρχήν, ἀτυφίαν δὲ ἀληθείας, ἑκάτερον δὲ πηγῆς λόγον ἔχον· ῥέουσι γὰρ ἀπὸ μὲν τοῦ ψεύδους αἱ πολύτροποι τῶν κακῶν ἰδέαι, ἀπὸ δὲ τῆς ἀληθείας αἱ περιουσίαι τῶν ἀγαθῶν ἀνθρωπίνων τε καὶ θείων.
40 (5.) Βούλομαι δὲ καὶ τὰς κοινὰς συνόδους αὐτῶν καὶ ἱλαρωτέρας ἐν συμποσίοις διαγωγὰς εἰπεῖν, ἀντιτάξας τὰ τῶν ἄλλων συμπόσια. οἱ μὲν γὰρ ὅταν ἄκρατον ἐμφορήσωνται, καθάπερ οὐκ οἶνον πιόντες ἀλλὰ παρακινηματικόν τι καὶ μανιῶδες καὶ εἴ τι χαλεπώτερον ἐπ᾽ ἐκστάσει

1 φέροντες A ἀλλὰ C 3 διψᾶν A 4 ψυχῆς τε καὶ σώματος ἐκτρεπόμενοι] ἐκτρεπόμενοι ψυχῆς καὶ σώματος HP (v) ἐπεὶ δὲ AH²: ἐπειδὴ CMH¹P Arm (Conyb.), ἐπειδὴ δὲ FG καὶ om. G 5 διττὸν τὸ εἶδος G εἶδος] γένος A περὶ μὲν οὖν C Arm (Conyb.) οἰκίας] τῆς οἰκίας F 8 ἀπὸ AP² (*de pelle* Lat): ἀντὶ ceteri (Turn. Conyb.) παχεῖα om. G Arm ἐξωμὶς] ἐξ ὠμῆς A 9 ἢ ὀθόνη] ἡ ὀθόνη Arm (Conyb.) ἀσκοῦσιν] ἐξασκοῦσιν C (Conyb.), καὶ ἀσκοῦσιν F 9. 10 τῦφον μὲν τοῦ ψεύδους ἀρχήν, ἀτυφίαν δὲ ἀληθείας Lat: τύφου μὲν τὸ ψεῦδος ἀρχήν, ἀτυφίας δὲ ἀλήθειαν codd. (v) 10 ἀρχήν om. in lac. M δ᾽ A 11 ψεύδους] τύφου M 12 τῶν ἀνθρωπίνων M Arm 14 ἐν συμποσίοις διαγωγὰς om. in lac. M 15 ὅταν ἄκρατον ἐμφορήσωνται om. in lac. M πιόντες Arm (*quasi non vino epotato* Lat): πίνοντες codd. (v) 16 παρακινηματικόν MFGAP², περικινηματικόν C: παρακινητικόν H (v) prius τι HP: τε A, τι om. CMFG καί τι μανιῶδες F, καὶ εἴ τι μανιῶδες M εἴ τι] ἔτι M (εἰ ἔτι τι Conyb.) ἐν ἐκστά
ἐπεκτάσει A

2 sqq. cf. *Senec. Epist.* 8, 5 durius tractandum est (corpus), ne animo male pareat: cibus famem sedet, potio sitim extinguat, vestis arceat frigus, domus munimentum sit adversus infesta corporis. Clem. Alex. Paed. II 2, 29 p. 184 P. ὡς γὰρ τροφαῖς ἐπὶ τῷ μὴ πεινῆν, οὕτως καὶ ποτῷ ἐπὶ τῷ μὴ διψῆν χρηστέον. 7 sqq. cf. Wendland l. l. p. 15 sqq. Clem. Alex. Paed. II 10, 106 p. 233 P. φημὶ τοίνυν οὐκ ἄλλου τινὸς ἕνεκα δεηθῆναι ὑφασμάτων τὸν ἄνθρωπον ἢ σκέπης σώματος πρὸς ἀλέξησιν κρυμῶν τε ὑπερβολῆς καὶ καυμάτων ἐπιτάσεως, μή τι ἡμᾶς παραλυποίη τοῦ περιέχοντος ἡ ἀμετρία. 15 sqq. cf. Wendland l. l. p. 21 sqq.

λογισμοῦ φυσικόν, ἀράσσουσι καὶ λυττῶσι τρόπον κυνῶν ἀτιθάσων καὶ
ἐπανιστάμενοι δάκνουσιν ἀλλήλους καὶ ἀποτρώγουσι ῥῖνας, ὦτα, δακτύλους,
ἕτερα ἄττα μέρη τοῦ σώματος, ὡς τὸν ἐπὶ Κύκλωπος καὶ τῶν Ὀδυσσέως
ἑταίρων μῦθον ἀποδεδειχέναι τούτους ἀληθῆ, „ψωμούς“, ᾗ φησιν ὁ
ποιητής, ἐπεσθίοντας ἀνθρώπων, καὶ ὠμότερον ἢ ἐκεῖνος. ὁ μὲν γὰρ ἐχ- 41
θροὺς ὑποτοπήσας ἠμύνετο, οἱ δὲ συνήθεις καὶ φίλους, ἔστι δὲ ὅτε καὶ
συγγενεῖς, ἐφ᾽ ἁλῶν καὶ τραπέζης, ἄσπονδα ἐν σπονδαῖς ἐργασάμενοι
τῶν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅμοια καὶ παρακόπτοντες ὥσπερ νόμισμα
δόκιμον ἄσκησιν, οἱ ἀντὶ ἀθλητῶν ἄθλιοι· τοῦτο γὰρ αὐτοῖς ἐπιφημιστέον.
ἃ γὰρ νήφοντες ἐν σταδίοις ἐκεῖνοι θεαταῖς χρώμενοι τοῖς Πανέλλησι 42
p.478M. μεθ᾽ ἡμέραν | ἕνεκα νίκης καὶ στεφάνων [Ὀλυμπιονῖκαι] σὺν τέχνῃ
δρῶσιν, οὗτοι κιβδηλεύοντες ἐπὶ συμποσίων νύκτωρ ἐν σκότῳ ⟨καὶ⟩
μεθύοντες, ἐμπαροινοῦντες, ἀνεπιστημόνως καὶ κακοτέχνως ἐπ᾽ ἀτιμίᾳ
καὶ ὕβρει καὶ αἰκίᾳ χαλεπῇ τῶν ὑπομενόντων ἐνεργοῦσιν. εἰ δὲ μηδεὶς 43
οἷα βραβευτὴς παρελθὼν μέσος διαλύσειε, μετὰ πλείονος ἐξουσίας κατα-
παλαίουσι, φονῶντες ἐν ταὐτῷ καὶ θανατῶντες· πάσχουσι γὰρ οὐκ ἐλάττονα
ὧν διατιθέασιν, ὅπερ οὐκ ἴσασι, παραπαίοντες οἱ τὸν οἶνον οὐχ, ὡς ὁ
κωμικός φησιν, ἐπὶ κακῷ τῶν πλησίον αὐτὸ μόνον ἀλλὰ καὶ ἐπὶ τῷ ἰδίῳ
πίνειν ὑπομένοντες. τοιγαροῦν οἱ πρὸ μικροῦ παρελθόντες εἰς τὰ συμπόσια 44

οῦ
1 φυσικόν CMFP: φυσικόν A, φυσικοῦ H (v), φυσικὸν om. in lac. G, φυσικὸν φάρμακον Arm (fortasse recte) ἀράσσουσι] κράζουσι AH mg P Arm (Conyb.) τρόπον κυνῶν] κυνῶν τρόπον HP (v), τρόπω τινῶν A ἀτιθάσων CFG: ἀτιθάσσων ceteri (v) 3 ἕτερ᾽ AH (v) ἅττα M τῶν om. M 4 ἀπο-
ῶν
δεδειχέναι τούτους] ἀποδεδεῖχθαι τούτοις Arm ψωμοὺς A 5 ἐπεσθίοντας
ους
corr. in ἐσθίων τοὺς H, ἐσθίοντας C (Conyb.) ἀνθρώπων A, ἀνθρώπους GH². ἀνδρομέους v (Turn. ex Homero) ὠμότεροι A 6 ἠμύνετο C (*ulciscebatur* Lat): ἠμύνατο ceteri (Mang.) ἔστι δ᾽ A, ἔστιν δὲ C 7 ἄσπονδα] ἄσπονδον ἔνσπονδον F εἰργασμένοι A 8 ὥσπερ codd.: ὡς καὶ v 10 ἃ codd.: ἅπερ Turn., ὥσπερ Mang. Πανέλλησι] παρ᾽ ἕλλησι AH² (v) 11 Ὀλυμπιονῖκαι seclusi (om. Lat) ὀλυμπιονῖκαι καὶ G (Conyb.), ὀλυμπιονίκαις A, ὀλυμπιονῖκαι ceteri (v); ὀλυμπιακῶν coni. Wendl. (sic fortasse Arm) 12 συμποσίῳ FA, συμπόσια M 12. 13 καὶ μεθύοντες Arm: καὶ om. codd. (v) 15 μέσος] μέσον M, εἰς μέσους A: εἰς μέσον Mang. διαλύσει C (Conyb.) 17 ὅπερ Wendl.: ἅπερ codd. (v) 18 αὐτὸ μόνον C Arm: αὐτὸ om. A, αὐτῶν μόνον ceteri (v) 19 τὰ om. C Arm (Conyb.)

4 Hom. Od. ι 373 sq. φάρυγος δ᾽ ἐξέσσυτο οἶνος | ψωμοί τ᾽ ἀνδρόμεοι. 18 Com. Att. Fragm. adesp. 810 (III p. 551 K.).

σῷοι καὶ φίλοι μικρὸν ὕστερον ἐξίασιν ἐχθροὶ καὶ τὰ σώματα ἠκρωτη-
ριασμένοι· καὶ οἱ μὲν συνηγόρων καὶ δικαστῶν, οἱ δὲ καταπλαστῶν καὶ
45 ἰατρῶν καὶ τῆς ὑπὸ τούτων δέονται βοηθείας. ἕτεροι δὲ τῶν μετριωτέρων
δοκούντων εἶναι συμποτῶν ὥσπερ μανδραγόραν τὸν ἄκρατον πιόντες
ὑπερβεβλύκασι καὶ τὸν εὐώνυμον ἀγκῶνα προβαλόντες καὶ τὸν αὐχένα
ἐγκάρσιον ἐπιστρέψαντες, ἐνερευγόμενοι ταῖς κύλιξιν, ὕπνῳ βαθεῖ πιέζονται,
μηδὲν μήτε ἰδόντες μήτε ἀκούσαντες, ὡς μίαν μόνην ἔχοντες αἴσθησιν,
46 τὴν ἀνδραποδωδεστάτην γεῦσιν. οἶδα δέ τινας, [οἳ] ἐπειδὰν ἀκροθώρακες
γένωνται, πρὶν τελέως βαπτισθῆναι, τὸν εἰς τὴν ὑστεραίαν πότον ἐξ
ἐπιδόσεως καὶ συμβολῶν προευτρεπιζομένους, μέρος ὑπολαμβάνοντας τῆς
ἐν χερσὶν εὐφροσύνης εἶναι τὴν περὶ τῆς εἰς τὸ μέλλον μέθης ἐλπίδα.
47 τοῦτον τὸν τρόπον διαζῶντες ἄοικοι καὶ ἀνέστιοι διατελοῦσιν, ἐχθροὶ μὲν
γονέων καὶ γυναικῶν καὶ τέκνων, ἐχθροὶ δὲ καὶ τῆς πατρίδος, πολέμιοι
δὲ καὶ ἑαυτῶν· ὑγρὸς γὰρ καὶ ἄσωτος βίος ἅπασιν ἐπίβουλος.
48 (6.) Ἴσως δ' ἄν τις ἀποδέξαιτο τὴν ἐπιπολάζουσαν νυνὶ τῶν
συμποσίων πανταχοῦ διάθεσιν κατὰ πόθον τῆς Ἰταλικῆς πολυτελείας
καὶ τρυφῆς, ἣν ἐζήλωσαν Ἕλληνές τε καὶ βάρβαροι πρὸς ἐπίδειξιν μᾶλλον
49 ἢ πρὸς εὐωχίαν ποιούμενοι τὰς παρασκευάς. τρίκλινά τε καὶ πολύκλινα
χελώνης ἢ ἐλέφαντος κατεσκευασμένα καὶ τιμαλφεστέρας ὕλης, ὧν τὰ

1 ἐξιᾶσιν F 2 καταπλαστῶν AP: καταπλάστρων ceteri 2. 3 καὶ ἰατρῶν om. H¹P, ss. H², ἰατρῶν post δικαστῶν add. P 3 ὑπὸ τούτων] ἐξ αὐτῶν HP Arm (Conyb.): ὑπὸ τούτων coni. Mang. ἕτεροι] ἔνιοι Arm 4 δοκούντων εἶναι CFG: εἶναι δοκούντων HP Arm (Conyb.), εἶναι om. A, εἶναι δοκούντων εἶναι M πίνοντες AP 5 ὑπερβεβλύκασι Mang.: ὑποβεβλύκασι CFA (Conyb.), ὑποβεβλήκασι ceteri (v); cf. de ebr. § 221 αὐχένα] ἀγκῶνα H 6 ἐνερευγόμενοι Turn.: ἀνερευγόμενοι codd. (Conyb.): ἐνεργόμενοι Mang. (in textu) πιέζοντα C 7 μήτε ἰδόντες] μήτ' εἰδότες A Arm (Conyb.) μήτ' ἀκούσαντες A ἀκούσαντες corr. in ἀκούοντες H, ἀκούοντες L Arm (Conyb.) 8 ἀνδραποδεστάτην F, ἀνδραπωδεστάτην A οἳ secl. Wendl. et ego ἀκροθώρακες FHP: ἀκροθώρηκες C (Conyb.), ἀκροθόρακες MA, ἀκροθόρικες G 10 συμβόλων A ὑπολαμβάνοντες A 11 ἀφροσύνης F 13 καὶ τέκνων om. A 14 γὰρ] δὲ C 15 δὲ A νυνὶ] ἐπὶ G, om. in lac. M 15. 16 πανταχοῦ τῶν συμποσίων transp. HP (v) 16 πολυτελείας] πολιτείας F, om. in lac. M 17 ἐπίδειξιν] ἔνδειξιν MA 17. 18 μᾶλλον ἢ πρὸς om. in lac. M 18 εὐωχίαν] εὐεξίαν Arm (?) τε καὶ πολύκλινα om. in lac. M πολύκλινα Arm: περίκλινα codd. (v); πεντάκλινα coni. Mang. 19 τιμαλφεστάτας M ὕλης ὧν τὰ πλεῖστα om. in lac. M

8 ἀκροθώρακες: cf. Erotian. Gloss. Hippocr. p. 76, 8 (Klein). Plut. Symp. 3 p. 656 d. Clem. Alex. Paed. II 2, 22 p. 179 P. 18 sqq. cf. Muson. p. 109 sqq. (Hense). Clem. Alex. Paed. II 3, 35 p. 188 P. cf. Wendland l. l. p. 27 sqq.

πλεῖστα λιθοκόλλητα· στρωμναὶ ἁλουργεῖς ἐνυφασμένου χρυσοῦ καὶ ἀνθο-
βαφεῖς ἕτεραι παντοίων χρωμάτων πρὸς τὸ τῆς ὄψεως ἐπαγωγόν·
ἐκπωμάτων πλῆθος ἐκτεταγμένων καθ᾽ ἕκαστον εἶδος, ῥυτὰ γὰρ καὶ
φιάλαι καὶ κύλικες καὶ ἕτερα πολυειδῆ τεχνικώτατα θηρίκλεια καὶ
τορείαις ἐπιστημονικῶν ἀνδρῶν ἠκριβωμένα. διακονικὰ ἀνδράποδα 50
.479 M. εὐμορφότατα | καὶ περικαλλέστατα, ὡς ἀφιγμένα οὐχ ὑπηρεσίας ἕνεκα
μᾶλλον ἢ τοῦ φανέντα τὴν τῶν θεωμένων ὄψιν ἡδῦναι· τούτων οἱ μὲν
παῖδες ἔτι ὄντες οἰνοχοοῦσιν, ὑδροφοροῦσι δὲ βούπαιδες λελουμένοι καὶ
λελειασμένοι, ⟨οἳ⟩ τά τε πρόσωπα ἐντρίβονται καὶ ὑπογράφονται καὶ τὰς
τῆς κεφαλῆς τρίχας εὖ πως διαπλέκονται σφηκούμενοι· βαθυχαῖται γάρ 51
εἰσιν ἢ μὴ κειρόμενοι τὸ παράπαν ἢ τὰς προμετωπιδίους αὐτὸ μόνον
ἐξ ἄκρων εἰς ἐπανίσωσιν καὶ γραμμῆς κυκλοτεροῦς ἠκριβωμένον σχῆμα·
χιτῶνάς τε ἀραχνοϋφεῖς καὶ ἐκλεύκους ἐπαναζωσάμενοι, τὰ μὲν ἐμπρόσθια
κατωτέρω τῶν ὑπὸ γόνου, τὰ δὲ κατόπιν μικρὸν ὑπὸ τοῖς γονατίοις,
ἑκάτερον δὲ μέρος οὐλοτέραις ταῖς σειραίαις ἐπιδιπλώσεσι κατὰ τὴν τῶν
χιτωνίσκων συμβολὴν συστέλλοντες ἐκ πλαγίων κόλπους ἀπαιωροῦσιν,
εὐρύνοντες τὰ κοῖλα τῶν πλευρῶν. ἐφεδρεύουσι δ᾽ ἄλλοι, μειράκια ⟨ἢ⟩ 52
πρωτογένεια, τοὺς ἰούλους ἄρτι ἀνθοῦντες, ἀθύρματα πρὸ μικροῦ παιδερα-
στῶν γεγονότες, ἠσκημένοι σφόδρα περιέργως πρὸς τὰς βαρυτέρας ὑπηρε-
σίας, ἐπίδειξις ἑστιατόρων εὐπορίας, ὡς ἴσασιν οἱ χρώμενοι, ὡς δὲ ἔχει
τὸ ἀληθές, ἀπειροκαλίας. πρὸς δὲ τούτοις αἱ πεμμάτων καὶ ὄψων καὶ 53

1 λιθοκόλλητοι M ἀνυφασμένου H χρυσοῦ] χρυσοῦ καὶ ἀργύρου MF (Mang.) l. 2 καὶ ἀνθοβαφεῖς] αὐταῖς M 3 ἐκτεταμένων A εἶδος] εἶναι F γὰρ] δὲ A 4 κίλικες A θηρίκλια C[1], θηλύδρια H in textu mg P, θηρίκλεια mg H καὶ post θηρίκλεια om. C 6 εὐμορφώτατα H καὶ om. F 7 τούτων] ἔτι A, τούτων γὰρ Arm 8 ἔτι om. Arm οἰνοχοοῦσιν CF: οἰνοχοοῦσι ceteri (v) ὑδροφοροῦσι CF Arm: δορυφοροῦσι MAH, καὶ ὑδροφοροῦσι, δορυφοροῦσι GP, γρ. ὑδροφοροῦσι mg M, καὶ ὑδροφοροῦσι mg H 9 οἳ add. Wendl. 10 βαθυχαῖται] βαθύχαιτοι M, ἀβάκται τὲ A 11 ἢ μὴ] οἱ μὴ Arm ἢ ante τὰς om. C προμετωπίδους C 12 κυκλωτερους (sic) C ἠκριβωμένον codd. Arm (Conyb.): ἠκριβωμένοι L (v) 13 καὶ ante ἐκλεύκους eras. C τὰ μὲν γὰρ ἔμπροσθεν A 14 κατώτερα F ὑπὸ τῶν γονατίων F 15 οὐλοτέραις] αὐλοτέραις A τὴν om. A τὴν τῶν] αὐτῶν Arm 16 post συστέλλοντες add. καὶ Arm ἐκ πλαγίου κόλπου A ἀπαιωροῦσιν codd.: ἀπαιωροῦντες v 17 εὐρύνοντες C: εὐρύναντες ceteri (v) πλευρῶν. ἐφεδρεύουσι δ᾽ ἄλλοι Arm (Conyb.): πλευρῶν ἐφεδρεύουσιν. ἄλλοι δὲ codd. (v) ἢ addidi; cf. de Cherub. § 114 frg. ap. Eus. Pr. Ev. VIII 11 (II p. 632 M.) 18 ἀνθοῦντα F 19 γεγονότα F ἠσκημένα F 20 ἐπίδειξις] ἃ ἐπίδειξίς ἐστιν AP[2] ἑστιατόρων] ἀπόρων AP ὡς ἴσασιν οἱ χρώμενοι post εὐπορίας exhibent codd. Arm (Conyb.): post ἀπειροκαλίας (l. 21) v ἴσασιν] νομίζουσιν coni. Mang., φασιν Wendl. 21 τἀληθές A, τὸ ἀληθὲς δὲ F ἀπειροκαλίας Mang.: ἀπειροκαλία codd. πρὸς τούτοις δὲ A

ἡδυσμάτων ποικιλίαι, περὶ ἃ σιτοπόνοι καὶ ὀψαρτυταὶ πονοῦνται, φροντί-
ζοντες οὐ γεῦσιν, ὅπερ ἀναγκαῖον ἦν, ἡδῦναι μόνον, ἀλλὰ καὶ ὄψιν
τῇ καθαριότητι. * * * τοὺς αὐχένας ἐν κύκλῳ περιάγοντες τοῖς ὀφθαλμοῖς
καὶ τοῖς μυκτῆρσι περιλιχνεύουσι, τοῖς μὲν τὰς εὐσαρκίας καὶ τὸ πλῆθος,
τοῖς δὲ τὴν ἀναδιδομένην κνῖσαν. εἶτα ὅταν ἀμφοτέρων, ὄψεών τε καὶ
ὀσμῶν, γένωνται διακορεῖς, ἐσθίειν κελεύουσιν, ἐπαινέσαντες οὐκ ὀλίγα
54 τὴν παρασκευὴν καὶ τὸν ἑστιάτορα τῆς πολυτελείας. ἑπτὰ γοῦν καὶ πλεί-
ους εἰσκομίζονται τράπεζαι, πλήρεις ἁπάντων ὅσα γῆ τε καὶ θάλαττα καὶ
ποταμοὶ καὶ ἀὴρ φέρουσιν ἔκλογα πάντα καὶ εὔσαρκα, χερσαίων, ἐνύδρων,
ἀεροπόρων, ὧν ἑκάστη διαλλάσσει καὶ ταῖς παρασκευαῖς καὶ ταῖς παραρ-
τύσεσιν. ὑπὲρ δὲ τοῦ μηδὲν εἶδος ἀπολειφθῆναι τῶν ἐν τῇ φύσει, τελευ-
ταῖαι τῶν ἀκροδρύων εἰσκομίζονται γέμουσαι, δίχα τῶν εἰς τοὺς κώμους
55 καὶ τὰς λεγομένας ἐπιδειπνίδας. εἶτα αἱ μὲν ἐκκομίζονται κεναὶ διὰ τὴν
τῶν παρόντων ἀπληστίαν, οἳ τρόπον αἰθυιῶν ἐμφορούμενοι κατοψοφαγοῦσιν
οὕτως, ὡς καὶ τῶν ὀστέων ἐπεντραγεῖν, τὰς δὲ λωβήσαντες καὶ σπαράξαντες
ἡμιβρώτους ἐῶσιν. ὅταν δὲ τελέως ἀπαγορεύσωσι, τὰς μὲν γαστέρας
ἄχρι φαρύγγων πεπληρωμένοι, κενοὶ δὲ πρὸς τὰς ἐπιθυμίας, ἀπειρηκότες
56 πρὸς τὰς ἐδωδάς, * * * ἀλλὰ τί ταῦτα προσῆκε μηκύνειν, ἃ παρὰ πολλοῖς
ἤδη τῶν μετριωτέρων καταγινώσκεται προσαναρρηγνύντα τὰς ἐπιθυμίας,
ὧν ἡ μείωσις ὠφέλιμον; εὔξαιτο γὰρ ἄν τις τὰ ἀπευκταιότατα, | p.480M.

1 σιτοπόνοι] σιτοποιοὶ C Arm (Conyb.) 2 ἦν om. G 3 καθαριότητι C: ρι in ρει corr. H, καθαρειότητι M, καθαρειότητι GA, καθαρότητι FP lacunam indicavi sic fere explendam: ⟨οἱ γοῦν παρελθόντες εἰς τὰ συμπόσια⟩ verba τοὺς αὐχένας — τῆς πολυτελείας (l. 7) huc reduxi: post ἀπειρηκότες πρὸς τὰς ἐδωδάς (l. 18) exhibent codd. (v) 4 τοῖς ante μυκτῆρσι om. C περιλιχνεύουσι Arm (coni. Mang.): περιϊχνεύουσι codd. 5 ἀναδεδομένην MA κνίσαν CH: κνίσσαν MFGP (Mang.), ὀσμήν A εἶθ' A τε om. FG 6 ἐσθίειν] ἐπαινεῖν Arm κελεύουσιν] διακελεύουσιν HP (v) ἐπαινέσαντες om. Arm 8 θάλασσα A 9 εὔσαρκα CFA: ἔνσαρκα ceteri 11 δὲ om. FGA Arm (Conyb., qui post φύσει interpungit) 11. 12 τελευταῖαι] τελευταῖα AP Arm (Conyb.), τελευταῖαι δὲ αἱ G 12 κομίζονται A 14 παρόντων] ἐσθιόντων Arm τρόπων C αἰθυιῶν MG: αἰθυῶν ceteri (v) 15 οὕτως om. Arm (Conyb.) ὡς] ὥστε M ὀστέων] ὀστέων αὐτῶν Arm (Conyb.) 18 lacunam indicavi sic fere explendam: ⟨πρὸς τὸν πότον τρέπονται⟩ προσήκει Arm 19 γινώσκεται H ἀναρρηγνύντα H 20 ὠφέλιμος A εὔξαιτο] εὔξεται A

7 sq. cf. Iuven. I 94 quis fercula septem | secreto cenavit avus? Suet. Aug. 74.
13 ἐπιδειπνίδας: Athen XIV 658e. 664f.

πεῖνάν τε καὶ δίψαν, ⟨μᾶλλον⟩ ἢ τὴν ἐν ταῖς τοιαύταις εὐωχίαις
ἄφθονον σιτίων καὶ ποτῶν περιουσίαν.

(7.) Τῶν ἐν τῇ Ἑλλάδι συμποσίων τὰ περιβόητα καὶ σημειωδέστατα 57
δύο ταῦτά ἐστιν, οἷς καὶ Σωκράτης παρετύγχανε· τὸ μὲν ἐν Καλλίου,
ἡνίκα στεφανωθέντος Αὐτολύκου τὰ ἐπινίκια εἱστία, τὸ δὲ ἐν Ἀγάθωνος,
ἃ καὶ μνήμης ἠξίωσαν ἄνδρες τά τε ἤθη καὶ τοὺς λόγους φιλόσοφοι,
Ξενοφῶν τε καὶ Πλάτων· ἀνεγράψαντο γὰρ ὡς ἀξιομνημόνευτα, οἷς
ὑπετόπασαν χρήσεσθαι παραδείγμασι τοὺς ἔπειτα τῆς ἐν συμποσίοις
ἐμμελοῦς διαγωγῆς. ἀλλ᾽ ὅμως καὶ ταῦτα συγκρινόμενα τοῖς τῶν ἡμε- 58
τέρων, οἳ τὸν θεωρητικὸν ἠσπάσαντο βίον, γέλως ἀναφανεῖται. ἡδονὰς
μὲν οὖν ἔχει ἑκάτερον, ἀνθρωπικώτερον δέ ἐστι τὸ Ξενοφῶντος· αὐλητρίδες
τε καὶ ὀρχησταὶ καὶ θαυματοποιοὶ καὶ ποιηταὶ γελοίων ἐπὶ τῷ σκῶψαι
καὶ χαριεντίσασθαι μέγα φρονοῦντές εἰσί τινες καὶ ἄλλα τῶν ἐν ταῖς
ἱλαρωτέραις ἀνέσεσι. τὸ δὲ Πλατωνικὸν ὅλον σχεδόν ἐστι περὶ ἔρωτος, 59
οὐκ ἀνδρῶν γυναιξὶν ἐπιμανέντων ἢ γυναικῶν ἀνδράσιν αὐτὸ μόνον —
ὑποτελοῦσι γὰρ αἱ ἐπιθυμίαι αὗται νόμοις φύσεως —, ἀλλὰ ἀνδρῶν
ἄρρεσιν ἡλικίᾳ μόνον διαφέρουσι· καὶ γὰρ εἴ τι περὶ ἔρωτος καὶ Ἀφρο-
δίτης οὐρανίου κεκομψεῦσθαι δοκεῖ, χάριν ἀστεϊσμοῦ παρείληπται. τὸ 60
γὰρ πλεῖστον αὐτοῦ μέρος ὁ κοινὸς καὶ πάνδημος ἔρως διείληφεν,

1 πεῖνάν τε καὶ δίψαν] δίψαν τε καὶ πεῖναν C Arm (Conyb.) μᾶλλον add. Mang. 3 τῶν] τῶν γοῦν A mg P (Mang.) σημειωδέστερα A 4 ταῦτ᾽ A ἐν καλλίου C: ἐν om. A, ἓν καλλίου ceteri Arm (Turn. Mang.) 5 εἱστία (scil. Καλλίας) scripsi: εἱστιᾶτο codd. (v) ἐν ἀγάθωνος C: ἓν ἀγάθωνος ceteri Arm (Turn. Mang.) 6 τ᾽ A λόγους] τρόπους M φιλόσοφοι om. HP 7 τε om. C (Conyb.) ἀνέγραψαν F ἀξιομνημόνευτοι F 8 χρήσεσθαι Mang.: χρήσασθαι codd. (ἂν χρήσασθαι Conyb.) τοὺς] τοῖς A τῆς om. F 9 συγκρινομένων F 11 ἐστιν C 11. 12 αὐλητρίδες τε C: αὐλητρίδες δὲ ceteri (αὐλητρίδες γὰρ v) 12 ὀρχισταὶ C ποιηταὶ] πύκται A 13 μέγα] μεγάλα G φρονοῦσιν Arm εἰσί τινες καὶ ἄλλα scripsi: εἰσί τινα καὶ ἄλλα CFGH, εἴς τινα καὶ ἄλλα M, εἰσὶ δέ τινα καὶ ἄλλα AP, εἰσὶ (vel ἔστι) δὲ καὶ ἄλλα Arm; εἰσί, καί τινα ἄλλα v; εἰσίενται καὶ ἄλλα coni. Wendl.; ἐκεῖ τινες καὶ ἄλλα conieceram 14 ὅλον] μόνον A περὶ ἔρωτα A 15 γυναιξὶν A (Conyb.): ἐπὶ γυναιξὶν ceteri (v) 16 ὑποτελοῦσι codd. Arm (Conyb.): ἐπιτελοῦνται v (Turn.) νόμοις] νόμῳ HP (v) ἀλλ᾽ A 17 ἄρρεσιν A: ἄρσεσιν ceteri (v) διαφέρουσιν C γὰρ om. A 17. 18 ἀφροδίτης οὐρανίου C (Conyb.): οὐρανίου ἀφροδίτης ceteri (v) 18 παρείληπται] πᾶν εἴληπται Arm 19 πλεῖστον] πλεῖον A πάνδημος] πάντων F

4 sqq. cf. Plut. de Pyth. orac. 15 p. 401 c καθάπερ γὰρ ὁ Σωκράτης ἑστιώμενος ἐν Καλλίου τῷ μύρῳ πολεμεῖ μόνον, ὀρχήσεις δὲ παίδων καὶ κυβιστήσεις καὶ φιλήματα καὶ γελωτοποιοὺς ὁρῶν ἀνέχεται. Xen. Symp. II 1 sqq. 17. 18 sqq. cf. Plat. Symp. 180 d.

ἀνδρείαν μέν, τὴν βιωφελεστάτην ἀρετὴν κατὰ πόλεμον καὶ κατ' εἰρήνην,
ἀφαιρούμενος, θήλειαν δὲ νόσον ταῖς ψυχαῖς ἐναπεργαζόμενος καὶ ἀνδρο-
γύνους κατασκευάζων, οὓς ἐχρῆν πᾶσι τοῖς πρὸς ἀλκὴν ἐπιτηδεύμασι
61 συγκροτεῖσθαι. λυμηνάμενος δὲ τὴν παιδικὴν ἡλικίαν καὶ εἰς ἐρωμένης
τάξιν καὶ διάθεσιν ἀγαγὼν ἐζημίωσε καὶ τοὺς ἐραστὰς περὶ τὰ ἀναγ-
καιότατα, σῶμα καὶ ψυχὴν καὶ οὐσίαν· ἀνάγκη γὰρ τοῦ παιδεραστοῦ
τὸν μὲν νοῦν τετάσθαι πρὸς τὰ παιδικά, πρὸς ταῦτα μόνον ὀξυδορκοῦντα,
πρὸς δὲ τὰ ἄλλα πάντα ἴδιά τε καὶ κοινὰ τυφλούμενον, ⟨τὸ δὲ σῶμα⟩
ὑπὸ τῆς ἐπιθυμίας, καὶ μάλιστα εἰ ἀποτυγχάνοιτο, συντήκεσθαι. τὴν
δὲ οὐσίαν ἐλαττοῦσθαι διχόθεν, ἔκ τε ἀμελείας καὶ τῶν εἰς τὸν ἐρώμενον
62 ἀναλωμάτων. παραφύεται δὲ καὶ μεῖζον ἄλλο πάνδημον κακόν· ἐρημίαν
γὰρ πόλεων καὶ σπάνιν τοῦ ἀρίστου γένους ἀνθρώπων καὶ στείρωσιν
καὶ ἀγονίαν τεχνάζονται, οἳ μιμοῦνται τοὺς ἀνεπιστήμονας τῆς γεωργίας,
σπείροντες ἀντὶ τῆς | βαθυγείου πεδιάδος ὑφάλμους ἀρούρας ἢ λιθώδη p.481 M.
καὶ ἀπόκροτα χωρία, ἃ πρὸς τῷ μηδὲν πεφυκέναι βλαστάνειν καὶ τὰ
63 καταβληθέντα φθείρει σπέρματα. σιωπῶ τὰ τῶν μύθων πλάσματα καὶ
τοὺς δισωμάτους, οἳ κατ' ἀρχὰς προσφύντες ἀλλήλοις ἑνωτικαῖς δυνάμεσιν
αὖθις οἷα μέρη συνεληλυθότα διεζεύχθησαν, τῆς ἁρμονίας ὑφ' ἧς συνεί-
χοντο λυθείσης· εὐπαράγωγα γὰρ ταῦτα πάντα, δυνάμενα τῇ καινότητι

ει
1 ἀνδρίαν A, ἀνδρίαν F 2 ἐναπεργαζόμενος MFG: ἐνεργαζόμενος C (Conyb.), ἀπεργαζόμενος AHP (v) 3 ἐπιτηδεύμασι] γρ. μαθήμασι mg M, μαθήμασι mg P. ἐπιτηδεύμασι καὶ μαθήμασι F 4 ἐρωμένην C, ἐρωμένων Arm (Conyb.) 6 σῶμα καὶ ψυχὴν C Arm (Conyb.): σώματα, ψυχὴν A, σώματα καὶ ψυχὴν ceteri: σῶμά τε καὶ ψυχὴν v 7 πρὸς ταῦτα CG (Conyb.): καὶ πρὸς ταῦτα ceteri (v) μόνον om. Arm ὀξυδορκοῦντα FGA: ὀξυδερκοῦντα ceteri (v) 8 τἆλλα A τὸ δὲ σῶμα add. Conyb.: τὰ δὲ σώματα Arm, om. codd. (v) 9 ἀποτυγχάνοιτο] ἀποτυγχάνοι HP (Turn.); cf. de spec. leg. III § 44 10 δ' A 11 παραφύεται] περιφύεται A, παραφύεσθαι Arm (Conyb.) 12 γὰρ om. FG Arm (Conyb.) 13 ἀγωνίαν A, ἀγονίαν ex ἀγωνίαν corr. H τεχνάζονται A et ut vid. Arm: τεχναζόντων ceteri (Turn. Conyb.) τῆς γεωργίας] τῶν γεωργῶν Arm 14 σπείροντας Wendl. (sic Arm?) ὑφάλμους] ὑφάλους G mg P; ὑφάμμους coni. Mang. λιθώδεις A 15 πεφυκέναι] πεφθακέναι A 16 καταβληθέντα G (Conyb.): βληθέντα ceteri (v) φθείρει om. in lac. G, σπείρει H[2] σπέρματα φθείρει transp. M σπέρματα] σώματα A 17 δισωμάτους] δυσομμάτους M, γρ. δισωμάτους mg M προσφύντες] πρόσφυγες A ἑνωτικαῖς C Arm (Conyb.): ἐρωτικαῖς ceteri (v) 18 συνεληλυθότων HP (Turn.) 18. 19 συνείχετο FG 19 πάντα om. G

14 sq. cf. Plat. Legg. VIII 838e μηδ' εἰς πέτρας τε καὶ λίθους σπείροντας . . ., ἀπεχομένους δὲ ἀρούρας θηλείας πάσης, ἐν ᾗ μὴ βούλοιο ἄν σοι φύεσθαι τὸ σπαρέν.

τῆς ἐπινοίας τὰ ὦτα δελεάζειν· ὧν ἐκ πολλοῦ τοῦ περιόντος οἱ Μωυσέως
γνώριμοι, μεμαθηκότες ἐκ πρώτης ἡλικίας ἐρᾶν ἀληθείας, καταφρονοῦσιν
ἀνεξαπάτητοι διατελοῦντες.

(8.) Ἀλλ' ἐπειδὴ τὰ διωνομασμένα συμπόσια τοιαύτης μεστὰ 64
φλυαρίας ἐστίν, ἐν ἑαυτοῖς ἔχοντα τὸν ἔλεγχον, εἴ τις μὴ πρὸς δόξας καὶ
τὴν διαδοθεῖσαν περὶ αὐτῶν ὡς δὴ πάνυ κατωρθωμένων φήμην ἐθελή-
σειεν ἀφορᾶν, ἀντιτάξω ⟨τὰ⟩ τῶν ἀνατεθεικότων τὸν ἴδιον βίον καὶ
ἑαυτοὺς ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν τῆς φύσεως πραγμάτων κατὰ τὰς
τοῦ προφήτου Μωυσέως ἱερωτάτας ὑφηγήσεις. οὗτοι τὸ μὲν πρῶτον 65
ἀθροίζονται δι' ἑπτὰ ἑβδομάδων, οὐ μόνον τὴν ἁπλῆν ἑβδομάδα ἀλλὰ
καὶ τὴν δύναμιν τεθηπότες· ἁγνὴν γὰρ καὶ ἀειπάρθενον αὐτὴν ἴσασιν.
ἔστι δὲ προέορτος μεγίστης ἑορτῆς, ἣν πεντηκοντὰς ἔλαχεν, ἁγιώτατος
καὶ φυσικώτατος ἀριθμῶν, ἐκ τῆς τοῦ ὀρθογωνίου τριγώνου δυνάμεως,
ὅπερ ἐστὶν ἀρχὴ τῆς τῶν ὅλων γενέσεως, συσταθείς. ἐπειδὰν οὖν συνέλ- 66
θωσι λευχειμονοῦντες φαιδροὶ μετὰ τῆς ἀνωτάτω σεμνότητος, ὑποση-
μαίνοντός τινος τῶν ἐφημερευτῶν — οὕτω γὰρ ὀνομάζειν ἔθος τοὺς ἐν
ταῖς τοιαύταις ὑπηρεσίαις —, πρὸ τῆς κατακλίσεως στάντες ἑξῆς κατὰ
στοῖχον ἐν κόσμῳ καὶ τάς τε ὄψεις καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείναν-
τες, τὰς μὲν ἐπειδὴ τὰ θέας ἄξια καθορᾶν ἐπαιδεύθησαν, τὰς δὲ ὅτι
καθαραὶ λημμάτων εἰσὶν ὑπ' οὐδεμιᾶς προφάσεως τῶν εἰς πορισμὸν
μιαινόμεναι, προσεύχονται τῷ θεῷ θυμήρη γενέσθαι καὶ κατὰ νοῦν
ἀπαντῆσαι τὴν εὐωχίαν. μετὰ δὲ τὰς εὐχὰς οἱ πρεσβύτεροι κατακλί- 67
νονται ταῖς εἰσκρίσεσιν ἀκολουθοῦντες· πρεσβυτέρους δὲ οὐ τοὺς πολυετεῖς

1 post δελεάζειν add. ἐνίων GA (ss. P), ἔνια F ἐκ πολλοῦ τοῦ περιόντος] ἐκ πολλῶν χρόνων Arm μωσέως codd. 3 ἀνεξαγάπητοι F διατελοῦντες om. in lac. M διατελοῦντες] διαθλοῦντες Turn. 4 ἀλλ' om. M 4. 5. τοιαύτης ἐστὶ φλυαρίας μεστά A 5 ἐστίν om. M τις] τι A, τις om. Arm πρὸς δόξας] πρὸς δόξαν HP (v) 6 αὐτῶν] ἑαυτῶν C κατωρθωμένην A 7 ἀντιταξάτω A, ἀντιτάξας Arm τὰ add. Mang. 7. 8 καὶ ἑαυτοὺς om. Arm 8 τῆς φύσεως om. G 9 τοῦ om. A μωυσέος A, μωσέως ceteri 10 ἑβδομάδα CGHP Arm: ἑβδομάδος F, ζωὴν M, καὶ μίαν A 12 προέορτος CMG: προεόρτιος ceteri (v); cf. de spec. leg. II § 176 ἣν et ἔλαχεν om. Arm 13 ἀριθμός Arm (fortasse recte) ὀρθογώνου A τριγωνίου H^1P 14 συσταθείς MFG Arm: καὶ σύστασις CA (καὶ συστάσεως Mang.), om. HP (Turn.) οὖν] γοῦν A, δὲ Arm 15 ἀνωτάτης A 16 τινος τῶν ἐφημερευτῶν] αὐτοῖς τοῦ ἐφημερευτοῦ Arm ἐφημερευτῶν] ἑρμηνευτῶν F γὰρ] γὰρ αὐτοῖς Arm 18 τὰς ante χεῖρας om. HP (v) 19 ante ὅτι add. καθ' ἣν F 22 τὴν εὐωχίαν αὐτῶν Arm 23 εἰσκρίσεσιν ἀκολουθοῦντες] θείαις κρίσεσιν ἀκολούθως A δὲ Arm: γὰρ codd. (v)

καὶ πολιοὺς νομίζουσιν [ἀλλ' ἔτι κομιδῇ νέους παῖδας], ἐὰν ὀψὲ τῆς
προαιρέσεως ἐρασθῶσιν, ἀλλὰ τοὺς ἐκ πρώτης | ἡλικίας ἐνηβήσαντας p.482 M.
καὶ ἐνακμάσαντας τῷ θεωρητικῷ μέρει φιλοσοφίας, ὃ δὴ κάλλιστον καὶ
68 θειότατόν ἐστι. συνεστιῶνται δὲ καὶ γυναῖκες, ὧν πλεῖσται γηραιαὶ
παρθένοι, τὴν ἁγνείαν οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι τῶν παρ' Ἕλλησιν
ἱερειῶν, διαφυλάξασαι μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην, διὰ ζῆλον καὶ
πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάσασαι τῶν περὶ σῶμα ἡδονῶν ἠλόγησαν,
οὐ θνητῶν ἐκγόνων ἀλλ' ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυ-
τῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχή, σπείραντος εἰς αὐτὴν ἀκτῖνας νοητὰς
69 τοῦ πατρός, αἷς δυνήσεται θεωρεῖν τὰ σοφίας δόγματα. (9.) διανενέ-
μηται δὲ ἡ κατάκλισις χωρὶς μὲν ἀνδράσιν ἐπὶ δεξιά, χωρὶς δὲ γυναιξὶν
ἐπ' εὐώνυμα. μή πού τις ὑπολαμβάνει στρωμνάς, εἰ καὶ οὐ πολυτελεῖς,
ἀλλ' οὖν μαλακωτέρας ἀνθρώποις εὐγενέσι καὶ ἀστείοις καὶ φιλοσοφίας
ἀσκηταῖς εὐτρεπίσθαι: στιβάδες γάρ εἰσιν εἰκαιοτέρας ὕλης, ἐφ' ὧν
εὐτελῆ πάνυ χαμαίστρωτα παπύρου τῆς ἐγχωρίου, μικρὸν ὑπερέχοντα
κατὰ τοὺς ἀγκῶνας, ἵνα ἐπερείδοιντο· τὴν μὲν γὰρ Λακωνικὴν σκληρα-
γωγίαν ὑπανιᾶσιν, ἀεὶ δὲ καὶ πανταχοῦ τὴν ἐλευθέριον εὐκολίαν ἐπι-
70 τηδεύουσιν, ἀνὰ κράτος τοῖς ἡδονῆς φίλτροις ἀπεχθόμενοι. διακονοῦνται

1 πολιοὺς Mang.: παλαιοὺς codd. verba ἀλλ' ἔτι κομιδῇ νέους παίδους om. Arm, seclusi ἀλλ'] οὐδ' A 2 ἐνηβάσαντας AP, ἡβήσαντας F 2. 3 ἐνηβήσαντας καὶ om. Arm 3 ἀκμάσαντας H (Turn.) τῆς φιλοσοφίας AP² 4 ὧν αἱ πλεῖσται Eus γηρεαὶ G, γεραιαὶ A, γηραλέαι Eus (Mang.) 5 post παρθένοι add. τυγχάνουσιν Eus (Mang.), om. codd. Arm 6 φυλάξασαι Eus, διαφυλάττουσι Arm διὰ ζῆλον C Eus Arm (Conyb.): διὰ δὲ ζῆλον ceteri (v) 7 σπουδάσασαι] σπουδάζουσαι A (σπουδάζουσι Mang.) περὶ σῶμα] περὶ τὸ σῶμα M Eus (Mang. Conyb.), σωματικῶν Arm 8 ἐγγόνων A 8. 9 ἀφ' ἑαυτῆς om. Arm 11 ἡ ante κατάκλισις om. A 12 μή πού τις scripsi: ἤ πού τις C, ἦ πού τις A (Mang. Conyb.), εἴ πού τις ceteri (Turn.) οὐ] μὴ M (Conyb.) 13 καὶ ἀστείοις om. Arm 14 ἀσκηταῖς] ἐρασταῖς AP², ἀθληταῖς Arm εὐτρεπίσασθαι M στιβάδες γάρ εἰσιν codd.: γάρ om. v; στιβάδες πάρεισιν coni. et l. 12 εἴ πού τις legendum censet Wendl. ἐφ' ὧν Wendl.: ἀφ' ὧν codd. (v) 15 ὑπερανέχοντα F 16 ἵν' F ὑπερείδοιντο M μὲν om. A 17 ὑπανιᾶσιν v (Turn.): ὑπάνεισιν codd. τὴν ἐλευθερίαν εὐκόλως A 18 τοῖς τῆς ἡδονῆς AP², τῆς ἡδονῆς Arm φίλτροις ἀπεχθανόμενοι M, φίλτρων ἀπεχόμενοι Arm

4—9 pergit Euseb. Hist. eccl. II 17, 17 ταύτας τοῦ Φίλωνος σαφεῖς καὶ ἀναντιρρήτους περὶ τῶν καθ' ἡμᾶς ὑπάρχειν ἡγούμεθα λέξεις. (18) εἰ δ' ἐπὶ τούτοις ἀντιλέγων τις ἔτι σκληρύνοιτο, καὶ οὗτος ἀπαλλαττέσθω τῆς δυσπιστίας, ἐναργεστέραις πειθαρχῶν ἀποδείξεσιν, ἃς οὐ παρά τισιν ἢ μόνῃ τῶν Χριστιανῶν εὑρεῖν ἔνεστιν κατὰ τὸ εὐαγγέλιον θρησκείᾳ. (19) φησὶν γὰρ τοῖς περὶ ὧν ὁ λόγος καὶ γυναῖκας συνεῖναι, ὧν αἱ πλεῖσται — ἡ θεοφιλὴς ψυχή. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: εἰσὶ δὲ καὶ γυναῖκες θεραπευτίδες, ὧν αἱ πλεῖσται — ἡ θεοφιλὴς ψυχή. 16 cf. Plut. Lyc. 16.

δὲ οὐχ ὑπ' ἀνδραπόδων, ἡγούμενοι συνόλως τὴν θεραπόντων κτῆσιν
εἶναι παρὰ φύσιν· ἡ μὲν γὰρ ἐλευθέρους ἅπαντας γεγέννηκεν, αἱ δέ
τινων ἀδικίαι καὶ πλεονεξίαι ζηλωσάντων τὴν ἀρχέκακον ἀνισότητα κατα-
ζεύξασαι τὸ ἐπὶ τοῖς ἀσθενεστέροις κράτος τοῖς δυνατωτέροις ἀνῆψαν.
ἐν δὴ τῷ ἱερῷ τούτῳ συμποσίῳ δοῦλος μὲν ὡς ἔφην οὐδείς, ἐλεύθεροι 71
δὲ ὑπηρετοῦσι, τὰς διακονικὰς χρείας ἐπιτελοῦντες οὐ πρὸς βίαν οὐδὲ
προστάξεις ἀναμένοντες, ἀλλ' ἐθελουσίῳ γνώμῃ φθάνοντες μετὰ σπουδῆς
καὶ προθυμίας τὰς ἐπικελεύσεις. οὐδὲ γὰρ οἱ τυχόντες ἐλεύθεροι 72
τάττονται πρὸς ταῖς ὑπουργίαις ταύταις, ἀλλ' οἱ νέοι τῶν ἐν τῷ συστή-
ματι μετὰ πάσης ἐπιμελείας ἀριστίνδην ἐπικριθέντες, ὃν χρὴ τρόπον
ἀστείους καὶ εὐγενεῖς πρὸς ἄκραν ἀρετὴν ἐπειγομένους· οἳ καθάπερ υἱοὶ
γνήσιοι φιλοτίμως ἄσμενοι πατράσι καὶ μητράσιν ὑπουργοῦσι, κοινοὺς
αὐτῶν γονεῖς νομίζοντες οἰκειοτέρους τῶν ἀφ' αἵματος, εἴ γε καλοκἀγαθίας
οὐδὲν οἰκειότερόν ἐστι τοῖς εὖ φρονοῦσιν· ἄζωστοι δὲ καὶ καθειμένοι τοὺς
p. 483 M. χιτωνίσκους εἰσίασιν ὑπηρετήσοντες, | ἕνεκα τοῦ μηδὲν εἴδωλον ἐπιφέρε-
σθαι δουλοπρεποῦς σχήματος. εἰς τοῦτο τὸ συμπόσιον — οἶδ' ὅτι γελά- 73
σονταί τινες ἀκούσαντες, γελάσονται δὲ οἱ κλαυθμῶν καὶ θρήνων ἄξια
δρῶντες — οἶνος ἐκείναις ταῖς ἡμέραις οὐκ εἰσκομίζεται, ἀλλὰ διαυγέσ-
τατον ὕδωρ, ψυχρὸν μὲν τοῖς πολλοῖς, θερμὸν δὲ τῶν πρεσβυτάτων τοῖς
ἁβροδιαίτοις· καὶ τράπεζα καθαρὰ τῶν ἐναίμων, ἐφ' ἧς ἄρτοι μὲν τροφή,
προσόψημα δὲ ἅλες, οἷς ἔστιν ὅτε καὶ ὕσσωπος ἥδυσμα παραρτύεται διὰ
τοὺς τρυφῶντας. νηφάλια γὰρ ὡς τοῖς ἱερεῦσι θύειν καὶ τούτοις βιοῦν 74
ὁ ὀρθὸς λόγος ὑφηγεῖται· οἶνος μὲν γὰρ ἀφροσύνης φάρμακον, ὄψα δὲ

1 συνόλως om. A τὴν τῶν θεραπόντων A, τὴν ἀνδραπόδων M 2 εἶναι om. A post παρὰ φύσιν add. ἢ δούλων A (post θεραπόντων add. Mang.) 3. 4 καταζεύξασαι] κατα . . . (spat. 7—8 litt.) M 5 δὴ] δὲ Arm (Conyb., coni. Mang.) ἱερῷ τούτῳ συμποσίῳ om. in lac. M οὐδεὶς ὡς ἔφην transp. C (Conyb.), οὐδεὶς ἦν ὡς ἔφην Arm 6 δ' A τὰς διακονικὰς — οὐδὲ] τὰς δια (cet. om. in lac.) M 7 ἀλλ' ἐθελουσίῳ γνώμῃ φθάνοντες μετὰ om. in lac. M 9 τάττονται om. G 11 πρὸς] καὶ πρὸς τὴν Arm (καὶ πρὸς Conyb.) ἐπειγομένους Arm (corr. Turn.): ἐπιγινόμενοι A, ἐπιγινομένους ceteri οἳ om. Arm 12 πατράσι CMFA: πατράσιν ceteri ὑπουργοῦσι MFG: ὑπουργοῦσιν ceteri 13 αὐτῶν codd., αὐτῶν om. Arm post νομίζοντες add. καὶ Arm οἰκειοτάτους F 14 οἰκειότερον οὐδέν transp. A ἐστιν C καθιέμενοι C 14. 15 τοὺς χιτῶνας A 15 ὑπηρετοῦντες A 16 post σχήματος interpung. C Arm (Conyb.): post συμπόσιον ceteri (v) εἰς om. C οἶδ' CA: οἶδα ceteri (v) 18 δρῶντες] ζῶντες Arm ἐκείναις] ἐν ἐκείναις HP (v) 19 τῶν πολλοῖς (sic) F τῶν πρεσβυτάτων] τοῖς πρεσβυτάτοις, οὐ A(P^2) 20 τῶν ἀναίμων G ἐφ' οἷς A ἄρτοι] ἄρτος A Arm (Mang. Conyb.) 21 δ' A ἐστὶ FG ὅτε om. FG ὕσσωπος om. A 22 τούτους F 23 ἀφροσύνη (i. e. ἀφροσύνῃ) A

75 πολυτελῆ τὸ θρεμμάτων ἀπληστότατον διερεθίζει, τὴν ἐπιθυμίαν. (10.) καὶ
τὰ μὲν πρῶτα τοιαῦτα. μετὰ δὲ τὸ κατακλιθῆναι μὲν τοὺς συμπότας
ἐν αἷς ἐδήλωσα τάξεσι, στῆναι δὲ τοὺς διακόνους ἐν κόσμῳ πρὸς ὑπηρε-
σίαν ἑτοίμους, ⟨ὁ πρόεδρος αὐτῶν, πολλῆς ἁπάντων ἡσυχίας γενομένης
— πότε δὲ οὐκ ἔστιν; εἴποι τις ἄν· ἀλλ' ἔτι μᾶλλον ἢ πρότερον, ὡς μηδὲ
γρύξαι τινὰ τολμᾶν ἢ ἀναπνεῦσαι βιαιότερον —, ζητεῖ τι τῶν ἐν τοῖς ἱεροῖς
γράμμασιν ἢ καὶ ὑπ' ἄλλου προταθὲν ἐπιλύεται, φροντίζων μὲν οὐδὲν
ἐπιδείξεως — οὐ γὰρ τῆς ἐπὶ δεινότητι λόγων εὐκλείας ὀρέγεται —,
θεάσασθαι δέ τινα ποθῶν ἀκριβέστερον καὶ θεασάμενος μὴ φθονῆσαι
τοῖς εἰ καὶ μὴ ὁμοίως ὀξυδορκοῦσι, τὸν γοῦν τοῦ μαθεῖν ἵμερον παρα-
76 πλήσιον ἔχουσι. καὶ ὁ μὲν σχολαιοτέρᾳ χρῆται τῇ διδασκαλίᾳ, διαμέλλων
καὶ βραδύνων ταῖς ἐπαναλήψεσιν, ἐγχαράττων ταῖς ψυχαῖς τὰ νοήματα —
τῇ γὰρ ἑρμηνείᾳ τοῦ εὐτρόχως καὶ ἀπνευστὶ συνείροντος ὁ τῶν ἀκρο-
ωμένων νοῦς συνομαρτεῖν ἀδυνατῶν ὑστερίζει καὶ ἀπολείπεται τῆς
77 καταλήψεως τῶν λεγομένων —· οἱ δὲ ἀνωρθιακότες ⟨τὰ ὦτα καὶ τοὺς
ὀφθαλμοὺς ἀνατετακότες⟩ εἰς αὐτὸν ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς σχέσεως
ἐπιμένοντες ἀκροῶνται, τὸ μὲν συνιέναι καὶ κατειληφέναι νεύματι καὶ
βλέμματι διασημαίνοντες, τὸν δὲ ἔπαινον τοῦ λέγοντος ἱλαρότητι καὶ τῇ
σχέδην περιαγωγῇ τοῦ προσώπου, τὴν δὲ διαπόρησιν ἠρεμαιοτέρᾳ κινήσει
τῆς κεφαλῆς καὶ ἄκρῳ δακτύλῳ τῆς δεξιᾶς χειρός· οὐχ ἧττον δὲ τῶν

1 τὸ θρέμμα τῶν ἀπληστοτάτων MAH[1]P[1] 2 alterum μὲν om. M 3 διακόνους ut vid. Arm: διακονουμένους codd. (v): nescio an Philo scripserit τοὺς διακονοῦντας 4 ὁ πρόεδρος αὐτῶν, πολλῆς ἁπάντων ἡσυχίας γενομένης: sic secundum Arm codicum lacunam explevi: ὁ πρόεδρος αὐτῶν, ὅτε κοινὴ ἡσυχία γέγονεν Conyb. (sed cf. eius commentar. p. 247) 5 πότε GAP[2] Arm (Conyb.): πότος ceteri (v) δ' GAH[2] (v) 6 ζητεῖ scripsi (sic etiam Conyb. p. 248 et Wendl.): ζητεῖται codd., ζητεῖ τις v; ζήτημά τι τῶν ἐν τοῖς ἱεροῖς γράμμασι προταθέντων ἐπιλύεται videtur legisse Arm τοῖς om. F 7 προταθὲν codd.: προταθέν τι Turn. Conyb. ἐπιλύεται] ἐπιλύεταί τις A, ἐπιλύεται ἕτερος G μὲν] μὲν οὖν F 8 ἐπιδείξεως] ἐπιλύσεως HP (Turn.) οὐ] οὐδὲ A δεινότητος F[1], δεινοτάτων A 9 θεασάμενος om. A 10 τοῖς] τοῖς ἄλλοις G (Mang.) μὴ om. A ὀξυδερκοῦσι GHP (v) 10. 11 παραπλησίως A 11 ἔχουσιν C διαμέλλων codd. (Conyb.): διαμένων v (Turn.) 12 ταῖς ἐπιλήψεσιν P 13 εὐτρόχως] εὐστόχως HP (Turn.), εὐστρόφως A, τρόχως (εὐ om. in lac.) G 15. 16 τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς ἀνατετακότες addidi secundum Arm (*qui vero erigunt aures et oculos infigunt*): om. codd.; τὰ ὦτα deesse videri monuit iam Mang. 17. 18 νεύμασι καὶ βλέμμασι F (fortasse recte, cf. § 31. de conf. ling. § 11) 18 σημαίνοντες A

[illegible] FA ἱλαρώ^ττ (i. e. ἱλαρώτατον?) A 18. 19 τὴν σχέδην A, τῇ σχεδὸν F, σχέδην om. in lac. G 19 ἀπόρησιν P

κατακεκλιμένων οἱ παρεστῶτες νέοι προσέχουσιν. αἱ δὲ ἐξηγήσεις τῶν 78 ἱερῶν γραμμάτων γίνονται δι' ὑπονοιῶν ἐν ἀλληγορίαις· ἅπασα γὰρ ἡ νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ἐοικέναι ζῴῳ καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διατάξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν, ἐν ᾧ ἤρξατο ἡ λογικὴ ψυχὴ διαφερόντως τὰ οἰκεῖα θεωρεῖν,
484 M. ὥσπερ διὰ κατόπτρου τῶν ὀνομάτων ἐξαίσια κάλλη νοημάτων | ἐμφαινόμενα κατιδοῦσα καὶ τὰ μὲν σύμβολα διαπτύξασα καὶ διακαλύψασα, γυμνὰ δὲ εἰς φῶς προαγαγοῦσα τὰ ἐνθύμια τοῖς δυναμένοις ἐκ μικρᾶς ὑπομνήσεως τὰ ἀφανῆ διὰ τῶν φανερῶν θεωρεῖν. ἐπειδὰν οὖν ἱκανῶς ὁ πρόεδρος 79 διειλέχθαι δοκῇ καὶ κατὰ προαίρεσιν ἀπηντηκέναι τῷ μὲν ἡ διάλεξις εὐσκόπως ταῖς ἐπιβολαῖς, τοῖς δὲ ἡ ἀκρόασις, κρότος ἐξ ἁπάντων ὡς ἂν

1 παρέχουσιν C   προσέχουσιν. αἱ δὲ ἐξηγήσεις] προσέχουσι τῇ ἐξηγήσει M ἡ δὲ ἐξήγησις ... γίνεται Arm (Conyb.)   δ' A Eus   2 γίνονται αὐτοῖς Eus, οὐ γίνονται M   ἀλληγορίαις] ἀλλήλοις M   ἅπασα om. in lac. M   3 τούτοις — σῶμα om. in lac. M   4 ταῖς λέξεσιν om. M   5 verba ἐν ᾧ ἤρξατο — θεωρεῖν om. Arm   ἐν ᾧ ἤρξατο] ὃν ἐνήρξατο FG, ὃν ἤρξατο Eus   λογικὴ om. FG, ἡ λογικὴ ψυχὴ om. Eus   τὰ οἰκεῖα] ἡ οἰκεία FG, ἡ οἰκεία αὕτη vel ἡ οἰκια αὕτη vel ἡ θρησκεία αὕτη Eusebii codd. et Exc. Euseb. (τῇ οἰκεία αὐγῇ Coislin. 86)   6 ὥσπερ] ὡς Eus   τῶν νοημάτων M   ἐμφαινόμενα Eus: ἐμφερόμενα codd. (v)   7 δ' A   8 παραγαγοῦσα C (Turn.)
10 δοκεῖ corr. ex δοκῇ H   11 εὐσκόπως CMG Arm (Conyb.): εὐστόχως ceteri (v)   ἐπηβολαῖς A   κρότος — ὕμνον (68, 2) om. A   κρότος] σκότος C

1—7 pergit Euseb. l. l. (20) εἶθ' ὑποκαταβὰς ἐμφαντικώτερον ἐκτίθεται ταῦτα· „αἱ δὲ ἐξηγήσεις — ἐμφαινόμενα κατιδοῦσα". Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: αἱ δὲ ἐξηγήσεις — ἐμφαινόμενα κατιδοῦσα. tum adiungunt haec: μέμνηται τούτων καὶ Εὐσέβιος ὁ Παμφίλου. τινὲς δέ φασι ταῦτα τὸν Φίλωνα περὶ τῶν κοινῶν Ἰουδαίων εἰπεῖν· ἄλλοι περὶ Ἐσσηνῶν Ἐβιωνέων· ἄλλοι περὶ Ναζωραίων Ἰουδαίων· ἄλλοι περὶ τῶν ἐκ περιτομῆς πιστῶν καὶ πεπιστευκότων εἰς Χριστὸν καὶ φυλαττόντων τὸν νόμον Μωυσέως τυπικῶς· ἄλλοι περὶ τελείων Χριστιανῶν. οἵας δὲ εἴησαν αἱρέσεως, μοναχικὸν ζῶντες βίον θεραπευταὶ εἰκότως ὠνομάζοντο. οὐ μόνον δὲ Εὐσέβιος ὁ Παμφίλου καὶ Φίλων ὁ Ἰουδαῖος, ἀλλὰ καὶ ὁ μακάριος Διονύσιος ὁ Ἀρεοπαγίτης, ὁ μαθητὴς τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, ὁ γενόμενος Ἀθηνῶν ἐπίσκοπος, ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας τοὺς μοναχοὺς ἔφη τὸ παλαιὸν καὶ θεραπευτὰς ὀνομάζεσθαι.   2 sqq. *Origenes in Levit. homil. 5, 1 (vol. IX p. 239 Lomm.)* sicut ergo cognationem sui ad invicem gerunt visibilia et invisibilia, ... ita etiam Sanctam Scripturam credendum est ex visibilibus et invisibilibus constare: veluti ex corpore quodam, litera scilicet, quae videtur, et anima, sensu, qui intra ipsam deprehenditur, et spiritu ... *cf. eiusdem fragm. (ibid. p. 171)* ἐπεὶ οὖν συνέστηκεν ἡ γραφὴ καὶ αὐτὴ οἱονεὶ ἐκ σώματος μὲν τοῦ βλεπομένου, ψυχῆς δὲ τῆς ἐν αὐτῷ νοουμένης καὶ καταλαμβανομένης, καὶ πνεύματος τοῦ κατὰ τὰ ὑποδείγματα ...

80 συνηδομένων εἰς τὸ ἔτι ἐφόμενον γίνεται. καὶ ἔπειτα ὁ μὲν ἀναστὰς
ὕμνον ᾄδει πεποιημένον εἰς τὸν θεόν, ἢ καινὸν αὐτὸς πεποιηκὼς ἢ
ἀρχαῖόν τινα τῶν πάλαι ποιητῶν — μέτρα γὰρ καὶ μέλη καταλελοίπασι
πολλὰ ἐπῶν τριμέτρων, προσοδίων ὕμνων, παρασπονδείων, παραβωμίων,
στασίμων χορικῶν στροφαῖς πολυστρόφοις εὖ διαμεμετρημένων —, μεθ'
ὃν καὶ οἱ ἄλλοι κατὰ τάξεις ἐν κόσμῳ προσήκοντι, πάντων κατὰ πολλὴν
ἡσυχίαν ἀκροωμένων, πλὴν ὁπότε τὰ ἀκροτελεύτια καὶ ἐφύμνια ᾄδειν
81 δέοι· τότε γὰρ ἐξηχοῦσι πάντες τε καὶ πᾶσαι. ὅταν δὲ ἕκαστος
διαπεράνηται τὸν ὕμνον, οἱ νέοι τὴν πρὸ μικροῦ λεχθεῖσαν τράπεζαν
εἰσκομίζουσιν, ἐφ' ἧς τὸ παναγέστατον σιτίον, ἄρτος ἐζυμωμένος μετὰ
προσοψήματος ἁλῶν, οἷς ὕσσωπος ἀναμέμικται, δι' αἰδῶ τῆς ἀνακειμένης
ἐν τῷ ἁγίῳ προνάῳ ἱερᾶς τραπέζης· ἐπὶ γὰρ ταύτης εἰσὶν ἄρτοι καὶ
82 ἅλες ἄνευ ἡδυσμάτων, ἄζυμοι μὲν οἱ ἄρτοι, ἀμιγεῖς δὲ οἱ ἅλες. προσ-
ῆκον γὰρ ἦν τὰ μὲν ἁπλούστατα καὶ εἰλικρινέστατα τῇ κρατίστῃ τῶν
ἱερέων ἀπονεμηθῆναι μερίδι λειτουργίας ἆθλον, τοὺς δὲ ἄλλους τὰ μὲν
ὅμοια ζηλοῦν, ἀπέχεσθαι δὲ τῶν αὐτῶν, ἵνα ἔχωσι προνομίαν οἱ κρείττονες.
83 (11.) Μετὰ δὲ τὸ δεῖπνον τὴν ἱερὰν ἄγουσι παννυχίδα. ἄγεται δὲ

1 ἔτι ἐφόμενον scripsi: ἐφόμενον F, ἐποψόμενον ceteri (v), τρίτον μόνον Arm (Conyb.): ἐνδόσιμον coni. Mang. ὁ μὲν codd.: μὲν om. v 2 ᾄδει πεποιημένον εἰς] ὑμνῳδίᾳ γεραίρει A αἶνον ἢ καινὸν A καινὸν] καὶ νῦν F 4 πολλὰ] ποιηταὶ in ras. H[2] προσοδιῶν (sic) C[1]: προσῳδιῶν ceteri ὕμνον M 5 στασίμων] στασίων H χωρικῶν C[1]F πολυτρόφοις C, καὶ πολυστρόφοις Arm 5. 6 μεθ' ὃν C[1]GA: μεθ' ὧν ceteri 6 post τάξεις add. καὶ καθ' ἡλικίαν Arm ἐν om. A 7 πλὴν] πρὶν A 8 τε om. F ὅταν] ὅτε A δὲ om. A 9 διαπεράνητε M, διαπεράνῦται A, διαπεραίνηται FP 11 ὕσωπος HP, ὕσσωπον A δι' αἰδῶ τῆς CFGH[2]: δι' ἐδωδῆς MA, καὶ δι' ἐδωδῆς H[1]P 12. 13 καὶ ἅλες — οἱ ἄρτοι om. FG 13 μὲν om. C δ' A, δὴ F[2] οἱ ἅλες A Arm: καὶ ἅλες F[2], καὶ οἱ ἅλες ceteri (v) 14 γὰρ] μὲν γὰρ MA 14. 15 τῶν ἱερέων Arm (coni. Mang.): τῶν ἱερῶν codd. 15 δ' A 16 τῶν αὐτῶν Arm (Conyb.): τῶν ἄρτων codd. (v); τῶν ἀζύμων coni. Mang. ἵν' A 17 ἄγουσι] εἰσάγουσι A ἄγεται δὲ] ᾄδεται δ' A 17. 69, 1 ἄγεται δὲ ἡ παννυχὶς om. Arm

17 sqq. pergit Euseb. l. l. (21) τί δεῖ τούτοις ἐπιλέγειν τὰς ἐπὶ ταὐτὸν συνόδους καὶ τὰς ἰδίᾳ μὲν ἀνδρῶν ἰδίᾳ δὲ γυναικῶν ἐν ταὐτῷ διατριβὰς καὶ τὰς ἐξ ἔθους ἔτι καὶ νῦν πρὸς ἡμῶν ἐπιτελουμένας ἀσκήσεις, ἃς διαφερόντως κατὰ τὴν τοῦ σωτηρίου πάθους ἑορτὴν ἐν ἀσιτίαις καὶ διανυκτερεύσεσιν προσοχαῖς τε τῶν θείων λόγων ἐκτελεῖν εἰώθαμεν· (22) ἅπερ ἐπ' ἀκριβέστερον αὐτὸν ὃν καὶ εἰς δεῦρο τετήρηται παρὰ μόνοις ἡμῖν τρόπον ἐπισημηνάμενος ὁ δηλωθεὶς ἀνὴρ τῇ ἰδίᾳ παρέδωκεν γραφῇ. τὰς τῆς μεγάλης ἑορτῆς παννυχίδας καὶ τὰς ἐν ταύταις ἀσκήσεις τούς τε λέγεσθαι εἰωθότας πρὸς ἡμῶν ὕμνους ἱστορῶν, καὶ ὡς ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσιν (§ 80),

ἡ παννυχὶς τὸν τρόπον τοῦτον· ἀνίστανται πάντες ἀθρόοι, καὶ κατὰ μέσον
τὸ συμπόσιον δύο γίνονται τὸ πρῶτον χοροί, ὁ μὲν ἀνδρῶν, ὁ δὲ γυ-
485 M. ναικῶν· ἡγεμὼν δὲ καὶ ἔξαρχος | αἱρεῖται καθ' ἑκάτερον ἐντιμότατός
τε καὶ ἐμμελέστατος. εἶτα ᾄδουσι πεποιημένους ὕμνους εἰς τὸν θεὸν 84
πολλοῖς μέτροις καὶ μέλεσι, τῇ μὲν συνηχοῦντες, τῇ δὲ καὶ ἀντιφώνοις
ἁρμονίαις ἐπιχειρονομοῦντες καὶ ἐπορχούμενοι, καὶ ἐπιθειάζοντες τοτὲ
μὲν τὰ προσόδια, τοτὲ δὲ τὰ στάσιμα, στροφάς τε τὰς ἐν χορείᾳ καὶ
ἀντιστροφὰς ποιούμενοι. εἶτα ὅταν ἑκάτερος τῶν χορῶν ἰδίᾳ καὶ καθ' 85
ἑαυτὸν ἑστιαθῇ, καθάπερ ἐν ταῖς βακχείαις ἀκράτου σπάσαντες τοῦ
θεοφιλοῦς, ἀναμίγνυνται καὶ γίνονται χορὸς εἷς ἐξ ἀμφοῖν, μίμημα τοῦ
πάλαι συστάντος κατὰ τὴν ἐρυθρὰν θάλασσαν ἕνεκα τῶν θαυματουργηθέντων
ἐκεῖ. τὸ γὰρ πέλαγος προστάξει θεοῦ τοῖς μὲν σωτηρίας αἴτιον τοῖς 86
δὲ πανωλεθρίας γίνεται· ῥαγέντος μὲν γὰρ καὶ βιαίοις ἀνακοπαῖς
ὑποσυρέντος καὶ ἑκατέρωθεν ἐξ ἐναντίας οἷα τειχῶν παγέντων, τὸ μεθόριον
διάστημα εἰς λεωφόρον ὁδὸν καὶ ξηρὰν πᾶσαν ἀνατμηθὲν εὐρύνετο, δι'
ἧς ὁ λεὼς ἐπέζευσεν ἄχρι τῆς ἀντιπέραν ἠπείρου πρὸς τὰ μετέωρα

1 ἀθρόον F μέσον] μέλη A 2 τὸ πρῶτον om. Arm 3 καθ' ἑκάτερον M Arm: καθ' ἕτερον ceteri (Turn.) 4 τε om. C εἶτ' A τοὺς ὕμνους A εἰς τὸν θεὸν ὕμνους transp. HP (v) 5 καὶ ante ἀντιφώνοις om. M Arm (Conyb.) συμφώνοις Arm 6 ἁρμονίαις om. M 7 προσόδια C[1]: προσῴδια ceteri τὰ ante στάσιμα om. C χορείᾳ Arm (Conyb.): χρεία codd. (χρείᾳ v) 8 ἀντιστροφὰς C Arm (Conyb.): ἀντιστρόφους ceteri (v) εἶθ' A ἑκάτεροι A χορῶν Arm (Conyb.): ἀνδρῶν codd. (v) post ἰδίᾳ καὶ add. τῶν γυναικῶν ἰδίᾳ G (Mang.), om. ceteri Arm 8. 9 καθαυτὸν corr. ex καταυτὸν C 9 ἑστιαθῶσι A, ἑστιαθῇ ante ἰδίᾳ (8) transp. M βακχείαις v (Turn.): βακχικαῖς codd. (Conyb.) σπάσαντες] σπουδάσαντες A τοῦ om. M 10 εἷς om. Turn. 13 πανολεθρίας C γίνεται] ἐγίνετο coni. Mang. (sed cf. 70, 3 διαφθείρονται) γὰρ om. A 14 οἷα τεῖχος M
ων
παγέντος M 15 πᾶσαν] πᾶσιν Arm (Conyb.) εὐρύνετο om. in lac. M 15. 16 δι' ἧς] δι' οὗ M 16 λεὼς] λαὸς M ἐπέζευσεν codd. Arm (Conyb.): [illegible] v ἀντιπέραν CM (Conyb.): ἀντιπέρας ceteri (v)

ὅπως τε κατὰ τὰς δεδηλωμένας ἡμέρας ἐπὶ στιβάδων χαμευνοῦντες οἴνου μὲν τὸ παράπαν, ὡς αὐτοῖς ῥήμασιν ἀνέγραψεν, οὐδ' ἀπογεύονται, ἀλλ' οὐδὲ τῶν ἐναίμων τινός, ὕδωρ δὲ μόνον αὐτοῖς ἐστι ποτόν, καὶ προσόψημα μετ' ἄρτου ἅλες καὶ ὕσσωπον (§ 69. 73). (23) πρὸς τούτοις γράφει τὸν τῆς προστασίας τρόπον τῶν τὰς ἐκκλησιαστικὰς λειτουργίας ἐγκεχειρισμένων διακονίας τε καὶ τὰς ἐπὶ πᾶσιν ἀνωτάτω τῆς ἐπισκοπῆς προεδρίας. (24) τούτων δ' ὅτῳ πόθος ἔνεστι τῆς ἀκριβοῦς ἐπιστάσεως, μάθοι ἂν ἐκ τῆς δηλωθείσης τοῦ ἀνδρὸς ἱστορίας. ὅτι δὲ τοὺς πρώτους κήρυκας τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας τά τε ἀρχῆθεν πρὸς τῶν ἀποστόλων ἔθη παραδεδομένα καταλαβὼν ὁ Φίλων ταῦτ' ἔγραφεν, παντί τῳ δῆλον.

παραπεμφθεις· ἐπιδραμόντος δὲ ταῖς παλιρροίαις καὶ τοῦ μὲν ἔνθεν τοῦ
δὲ ἔνθεν εἰς τὸ χερσωθὲν ἔδαφος ἀναχυθέντος, οἱ ἐπακολουθήσαντες τῶν
87 πολεμίων κατακλυσθέντες διαφθείρονται. τοῦτο δὲ ἰδόντες καὶ παθόντες,
ὃ λόγου καὶ ἐννοίας καὶ ἐλπίδος μεῖζον ἔργον ἦν, ἐνθουσιῶντές τε ἄνδρες
ὁμοῦ καὶ γυναῖκες, εἷς γενόμενοι χορός, τοὺς εὐχαριστηρίους ὕμνους εἰς
τὸν σωτῆρα θεὸν ᾖδον, ἐξάρχοντος τοῖς μὲν ἀνδράσι Μωυσέως τοῦ
88 προφήτου, ταῖς δὲ γυναιξὶ Μαριὰμ τῆς προφήτιδος. τούτῳ μάλιστα
ἀπεικονισθεὶς ὁ τῶν θεραπευτῶν καὶ θεραπευτρίδων, μέλεσιν ἀντήχοις
καὶ ἀντιφώνοις πρὸς βαρὺν ἦχον τῶν ἀνδρῶν ὁ γυναικῶν ὀξὺς ἀνακιρνά-
μενος, ἐναρμόνιον συμφωνίαν ἀποτελεῖ καὶ μουσικὴν ὄντως· πάγκαλα
μὲν τὰ νοήματα, πάγκαλοι δὲ αἱ λέξεις, σεμνοὶ δὲ οἱ χορευταί· τὸ δὲ
τέλος καὶ τῶν νοημάτων καὶ τῶν λέξεων καὶ τῶν χορευτῶν εὐσέβεια.
89 μεθυσθέντες οὖν ἄχρι πρωΐας τὴν καλὴν ταύτην μέθην, οὐ καρηβα-
ροῦντες ἢ καταμύοντες, ἀλλὰ διεγηγερμένοι μᾶλλον ἢ ὅτε παρεγένοντο εἰς
τὸ συμπόσιον, τάς τε ὄψεις καὶ ὅλον τὸ σῶμα πρὸς τὴν ἕω στάντες,
ἐπὰν θεάσωνται τὸν ἥλιον ἀνίσχοντα, τὰς χεῖρας ἀνατείναντες εἰς
οὐρανὸν εὐημερίαν καὶ | ἀλήθειαν ἐπεύχονται καὶ ὀξυωπίαν λογισμοῦ· p.486 M
καὶ μετὰ τὰς εὐχὰς εἰς τὰ ἑαυτῶν ἕκαστος σεμνεῖα ἀναχωροῦσι, πάλιν
90 τὴν συνήθη φιλοσοφίαν ἐμπορευσόμενοι καὶ γεωργήσοντες. θεραπευτῶν
μὲν δὴ πέρι τοσαῦτα θεωρίαν ἀσπασαμένων φύσεως καὶ τῶν ἐν αὐτῇ
καὶ ψυχῇ μόνῃ βιωσάντων, οὐρανοῦ μὲν καὶ κόσμου πολιτῶν, τῷ δὲ
πατρὶ καὶ ποιητῇ τῶν ὅλων γνησίως συσταθέντων ὑπ' ἀρετῆς, ἥτις ⟨θεοῦ⟩

1 ἐπιδραμόντος MGH^{2}: ἐπιδραμόντες FAH^{1}P, ἐπιδραμούσαις C (Conyb.) 1. 2 τοῦ μὲν ἔνθεν τοῦ δὲ] τῆς μὲν ἔνθεν τῆς δὲ C (Conyb.) ἔνθα ... ἔνθα A 2 δ' A ἀναχυθέντα A, ἀναχυθείσης C (Conyb.) 3 τοῦτο δὲ F: τοῦτο καὶ ceteri (v), δὲ om. Arm 4 λόγου C Arm (Conyb.): καὶ λόγου ceteri (v) ἔργον ἦν om. M, ἦν om. Arm τε om. HP (v) 5 γινόμενοι M, γενόμενος HP τοὺς om. M εὐχαριστηρίους] τῆς εὐχαριστίας A; χαριστηρίους voluit Mang. 6 σωτῆρα om. HP θεὸν om. MG ᾖδον corr. ex εἶδον C μὲν τοῖς transp. A μωσέως codd. 6. 7 τοῦ προφήτου om. C 7 τούτῳ] τούτοις Arm 8 καὶ θεραπευτρίδων] καὶ ὁ τῶν θεραπαινίδων M 9 βαρὺν] τραχὺν C (Turn.) 10 ἀπετέλει Arm 11 μὲν] μὲν ἦν Arm 12 καὶ post τέλος om. M Arm (Conyb.) χορευτῶν] θεραπευτῶν M ἡ εὐσέβεια A (Mang.) 14 διαγηγερμένοι C 15 καὶ] ἢ A στάντες suspectum videtur; καθιστάντες conicio 16 ἀνίσχοντα om. Arm 16. 17 ἐπανατείναντες εἰς τὸν οὐρανὸν A 17 τὴν ἀληθῆ εὐημερίαν καὶ τὴν ἀλήθειαν Arm 18 τὰ] τὸ M ἑαυτῶν Arm (Conyb.): ἑαυτοῦ codd. (v) σεμνεῖον M, συγγενεῖα F ἀναχωροῦσιν C 21 βιωσάντων] θεωρησάντων Arm 22 καὶ ποιητῇ om. M θεοῦ addidi

φιλίαν αὐτοῖς προυξένησεν οἰκειότατον γέρας καλοκἀγαθίας προσθεῖσα, πάσης ἄμεινον εὐτυχίας, ἐπ' αὐτὴν ἀκρότητα φθάνον εὐδαιμονίας.

1 προυξένησεν] προεξένησεν A, προυξενήσασα F   οἰκειότατον: desinit C   καλοκἀγαθίας FG Arm: καλοκἀγαθίαν MAHP   προσθεῖσα G: προθεῖσα MAHP Arm (Conyb.), προσθεὶς F, γρ. προσθεὶς mg H mg P   2 πάσης G: ἁπάσης ceteri   ἄμεινον v (Turn.): ἀμείνονα codd.   φθάνουσαν M   εὐδαιμονίας] ἡγεμονίας A

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΑΦΘΑΡΣΙΑΣ ΚΟΣΜΟΥ

1 (1.) Ἐπὶ μὲν παντὸς ἀδήλου καὶ σπουδαίου πράγματος θεὸν καλεῖν ἄξιον, διότι ἀγαθός ἐστι γεννητὴς καὶ οὐδὲν ἄδηλον παρ' αὐτῷ τὴν τῶν ὅλων ἀκριβεστάτην ἐπιστήμην εἰληχότι, πρὸς δὲ τὸν ὑπὲρ ἀφθαρσίας τοῦ κόσμου λόγον ἀναγκαιότατον· οὔτε γὰρ ἐν αἰσθητοῖς παντελέστερόν τι τοῦ κόσμου οὔτε ἐν νοητοῖς θεοῦ τελεώτερον, αἰεὶ δ' αἰσθήσεως ἡγεμὼν νοῦς καὶ νοητὸν αἰσθητοῦ, τὰ δὲ τῶν ὑπηκόων παρ' ἡγεμόνος τε καὶ II p.487M.
2 ἐπιστάτου νόμος φιλοπευστεῖν, οἷς ἐμπέφυκε πόθος ἀληθείας πλείων. εἰ μὲν οὖν ἐνασκηθέντες τοῖς φρονήσεως καὶ σωφροσύνης καὶ πάσης ἀρετῆς δόγμασιν ἀπερρυψάμεθα τὰς ἐκ παθῶν καὶ νοσημάτων κηλῖδας, οὐκ ἂν ἴσως ἀπηξίωσεν ὁ θεὸς ἄκρως κεκαθαρμέναις καὶ φαιδρυναμέναις αὐγοειδῶς ψυχαῖς ἐπιστήμην τῶν οὐρανίων ἢ δι' ὀνειράτων ἢ διὰ χρησμῶν ἢ διὰ σημείων ἢ τεράτων ὑφηγεῖσθαι· ἐπεὶ δὲ τοὺς ἀφροσύνης καὶ ἀδικίας καὶ τῶν ἄλλων κακιῶν ἀναμαξάμενοι [στοχασμοὺς καὶ] τύπους

Tit. Φίλωνος ἰουδαίου περὶ ἀφθαρσίας κόσμου UH. τοῦ αὐτοῦ περὶ ἀφθαρσίας κόσμου P, φίλωνος περὶ τῆς τοῦ κόσμου γενέσεως M

1. 2 θεὸν καλεῖν ἄξιον HP: ἐγκαλεῖν ἄξιον MU (ἐγκαλεῖν ἄξιον θεόν Bernays) 2 γεννητὴς] γενετὴς mg H^2P^2 (γενέτης v) 5 αἰεὶ MHP: εἰ U 7 νόμος Bernays: πόνος codd.: ⟨οὐ⟩ πόνος vel ⟨οὐ⟩ φθόνος coni. Mang. πλείων v (Turn.): πλέον codd. (cf. de vita cont. § 35) 8 οὖν om. P^1 τοῖς M: τῆς UHP πάσης MU: πᾶσι HP (Turn.) 9 ἀπερρυψάμεθα P (coni. Mang.): ἀπερυψάμεθα U, ἀπερριψάμεθα H (v), ἀπεριψάμεθα M 10 ἴσως om. HP (Turn.) φαιδρυναμέναις MUH^2: φαιδρυνομέναις H^1P 10. 11 αὐγοειδῶς Mang.: αὐτοειδῶς codd. 11 ψυχαῖς M: εὐχαῖς UHP (Turn.) χρησμῶν scripsi: χρήσεων codd. 12 δὲ MU: δὲ καὶ HP (v) 13 στοχασμοὺς καὶ seclusi; μολυσμοὺς (pro στοχασμοὺς) Bernays, τὰ ἐγκαύματα vel τὰς εἰκόνας (pro τοὺς στοχασμοὺς) coni. Mang.

1 cf. Plat. Tim. 27c ὅσοι καὶ κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν, ἡμᾶς δὲ τοὺς περὶ παντὸς λόγους ποιεῖσθαί πῃ μέλλοντας ᾗ γέγονεν ἢ καὶ ἀγεννές ἐστιν ... ἀνάγκη θεούς τε καὶ θεὰς ἐπικαλουμένους εὔχεσθαι πάντα κατὰ νοῦν ἐκείνοις μὲν μάλιστα ἑπομένως δὲ ἡμῖν εἰπεῖν.

p.488M. δυσεκπλύτους | ἔχομεν, ἀγαπᾶν χρή, κἂν εἰκόσι ⟨στοχασμοῖς⟩ δι' αὑτῶν μίμημά τι τῆς ἀληθείας ἀνευρίσκωμεν.

Ἄξιον οὖν τοὺς ζητοῦντας εἰ ἄφθαρτος ὁ κόσμος, ἐπειδὴ καὶ „φθορὰ" καὶ „κόσμος" τῶν πολλαχῶς λεγομένων ἐστὶν ἑκάτερον, πρῶτον ἐρευνῆσαι περὶ τῶν ὀνομάτων, ἵνα καθ' ὃ σημαινόμενον νυνὶ [καὶ] τέτακται διαγνῶμεν· ἀλλ' οὐχ ὅσα δηλοῦται ⟨πάντα⟩ καταριθμητέον, ἀλλ' ὅσα πρὸς τὴν παροῦσαν διδασκαλίαν χρήσιμα. (2.) λέγεται τοίνυν ὁ κόσμος καθ' ἓν μὲν [πρῶτον] σύστημα ἐξ οὐρανοῦ καὶ ἄστρων κατὰ περιοχὴν ⟨καὶ⟩ γῆς καὶ τῶν ἐπ' αὐτῆς ζῴων καὶ φυτῶν, καθ' ἕτερον δὲ μόνος οὐρανός, εἰς ὃν ἀπιδὼν Ἀναξαγόρας πρὸς τὸν πυθόμενον, ἧς ἕνεκα αἰτίας ταλαιπωρεῖται διανυκτερεύων ὕπαιθρος, ἀπεκρίνατο 'τοῦ τὸν κόσμον θεάσασθαι', τὰς χορείας καὶ περιφορὰς τῶν ἀστέρων αἰνιττόμενος, κατὰ δὲ τρίτον, ὡς δοκεῖ τοῖς Στωικοῖς, διῆκον ἄχρι τῆς ἐκπυρώσεως, οὐσία τις ἢ διακεκοσμημένη ἢ ἀδιακόσμητος, οὗ τῆς κινήσεώς φασιν εἶναι τὸν

3 (right margin, beside line 3) · 4 (right margin, beside line 7)

1 κἂν MHP: ἂν U (κἀν Bernays Cumont) στοχασμοῖς addidi; κἂν εἰκόνισμα καὶ μίμημά τι coni. Mang. δι' αὑτῶν Bernays: δι' αὐτῶν codd. 2 μίμημά τι MHP: μιμήματα U ἀνευρίσκωμεν HP, εὑρίσκωμεν U: ἀνευρίσκειν ἡμᾶς M (Bernays Cumont) 3. 4 ἐπειδὴ — κόσμος om. HP (Turn.) 4 πολλαχῶς MU(P?): πολλαχοῦ H (v) 5 περὶ τῶν ὀνομάτων M: περὶ om. UHP (v) τῶν νοημάτων Turn. σημαινόμενον Bernays (cf. 74, 2): σημαίνεται codd. τέτακται scripsi: καὶ τέτακται codd. (v): κατατέτακται Bernays 6 ἀλλ' οὐχ MU: καὶ οὐχ HP (v) δηλοῦται Wendl. et ego: δηλοῦνται codd. πάντα addidi 8 πρῶτον seclusi 9 καὶ ante γῆς add. Mang. (cf. 74, 2) 10 πυθόμενον M: πυνθανόμενον UHP (v) 11 ταλαιπωρεῖται διανυκτερευων Bernays (coll. Thuc. I 134, 2): τὰ πολλὰ πειρᾶται διανυκτερεύειν codd. τοῦ] τοῦτον U 13 διῆκον Jessen: διήκων codd. (διήκουσα v) 14 οὗ codd.: ἧς v

1 cf. Plat. Tim. 29c ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας (λόγους), ἀγαπᾶν χρή. 7 sqq. cf. Chrysipp. frg. 527 (Arnim) κόσμον δ' εἶναί φησιν ὁ Χρύσιππος σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων. [Arist.] de mundo 2 κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. Ocell. Lucan. I 7 τὸ δέ γε ὅλον καὶ τὸ πᾶν ὀνομάζω τὸν σύμπαντα κόσμον· ... σύστημα γάρ ἐστι τῶν ὅλων φύσεων αὐτοτελὲς καὶ τέλειον. Diog. La. VII 137 λέγουσι δὲ (Stoici) κόσμον τριχῶς, αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς πάσης οὐσίας ἰδίως ποιόν ... (138) καὶ αὐτὴν δὲ τὴν διακόσμησιν τῶν ἀστέρων κόσμον εἶναι λέγουσι, καὶ τρίτον τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. καὶ ἔστι κόσμος ὁ ἰδίως ποιὸς τῆς τῶν ὅλων οὐσίας ἤ, ὥς φησι Ποσειδώνιος ἐν τῇ Μετεωρολογικῇ Στοιχειώσει, σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων. Doxogr. p. 464, 18 (Arius Didymus) λέγεσθαι δὲ κόσμον ⟨καὶ⟩ σύστημα ἐξ οὐρανοῦ καὶ ἀέρος καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἐν αὐτοῖς φύσεων. 9 sq. Doxogr. p. 337, 13 (Φιλόλαος) τὸ δὲ ὑπὸ τὴν τοῦ ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, κόσμον (καλεῖ). de Anaxagora cf. Arist. Eth. Eud. I 5 p. 1216ª 11. Iamblich. Protr. 9 p. 51, 11 (Pistelli). 14 sq. cf. Doxogr. p. 461. Sext. Emp. Pyrrh. Hypot. III 136. Diog. La. VII 141.

χρόνον διάστημα. νῦν δ' ἐστὶν ἡ σκέψις περὶ κόσμου τοῦ κατὰ τὸ πρῶτον σημαινόμενον, ὃς ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς ζῴων
5 συνέστηκε. λέγεται μέντοι καὶ φθορὰ ἥ τε πρὸς τὸ χεῖρον μεταβολὴ [λέγεται δὲ] καὶ ἡ ἐκ τοῦ ὄντος ἀναίρεσις παντελής, ἣν καὶ ἀνύπαρκτον ἀναγκαῖον λέγειν· ὥσπερ γὰρ ἐκ τοῦ μὴ ὄντος οὐδὲν γίνεται, οὐδ' εἰς τὸ μὴ ὂν φθείρεται·

„ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γενέσθαι [τι]
καί τ' ἐὸν ἐξαπολέσθαι ἀνήνυστον καὶ ἄπυστον."

καὶ ὁ τραγικός·

„θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὴν ἑτέραν ἀπέδειξεν."

6 οὐδέν γε οὕτως ἐστὶν εὔηθες ὡς τὸ ἀπορεῖν, εἰ ὁ κόσμος εἰς τὸ μὴ ὂν φθείρεται, ἀλλ' εἰ δέχεται τὴν ἐκ τῆς διακοσμήσεως μεταβολήν, τὰς ποικίλας μορφὰς στοιχείων τε καὶ συγκριμάτων εἰς μίαν καὶ τὴν αὐτὴν ἰδέαν ἀναλυθεὶς ἢ ὥσπερ ἐν τοῖς θλάσμασι καὶ τοῖς κατάγμασι δεξάμενος παντελῆ σύγχυσιν.

1 δέ ἐστιν M   ἡ] ὁ U   περὶ κόσμου MU: περὶ τοῦ κόσμου HP (v)
2 ζῴων Bernays: ἐξ ὧν codd.; εἰς ὧν coni. Mang.   3 συνέστηκεν M
4 λέγεται δὲ seclusit Diels   ἐκ τοῦ ὄντος MU: ἐκ om. HP (v)   6 φθείρεταί ⟨τι⟩ Cumont, ⟨οὐδὲν⟩ φθείρεται ipse conieceram; sed nihil mutandum
7 ἔκ τε Diels: ἐκ τοῦ codd.   οὐδάμ' ἐόντος Diels: οὐδαμῆ ὄντος codd.
ἐστι om. M   γενέσθαι τι codd., τι seclusit Diels   8 καί τ' ἐὸν Diels: τό τε ὂν codd.   ἐξαπολέσθαι U (coni. Diels): ἐξαπολεῖσθαι MHP (v)
ἀνήνυστον] ἀνήνυτον M; ἀνήκουστον coni. Mang.   ἄπυστον Mang.: ἄπαυστον codd.: cf. Parmenid. frg. 8, 21 (Diels) ἄπυστος ὄλεθρος   10 γινομένων codd. (v)
11 κρινόμενον codd. (cf. § 144)   δὲ M   πρὸς ἄλλο codd.: πρὸς ἄλλου Nauck, πρὸς ἄλλῳ Bernays   13 οὐδέ (οὐδέν scripsi) γε οὕτως ἐστὶν εὔηθες codd.: οὐδεὶς γοῦν οὕτως ἐστὶν εὐήθης Bernays, οὐδεὶς οὕτως ἐστὶν εὐήθης Cumont
ὡς τὸ scripsi: ὥστε MHP (Bernays Cumont), τὸ U (v)   14 τῆς om. H
15 μίαν καὶ MU: μίαν τε καὶ HP (v)   16 ἐν] πᾶν H   τοῖς ante κατάγμασι om. U

4 ἀνύπαρκτον: cf. Doxogr. p. 462, 13 Ποσειδώνιος δὲ φθορὰς καὶ γενέσεις τέτταρας εἶναί φησιν ἐκ τῶν ὄντων εἰς τὰ ὄντα γιγνομένας. τὴν μὲν γὰρ ἐκ τῶν οὐκ ὄντων καὶ τὴν εἰς τὰ οὐκ ὄντα … απεγνωσαν ἀνύπαρκτον οὖσαν.   5 sq. cf. Doxogr. p. 279a 3 (de Anaxagora) ἐδόκει γὰρ αὐτῷ ἀπορώτατον εἶναι, πῶς ἐκ τοῦ μὴ ὄντος δύναταί τι γίνεσθαι ἢ φθείρεσθαι εἰς τὸ μὴ ὄν.   7. 8 Empedocl. frg. 12 Diels; cf. [Arist.] de Melisso 2 p. 975b 1 … ὡς καὶ Ἐμπεδοκλῆς λέγει· ἅπαντα γὰρ κἀκεῖνα ταῦτα ὁμολογήσας, ὅτι ἔκ τε τοῦ μὴ ὄντος ἀμήχανόν ἐστι γενέσθαι, τό τε ὂν ἐξόλλυσθαι ἀνήνυστον καὶ ἄπρηκτον, ἀεὶ γὰρ ἔσεσθαι, ὅπῃ κέ τις αἰὲν ἐρείδῃ.   10—12 Eurip. frg. 839.

p. 489 M. (3.) | Τριτταὶ δὲ περὶ τοῦ ζητουμένου γεγόνασι δόξαι, τῶν μὲν ἀίδιον τὸν κόσμον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον, τῶν δὲ ἐξ ἐναντίας γενητόν τε καὶ φθαρτόν· εἰσὶ δ᾽ οἳ παρ᾽ ἑκατέρων ἐκλαβόντες, τὸ μὲν γενητὸν παρὰ τῶν ὑστέρων παρὰ δὲ τῶν προτέρων τὸ ἄφθαρτον, μικτὴν δόξαν ἀπέλιπον, γενητὸν καὶ ἄφθαρτον οἰηθέντες αὐτὸν εἶναι. 7 Δημόκριτος μὲν οὖν καὶ Ἐπίκουρος καὶ ὁ πολὺς ὅμιλος τῶν ἀπὸ τῆς Στοᾶς φιλοσόφων γένεσιν καὶ φθορὰν ἀπολείπουσι τοῦ κόσμου, πλὴν οὐχ ὁμοίως· οἱ μὲν γὰρ πολλοὺς κόσμους ὑπογράφουσιν, ὧν τὴν μὲν γένεσιν ἀλληλοτυπίαις καὶ ἐπιπλοκαῖς ἀτόμων ἀνατιθέασι, τὴν δὲ φθορὰν ἀντικοπαῖς καὶ προσράξεσι τῶν γεγονότων· οἱ δὲ Στωικοὶ κόσμον μὲν ἕνα, γενέσεως δ᾽ αὐτοῦ θεὸν αἴτιον, φθορᾶς δὲ μηκέτι θεόν, ἀλλὰ τὴν ὑπάρχουσαν ἐν τοῖς οὖσι πυρὸς ἀκαμάτου δύναμιν χρόνων μακραῖς περιόδοις ἀναλύουσαν τὰ πάντα εἰς ἑαυτήν, ἐξ ἧς πάλιν ἀναγέννησιν κόσμου συνίστασθαι προμηθείᾳ τοῦ τεχνίτου. 8 δύναται δὲ κατὰ τούτους ὁ μέν τις κόσμος ἀίδιος. 9

1 περὶ] παρὰ HP γεγόνασιν H 2 ἀγένητον E: ἀγέννητον codd. 3 γενητόν E: γεννητόν codd. δὲ M 4 γενητὸν E: γεννητὸν codd. παρὰ] ἀπὸ E ὑστέρων UE: ὕστερον MHP (v) προτέρων codd.: πρότερον v ἄφθαρτον] φθαρτὸν H μικτὴν] μικρὴν H, μικρὰν L 5 γενητὸν E: γεννητὸν codd. αὐτὸν εἶναι MUE: εἶναι αὐτόν HP (v) 7 γενέσεις καὶ φθορὰς Turn. τοῦ κόσμου MUE: τὸν κόσμον HP (τῶν κόσμων Turn., sed corr. in append.) 10 προσράξεσι] ἀποστάσεσι Turn. (sed corr. in append.) μὲν ἕνα MUE: μὲν om. HP (v) γενέσεως] γενέσθαι M 11 δὲ MP τὸν θεὸν αἴτιον E 12 πυρὸς ἀκαμάτου] πρὸς ἀκαμάστου U, πρὸς ἀκαμάτων E (Turn. in append.) ἀναλύουσαν MHP: ἀναλέγουσαν UE; ἀναλίσκουσαν coni. Mang. 13 ἀναγέννησιν E: ἀναγέννησιν νῦν U, νῦν ἀναγέννησιν M (Cumont), αὖ ἀναγέννησιν HP (v); αὖ νέαν γένεσιν coni. Diels, τιν᾽ ἀναγέννησιν coni. Buecheler κόσμου συνίστασθαι MPE: συνίστασθαι κόσμου U, κόσμου ἵστασθαι H (Turn.) 14 δύναται—ληγούσαις (76, 3) om. E

1 incipit E: Τριτταὶ τοίνυν δόξαι παρὰ τοῖς φιλοσόφοις περὶ τούτου γεγόνασι, τῶν μὲν ἀίδιον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον κτλ. 2 ἀγένητόν τε καὶ ἀνώλεθρον: Parmenid. frg. 8, 3 Diels. Plat. Tim. 52^{a}. 5 sqq. Dionys. ap. Euseb. Pr. Ev. XIV 23, 2 (Diels, Fragm. d. Vorsokr. I^{2} 360, 30) ... ταύτας δή φασι τὰς ἀτόμους ὡς ἔτυχεν ἐν τῷ κενῷ φερομένας αὐτομάτως τε συμπιπτούσας ἀλλήλαις διὰ ῥύμην ἄτακτον καὶ συμπλεκομένας διὰ τὸ πολυσχήμονας οὔσας ἀλλήλων ἐπιλαμβάνεσθαι, καὶ οὕτω τόν τε κόσμον καὶ τὰ ἐν αὐτῷ, μᾶλλον δὲ κόσμους ἀπείρους, ἀποτελεῖν. ταύτης δὲ τῆς δόξης Ἐπίκουρος γεγόνασι καὶ Δημόκριτος. 10 sqq. Diog. La. VII 137 ... λέγουσι δὲ κόσμον τριχῶς· αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς πάσης οὐσίας ἰδίως ποιόν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγένητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν. 12 πυρὸς ἀκαμάτου: Hom. Il. *E* 4 al.

ὁ δέ τις φθαρτὸς λέγεσθαι, φθαρτὸς μὲν ὁ κατὰ τὴν διακόσμησιν, ἀίδιος
δὲ ὁ κατὰ τὴν ἐκπύρωσιν παλιγγενεσίαις καὶ περιόδοις ἀθανατιζόμενος
10 οὐδέποτε ληγούσαις. Ἀριστοτέλης δὲ μήποτ' εὐσεβῶς καὶ ὁσίως ἐνιστά-
μενος ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι, δεινὴν δὲ ἀθεότητα
κατεγίνωσκε τῶν τἀναντία διεξιόντων, οἳ τῶν χειροκμήτων οὐδὲν ᾠήθησαν
διαφέρειν τοσοῦτον ὁρατὸν θεόν, ἥλιον καὶ σελήνην καὶ τὸ ἄλλο τῶν
11 πλανήτων καὶ ἀπλανῶν ὡς ἀληθῶς περιέχοντα πάνθειον· ἔλεγέ τε, ὡς
ἔστιν ἀκούειν, κατακερτομῶν, ὅτι πάλαι μὲν ἐδεδίει περὶ τῆς οἰκίας, μὴ
βιαίοις πνεύμασιν ἢ χειμῶσιν ἐξαισίοις ἢ χρόνῳ ἢ ῥαθυμίᾳ τῆς ἁρμοτ-
τούσης ἐπιμελείας ἀνατραπῇ, νυνὶ δὲ φόβον ἐπικρέμασθαι μείζονα πρὸς
12 τῶν τὸν ἅπαντα κόσμον τῷ λόγῳ καθαιρούντων. ἔνιοι δ' οὐκ Ἀριστο-
τέλην τῆς δόξης εὑρετὴν λέγουσιν ἀλλὰ τῶν Πυθαγορείων τινάς. ἐγὼ
δὲ καὶ Ὀκέλλου συγγράμματι, Λευκανοῦ γένος, ἐπιγραφομένῳ 'Περὶ τῆς
τοῦ παντὸς φύσεως' ἐνέτυχον, ἐν ᾧ ἀγένητόν τε καὶ ἄφθαρτον οὐκ ἀπε-
φαίνετο μόνον ἀλλὰ καὶ δι' ἀποδείξεων | κατεσκεύαζε τὸν κόσμον εἶναι. p.490M.
13 (4.) γενητὸν δὲ καὶ ἄφθαρτόν φασιν ὑπὸ Πλάτωνος ἐν Τιμαίῳ δηλοῦσθαι
διὰ τῆς θεοπρεποῦς ἐκκλησίας, ἐν ᾗ λέγεται πρὸς τοὺς νεωτέρους θεοὺς
ὑπὸ τοῦ πρεσβυτάτου καὶ ἡγεμόνος· „θεοὶ θεῶν, ⟨ὧν⟩ ἐγὼ δημιουργὸς

1 τις post ὁ δέ om. M   τὴν διακόσμησιν MU: τὴν om. HP (v)   2 κατὰ τὴν ἐκπύρωσιν M: κατὰ τῆς ἐκπυρώσεως UHP (μετὰ τῆς ἐκπυρώσεως Turn.)   3 μήποτ'—ἐνιστάμενος om. E   μήποτ' HP, μήποτε U: μηδέποτε M   3. 4 ἐνιστάμενος Bernays: ἐπιστάμενος codd.   4 ἀγένητον ME: ἀγέννητον UHP   5 καταγίνωσκε E   χειροτμήτων HP   6 τοσοῦτον ὁρατὸν θεόν] τὸ τοσοῦτον ἔργον θεοῦ E (Turn. in append.)   6—15 ἥλιον καὶ σελήνην—τὸν κόσμον εἶναι om. E   7 πάνθειον Mang.: πᾶν θεῖον codd.   ἔλεγεν M   8 κατακερτομῶν codd.: καὶ κατακερτομῶν v   9 πνεύμασιν] ῥεύμασιν Bernays   10 ἐπικρέμασθαι Diels: ἐπικρεμάσαι U, ἐπικεκρεμάσθαι MHP (v)   11 τῶν om. MU   σε M   11. 12 ἀριστοτέλην codd.: Ἀριστοτέλη v   12 ἀλλὰ codd.: ἀλλὰ καὶ v   πυθαγορείων U, πυθαγορίων M   13 συγγράμματι] γράμ(ματι) M (Bernays)   ἐπιγραφομένου M   περὶ] παρὰ HP[1]   14 ἀγένητον M: ἀγέννητον ceteri   15 μόνον v (Turn.): μὲν οὖν codd.   ἀποδείξεων MU: ἀποδείξεως HP (Turn.)   16 γενητὸν ME: γεννητὸν UHP   δὲ] τε M   ἐν Τιμαίω in marg. M, om. in textu   17—77.6 διὰ τῆς θεοπρεποῦς ἐκκλησίας—ὅτε ἐγίγνεσθε συνεδεῖσθε om. E   18 θεοὶ θεῶν Plato (Turn.): θεὸς θεῶν codd.   ὧν Plato (Turn.): om. codd.

3 sqq. Arist. frg. 18 (ed. Rose, Lips. 1886). J. Bernays, Dialoge d. Aristoteles p. 101.   13 Ocell. Luc. I 2 δοκεῖ γάρ μοι τὸ πᾶν ἀνώλεθρον εἶναι καὶ ἀγένητον· ἀεί τε γὰρ ἦν καὶ ἔσται.   16 sqq. Plat. Tim. 41[a] (cf. Rawack, De Platonis Timaeo, Berolini 1888 p. 15 ss.).

πατήρ τε ἔργων, ἄλυτα ἐμοῦ γε μὴ θέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν
λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ.
δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστε οὐδ' ἄλυτοι τὸ πάμ-
παν, οὔτι γε μὴν λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς
βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς
ὅτε ἐγίγνεσθε συνεδεῖσθε." τινὲς δὲ οἴονται σοφιζόμενοι κατὰ Πλάτωνα 14
γενητὸν λέγεσθαι τὸν κόσμον οὐ τῷ λαβεῖν γενέσεως ἀρχήν, ἀλλὰ τῷ,
εἴπερ ἐγίγνετο, μὴ ἂν ἑτέρως ἢ τὸν εἰρημένον συστῆναι τρόπον, ἢ διὰ
τὸ ἐν γενέσει καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι. βέλτιον δὲ καὶ ἀλη- 15
θέστερον ὑπονοεῖν τὸ πρότερον, οὐ μόνον ὅτι διὰ παντὸς τοῦ συγγράμ-
ματος πατέρα μὲν καὶ ποιητὴν καὶ δημιουργὸν τὸν θεοπλάστην ἐκεῖνον
καλεῖ, ἔργον δὲ καὶ ἔγγονον τουτονὶ τὸν κόσμον, ἀπ' ἀρχετύπου ⟨καὶ⟩
νοητοῦ παραδείγματος μίμημα αἰσθητόν, πάνθ' ὅσα ἐν ἐκείνῳ νοητὰ
περιέχοντα αἰσθητὰ ἐν αὑτῷ, τελειοτάτου πρὸς νοῦν τελειότατον ἐκμα-
γεῖον πρὸς αἴσθησιν, ἀλλ' ὅτι καὶ Ἀριστοτέλης ταῦτα μαρτυρεῖ περὶ 16
Πλάτωνος, διὰ τὴν τῆς φιλοσοφίας αἰδῶ μηδὲν ἂν ψευσάμενος, καὶ διότι
πιστότερος οὐδεὶς ὑφηγητῇ γνωρίμου μαρτυρεῖν καὶ μάλιστα τοιούτου,
ὃς οὐ πάρεργον ἔθετο παιδείαν ἀφικόρῳ ῥαθυμίᾳ. προσυπερβαλεῖν δὲ
σπουδάσας τὰς τῶν παλαιῶν εὑρέσεις ἔνια τῶν ἀναγκαιοτάτων εἰς ἕκασ-
τον φιλοσοφίας μέρος καινοτομήσας προσεξεύρετο. (5.) πατέρα δὲ τοῦ 17

1 ἐμοῦ γε μὴ θέλοντος scripsi (sic etiam Platonis cod. Paris. A): ἐμοῦ μὴ θέλοντος MHP, ἐμοῦ γε θέλοντος U (Mang.) δὴ δεθὲν Plato (Turn.): μὴ δεθὲν codd. 1. 2 πάνλυτον U 2 τό γε] τότε U 3 δι' ἃ U (Plato): διὸ MHP (v) 3. 4 τὸ πάμπαν] τῶν πάμπαν M 4 γε μὴν] μὲν δὴ Plato λυθήσεσθαι M 5 ἐκείνων MU: ἐκείνω H, ἐκείνου P 6 ὅτε HP: ὄντες MU συνεδεῖσθε Plato (Turn.): συνέδησθε HP, συνεδῆσθαι U, συνδέδεσθε M (Bernays) δὲ MUE: δ' HP 7 γενητὸν ME: γεννητὸν UHP τὸν ante κόσμον om. U οὐ τὸ λαβεῖν γενέσεως ἀρχὸν M 8 ἢ ante διὰ om. P 12 καλεῖ, ἔργον Bernays: καλλίεργον MUE, φησιν καλλίεργον HP (Turn. Mang.) τουτονὶ] τουτουὶ Bernays καὶ add. Mang., om. codd. 13 ἐν ἐκείνῳ MU: ἐκείνῳ HPE (ἐκεῖνο v) 14 αἰσθητὰ om. H (Turn.) αὑτῷ] ἑαυτῷ P, αὐτῷ ceteri τελειοτάτου UHP: τελειότατον ME πρὸς νοῦν HP: πρὸς νοῦ MUE (Bernays) τελειότατον] τελειότητα E 15 ταῦτα] ταὐτὰ coni. Mang. περὶ] παρὰ HP 16 ψευσάμενος om. in lac. M 16—20 καὶ διότι — προσεξεύρετο om. E 17 ὑφηγητῇ Bernays: ὑφηγητὴς codd. (v) γνωρίμων M (Bernays) 18 προσυπερβαλεῖν codd.: προσυπερβάλλειν v 19 ἔνια τῶν] ἐνὶ αὐτῶν U, καὶ ἐνιαυτῶν mg U 20 προσεξεύρατο U

6 cf. Doxogr. p. 485, 17. 15 cf. Arist. de coelo I 10 p. 280a 28. Phys. VIII 1 p. 251b 17.

Πλατωνείου δόγματος ἔνιοι νομίζουσι τὸν ποιητὴν Ἡσίοδον, γενητὸν καὶ ἄφθαρτον οἰόμενοι τὸν κόσμον ὑπ' ἐκείνου λέγεσθαι, γενητὸν μέν, ὅτι φησὶν

„ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί,“

18 ἄφθαρτον δέ, ὅτι διάλυσιν καὶ φθορὰν οὐ μεμήνυκεν αὐτοῦ. χάος δὲ ὁ μὲν Ἀριστοτέλης τόπον οἴεται εἶναι, ὅτι τὸ δεξόμενον ἀνάγκη προϋποκεῖσθαι σώματι, τῶν δὲ Στωικῶν ἔνιοι τὸ ὕδωρ παρὰ τὴν χύσιν τοὔνομα πεποιῆσθαι νομίζοντες. ὁποτέρως δ' ἂν ἔχοι, τὸ γενητὸν εἶναι τὸν
19 κόσμον ἐναργέστατα παρ' Ἡσιόδῳ μεμήνυται. μακροῖς δὲ χρόνοις πρότερον ὁ τῶν Ἰουδαίων νομοθέτης Μωϋσῆς γενητὸν καὶ | ἄφθαρτον ἔφη τὸν p. 491 M.
κόσμον ἐν ἱεραῖς βίβλοις· εἰσὶ δὲ πέντε, ὧν τὴν πρώτην ἐπέγραψε Γένεσιν, ἐν ᾗ ἄρχεται τὸν τρόπον τοῦτον· „Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν

1 πλατωνείου MU: πλατωνικοῦ HPE (v) ποιητὴν om. HP (Turn.) γεννητὸν UHP γενητόν τε καὶ M (Bernays Cumont) 2 ἐπ' ἐκείνου M γεννητὸν UHP 3 γένετ' E: ἐγένετο MUH, ¬γένετο P 4 γαῖ' E: γαῖα MUHP εὐρύσθενος U ἕδος] εἶδος H 5 μεμόνηκεν H 5. 6 δὲ ὁ UE: δ' ὁ MHP 7. 8 τῶν δὲ Στωικῶν — ὁποτέρως δ' ἂν ἔχοι om. E 8 τὸ γενητὸν] τὸ τοίνυν γενητὸν E γεννητὸν UHP 9 παρ' Ἡσιόδου E μεμόνηται H 10 τῶν Ἰουδαίων] τοῦ Ἰουδαίων ἔθνους E μωυσῆς UHP: Μωσῆς E, om. M γεννητὸν UHP ἔφη corr. (ex εἶναι vel ἔγνω?) M 11 ὧν om. MU (Bernays)

1 Πλατωνείου: cf. schol. Dionys. Thrac. p. 224, 1 Hilg. Φασὶ δέ τινες (Ἄβρων καὶ Φρύνιχος) ὡς οὐ δεῖ λέγειν Πλατωνικὸν βιβλίον, ἀλλὰ Πλατώνειον· Πλατωνικὸν γὰρ βιβλίον λέγεται τὸ περιέχον περὶ Πλάτωνος, ὥσπερ καὶ Φιλιππικοὶ λόγοι λέγονται οἱ περὶ Φιλίππου περιέχοντες καὶ Τυρσηνικαὶ ἱστορίαι αἱ περὶ Τυρσηνῶν περιέχουσαι.
3. 4 Hesiod. Theogon. 116. 117. — 5 sqq. Arist. Phys. IV 1 p. 208b 29 δόξειε δ' ἂν καὶ Ἡσίοδος ὀρθῶς λέγειν ποιήσας πρῶτον τὸ χάος· λέγει γοῦν „πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα γαῖ' εὐρύστερνος“, ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νομίζειν, ὥσπερ οἱ πολλοί, πάντα εἶναί που καὶ ἐν τόπῳ. cf. [Arist.] de Melisso 2 p. 976b 15 (συνδοκεῖ) εἶναί τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι, ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δέον χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν, τοιοῦτον δέ τι καὶ τὸ κενόν, οἷον ἀγγεῖόν τι ἀνὰ μέσον εἶναι ζητοῦμεν. Sext. Emp. adv. Mathem. X 11 οἵ τε παλαιοὶ καὶ τὰ ὅλα διακοσμήσαντες ἀρχὴν τῶν πάντων ὑπέθεντο τόπον, κἀντεῦθεν ὁρμηθεὶς ὁ Ἡσίοδος ἀνεφώνησεν· „ἤτοι — ἀσφαλὲς αἰεί“, χάος λέγων τὸν χωρητικὸν τῶν ὅλων τόπον· μὴ ὑποκειμένου γὰρ τούτου, οὔτε γῆ οὔτε ὕδωρ οὔτε τὰ λοιπὰ τῶν στοιχείων, οὐχ ὁ σύμπας κόσμος ἐδύνατο συστῆναι. Pyrrh. Hypotyp. III 121 ... ἔτι καὶ τῶν ἀρχαίων ἀκούων λεγόντων „ἤτοι μὲν γὰρ πρῶτα χάος ἐγένετο“. εἶναι γάρ φασι χάος τὸν τόπον ἀπὸ τοῦ χωρητικὸν αὐτὸν εἶναι τῶν ἐν αὐτῷ γινομένων. εἴ γε μὴν ἔστι τι σῶμα, φασίν, ἔστι καὶ ὁ τόπος· ἄνευ γὰρ τούτου οὐκ ἂν εἴη τὸ σῶμα. 7 cf. Cornut. Theol. c. 17 (p. 28, 7 Lang) ἔστι δὲ χάος μὲν τὸ πρὸ τῆς διακοσμήσεως γενόμενον ὑγρόν, ἀπὸ τῆς χύσεως οὕτως ὠνομασμένον. Schol. Apollon. Rh. I 498 καὶ Ζήνων δὲ τὸ παρ' Ἡσιόδῳ χάος ὕδωρ εἶναί φησιν (Zeno frg. 103. 104 Arnim).

καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος“ (Gen. 1,1. 2.), εἶτα προελθὼν ἐν τοῖς ἔπειτα μηνύει πάλιν, ὅτι ἡμέραι καὶ νύκτες καὶ ὧραι καὶ ἐνιαυτοὶ σελήνη τε καὶ ἥλιος, οἳ χρόνου μετρήσεως φύσιν ἔδειξαν, μετὰ τοῦ παντὸς οὐρανοῦ μοίρας ἀθανάτου λαχόντες διατελοῦσιν ἄφθαρτοι (cf. Gen. 1,14. 8,22).

Τοὺς δὲ ἀγένητον καὶ ἄφθαρτον κατασκευάζοντας λόγους ἕνεκα τῆς 20 πρὸς τὸν ὁρατὸν θεὸν αἰδοῦς προτέρους τακτέον οἰκείαν ἀρχὴν λαβόντας. ἅπασι τοῖς φθορὰν ἐνδεχομένοις αἰτίαι διτταὶ τῆς ἀπωλείας, ἡ μὲν ἐντός, ἡ δὲ ἐκτός, προϋπόκεινται· σίδηρον γοῦν καὶ χαλκὸν καὶ τὰς τοιουτοτρόπους οὐσίας εὕροις ἂν ἀφανιζομένας ἐξ ἑαυτῶν μέν, ὅταν ἑρπηνώδους νοσήματος τρόπον ἰὸς ἐπιδραμὼν διαφάγῃ, πρὸς δὲ τῶν ἐκτός, ὅταν ἐμπιπραμένης οἰκίας ἢ πόλεως συναναφλεχθεῖσαι τῇ πυρὸς βιαίῳ ῥιπῇ διαλυθῶσιν· ὁμοιοτρόπως δὲ καὶ ζῴοις ἐπιγίνεται τελευτὴ νοσήσασι μὲν ἐξ ἑαυτῶν, ὑπὸ δὲ τῶν ἐκτὸς σφαττομένοις ἢ καταλευομένοις ἢ ἐμπιπραμένοις ἢ θάνατον οὐ καθαρὸν τὸν δι' ἀγχόνης ὑπομένουσιν. εἰ δὴ 21 φθείρεται καὶ κόσμος, ἐξ ἀνάγκης ἤτοι ὑπό τινος τῶν ἐκτὸς ἢ πρός τινος τῶν ἐν αὐτῷ διαφθαρήσεται δυνάμεων· ἀμήχανον δ' ἑκάτερον· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστι τοῦ κόσμου, πάντων εἰς τὴν συμπλήρωσιν

1—5 ἡ δὲ γῆ — διατελοῦσιν ἄφθαρτοι om. E 4 ἔδειξαν scripsi: ἐδέξαντο codd.: ἐδείξαντο coni. Mang. (v. infra p. 89, 4. de opif. mundi § 60. leg. alleg. I § 2. de spec. leg. I § 90) 6 ἀγέννητον UHP κατασκευάζοντας λόγους om. U ἕνεκα — αἰδοῦς (7) om. E τῆς] τοῦ U 7 τὸν ὁρατὸν U: τὸ ὁρατὸν MHP (v) θεὸν add. Bernays αἰδοῦς HP: ἀειδοῦς MU προτέρους τακτέον ME: τακτέον προτέρους UHP (v) οἰκείαν] ὁσίαν coni. Cumont 8 ἅπασι δὲ E αἴτιαι H 9 γοῦν MUE: οὖν HP (v) χαλκοῦν H 10 ἑρπινώδους UE 11 νοσήματα M διαφάγοι E τῶν ἐκτός] τὸν ἐκτός M 12 ῥιπῇ M: ῥοπῇ UHPE 13 διαλυθῶσιν] διαλάθωσιν Turn. νοσήσασι] νοσήμασι UE 14 ἢ καταλευομένοις om. HP (om. Turn. in textu, add. in append.) καταλευομένοις Turn. (Mang. in Corrig.): καὶ λευομένοις UE, καὶ κελευομένοις M 15. 16 εἰ δὴ φθείρεται U: εἰ δὲ φθείρεται ME (Mang. Bernays Cumont), εἰ διαφθείρεται HP, εἰ διαφθαρήσεται L (Turn.) 16 κόσμος] ὁ κόσμος E 17 διαφθαρήσεται MUE: φθαρήσεται HP (v) δὲ M

6 sqq. Arist. frg. 19 (ed. Rose, Lips. 1886). 15 sqq. Ocell. Luc. I 11 εἰ δὲ καὶ δοξάζοι τις αὐτὸ (τὸ πᾶν) φθείρεσθαι, ἤτοι ὑπό τινος τῶν ἔξω τοῦ παντὸς φθαρήσεται δυναστευόμενον ἢ ὑπό τινος τῶν ἐντός. οὔτε δ' ὑπό τινος τῶν ἔξωθεν — ἐκτὸς γὰρ τοῦ παντὸς οὐδέν· τὰ γὰρ ἄλλα πάντα ἐν τῷ παντὶ καὶ τὸ ὅλον καὶ τὸ πᾶν ὁ κόσμος — οὔτε ὑπὸ τῶν ἐν αὐτῷ· δεήσει γὰρ ταῦτα μείζονά τε καὶ δυναμικώτερα εἶναι τοῦ παντός· τοῦτο δὲ οὐκ ἀληθές· ἄγεται γὰρ τὰ ἄλλα πάντα ὑπὸ τοῦ παντός, καὶ κατὰ τοῦτο καὶ σῴζεται καὶ συνήρμοσται καὶ βίον ἔχει καὶ ψυχήν. εἰ δὲ οὔτε ὑπό τινος τῶν ἔξωθεν οὔτε ὑπό τινος τῶν ἔνδοθεν φθαρήσεται τὸ πᾶν, ἄφθαρτος ἄρα καὶ ἀνώλεθρος ὁ κόσμος.

αὐτοῦ συνερανισθέντων· οὕτως γὰρ εἷς τε ἔσται καὶ ὅλος καὶ ἀγήρως.
εἷς μὲν διὰ τὸ ἀπολειφθέντων τινῶν ἕτερον ἂν τῷ νῦν ὄντι γενέσθαι
ὅμοιον, ὅλος δὲ ἕνεκα τοῦ σύμπασαν τὴν οὐσίαν εἰς αὐτὸν ἐξανηλῶσθαι,
ἀγήρως δὲ καὶ ἄνοσος, ἐπειδὴ τὰ νόσοις καὶ γήρᾳ σώματα ἁλωτὰ θερ-
μότησι καὶ ψύξεσι καὶ ταῖς ἄλλαις ἐναντιότησι προσεμπιπτούσαις ἔξωθεν
ἰσχυρῶς ἀνατρέπεται, ὧν οὐδεμία δύναμις ἀποδρᾶσα κυκλοῦται καὶ ἐπιτί-
θεται, πασῶν, μηδενὸς ἀποστατοῦντος μέρους, ὁλοκλήρων ἐγκατειλημ-
μένων εἴσω. εἰ δ' ἄρα τί ἐστιν ἐκτός, πάντως ἂν εἴη κενόν, ἡ ἀπαθὴς
22 φύσις, ἣν ἀδύνατον παθεῖν τι ἢ δρᾶσαι. καὶ μὴν οὐδὲ ὑπό τινος αἰτίας
διαλυθήσεται τῶν ἐντὸς αὐτοῦ· πρῶτον μέν, ἐπειδὴ τοῦ ὅλου τὸ μέρος
καὶ μεῖζον ἔσται καὶ κραταιότερον, ὅπερ ἐστὶν ἀτοπώτατον· ὁ γὰρ κόσμος
ἀνυπερβλήτῳ κράτει | χρώμενος ἄγει τὰ πάντα μέρη, πρὸς μηδενὸς αὐτῶν p.492
ἀγόμενος· ἔπειτα δέ, ὅτι διττῶν οὐσῶν φθορᾶς αἰτιῶν, τῆς μὲν ἐντὸς
τῆς δὲ ἐκτός, ἃ τὴν ἑτέραν οἷά τε ὑπομένειν, δεκτικὰ καὶ τῆς ἑτέρας
23 ἐστὶ πάντως. σημεῖον δέ· βοῦς καὶ ἵππος καὶ ἄνθρωπος καὶ τὰ παρα-
πλήσια ζῷα, διότι πέφυκεν ἀναιρεῖσθαι ὑπὸ σιδήρου, καὶ νόσῳ τελευτήσει·
χαλεπὸν γὰρ μᾶλλον δὲ ἀδύνατον εὑρεῖν, ὅ τι τὴν ἔξωθεν αἰτίαν πεφυκὸς
24 ὑπομένειν τῆς φθορᾶς ἄδεκτον ἔσται | κατὰ τὸ παντελὲς τῆς ἔνδοθεν. ἐπειδὴ p.497,8
τοίνυν ὑπ' οὐδενὸς τῶν ἐκτὸς φθαρησόμενος ἐδείχθη ὁ κόσμος, τῷ μηδὲν
ἔξω καταλελεῖφθαι πάντως, οὐδ' ὑπό τινος τῶν ἐν αὐτῷ, διὰ τὴν

1 οὕτως MU: οὕτω HPE τε E: τοι MUHP ἔσται] ἐστι E καὶ ante ἀγήρως om. M 2—3 εἷς μὲν — ἐξανηλῶσθαι] εἷς μὲν καὶ ὅλος διὰ τὴν προειρημένην αἰτίαν E 3 ὅλος] ὅλως H εἰς αὐτὸν] εἰς ἑαυτὸν MHP, εἰς αὐτοῦ U 4 τὰ νόσοις om. U 5 ψύξεσι MHPE: ψυχρότησι U (Mang.) ἐναντιότησι MHP: ἐναντιώσεσι UE προσεμπιπτούσαις HP, προσεπιπτούσαις U: προσεπιπιπτούσαις (μ supra lin.) M (Bernays Cumont), πρὸς ἐπιπιπτούσαις E 6 ἀποδρᾶσα E: ἀποδράσασα MUHP (Cumont) 7 πασῶν Mang.: παθῶν codd. ⟨ἅτε⟩ μηδενὸς coni. Mang. ἀποστατοῦντος] ἀποστάντος HP ὁλοκλήρων] ἀλλ' ὁλοκλήρων E 8 τί] τίς P πάντως] παντὸς M κενόν] κενός E ἡ ἀπαθὴς MU: ἢ ἀπαθὴς PE, ἢ ἡ ἀπαθὴς H (v) 10 πρῶτον Mang. (sic iam E cod. b): πρότερον codd. τὸ ὅλον τοῦ μέρους M 12 τὰ πάντα μέρη UE: πάντα om. MHP (Turn.) 13 ἔπειτα δέ, ὅτι scripsi: ἔπειτα διότι codd. φθορᾶς αἰτιῶν MHP: τῶν φθορᾶς αἰτιῶν E, αὖ τῶν φθορᾶς αἰτιῶν U 14 τῆς δ' U οἷά τε Mang.: οἴεται codd.; εἴωθεν coni. Turn. in append. 15 βοῦς, ἵππος, ἄνθρωπος E 17 χαλεπὸν γὰρ — τῆς ἔνδοθεν (18) om. E γὰρ] μὲν γὰρ U μᾶλλον δ' U ὅ τι τὴν Buecheler: νοητὴν MU, ὃ τὴν νοητὴν HP (v); ὃ τὴν Bernays 18—89, 11 κατὰ τὸ παντελὲς — τὸ μηδὲ χρόνον post 97, 3 συνεπιγραψάμενος tradunt codd., huc reduxit Bernays 18 τῆς ἔνδοθεν] τοῖς ἔνδοθεν H (v) 19 post τοίνυν add. ἡ σύνταξις· ὅτε μηδενὸς ὑπολειφθέντος μέρους ὡς βιασθῆναι HP (v): est scholion quod pertinet ad p. 95, 20. 21

προεπιλογισθεῖσαν ἀπόδειξιν, καθ' ἣν τὸ ἁλωτὸν τῇ ἑτέρᾳ τῶν αἰτιῶν καὶ τὴν ἑτέραν ἐπεφύκει δέχεσθαι. (11.) μαρτύρια δὲ καὶ τὰ ἐν 25 Τιμαίῳ περὶ τοῦ τὸν κόσμον ἄνοσον εἶναι καὶ μὴ φθαρησόμενον τάδε· „τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς· πρῶτον μέν, ἵνα ὅλον ὅτι μάλιστα ζῷον, τέλειον ἐκ τελείων 26 μερῶν, εἴη· πρὸς δὲ τούτοις ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν· ἔτι δέ, ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ, κατανοῶν ὡς συστάτῳ σώματι θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει περιιστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως λυπεῖ καὶ νόσους καὶ γῆρας ἐπάγοντα φθίνειν ποιεῖ. διὰ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε θεὸς ὅλον ἐξ ὅλων ἁπάντων τέλειον καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο.“ τοῦτο μὲν δὴ παρὰ Πλάτωνος πρὸς τὴν ἀφθαρσίαν τοῦ 27 κόσμου μαρτύριον εἰλήφθω, τὸ δ' ἀγένητον παρὰ τῆς φυσικῆς ἀκολουθίας· ἕπεται μὲν γὰρ τῷ γενομένῳ διάλυσις, ἀφθαρσία δὲ τῷ ἀγενήτῳ· ἐπεὶ καὶ ὁ τὸ τρίμετρον ἐκεῖνο ποιήσας

„τό τοι γενόμενον κατθανεῖν ὀφείλεται“

δοκεῖ μὴ ἀπὸ σκοποῦ, συνεὶς ἀκολουθίαν τῶν αἰτιῶν τῆς ⟨γενέσεως καὶ τῆς⟩ φθορᾶς, * * * ὧδ' ἔχει.

2 καὶ τὴν ἑτέραν] καὶ τῇ ἑτέρᾳ M μαρτυρία M (Bernays) 3 τάδε] εἶναι H (Turn.) 4 δὴ om. U ἕκαστον om. M ἕκαστον εἴληφεν ὅλον transp. UE 6 ἀπολιπὼν E 8 ὑπολελειμμένων M, ὑπολελειμμένον UE 9 τοιοῦτον UE (Plato): τοιοῦτο MHP ἀγήρων HP: ἀγήρω MUE 9. 10 ὡς συστάτῳ Plato (συστατῷ Bernays): ὡς τὰ τῶ codd. 10 ἔχει ἰσχυρὰς transp. UE 11 ante περιιστάμενα add. καὶ E λυπεῖ codd.: λύει v (Plato) 11. 12 καὶ γῆρας] γῆράς τε Plato 12 διὰ τὴν αὐτὴν αἰτίαν E (διὰ δὴ τὴν αἰτίαν Plato) 13 ὅλον] ἓν ὅλον Plato ἐξ ὅλων ἁπάντων] ὅλων ἐξ ἁπάντων Plato ἁπάντων om. HP (Turn.) ἀγήρων P, ἀγείρων H: ἀγήρω MUE 14 παρὰ] περὶ U ἀφθαρσίαν] ἁμαρτίαν U 15 εἰλῆφθαι M ἀγέννητον UHP ἀκολουθίας Mang.: ἀληθείας codd. 16 ἀγενήτω E: ἀγεννήτω MUHP 17 τρίμερον M 18 τό τοι γενόμενον] τῷ τοι γενομένῳ coni. Mang. κατθανεῖν MPE: καταθανεῖν H, κατακτανεῖν U 19 μὴ] μὲν E συνεὶς Bernays: συνθεὶς codd. ἀλλ' ἀκολουθίαν E τῶν αἰτιῶν MU: om. HPE 19. 20 γενέσεως καὶ τῆς add. Bernays 20 ὧδ' ἔχει HE, ὧδε ἔχει MP: ὧδε ἔχῃ U ὧδ' ἔχειν v : μαρτυρεῖν ὅτι ὧδ' ἔχει conicio: ⟨ὧδε λέγειν. καὶ αὕτη μὲν ἡ ἀπόδειξις⟩ ὧδ' ἔχει coni. Bernays, ⟨ὁμολογεῖν ὅτι⟩ ὧδ' ἔχει Buecheler, ὧδ' εἰπεῖν Cumont

4 sqq. Plat. Tim. 32c. 18 versus ignoti poetae; cf. Eur. Alc. 419 ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται et 782 βροτοῖς ἅπασιν κατθανεῖν ὀφείλεται.

28 Ἑτέρως δέ ἐστι τοιόνδε· | πάνθ' ὅσα τῶν συνθέτων φθείρεται, διάλυσιν εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνει· διάλυσις δ' οὐδὲν ἦν ἄρα ἢ πρὸς τὸ κατὰ φύσιν ἑκάστων ἐπάνοδος, ὥστε κατὰ τοὐναντίον ἡ σύνθεσις εἰς τὸ παρὰ φύσιν τὰ συνελθόντα βεβίασται. καὶ δὴ τάδ' οὕτως ἔοικεν ἀψευδέστατα ἔχειν. p.498 M.

29 ἄνθρωποι γὰρ ἀπὸ τῶν τεττάρων στοιχείων, ἃ δὴ ὅλα τοῦ παντός ἐστιν οὐρανοῦ, γῆς, ⟨ὕδατος⟩, ἀέρος τε καὶ πυρός, βραχέα τὰ μέρη δανεισάμενοι συνεκράθημεν· τὰ δ' ἀνακραθέντα τῆς κατὰ φύσιν θέσεως ἐστέρηται, θερμότητος μὲν τῆς ἀνωφοίτου κατω⟨σθείσης⟩, τῆς δὲ γεώδους καὶ βάρος ἐχούσης οὐσίας ἐπελαφρισθείσης καὶ τὸν ἄνω τόπον ἀντιλαβούσης, ὃν τὸ γεωδέστατον τῶν ἐν ἡμῖν ἐπέσχηκε κεφαλή.

30 δεσμῶν δὲ φαυλότατος ὃν ἔσφιγξε βία, βαιὸς καὶ ὀλιγοχρόνιος· ῥήγνυται γὰρ θᾶττον ὑπὸ τῶν δεθέντων, ἅτε ἀπαυχενιζόντων διὰ πόθον [ὑπὸ] τῆς κατὰ φύσιν κινήσεως, πρὸς ἣν σπεύδοντα μετανίσταται· κατὰ γὰρ τὸν τραγικὸν

„χωρεῖ δ' ὀπίσω
τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν

1 ἑτέρως] ἑτέρω E δέ ἐστι ME: δ' ἐστὶ UHP πάνθ' om. Turn. 2 δὲ E 2. 3. πρὸς τὸ Buecheler: πρὸς τὰ HP (v), πρὸς τὴν MUE 3 ὥστε om. in lac. M; ὥσπερ coni. Buecheler ἡ σύνθεσις codd.: ἢ σύνθεσις Diels (Cumont), ᾗ σύνθεσις Rose, ἡ σύνθεσις tamquam glossema secludit Gomperz 4 βεβίαται H καὶ δὴ τάδ' Buecheler: καὶ δῆτα codd. (καὶ δῆλα L Turn.) 5 τεσσάρων E 6 ἐστι M οὐρανοῦ seclusit Cumont; sed cf. p. 87, 13. 89, 5 ὕδατος add. Bernays 6. 7 τὰ μέρη MUHP: τὰ om. E (L Turn.) 7 συνεκράθημεν MUHP: συνεκράθησαν E 7. 8 τῆς κατὰ φύσιν θέσεως MUE: τῆς κατὰ φύσεως HP, τῆς κινήσεως L (v, τῆς κατὰ φύσιν κινήσεως Mang. in Corrig.) 8 θερμότητος M: θερμότης UHE (v), evan. in P 8. 9 κατ⟨ωσθείσης⟩, τῆς δὲ γεώδους Diels (Cumont): κάτω δὲ τῆς γεώδους codd.: κάτω ⟨φερομένης⟩, τῆς δὲ γεώδους Bernays: κάτω ⟨βιασθείσης⟩, τῆς δὲ γεώδους Rose alteram Bernaysii coniecturam secutus; ψυχρότης δὲ τῆς γεώδους Turn., ψυχρότης δὲ τῆς κάτω· γεώδους Mang. 10 ἀντιλαβούσης] ἐπιλαβούσης M (Bernays) ὃν U: ὧν MHPE: ὥστε Cumont ἐπέσχηκε U, ἐπέσχηκεν M: ἐπέσχημεν H, ἐπέσχομεν P, ἐπέσχε E κεφαλῇ P: ἐν κεφαλῇ Cumont δεσμῶν] θεσμῶν HP, δεσμὸς E 11 δὲ om. P βαιὸς Mang.: βίαιος MUHP, βίαιός ἐστι E γὰρ] μὲν γὰρ HP (Turn.) 12 ἀπαυχενιζόντων UE: ἐπαυχενιζόντων MHP ὑπὸ seclusit Mang. 13 σπεύδοντα MUE: σπεύδοντες HP (Turn.) 16 γαίας UE: γαίης M, τῆς HP φύντες γαῖαν M εἰς] ἐς codd. (v)

1 sqq. Arist. frg. 20 (ed. Rose, Lips. 1886). 7 δανεισάμενοι: Plato Tim. 42e ... πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια. 15 sqq. Eur. frg. 839, 8—14 Nauck[2]; cf. Heraclit. Alleg. Hom. c. 22. Marc. Antonin. VII 50. Plut. de plac. philos. V 19 p. 908d.

τὰ δ᾽ ἀπ᾽ αἰθερίου βλαστόντα γονῆς
εἰς οὐράνιον πόλον ἦλθε πάλιν·
θνῄσκει δ᾽ οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ᾽ ἄλλο πρὸς ἄλλο
μορφὴν ἰδίαν ἀπέδειξεν."

τοῖς μὲν δὴ φθειρομένοις ἅπασι νόμος ἀναγέγραπται καὶ θεσμὸς οὗτος, 31
ὁπότε μὲν ὑφέστηκε τὰ συνεληλυθότα ἐν τῇ κράσει, πρὸ τῆς κατὰ φύσιν τάξεως ἀταξίας ἀντιμετειληφέναι καὶ πρὸς τοὺς ἐναντίους τόπους μετανίστασθαι, ὡς τρόπον τινὰ ξενιτεύειν δοκεῖν, ὁπότε δὲ διαλύοιτο, πρὸς τὴν οἰκείαν τῆς φύσεως λῆξιν ἀνακάμπτειν. (12.) ὁ δὲ κόσμος ἀμέτοχος 32
τῆς ἐν τοῖς λεχθεῖσιν ἀταξίας ἐστίν. ἐπεί, φέρε, θεασώμεθα· φθειρομένου τὰ μέρη νυνὶ μὲν ἀνάγκη τετάχθαι τὴν παρὰ φύσιν ἕκαστα χώραν· τοῦτο δὲ ὑπονοεῖν οὐκ εὐαγές· ἀρίστην γὰρ θέσιν καὶ τάξιν ἐναρμόνιον τὰ τοῦ κόσμου μέρη πάντα εἴληχεν, ὡς ἕκαστον καθάπερ πατρίδι φιλοχωροῦν μὴ ζητεῖν ἀμείνω μεταβολήν. διὰ τοῦτο γῇ μὲν ὁ μεσαίτατος 33
ἀπενεμήθη τόπος, ἐφ᾽ ἣν πάντα τὰ γεώδη, κἂν ἀναρρίψῃς, καταφέρεται —
.499 M. τὸ δ᾽ ἐστὶ | σημεῖον χώρας τῆς κατὰ φύσιν· ἔνθα γὰρ μὴ ὑπὸ βίας ὁτιοῦν ἐνεχθὲν ἵσταται καὶ ἠρεμεῖ, τὸν οἰκεῖον εἴληχε χῶρον —· ὕδωρ δὲ ἐπὶ γῆν ἀνακέχυται [δεύτερον], ἀὴρ δὲ καὶ πῦρ ἀπὸ τοῦ μέσου πρὸς τὸν ἄνω κεχώρηκεν, ἀὴρ μὲν τὸν μεθόριον ὕδατος καὶ πυρὸς κληρωσάμενος τόπον, πῦρ δὲ τὸν ἀνωτάτω· διὸ κἂν ἀναψάμενος δᾷδα πρὸς γῆν

1 ἀπ᾽ αἰθερίου v (Turn.): ἀπ᾽ αἰθρίου UHPE. ἀπ᾽ ..θρίου (αι om. in lac.) M βλαστόντα] βλαστάνοντα codd. (v) γονῆς Mang.: γῆς MUHP, om. E 3 γιγνομένων E: γινομένων MUHP 4 δὲ M πρὸς ἄλλο codd.: πρὸς ἄλλου Nauck, πρὸς ἄλλῳ Bernays 5 ἰδίαν] ἑτέραν Philo aliis locis ἀπέδειξεν M: ἀπέδειξε UHPE 6 φθειρομένοις] γινομένοις coni. Mang. θεσμὸς] δεσμὸς E 8 ἀντιμετειληφέναι MUE: μετειληφέναι HP (v) 11 ἐπεί] ἐπεὶ δὲ M φέρε ex φθεῖρε corr. M 12 τὴν HP: om. MUE παρὰ] περὶ M 13 δ᾽ U · εὐαγές] ἀγεννές E 14 εἴληχε πάντα transp. M (Bernays), πάντα om. E 14. 15 φιλοχωροῦν] ἐμφιλοχωροῦν coni. Mang. 15 ἀμείνω μεταβολήν] τὴν εἰς ἄμεινον μεταβολήν coni. Mang., ἀμείνω μεταβολῇ Buecheler, εἰς ἀμείνω μεταβολήν Rose; sed cf. Cumontii indicem s. v. μεταβολή γῇ μὲν] γῆν M 16 ἐφ᾽ ἣν v (Turn.): ἐφ᾽ ᾗ codd. τὰ γεώδη UHE: τὰ om. MP (Bernays) κἂν ἀναρρείψῃς M, κἂν ἀναρρίψῃς τι τῶν γεωδῶν E καταφέρεται] κάτω φέρεται E 17 τὸ δ᾽ ἐστὶ MUE: τότε δ᾽ ἐστὶ HP (τόδε δ᾽ ἐστὶ v) μὴ om. U 18 ὁτιοῦν M ἐνεχθὲν] ἀνεχθὲν M εἴληχε χῶρον MUE: εἴληφε τόπον HP (Turn.) 19 δεύτερον seclusi πῦρ] γῆ U 20 τὸν ἄνω MUE: τὸ ἄνω HP (Turn.) τὸ μεθόριον H 21 τόπον fortasse post κεχώρηκεν (l. 20 transponendum putat Cumont τὸν ἀνωτάτω MP: τῶν ἀνωτάτω H, τὸν ἀνώτατον UE κἂν ἀναψάμενος H: καὶ ἀναψάμενος M, κἂν ἀψάμενος UPE

καταφέρης, ἡ φλὸξ οὐδὲν ἧττον ἀντιβιάσεται καὶ πρὸς τὴν φυσικὴν τοῦ
34 πυρὸς κίνησιν ἐπικουφίσασα αὑτὴν ἀναδραμεῖται. εἰ δὴ φθορᾶς μὲν αἴτιον ἡ παρὰ φύσιν τάξις τῶν ἄλλων [ἔχει] ζῴων, ἐν δὲ τῷ κόσμῳ κατὰ φύσιν ἕκαστα τῶν μερῶν διατέτακται τὰς οἰκείας διακληρωσάμενα χώρας, ἐνδίκως ἂν λέγοιτο ὁ κόσμος ἄφθαρτος.
35 Ἔτι τοίνυν ἐκεῖνο παντί τῳ δῆλον, ὅτι φύσις ἑκάστη διατηρεῖν καὶ διασῴζειν, εἰ δ᾽ οἷόν τε εἴη, καὶ ἀθανατίζειν ἕκαστα ὧν φύσις ἐστὶν ἐσπούδακεν, ἡ μὲν ἐν τοῖς δένδρεσι τὰ δένδρα, ἡ δ᾽ ἐν τοῖς ζῴοις τῶν ζῴων
36 ἕκαστον. ἐξασθενεῖ δὲ ἡ ἐπὶ μέρους ἀναγκαίως ἄγειν πρὸς ἀιδιότητα· ἢ γὰρ ἔνδεια ἢ φλογμὸς ἢ κρυμὸς ἢ μυρία ἄλλα τῶν εἰωθότων ἐπισυνίστασθαι κατασκήψαντα διέσεισε καὶ διέλυσε τὸν συνέχοντα δεσμὸν καὶ τέλος κατέρρηξε· τοιοῦτον δ᾽ εἰ μηδὲν ἐφήδρευεν ἔξω, κἂν ὅσον ἐφ᾽
37 ἑαυτῇ πάντα μικρά τε αὖ καὶ μεγάλα ἀγήρω διεφύλαττεν. ἀναγκαῖον οὖν καὶ τὴν τοῦ κόσμου φύσιν γλίχεσθαι τῆς τοῦ ὅλου διαμονῆς· οὐ γὰρ δὴ τῶν ἐπὶ μέρους ἐστὶ χείρων, ὡς ἀποδιδράσκουσα καὶ λιποτακτοῦσα νόσον ἀνθ᾽ ὑγιείας καὶ φθορὰν ἀντὶ σωτηρίας παντελοῦς ἐπιχειρεῖν τεχνάζειν, ἐπειδὴ

„πασάων ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα,
ῥεῖά τ᾽ ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι.“

ἀλλ᾽ εἰ τοῦτ᾽ ἀληθές ἐστι, φθορὰν ὁ κόσμος οὐ δέξεται. διὰ τί; ὅτι ἡ συνέχουσα φύσις αὐτὸν ἀήττητός ἐστι κατὰ πολλὴν ἰσχύος ῥώμην,
38 τῶν ἄλλων ὅσα βλάπτειν ἔμελλεν ἁπαξαπάντων ἐπικρατοῦσα. διὸ καὶ Πλάτων εὖ „ἀπῄει τε γάρ“ φησίν „οὐδὲν οὐδὲ προσῄει αὐτῷ ποθεν·

1 καταφέρῃς ex καταφέροις (vel καταφέρεις) corr. M, καταφερῇς U 2 ἐπικουφίσασαν M αὐτὴν codd. 3 τάξις mg U²: κατὰ codd., κίνησις v (Turn.) ἔχει seclusi ἔχῃ H 4 διακληρωσάμενοι H 6 παντί τω MUPE: παντὶ τῶ H (τῳ om. Turn.) 7 εἴη] ἦν E ἡ φύσις Turn. 8 ἡ δ᾽] εἰ δ᾽ M 9 δὲ ἡ M: δ᾽ ἡ HP, δὴ UE infinitivus ἄγειν post ἐξασθενεῖν, quod absolute poni solet, suspectus 11 διέλυσε] διεκώλυσε L (Turn.) 12 κατέρρηξεν U τοιοῦτον — πάντα (13) om. UE δ᾽ εἰ HP: δεῖ M ἀφήδρευεν M 12. 13 ἐφ᾽ αὑτῇ M 13 πάντα om. v αὖ] οὖν M διεφύλαττεν v (Turn.): διαφυλάττειν codd. 14 καὶ post οὖν om. E γλίχεσθε P τῆς ὅλου διαμονῆς E 15 ἐπὶ μέρη E λειποτακτοῦσα codd. (v) 16 ὑγιείας M: ὑγείας UHPE 18 πασῶν Turn. (sed corr. in append.) ἥ γε] ἥδε E 19 ῥεῖά τ᾽ Mang. (ex Homero): ῥεῖα δ᾽ codd. 20 τοῦτο U 22 ἁπαξαπάντων MUE: ἁπάντων HP (v) 23 εὖ ἀπῄει τε γὰρ om. E ἀπῄει τε M: ἀπίητε H, ἄπιτε U, evan. in P οὐδὲν οὐδὲ M: οὐδὲν οὔτε UHPE προσῄει M: προσείη UPE, προσίη H

18 sq. Hom. Od. ζ 107. 108. 23 Plat. Tim. 33 c.

οὐδὲν γὰρ ἦν. αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντ' ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν· ἡγήσατο γὰρ αὐτὸ ὁ συνθεὶς αὔταρκες ὂν ἄμεινον ἔσεσθαι μᾶλλον ἢ προσδεὲς ⟨ἄλλων⟩."

(13.) Ἀποδεικτικώτατός γε μὴν κἀκεῖνος ὁ λόγος ἐστίν, ἐφ' ᾧ 39
μυρίους οἶδα σεμνυνομένους ὡς ἠκριβωμένῳ καὶ πάνυ ἀνεξελέγκτῳ.
ii.500 M. πυνθάνονται γάρ· τίνος ἕνεκα τὸν κόσμον φθερεῖ ὁ θεός; ἤτοι γὰρ | ὑπὲρ τοῦ μηκέτι κοσμοποιῆσαι ἢ ὑπὲρ τοῦ ἕτερον κατασκευάσαι. τὸ μὲν 40
δὴ πρότερον ἀλλότριον θεοῦ· πρὸς τάξιν γὰρ ἀταξίαν μεταβάλλειν δέον, οὐ πρὸς ἀταξίαν τάξιν· εἶτα δ' ὅτι καὶ μετάνοιαν πάθος καὶ νόσημα δέξεται ψυχῆς· ἔδει γὰρ ἢ μὴ κοσμοποιῆσαι τὸ παράπαν ἢ κρίνοντα πρέπον αὐτῷ τὸ ἔργον χαίρειν τῷ γενομένῳ. τὸ δὲ δεύτερον ἄξιον οὐ 41
βραχείας ἐρεύνης. εἰ γὰρ ἕτερον ἀντὶ τοῦ νῦν ὄντος κατασκευάσει, πάντως ὁ γενόμενος ἢ χείρων ἢ ὅμοιος ἢ κρείττων ἀποτελεσθήσεται· ὧν ἕκαστον ἐπίληπτον. εἰ μὲν γὰρ χείρων ὁ κόσμος, χείρων καὶ ὁ δημιουργός. ἀμώμητα δὲ καὶ ἀνεξέλεγκτα καὶ ἀνεπανόρθωτα τὰ τοῦ θεοῦ τελειοτάτῃ τέχνῃ καὶ ἐπιστήμῃ δημιουργηθέντα·

„οὐδὲ“ γὰρ „γυνὴ“ φασί „τοσσόνδε νόου ἐπιδεύεται ἐσθλοῦ.
ὥστε χερεῖον' ἑλέσθαι ἀμεινοτέρων ⟨παρεόντων⟩.“

ἐμπρεπὲς δὲ θεῷ τὰ ἄμορφα μορφοῦν καὶ τοῖς αἰσχίστοις περιτιθέναι

1 οὐδὲν γὰρ ἦν om. UE   αὐτὸ Plato: αὐτὸς codd. (Turn. Mang.)   γὰρ om. L (Turn.)   φθίσιν] φύσιν E   παρέχον Plato: παρέχων codd. (Turn. Mang.)   2 πάντ' M: πάντα UHPE   πάσχον Plato: πάσχων codd. (Turn. Mang.)   γέγονεν ἀρίστης E   3 αὐτὸ HPE, ex αὐτῷ ut videtur corr. M: αὐτὸς U   ὂν] ἦν HP   4 ἄλλων add. Mang. (ex Platone): om. codd.   6 ἠκριβωμένων καὶ πάνυ ἀνεξελέγκτων M   7 ἕνεκε M   φθερεῖ Gomperz (sic etiam E cod. b): φθείρει codd.   9 μεταβαλεῖν coni. Diels   11 ἢ μὴ E (cod. a): ἢ om. MUHP   12 αὐτῷ codd.   ἄξιον οὐ] ἄξιόν που Cumont   13 καὶ ἕτερον U   14 ὁ γινόμενος coni. Buecheler   ἢ κρείττων ἢ ὅμοιος transp. E   17 ante τελειοτάτῃ add. τὰ M: ⟨ἅτε⟩ τελειοτάτῃ Bernays   18. 19 οὐδὲ — ἀμεινοτέρων παρεόντων om. E   18 τοσσόνδε M: τοσόνδε UHP   ἐπιδεύεται UP: ἐπιτηδεύεται H, ἐπιλείπεται M   19 χερείον' U (coni. Meineke): χέρειον MHP (v)   παρεόντων add. Mang. (Bergk)   20 ἐμπρεπὲς MH (et P ut vid.): εὐπρεπὲς UE   τῷ θεῷ U   αἰσχί(στοις) in ras. M

5 sqq. Arist. frg. 21 (ed. Rose, Lips. 1886).   10 cf. Arist. ap. Cic. Acad. pr. II 119 (frg. 22 Rose).   18. 19 versus ignoti poetae (Bergk, Poetae lyr. gr. II^4 73). emendandus hinc Philodem. Rhet. p. 324 (Sudh.). cf. Theogn. v. 21.

42 θαυμαστὰ κάλλη. εἰ δ' ὅμοιος, ματαιοπόνος ὁ τεχνίτης, οὐδὲν κομιδῇ
νηπίων παίδων διαφέρων, οἳ πολλάκις παρ' αἰγιαλοῖς ἀθύροντες ψάμμου
γεωλόφους ἀνιστᾶσι κἄπειθ' ὑφαιροῦντες ταῖς χερσὶ πάλιν ἐρείπουσι· πολὺ
γὰρ ἄμεινον τοῦ κατασκευάζειν ὅμοιον μηδὲν μήτε ἀφαιροῦντα μήτε προσ-
τιθέντα μηδ' αὖ πρὸς τὸ ἄμεινον ἢ χεῖρον μεταβάλλοντα τὸν ἐξ ἀρχῆς
43 ἅπαξ γενόμενον κατὰ χώραν ἐᾶν. εἰ δὲ κρείττονα δημιουργήσει, γενήσεται
τότε κρείττων καὶ ὁ δημιουργός, ὥσθ' ἡνίκα τὸν πρότερον κατεσκεύαζε
καὶ τὴν τέχνην καὶ τὴν διάνοιαν ἦν ἀτελέστερος. ὅπερ οὐδὲ θέμις ὑπονοεῖν
ἐστιν· ἴσος γὰρ αὐτὸς ἑαυτῷ καὶ ὅμοιος ὁ θεός, μήτε ἄνεσιν πρὸς τὸ
χεῖρον μήτ' ἐπίτασιν πρὸς τὸ βέλτιον δεχόμενος. ἐπὶ δὲ τὰς τοιαύτας
ἀνωμαλίας ἄνθρωποι κεχωρήκασι, πρὸς ἑκάτερον τό τε εὖ καὶ τὸ χεῖρον
πεφυκότες μεταβάλλειν. αὐξήσεσι καὶ προκοπαῖς καὶ βελτιώσεσι καὶ πᾶσι
44 τοῖς ἐναντίοις εἰωθότες χρῆσθαι. πρὸς δὲ τούτοις τὰ μὲν τῶν θνητῶν
ἔργα ἡμῶν φθαρτὰ δεόντως ἂν γένοιτο, τὰ δὲ τοῦ ἀθανάτου κατὰ τὸν
εἰκότα λόγον ἄφθαρτα δήπου· τῇ γὰρ φύσει τῶν τεχνιτῶν εὔλογον τὰ δη-
μιουργηθέντα ἐξομοιοῦσθαι.

45 (14.) Καὶ μὴν ἅπαντί τῳ κἀκεῖνο δῆλον, ὅτι φθειρομένης μὲν τῆς
γῆς ἀνάγκη καὶ τὰ χερσαῖα τῶν ζῴων καθ' ὅλον τὸ γένος ἀπόλλυσθαι.
φθειρομένου δὲ ὕδατος τὰ ἔνυδρα, καὶ ἀέρος μέντοι καὶ πυρὸς τὰ ἀερο-

1 ματαιοπόνος HP: ματαιοπόνω M, μάταιος U, om. E οὐδὲ H et P ut vid. (Turn.) κομιδὴν U 2 ψάμμου P: ψάμμους UHE, ψάμους M 3 ἀνιστᾶσι MUE: διανιστᾶσι HP (v) 5 μηδ' αὖ MHP: μήτε UE (μήτ' αὖ v) 6 γενόμενον ἅπαξ transp. UE εἰ δὲ] εἶδος U 7 τὸν πρότερον om. E (τὸ πρότερον v) 8 οὐδὲ] οὐ U (et E cod. a) 9 ἐστιν om. E ἴσος γὰρ — χρῆσθαι (13) om. E ὅμοιός ἐστιν ὁ θεός U 10 βέλτιον M: βέλτιστον UHP 12 πᾶσι] πάλιν coni. Wendl. 13 δὲ om. HP 14 τοῦ θανάτου M 15 εἰκότα E (conieceram): ἐοικότα MUHP (v) 17 Καὶ μὴν — 97,6 καὶ ἀκραιφνέστατος νοῦς om. E ἅπαντί τῳ scripsi: ἅπαντί που codd. 19 δὲ om. U

1 sqq. cf. Hom. Il. Ο 362 sqq.

ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης,
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν
ἄψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.

Nemesius de natura hominis cap. 2 p. 107 (Matthaei) κομιδῇ γὰρ νηπίων παίδων ὁ τρόπος οὗτος (scil. τὸ διαφθείρεσθαι τὸν κόσμον) ἐν ψάμμῳ τῆς παιδιᾶς εὐθὺς μετὰ τὸ πληρῶσαι συγχεόντων τὰ γενόμενα. Zachar. Mityl. de mundi opif. p. 89 (Boissonade) ὅτου χάριν ἀπόλλυσι τὸ ἄριστον τῶν γεγονότων; ἤτοι γὰρ καλλίονα ποιήσων; καὶ οὐ δυνατόν. ἢ χείρονα; καὶ οὐ θέμις. ἢ ὅμοιον; ἀλλὰ παιδικὸν ἄθυρμα τοῦτό γε παρ' ἠϊόνα παιζόντων καὶ ἐκ ψάμμου οἴκους συντιθέντων καὶ λυόντων. τίς γὰρ οὕτω ματαιοπόνος τεχνίτης, ὡς ἐναλλάττειν ἑαυτοῦ τὰ καλῶς τῶν ἔργων γεγονότα.

πόρα καὶ πυρίγονα. κατ᾽ ἀνάλογον οὖν εἰ φθείρεται ὁ οὐρανός, φθαρήσεται 46
μὲν ἥλιος καὶ σελήνη, φθαρήσονται δ᾽ οἱ λοιποὶ πλάνητες, φθαρήσονται
p. 501 M. δ᾽ οἱ ἀπλανεῖς ἀστέρες, ὁ τοσοῦτος αἰσθητῶν θεῶν εὐδαίμων τὸ πάλαι νομισθεὶς στρατός. ὃ δὴ [εἰ] γένοιτ᾽ ἂν οὐδὲν ἕτερον ἢ θεοὺς φθειρομένους ὑπονοεῖν· ἴσον γάρ ἐστι τῷ καὶ ἀνθρώπους ἀθανάτους ὑπονοεῖν. καίτοι τις ἐν ἀτίμων συγκρίσει τοῦτ᾽ ἂν εὕροι σκοπῶν εὐλογώτερον ἐκείνου· χάριτι μὲν γὰρ θεοῦ θνητὸν ἀθανασίας μεταλαχεῖν εἰκός ἐστιν, ἀφθαρσίαν δὲ θεοὺς ἀποβαλεῖν ἀδύνατον, κἂν αἱ ἀνθρώπων σοφίαι κακομανῶσι. καὶ μὴν οἵ γε τὰς ἐκπυρώσεις καὶ τὰς παλιγγενεσίας εἰση- 17
γούμενοι τοῦ κόσμου νομίζουσι καὶ ὁμολογοῦσι τοὺς ἀστέρας θεοὺς εἶναι, οὓς τῷ λόγῳ διαφθείρειν οὐκ ἐρυθριῶσιν. ἔδει γὰρ ἢ μύδρους διαπύρους ἀποφήνασθαι, καθάπερ ἔνιοι τῶν οἷα περὶ δεσμωτηρίου φλυαρούντων τοῦ σύμπαντος οὐρανοῦ, ἢ θείας ἢ δαιμονίας φύσεις νομίζοντας τὴν ἁρμόττουσαν θεοῖς ἀφθαρσίαν προσομολογῆσαι. νυνὶ δὲ τοσοῦτον δόξης ἀληθοῦς διήμαρτον, ὥστε λελήθασιν αὑτοὺς καὶ τῇ προνοίᾳ — ψυχὴ δ᾽ ἐστὶ τοῦ κόσμου — φθορὰν ἐπιφέροντες ἐξ ὧν ἀνακόλουθα φιλοσοφοῦσι.
Χρύσιππος γοῦν ὁ δοκιμώτατος τῶν παρ᾽ αὐτοῖς ἐν τοῖς Περὶ αὐξανομένου 48
τερατεύεταί τι τοιοῦτον· προκατασκευάσας ὅτι „δύο ἰδίως ποιὰ ἐπὶ τῆς αὐτῆς οὐσίας ἀμήχανον συστῆναι“, φησίν· „ἔστω θεωρίας ἕνεκα τὸν μὲν

1 κατ᾽ ἀνάλογον MU: κατὰ λόγον HP (Turn.) 2 μὲν om. L (Turn.) ἥλιος] καὶ ἥλιος Mang. πλανῆται, συμφθαρήσονται U 3 θεῶν v (Turn.): θεοῦ codd. 4 ὃ δὴ v (Turn.): ὃ δὴ εἰ codd.; verba ἢ θεοὺς φθειρομένους ὑπονοεῖν a librario addita et Philonem tantum οὗ δὴ τί γένοιτ᾽ ἂν αἰδοιότερον; vel simile quid scripsisse putavit Cumont; οὗ δὴ τί γένοιτ᾽ ἂν εὐηθέστερον ἢ κτλ. coni. Wendl. 5 τῷ UHP: τὸ M; ἴσον δ᾽ ἐστὶ τὸ Bernays 6 καίτοι τις Wendl.: καὶ τοῖς M, τοῖς (om. καὶ) U, καίτοι HP (v); καί τις coni. Buecheler ἀτίμω M εὕροι M: εὕροις HP (v), εὑρεῖ U 6. 7 ἐκείνους U 7 χάριτι μὲν γὰρ θεοῦ θνητὸν Buecheler: χάριτι μὲν θεοῦ ὄν· θνητὸν γὰρ MU, χάριτι μὲν θεοῦ ὄν· θνητὸν μὲν γὰρ HP (χάριτι θεοῦ ὄν· θνητὸν μὲν γὰρ v) θεοῦ] θεῶν Diels (Cumont)
κο
εἰκός ἐστιν] εἰ πρόσεστι U 9 καταμανῶσι L οἵ γε Buecheler: οἵ τε codd. 11 τοῦ λόγου M μύδρους] μύλους coni. Mang., sed cf. de somn. I § 22 12 ἀποφήνεσθαι M περὶ] ὑπὸ U 13 νομίζοντας HP: νομίζουσαν MU 13. 14 ἁρμόζουσαν U 15 ὥστε om. in lac. M αὐτοὺς codd. 16 φιλοσοφοῦσιν M 17 γοῦν MU: οὖν HP (v) 18 ante προκατασκευάσας add. καὶ v (Turn.), om. codd. δύο ἰδίως ποιὰ Cumont: δύο εἰδοποιοὺς codd. (δύο ἰδίως ποιοὺς hic et infra Arnim)

11 Diog. La. II 8 οὗτος (Ἀναξαγόρας) ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον. Aet. Plac. II 13, 6 (Doxogr. p. 342, 1) Ἀρχέλαος μύδρους ἔφησεν εἶναι τοὺς ἀστέρας, διαπύρους δέ. 17 Chrys. frg. 397 (Arnim). cf. Doxogr. p. 462, 22 (de Posidonio) ἐπὶ ⟨δὲ⟩ τῶν ἰδίως ποιῶν οἷον Δίωνος καὶ Θέωνος καὶ αὐξήσεις καὶ μειώσεις γίνεσθαι.

τινα ὁλόκληρον, τὸν δὲ χωρὶς ἐπινοεῖσθαι τοῦ ἑτέρου ποδός, καλεῖσθαι δὲ τὸν μὲν ὁλόκληρον Δίωνα, τὸν δὲ ἀτελῆ Θέωνα, κἄπειτα ἀποτέμνεσθαι Δίωνος τὸν ἕτερον τοῖν ποδοῖν". ζητουμένου δή, πότερος ἔφθαρται, τὸν Θέωνα φάσκειν οἰκειότερον εἶναι. τοῦτο δὲ παραδοξολογοῦντος μᾶλλόν
49 ἐστιν ἢ ἀληθεύοντος. πῶς γὰρ ὁ μὲν οὐδὲν ἀκρωτηριασθεὶς μέρος, ὁ Θέων, ἀνήρπασται, ὁ δ' ἀποκοπεὶς τὸν πόδα Δίων οὐχὶ διέφθαρται; „δεόντως" φησίν· „ἀναδεδράμηκε γὰρ ὁ ἐκτμηθεὶς τὸν πόδα Δίων ἐπὶ τὴν ἀτελῆ τοῦ Θέωνος οὐσίαν, καὶ δύο ἰδίως ποιὰ περὶ τὸ αὐτὸ ὑποκείμενον οὐ δύνατ' εἶναι. τοιγαροῦν τὸν μὲν Δίωνα μένειν ἀναγκαῖον, τὸν δὲ Θέωνα διεφθάρθαι."

„τὰ δ' οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὐτῶν πτεροῖς
ἁλισκόμενα"

φησὶν ὁ τραγικός· ἀπομαξάμενος γάρ τις τὸν | τύπον τοῦ λόγου καὶ p.502 M
ἐφαρμόσας τῷ παντὶ κόσμῳ δείξει σαφέστατα καὶ αὐτὴν φθειρομένην
50 τὴν πρόνοιαν. σκόπει δ' ὧδε· ὑποκείσθω τὸ μὲν ὡσανεὶ Δίων ὁ κόσμος — τέλειος γάρ —, τὸ δὲ ὡσανεὶ Θέων ἡ τοῦ κόσμου ψυχή, διότι τοῦ ὅλου τὸ μέρος ἔλαττον, καὶ ἀφαιρείσθω, ὥσπερ ἀπὸ τοῦ Δίωνος ὁ πούς,
51 οὕτως καὶ ἀπὸ τοῦ κόσμου ὅσον αὐτοῦ σωματοειδές. οὐκοῦν ἀνάγκη λέγειν ὅτι ὁ μὲν κόσμος οὐκ ἔφθαρται ὁ τὸ σῶμα ἀφαιρεθείς, ὥσπερ οὐδὲ ὁ ἀποκοπεὶς τὸν πόδα Δίων, ἀλλ' ἡ τοῦ κόσμου ψυχή, ὥσπερ Θέων ὁ μηδὲν παθών. ὁ μὲν γὰρ κόσμος ἐπ' ἐλάττονα οὐσίαν ἀνέδραμεν, ἀφαιρεθέντος αὐτῷ τοῦ σωματοειδοῦς, ἐφθάρη δ' ἡ ψυχὴ διὰ τὸ μὴ δύνασθαι δύο ἰδίως ποιὰ εἶναι περὶ τὸ αὐτὸ ὑποκείμενον. ἔκθεσμον δὲ τὸ λέγειν φθείρεσθαι τὴν πρόνοιαν· ἀφθάρτου δὲ ὑπαρχούσης, ἀνάγκη καὶ τὸν κόσμον ἄφθαρτον εἶναι.

1 τοῦ ante ἑτέρου om. L (Turn.) 2 κἄπειτα codd.: κἄπειτ' Cumont 3 ζητημένου M 4 τὸν ante Θέωνα om. U 4. 5 ἐστὶ μᾶλλον transp. U 5 οὐδὲν om. M 6 ἀνήρπασται] ἔφθαρται coni. Mang., πεπήρωται coni. Wendl. διέφθαρται M: ἔφθαρται UHP (v) 7 ὁ ἐκτμηθεὶς MU: οὐ τμηθεὶς H(P); οὐκ-τμηθεὶς Cumont 8 ἰδίως ποιὰ Cumont: εἰδοποιοὶ codd. (ἰδίως ποιοὶ Arnim) περὶ MU: ἐπὶ HP (v) τὸ αὐτὸ ὑποκείμενον Bernays (cf. l. 23): τοῦ αὐτοῦ ὑποκειμένου codd. 9 δύνατ' HP: δύναται U, δύνανται M (δύναντ' v) 10 διεφθάρθαι M: ἐφθάρθαι UHP (v) 11 ὑπ' ἄλλην M αὐτῶν codd. 14 αὐτὴν MU: τὴν αὐτὴν HP (v) 15 δὲ M τὸ μὲν Cumont: ὁ μὲν codd. 16 τὸ δὲ Cumont: ὁ δὲ codd. 18 οὕτως MU: οὕτω HP ⟨τὸ⟩ ὅσον conicio, ⟨πᾶν⟩ ὅσον coni. Cumont αὐτοῦ] αὐτῷ U 20. 21 ὁ μηδὲν παθὼν MHP: μηδέν τι παθὼν U 22 αὐτῷ] αὐτοῦ P 23 ἰδίως ποιὰ Cumont: εἰδοποιοὺς codd. 24 δὲ MHP: δ' U

11 Aesch. frgm. 139, 4.

(15.) Μεγίστην μέντοι παρέχεται πίστιν εἰς ἀϊδιότητα καὶ ὁ χρόνος. 52
εἰ γὰρ ἀγένητος ὁ χρόνος, ἐξ ἀνάγκης καὶ ὁ κόσμος ἀγένητος. διὰ τί; ὅτι, ᾗ φησιν ὁ μέγας Πλάτων, ἡμέραι καὶ νύκτες μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι χρόνον ἔδειξαν. ἀμήχανον δέ τι τούτων συστῆναι δίχα ἡλίου κινήσεως καὶ τῆς τοῦ παντὸς οὐρανοῦ περιφορᾶς· ὥστ' εὐθυβόλως ἀποδεδόσθαι πρὸς τῶν εἰωθότων τὰ πράγματα ὁρίζεσθαι χρόνον διάστημα τῆς τοῦ κόσμου κινήσεως. ἐπεὶ δὲ τοῦθ' ὑγιές ἐστι, γίνεται ὁ κόσμος ἰσῆλιξ τοῦ χρόνου καὶ αἴτιος. πάντων δ' ἀτοπώτατον ὑπονοεῖν, ὅτι ἦν ποτε 53
κόσμος, ἡνίκα οὐκ ἦν χρόνος· ἄναρχος γὰρ καὶ ἀτελεύτητος ἡ τούτου φύσις, ἐπεὶ καὶ αὐτὰ ταῦτα, τὸ ἦν, τὸ ποτέ, τὸ ἡνίκα, χρόνον συνεμφαίνει.
p.492 M. τούτῳ δ' ἀκόλουθον τὸ μηδὲ χρόνον | ὑποστῆναι καθ' ἑαυτόν, ἡνίκα κόσμος οὐκ ἦν· τὸ γὰρ μὴ ὑπάρχον οὐδὲ κινεῖται· διάστημα δὲ κοσμικῆς κινήσεως ἐδείχθη ὁ χρόνος ὤν. ἀνάγκη τοίνυν ἑκάτερον ἐξ ἀϊδίου ὑφεστάναι γενέσεως ἀρχὴν μὴ λαβόντα· τὰ δ' ἀΐδια φθορᾶς ἀνεπίδεκτα. τάχα 54
τις εὑρεσιλογῶν Στωικὸς ἐρεῖ, τὸν χρόνον ἀποδεδόσθαι διάστημα τῆς τοῦ κόσμου κινήσεως οὐχὶ τοῦ νυνὶ διακεκοσμημένου μόνον ἀλλὰ καὶ τοῦ κατὰ τὴν ἐκπύρωσιν ὑπονοουμένου. πρὸς ὃν λεκτέον· τὴν ἀκοσμίαν, ὦ γενναῖε, μετατιθεὶς τὰ ὀνόματα κόσμον καλεῖς· εἰ γὰρ οὗτος ὃν ὁρῶμεν

1 πίστιν ss. M 2 ἀγένητος (utrumque) M: ἀγέννητος UHP 4 δέ τι τούτων M: δ' ἐπὶ τούτων U, δέ πη τοῦτον HP (v) ἡλίου δίχα transp. M 5 καὶ τῆς UHP: καὶ ἐπὶ τῆς M; καὶ ἔτι τῆς Bernays 7 τοῦ ante κόσμου om. HP ἐπεὶ δὲ M: ἐπειδὴ δὲ U, ἔπειτα δὲ HP (ἔπειτ' οὐδὲ Turn.) ἐστιν H ὁ γὰρ κόσμος Turn. ἰσήληξ M, ἀπῆλιξ H (ἀφῆλιξ Turn.) 8 δὲ M 9 κόσμος Bernays: χρόνος MUP, ὁ χρόνος H χρόνος Bernays: κόσμος codd. γὰρ καὶ] καὶ γὰρ U 10 ἦν] ἢ H συνεμφαίνει MU: συνυφαίνει HP (Turn.) 11 δὲ M ἀκόλουθον codd.: ἀκολουθῶν v ὑποστῆναι—97, 3 συνεπιγραψάμενος ante 80, 18 κατὰ τὸ παντελὲς tradunt codd., huc reduxit Bernays 12 κοσμικῆς mg P, χρονικῆς in textu P 14 τὰ δ' αΐδια φθορᾶς Bernays: τὰ δὲ διαφθορᾶς codd. 15 εὑρεσιλογῶν] εὑρεσιλόγων U, εὑρησιλογῶν M, εὑρήσει λόγων HP 16 νυνὶ διακεκοσμημένου Bernays: νῦν ἰδίᾳ κεκοσμημένου codd. (νῦν διακεκοσμημένου coni. iam Mang.) 17 ὑπονοουμένου M: ἐπινοουμένου UHP (v)

3 Plat. Tim. 37e ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς οὐκ ὄντας, πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται· ταῦτα δὲ πάντα μέρη χρόνου, καὶ τό τ' ἦν τό τ' ἔσται χρόνου γεγονότα εἴδη. 6 sq. Doxogr. p. 461, 4 Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα (Zeno frg. 93 Arnim) ... Ἀπολλόδωρος δ' ἐν τῇ Φυσικῇ Τέχνῃ οὕτως ὁρίζεται τὸν χρόνον· χρόνος δ' ἐστὶ τῆς τοῦ κόσμου κινήσεως διάστημα. (idem traditur de Chrysippo et Posidonio ibid. l. 23. 13.) Sext. Emp. Pyrrh. Hypot. III 136 χρόνον γὰρ εἶναί φασιν οἱ μὲν διάστημα τῆς τοῦ ὅλου κινήσεως (ὅλον δὲ λέγω τὸν κόσμον), οἱ δὲ αὐτὴν τὴν κίνησιν τοῦ κόσμου. Diog. La. VII 141 ἔτι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως.

ἐτύμως καὶ προσφυέστατα κόσμος κέκληται. διατεταγμένος καὶ διακεκοσμημένος ἀνεπανορθώτου τέχνης ἀκρότητι, τὴν πρὸς τὸ πῦρ αὐτοῦ μεταβολὴν δεόντως ἄν τις ἀκοσμίαν ὀνομάσαι.

55 (6.) Κριτόλαος δέ ⟨τις⟩ τῶν κεχορευκότων Μούσαις, τῆς Περιπατητικῆς ἐραστὴς φιλοσοφίας, τῷ περὶ τῆς ἀιδιότητος κόσμου δόγματι συνειπὼν ἐχρήσατο τοιαύταις πίστεσιν· εἰ γέγονεν ὁ κόσμος, ἀνάγκη καὶ τὴν γῆν γεγονέναι· εἰ δὲ ἡ γῆ γενητή, πάντως καὶ τὸ ἀνθρώπων γένος· ἄνθρωπος δὲ ἀγένητον, ἐξ ἀιδίου τοῦ γένους ὑφεστῶτος, ὥσπερ ἐπι-
56 δειχθήσεται· ἀίδιος ἄρα καὶ ὁ κόσμος. τὸ δὲ ὑπερτεθὲν ἤδη κατασκευαστέον, εἰ δεῖ καὶ ἀποδείξεως τοῖς οὕτως ἐμφανέσι· δεῖ δέ, ὡς ἔοικεν, ἕνεκα τῶν μυθοπλαστῶν, οἳ ψευσμάτων ἀναπλήσαντες τὸν βίον ἀλήθειαν ὑπερόριον πεφυγαδεύκασιν, οὐ μόνον πόλεις καὶ οἴκους ἀλλὰ καὶ ἕνα ἕκαστον τοῦ ⟨ἀρίστου⟩ κτήματος χηρεύειν βιασάμενοι καὶ πρὸς τὸ τῆς φράσεως ὁλκὸν μέτρα καὶ ῥυθμοὺς δέλεαρ εἰς ἐνέδραν ἐπινοήσαντες, οἷς ἀφρόνων ὦτα καταγοητεύουσι, καθάπερ ὀφθαλμοὺς αἱ ἄμορφοι καὶ εἰδεχ-
57 θεῖς ἑταῖραι περιάπτοις καὶ νόθῳ κόσμῳ χρείᾳ γνησίου. λέγουσι γὰρ ὅτι ἡ ἐξ ἀλλήλων γένεσις ἀνθρώπων νεώτερον φύσεως ἔργον, ἀρχεγονώτερον δὲ καὶ πρεσβύτερον | ἡ ἐκ γῆς, ἐπειδὴ πάντων μήτηρ ἐστί τε p.493M.
καὶ νενόμισται· τοὺς δὲ ᾀδομένους παρ' Ἕλλησι Σπαρτοὺς ἐκφῦναι,
58 καθάπερ νῦν τὰ δένδρα, τελείους καὶ ἐνόπλους γῆς παῖδας. ὅτι δὲ μύθου πλάσμα τοῦτ' ἐστί, συνιδεῖν ἐκ πολλῶν ῥᾴδιον. αὐτίκα τῷ πρώτῳ

1 ἐτύμως] ἑτοίμως HP   ὅτε διατεταγμένος Bernays   2 ἀνεπανορθώτου Buecheler (cf. 85, 16): ἅτ' ἐπ' ἀνθρώπου codd. (ἅτ' ἀπ' ἀνθρώπου v)   πρὸς τὸ πῦρ M: πρὸς πῦρ HP (Turn.), πῦρ (om. πρὸς τὸ) U   4 τις addidi; εἷς add. Mang., post Μούσαις intercidisse κορυφαῖος vel aliquid huiusmodi putavit Buecheler   κεχορευκότων] συγκεχορευκότων coni. Mang.; sed cf. quod omn. prob. lib. § 62   4. 5 περιπατητικῆς etiam M (non περιπατητικῷ)   5 τῷ περὶ U: τῶν περὶ M, τῷ παρὰ HP   6 πίστεσι M, πίστευσιν H   εἰ om. M   7 ἡ δὲ ἡ γῆ H   γεννητὴ UH   8 ἀγέννητον UHP   τοῦ γένους MHP: τὸ γένος U   ὑφεστῶτος Cumont: ὑφεστὼς UHP, ὑποστάς M   9. 10 ἀίδιος — κατασκευαστέον om. HP (Turn.)   10 καὶ ἀποδείξεως codd.: καὶ om. Cumont   δέ MU: δ' HP   11 ἕνεκα] ἕνα M   12 πεφυγανεύκασιν H   13 ἀρίστου add. Wendl.   κτήματα M   πρὸς τὸ Mang.: πρὸς τὸν codd.   14 φράσεως Bernays: ὁράσεως codd.: ῥήσεως coni. Mang.   17 γένεσιν M   17. 18 ἀρχεγονότερον M   18 ἐστί τε M: τε om. UHP (v)   19 post ἐκφῦναι add. λέγουσι U (λέγουσιν ἐκφῦναι Mang.)   20 νῦν] αὖ U   21 ἐκ πολλῶν ῥᾴδιον M (with β over πολλῶν and α over ῥᾴδιον)

18 sqq. Sext. Emp. adv. Mathem. IX 28 τῶν δὲ νεωτέρων Στωικῶν φασί τινες τοὺς πρώτους καὶ γηγενεῖς τῶν ἀνθρώπων κατὰ πολὺ τῶν νῦν συνέσει διαφέροντας γεγονέναι.
19 Σπαρτούς: cf. Schol. Pind. Isthm. VII 13. Schol. Eur. Phoen. 670. Apollod. Bibl. III 25.

γενομένῳ ἔδει καθ' ὡρισμένα μέτρα καὶ ἀριθμοὺς χρόνων αὐξήσεως· βαθμοὺς γάρ τινας ἡ φύσις τὰς ἡλικίας ἐγέννησε, δι' ὧν τρόπον τινὰ ἀναβαίνει καὶ κάτεισιν ἄνθρωπος, ἀναβαίνει μὲν αὐξόμενος, κατέρχεται δ' ἐν ταῖς μειώσεσιν· ὅρος δ' ὁ τῶν ἀνωτάτω βαθμῶν ἀκμή, πρὸς ὃν φθάσας τις οὐκέτι πρόεισιν, ἀλλ', ὥσπερ οἱ διαυλοδρομοῦντες ἀνακάμπτουσι τὴν αὐτὴν ὁδόν, ὅσα παρ' ἰσχυούσης νεότητος ἔλαβεν, ἀποδίδωσιν ἀσθενεῖ γήρᾳ. τὸ δὲ γεννηθῆναί τινας οἴεσθαι τελείους ἐξ ⟨ἀρχῆς⟩ ἠγνοηκότων 59 ἐστὶ νόμους φύσεως, θεσμοὺς ἀκινήτους. αἱ μὲν γὰρ ἡμέτεραι γνῶμαι προσαναματτόμεναι τὸ πλημμελὲς ἐκ τοῦ συνεζευγμένου θνητοῦ τροπὰς καὶ μεταβολὰς εἰκότως ἐνδέχονται, ἄτρεπτα δὲ τὰ τῆς τῶν ὅλων ἐστὶ φύσεως, ἅτε πάντων ἐπικρατούσης καὶ διὰ βεβαιότητα τῶν ἅπαξ γνωσθέντων τοὺς ἐξ ἀρχῆς παγέντας ὅρους ἀκινήτους διαφυλαττούσης. εἴπερ οὖν 60 ἁρμόττον ἐνόμιζεν ἀποτίκτεσθαι τελείους, καὶ νῦν ἂν ἐτελειογονεῖτο ἄνθρωπος, μὴ βρέφος, μὴ παῖς, μὴ μειράκιον γινόμενος, ἀλλ' ἀνὴρ εὐθὺς ὤν, ἴσως δὲ καὶ πρὸς ἅπαν ἀγήρως καὶ ἀθάνατος· ᾧ γὰρ μὴ αὔξησις, μηδὲ μείωσις πρόσεστιν· αἱ μὲν γὰρ ἄχρι τῆς ἀνδρὸς ἡλικίας μεταβολαὶ κατ' αὔξησιν, αἱ δ' ἀπὸ ταύτης ἄχρι γήρως καὶ τελευτῆς κατὰ μείωσιν συνίστανται· τῷ δὲ μὴ κοινωνοῦντι τῶν προτέρων καὶ τὰς ἑπομένας εὔλογον μὴ ἐπιγίγνεσθαι. τί δ' ἐμποδὼν ἦν ἀνθρώπους καθάπερ φασὶ 61 πρότερον καὶ νῦν βλαστάνειν; οὕτως καὶ ἡ γῆ γεγήρακεν, ὡς διὰ χρόνου μῆκος ἐστειρῶσθαι δοκεῖν; ἀλλ' ἐν ὁμοίῳ μένει νεάζουσα ἀεί, διότι τετάρτη μοῖρα τοῦ παντός ἐστι καὶ ἕνεκα τῆς τοῦ ὅλου διαμονῆς ὀφείλει μὴ φθίνειν, ἐπεὶ καὶ τὰ ἀδελφὰ στοιχεῖα αὐτῆς ὕδωρ ἀήρ τε καὶ πῦρ ἀγήρω διατελεῖ. πίστις δὲ ἐναργὴς τῆς ἀδιαστάτου καὶ ἀιδίου περὶ γῆν ἀκμῆς τὰ 62

1 ἔδει] εἶδε U   καθωρισμένα U   2 ἐγέννησεν M; ἐπενόησε coni. Mang.   3 δὲ M   4 ταῖς] τοῖς H   δὲ M   ἀνωτάτω] ἄνω conicio   βαθμῶν MU: βαθμὸς HP (Turn.)   6 παρισχυούσης M   ἀποδίδωσιν ἀσθενεῖ Bernays: ἀποδιδοὺς ἐν ἀσθενεῖ MHP, ἀποδιδοὺς εὐασθενεῖ U; ἀποδίδωσιν coni. iam Mang.   7 ἐξ ἀρχῆς ἠγνοηκότων scripsi: ἐξηγνοηκότων UHP (ἐξ ἠγνοηκότων Turn.), ἠγνοηκότων M; in ἐξ latere fortasse ἐκ γῆς putavit Diels   10 δὲ om. U   τῶν ὅλων M: τῶν om. UHP (Turn.)   13 ἁρμόττον ἐνόμιζεν MU: ἐνόμιζεν ἁρμόττον HP (v)   14 γινόμενος HP: γενόμενος MU   ἀλλ' om. L (Turn.)   16 μηδὲ] οὐδὲ conicio; μηδὲ μείωσιν προσεῖναι εὔλογον coni. Wendl.   post πρόσεστι spat. c. 7 litt. in M; ἔμπαλιν suppl. Cumont, εἰκότως Bernays (Diels)   μὲν γὰρ M (Mang. Bernays): μὲν οὖν UHP (Turn. Cumont)   μέχρι (sed με in ras.) P   17 ἄχρι γήρως MU: ἄχρι καὶ γήρως HP (v)   19 ἐπιγίνεσθαι P   20 οὕτως MU: οὕτω HP: οὔπω v (Turn.)   21 μένει] μέμεινε H   22 ἐστιν H   22. 23 φθίνειν HP: φθάνειν MU   24 δ' U

7 sqq. cf. Bernays, Theophrastos' Schrift über Frömmigkeit p. 43.

φυόμενα· καθαρθεῖσα γὰρ ἢ ποταμῶν ἀναχύσεσιν, ὥσπερ φασὶν Αἴγυπτον, ἢ τοῖς ἐτησίοις ὄμβροις τὸν ἐκ τῆς φορᾶς κάματον ὑπανίεται καὶ χαλᾶται, κἄπειτα διαναπαυσαμένη τὴν οἰκείαν δύναμιν ἀνακτᾶται μέχρι παντελοῦς ῥώμης, εἶτ᾽ ἄρχεται πάλιν τῆς τῶν ὁμοίων γενέσεως τροφὰς ἀφθόνους
63 ἁπάσαις ζῴων ἰδέαις ἀναδιδοῦσα. (7.) παρ᾽ ὅ μοι δοκοῦσιν | οὐκ p.494 M. ἀπὸ σκοποῦ ποιηταὶ Πανδώραν αὐτὴν ὀνομάσαι, πάντα δωρουμένην [καὶ] τὰ πρὸς ὠφέλειαν καὶ ἡδονῆς ἀπόλαυσιν οὐ τισὶν ἀλλὰ πᾶσιν ὅσα ψυχῆς μεμοίραται. εἰ γοῦν τις ἔαρος ἀκμάσαντος πτερωθεὶς ἀρθείη μετάρσιος καὶ κατίδοι τήν τε ὀρεινὴν καὶ πεδιάδα, τὴν μὲν εὔχορτον καὶ χλοηφόρον πόας καὶ χιλὸν κριθάς τε καὶ πυροὺς καὶ μυρίας ἄλλας σπαρτῶν φύσεις ἀναδιδοῦσαν, ἅς τε γεωργοὶ κατεβάλοντο καὶ ἃς ἀπαυτοματίζουσα ἡ τοῦ ἔτους ὥρα παρέχεται, τὴν δὲ κλάδοις καὶ φυλλάσι κατάσκιον, οἷς ἐπικοσμεῖται τὰ δένδρα, καὶ καρπῶν περιπληθεστάτην, οὐχὶ τῶν πρὸς ἐδωδὴν μόνον ἀλλὰ καὶ οἷς πόνους ἀκεῖσθαι συμβέβηκεν — ὁ μὲν γὰρ τῆς ἐλαίας καρπὸς σώματος κάματον ἰᾶται, ὁ δὲ τῆς ἀμπέλου ποθεὶς μετρίως
64 ἐπιχαλᾷ τὰς σφοδρὰς ὀδύνας ψυχῆς —, ἔτι δὲ τὰς ἀπὸ τῶν ἀνθέων ἀναφερομένας εὐωδεστάτας αὔρας καὶ τὰς τῶν χρωμάτων ἀμυθήτους ἰδιότητας τέχνῃ δαιμονίῳ πεποικιλμένας, τὴν δ᾽ ὄψιν ἀποκλίνας ἀπὸ τῶν ἡμέρων ἐν μέρει πάλιν αἰγείρους, κέδρους, πεύκας, ἐλάτας, δρυῶν ὕψη περιμηκέστατα, τὰς ἄλλας τῶν ἀγρίων συνεχεῖς καὶ βαθείας ὕλας περιαθρήσειεν, αἳ τὰ πλεῖστα καὶ μέγιστα τῶν ὀρῶν καὶ τὴν πολλὴν ὅση

1 καθαρθεῖσα codd.: καταρθεῖσα (a κατάρδω *irrigo*) Mang. (Bernays Cumont) 2 φορᾶς Mang.: φθορᾶς codd. 3 οἰκείαν] οἰκίαν M 4 εἶτα M ἀφθόνας (sed ας in ους corr. ut vid.) U 5 παρό H 6 αὐτὴν mg. U, αὐτοὺς in textu U καὶ seclusit Bernays 8 μεμοίραται v (Turn.): μεμοίρανται codd. 9 τήν ante τε om. H τε ss. H, om. L (v) ὀρινὴν M 10 χιλῶν M, χυλὸν L (Turn.) πυροὺς] πυρὰς H 11 ἀναδιδοῦσαν U:
ας
ἀναδιδούσαν (sic) M, ἀναδιδούσας HP κατεβάλοντο MU: κατεβάλλοντο HP ἀπαυματοματίζουσα U 12 φυλλάδι P 14 ἀκεῖσθαι πόνους transp. U 16 τῆς ψυχῆς U ἔτι δὲ καὶ U ἀνθέων M: ἀνθῶν UHP (v): cf. Phryn. p. 454 Lob. 17 εὐωδεστάτας M: εὐοδεστάτας U, εὐωδεστέρας HP (v) χρωμάτων] ἀνθέων M (Bernays 18 δαιμονία M 19 post πάλιν add. ὄψει U κέδρους U: καὶ κέδρους MHP (v) 20 τὰς ἄλλας codd. (Turn.): τὰς ἄλλων Mang. 21 περιαθρήσειας M

1 καθαρθεῖσα: cf. Plat. Tim. 22d . . . ὅταν δ᾽ αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν. 14 πόνους ἀκεῖσθαι: cf. Plat. Menex. 238a ἐλαίου γένεσιν πόνων ἀρωγήν.

βαθύγειος τῆς ὑπορείου συσκιάζουσι, γνώσεται τὴν ἀνένδοτον καὶ ἀκάματον
τῆς γῆς ἀεὶ νεαζούσης ἀκμήν· ὥστ᾽ οὐδὲν ἐλαττωθεῖσα τῆς παλαιᾶς 65
ἰσχύος καὶ νῦν ἄν, εἴ γε τὸ πρότερον, ἔτικτεν ἀνθρώπους, ὑπὲρ δυοῖν
τοῖν ἀναγκαιοτάτοιν, ἑνὸς μὲν τοῦ μὴ λιποτακτεῖν τάξιν οἰκείαν καὶ
μάλιστα ἐν σπορᾷ καὶ γενέσει τοῦ χερσαίων ἁπάντων ἀρίστου καὶ ἡγεμόνος
ἀνθρώπου, δευτέρου δὲ γυναικῶν ἐπικουρίας, αἳ κύουσαι μὲν βαρυτάτοις
ἄχθεσι δέκα που μῆνας πιέζονται, μέλλουσαι δ᾽ ἀποτίκτειν πολλάκις
ὠδῖσιν αὐταῖς ἐναποθνήσκουσιν. ὅλως τοῦτ᾽ οὐκ εὐήθεια δεινὴ μήτραν 66
ὑπολαμβάνειν γῆν ἐγκεκολπίσθαι πρὸς ἀνθρώπων σποράν; τὸ γὰρ ζωογο-
νοῦν χωρίον ἐστὶ μήτρα, „φύσεως“, ὥς εἶπέ τις, „ἐργαστήριον“, ἐν ᾧ
ζῷα μόνον διαπλάττεται· τὸ δὲ οὐ γῆς μέρος ἐστίν, ἀλλὰ ζῴου θήλεος,
δημιουργηθὲν εἰς γένεσιν· ἐπεὶ καὶ μαζοὺς καθάπερ γυναικὶ γῇ φατέον
ἡνίκα ἠνθρωπογόνει προσγενέσθαι, τροφὴν ἵν᾽ ἔχωσιν οἰκείαν οἱ πρῶτον
ἀποκυηθέντες· ἀλλὰ γὰρ οὐ ποταμός, οὐ πηγή τις οὐδαμοῦ τῆς οἰκου-
μένης ἀνθ᾽ ὕδατος μνημονεύεταί ποτε ὀμβρῆσαι γάλα. πρὸς δὲ δὴ 67
τούτοις, ὥσπερ γαλακτοτροφεῖσθαι χρὴ τὸ ἀρτίγονον, οὕτως καὶ τῇ δι᾽
p.495M. ἀμπεχόνης σκέπῃ χρῆσθαι διὰ τὰς ἀπὸ κρυμοῦ | καὶ θάλπους ἐγγινο-
μένας τοῖς σώμασι ζημίας, οὗ χάριν μαῖαι καὶ μητέρες, αἷς ἀναγκαία
φροντὶς εἰσέρχεται τῶν γεννωμένων, κατασπαργανοῦσι τὰ βρέφη. τοὺς
δὲ γηγενεῖς φύντας πῶς οὐκ ἄν τις εὐθὺς διέφθειρε γυμνοὺς ἐαθέντας ἢ
ἀέρος κατάψυξις ἢ ἀφ᾽ ἡλίου φλογμός; κρυμοὶ γὰρ καὶ θάλπη κρατήσαντα
νόσους καὶ φθορὰς ἀπεργάζονται. ἐπειδὴ δ᾽ ἅπαξ ἤρξαντο ἀλογεῖν ἀληθείας 68
οἱ μυθοπλάσται, τοὺς Σπαρτοὺς ἐκείνους καὶ ἐνόπλους ἐτερατεύσαντο

1 ὑπορείου U (coni. Mang.), ὑπορίου M: ὑπερορείου P, ὑπερορεία ut vid. H: ὑπερορίας v (Turn.) συσκιάζουσι MU: σκιάζουσι HP (Turn.) 2 ἀκμῆς M 3 εἴ γε MU: ἤ γε HP, ἦγε L (Turn.) ἔτικ(τεν) in ras. M 4 λειποτακτεῖν UHP (v), λιποτακτὴν M 6 δευτέρου MU: δεύτερον HP γυναικῶν Mang.: γυναικὸς codd. 7 πιέζονται Mang.: βιάζονται codd. δὲ M 8 ἐναποθνήσκουσιν codd.: ἀποθνήσκουσιν v ὅλως] ὅσω U τοῦτ᾽ οὐκ εὐήθεια δεινὴ om. in lac. M τοῦτ᾽ U: τ᾽ HP (om. v) 11 ζῷα codd.: ζῷον Turn. 12 γῇ om. HP (Turn.) 13 ἀνθρωπογόνει (sic) H; ἀνθρωπογονεῖ Turn. ἵν᾽] ἦν M πρῶτον codd.: πρῶτοι v (Turn.) 15 δὲ om. U 16 χρὴ] δεῖ U ἀρτίγονον] ἀρχίγονον M οὕτως MU: οὕτω HP τῇ] τὸ U 18 σώμασι MU: θάλπουσι HP; τρεφομένοις v (Turn.) 19 εἰσέρχεται Cumont (coll. de sacrif. Ab. et Caini § 39): ἔρχεται codd. γεννωμένων M: γενομένων U, γινομένων HP (Turn.) 21 ἀφ᾽ om. U κρυμοὶ UHP: κρυμνοὶ M 22 ἐπειδὴ codd.: ἐπεὶ v δὲ M 23 καὶ ἐνόπλους om. U

10 φύσεως ἐργαστήριον: cf. de spec. leg. III § 33. 109. Leg. ad Gai. II 554 M. dictum auctoris ignoti.

ἐκφῦναι. τίς γὰρ ἦν κατὰ γῆς χαλκουργὸς ἢ τοσοῦτος Ἥφαιστος, ὡς αὐτίκα πανευγίας εὐτρεπίζεσθαι; τίς δὲ τοῖς πρώτοις γενομένοις εἰς ὅπλισιν οἰκειότης; ἡμερώτατον γὰρ ζῷον ὁ ἄνθρωπος, λόγον δωρησαμένης φύσεως αὐτῷ γέρας, ᾧ καὶ τὰ ἐξηγριωμένα πάθη κατεπᾴδεται καὶ τιθασεύεται. πολὺ βέλτιον ἦν ἀνθ' ὅπλων κηρύκεια ἀναδῦναι, συμβατηρίων σπονδῶν σύμβολα, λογικῇ φύσει, ὅπως εἰρήνην πρὸ πολέμου πᾶσι τοῖς
69 πανταχοῦ καταγγέλλῃ. (8.) τὰ μὲν οὖν τῶν ἐπιτειχιζόντων ψευδολογίαν κατὰ τῆς ἀληθείας φλυαρήματα μετρίως ἐξελήλεγκται. χρὴ δ' εὖ εἰδέναι, ὅτι ἐξ ἀιδίου κατὰ διαδοχὰς ἐξ ἀνθρώπων βλαστάνουσιν ἄνθρωποι, σπείροντος μὲν εἰς μήτραν ἀνδρὸς ὡς εἰς ἄρουραν, γυναικὸς δ' ὑποδεχομένης τὰ σπέρματα σωτηρίως, τῆς δὲ φύσεως ἀοράτως ἕκαστα καὶ τῶν τοῦ σώματος καὶ τῶν τῆς ψυχῆς διαπλαττούσης μερῶν καὶ ὅπερ οὐκ ἴσχυσε λαβεῖν ἡμῶν ἕκαστος τοῦθ' ἅπαντι τῷ γένει δωρησαμένης, τὸ ἀθάνατον· μένει γὰρ εἰς ἀεί, φθειρομένων τῶν ἐν εἴδει, τεράστιον ὡς ἀληθῶς καὶ θεῖον ἔργον. εἰ δ' ἀίδιον ἄνθρωπος, βραχεῖα μοῖρα τοῦ παντός, ἀγένητος δήπου καὶ ὁ κόσμος, ὥστε ἄφθαρτος.

70 (9.) Ἐπαγωνιζόμενος δ' ὁ Κριτόλαος ἐχρῆτο καὶ τοιούτῳ λόγῳ· τὸ αἴτιον αὐτῷ τοῦ ὑγιαίνειν ἄνοσόν ἐστιν· ἀλλὰ καὶ τὸ αἴτιον αὐτῷ τοῦ ἀγρυπνεῖν ἄγρυπνόν ἐστιν· εἰ δὲ τοῦτο, καὶ τὸ αἴτιον αὐτῷ τοῦ ὑπάρχειν

---

1 ὕφαιστος P   2 πρώτοις (ο ex α corr.) γενομέναις M   2. 3 εἰς ὅπλισιν Diels: ἰσόπαις ἦν codd.; ὁπλίσεως ἦν Bernays, ὅπλων ἦν Buecheler   3 ἡμερώτερον M (Bernays)   ὁ ante ἄνθρωπος om. U   4. 5 τιθασεύεται scripsi: τιθασσεύεται codd. 5 κηρύκεια scripsi (cf. Leg. ad Gai. p. 560, 11 M.): κηρύκια M, κηρύκιον UH (v), oblitt. in P   ἀναδῦναι MU: ἀναδοῦναι HP (v)   συμβαντηρίων HP 6 σύμβολα] σύμβολον coni. Mang.   7 καταγγέλλει H   8 ἐξελήλεγκται U: ἐξελήλεκται MHP   εὖ] αὖ coni. Mang.   10 ὡς εἰς MU: ὡσεὶ HP (v)   11 σωτηρίως] δαιμορίως (sic) U   12 τῶν om. HP   ἴσχυσε M(U): ἴσχυε HP (v) 12. 13 ἴσχυσεν ἡμῶν λαβεῖν U   14 τεράστιον] ἄφθαρτον coni. Mang.   15 ἔργον] γένος coni. Mang.   ἀγένητος M: ἀγέννητος UHP   17 δὲ M   18 αὐτῶ (bis) U: αὐτῷ MHP   ἄνοσον] ἄνοσ͡σ (i. e. ἄνθρωπος?) M   19 αὐτῶ U: αὐτῷ MHP

10 Plat. Tim. 91d ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα κατασπείραντες. cf. Aesch. Septem 737 ματρὸς ἁγνὰν σπείρας ἄρουραν. Eur. Orest. 553 τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα.   14. 15 Plat. Symp. 206c ἔστι δὲ τοῦτο θεῖον τὸ πρᾶγμα, καὶ τοῦτο ἐν θνητῷ ὄντι τῷ ζῴῳ ἀθάνατον ἔνεστιν, ἡ κύησις καὶ ἡ γέννησις.   19 sqq. Ocell. Luc. I 9 οὕτως οὖν καὶ τὸ τοῖς ἄλλοις αἴτιον γινόμενον τῆς αὐτοτελείας αὐτὸ ἐξ ἑαυτοῦ αὐτοτελές ἐστι, καὶ τὸ τοῖς ἄλλοις αἴτιον γινόμενον τῆς σωτηρίας καὶ διαμονῆς αὐτὸ ἐξ ἑαυτοῦ σῳζόμενον καὶ διαμένον ἐστί ... ὁ δέ γε κόσμος αἴτιός ἐστι τοῖς ἄλλοις καὶ τοῦ εἶναι καὶ τοῦ σῴζεσθαι καὶ τοῦ αὐτοτελῆ εἶναι· αὐτὸς ἄρα ἐξ ἑαυτοῦ ἀίδιός ἐστι καὶ αὐτοτελὴς καὶ διαμένων τὸν πάντα αἰῶνα, καὶ δι' αὐτὸ τοῦτο τοῖς ἄλλοις παραίτιος γινόμενος τῆς διαμονῆς.

ἀίδιόν ἐστιν· αἴτιος δ' ὁ κόσμος αὐτῷ τοῦ ὑπάρχειν, εἴ γε καὶ τοῖς ἄλλοις
ἅπασιν· ἀίδιος ἄρα ὁ κόσμος ἐστίν.

Οὐ μὴν ἀλλὰ κἀκεῖνο σκοπεῖν ἄξιον, ὅτι πᾶν τὸ γενόμενον ἐν 71
ἀρχῇ μὲν δεῖ πάντως ἀτελὲς εἶναι, χρόνου δὲ προϊόντος αὔξεσθαι μέχρι
παντελοῦς τελειώσεως· ὥστε, εἰ γέγονεν ὁ κόσμος, ἦν μέν ποθ', ἵνα
κἀγὼ χρήσωμαι τοῖς ἡλικιῶν ὀνόμασι, κομιδῇ νήπιος, ἐπιβαίνων δ' αὖθις
ἐνιαυτῶν περιόδοις καὶ μήκεσι χρόνων ὀψὲ καὶ μόλις ἐτελειώθη· τοῦ
p.496 M. γὰρ μακροβιωτάτου βραδεῖα ἐξ ἀνάγκης ἀκμή. τὸν δὲ | κόσμον εἴ τις 72
νομίζει χρήσασθαί ποτε ταῖς τοιαύταις μεταβολαῖς, ἀθεραπεύτῳ μανίᾳ
κεκρατημένος μὴ ἀγνοείτω· δῆλον γὰρ ὡς οὐ μόνον αὐτοῦ τὸ σωματοειδὲς
αὐξηθήσεται, λήψεται δὲ καὶ ὁ νοῦς ἐπίδοσιν, ἐπεὶ καὶ οἱ φθείροντες
αὐτὸν λογικὸν εἶναι ὑπονοοῦσιν. οὐκοῦν ἀνθρώπου τρόπον ἐν ἀρχῇ μὲν 73
τῆς γενέσεως ἄλογος ἔσται, περὶ δὲ τὴν ἀκμάζουσαν ἡλικίαν λογικός·
ἅπερ οὐ μόνον λέγειν ἀλλὰ καὶ ὑπονοεῖν ἀσεβές· τὸν γὰρ τελειότατον
ὁρατῶν ⟨θεῶν⟩ περίβολον καὶ τοὺς ἐν μέρει περιέχοντα κληρούχους πῶς
οὐκ ἄξιον ὑπολαμβάνειν ἀεὶ τέλειον κατά τε σῶμα καὶ ψυχήν, ἀμέτοχον
κηρῶν, αἷς τὸ γενητὸν καὶ φθαρτὸν πᾶν συνέζευκται;

(10.) Πρὸς δὲ τούτοις φησὶ τριττὰς αἰτίας δίχα τῶν ἔξωθεν ὑποβε- 74
βλῆσθαι ζῴοις τελευτῆς, νόσον, γῆρας, ἔνδειαν, ὧν οὐδεμιᾷ τὸν κόσμον
ἁλωτὸν εἶναι· πεπηγέναι τε γὰρ ἐξ ὅλων τῶν στοιχείων, ὡς ὑπὸ μηδενὸς
ὑπολειφθέντος καὶ ἀπελευθεριάζοντος μέρους βιασθῆναι, κατακρατεῖν τε
τῶν δυνάμεων, ἐξ ὧν αἱ ἀσθένειαι, τὰς δ' ὑπεικούσας ἄνοσον καὶ ἀγήρων
αὐτὸν διαφυλάττειν. αὐταρκέστατόν τε αὐτὸν αὑτῷ καὶ ἀνεπιδεᾶ παντὸς

1 αἴτιος δὲ HP αὐτῷ U: αὐτῷ MHP 4 δεῖ πάντως Bernays: δὴ πάντως MU, πάντως δεῖ HP (Turn.); δὴ πάντως δεῖ Mang. 5 ὥστε om. in lac. M 6 νηπίως M 7 μήκεσι] μήκει coni. Mang. 10 ἀγνοείτω v (Turn.): ἀγνοείσθω codd. 13 περὶ δὲ MU: παρὰ (om. δὲ) HP (Turn.) 15 ὁρατῶν θεῶν Cumont: ὁρατ (sic) M, ὁρατὸν UHP (v); ὁρατῶν Bernays, τῶν ὁρατῶν Buecheler περιέχοντα HP: περιέχοντας MU κληρούχους vix sanum putavit Cumont. κληδούχους dubitanter coni. Diels 17 γενητὸν M: γεννητὸν UHP φθαρτὸν HP: ἄφθαρτον MU 18 τριτὰς H 20 τε MU: τὸ HP (εἶναι πεπηγέναι· τὸ γὰρ Turn.) ὡς] καὶ U; ὡς ante βιασθῆναι (21) transp. Mang. (Bernays) ex glossemate p. 80, 19 ὑπὸ Buecheler: ἅτε codd. 21 κατακρατῶν M τε codd.: τε καὶ v 22 ἀγήρων Cumont: ἀγήρω MU, ἀγείρω HP 23 prius αὐτὸν] αὐτὴν M αὑτῷ U: αὐτῷ HP, αὐτῶν M παντὸς] πάντως coni. Buecheler: at cf. e. gr. de spec. leg. I § 294 πάντων ἀνεπιδεής

11. 12 cf. adnot. ad p. 102, 2.

γεγονέναι, μηδενὸς τῶν εἰς διαμονὴν ὑστερίζοντα, τὰς κενώσεως καὶ πληρώσεως ἐν μέρει διαδοχὰς ἀπωσάμενον, αἷς διὰ τὴν ἄμουσον ἀπληστίαν τὰ ζῷα χρῆσθαι, θάνατον ἀντὶ ζωῆς μνώμενα ἤ, τό γε ἀσφαλέστερον εἰπεῖν, οἰκτρότερον βίον ἀπωλείας.

75 Ἔτι τοίνυν, εἰ μὲν μηδεμία φύσις αἴδιος ἑωρᾶτο, ἧττον ἂν ἐδόκουν οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου, μηδὲν γὰρ ἔχοντες παράδειγμα ἀιδιότητος, [ἐδόκουν οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου ἂν] εὐπροφάσιστα ἀδικεῖν. ἐπεὶ δὲ εἱμαρμένη κατὰ τοὺς ἄριστα φυσιολογοῦντας ἄναρχος καὶ ἀτελεύτητός ἐστιν, εἴρουσα τὰς ἑκάστων ἀνελλιπῶς καὶ ἀδιαστάτως αἰτίας, τί δήποτ' οὐχὶ καὶ τὴν τοῦ κόσμου φύσιν λεκτέον εἶναι μακραίωνα, τὴν τάξιν τῶν ἀτάκτων, τὴν ἁρμονίαν τῶν ἀναρμόστων, τὴν συμφωνίαν τῶν ἀσυμφώνων, τὴν ἕνωσιν τῶν διεστηκότων, τὴν ξύλων μὲν καὶ λίθων ἕξιν, σπαρτῶν δὲ καὶ δένδρων φύσιν, ψυχὴν δὲ ζῴων ἁπάντων, ἀνθρώπων δὲ νοῦν καὶ λόγον, ἀρετὴν δὲ σπουδαίων τελειοτάτην; εἰ δ' ἡ τοῦ κόσμου φύσις ἀγένητός τε καὶ ἄφθαρτος, δῆλον ὅτι καὶ ὁ κόσμος, αἰωνίῳ συνεχόμενος καὶ διακρατούμενος δεσμῷ.

76 Νικηθέντες δὲ ὑπὸ τῆς ἀληθείας καὶ τῶν ἀντιδοξούντων ἔνιοι μετεβάλοντο· προσκλητικὴν γὰρ ἔχει δύναμιν τὸ κάλλος, τὸ δ' ἀληθὲς | δαιμονίως p.497M. ἐστὶ καλόν, ὡς τὸ ψεῦδος ἐκτόπως αἰσχρόν. Βοηθὸς γοῦν ὁ Σιδώνιος καὶ Παναίτιος, ἄνδρες ἐν τοῖς Στωικοῖς δόγμασιν ἰσχυκότες, ἅτε θεόλη-

1 ὑστερίζοντα MU: ὑστερίζοντος HP (v) 5 ἐδόκουν] ἠδίκουν Buecheler (Cumont) 6 γὰρ seclusit Turn.: sed cf. Thuc. I 25, 4. Vahlen ad Arist. Poet.[3] 131 6. 7 παράδειγμα ἀιδιότητος HP: παράδειγμα ἰδιότητος MU; παράδειγμ' ἀιδιότητος Bernays (Cumont) 7 ἐδόκουν—κόσμου seclusit Bernays (ἐδόκουν—εἰσηγούμενοι seclusit Turn., ἐδόκουν retinet Cumont) ἂν εὐπροφάσιστα MU (ἂν seclusi): ἂν εὐπροφάσητα HP: ἄνευ προφάσεως v (Turn.) 8 ἀδικεῖν] διδάσκειν Cumont, λέγειν Buecheler 9 τὰς] τοὺς P 11 ἀναρμότων HP 12 συμ[α]φώνων (sic) H 13 σπαρτῶν δὲ scripsi: σπαρτῶν τε codd. 15 ἀγένητος M: ἀγέννητος UHP τε om. U δηλονότι M αἰωνίῳ v (Turn.): αἰῶνι MU, αἰώνιος HP 17 δ' U 18 προσκλητικὴν] προσελκτικὴν coni. Mang. 19 ὁ σιδώνιος M: ὁ ἰδώνιος U, ἡ σιδώνιος HP; καὶ Ποσειδώνιος v (Turn.) 20 Παναίτιος v (Turn.): πάνεπος codd.

2 ἄμουσον ἀπληστίαν: cf. Plat. Tim. 73a ... ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφιλόσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος. 8. 9 Aet. Plac. I 28, 4 (Doxogr. p. 324[a] 1) οἱ Στωικοὶ (τὴν εἱμαρμένην) εἱρμὸν αἰτιῶν, τουτέστι τάξιν καὶ ἐπισύνδεσιν ἀπαράβατον. Diog. La. VII 149 ἔστι δ' εἱμαρμένη αἰτία τῶν ὄντων εἰρομένη ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται. cf. Chrysippi frg. 913 sqq. (Arnim). 20 Diog. La. VII 142 ... Παναίτιος δ' ἄφθαρτον ἀπεφήνατο τὸν κόσμον. Doxogr. p. 469[b] 7 (Arius Didymus) Παναίτιος πιθανωτέραν εἶναι νομίζει καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀιδιότητα τοῦ κόσμου ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν.

πτοι, τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας καταλιπόντες πρὸς ὁσιώτερον δόγμα
τὸ τῆς ἀφθαρσίας τοῦ κόσμου παντὸς ηὐτομόλησαν. λέγεται δὲ καὶ 77
p.502,34 M. Διογένης ἡνίκα νέος ἦν συνεπιγραψάμενος | τῷ δόγματι τῆς ἐκπυρώσεως
ὀψὲ τῆς ἡλικίας ἐνδοιάσας ἐπισχεῖν· οὐ γὰρ νεότητος ἀλλὰ γήρως τὰ
σεμνὰ καὶ περιμάχητα διιδεῖν, καὶ μάλισθ' ὅσα μὴ δικάζει ἡ ἄλογος
καὶ ἀπατηλὸς αἴσθησις ἀλλ' ὁ καθαρώτατος καὶ ἀκραιφνέστατος νοῦς.
(16.) ἀποδείξεσι δ' οἱ περὶ τὸν Βοηθὸν κέχρηνται πιθανωτάταις, ἃς 78
αὐτίκα λέξομεν· εἰ, φασί, γενητὸς καὶ φθαρτὸς ὁ κόσμος, ἐκ τοῦ μὴ
ὄντος τι γενήσεται, ὅπερ καὶ τοῖς Στωικοῖς ἀτοπώτατον εἶναι δοκεῖ.
p.503 M. διὰ τί; ὅτι οὐδεμίαν φθοροποιὸν | αἰτίαν εὑρεῖν ἔστιν, οὔτ' ἐντὸς οὔτ'
ἐκτός, ἣ τὸν κόσμον ἀνελεῖ· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστιν ὅτι μὴ τάχα
που κενόν, τῶν στοιχείων ἀποκριθέντων εἰς αὐτὸν ὁλοκλήρων, εἴσω δ'
οὐδὲν νόσημα τοιοῦτον, ὃ γένοιτ' ἂν αἴτιον θεῷ τοσούτῳ διαλύσεως.
εἰ δ' ἀναιτίως φθείρεται, δῆλον ὅτι ἐκ τοῦ μὴ ὄντος ἔσται ἡ γένεσις
τῆς φθορᾶς, ὅπερ οὐδ' ἡ διάνοια παραδέξεται.

Καὶ μήν φασιν, ὅτι γενικοὶ τρόποι φθορᾶς εἰσι τρεῖς· ὅ τε κατὰ 79
διαίρεσιν καὶ ὁ κατὰ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος καὶ ὁ κατὰ σύγ-
χυσιν. τὰ μὲν οὖν ἐκ διεστηκότων, αἰπόλια, βουκόλια, χοροί, στρατεύματα,
ἢ πάλιν ἐκ συναπτομένων σώματα παγέντα διαστάσει καὶ διαιρέσει λύεται·
κατὰ δὲ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος ὁ μετασχηματιζόμενος κηρὸς
ἢ καταλεαινόμενος, ἵνα μηδὲ ἑτεροειδῆ τινα παράσχῃ τύπον μορφῆς·

1 καὶ τὰς ἐκπυρώσεις U   ὁσιώτερον Cumont: θειότερον codd.   2 τὸ om. U   παντὸς] πάντως Buecheler (Cumont); at cf. Arnim, Quellenstudien p. 18   4 ἐνδοιάσας (οι ex υ corr.) M: ἐνδυάσας UHP   γὰρ νεότητος] γενναιότατος M   5 διιδεῖν M: δεῖ ἰδεῖν UP (Turn.), δεῖ εἰδεῖν H   6 ἀπατηλὸς codd.: ἀπατηλὴ v (Turn.)   7 δὲ E   πιθανοτάταις UHE   ἃς ME: αἷς UHP   8 εἰ, φασί] φασὶ γὰρ εἰ E   γεννητὸς U   9 δοκεῖ εἶναι E   10 αἰτίαν εὑρεῖν MUE: εὑρεῖν αἰτίαν HP (v)   13 θεῷ Cumont: τῷ codd.   14 δῆλον ὅτι UE: δηλονότι MHP   15 τῆς φθορᾶς] καὶ φθορά coni. Mang.   οὐδ' ἡ] οὐδὲ M (Bernays)   16 φθορᾶς τρόποι E   17 καὶ post διαίρεσιν om. HP (v)   καὶ ὁ—ποιότητος om. E cod. b   18 στρατεύματα, χοροί E   19 συναπτομένων v (Turn.): συναπτομένου codd.   σώματα UHP: σώματος ME   τῇ διαστάσει HP (Turn.)   λύεται UE: λύονται MHP (v)   20. 21 κηρὸς ἢ καταλεαινόμενος om. UE   21 καταλεαινόμενος Diels: καὶ λεαινόμενος MHP   παράσχῃ] περίσχῃ M   τύπον παράσχῃ E

2 sqq. Diog. Babyl. frg. 27 (Arnim, Stoic. vet. fragm. III p. 215). idem de Zenone Tarsensi tradit Arius Didymus (Doxographi p. 469a 3): τὸν μὲν γὰρ τούτου (Chrysippi μαθητὴν καὶ διάδοχον τῆς σχολῆς Ζήνωνά φασιν ἐπισχεῖν περὶ τῆς ἐκπυρώσεως τῶν ὅλων.
16 cf. Doxogr. p. 462, 15 sqq. (Arius Didym.). Zeller, Philos. d. Griech. III 1[3], 95.
18 τὰ ἐκ διεστηκότων: Zeller III 1[3], 97.

κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος· αἱ γὰρ δυνάμεις
τῶν συνενεχθέντων ἠφανίσθησαν εἰς ἐξαιρέτου μιᾶς γένεσιν ἀποτελεσθείσης.
80 ποίῳ δὴ τούτων ἄξιον τὸν κόσμον φθείρεσθαι φάναι; τῷ κατὰ διαίρεσιν;
ἀλλ' οὔτε ἐκ διεστηκότων ἐστίν, ὡς τὰ μέρη σκεδασθῆναι, οὔτε ἐκ συνα-
πτομένων, ὡς διαλυθῆναι, οὔτε τὸν αὐτὸν τρόπον τοῖς ἡμετέροις ἥνωται
σώμασι· τὰ μὲν γὰρ ἐπικήρως τε ἐξ ἑαυτῶν ἔχει καὶ δυναστεύεται πρὸς
μυρίων ὑφ' ὧν βλάπτεται, τοῦ δ' ἀήττητος ἡ ῥώμη πολλῇ τινι περι-
81 ουσίᾳ πάντων κατακρατοῦσα. ἀλλ' ἀναιρέσει παντελεῖ τῆς ποιότητος;
ἀλλ' ἀμήχανον τοῦτό γε· μένει γὰρ κατὰ τοὺς τἀναντία αἱρουμένους ἡ
τῆς διακοσμήσεως ποιότης ἐπ' ἐλάττονος οὐσίας τῆς τοῦ Διὸς σταλεῖσα
82 κατὰ τὴν ἐκπύρωσιν. ἀλλὰ τῷ κατὰ σύγχυσιν; ἄπαγε, δεήσει γὰρ πάλιν
εἰς τὸ μὴ ὂν γίνεσθαι τὴν φθορὰν παραδέχεσθαι. τοῦ χάριν; ὅτι εἰ μὲν
ἕκαστον ἐν μέρει τῶν στοιχείων ἐφθείρετο, μεταβολὴν ἐδύνατο τὴν εἰς
ἕτερον δέχεσθαι, πάντων δὲ συλλήβδην ἀθρόων κατὰ σύγχυσιν ἀναιρου-
μένων, ἀναγκαῖον ὑπονοεῖν τὸ ἀδύνατον.
83 Ἔτι πρὸς τούτοις, ἐὰν ἐκπυρωθῇ, φασί, τὰ πάντα, τί κατ' ἐκεῖνον
ὁ θεὸς πράξει τὸν χρόνον; ἢ τὸ παράπαν οὐδέν; καὶ μήποτ' εἰκότως·
νυνὶ μὲν γὰρ ἕκαστα ἐφορᾷ καὶ πάντων οἷα γνήσιος πατὴρ ἐπιτροπεύει
καί, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἡνιόχου καὶ κυβερνήτου τρόπον ἡνιοχεῖ
καὶ πηδαλιουχεῖ τὰ σύμπαντα, ἡλίῳ τε καὶ σελήνῃ καὶ τοῖς ἄλλοις
πλάνησι καὶ ἀπλανέσιν ἔτι δ' ἀέρι καὶ τοῖς ⟨ἄλλοις⟩ μέρεσι τοῦ κόσμου

1 παρὰ ἰητροὺς U 2 ἐξαιρέτους E cod. r ἀποτελεσθεῖσαι E 3 τούτω M 4 ἀλλ' οὔτε ME, ἀλλ' οὔτ' U: ἀλλ' οὐκ HP (Turn.) alt. οὔτε MPE: οὔτ' UH (v) 6 ἐξ ἑαυτῶν MUE: ἐξ αὑτῶν HP (ἐξ αὐτῶν v) 7 ἀφ' ὧν E 8 πάντων] πάντα M (Bernays) ἀλλὰ P παντελῆ H 10 τῆς τοῦ Διὸς σταλεῖσα Bernays (in commentario): τῇ τούτου ἰδιοσταλεῖσα E, τῇ του .... (spat. c. 4 litt.) σταλεῖσα M, τὸ τοῦ δι ... (spat. c. 7 litt.) HP, ... (spat. c. 10 litt.) σταλεῖσα U 11 τῷ] τὸ H 12 εἰς] ὡς E cod. r γίγνεσθαι E 13 μεταβολὴν ⟨ἂν⟩ ἐδύνατο Gomperz ἠδύνατο E 14 δὲ om. E cod. r ἀθρόων MU: ἀθρόον HPE (v) 15 ἀναγκαῖον Reiter: ἀνάγκη codd.; ἀνάγκη τοῦτο ὑπονοεῖν ἀδύνατον Cumont 16 ἔτι πρὸς τούτοις — 99, 6 ὁ θεός om. E φασί MU: φησί HP (Turn.) 17 πράξει ὁ θεὸς transp. M (Bernays) ἢ] ἢ H (Turn.) 18 οἷα v (Turn.): οἷος codd. 20 πηδαληουχεῖ M ἡλίω τε M: τε om. UHP (v) 21 ἀπλανέσι M ἄλλοις add. Cumont

1 τετραφάρμακος: cf. de confus. lingu. § 187. Galen. in Hippocr. de nat. hom. t. XV p. 32 (Kuehn). 9 sq. Chrysippi frg. 611 (Arnim). cf. Plut. de commun. notit. 31 p. 1075b ἀλλὰ Χρύσιππος καὶ Κλεάνθης, ἐμπεπληκότες ὡς ἔπος εἰπεῖν τῷ λόγῳ θεῶν τὸν οὐρανόν, τὴν γῆν, τὸν ἀέρα, τὴν θάλατταν, οὐδένα τῶν τοσούτων ἄφθαρτον οὐδ' ἀίδιον ἀπολελοίπασι, πλὴν μόνου τοῦ Διός, εἰς ὃν πάντας καταναλίσκουσι τοὺς ἄλλους.

παριστάμενος καὶ συνδρῶν ὅσα πρὸς τὴν τοῦ ὅλου διαμονὴν καὶ τὴν κατ' ὀρθὸν λόγον ἀνυπαίτιον διοίκησιν. πάντων δ' ἀναιρεθέντων, ὑπ' ἀργίας 84
p. 504 M. καὶ ἀπραξίας | δεινῆς ἀβιώτῳ βίῳ χρήσεται· οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ὀκνῶ λέγειν, ὃ μηδὲ θέμις ὑπονοεῖν, ὅτι ἀκολουθήσει θεῷ θάνατος, εἴ γε καὶ ἠρεμία· τὸ γὰρ ἀεικίνητον ἐὰν ἀνέλῃς ψυχῆς, καὶ αὐτὴν πάντως συνανελεῖς· ψυχὴ δὲ τοῦ κόσμου κατὰ τοὺς ἀντιδοξοῦντας ὁ θεός.

(17.) Ἐκεῖνο δ' οὐκ ἀνάξιον διαπορῆσαι, τίνα τρόπον ἔσται παλιγγενεσία, πάντων εἰς πῦρ ἀναλυθέντων· ἐξαναλωθείσης γὰρ τῆς οὐσίας ὑπὸ πυρός, ἀνάγκη καὶ τὸ πῦρ οὐκέτ' ἔχον τροφὴν ἀποσβεσθῆναι. μένοντος μὲν οὖν, ὁ σπερματικὸς τῆς διακοσμήσεως ἐσῴζετ' ⟨ἂν⟩ λόγος, ἀναιρεθέντος δὲ συνανῄρηται. τὸ δ' ἐστὶν ἔκθεσμον καὶ ἀσέβημα ἤδη διπλοῦν, μὴ μόνον φθορὰν τοῦ κόσμου κατηγορεῖν ἀλλὰ καὶ παλιγγενεσίαν ἀναιρεῖν, ὥσπερ ἐν ἀκοσμίᾳ καὶ ἀπραξίᾳ καὶ τοῖς πλημμελέσι πᾶσι χαίροντος θεοῦ. τὸν δὲ λόγον ἀκριβέστερον ὧδε διερευνητέον· πυρὸς τριττὸν εἶδος· τὸ 85 86
μὲν ἄνθραξ, τὸ δὲ φλόξ, τὸ δὲ αὐγή. ἄνθραξ μὲν οὖν ἐστι πῦρ ἐν οὐσίᾳ γεώδει, ὃ τρόπον ἕξεως πνευματικῆς πεφώλευκε καὶ ἐλλοχᾷ δι' ὅλης ἄχρι περάτων τεταμένον· φλὸξ δέ ἐστιν ὅπερ ἐκ τροφῆς αἴρεται μετεωριζόμενον· αὐγὴ δὲ τὸ ἀποστελλόμενον ἐκ φλογός, συνεργὸν ὀφθαλμοῖς εἰς τὴν τῶν ὁρατῶν ἀντίληψιν. μέσην δὲ χώραν αὐγῆς τε καὶ ἄνθρακος εἴληχε φλόξ· σβεσθεῖσα μὲν γὰρ εἰς ἄνθρακα τελευτᾷ, ζωπυρουμένη δ' ἔχει φέγγος, ὃ τὴν καυστικὴν ἀφῃρημένον δύναμιν ἀστράπτει. εἰ κατὰ τὴν ἐκπύρωσιν οὖν τὸν κόσμον ἀναλύεσθαι φαῖμεν, ἄνθραξ μὲν 87
οὐκ ἂν γένοιτο, διότι παμπληθὲς ὑπολείψεται τοῦ γεώδους, ᾧ τὸ πῦρ ἐγκατειλῆφθαι συμβέβηκεν. ἀρέσκει δὲ μηδὲν τότε τῶν ἄλλων ὑφεστάναι

1 παριστάμενα H (Turn.)   3 βίῳ] βία M   4 μηδὲ] μὴ U   ὑπονοεῖν Cumont coll. 86, 8. 95, 14: εἰπεῖν codd.   5 αὐτὴν MU: αὐτὸ HP   6 ὁ ante θεός om. U   7 οὐκ ἀνάξιον Bernays: οὐκ ἄξιον codd., ἄξιον E   διαπορίσαι M
υ
8 ἀναλωθέντων U   ἐξαναλωθείσης HPE: ἐξαναλυθείσης MU   10 τῇ διακοσμήσει Turn.   ἐσῴζετ' ἂν Diels: ἐσώζετο codd.   ἐσώζετο λόγος τῆς διακοσμήσεως transp. E   ἀναιρεθέντος MHP: ἀναλυθέντος UE   11 τὸ δέ ἐστιν H
13 ὥσπερ ἐν M: ἐν om. UHPE; ὥσπερ ἂν coni. Buecheler   14 ὧδε] ἤδη H (Turn.)
15 ἐστιν H   16 οὐσίᾳ om. UE   ὃ] ὂν E   πεφόλευκε H
17 τετταμένον (sic) H   19 τῶν om. L (Turn.)   τε om. U   20 σβεθεῖσα U   21 καυτικὴν P   22 φαῖμεν Buecheler: φῶμεν codd. (φαμὲν U[1])
23 ὑπολείψεται v (Turn.): ὑπολήψεται codd.   τοῦ γεώδους] τὸ γεῶδες coni. Mang.
ᾧ] ὡς UE   24 ἐγκατειλῆφθαι E: ἐγκατειλεῖσθαι MUH, ἐγκαταλελεῖσθαι ut vid. P
συμβέβηκε M

5 Plat. Phaedr. 245c ψυχὴ πᾶσα ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον.   6 κατὰ τοὺς ἀντιδοξοῦντας: cf. Zeller, Philos. d. Griech. III 1^{3}, 554 sq.

σωμάτων, ἀλλὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα εἰς ἄκρατον πῦρ ἀναλελύσθαι.
88 καὶ μὴν οὐδὲ φλόξ· ἅμμα γὰρ τροφῆς ἐστι, μηδενὸς δὲ καταλειφθέντος,
ἀτροφήσασα αὐτίκα ἀποσβεσθήσεται. τούτοις ἕπεται τὸ μηδ᾿ αὐγὴν
ἀποτελεῖσθαι· καθ᾿ ἑαυτὴν γὰρ ὑπόστασιν οὐκ ἔχει, ῥεῖ δὲ ἀπὸ τῶν
προτέρων, ἄνθρακος καὶ φλογός, ἀφ᾿ οὗ μὲν ἐλάττων, πολλὴ δ᾿ ἀπὸ
φλογός· χεῖται γὰρ ἐπὶ μήκιστον· ἐκείνων δ᾿, ὡς ἐδείχθη, κατὰ τὴν
ἐκπύρωσιν οὐκ ὄντων, οὐδ᾿ ἂν αὐγὴ γένοιτο· καὶ γὰρ ἡ μεθημερινὴ
πολλὴ καὶ βαθεῖα αὐγή, τὸν ὑπὸ γῆς ἡλίου δρόμον ἰόντος, εὐθὺς ἀφανί-
ζεται νυκτὶ καὶ μάλιστα ἀσελήνῳ. | οὐ τοίνυν ἐκπυροῦται ὁ κόσμος, ἀλλ᾿ p. 505 M.
ἔστιν ἄφθαρτος· εἰ δ᾿ ἐκπυρωθήσεται, ἕτερος οὐκ ἂν γένοιτο.
89 (18.) Διὸ καί τινες τῶν ἀπὸ τῆς Στοᾶς ὀξυδερκέστερον ἐκ μακροῦ
θεασάμενοι τὸν ἐπιφερόμενον ἔλεγχον ἠξίωσαν ὥσπερ θανατῶντι κεφαλαίῳ
βοηθήματα προευτρεπίζεσθαι· τὰ δ᾿ οὐδὲν ἦν ὄφελος. ἐπειδὴ γὰρ αἴτιον
κινήσεώς ἐστι τὸ πῦρ, κίνησις δὲ γενέσεως ἀρχή, γενέσθαι δ᾿ ἄνευ κινή-
σεως ὁτιοῦν ἀδύνατον, ἔφασαν ὅτι μετὰ τὴν ἐκπύρωσιν, ἐπειδὰν ὁ νέος
κόσμος μέλλῃ δημιουργεῖσθαι, σύμπαν μὲν τὸ πῦρ οὐ σβέννυται, ποσὴ
δέ τις αὐτοῦ μοῖρα ὑπολείπεται· πάνυ γὰρ ηὐλαβήθησαν, μὴ σβεσθέντος
ἀθρόου μείνῃ τὰ πάντα ἠσυχάσαντα ἀδιακόσμητα, τοῦ τῆς κινήσεως
90 αἰτίου μηκέτ᾿ ὄντος. εὑρεσιλογούντων δὲ πλάσματα ταῦτ᾿ ἐστὶ καὶ κατὰ
τῆς ἀληθείας τεχναζόντων. τί δήποτε; ὅτι τὸν κόσμον ἐκπυρωθέντα
γενέσθαι μὲν ἄνθρακι παραπλήσιον ἀμήχανον, ὡς δέδεικται, γεώδους
πολλῆς ἂν ὑπολειφθείσης οὐσίας, ᾗ δεήσει τὸ πῦρ ἐλλοχᾶν, ἴσως δ᾿ οὐδ᾿
ἐκπυρώσεως τότε κρατούσης, εἴ γε μένει τὸ στοιχείων βαρύτατον καὶ
δυσαναλωτότατον ἔτι, γῆ μὴ διαλυθεῖσα, μεταβάλλειν δὲ ἢ εἰς φλόγα ἢ

1 ἀναλύεσθαι E 2 ἅμμα PE, ἄμμα U: ἅμα MH (v) τροφῆς codd.: τροφή Turn., τροφῇ Mang. δὲ] γὰρ M 3 ἀτροφήσασα MUE: ἀτροφήσας HP; ἀτροφήσασ᾿ Cumont, ἀτροφήσει Turn. ἕπεται] ἔπεσται U 4 ῥεῖ δὲ MU: ῥεῖ δ᾿ HPE 5 ἀφ᾿ οὗ — φλογός (6) om. M ἐλάττων U²HP: ἔλαττον U¹E πολλὴ] πολὺ E 6 χεῖται γὰρ ἐπὶ μήκιστον om. E 7 καὶ γὰρ — 101, 13 καὶ αὐγὴ φλογί om. E ἡ μεθημερινὴ] ἡμερινὴ U 8 πολλὴ καὶ] πολληκὴ M 9 μάλιστα MU: μάλιστ᾿ HP 11 τινες] τινος M μακροῦ] πολλοῦ M (Bernays) 12 θανατῶντι] θανόντι L (v) 13 εὐτρεπίζεσθαι M (Bernays) οὐδὲν MU: οὐδ᾿ HP (Turn.) ὄφελος ἦν transp. U 14 γενέσεως] γενήσεως M 15 μετὰ] κατὰ coni. Mang. 16 μέλλει HP ποση MH 18 μείνῃ codd.: μένῃ v (Turn.) 19 εὑρεσιλογούντων UP: εὑρησιλογούντων MH 21 ἀμήχανον] ἀδύνατον U 22 ἂν ὑπολειφθείσης Buecheler: ἀνθυπολειφθείσης codd. (ἀνθ᾿ ὑπολειφθείσης P); ἂν ἀνθυπολειφθείσης Cumont οὐσίας] οὐσίους H οὐδ᾿ U (coni. Buecheler): οὐκ MHP 23 στοιχείων MU: στοιχεῖον HP 24 δυσαναλωτότατον MU: δυσαναλώτατον HP (v) μεταβάλλ (sic) M

24 sqq. Cleanthis frg. 711, Chrysippi frg. 611 (Arnim).

εἰς αὐγὴν ἀναγκαῖον, εἰς μὲν φλόγα, ὡς ᾤετο Κλεάνθης, εἰς δ' αὐγήν,
ὡς ὁ Χρύσιππος. ἀλλ' εἴ γε φλὸξ γίνεται, τραπομένη πρὸς σβέσιν ἅπαξ 91
οὐκ ἐκ μέρους ἀλλ' ἀθρόα σβεσθήσεται· συνυπάρχει γὰρ τῇ τροφῇ· διὸ
πολλῆς μὲν οὔσης ἐπιδίδωσι καὶ χεῖται, στελλομένης δὲ μειοῦται. τεκ-
μηριώσαιτο δ' ἄν τις ἀπὸ τῶν παρ' ἡμῖν τὸ γινόμενον· ὁ λύχνος, ἕως
μέν τις ἔλαιον ἄρδει, περιφεγγεστάτην δίδωσι φλόγα, ἐπειδὰν δ' ἐπίσχῃ,
δαπανήσας ὅσον τῆς τροφῆς λείψανον αὐτίκα κατεσβέσθη, μηδὲν μέρος
ταμιευσάμενος τῆς φλογός. εἰ δὲ μὴ τοῦτο ἀλλ' αὐγὴ γίνεται, πάλιν 92
ἀθρόα μεταβάλλει. διὰ τί; ὅτι ὑπόστασιν ἰδίαν οὐκ ἔχει, γεννᾶται δ'
ἐκ φλογός, ἧς ὅλης δι' ὅλων σβέσιν λαμβανούσης, ἀνάγκη καὶ τὴν αὐγὴν
μὴ κατὰ μέρος ἀλλ' ἀθρόαν ἀναιρεῖσθαι· ὃ γὰρ πρὸς τροφὴν φλόξ,
τοῦτο αὐγὴ πρὸς φλόγα· καθάπερ οὖν τροφῇ συναναιρεῖται φλόξ, καὶ
αὐγὴ φλογί. ὥστ' ἀμήχανον παλιγγενεσίαν τὸν κόσμον λαβεῖν, μηδενὸς 93
ἐντυφομένου σπερματικοῦ λόγου, πάντων δὲ δαπανηθέντων, τῶν μὲν
ἄλλων ὑπὸ πυρός, αὐτοῦ δ' ὑπ' ἐνδείας. ἐξ ὧν ἐστι δῆλον, ὅτι ἀγένητος
καὶ ἄφθαρτος ὢν διατελεῖ.

(19.) Φέρε δ' οὖν, ὥς φησιν ὁ Χρύσιππος, τὸ ἀναστοιχειῶσαν 94
τὴν διακόσμησιν εἰς αὐτὸ πῦρ τοῦ μέλλοντος ἀποτελεῖσθαι κόσμου σπέρμα
εἶναι καὶ ὧν ἐπ' αὐτῷ πεφιλοσόφηκε μηδὲν ἐψεῦσθαι, πρῶτον μὲν ὅτι

2 εἴ γε Mang. (et ipse conieci): εἴτε codd. ἅπαξ] ἅπερ M 3 ἀλλ' ἀθρόα v (Turn.): ἀλλὰ λάθρα codd. συνυπάρχῃ M τῇ τροφῇ Mang.: ἡ τροφὴ codd. 4 πολῆς (sic) U στελλομένης UH et ut vid. P: συστελλομένης M 4. 5 τεκμηριώσαντο H(P?) 5 ἕως M: ὡς UH et ut vid. P (v) 6 δίδωσι MU: ἀποδίδωσι HP (v) δ' om. HP 7 κατεσβέσθη M: κατέσβη U, ἔσβη ut vid. P, κατέσβησε H (κατέσβεσε Turn.) μηδὲ μέρος U 8 ταμιεσάμενος ut vid. U 9 ὅτι] διότι H ὑπόστησιν H ἰδίαν om. H (om. Turn.) γεννᾶ τε δ' M 11 ὃ γὰρ] ἡ γὰρ H 12 τροφῇ UP: τροφὴ M, τροφῆς H συναναιρεῖται UP: συνανῃρεῖτο (η ex αι corr.) M, συνανῃρεῖ τὲ H 13 αὐγῇ M ὥστε P 13. 14 μηδενὸς ⟨μὲν⟩ ἐντυφομένου fortasse scribendum putavit Cumont 14 ἐντυφωμένου H (ἐντετυφωμένου Turn.) πάντων — ἐνδείας (15) om. E 15 δηλονότι H ἀγένητος E: ἀγέννητος MUHP 17 φέρε δ' οὖν — 104, 13 ἀκολουθίαν πραγμάτων ἐκλογίζεσθαι om. E φέρε MU: φέρει HP (Turn.) φησιν ὁ χρύσιππος MU: φησι χρύσιππος HP (v) 18 αὐτὸ v (Turn.): αὐτὸ codd. 19 πεφιλοσόφηκεν M

17 Chrysippi frg. 618 (Arnim). 18 Doxogr. p. 468ª 25 (Arius Didymus) ἀρέσκει γὰρ τοῖς Στωικοῖς φιλοσόφοις τὴν ὅλην οὐσίαν εἰς πῦρ μεταβάλλειν οἷον εἰς σπέρμα, καὶ πάλιν ἐκ τούτου αὐτὴν ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα τὸ πρότερον ἦν. καὶ τοῦτο τὸ δόγμα τῶν ἀπὸ τῆς αἱρέσεως οἱ πρῶτοι καὶ πρεσβύτατοι προσήκαντο, Ζήνων τε καὶ Κλεάνθης καὶ Χρύσιππος. Zen. frg. 107, Cleanth. frg. 512, Chrys. frg. 596 (Arnim).

καὶ ἐκ | σπέρματος ἡ γένεσις καὶ εἰς σπέρμα ἡ ἀνάλυσις, ἔπειτα δ' ὅτι p. 506 M.
φυσιολογεῖται ὁ κόσμος καὶ φύσις λογική, οὐ μόνον ἔμψυχος ὢν ἀλλὰ
καὶ νοερός, πρὸς δὲ καὶ φρόνιμος, ἐκ τούτων τοὐναντίον οὗ βούλεται
95 κατασκευάζεται, τὸ μηδέποτε φθαρήσεσθαι. αἱ δὲ πίστεις προχειρόταται
τοῖς συνεξετάζειν μὴ ἀποκνοῦσιν. οὐκοῦν ὁ κόσμος ἢ φυτόν, ⟨ὡς⟩ ἔοικεν,
ἢ ζῷον· ἀλλ' εἴτε φυτόν ἐστιν εἴτε καὶ ζῷον, κατὰ τὴν ἐκπύρωσιν
φθαρεὶς οὐδέποτε αὐτὸς αὑτοῦ γενήσεται σπέρμα. μαρτυρεῖ δὲ τὰ παρ'
ἡμῖν, ὧν οὐδὲν οὐκ ἔλαττον οὐ μεῖζόν ποτε φθαρὲν εἰς σπέρματος ἀπε-
96 κρίθη γένεσιν. οὐχ ὁρᾷς ὅσαι μὲν ἡμέρων φυτῶν ὗλαι, ὅσαι δὲ ἀγρίων
κατὰ πᾶν μέρος τῆς γῆς ἀνακέχυνται; τούτων τῶν δένδρων ἕκαστον,
ἄχρι μὲν ὑγιαίνει τὸ στέλεχος, ἅμα τῷ καρπῷ καὶ τὸ ὄχευμα τίκτει,
ἥκει δὲ χρόνων ἀφαυανθὲν ⟨ἢ⟩ καὶ ἄλλως αὐταῖς ῥίζαις φθαρὲν οὐδέ-
97 ποτε τὴν ἀνάλυσιν εἰς σπέρμα ἔλαβεν. τὸν αὐτὸν μέντοι τρόπον καὶ τὰ
γένη τῶν ζῴων, ἃ μηδὲ εἰπεῖν διὰ πλῆθος ῥᾴδιον, ἄχρι μὲν περίεστι
καὶ ἡβᾷ, σπέρμα προΐεται γόνιμον, τελευτήσαντα δ' οὐδαμῇ οὐδαμῶς
γίνεται σπέρμα· καὶ γὰρ εὔηθες ἄνθρωπον ζῶντα μὲν ὀγδόῳ μέρει
ψυχῆς, ὃ καλεῖται γόνιμον, πρὸς τὴν τοῦ ὁμοίου σπορὰν χρῆσθαι, τελευ-
98 τήσαντα δὲ ὅλῳ ἑαυτῷ· θάνατος γὰρ οὔτι ζωῆς ἀνυσιμώτερος. ἄλλως
τε τῶν ὄντων οὐδὲν ἐκ μόνου σπέρματος δίχα τῆς οἰκείας τροφῆς ἀποτε-
λεῖται· σπέρμα γὰρ ἔοικεν ἀρχῇ, ἀρχὴ δὲ καθ' αὑτὴν οὐ τελειογονεῖ.
μὴ γὰρ αὖ νομίσῃς τὸν στάχυν ἐκ μόνου τοῦ καταβληθέντος ὑπὸ γεωρ-

1 ἀνάλωσις M 5 φυτόν, ὡς ἔοικεν Diels: φυτῷ ἔοικεν codd. 6 ἢ ζῷον M: ἢ ζώω UP, ἢ κόσμω H καὶ post εἴτε om. U 8 σπέρματος MU: σώματος HP (Turn.) 9 γέννησιν L (Turn.) ἡμέρων HP: ἡμερῶν U, ἡμέραι M 10 τῆς ante γῆς om. Turn. 11 τὸ ὄχευμα Bernays: τὸ ὄχημα UHP, τῷ ὄχημα M; τὸ σπέρμα coni. Mang. 12 ἀφαυανθὲν Mang.: ἀφ . . ανθὲν M, ἀφααυθὲν U, ἀφανισθὲν HP ἢ add. Cumont 13 εἰς σπέρματα U ἔλαβε v 15 τελευτήσει U οὐδαμῶς οὐδαμῶς U 16 σπέρμα] σπόριμα coni. Mang. 17 τῆς ψυχῆς U 17. 18 τελευτήσαντα UP: τελευτῆσαν MH (Turn.) 18 ὅλῳ v (Turn.): ὅλον codd. (Cumont) οὔτι ζωῆς MU: ζωῆς οὔτι HP (v) ἄλλως] ὅλως coni. Diels 20 ἀρχῇ] ἡ ἀρχή U καθ' αὑτὴν MHP: καθ' ἑαυτὴν U (v) 21 αὖ] σὺ coni. Mang.

1 Ocell. Luc. I 13 ... οἱ δὲ καρποὶ καὶ τὰ πλεῖστα τῶν ῥιζοφύτων ἀπὸ σπερμάτων ἀνέλαβον τὴν ἀρχὴν τῆς γενέσεως, καρπωθέντα δὲ καὶ τελεσφορήσαντα πάλιν ἐπὶ τὸ σπέρμα τὴν ἀνάλυσιν ποιεῖται. 2 sq. Diog. La. VII 142 ... ὅτι δὲ καὶ ζῷον ὁ κόσμος καὶ λογικὸν καὶ ἔμψυχον καὶ νοερόν, καὶ Χρύσιππός φησιν ἐν πρώτῳ Περὶ προνοίας καὶ Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ καὶ Ποσειδώνιος (Chrysippi frg. 633 Arnim).
16 cf. Doxogr. p. 390, 5. 410, 25. Diog. La. VII 157.

γῶν εἰς τὰς ἀρούρας βλαστάνειν πυροῦ, τὸ δὲ πλεῖστον εἰς αὔξησιν αὐτοῦ
συνεργεῖν ὑγράν τε καὶ ξηρὰν διττὴν ἐκ γῆς τροφήν· καὶ τὰ ἐν μήτραις
μέντοι διαπλαττόμενα πέφυκεν οὐκ ἐκ μόνου ζῳογονεῖσθαι σπέρματος
ἀλλὰ καὶ τῆς ἔξωθεν ἀρδομένης τροφῆς, ἣν ἡ κύουσα προσφέρεται. πρὸς 99
δὴ τί ταῦτα λέγω; ὅτι κατὰ τὴν ἐκπύρωσιν σπέρμα μόνον ὑπολειφθήσε-
ται, τροφῆς μὴ ὑπαρχούσης, ἁπάντων ὅσα τρέφειν ἔμελλεν εἰς πῦρ
ἀναλυθέντων, ὥσθ' ὁ κατὰ τὴν παλιγγενεσίαν ἀποτελούμενος κόσμος
χωλὴν καὶ ἀτελῆ γένεσιν ἕξει, τοῦ μάλιστα πρὸς τελείωσιν συνεργοῦντος,
ᾧ καθάπερ βάκτρῳ τινὶ τὴν σπερματικὴν ἀρχὴν ἐφιδρύεσθαι συμβέβηκεν,
ἐφθαρμένου. τοῦτο δ' ἦν ἄτοπον ἐξ αὐτῆς ἐλεγχόμενον τῆς ἐναργείας.
ἔτι τοίνυν ὅσα λαμβάνει τὴν γένεσιν ἐκ σπέρματος, μείζονα τὸν ὄγκον 100
ἐστὶ τοῦ πεποιηκότος καὶ ἐν τόπῳ μείζονι θεωρεῖται· δένδρα γοῦν οὐρανο-
μήκη πολλάκις ἀναβλαστάνει ἐκ βραχυτάτης κέγχρου καὶ ζῷα πιότατα
καὶ περιμηκέστατα ἐξ ὀλίγου τοῦ προεθέντος ὑγροῦ. ἀλλὰ καὶ τὸ μικρῷ
p.507 M. πρότερον εἰρημένον | συμβαίνει, κατὰ μὲν τὸν γειτνιῶντα τῇ γενέσει χρόνον
βραχύτερα τὰ γεννηθέντα εἶναι, μεγεθύνεσθαι δ' αὖθις ἄχρι παντελοῦς
τελειώσεως. ἐπὶ δὲ τοῦ παντὸς γενήσεται τοὐναντίον· τὸ μὲν γὰρ σπέρμα 101
καὶ μεῖζον ἔσται καὶ πλείονα τόπον ἐφέξει, τὸ δ' ἀποτέλεσμα βραχύτε-
ρον καὶ ἐν ἐλάττονι φανεῖται τόπῳ, καὶ ὁ κόσμος ἐκ σπέρματος συνιστά-
μενος οὐκ ἐκ τοῦ κατ' ὀλίγον ἐπιδώσει πρὸς αὔξησιν, ἀλλ' ἔμπαλιν ἐξ
ὄγκου μείζονος εἰς ἐλάττονα συναιρεθήσεται. τὸ δὲ λεγόμενον ῥᾴδιον 102
συνιδεῖν· ἅπαν σῶμα ἀναλυόμενον εἰς πῦρ ἀναλύεταί τε καὶ χεῖται, σβεννυ-
μένης δὲ τῆς ἐν αὐτῷ φλογός, στέλλεται καὶ συνάγεται· πίστεων δὲ τοῖς
οὕτως ἐμφανέσι πρὸς μαρτυρίαν ὡς ἀδηλουμένοις οὐδεμία χρεία. καὶ

1 δὲ] δὴ Buecheler (Cumont) αὐτοῦ Mang.: αὐτῶν codd.; αὐτῷ Bernays (Cumont) 2 διττὴν] δεῖ τὴν Buecheler (Cumont) 4 καὶ] κἀκ Diels (Cumont) ἣν bis scripsit M 5 δὴ] δὲ coni. Mang. λέγων HP 7 ἀναλωθέντων coni. Buecheler 8 χωλὴν HP: χολὴν U, σχ. λὴν M; κωφὴν coni. Mang. ἀτελῆ καὶ transp. U 9 ᾧ HP: ὡς MU ἐφιδρύεσθαι H (et ut vid. P): ἐφυδρίεσθαι M, ἐφιδρύσθαι U 10 αὐτῆς U: ἑαυτῆς MHP ἐναργείας Mang.: ἐνεργείας codd. 11 ἔτι MP: ἔτι ex ἔστι corr. U, ἔστι H 13. 14 περιμηκέστατα καὶ πιότατα transp. U 15 τὸν ante γειτνιῶντα om. M 16 γενηθέντα M 18 ἐφέξει P: ὑφέξει MUH 21 συναναιρεθήσεται M; συναχθήσεται coni. Mang. 22 ἀναλύεται corruptum; ἐλαύνεται conicio (cf. 104, 6 ἐλάσεως); διαλύεται Bernays, ἀναδίδοται coni. Diels τε om. H (v) 23 πίστεων H: πίστεως P, πιστέον M, πειστέον U 24 οὕτως] οὗ M

17 sq. Plut. de commun. notit. 35 p. 1077 a ἀλλὰ τῶν φυσικωτέρων λεγομένων ἆρ' οὐ παρὰ τὴν ἔννοιάν ἐστι σπέρμα πλέον εἶναι καὶ μεῖζον ἢ τὸ γεννώμενον ἐξ αὐτοῦ;

μὴν ὁ κόσμος ὁ πυρωθεὶς γενήσεται μείζων, ἅτε συμπάσης τῆς οὐσίας εἰς τὸν λεπτότατον ἀναλυθείσης αἰθέρα. ὃ μοι δοκοῦσι καὶ οἱ Στωικοὶ προϊδόμενοι κενὸν ἄπειρον ἐκτὸς τοῦ κόσμου τῷ λόγῳ καταλιπεῖν, ἵν', ἐπειδὴ χύσιν ἀπέραντόν τινα ἔμελλε λήψεσθαι, μὴ ἀπορῇ τοῦ δεξο-
103 μένου χωρίου τὴν ἀνάχυσιν. ὅτε μὲν οὖν εἰς τοσοῦτον ἐπιδέδωκε καὶ συνηύξηται, ὡς μονονουχὶ τῇ ἀορίστῳ τοῦ κενοῦ φύσει τῷ τῆς ἐλάσεως ἀπειρομεγέθει συνδραμεῖν, σπέρματος ἔχει καὶ τοῦτο λόγον, ὅτε δὲ κατὰ τὴν παλιγγενεσίαν ἐκ τελείων τῶν μερῶν τῆς συμπάσης οὐσίας * * *, στελλομένου μὲν κατὰ τὴν σβέσιν τοῦ πυρὸς εἰς παχὺν ἀέρα, στελλομένου δ' ἀέρος εἰς ὕδωρ καὶ συνίζοντος, παχυνομένου δ' ἔτι μᾶλλον ὕδατος κατὰ τὴν εἰς γῆν, τὸ πυκνότατον τῶν στοιχείων, μεταβολήν. ἔστι δὲ ταῦτα παρὰ τὰς κοινὰς ἐννοίας τῶν δυναμένων ἀκολουθίαν πραγμάτων ἐκλογίζεσθαι.

104 (20.) Δίχα τοίνυν τῶν εἰρημένων κἀκείνῳ χρήσαιτ' ἄν τις εἰς πίστιν, ὃ καὶ τοὺς μὴ πέρα τοῦ μετρίου φιλονεικεῖν αἱρουμένους ἐπισπάσεται. τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον τὸ μὲν εἶναι, τὸ δὲ μή· λευκοῦ γὰρ ὄντος ἀνάγκη καὶ μέλαν ὑπάρχειν καὶ μεγάλου βραχὺ καὶ περιττοῦ ἄρτιον καὶ γλυκέος πικρὸν καὶ ἡμέρας νύκτα καὶ ὅσα τούτοις ὁμοιότροπα. γενομένης δ' ἐκπυρώσεως, ἀδύνατόν τι συμβήσεται· τὸ μὲν γὰρ ἕτερον ὑπάρξει τῶν ἐν ταῖς συζυγίαις, τὸ δὲ ἕτερον οὐκ ἔσται.

3 προϊδόμενοι M: προειδόμενοι UHP (v) 4 ἀπορῇ UP: ἀπορρῇ H, ἀπορεῖν M 5 ὅτε H: ὅτι MUP τοσοῦτο U 6 μονονουχὶ M: μονονουχὶ καὶ UHP (v) ἐλάσεως] ἐλα . . . (spat. 3—4 litt.) M 7 ἀπειρομεγέθει codd.: ἀπείρῳ μεγέθει v ἔχει καὶ τοῦτο M: ἔχει καὶ τοὺς H (ἔχει κατ' αὐτοὺς v), oblitt. in P, τοὺς (om. ἔχει καὶ) U καὶ τοῦτο] κἀν τούτῳ conicio, κατὰ τοῦτο coni. Wendl. ὅτε δὲ M: ὅτε δὴ HP, ὅτι δὲ U 8 παλιγγενεσίαν MU: ἐπαγγελίαν ἐσίαν P, ἐπαγγελίαν αἰσίαν H (Turn.) ἐκ τελείων τῶν μερῶν MHP: ἐκ τελείων μερῶν U; ἐκτελῆ τῶν μερῶν Mang., ἐκτελειοῦται μείων Cumont lacunam post οὐσίας indicavit Mang. (Bernays) 10 δὲ M δ' ἔτι] δέ τι H 11. 12 ἔστι δὲ] ἔστι δὴ Cumont 12 δυναμένων UHP: δυνάμεων M (v, sed Mang. corr. in adnot.) πραγμάτων Diels: πράγματος codd. 13 ἐκλογίσασθαι P 14 χρήσαιτ' M: χρήσαιτο UHPE 15 τοὺς] τοῖς M πέρα] πέραν Mang. · τοῦ μέτρου E φιλονικεῖν Cumont 18 πικρὸν] πικνὸν P 20 τὸ δ' ἕτερον E

3 Aet. Plac. I 18, 5 (Doxogr. p. 316b 11) Ζήνων καὶ οἱ ἀπ' αὐτοῦ ἐντὸς μὲν τοῦ κόσμου μηδὲν εἶναι κενόν, ἔξω δ' αὐτοῦ ἄπειρον (Zen. frg. 95 Arnim). Diog. La. VII 140 . . . ἔξωθεν δ' αὐτοῦ (τοῦ κόσμου) περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον, ὅπερ ἀσώματον εἶναι. Aet. Plac. II 9, 2 (Doxogr. p. 338, 16) οἱ Στωικοὶ (ἐκτὸς τοῦ κόσμου) εἶναι κενόν, εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται ὁ κόσμος ἄπειρος ὤν. Chrysippi frg. 535. 538. 543 Arnim).

φέρε δ' οὑτωσὶ θεασώμεθα· πάντων εἰς πῦρ ἀναλυθέντων, κοῦφον μὲν 105 ἔσται τι καὶ μανὸν καὶ θερμόν — ἴδια γὰρ πυρὸς ταῦτα —, βαρὺ δ' οὐδὲν ἢ πυκνὸν ἢ ψυχρόν, τὰ τοῖς λεχθεῖσιν ἐναντία. πῶς οὖν ἄν τις ἐπιδεῖξαι μᾶλλον τὴν πεπλεγμένην ἐκ τῆς ἐκπυρώσεως ἀκοσμίαν ἢ τὰ φύσει συνυπάρχοντα δεικνὺς ἀπαρτώμενα τῆς συζυγίας; ἡ δ' ἀλλοτρίωσις p.508 M. ἐπὶ τοσοῦτον κεχώρηκεν, ὡς τοῖς μὲν ἀιδιότητα | προσομολογεῖν, τοῖς δὲ τὸ ἀνύπαρκτον.

Ἔτι τοίνυν κἀκεῖνό μοι δοκεῖ μὴ ἀπὸ σκοποῦ τοῖς ἰχνηλατοῦσι 106 τἀληθὲς εἰρῆσθαι· φθειρόμενος ὁ κόσμος ἤτοι ὑπό τινος ἑτέρας φθαρήσεται αἰτίας ἢ ὑπὸ θεοῦ. ὑπ' ἄλλου μὲν οὐδενὸς τὸ παράπαν δέξεται διάλυσιν· οὐδὲν γάρ ἐστιν ὃ μὴ περιέχει· τὸ δὲ περιεχόμενον καὶ κατακρατούμενον ἀσθενέστερον δήπου τοῦ περιέχοντος, ὑφ' οὗ καὶ κατακρατεῖται. ὑπὸ δὲ θεοῦ φθείρεσθαι λέγειν αὐτὸν πάντων ἀνοσιώτατον· ὁ γὰρ θεὸς οὐκ ἀταξίας καὶ ἀκοσμίας καὶ φθορᾶς ἀλλὰ τάξεως καὶ εὐκοσμίας καὶ ζωῆς καὶ παντὸς αἴτιος ἀνωμολόγηται τοῦ ἀρίστου παρὰ τοῖς τἀληθῆ δοξάζουσι.

(21.) Θαυμάσαι δ' ἄν τις τοὺς τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας 107 θρυλοῦντας οὐ μόνον ἕνεκα τῶν εἰρημένων, οἷς ἀπελέγχονται ψευδοδοξοῦντες, ἀλλὰ καὶ δι' ἐκεῖνο μάλιστα. τεττάρων γὰρ ὄντων στοιχείων, ἐξ ὧν ὁ κόσμος συνέστηκε, γῆς, ὕδατος, ἀέρος, πυρός, τίνος ἕνεκα πάντων ἀποκληρωσάμενοι τὸ πῦρ τὰ ἄλλα φασὶν εἰς τοῦτο μόνον ἀναλυθήσεσθαι; δέον γάρ, εἴποι τις ἄν, — πῶς οὔκ; — εἰς ἀέρα ἢ ὕδωρ ἢ γῆν· ὑπερβάλλουσαι γὰρ καὶ ἐν τούτοις εἰσὶ δυνάμεις. ἀλλ' οὐδεὶς ἐξαεροῦσθαι ἢ ἐξυδατοῦσθαι ἢ ἀπογεοῦσθαι τὸν κόσμον εἶπεν, ὥστ' εἰκὸς ἦν μηδὲ ἐκπυροῦσθαι φάναι.

1 φέρε δὲ M πάντων γὰρ E 2 ἔσται E: ἐστι MUHP (v) τι om. UE ἴδια γὰρ E: γὰρ om. MUHP 3 πικνὸν (e πικρὸν corr.) M ψυχρὸν ἢ πυκνὸν transp. HP 4 ἐπιδεῖξαι Diels: ἐπιχῆται MUHP, ἐπισχῆται LE (ἐπισχῆται δήπου E cod. a); ἐπίσχοι v; ἐπιφῆναι conieceram, ἐπισημῆναι coni. Wendl. ἐκπυρώσεως E (Cumont): πυρώσεως MUHP (v) 5 ἀλλωτρίωσις M 6 ὡς τοῖς] αὐτοῖς L (Turn.) 9 ἑτέρας om. E 10 μὲν] δὲ E; μὲν ⟨οὖν⟩ coni. Wendl. 11. 12 κατακρατούμενον Mang. (Diels): κρατούμενον codd. 12 ἀστενέστερον P καὶ post ὑφ' οὗ seclusit Cumont 14 εὐταξίας H καὶ ante φθορᾶς om. U 15 ἀνωμολόγηται τοῦ ἀρίστου] ἀγαθοῦ ἀνωμολόγηται E παρὰ] περὶ M 16 τοῖς om. HP (v) τἀληθῆ H(P?)E: ἀληθῆ MU 17 θαυμάσαι δ' ἄν τις — 107, 5 συνηρτημένην ἀκολουθίαν om. E 18 θρυλλοῦντας U (v) 20 συνέστηκεν MU ἕνεκα codd.: ἕνεκεν v 21 τὰ ἄλλα UHP: τἄλλα M ἀναλυθήσεσθαι ex ἀναλυστήσεσθαι corr. M, ἀναληθήσεσθαι U 21. 22 δέον γάρ] δεόντως coni. Cumont: γάρ post πῶς transponendum censuit Mang. 22 εἴποι τις ἄν MU: εἰπόντες ἄν HP; εἰπέ τις ἄν Turn. ὑπερβάλλουσαι — εἶπεν (24) repet. U post θάνατον (106, 2) 24 μηδὲ HP: μηδ' U, μὴν δὲ M

108 Χρὴ μέντοι καὶ τὴν ἐνυπάρχουσαν ἰσονομίαν τῷ κόσμῳ κατανοή-
σαντας ἢ δεῖσαι ἢ αἰδεσθῆναι τοσούτου θεοῦ κατηγορεῖν θάνατον·
ὑπερβάλλουσα γάρ τις τῶν τεττάρων ἀντέκτισις δυνάμεων ἰσότητος κανόσι
109 καὶ δικαιοσύνης ὅροις σταθμωμένων τὰς ἀμοιβάς. καθάπερ γὰρ αἱ ἐτήσιοι
ὧραι κύκλον ἀμείβουσιν ἀλλήλας ἀντιπαραδεχόμεναι πρὸς τὰς ἐνιαυτῶν
οὐδέποτε ληγόντων περιόδους, [εἰς] τὸν αὐτὸν τρόπον [τίθησι] καὶ τὰ
στοιχεῖα τοῦ κόσμου ταῖς εἰς ἄλληλα μεταβολαῖς, τὸ παραδοξότατον,
θνῄσκειν δοκοῦντά ἀθανατίζεται δολιχεύοντα ἀεὶ καὶ τὴν αὐτὴν ὁδὸν ἄνω
110 καὶ κάτω συνεχῶς ἀμείβοντα. ἡ μὲν οὖν προσάντης ὁδὸς ἀπὸ γῆς
ἄρχεται· τηκομένη γὰρ εἰς ὕδωρ [μετα]λαμβάνει τὴν μεταβολήν, τὸ δ'
ὕδωρ ἐξατμιζόμενον εἰς ἀέρα, ὁ δ' ἀὴρ λεπτυνόμενος εἰς πῦρ· ἡ δὲ
κατάντης ἀπὸ κεφαλῆς, συνιζόντος μὲν πυρὸς κατὰ τὴν σβέσιν εἰς ἀέρα,
συνιζόντος δ' ὁπότε συνθλίβοιτο εἰς ὕδωρ ἀέρος, ὕδατος δὲ [τὴν πολλὴν | p. 509 M.
111 ἀνάχυσιν] κατὰ τὴν εἰς γῆν πυκνουμένου μεταβολήν. εὖ καὶ ὁ Ἡράκλειτος
ἐν οἷς φησι· „ψυχῇσι θάνατος ὕδωρ γενέσθαι, ὕδατι θάνατος γῆν γενέσθαι“·
ψυχὴν γὰρ οἰόμενος εἶναι τὸ πνεῦμα τὴν μὲν ἀέρος τελευτὴν γένεσιν
ὕδατος, τὴν δὲ ὕδατος γῆς πάλιν γένεσιν αἰνίττεται, θάνατον οὐ τὴν εἰς
ἅπαν ἀναίρεσιν ὀνομάζων, ἀλλὰ τὴν εἰς ἕτερον στοιχεῖον μεταβολήν.
112 ἀπαραβάτου δὴ καὶ συνεχοῦς τῆς αὐτοκρατοῦς ἰσονομίας ταύτης ἀεὶ

2 ἢ δεῖσαι PL: ἢ δῆσαι H, εἰδῆσαι M, αἰδεῖσθαι U θεοῦ Mang.: θείου codd. 4 αἱ] καὶ U 5 ἀλλήλας ἀντιπαραδεχόμεναι Mang.: ἀλλήλαις ἀντιπαραδέχεσθαι codd. τὰς] τοὺς M 6 εἰς seclusi; ἀεί Diels (Cumont) τίθησι seclusi; τίθεσο coni. Mang., φησί Bernays, τιθεῖσαι Buecheler, περιθέουσι Diels, περιθέει Cumont 7 post μεταβολαῖς add. καὶ Cumont 8 ἀπαθανατίζεται L (Turn.) 9 ἀμοίβοντα M προσάντις H 10 λαμβάνει scripsi: μεταλαμβάνει codd.; μεταλαμβάνει τῆς μεταβολῆς coni. Mang. τὸ δὲ U 11 ὁ δὲ U 13 συνιζόντος δὲ U συνθλίβοιτο U: συνθλίβοιντο HP, θλίβοιτο M (Bernays) 13. 14 τὴν πολλὴν ἀνάχυσιν seclusi; τῇ πολλῇ ἀναχύσει Bernays, ⟨κατὰ⟩ τὴν πολλὴν ἀνάχυσιν (deleto μεταβολήν) Buecheler 14 πυκνουμένου v (Turn.): πυκνουμένην MHP, πηγνυμένου U 15 ψυχῇσι UHP: ψυχῆς M (Mang. Bernays) ὕδατι—γενέσθαι om. U ὕδατι HP: ὕδατος M (Mang. Bernays) 17 τὴν δὲ MP: τὴν δ' UH πάλιν γένεσιν] παλιγγενεσίαν U 17. 18 verba εἰς ἅπαν ἀναίρεσιν ὀνομάζων ἀλλὰ τὴν bis scripsit H εἰς ἅπασαν H priore loco 19 ἀπαραβάτου Mang.: ἀπαραβλήτου UP, ἀπαραβλήτους H, ἀπεριβλήτου M

4 sqq. Ocell. Luc. I 12 ... τὰ μὲν γὰρ πρῶτα κινούμενα κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως κύκλον ἀμείβοντα, διέξοδον οὐκ ἐπιδεχόμενα τῆς οὐσίας· τὰ δὲ δεύτερα, πῦρ καὶ ὕδωρ καὶ γῆ καὶ ἀήρ, ὅρον ἀμείβουσιν ἐφεξῆς καὶ συνεχῶς, οὐ μὴν τὸν κατὰ τόπον, ἀλλὰ τὸν κατὰ μεταβολήν. (13) πῦρ μὲν γὰρ εἰς ἓν συνερχόμενον ἀέρα ἀπογεννᾷ, ἀὴρ δὲ ὕδωρ, ὕδωρ δὲ γῆν· ἀπὸ γῆς δὲ ἡ αὐτὴ περίοδος τῆς μεταβολῆς μέχρι πυρός, ὅθεν ἤρξατο μεταβάλλειν.
14 Heracl. frg. 36 (Diels).

φυλαττομένης, ὥσπερ οὐκ εἰκὸς μόνον ἀλλὰ καὶ ἀναγκαῖον, ἐπεὶ τὸ μὲν
ἄνισον ἄδικον, τὸ δ᾽ ἄδικον κακίας ἔγγονον, κακία δ᾽ ἐξ οἴκου τῆς ἀθα-
νασίας πεφυγάδευται, θεῖον δέ τι ⟨διὰ τὸ⟩ μέγεθος ὁ κόσμος καὶ οἶκος
θεῶν αἰσθητῶν ἀποδέδεικται, τὸ δὴ φάσκειν ὅτι φθείρεται μὴ συνορώντων
ἐστὶ φύσεως εἱρμὸν καὶ πραγμάτων συνηρτημένην ἀκολουθίαν.

(22.) Προσφιλοτεχνοῦντες δέ τινες τῶν ἀίδιον ὑπολαμβανόντων τὸν 113
κόσμον εἶναι καὶ τοιούτῳ πρὸς κατασκευὴν λόγῳ χρῶνται· φθορᾶς τέτταρας
εἶναι τρόπους τοὺς ἀνωτάτω συμβέβηκε, πρόσθεσιν ἀφαίρεσιν μετάθεσιν
ἀλλοίωσιν. δυὰς μὲν οὖν προσθέσει μονάδος εἰς τριάδα φθείρεται μηκέτι
μένουσα δυάς, τετρὰς δ᾽ ἀφαιρέσει μονάδος εἰς τριάδα, μεταθέσει δὲ
τὸ Ι στοιχεῖον εἰς Η, ὅταν αἱ μὲν ἐγκάρσιοι παράλληλοι πρὸς ὀρθὰς διανα-
στῶσιν, ἡ δὲ πρὸς ὀρθὰς ἐπεζευγμένη πλαγιασθεῖσα συνάψῃ τὰς παρ᾽
ἑκάτερα, κατ᾽ ἀλλοίωσιν δὲ μεταβάλλων οἶνος εἰς ὄξος. τῶν δὲ κατει- 114
λεγμένων τρόπων οὐδεὶς ἐφάπτεται τοῦ κόσμου τὸ παράπαν. ἐπεὶ καὶ
τί φῶμεν; προστίθεσθαί τι τῷ κόσμῳ πρὸς ἀναίρεσιν; ἀλλ᾽ οὐδέν ἐστιν
ἐκτός, ὃ μὴ μέρος γέγονεν αὐτοῦ ⟨τοῦ⟩ ὅλου· περιέχεται γὰρ καὶ καταχρα-
τεῖται. ἀλλ᾽ ἀφαιρεῖσθαι; πρῶτον μὲν τὸ ἀφαιρεθὲν πάλιν κόσμος ἔσται,
τοῦ νῦν βραχύτερος· ἔπειτα ⟨δ᾽⟩ ἀμήχανον ἔξω τι σῶμα τοῦ ὅλου
διαρτηθὲν τῆς συμφυίας σκεδασθῆναι. ἀλλὰ τὰ μέρη μετατίθεσθαι; 115
μενεῖ μὲν οὖν ἐν ὁμοίῳ τοὺς τόπους οὐκ ἐναλλάττοντα· οὐ γὰρ ἐπο-
χήσεταί ποτε οὔτε ὕδατι πᾶσα γῆ οὔθ᾽ ὕδωρ ἀέρι οὔτε ἀὴρ πυρί, ἀλλὰ

2 τὸ δὲ HP 3 θεῖον δέ τι διὰ τὸ μέγεθος scripsi: θεῖον δέ τι μέγεθος codd.; θεῖον δέ τι τέμενος Bernays, θεῖον δέ τι μέγαρον Buecheler, θεῖος δὲ τὸ μέγεθος coni. Cumont, θεῖον δέ τι, ⟨μᾶλλον δὲ⟩ μέγας θεὸς coni. Wendl. 4 θεῶν Mang.: θεοῦ codd. τὸ δὴ Bernays: τὸ δὲ codd. φθείρ... (spat. 2—3 litt.) M 8 τρόπους] τόπους M συμβέβηκεν M πρόθεσιν U 9 ἀλοίωσιν H, καὶ ἀλλοίωσιν E προθέσει U 11 τὸ Ι Cumont: τὸ ζ HPE, τὸ ζῆτα U, τοῦ ζῆτα M εἰς Η Cumont: εἰς η̅ HPE, εἰς ἦτα MU, καὶ τὸ η̅ L (Turn. in textu); οὕτω τὸ ξ στοιχεῖον παρὰ τοῖς ἀρχαίοις ἐτυπώθη mg H αἱ om. H παράλληλοι HPE: παραλλήλαις M, παραλλήλους U 12. 13 παρ᾽ ἑκάτερον M 13 μεταβάλλον U 15 προστίθεσθαι v (Turn.): προστίθεται MUHP, προστιθέναι E 16 αὐτοῦ τοῦ ὅλου scripsi: αὐτοῦ ὅλου codd. (v); αὖ τοῦ ὅλου coni. Mang., αὐτοῦ ὅλον Bernays, αὐτοῦ· ὅλον Cumont; fortasse ὅλου tamquam glossema secludendum καὶ κρατεῖται HP (Turn.) 17 κόσμος πάλιν E cod. a 18 δ᾽ post ἔπειτα addidi 20 μενεῖ Bernays: μένει codd. ἐναλλάττοντα UE: ἐναλάττοντα MHP 20. 21 ἐποχηθήσεται E 21 οὔτε ὕδατι Buecheler: ἔτι ὕδατι codd. πᾶσα ἡ γῆ E οὔτ᾽ ἀὴρ U, καὶ οὗτος E

3. 4 Doxogr. p. 464, 19 (Arius Didymus) λέγεσθαι δὲ κόσμον καὶ τὸ οἰκητήριον θεῶν καὶ ἀνθρώπων.

τὰ μὲν φύσει βαρέα, γῆ καὶ ὕδωρ, τὸν μέσον ἐφέξει τόπον, γῆς μὲν
θεμελίου τρόπον ὑπερειδούσης, ὕδατος δ' ἐπιπολάζοντος, ἀὴρ δὲ καὶ πῦρ,
τὰ φύσει κοῦφα, | τὸν ἄνω, πλὴν οὐχ ὁμοίως· ἀὴρ γὰρ πυρὸς ὄχημα p.510M.
116 γέγονε, τὸ δ' ἐποχούμενον ἐξ ἀνάγκης ὑπερφέρεται. καὶ μὴν οὐδὲ κατ' ἀλλοίωσιν φθείρεσθαι νομιστέον· ἰσοκρατὴς γὰρ ἡ τῶν στοιχείων μεταβολή, τὸ δ' ἰσοκρατὲς ἀκλινοῦς βεβαιότητος καὶ ἀσαλεύτου μονῆς αἴτιον, ἅτε μήτε πλεονεκτοῦν μήτε πλεονεκτούμενον· ὥσθ' ἡ ἀντίδοσις καὶ ἡ ἀντέκτισις τῶν δυνάμεων ἀναλογίας ἐξισουμένη κανόσιν ὑγιείας καὶ ἀτελευτήτου σωτηρίας δημιουργός. ἐξ ὧν ἀίδιος ὁ κόσμος ἀποδείκνυται.
117 (23.) Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερ-
118 σαίων φθορᾶς κατὰ γένη ζῴων. κατασκευάζειν δὲ τὸ μὲν πρῶτον οὕτως· εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὸς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο, χθαμαλὰ δ' ἤδη τὰ ὄρη πάντα ἐγεγένητο καὶ οἱ γεώλοφοι πάντες ἰσόπεδοι τῇ πεδιάδι· τοσούτων γὰρ καθ' ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ ἀιδίου φερομένων, εἰκὸς ἦν τῶν διηρμένων πρὸς ὕψος τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ' ὑπονοστήσαντα κεχαλάσθαι, πάντα δὲ διὰ πάντων
119 ἤδη λελειάνθαι. νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι καὶ παμπόλλων ὀρῶν αἱ πρὸς αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ' ἐστὶ τοῦ τὴν γῆν μὴ ἀίδιον εἶναι. πάλαι γάρ, ὡς ἔφην, ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσ' ἂν λεωφόρος ἐγεγένητο· πέφυκε γὰρ ἡ ὕδατος φύσις καὶ μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα τὰ μὲν ἐξωθεῖν

1 γῆ Mang.: ἐν γῆ codd. ἐφέξει M: ὑφέξει UE, ἀφέξει HP 2 ἐπιπολλάζοντος M 3 τὸν ἄνω E: τὸ ἄνω MUHP 4 καὶ μὴν δ' οὐδὲ U 4. 5 κατ' ἀλοίωσιν H, κατὰ ἀλλοίωσιν E 7 ἅτε μήτε Wendl.: ἅτε μὴ codd. πλεονεκτοῦν μήτε om. UE ὥστε E 8 ἀντέκτησις MH τῶν δυναμένων E ἀναλογίας v (Turn.): ἀναλογίαις codd. ὑγείας PE 9 ἀποδείκνυται E: . . . δείκνυται (ἀπο om. in lac.) M, ἐπιδείκνυται UHP 11 γῆς UE: τῆς MHP (Turn.) 12 ἑκάστων E cod. r 13 κατὰ ⟨πάντα⟩ γένη Cumont coll. 86, 18 κατασκευάζειν Usener (Cumont): κατασκευάζει codd.: κατασκευάζουσι coni. Mang. 14 ὑπανεστὸς UHP: ὑπανεστὼς E, ὑπανεστῆ M (ὑπανεστηκὸς Bernays) οὐδ' ἓν U αὐτῆς UE: αὐ῀ M, αὐτῆ H (P?) 15 πάντα τὰ ὄρη transp. P 16 τοσοῦτον U ἐνιαυτῶν M 17 διηρημένων M πρὸς ὕψος] εἰς ὕψος UE 19 παμπόλων UE 20 αἰθέριον om. E 22 πᾶσ' ἂν Buecheler: πᾶσα codd. ἐγεγένητο] ἐγένετο M 23 καταρράττουσα MP

10 sqq. Doxogr. p. 486, 3 sqq. Zeno frg. 106 (Arnim).

τῇ βίᾳ, τὰ δὲ τῷ συνεχεῖ τῶν ψεκάδων κολάπτουσα κοιλαίνειν ὑπεργάζεσθαί τε τὴν σκληρόγεω καὶ λιθωδεστάτην ὀρυκτήρων οὐκ ἔλαττον.

Καὶ μὴν ἥ γε θάλασσα, φασίν, ἤδη μεμείωται. μάρτυρες δ' αἱ 120 νήσων εὐδοκιμώταται Ῥόδος τε καὶ Δῆλος· αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ' ὕστερον ἐλαττουμένης ἠρέμα, κατ' ὀλίγον ἀνίσχουσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι. τὴν δὲ Δῆλον καὶ Ἀνάφην 121 ὠνόμασαν δι' ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον. ἐπειδὴ γὰρ ἀναφανεῖσα δήλη ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι. διὸ καὶ Πίνδαρος ἐπὶ τῆς Δήλου φησί·

„Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅν τε βροτοὶ
Δᾶλον κικλήσκουσιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς
ἄστρον."

1 τῇ συνεχεῖ M; τῇ συνεχείᾳ coni. Buecheler κολάπτουσα] κλάπτουσα E cod. r, βλάπτουσα E cod. a, καλύπτουσα U 2 σκληρόγεω scripsi: σκληρόγεων codd. λιθοδεστάτην H 3 ἥ γε] εἴ γε HP θάλαττα Cumont δὲ E 5 θαλάττης ME: θαλάσσης UHP 6 διεφάνισαν M 7 γραφεῖσαι E τὴν δὲ Δῆλον — 110, 1 αἰνιττόμενος om. E Ἀνάφην v (Turn.): ἀναγραφὴν UHP, ἀναγράφειν M 8 ἐπειδὴ γὰρ M: ἐπειδὴ UH(P?); cf. Vahlen ad Arist. Poet. p. 131[3] 9 δήλη codd.: δῆλος Diels coll. Eur. Med. 1197 (Cumont) 9. 10 verba διὸ καὶ Πίνδαρος — 110, 1 αἰνιττόμενος post εἴωθεν ἀποβράττεσθαι (110, 6) exhibent codd., huc transponenda esse vidit Buecheler 11 χαῖρ' ὦ] χαίρω U θεοδμάτα Boeckh: θεοδμήτα M (Mang.), θεότμητα U, θεοτίμητε HP (Turn.) 12 παίδεσσι Boeckh: παῖδ' οἱ M, παῖδες οἱ UHP (παῖδες ἢ Turn., παιδὸς Mang.) 13 ἀκίνητον] ἄκμητον U ἅν] ἂν H 14 Δᾶλον] δ' ἄλλον H κικλήσκοισιν Bergk μάκαρες] μάκαρ M τηλέφαντον Bergk: τηλέφατον codd. κυανέας v (Turn.): κυαναίας UH(P?), κυανοίας M; κρανάας coni. Mang.

4 sqq. *Plin. N. H. II 202* nascuntur et alio modo terrae ac repente in aliquo mari emergunt, velut paria secum faciente natura quaeque hauserit hiatus alio loco reddente. clarae iam pridem insulae Delos et Rhodos memoriae produntur; et natae postea minores ultra Melon Anaphe . . . *Amm. Marcell. XVII 7, 13* fiunt autem terrarum motus modis quattuor: aut enim brasmatiae sunt, qui humum intus suscitantes sursum propellunt immanissimas moles, ut in Asia Delos emersit et Hiera et Anaphe et Rhodos. 7 sqq. Apoll. Rhod. IV 1709 sqq. Apollod. Bibl. I 139 (Argonautae) πλέοντες δὲ νυκτὸς σφοδρῷ περιπίπτουσι χειμῶνι. Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δειρὰς τοξεύσας τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραψεν. οἱ δὲ πλησίον ἐθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι προσορμισθέντες Ἀνάφην ἐκάλεσαν. errat Philo, cum Delum et Anaphen eandem esse insulam dicit. 9 Callim. Hymn. IV 53. Orac. Sibyll. III 363 ἔσεῖται Δῆλος ἄδηλος. 10 Pind. frg. 87 (Bergk).

122 θυγατέρα γὰρ πόντου τὴν Δῆλον εἴρηκε τὸ λεχθὲν αἰνιττόμενος. πρὸς
δὲ τούτοις μεγάλων | πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηραν- p. 511 M
θέντας ἠπειρῶσθαι καὶ γεγενῆσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ
λυπρὰν σπειρομένους καὶ φυτευομένους, οἷς σημεῖ' ἄττα τῆς παλαιᾶς ἐνα-
πολελεῖφθαι θαλαττώσεως ψηφῖδάς τε καὶ κόγχας καὶ ὅσα ὁμοιότροπα
123 πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι. εἰ δὴ μειοῦται ἡ θάλαττα, μειω-
θήσεται μὲν καὶ ἡ γῆ, μακραῖς δ' ἐνιαυτῶν περιόδοις καὶ εἰς ἅπαν
ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανηθήσεται δὲ καὶ ὁ σύμπας ἀὴρ
ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος, ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν
οὐσίαν τὴν πυρός.

124 (24.) Πρὸς δὲ τὴν τοῦ τρίτου κεφαλαίου κατασκευὴν χρῶνται λόγῳ
τοιῷδε· φθείρεται πάντως ἐκεῖνο, οὗ πάντα τὰ μέρη φθαρτά ἐστι, τοῦ
δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι, φθαρτὸς ἄρα ὁ κόσμος ἐστίν.
125 ὃ δ' ὑπερεθέμεθα, νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵνα ἀπὸ ταύτης
ἀρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλύεται; λίθων οἱ κραταιότατοι
ἆρ' οὐ μυδῶσι καὶ σήπονται ⟨καὶ⟩ κατὰ τὴν ἕξεως ἀσθένειαν — ἡ δ'
ἐστὶ πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος ἀλλὰ μόνον δυσδιάλυτος —
θρυπτόμενοι καὶ ῥέοντες εἰς λεπτὴν τὸ πρῶτον ἀναλύονται κόνιν, εἶθ'
ὕστερον δαπανηθέντες ἐξαναλοῦνται; τί δ', εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο

1 τὴν Δῆλον] τὴν δ' H 2 μεγάλων] μεγάλην M; μεταλλαγῇ coni. Diels 4 σημεῖ' ἄττα Bernays: σημεῖα τὰ codd. 6 εἴωθεν MUE: εἰώθασιν HP (Turn.) εἰ δὴ M: εἰ δὲ UHPE (v) 6. 7 μειωθήσεται μὲν καὶ scripsi: μειωθήσεται μὲν MUE, μειωθήσεται καὶ HP (Turn.) 7 περιοδικοῖς ut vid. P καὶ ante εἰς ἅπαν seclusit Cumont 8 ἀναλυθήσεται UE δαπανηθήσεται etiam P δὲ καὶ HP: δὲ om. MUE 9 τὰ ante πάντα om. M 10 τὴν πυρός] τοῦ πυρός Bernays, errore ut vid. 11 δὲ om. H (Turn.) κεφαλαίου κατασκευὴν M: κατασκευὴν κεφαλαίου E, κατασκευὴν τοῦ κεφαλαίου UHP (Turn.) χρῶνται UE: χρᾶται M (χρῆται Bernays), χρήσεται HP (Turn.; χρήσονται Mang.) 12 πάντα τὰ μέρη E: τὰ om. MUHP (v) 13 ἄρα καὶ E ἐστίν om. E 14 δὲ E ταύτης] ταὐτοῦ E 15 μεῖζον ἢ ἔλαττον MUE: μεῖον δὲ ἢ ἔλαττον HP (μειοῦται, εἰ ἔλαττον Turn.) οὐ] ὃν Turn. διαλύεται Mang.: διαλύσεται MUHP (Turn.), διαλυθήσεται E (Bernays) οἱ κράτιστοι M 16 μυδῶσι καὶ σήπονται MUE: μυδῶσιν ὡς σήπονται P, μὴ δῶσιν ὡς σήπονται HL (μυδῶσιν; οὐ σήπονται Turn.) καὶ add. Wendl. 16. 17 ἡ δ' ἐστὶ] ἥδ' ἔστι codd. (ἥδ' ἐστὶ Turn., ἥδ' ἐστι Mang., ἡ δ' ἐστὶ Bernays, ἡ δ' ἔστι Cumont) 17 ἄρηκτος H 18 θρυπτόμενος HP 18. 19 εἶθ' ὕστερον δαπανηθέντες ἐξαναλοῦνται om. M 19 ἐξαναλοῦνται Bernays: ἐξαναλύονται UHPE; ἐξανήλωνται coni. Mang. τί δ' codd.: ἔτι δ' v (Turn.) ἀνέμων MHP: ἀνέμω U, ἀνέμου E ῥιπίζοντα H

12 sq. Diog. La. VII 141 ... ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γενητὸν τῷ λόγῳ τῶν δι' αἰσθήσεως νοουμένων, οὗ τά τε μέρη φθαρτά ἐστι καὶ τὸ ὅλον. τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά, εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα ὁ κόσμος.

τὸ ὕδωρ, ἀκίνητον ἐαθὲν οὐχ ὑφ' ἡσυχίας νεκροῦται; μεταβάλλει γοῦν
καὶ δυσωδέστατον γίνεται, οἷα ψυχὴν ἀφῃρημένον ζῷον. ἥ γε μὴν ἀέρος 126
φθορὰ παντί τῳ δῆλον· νοσεῖν γὰρ καὶ φθίνειν καὶ τρόπον τινὰ ἀποθνῄσκειν
πέφυκεν. ἐπεὶ τί ἄν τις μὴ στοχασάμενος ὀνομάτων εὐπρεπείας ἀλλὰ
τἀληθοῦς εἴποι λοιμὸν εἶναι πλὴν ἀέρος θάνατον τὸ οἰκεῖον πάθος ἀνα-
χέοντος ἐπὶ φθορᾷ πάντων ὅσα ψυχῆς μεμοίραται; τί χρὴ μακρηγορεῖν 127
p.512 M. περὶ πυρός; ἀτροφῆσαν γὰρ αὐτίκα σβέννυται, χωλόν, | ᾗ φασιν οἱ ποιηταί,
γεγονὸς ἐξ ἑαυτοῦ· διὸ σκηριπτόμενον ὀρθοῦται κατὰ τὴν τῆς ἀναφθείσης
ὕλης μονήν, ἐξαναλωθείσης δ' ἀφανίζεται. τὸ παραπλήσιον μέντοι καὶ 128
τοὺς κατὰ τὴν Ἰνδικὴν δράκοντάς φασι πάσχειν· ἀνέρποντας γὰρ ἐπὶ τὰ

1 οὐκ ἀκίνητον E οὐχ om. UHE νεκροῦται] νεκροῖτ' ἄν Cumont 2 δυσωδέστατον MUE: τὸ δυσωδέστατον HP (v) γίγνεται E 2. 3 ἥ γε μὴν ἀέρος φθορὰ scripsi: αἵ γε μὴν ἀέρος φθοραὶ codd. 3 δῆλον codd.: δῆλαι Bernays; δῆλοι coni. Cumont ἀποθνήσκων M 4 στοχασάμενος M: στοχαζόμενος UHPE (v) εὐπρεπείαις U(E cod. b) 5 τἀληθοῦς E: τοῦ ἀληθοῦς MUHP εἴποι MUE: εἴποιμι HP (Turn.) 6 πάντων MUPE: ἁπάντων H (v) μεμοίρανται H(P?) 7 χωλόν — 112, 16 πνιγῇ τελευτῶσιν om. E χωλόν] χωλὸς ⟨Ἥφαιστος⟩ Cumont οἱ om. U 8 γεγονὸς ἐξ ἑαυτοῦ· διὸ σκηριπτόμενον] γεγονὼς ἐξ αὐτοῦ Διὸς σκηριπτόμενος Cumont; post Διός add. ὅτι Gomperz κατὰ τὴν] κατὰ τὸν M 9 ὕλης μονὴν ἐξαναλωθείσης om. U ὕλην H μονήν] νομήν Usener (Cumont)

7 sqq. Heraclit. Alleg. Hom. c. 26 (= schol. B ad Hom. Il. *A* 591) . . . ἐπεὶ ἡ πυρὸς οὐσία διπλῆ, καὶ τὸ μὲν αἰθέριον . . . οὐδὲν ὑστεροῦν ἔχει πρὸς τελειότητα, τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη (οὐσία?), πρόσγειος οὖσα, φθαρτὴ καὶ διὰ τῆς ὑποτρεφούσης ⟨ὕλης⟩ παρ' ἕκαστα ζωπυρουμένη, διὰ τοῦτο τὴν μὲν ὀξυτάτην φλόγα συνεχῶς Ἥλιόν τε καὶ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον· ὅθεν εἰκότως κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὴ παρ' ἡμῖν πῦρ, ἄνευ τῆς τῶν ξύλων ἐπιθέσεως οὐ δυνηθὲν ἂν ἐπὶ πλέον παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται. Plut. de facie in orbe lunae 5 p. 922a ὅτι μέντοι πῦρ ἀνθρακῶδες . . . οὐκ ἔχει διαμονὴν οὐδὲ σύστασιν ὅλως, ἐὰν μὴ στερεᾶς ὕλης καὶ στεγούσης ἅμα καὶ τρεφούσης ἐπιλάβηται, βέλτιον οἶμαι συνορᾶν ἐνίων φιλοσόφων τοὺς ἐν παιδιᾷ λέγοντας τὸν Ἥφαιστον εἰρῆσθαι χωλόν, ὅτι τὸ πῦρ ξύλων χωρὶς ὥσπερ οἱ χωλοὶ βακτηρίας οὐ πρόεισιν. Cornut. Theol. c. 19 p. 33, 14 (Lang) τὸ δ' ἐν χρήσει καὶ ἀερομιγὲς (πῦρ) Ἥφαιστος . . . χωλὸς δὲ παραδέδοται . . . τάχα δὲ ἀπὸ τοῦ μὴ δύνασθαι προβαίνειν δίχα ξυλώδους τινὸς ὡσὰν βάκτρου. 10 sqq. *Plin. N. H. VIII 32* elephantos fert Africa . . . sed maximos India bellantesque cum iis perpetua discordia dracones tantae magnitudinis et ipsos, ut circumplexu facili ambiant nexuque nodi praestringant. commoritur ea dimicatio, victusque conruens conplexum elidit pondere. *Ambros. Hexam. III 9, 40* . . . draco elephantum ligat, cuius ruina mors victoris est. et ideo summa vi utrimque certatur, ille ut pedem alliget, in quo casus vincti sibi nocere non possit, iste ne posteriore extremus pede aut calle capiatur angusto, ubi vel ipse se non queat retorquere et draconem gravi proterere vestigio vel sequentis elephanti auxilium non habere. cf. Aelian. Nat. anim. VI 21.

μέγιστα τῶν ζῴων, ἐλέφαντας, περὶ νῶτα καὶ νηδὺν ἅπασαν εἱλεῖσθαι, φλέβα δ' ἣν ἂν τύχῃ διελόντας ἐμπίνειν τοῦ αἵματος, ἀπλήστως ἐπισπωμένους βιαίῳ πνεύματι καὶ συντόνῳ ῥοίζῳ· μέχρι μὲν οὖν τινος ἐξαναλουμένους ἐκείνους ἀντέχειν ὑπ' ἀμηχανίας ἀνασκιρτῶντας καὶ τῇ προνομαίᾳ τὴν πλευρὰν τύπτοντας ὡς καθιξομένους τῶν δρακόντων, εἶτα ἀεὶ κενουμένου τοῦ ζωτικοῦ, πηδᾶν μὲν μηκέτι δύνασθαι, κραδαινομένους δ' ἑστάναι, μικρὸν δ' ὕστερον καὶ τῶν σκελῶν ἐξασθενησάντων, κατασεισθέντας ὑπὸ λιφαιμίας ἀποψύχειν, πεσόντας δὲ τοὺς αἰτίους τοῦ θανάτου
129 συναπολλύναι τρόπῳ τοιῷδε· μηκέτ' ἔχοντες τροφὴν οἱ δράκοντες ὃν περιέθεσαν δεσμὸν ἐπιχειροῦσιν ἐκλύειν ἀπαλλαγὴν ἤδη ποθοῦντες, ὑπὸ δὲ τοῦ βάρους τῶν ἐλεφάντων θλιβόμενοι πιέζονται, καὶ πολὺ μᾶλλον ἐπειδὰν τύχῃ στέριφον καὶ λιθῶδες τὸ ἔδαφος· ἰλυσπώμενοι γὰρ καὶ πάντα ποιοῦντες εἰς διάλυσιν, ὑπὸ τῆς τοῦ πιέσαντος βίας πεδηθέντες, ἑαυτοὺς πολυτρόπως ἐν ἀμηχάνοις καὶ ἀπόροις γυμνάσαντες ἐξασθενοῦσι ⟨καὶ⟩ καθάπερ οἱ καταλευσθέντες ἢ τείχους αἰφνίδιον ἐπενεχθέντος προκαταληφθέντες, οὐδ' ὅσον ἀνακύψαι δυνάμενοι, πνιγῇ τελευτῶσιν. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν ὑπομένει, δῆλον ὅτι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος ἄφθαρτος οὐκ ἔσται.

130 Τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον ὧδε, φασίν· εἰ ὁ κόσμος ἀίδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα ἀίδια καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ ὀψίγονον φανῆναι τοῖς βουλομένοις ἐρευνᾶν τὰ φύσεως· εἰκὸς γὰρ μᾶλλον δ' ἀναγκαῖον ἀνθρώποις συνυπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας, οὐ μόνον

---

1 τῶν ζώων codd.: τῶν om. v   περὶ νῶτα MU: περὶ δὲ νῶτα HP (περὶ τὰ νῶτα Turn.)   εἰλεῖσθαι codd.   3. 4 ἐξαναλουμένους MP: ἐξαναλωμένους U, ἐξαναλουμένης H (Turn.)   4. 5 προνομαῖα H, προνομιαία U   5 καθιξομένους U: καθεξομένους M, καθιζομένους HP   6 κενουμένου M: κινουμένου UHP   7 ἑστάναι] εὐτάναι H   8 ὑπὸ λιφαιμίας om. in lac. HP (Turn.)   λειφαιμίας MU   ἀποψύχειν MHP: ἀποθνήσκειν U (Mang.)   9 συναπολύναι HP   10 δεσμῶν P   11 πιέζονται U: πιεζοῦνται MHP (Bernays)   12 τύχοι P   τὸ ἔδαφος M: τὸ om. UHP (Turn.)   13 ὑπὸ in ὑπὲρ corr. U²   14 γυμνάσαντες v (Turn.): γυμνώσαντες codd.   15 καὶ ante καθάπερ add. Bernays, om. codd.   ἢ] οἱ L (Turn.)   ἐπενεχθέντος MU: ὑπενεχθέντος HP (v)   16 πνιγῇ] τῇ γῇ M   17 ὑπομένει MHP: ἐπιμένει UE   δῆλον ὅτι] δηλονότι codd.   19 ἀκριβωτέον MH(P?): ἀκριβώτερον U, ἀκριβέστερον E   ἀκριβωτέον ὧδε, φασίν· distinxi: ἀκριβωτέον ὧδέ φασιν Turn., ἀκριβωτέον ὧδέ φασιν· Mang. (Diels Cumont), ἀκριβωτέον ὧδε· φασὶν Bernays   19. 20 εἰ ὁ κόσμος E: εἰ om. M, ὁ om. UH(P?)   20 τὸ τῶν E: τὸ om. M, τῶν om. UHP (v)   22 φανῆναι] φανήσεται coni. Usener   τὰ φύσεως] τὰς φύσεις E; τὰ φύσεως ⟨φυσικῶς⟩ Bernays   23 ἀνθρώπους E   συνυπάρξας M

ὅτι λογικῇ φύσει τὸ ἐμμέθοδον οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων
οὐκ ἔστιν. ἴδωμεν οὖν τοὺς ἑκάστων χρόνους ἀλογήσαντες τῶν ἐπιτραγῳ- 131
δουμένων θεοῖς μύθων * * * εἰ ⟨δὲ⟩ μὴ ἀίδιος ἄνθρωπος, οὐδ᾽ ἄλλο
τι ζῷον, ὥστ᾽ οὐδ᾽ αἱ δεδεγμέναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ ἀήρ·
ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον δῆλόν ἐστιν.

(25.) Ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρεσιλογίαν ἀπαντῆσαι, μή 132
τις τῶν ἀπειροτέρων ἐνδοὺς ὑπαχθῇ· καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως
p. 513 M. ἀφ᾽ οὗ καὶ τῆς ἀπάτης | οἱ σοφισταί. τὰς ἀνωμαλίας οὐκέτ᾽ ἐχρῆν εἶναι
τῆς γῆς, εἴπερ ἀίδιος ἦν ὁ κόσμος; διὰ τί, ὦ γενναῖοι; φήσουσι γὰρ
ἕτεροι παρελθόντες, ὅτι δένδρων οὐδὲν αἱ φύσεις τῶν ὀρῶν διαφέρουσιν,
ἀλλὰ καθάπερ ἐκεῖνα καιροῖς μέν τισι φυλλορροεῖ καιροῖς δὲ πάλιν ἀνηβᾷ
— διὸ καὶ τὸ ποιητικὸν εὖ εἴρηται

„φύλλα τὰ μέν τ᾽ ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ᾽ ὕλη
τηλεθόωσα φύει, ἔαρος δ᾽ ἐπιγίγνεται ὥρη" —,

τὸν αὐτὸν τρόπον καὶ τῶν ὀρῶν τὰ μὲν ἀποθραύεται μέρη, τὰ δὲ
προσφύεται. μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος, διότι 133
τὰ μὲν δένδρα ὠκυτέρᾳ χρώμενα τῇ φύσει θᾶττον καταλαμβανομένην
ἔχει τὴν ἐπίδοσιν, τὰ δ᾽ ὄρη βραδυτέρᾳ, διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν
αἰσθητὰς ὅτι μὴ χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν. ἐοίκασί γε τὸν 134
τρόπον τῆς γενέσεως αὐτῶν ἀγνοεῖν, ἐπεὶ κἂν ἴσως αἰδεσθέντες ἡσύ-
χασαν. φθόνος δ᾽ οὐδεὶς ἀναδιδάσκειν· ἔστι δ᾽ οὔτε νέον τὸ λεγόμενον

---

1 τὸ ἐμμέθοδον UHP: τε ἐμμέθοδον M, ἐμμέθοδον τὸ E 2 οὐκ ἔστιν ME: οὐκ ἔνεστιν UHP (v) ἀλογήσαντες HP: ἀναλογίσαντες UE, ἀμελήσαντες M 3 post μύθων aliquid deesse videri monuit Mang. εἰ δὲ μὴ Zeller: εἰ μὴ MUE, μὴ HP (Turn.) 4 ὥστε οὐδὲ E ὥστ᾽] ὅτ᾽ L (Turn.) οὐδ᾽] οὐ M αἱ om. M δεδεγμέναι MEH[2]: δεγμέναι H[1]P, δεδειγμέναι U 5 τὸ φθαρτὸν HPE: τὸν φθαρτὸν MU τὸν κόσμον E: τὸν om. MUHP 6 εὑρεσιλογίαν PE: εὑρησιλογίαν MUH 7 ἐνδοὺς om. E ὑπαχθῇ] ἀπαχθῇ coni. Mang. 8 τὰς ante ἀνωμαλίας om. M (Bernays) 9 ἀίδιος ἦν] ἀίδιον εἶναι HP ὦ γενναῖε E 11 φυλλοροεῖ U 12 διὸ — 14 ὥρη om. E 13 χαμαδεσχέει H 14 ἔαρος] ἀέρος H (ἦρος Turn.) ἐπιγίγνεται U: ἐπιγίνεται MHP 15 ἀποθραύεται] ἐπιθράβεται M 16 γνώριμος] γνωρίμη coni. Jessen 17 φύσει] προσφύσει coni. Mang. καταλαμβάνειν E (καταλαμβάνει cod. r) 18 βραδυτέρᾳ v (Turn.): βραχύτερα codd., βραδύτερα Bernays 19 μόγις M (Bernays) γε] τε E (sed γε cod. a) 20 κἂν MUPE: καὶ H (v) 21 οὔτε νέον codd.: οὔτε τι νέον Turn. τὸ λεγόμενον E (coni. Mang.): τῶν λεγομένων MUHP

---

2 cf. Bernays, Theophrastos Schrift über Frömmigkeit p. 47. 13 sq. Hom. Il. Z 147. 148. 21 sq. cf. Eur. frg. 484 κοὐκ ἐμὸς ὁ μῦθος.

οὔτε ῥήμαθ' ἡμῶν, ἀλλὰ παλαιὰ σοφῶν ἀνδρῶν, οἷς οὐδὲν ἀδιερεύνητον τῶν
135 εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται. ὅταν τὸ κατακεκλεισμένον ἐν τῇ
γῇ πυρῶδες ἄνω τῇ τοῦ πυρὸς ἐλαύνηται φυσικῇ δυνάμει, πρὸς τὸν
οἰκεῖον τόπον στείχει, κἂν τινος λάβηται βραχείας ἀναπνοῆς, ἄνω μὲν
συναναςπᾷ πολλὴν τῆς γεώδους οὐσίας, ὅσην ἂν οἷόν τε ᾖ, ἔξω δ' ἐπι-
γενόμενον φέρεται βραδύτερον, [ἣ] καὶ μέχρι πολλοῦ συμπαρελθεῖν
βιασθεῖσα, πρὸς μήκιστον ἀρθεῖσα ὕψος, στέλλεται κορυφουμένη καὶ πρὸς
136 ὀξεῖαν ἀποτελευτᾷ κορυφὴν τὸ πυρὸς σχῆμα μιμουμένη. γίνεται γὰρ
τοῦ κουφοτάτου καὶ βαρυτάτου τότε, τῶν φύσει ἀντιπάλων, ἀναγκαία
συρραξάντων διαμάχη, πρὸς τὴν οἰκείαν ἑκατέρου χώραν ἐπειγομένου
καὶ ⟨πρὸς⟩ τὸ βιαζόμενον ἀντιτείνοντος· τὸ μὲν δὴ πῦρ συνανέλκον γῆν
ὑπὸ τοῦ περὶ αὐτὴν νευστικοῦ βρίθειν ἀναγκάζεται, ἡ δὲ γῆ κατωτάτω
ταλαντεύουσα τῷ τοῦ πυρὸς ἀνωφοίτῳ συνεπελαφρισθεῖσα μετέωρος
ἐξαίρεται καὶ κρατηθεῖσα μόλις ὑπὸ δυνατωτέρας τῆς ἐπικουφιζούσης
137 ἰσχύος ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται κἀνίσταται. τί οὖν θαυ-
μαστόν, εἰ μὴ τὰ ὄρη ταῖς τῶν ὑετῶν φοραῖς ἐξανήλωται, τῆς συνεχούσης
αὐτὰ δυνάμεως, ὑφ' ἧς καὶ διανίσταται, μάλα παγίως καὶ κραταιῶς
ἐνειλημμένης; λυθέντος γὰρ δεσμοῦ τοῦ συνέχοντος, εἰκὸς ἦν διαλυ-
θῆναι καὶ πρὸς ὕδατος σκεδασθῆναι, δυνάμει δὲ σφιγγόμενα τῇ τοῦ πυρὸς
στεγανώτερον πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχει. (26.) | ταῦτα μὲν οὖν p.514 M.

1 οὔτε ῥήμαθ' ἡμῶν H(P?): οὐ ῥήμαθ' ἡμῶν MU, οὔθ' ἡμέτερον ῥῆμα E (fortasse recte) παλαιὰ σοφῶν] παλαιῶν καὶ σοφῶν E (fortasse recte) 3 ἐλαύνηται ME: ἐλαυνεται UHP 4 στείχει] ἔχει U, στείχῃ H ἄνω E: ἄνωθεν MUHP 5 πολλὴν codd.: πολὺ v (Turn.) ὅσην M: ὅσον UHPE (v) οἷόν τε HPE: οἷόν τ' U, εἰ οἷόν τε M; ἀεὶ οἷόν τε Bernays ᾖ] ἦν M 5. 6 ἔξω δ' ἐπιγενόμενον (ἐπιγινόμενον E) corruptum; ἡ δ' ἔξωθεν ἐπιγενομένη Bernays, ἔξω δ' ἐπιγενομένου Buecheler, ἔξω δ' ἐπειγόμενον coni. Wendl. 6 φέρεται βραδύτερον Mang. (Bernays): φέρεσθαι βραχυτέραν codd. (φέρεσθαι βραδύτερον Cumont) καὶ Bernays: ἣ καὶ MUHP, ἢ καὶ E; ἡ δὲ Diels (Cumont) 7 στέλλεται] συστέλλεται E κορυφουμένη] ἀποκορυφουμένη v (Turn.) 8 τὸ ante πυρὸς om. UE 10 συρραξάντων codd.: συρρηξάντων v (Turn.) τὴν οἰκίαν P 11 πρὸς add. Turn. in append., om. codd. ἀντιτείνοντος MUE: ἐπιτείνοντος HP (Turn.) πῦρ] πυρῶν E (sed πῦρ cod. a) γῆν om. Cumont, errore ut vid.; ⟨τὴν⟩ γῆν Diels 13 τ τοῦ πυρὸς (sic) M ἀνωφοίτῳ ME: ἄνω φοιτῶσα U, οὐρανοφοίτῳ HP (Turn.) ἐπελαφρισθεῖσα E 13. 14 verba μετέωρος ἐξαίρεται καὶ κρατηθεῖσα om. UE 14 post δυνατωτέρας add. βίας Cumont 15 κἀνίσταται Diels: καὶ ἵσταται codd.; καὶ διανίσταται coni. Mang. 16 ταῖς om. M συνεχούσης] ἐχούσης PL (Turn.) 18 γρ. ἐνειλημένης Turn. in append. λυθέντος UE: λυθέντα MHP (Turn.) 19 ὕδατα E 20 στεγανώτερον E: στεγανώτερα MUHP (v)

ἡμῖν λελέχθω περὶ τοῦ τὴν ἀνωμαλίαν τῆς γῆς πίστιν οὐκ εἶναι γενέσεως καὶ φθορᾶς κόσμου.

Πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάττης ἐπιχειρηθὲν ἐκεῖνο 138 δεόντως ἂν λέγοιτο· μὴ τὰς ἀνασχούσας νήσους αὐτὸ μόνον ἀεὶ μηδ᾿ εἴ τινες ἀποτομαὶ κατακλυζόμεναι τὸ πάλαι χρόνοις αὖθις ἠπειρώθησαν σκοπεῖτε — φυσιολογίας γὰρ ἀντίπαλον φιλονεικία τριπόθητον ἡγουμένης ἀλήθειαν ἰχνηλατεῖν —, ἀλλὰ πολυπραγμονεῖτε καὶ τοὐναντίον, ὅσαι μὲν ἐν ἠπείροις οὐ παράλιοι μόνον ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν, ὅση δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ναυσὶν ἐμπλεῖται. ⟨ἢ⟩ τὴν 139 περὶ τὸν ἱερώτατον Σικελικὸν πορθμὸν ᾀδομένην ἱστορίαν ἀγνοεῖτε; ⟨ἦν μὲν γὰρ⟩ τὸ παλαιὸν ἠπείρῳ Ἰταλίᾳ Σικελία συνάπτουσα, μεγάλων δὲ τῶν παρ᾿ ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίας ἐπιδραμόντων, ἡ μεθόριος ἐπεκλύσθη καὶ ἀνερράγη, παρ᾿ ἣν καὶ πόλις ἐπώνυμος

1 πίστιν ME: πιστὴν UHP (E cod. b) 3 θαλάσσης E 4 δεόντως] δὲ ὄντως H ἂν om. H (Turn.) ἀνισχούσας E ἀεὶ Bernays: εἰ MUHP (om. v), ἀλλὰ καὶ εἰ E 5 τὸ πάλαι] τοῖς πάλαι E (Diels) 6 σκοπεῖτε M: σκοπεῖται UH(P?), σκοπεῖν χρή E φιλονεικίας M; φιλονικία Cumont 7 ἀλήθεια H ἰχνηλατήσειν UE πολυπραγμονεῖτε Mang.: πολυπραγμονεῖται UHPE, πολυπραγμονεῖν ἔστι M (Bernays) 8 ἐν ante ἠπείροις om. E μοῖρας M 9 ὅση] ὅτι E θανατωθεῖσα (λα) U ἢ add. Diels (ἦ scripsi) 9. 10 τὴν — ἀγνοεῖτε] ἡ περὶ τὸν Σικελικὸν πορθμὸν ᾀδομένη ἱστορία ἀγνοεῖται παρ᾿ οὐδενὸς τῶν ἐλλογίμων E 10 ἱερώτατον] εὐρύτατον coni. Diels ἀγνοεῖτε MP: ἀγνοεῖται UH(E) 11 ἦν μὲν γὰρ addidi τὸ ⟨μὲν⟩ παλαιὸν Diels (Cumont) ἠπείρῳ] ⟨ἦν⟩ ἤπειρος Buecheler (Cumont) ἰταλίας U (v), ἰταλίαν H Σικελία Buecheler (Cumont): σικελίαν codd. συνάπτουσα MH(P?): προσάπτουσα UE; συνάπτουσαν v 13 ἐπεκλύθη E (ἐπεκλύσθη cod. b) ἀνερράγη MUPE: ἐνερράγη H (v) παρ᾿ ἣν] παρῆν M καὶ πόλις] καὶ om. Turn., ἡ πόλις Mang. in textu

10 sqq. Diodor. Sic. IV 85, 3 φασὶ γὰρ οἱ παλαιοὶ μυθογράφοι τὴν Σικελίαν τὸ πρὸ τοῦ χερρόνησον οὖσαν ὕστερον γενέσθαι νῆσον διὰ τοιαύτης αἰτίας. τὸν ἰσθμὸν κατὰ τὸ στενώτατον ὑπὸ δυοῖν πλευρῶν θαλάττῃ προσκλυζόμενον ἀναρραγῆναι καὶ τὸν τόπον ἀπὸ τούτου Ῥήγιον ὀνομασθῆναι καὶ τὴν ὕστερον πολλοῖς ἔτεσι κτισθεῖσαν πόλιν τυχεῖν τῆς ὁμωνύμου προσηγορίας. ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαρραγῆναι τὸν αὐχένα τῆς ἠπείρου καὶ γενέσθαι τὸν πορθμὸν διειργούσης τῆς θαλάττης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Strab. VI 6 p. 258 ὠνομάσθη δὲ Ῥήγιον εἴθ᾿, ὥς φησιν Αἰσχύλος, διὰ τὸ συμβὰν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν ἄλλοι τε κἀκεῖνος εἴρηκεν „ἀφ᾿ οὗ δὴ Ῥήγιον κικλήσκεται" (Aesch. frg. 402 N.). *Sen. Nat. Quaest. VI 30, 3* ... sic per hanc inundationem, quam poetarum maximi celebrant, ab Italia Sicilia resecta est. *Plin. N. H. III 86* Sicilia ... quondam Bruttio agro cohaerens, mox interfuso mari avulsa ...; ab hoc dehiscendi argumento Rhegium Graeci nomen dedere oppido in margine Italiae sito.

τοῦ πάθους Ῥήγιον κτισθεῖσα ὠνομάσθη. καὶ τοὐναντίον οὗ προσεδόκησεν
ἄν τις ἀπέβη· συνεζεύχθη μὲν γὰρ τὰ τέως διεστῶτα πελάγη κατὰ τὴν
σύρρυσιν ἑνωθέντα, ἡ δὲ ἡνωμένη γῆ τῷ μεθορίῳ πορθμῷ διεζεύχθη,
140 παρ' ὃν ἤπειρος οὖσα Σικελία νῆσος ἐβιάσθη γενέσθαι. πολλὰς δὲ καὶ
ἄλλας λόγος τῆς θαλάττης ὑπερσχούσης ἠφανίσθαι πόλεις καταποθείσας,
ἐπεὶ καὶ κατὰ Πελοπόννησόν φασι τρεῖς

„Αἴγειραν Βοῦράν τε καὶ ὑψηλὴν Ἑλίκειαν,
τείχεσιν ἣ τάχ' ἔμελλε περὶ βρύα μυρία φύσειν",

εὐδαίμονας τὸ πάλαι γενομένας πολλῇ τοῦ πελάγους ἐπικλυσθῆναι φορᾷ.
141 ἡ δὲ Ἀτλαντὶς νῆσος, „ἅμα Λιβύης καὶ Ἀσίας μείζων", ᾗ φησιν ἐν
Τιμαίῳ Πλάτων, ἡμέρᾳ μιᾷ καὶ νυκτὶ „σεισμῶν ἐξαισίων καὶ κατακλυ-
σμῶν γενομένων δῦσα κατὰ τῆς θαλάττης ἐξαίφνης ἠφανίσθη", γενομένη
142 πέλαγος, οὐ πλωτόν, ἀλλὰ βαραθρῶδες. οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν
κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῆς θαλάττης συνεργεῖ· φαίνεται
γὰρ ὧν μὲν ἐξαναχωροῦσα, τὰ δ' ἐπικλύζουσα. ἐχρῆν δὲ μὴ θάτερον
τῶν γινομένων ἀλλὰ συνάμφω θεωροῦντας ἐπικρίνειν, ἐπεὶ κἂν τοῖς περὶ
βίον ἀμφισβητήμασιν | ὁ νόμιμος δικαστής, πρὶν [παρὰ] τῶν ἀντιδίκων p. 515 M.
ἀκοῦσαι, γνώμην οὐκ ἀποφανεῖται.
143 (27.) Καὶ μὴν ὁ τρίτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται, μὴ ὑγιῶς
ἐρωτηθεὶς ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως. οὐ γὰρ δήπουθεν οὗ πάντα
τὰ μέρη φθείρεται φθαρτόν ἐστιν ἐκεῖνο, ἀλλ' οὗ πάντα τὰ μέρη ἅμα

---

1 οὗ] ἣ L, ἢ Turn. προσεδόκησαν H 2 ἐπέβη M συνεζεύγχθη M 3 σύρρυσιν MU: σύρρησιν HP, σύρρευσιν E ἡ δ' ἡνωμένη E (Cumont) διεζεύγχθη M 5 ὑπερσχούσης MU: ὑπερεχούσης HPE (v); ὑπερχεούσης coni. Scaliger ἠφανίσθη U πόλεις πόθησας P, πολ .... πόθησας (spat. 4—5 litt.) H 7 βούρράν M ἑλίκειαν MU: ἕλκειαν H, ἐλύνειαν P, ἑλίκην E 8 τείχεσιν — γενομένας (9) om. E ἣ HP: ἢ MU ἔμελλεν M περίβρυα ML (Turn.) μυρία om. Turn. φύσειν M: φύσιν HP (Turn.), φησίν U 9 πολλῇ] πολὺ M 10 Ἀτλαντὶς] ἄντλα τις H ἀσίης M 12 τῆς om. Turn. θαλάσσης H (v) 13 πλωτῶν P, πλωτῶ H 14 τῆς θαλάττης E: τῇ θαλάττῃ MUHP (v) 15 ὧν μὲν] τῶν μὲν coni. Diels (Cumont) 17 βίων ἀμφισαντήμασιν (sic) M νόμιμος] νόμος E πρὶν παρὰ codd. (etiam M); παρὰ seclusit Buecheler; πρὶν καὶ Diels, πρὶν ἑκατέρου coni. Usener 20 οὗ] οὐ H 20. 21 πάντα τὰ μέρη E: πάντα μέρη MUHP (v) 21 οὗ] οὐ H τὰ μέρη πάντα conicio; καὶ ἅμα pro ἅμα καὶ coni. Cumont

---

7. 8 Versus ignoti poetae: Meineke, Anal. Alex. p. 46. non tres urbes demersas esse, ut dicit Philo, sed duas Buram et Helicen constat: cf. Polyb. II 41, 7. Amm. Marcell. XVII 7, 13. Sen. Nat. Quaest. VI 23, 4. VII 5, 3. 4. 10—12 Plat. Tim. 24 e. 25 c d.

καὶ ἐν ταὐτῷ ⟨καὶ⟩ ἀθρόα κατὰ τὸν αὐτὸν χρόνον, ἐπεὶ καὶ ἄκρον ἀπο-
κοπείς τις δάκτυλον ζῆν οὐ κεκώλυται, εἰ δὲ τὴν κοινωνίαν τῶν μερῶν
καὶ μελῶν πᾶσαν, αὐτίκα τελευτήσει. τὸν αὐτὸν οὖν τρόπον, εἰ μὲν 144
συλλήβδην ἁπαξάπαντα τὰ στοιχεῖα ὑφ' ἕνα καιρὸν ἠφανίζετο, φάσκειν
ἐνδέχεσθαι τὸν κόσμον φθορὰν ἦν ἀναγκαῖον· εἰ δ' ἕκαστον ἰδίᾳ πρὸς
τὴν τοῦ γείτονος μεταβάλλει φύσιν, ἀθανατίζεται μᾶλλον ἢ φθείρεται
κατὰ τὸ φιλοσοφηθὲν ὑπὸ τοῦ τραγικοῦ

„θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὴν ἑτέραν ἀπέδειξεν."

Παντελής γε μὴν εὐήθεια τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν τεχνῶν 145
ἐξετάζεσθαι· τῇ γὰρ περὶ τὸν λόγον ἀτοπίᾳ τις ἀκολουθήσας νέον τὸν
κόσμον ἀποφανεῖ κομιδῇ μόλις πρὸ χιλίων παγέντα ἐνιαυτῶν, ἐπεὶ καὶ
οὓς παρειλήφαμεν τῶν ἐπιστημῶν εὑρετὰς τὸν λεχθέντα τῶν ἐνιαυτῶν
ἀριθμὸν οὐχ ὑπερβάλλουσιν. εἰ δὲ δὴ καὶ λεκτέον τὰς τέχνας ἰσήλικας 146
ἀνθρώπων γένει, μεθ' ἱστορίας φυσικῆς ἀλλ' οὐκ ἀπερισκέπτως καὶ
ῥᾳθύμως λεκτέον. ἡ δ' ἱστορία τίς; φθοραὶ τῶν κατὰ γῆν, οὐκ ἀθρόων
ἁπάντων ἀλλὰ τῶν πλείστων, δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθενται,
πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς· κατασκήπτειν δ' ἑκατέραν ἐν μέρει
φασὶν ἐν πάνυ μακραῖς ἐνιαυτῶν περιόδοις. ὅταν μὲν οὖν ἔμπρησις 147

1 καὶ ἀθρόα scripsi (coni. Cumont); πάντ' ἀθρόα coni. Reiter (Zeitschr. f. öst. Gymn. 1892 p. 19) 2 οὐκ ἐκώλυται M 4 ὑφ' ἕνα καιρῶν E cod. a 5 ἐνδέχεσθαι] δέχεσθαι Usener, μὲν δέχεσθαι Gomperz 6 γείτονος] γειτονοῦντος P μᾶλλον ἢ] μᾶλλον μᾶλλον M 7 verba κατὰ τὸ φιλοσοφηθὲν — 10 ἀπέδειξεν om. E καταφιλοσοφηθὲν HP 8 γινομένων codd. 9 πρὸς ἄλλο codd.: πρὸς ἄλλου Nauck (Cumont), πρὸς ἄλλῳ Bernays 10 ἀπέδειξε HP 12 τίς UH ἀκολοθήσας M 14 εὑρεταὶ U τῶν ante ἐνιαυτῶν om. E 16 ἀλλ' om. HP (Turn.) 17 τις H (τί v) ἀθρόων UPE: ἀθρόον MH 19 ἀλήκτοις P (coni. Turn. in append.) 19. 20 φασὶν ἐν μέρει transp. UE 20 μακραῖς UE: μικραῖς MH(P?) ὅταν] ὁτὲ E ἔμπρησις] ἐμπρησμοῖς E; ἐμπρησμὸς Diels

8—10 Eur. frg. 839. 13 sqq. Plat. Legg. III 677 d ... χίλια ἀφ' οὗ γέγονεν ἢ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλῳ καταφανῆ γέγονε, τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει ...
17 sqq. Plat. Tim. 22 c πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. ... τὸ δ' ἀληθές ἐστι τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε μὲν οὖν ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων. ... ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασῴζονται βουκόλοι νομεῖς τε, οἱ δ' ἐν ταῖς παρ' ἡμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται.

καταλαμβάνῃ, ῥεῦμα αἰθερίου πυρὸς ἄνωθεν ἐκχεόμενον πολλαχῇ σκεδάννυσθαι, μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχον· ὅταν δὲ κατακλυσμός, ἅπασαν τὴν ὕδατος [κατομβρίαν] κατασύρειν φύσιν, αὐθιγενῶν καὶ χειμάρρων ποταμῶν οὐ πλημμυρούντων μόνον ἀλλὰ καὶ τὸ καθεστὸς προσυπερβαλλόντων τῆς ἐπιβάσεως καὶ τὰς ὄχθας ἢ τῇ βίᾳ παραρρηγνύντων ἢ ὑπερπηδώντων ἀναβάσει τῇ πρὸς μήκιστον ὕψος· ὅθεν ὑπερβλύσαντας εἰς τὴν παρακειμένην ἀναχεῖσθαι πεδιάδα, τὴν δὲ τὸ μὲν πρῶτον εἰς μεγάλας λίμνας διανέμεσθαι, πρὸς τὰ κοιλότερα ἀεὶ τοῦ ὕδατος συνίζοντος, αὖθις δ' ἐπιρρέοντος καὶ τοὺς μεθορίους ἰσθμοὺς | κατα- p.516 M.
κλύζοντος, οἷς διεκρίνοντο αἱ λίμναι, εἰς μέγεθος ἀχανοῦς πελάγους κατὰ
148 τὴν πολλῶν ἕνωσιν ἀποκρίνεσθαι. πρὸς δὲ μαχομένων δυνάμεων ἐν μέρει τοὺς ἐν τοῖς ἐναντίοις οἰκοῦντας τόποις ἀπόλλυσθαι, πυρὶ μὲν τοὺς ἐν ὄρεσι καὶ γεωλόφοις καὶ δυσύδροις χωρίοις, ἅτ' οὐκ ἔχοντας φύσει πυρὸς ἀμυντήριον ἄφθονον ὕδωρ, ἔμπαλιν δ' ὕδατι τοὺς παρὰ ποταμοῖς ἢ λίμναις ἢ θαλάττῃ· γειτόνων γὰρ ἅπτεσθαι φιλεῖ τὰ κακὰ πρώτων
149 ἢ καὶ μόνων. κατὰ δὴ τοὺς λεχθέντας τρόπους δίχα μυρίων ἄλλων βραχυτέρων φθειρομένου τοῦ πλείστου μέρους ἀνθρώπων, ἐπιλείπειν ἐξ ἀνάγκης καὶ τὰς τέχνας· δίχα γὰρ τοῦ μεθοδεύοντος οὐκ εἶναι καθ' αὑτὴν ἰδεῖν ἐπιστήμην. ἐπειδὰν δὲ αἱ μὲν κοιναὶ νόσοι χαλάσωσιν, ἄρξηται δὲ ἀνηβᾶν καὶ βλαστάνειν τὸ γένος ἐκ τῶν μὴ προκαταληφθέντων τοῖς ἐπιβρίσασι δεινοῖς, ἄρχεσθαι καὶ τὰς τέχνας πάλιν

